Utrecht University Library
Partner in Science
Universiteit Utrecht

# Te?s Theias Graphe?s palaias de?lade? kai neas hapanta =

https://hdl.handle.net/1874/399734



# Dit boek hoort bij de Collectie Van Buchell

**Huybert van Buchell (1513-1599)**

**Meer informatie over de collectie is beschikbaar op:**
http://repertorium.library.uu.nl/node/2732

**Wegens onderzoek aan deze collectie is bij deze boeken ook de volledige buitenkant gescand. De hierna volgende scans zijn in volgorde waarop ze getoond worden:**

- de rug van het boek
- de kopsnede
- de frontsnede
- de staartsnede
- het achterplat

# This book is part of the Van Buchell Collection

**Huybert van Buchell (1513-1599)**

**More information on this collection is available at:**
http://repertorium.library.uu.nl/node/2732

**Due to research concerning this collection the outside of these books has been scanned in full. The following scans are, in order of appearance:**

- the spine
- the head edge
- the fore edge
- the bottom edge
- the back board

M No. 22

4.° 1
m

D
~~8° 130~~
Kast 108
M. Mi. 22

N. 48. C.

# ΤΡΙΤΟΝ
## ΒΙΒΛΙΏΝ
## ΜΈΡΟΣ.

Ex dono Brugelii

Argentorati apud Vuolfium Cepha
læum. Anno. M. D. XXVI.

# ΕΛΕΓΧΟΣ ΤΩΝ ΤΟΥ ΤΡΙΤΟΥ ΜΕΡΟΥΣ


| | | | |
|---|---|---|---|
| Παροιμίαι Σολομῶντος. | | | 2. |
| Ἐκκλησιαστής. | | | 23. |
| Ἄσμα ᾀσμάτων. | | | 31. |
| Ἡσαΐας. | | | 35. |
| Ἱερεμίας. | | | 85. |
| Θρῆνοι Ἱερεμίου. | | | 137. |
| Ἰεζεκιήλ. | | | 143. |
| Δανιήλ. | | | 196. |
| Ὠσηέ. | 213. | Ἰωήλ. | 220. |
| Ἀμώς. | 223. | Ἀβδιοῦ. | 229. |
| Ἰωνᾶς. | 230. | Μιχαίας. | 232. |
| Ναούμ. | 237. | Ἀββακούμ. | 239. |
| Σοφονίας. | 241. | Ἀγγαῖος. | 244. |
| Ζαχαρίας. | 246. | Μαλαχίας. | 255. |
| Παρασημειώσεις. | | | 258. |

## ΑΠΟΚΡΥΦΟΙ.

| | | | |
|---|---|---|---|
| Τωβίτ. | 264. | Ἰουδίθ. | 275. |
| Βαρούχ. | | | 292. |
| Ἐπιστολὴ Ἱερεμίου. | | | 296. |
| Ὠδὴ τριῶν παίδων. | | | 299. |
| Ἔσδρας. | | | 303. |
| Σοφία Σολομῶντος. | | | 321. |
| Σοφία Σειράχ. | | | 335. |
| Σωσάννης ἱστορία. | | | 370. |
| Περὶ τοῦ Βήλ. | | | 373. |
| Μακκαβαίων λόγοι. α΄. 374. β΄. 408. γ΄. | | | 431. |
| Ἰωσίππου εἰς Μακκαβαίους. | | | 442. |

# ΠΑΡΟΙΜΙΑΙ ΣΟΛΟΜΩΝΤΟΣ.

Κεφ. α. ιϛ.

Παροιμίαι σολομῶντος υἱοῦ δαβὶδ ὃς
ἐβασίλευσεν ἐν ἰσραήλ. γνῶναι σοφί-
αν καὶ παιδείαν. νοῆσαί τε λόγους φρο-
νήσεως. δέξασθαί τε στροφὰς λόγων,
καὶ λύσεις αἰνιγμάτων. νοῆσαί τε δι-
καιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύ-
νειν. ἵνα δῷ ἀκάκοις πανουργίαν. παι-
δὶ δὲ νέῳ, αἴσθησίν τε καὶ ἔννοιαν. τῶνδε γὰρ ἀκούσας σοφὸς σοφώ-
τερος ἔσται. ὁ δὲ νοήμων, κυβέρνησιν κτήσεται. νοήσει τε παρα-
βολὴν καὶ σκοτεινὸν λόγον. ῥήσεις τε σοφῶν καὶ αἰνίγματα. ἀρχὴ
σοφίας φόβος κυρίου. σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐ-
τήν. εὐσέβεια εἰς θεὸν, ἀρχὴ αἰσθήσεως. σοφίαν δὲ καὶ παιδείαν
ἀσεβεῖς ἐξουθενήσουσιν. ἄκουε υἱὲ νόμους πατρός σου. καὶ μὴ ἀπώ-
σῃ θεσμοὺς μητρός σου. στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ. καὶ
κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ. υἱέ. μή σε πλανήσωσιν ἄν-
δρες ἀσεβεῖς. μηδὲ βουληθῇς ἐὰν παρακαλέσωσί σε λέγοντες. ἐλ-
θὲ μεθ' ἡμῶν κοινώνησον αἵματος. κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δί-
καιον ἀδίκως. καταπίωμεν δὲ αὐτὸν, ὥσπερ ᾅδης ζῶντα. καὶ ἄρω-
μεν αὐτοῦ τὴν μνήμην ἐκ γῆς. τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ κατα-
λαβώμεθα. πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων. τὸν δὲ σὸν κλῆ-
ρον βάλε ἐν ἡμῖν. κοινὸν δὲ βαλλάντιον κτησόμεθα πάντες. καὶ
μαρσίππιον ἓν γενηθήτω ἡμῖν. μὴ πορευθῇς ὁδοὺς μετ' αὐτῶν.
ἔκκλινον τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν. οἱ γὰρ πόδες αὐτῶν, εἰς κα-

κίαν τρέχουσι καὶ ταχινοί εἰσι τοῦ ἐκχέαι αἷμα. οὐ γὰρ ἀδίκως ἐκτείνονται δίκτυα πτερωτοῖς. αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά. ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. αὗται αἱ ὁδοί εἰσι, πάντων τῶν συντελούντων τὸ ἄνομα. τῇ γὰρ ἀσεβείᾳ, τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται. σοφία ἐν ἐξόδοις ὑμνεῖται. ἐν δὲ πλατείαις παρρησίαν ἄγει, ἐπ᾽ ἄκρων δὲ τειχέων, κηρύσσεται. ἐπὶ δὲ πύλαις δυναστῶν, παρεδρεύει. ἐπὶ δὲ πύλαις πόλεως θαρροῦσα λέγει. ὅσον ἂν χρόνον ἄκακοι ἔχονται τῆς δικαιοσύνης οὐκ αἰσχυνθήσονται. οἱ δὲ ἄφρονες, τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ ἀσεβεῖς γενόμενοι, ἐμίσησαν αἴσθησιν. καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. ἰδοὺ προήσομαι ὑμῖν, ἐμῆς πνοῆς ῥῆσιν. διδάξω δὲ ὑμᾶς τὸν ἐμὸν λόγον. ἐπειδὴ ἐκάλουν καὶ οὐχ ὑπηκούσατε. καὶ ἐξέτεινον λόγους καὶ οὐ προσείχετε. ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλάς. τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε. τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι. ἐπιχαροῦμαι δὲ ἡνίκα ἂν ἐπέρχηται ὑμῖν ὄλεθρος. καὶ ὡς ἂν ἀφίκηται ὑμῖν ἄφνω θόρυβος. ἡ δὲ καταστροφὴ, ὁμοίως καταιγίδι παρῇ. ἢ ὅταν ἔρχηται ὑμῖν θλῖψις καὶ πολιορκία. ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ οὐκ εἰσακούσομαι ὑμῶν. ζητήσουσί με κακοὶ καὶ οὐχ εὑρήσουσιν. ἐμίσησαν γὰρ σοφίαν. τὸν δὲ φόβον κυρίου, οὐ προείλοντο. οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς. ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρπούς. καὶ τῆς ἑαυτῶν ἀσεβείας πλησθήσονται. ἀνθ᾽ ὧν γὰρ ἠδίκουν νηπίους φονευθήσονται. καὶ ἐξετασμὸς ἀσεβεῖς, ὀλεῖ. ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ᾽ ἐλπίδι καὶ ἡσυχάσει ἀφόβως, ἀπὸ παντὸς κακοῦ.

Κεφ. β. 2.

Υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς, κρύψῃς παρὰ σεαυτῷ. ὑπακούσεται σοφίας τὸ οὖς σου. καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν. παραβαλεῖς δὲ αὐτὴν ἐπὶ νουθέτησιν τῷ υἱῷ σου. ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ καὶ τῇ

φωνήσῃς, δῷς φωνήν σου, τὴν δὲ αἴσθησιν ζητήσῃς μεγάλῃ τῇ φωνῇ. καὶ ἐὰν ζητήσῃς αὐτὴν, ὡς ἀργύριον καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτὴν, τότε συνήσεις φόβον κυρίου καὶ ἐπίγνωσιν θεοῦ εὑρήσεις. ὅτι κύριος δίδωσι σοφίαν καὶ ἀπὸ προσώπου αὐτοῦ, γνῶσις καὶ σύνεσις. καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν. ὑπερασπιεῖ δὲ τὴν πορείαν αὐτῶν, τοῦ φυλάξαι ὁδοὺς δικαιωμάτων. καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει. τότε συνήσεις δικαιοσύνην καὶ κρίμα. καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν. ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ. βουλὴ καλὴ φυλάξει σε. ἔννοια δὲ ὁσία τηρήσει σε. ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς. καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος, μηδὲν πιστόν. ὦ οἱ ἐγκαταλείποντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους. ὦ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ. ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν. τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας. καὶ ἀλλότριον τῆς δικαίας γνώμης υἱέ. μή σε καταλάβῃ κακὴ βουλὴ ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος, διαθήκην θείαν ἐπιλελησμένη. ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς. καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς. πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν. οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας. οὐ γὰρ καταλαμβάνονται ὑπὸ ἐνιαυτῶν ζωῆς. εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθὰς, εὕροσαν ἂν τρίβους δικαιοσύνης λείας. χρηστοὶ ἔσονται οἰκήτορες γῆς. ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ. ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν. καὶ ὅσιοι ὑποληφθήσονται ἐν αὐτῇ. ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται. οἱ δὲ παράνομοι, ἐξωσθήσονται ἀπ' αὐτῆς. Κεφ. γ. 3.

Υἱὲ ἐμῶν νομίμων μὴ ἐπιλανθάνου, τὰ δὲ ῥήματά μου, τηρείτω σὴ καρδία. μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς καὶ εἰρήνην προσθήσουσί σοι. ἐλεημοσύναι καὶ πίστεις, μὴ ἐκλειπέτωσάν σε. ἄφαψαι δὲ αὐτὰς ἐπὶ τῷ τραχήλῳ. γρά-

φον αὐτὰς ἐπὶ πλακὸς καρδίας σου καὶ εὑρήσεις χάριν. καὶ προνοοῦ καλὰ ἐνώπιον κυρίου καὶ ἀνθρώπων. ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ ἐπὶ θεῷ. ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου. ἐν πάσαις ὁδοῖς σου γνώριζε αὐτὴν ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου. μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ. φοβοῦ δὲ τὸν θεὸν καὶ ἔκκλινε ἀπὸ παντὸς κακοῦ. τότε ἴασις ἔσται τῷ σώματί σου. καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου. τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων. καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. ἵνα πιμπλῶνται τὰ ταμιεῖα σου πλησμονῆς σίτου. οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. υἱὲ μὴ ὀλιγώρει παιδείας κυρίου. μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει. μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν. καὶ θνητὸς ὃς εἶδε φρόνησιν. κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν. εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ. πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστί. μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς, ἐν τῇ δεξιᾷ αὐτῆς. ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς, πλοῦτος καὶ δόξα. ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη. νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαί. καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ. ξύλον ζωῆς ἐστι, πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς. καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ κύριον, ἀσφαλής. Ὁ θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν. ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει. ἐν αἰσθήσει αὐτοῦ, ἄβυσσοι ἐρράγησαν. νέφη δὲ ἐρρύη δρόσῳ. υἱὲ μὴ παραρρυῇς. τήρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν. ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ σῷ τραχήλῳ. ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς σοῖς ὀστέοις σου. ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ, πάσας τὰς ὁδούς σου. ὁ δὲ πούς σου, οὐ μὴ προσκόψῃ. ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ, ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας. ὁ γὰρ

κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα ἵνα μὴ
σαλευθῇς. μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεῆ, ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου
βοηθεῖν. μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω, δυνατοῦ
σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. μὴ τεκταί-
νε ἐπὶ σὸν φίλον κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί. μὴ
φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην ἵνα μή τι εἰς σὲ ἐργάση-
ται κακόν. μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη. μηδὲ ζηλώσῃς τὰς
ὁδοὺς αὐτῶν. ἀκάθαρτος γὰρ ἔναντι κυρίου πᾶς παράνομος. ἐν
δὲ δικαίοις οὐ συνεδριάζει. κατάρα κυρίου, ἐν οἴκοις ἀσεβῶν.
ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. κύριος ὑπερηφάνοις ἀντιτάσ-
σεται. ταπεινοῖς δὲ δίδωσι χάριν. Δόξαν σοφοὶ κληρονομή-
σουσιν. οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν.

Κεφ. δ. 4.

Ἀκούσατε παῖδες παιδείαν πατρὸς. καὶ προσέχετε
α γνῶναι ἔννοιαν. δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν. τὸν
ἐμὸν λόγον μὴ ἐγκαταλίπητε. υἱὸς γὰρ ἐγενόμην κἀ-
γὼ πατρὶ ὑπήκοος καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρός. οἱ ἐδί-
δασκόν με καὶ ἔλεγον. ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρ-
δίαν. φύλασσε ἐντολὰς μὴ ἐπιλάθῃ. κτῆσαι. μηδὲ παρίδῃς ῥῆσιν
ἐμοῦ στόματος. μηδὲ ἐκκλίνῃς ἀπὸ ῥημάτων στόματός μου. μὴ ἐγκα-
ταλίπῃς αὐτήν καὶ ἀνθέξεταί σου. ἐράσθητι αὐτῆς. καὶ τηρήσει σε. ἀρ-
χὴ σοφίας κτῆσαι σοφίαν. καὶ ἐν πάσῃ κτήσει σου, κτῆσαι σύνε-
σιν. περιχαράκωσον αὐτὴν καὶ ὑψώσει σε. τίμησον αὐτὴν, ἵνα σε
περιλάβῃ. ἵνα δῷ τῇ σῇ κεφαλῇ, στέφανον χαρίτων. στεφάνῳ δὲ τρυ-
φῆς ὑπερασπίσῃ σου. ἄκουε υἱὲ καὶ δέξαι ἐμοὺς λόγους. καὶ πλη-
θυνθήσονταί σοι ἔτη ζωῆς σου. ἵνα σοι γένωνται πολλαὶ ὁδοί, βίου.
ὁδοὺς γὰρ σοφίας διδάσκω σε. ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς.
ἐὰν γὰρ πορεύῃ οὐ συγκλεισθήσεταί σου τὰ διαβήματα. ἐὰν
δὲ τρέχῃς, οὐ κοπιάσεις. ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς.
ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ, εἰς ζωήν σου. ὁδοὺς ἀσεβῶν μὴ

ἐπέλθῃς· μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων, ἐν ᾧ ἂν τόπῳ στρατεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ. ἔκκλινον ἀπ' αὐτῶν καὶ παράλλαξον, οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐάν μοι κακοποιήσωσι, ἀφῄρηται ὁ ὕπνος ἀπ' αὐτῶν καὶ οὐ κοιμῶνται. οἵδε γὰρ σιτοῦνται, σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται. αἱ δὲ ὁδοὶ τῶν δικαίων, ὁμοίως φωτὶ λάμπουσι· προπορεύονται καὶ φωτίζουσιν ἕως ἂν κατορθώσῃ ἡ ἡμέρα. αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναί. οὐκ οἴδασι πῶς προσκόπτουσιν, υἱὲ, ἐμῇ ῥήσει πρόσεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλλε σὸν οὖς· ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν τῇ καρδίᾳ, ζωὴ γάρ ἐστι, πᾶσι τοῖς εὑρίσκουσιν αὐτὰς, καὶ πάσῃ τῇ σαρκὶ αὐτῶν ἴασις, πάσῃ φυλακῇ τήρει σὴν καρδίαν· ἐκ γὰρ τούτων ἔξοδοι ζωῆς, περίελε σεαυτοῦ σκολιὸν στόμα, καὶ ἄδικα χείλη, μακρὰν ἀπὸ σοῦ ἄπωσαι, οἱ ὀφθαλμοί σου, ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια, ὀρθὰς τροχιὰς ποίει σοῖς ποσί, καὶ τὰς ὁδούς σου κατεύθυνε, μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ, μηδὲ εἰς τὰ ἀριστερά, ἀπόστρεψον δὲ σὸν πόδα ἀπὸ ὁδοῦ κακῆς, ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ θεός, διεστραμμέναι δέ εἰσιν αἱ ἐξ ἀριστερῶν, αὐτὸς δὲ ὀρθὰς ποιήσει τὰς τροχιάς σου, τὰς δὲ πορείας σου, ἐν εἰρήνῃ προάξει.

## Κεφάλαιον. ε. 5.

Ε, ἐμῇ σοφίᾳ πρόσεχε, ἐμοῖς δὲ λόγοις, παράβαλλε
υ σὸν οὖς, ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν, αἴσθησιν δὲ ἐμῶν χειλέων ἐντέλλομαί σοι, μὴ πρόσεχε φαύλῃ γυναικί, μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου, τῆς γὰρ ἀφροσύνης οἱ πόδες, κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται, ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι, νῦν οὖν υἱὲ ἄκουέ μου, καὶ μὴ ἀκύρους ποιήσεις ἐμοὺς λόγους,

μακρὰν ποίησον ἀπ' αὐτῆς σὴν ὁδόν, μὴ ἐγγίσῃς πρὸς θύραις οἴκων αὐτῆς, ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν, ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίων εἰσέλθωσι, καὶ μεταμεληθήσῃ ἐπ' ἐσχάτων σου, ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου, καὶ ἐρεῖς, πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου, οὐκ ἤκουον φωνὴν παιδεύοντός με, καὶ διδάσκοντός με. οὐδὲ παρέβαλλον τὸ οὖς μου, παρ' ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ ἐν μέσῳ ἐκκλησίας, καὶ συναγωγῆς. Υἱὲ πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς, ὑπερεκχείσθω σοι τὰ ὕδατα ἐκ τῆς σῆς πηγῆς, εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα, ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μετασχέτω σοι. ἡ πηγή σου τοῦ ὕδατος, ἔστω σοι ἰδία, καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου, καὶ συνέστω σοι ἐν παντὶ καιρῷ, ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ, μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μηδὲ συνέχου ἀγκάλαις ταῖς μὴ ἰδίαις, ἐνώπιον γὰρ εἰσι τῶν τοῦ θεοῦ ὀφθαλμῶν, ὁδοὶ ἀνδρός, εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ, σκοπεύει, παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται, οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων, ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξερρίφη, καὶ ἀπώλετο διὰ ἀφροσύνην.

Κεφάλαιον. ς. 6.

Ἐὰν ἐγγυήσῃ σὸν φίλον παραδώσεις σὴν χεῖρα ἐχθρῷ. παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη. καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. ποίει υἱέ, ἃ ἐγώ σοι ἐντέλλομαι καὶ σῴζου, ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον, ἴσθι μοι ἐκλυόμενος, παρόξυνε δὲ καὶ τὸν φίλον σου ὃν ἐνεγυήσω, μὴ δῷς ὕπνον σοῖς ὄμμασι, μηδὲ ἐπινυστάξῃς σοῖς βλεφάροις, ἵνα σῴζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον

ἐκ πλήρους. Ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρὲ, καὶ ζήλωσον ἰδὼν
τὰς ὁδοὺς αὐτοῦ. καὶ γενοῦ ἐκείνου σοφώτερος. ἐκείνῳ γὰρ γεωρ-
γίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων μηδὲ ὑπὸ δε-
σπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν. πολλήν τε ἐν τῷ ἀ-
μητῷ ποιεῖται τὴν παράθεσιν. ἢ πορεύθητι πρὸς τὴν μέλισ-
σαν. καὶ μάθε ὡς ἐργάτις ἐστὶ τήν τε ἐργασίαν ὡς σεμνὴν ποι-
εῖται. ἧς τοὺς πόνους, βασιλεῖς τε καὶ ἰδιῶται πρὸς ὑγίειαν προσ-
φέρονται. ποθεινὴ δέ ἐστι πᾶσι καὶ ἐπίδοξος. καίπερ οὖσα τῇ
ῥώμῃ ἀσθενής. τὴν σοφίαν τιμήσασα προήχθη. ἕως τίνος ὀκνη-
ρὲ κατάκεισαι. πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ. ὀλίγον μὲν ὑπνοῖς.
ὀλίγον δὲ κάθησαι. μικρὸν δὲ νυστάζεις. ὀλίγον δὲ ἐναγκαλίζῃ
χερσὶ, στήθη. εἶτ' ἐμπαραγίνεταί σοι ὥσπερ κακὸς ὁδοιπόρος ἡ
πενία. καὶ ἡ δὲ ἔνδεια ὥσπερ ἀγαθὸς δρομεύς. ἐὰν δὲ ἄοκνος
ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἀμητός σου. ἡ δὲ ἔνδεια, ὥσπερ κακὸς δρο-
μεὺς ἀπαυτομολήσει. Ἀνὴρ ἄφρων καὶ παράνομος, πορεύσε-
ται ὁδοὺς οὐκ ἀγαθάς. ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ. σημαίνει δὲ
ποδί. διδάσκει δὲ νεύμασι δακτύλων. διεστραμμένη δὲ καρ-
δία τεκταίνεται κακά. ἐν παντὶ καιρῷ ὁ τοιοῦτος, ταραχὰς συνί-
στησι πόλει. διὰ τοῦτο ἐξαπίνης, ἔρχεται ἡ ἀπώλεια αὐτοῦ. διακο-
πὴ καὶ συντριβὴ ἀνίατος. ὅτι χαίρει πᾶσιν οἷς μισεῖ ὁ κύριος.
συντρίβεται δὲ διὰ καθαρσίαν ψυχῆς. ὀφθαλμὸς ὑβριστοῦ, γλῶσ-
σα ἄδικος. χεῖρες ἐκχέουσαι αἷμα δίκαιον. καὶ καρδία τεκται-
νομένη λογισμοὺς κακούς. καὶ πόδες ἐπισπεύδοντες κακοποι-
εῖν ἐξολοθρευθήσονται. ἐκκαίει ψευδῆ μάρτυς ἄδικος. καὶ ἐπι-
πέμπει κρίσεις, ἀνὰ μέσον ἀδελφῶν. Υἱὲ φύλασσε νόμους πα-
τρός σου. καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου. ἄφαψαι δὲ αὐτοὺς
ἐπὶ σῇ ψυχῇ διαπαντός. καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ.
ἡνίκα ἂν περιπατεῖς, ἐπάγου αὐτὴν καὶ μετὰ σοῦ ἔστω. ὡς δ'
ἂν καθεύδῃς, φυλασσέτω σε. ἵνα ἐγειρομένῳ συλλαλῇ σοι. ὅτι
λύχνος ἐντολὴ νόμου, καὶ φῶς. καὶ ὁδὸς ζωῆς, ἔλεγχος, καὶ παι-

θέα. τοῦ διαφυλάξαι σε ἀπὸ γυναικὸς ὑπάνδρου. καὶ ἀπὸ δια-
βολῆς γλώσσης ἀλλοτρίας. υἱὲ μή σε νικήσῃ κάλλους ἐπιθυμία.
μηδὲ ἀγρευθῇς τοῖς ὀφθαλμοῖς. μηδὲ συναρπασθῇς ἀπὸ τῶν
αὐτῆς βλεφάρων. τιμὴ γὰρ πόρνης, ὅση καὶ ἑνὸς ἄρτου. γυνὴ δὲ
ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει. ἀποδήσει τις πῦρ ἐν κόλπῳ τὰ
δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τις ἐπ᾽ ἀνθράκων πυ-
ρὸς τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖ-
κα ὕπανδρον, οὐκ ἀθωωθήσεται. οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς.
οὐ θαυμαστόν. ἐὰν ἁλῷ τις κλέπτων. κλέπτει γὰρ ἵνα ἐμπλήσῃ
ψυχὴν πεινῶσαν. ἐὰν δὲ ἁλῷ ἀποτίσει ἑπταπλάσια. καὶ πάν-
τα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς. ῥύσεται ἑαυτόν. ὁ δὲ μοιχὸς, δι᾽
ἔνδειαν φρενῶν, ἀπώλειαν τῇ ψυχῇ αὐτοῦ περιποιεῖται. ὀδύνας
τε καὶ ἀτιμίας ὑποφέρει. τότε ὄνειδος αὐτοῦ, οὐκ ἐξαλειφθήσε-
ται εἰς τὸν αἰῶνα. μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς. οὐ φεί-
σεται ἐν ἡμέρᾳ κρίσεως. οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν
ἔχθραν. οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων.

Κεφάλαιον. ζ. 7.

Ε φύλασσε ἐμοὺς λόγους. τὰς δὲ ἐμὰς ἐντολὰς κρύ-
ἡ ψον παρὰ σεαυτῷ. υἱὲ τίμα τὸν κύριον καὶ ἰσχύσεις.
πλὴν δὲ αὐτοῦ, μὴ φοβοῦ ἄλλον. φύλαξον ἐμὰς ἐν-
τολὰς, καὶ βιώσεις. τοὺς δὲ ἐμοὺς λόγους, ὥσπερ κόρας ὀμμάτων
περίθου αὐτοὺς τοῖς δακτύλοις. ἐπίγραψον δὲ ἐπὶ τὸ πλάτος τῆς
καρδίας σου. εἶπον τὴν σοφίαν τὴν ἀδελφὴν εἶναι. τὴν δὲ φρό-
νησιν, γνώριμον περιποίησαι αὐτῷ. ἵνα τηρήσῃ ἀπὸ γυναικὸς
ἀλλοτρίας καὶ πονηρᾶς. ἐάν σε λόγοις τοῖς πρὸς χάριν ἐμβάληται.
ἀπὸ γὰρ θυρίδος ἐκ τοῦ οἴκου αὐτῆς εἰς τὰς πλατείας παρακύπτουσα
ὃν ἂν ἴδῃ τῶν ἀφρόνων τέκνων. νεανίαν ἐνδεῆ φρενῶν, παραπο-
ρευόμενον ἐν γωνίᾳ, ἐν διόδοις οἴκων αὐτῆς. καὶ λαλοῦντα ἐν σκό-
τει ἑσπερινῷ. ἡνίκα ἂν ἡσυχία νυκτερινὴ ᾖ καὶ γνοφώδης. ἡ δὲ γυνὴ
συναντᾷ αὐτῷ εἶδος ἔχουσα πορνικὸν ἣ ποιεῖ νέων ἐξίπτασθαι καρ-

βίας, ἀνεπτερωμένη δέ ἐστι καὶ ἄσωτος, ἐν οἴκῳ δὲ οὐχ ἡσυχάζουσιν οἱ πόδες αὐτῆς· χρόνον γάρ τινα ἔξω ῥέμβεται, χρόνον δὲ ἐν πλατείαις περὶ πᾶσαν γωνίαν ἐνεδρεύει, εἶτα ἐπιλαβομένη ἐφίλησεν αὐτὸν, ἀναιδεῖ δὲ προσώπῳ προσεῖπεν αὐτῷ, θυσία εἰρηνική μοι ἐστί, σήμερον ἀποδίδωμι τὰς εὐχάς μου, ἕνεκα τούτου ἐξῆλθον εἰς συνάντησίν σου, ποθοῦσα τὸ σὸν πρόσωπον εὕρηκά σε, κειρίαις τέτακα τὴν κλίνην μου, ἀμφιτάπτοις δὲ ἔστρωσα τοῖς ἀπ' αἰγύπτου. διέῤῥαγκα τὴν κοίτην μου κρόκῳ. τὸν δὲ οἶκόν μου κινναμώμῳ. ἐλθὲ καὶ ἀπολαύσωμεν φιλίας ἕως ὄρθρου. δεῦρο καὶ ἐγκυλισθῶμεν ἔρωτι. οὐ γὰρ πάρεστιν ὁ ἀνήρ μου ἐν οἴκῳ. πεπόρευται ὁδὸν μακράν. ἔνδεσμον ἀργυρίου λαβὼν ἐν χερσὶν αὐτοῦ. δι' ἡμερῶν πολλῶν ἐπανήξει εἰς τὸν οἶκον αὐτοῦ. ἀπεπλάνησε δὲ αὐτὸν πολλῇ ὁμιλίᾳ. βρόχοις τε τοῖς ἀπὸ χειλέων ἐξώκειλεν αὐτόν. ὁ δὲ ἐπηκολούθησεν αὐτῇ κεπφωθείς. ὥσπερ δὲ βοῦς ἐπὶ σφαγὴν ἄγεται. καὶ ὥσπερ κύων δεσμοὺς ἢ ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ. σπεύδει δὲ, ὥσπερ ὄρνεον εἰς παγίδα. οὐκ εἰδὼς, ὅτι περὶ ψυχῆς τρέχει. Νῦν οὖν υἱὲ, ἄκουέ μου. καὶ πρόσεχε ῥήμασι στόματός μου. μὴ ἐκκλινάτω εἰς τὰς ὁδοὺς αὐτῆς ἡ καρδία σου, καὶ μὴ πλανηθῇς ἐν ἀτραποῖς αὐτῆς. πολλοὺς γὰρ τρώσασα, καταβέβληκε, καὶ ἀναρίθμητοί εἰσιν οὓς πεφόνευκεν. ὁδοὶ ᾅδου, ὁ οἶκος αὐτῆς κατάγουσαι εἰς ταμιεῖα τοῦ θανάτου.

Κεφ. η. ς.

σ Ιὸ σὺ τὴν σοφίαν κήρυξον, ἵνα φρόνησίς σοι ὑπακούσῃ. ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστίν. ἀνὰ μέσον δὲ τῶν τρίβων ἕστηκε. παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει. ἐν δὲ εἰσόδοις ὑμνεῖται. ὑμᾶς ὦ ἄνθρωποι παρακαλῶ. καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. νοήσατε ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι, ἔνθεσθε καρδίαν. εἰσακούσατέ μου σεμνὰ γὰρ ἐρῶ. καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά. ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου. ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ.

μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν ἑαυτοῖς σκολιὸν, οὐδὲ στραγγαλῶδες. πάντα ἐνώπιον τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. λάβετε παιδείαν καὶ μὴ ἀργύριον. καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον. ἀντεραῖσθε δὲ αἰσθήσεως χρυσίου καθαροῦ. κρείσσων γὰρ σοφία λίθων πολυτελῶν. πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. φόβος κυρίου μισεῖ ἀδικίαν. ὕβριν τε καὶ ὑπερηφανίαν, καὶ ὁδοὺς πονηρῶν. μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν. ἐμὴ βουλὴ, καὶ ἀσφάλεια. ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. δι᾽ ἐμοῦ βασιλεῖς βασιλεύουσι. καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην. δι᾽ ἐμοῦ μεγιστᾶνες μεγαλύνονται. καὶ τύραννοι δι᾽ ἐμοῦ κρατοῦσι γῆς. ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ. οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει καὶ κτῆσις πολλῶν, καὶ δικαιοσύνη. βέλτιον ἐμὲ καρπίζεσθαι, ὑπὲρ χρυσίον, καὶ λίθον τίμιον τὰ δὲ ἐμὰ γεννήματα, κρεῖσσον ἀργυρίου ἐκλεκτοῦ. ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ. καὶ ἀνὰ μέσον τρίβων ἀληθείας ἀναστρέφομαι. ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν. καὶ τοὺς θησαυροὺς αὐτῶν, ἐμπλήσω ἀγαθῶν. ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ᾽ ἡμέραν γινόμενα. μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ. πρὸ τοῦ τὴν γῆν ποιῆσαι καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι. πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων τῶν βουνῶν, γεννᾷ με, κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ᾽ οὐρανῶν ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν συμπαρήμην αὐτῷ, ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ᾽ ἀνέμων, ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ᾽ οὐρανὸν, ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσονται στόματος αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ

θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. ἐγὼ ἤμην ᾗ προσέχαιρεν· καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ. ὅτε ἐνευφραίνετο τὴν οἰκουμένην συντελέσας, καὶ ἐνευφραίνετο ἐν υἱοῖς ἀνθρώπων. Νῦν οὖν υἱὲ ἄκουέ μου· καὶ μακάριοι οἳ ὁδούς μου φυλάξουσιν· ἀκούσατε σοφίαν, καὶ σοφίσθητε· καὶ μὴ ἀποφραγῆτε. μακάριος ἀνὴρ ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς τηρήσει· ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις διαπαντός· τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ κυρίου. οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς. καὶ οἱ μισοῦντές με ἀγαπῶσι θάνατον.

Κεφάλαιον. θ. 9.

Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον· καὶ ὑπήρεισε στύλους ἑπτά· ἔσφαξε τὰ ἑαυτῆς θύματα· καὶ ἐκέρασεν εἰς κρατῆρα, τὸν ἑαυτῆς οἶνον· καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν· ἀπέστειλε τοὺς ἑαυτοῦ δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα λέγουσα· ὅς ἐστιν ὑμῶν ἄφρων ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον· καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν· ἀπολείπετε ἀφροσύνην καὶ ζήσεσθε εἰς τὸν αἰῶνα, βασιλεύσητε· καὶ ζητήσατε φρόνησιν ἵνα βιώσητε· καὶ κατορθώσατε σύνεσιν ἐν γνώσει. ὁ παιδεύων κακοὺς λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ· μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε· ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. δίδου σοφῷ ἀφορμήν καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. ἀρχὴ σοφίας, φόβος κυρίου· καὶ βουλὴ ἁγίων σύνεσις· τὸ γὰρ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς· τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη, ζωῆς σου. Υἱὲ ἐὰν σοφὸς γένῃ σεαυτῷ σοφὸς ἔσῃ καὶ τοῖς πλησίον σου· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἀντλή-

σεις τὰ κακά. υἱὸς πεπαιδευμένος, σοφὸς ἔσται. τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται. ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμανεῖ ἀνέμους. ὁ δ' αὐτὸς διώξεται ὄρνεα πετόμενα. ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος. τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται. διαπορεύεται δὲ δι' ἀνύδρου ἐρήμου. καὶ γῆν διατεταγμένην ἐν διψώδεσι. συνάγει δὲ χερσὶν ἀκαρπίαν. γυνὴ ἄφρων καὶ θρασεῖα, ἐνδεὴς ψωμοῦ γίνεται. ἣ οὐκ ἐπίσταται αἰσχύνην, ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου. ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις. προσκαλουμένη τοὺς παριόντας ὁδὸν τοὺς κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν. ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με. καὶ τοῖς ἐνδεέσι φρενῶν παρακελεύομαι λέγουσα. ἄρτων κρυφίων ἡδέως ἅψασθε. καὶ ὕδατος κλοπῆς γλυκεροῦ πίετε. ὁ δὲ οὐκ οἶδεν, ὅτι γηγενεῖς παρ' αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ. ἀλλὰ ἀποπήδησον μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτήν. οὕτως γὰρ διαβήσῃ ὡς ὕδωρ ἀλλότριον. καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον. ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου. καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς. ἵνα πολλὴν ζήσῃς χρόνον. προστεθήσεται δέ σοι ἔτη ζωῆς.

Κεφάλαιον. ι. 10.

ΥΟς σοφὸς εὐφραίνει πατέρα. υἱὸς δὲ ἄφρων λυπεῖ μητέρα. οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου. οὐ λιμοκτονήσει κύριος ψυχὴν δικαίων. ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει. πενία ἄνδρα ταπεινοῖ. χεῖρες δὲ ἀνδρείων πλουτίζουσιν. υἱὸς πεπαιδευμένος σοφὸς ἔσται. τῷ δὲ ἄφρονι διακόνῳ χρήσεται. διεσώθη ἀπὸ καύματος, υἱὸς νοήμων. ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμήτῳ, υἱὸς παράνομος. εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου. στόμα δὲ ἀσεβῶν καλύψει πένθος ἄωρον. μνήμη δικαίων μετ' ἐγκωμίων. ὄνομα δὲ ἀσεβοῦς σβέννυται. σοφὸς καρδίᾳ δέξεται ἐντολάς. ὁ δὲ ἄστεγος χείλεσι, σκολιάζων ὑποσκελισθήσεται. ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς. ὁ δὲ διαστρέφων

τὰς ὁδοὺς αὐτοῦ γνωσθήσεται. ὁ ἐννεύων ὀφθαλμῷ μετὰ δόλου συνάγει ἀνδράσι λύπας, ὁ δὲ ἐλέγχων μετὰ παῤῥησίας, εἰρηνοποιεῖ. πηγὴ ζωῆς ἐν χειρὶ δικαίου. στόμα δὲ ἀσεβοῦς, καλύψει ἀπώλεια. μῖσος ἐγείρει νεῖκος. πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία. ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον, σοφοὶ κρύψουσιν αἴσθησιν. στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ. κτῆσις πλουσίων πόλις ὀχυρά. συντριβὴ δὲ ἀσεβῶν, πενία. ἔργα δικαίων, ζωὴν ποιεῖ. καρποὶ δὲ ἀσεβῶν, ἁμαρτίαι. ὁδοὺς ζωῆς φυλάσσει παιδεία. παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται. καλύπτουσιν ἔχθραν χείλη δίκαια. οἱ δὲ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσιν. ἐκ πολυλογίας, οὐκ ἐκφεύξῃ ἁμαρτίαν. φειδόμενος δὲ ῥημάτων, νοήμων ἔσῃ. ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου. καρδία δὲ ἀσεβοῦς ἐκλείψει. χείλη δικαίων ἐπίστανται ὑψηλά. οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν. εὐλογία κυρίου ἐπὶ κεφαλὴν δικαίου. αὕτη πλουτίζει καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ. ἐν γέλωτι ἄφρων, πράσσει κακά. ἡ δὲ σοφία ἀνδρὶ τίκτει φρόνησιν. ἐν ἀπωλείᾳ ἀσεβὴς περιφέρεται, ἐπιθυμία δὲ δικαίου δεκτή, παραπορευομένης καταιγίδος ἀφανίζεται ὁ ἀσεβής. δίκαιος δὲ ἐκκλίνας σώζεται εἰς τὸν αἰῶνα. ὥσπερ ὄμφαξ ὀδοῦσι βλαβερόν, καὶ καπνὸς ὄμμασιν, οὕτως παρανομία τοῖς χρωμένοις αὐτῇ. φόβος κυρίου προστίθησιν ἡμέρας. ἔτη δὲ ἀσεβῶν ὀλιγωθήσονται. ἐγχρονίζει δικαίοις εὐφροσύνη. ἐλπὶς δὲ ἀσεβῶν ὄλλυται. ὀχύρωμα ὁσίου, φόβος κυρίου. συντριβὴ δὲ τοῖς ἐργαζομένοις κακά. δίκαιος εἰς τὸν αἰῶνα οὐκ ἐνδώσει. ἀσεβεῖς δὲ οὐκ οἰκήσουσι γῆν. στόμα δικαίου, ἀποστάζει σοφίαν. γλῶσσα δὲ ἀδίκου, ἐξολεῖται. χείλη ἀνδρῶν δικαίων, ἀποστάζει χάριτας. στόμα δὲ ἀσεβῶν ἀποστρέφεται.

## Κεφ. ια. 11.

ζ Υγοὶ δόλιοι βδέλυγμα ἐνώπιον κυρίου. στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ. οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία. στόμα δὲ ταπεινῶν, μελετᾷ σοφίαν. ἀποθανὼν δίκαιος, ἔλιπε μετάμελον.

πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. τελειότης
εὐθείων ὁδηγήσει αὐτοὺς καὶ ὑποσκελισμὸς ἀθετούντων, προ-
νομεύσει αὐτοὺς. οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ. δικαι-
οσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. δικαιοσύνη ἀμώμου, ὀρθοτομεῖ ὁ-
δούς. ἀσέβεια δὲ, περιπίπτει ἀδικίᾳ. δικαιοσύνη ἀνδρῶν ὀρθῶν,
ῥύσεται αὐτούς. τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. τελευτή-
σαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς. τὸ δὲ καύχημα τῶν ἀσε-
βῶν ὄλλυται. δίκαιος ἐκ θήρας ἐκδύνει. ἀντ᾽ αὐτοῦ δὲ παραδί-
δοται ὁ ἀσεβής. ἐν στόματι ἀσεβῶν, παγὶς πολίταις. αἴσθησις
δὲ δικαίων εὔοδος. ἐν ἀγαθοῖς δικαίων, κατώρθωσε πόλις. καὶ
ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. ἐν εὐλογίᾳ εὐθείων ὑψωθήσε-
ται πόλις. στόμασι δὲ ἀσεβῶν κατεσκάφη. μυκτηρίζει πολίτας,
ἐνδεὴς φρενῶν. ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει. Ἀνὴρ δίγλωσ-
σος ἀποκαλύπτει βουλὰς ἐν συνεδρίῳ. πιστὸς δὲ πνοῇ κρύπτει πρά-
γματα. οἷς μὴ ὑπάρχει κυβέρνησις, πίπτουσιν ὥσπερ φύλλα. σω-
τηρία δὲ ὑπάρχει ἐν πολλῇ βουλῇ. πονηρὸς κακοποιεῖ, ὅταν συμ-
μίξῃ δικαίῳ. τοῦ μισεῖ δὲ ἦχον ἀσφαλείας. γυνὴ εὔχρηστος ἐγεί-
ρει ἀνδρὶ δόξαν. θρόνος δὲ ἀτιμίας γυνὴ μισοῦσα δίκαια. πλού-
του ὀκνηροὶ, ἐνδεεῖς γίνονται. οἱ δὲ ἀνδρεῖοι ἐρείδονται πλούτῳ.
τῇ ψυχῇ αὐτοῦ ἀγαθὸν ποιεῖ ἀνὴρ ἐλεήμων, ἐξόλλυσι δὲ αὐτοῦ
σῶμα ὁ ἀνελεήμων. ἀσεβὴς ποιεῖ ἔργα ἄδικα. σπέρμα δὲ δικαί-
ων μισθὸς ἀληθείας. υἱὸς δίκαιος, γεννᾶται εἰς ζωήν. διωγμὸς
δὲ ἀσεβοῦς, εἰς θάνατον. βδέλυγμα κυρίῳ διεστραμμέναι ὁδοί.
προσδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. χειρὶ χεῖρας ἐμ-
βαλὼν ἀδίκως, οὐκ ἀτιμώρητος ἔσται κακῶν. ὁ δὲ σπείρων δικαιο-
σύνην, λήψεται μισθὸν πιστόν. ὥσπερ ἐνώτιον χρυσοῦν ἐν ῥινὶ ὑός,
οὕτως γυναικὶ κακόφρονι κάλλος. ἐπιθυμία δικαίων, πᾶσα ἀ-
γαθή. ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται. εἰσὶν οἱ τὰ ἴδια σπείροντες,
οἱ πλείονα ποιοῦσιν. εἰσὶ δὲ καὶ οἱ συνάγοντες τὰ ἀλλότρια οἱ
ἐλαττονοῦνται. ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ, ἀνὴρ δὲ θυμώδης,

οὐκ εὐσχήμων ὁ συνέχων σῖτον, ὑπολίποιτο αὐτὸν τοῖς ἔθνεσιν· εὐλογίαν δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος. τεκταινόμενος ἀγαθὰ, ζητεῖ χάριν ἀγαθὴν, ἐκζητοῦντα δὲ κακὰ, καταλήψεται αὐτόν. ὁ πεποιθὼς ἐπὶ πλούτῳ· οὗτος πεσεῖται. ὁ δὲ ἀντιλαμβανόμενος δικαίων οὗτος ἀνατελεῖ. ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἄνεμον. δουλεύσει δὲ ἄφρων φρονίμῳ. ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς. ἀναιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων. εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται.

Κεφάλαιον. ιβ. 12.

Ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν. ὁ δὲ μισῶν ἐλέ-
δ χους, ἄφρων. κρείσσων ὁ εὑρίσκων χάριν παρὰ κυρί-
ου τοῦ θεοῦ. ἀνὴρ δὲ παράνομος, παρασιωπηθήσεται. οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου. αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται. γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς. ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός. λογισμοὶ δικαίων, κρίματα. κυβερνῶσι δὲ ἀσεβεῖς δόλους. λόγοι ἀσεβῶν δόλιοι. στόμα δὲ ὀρθῶν, ῥύσεται αὐτούς. οὗ ἐὰν στραφῇ ὁ ἀσεβὴς ἀφανίζεται. οἶκοι δὲ δικαίων παραμένουσι. στόμα συνετοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς, νωθροκάρδιος δὲ, μυκτηρίζεται. κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς, καὶ προσδεόμενος ἄρτου. δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ. τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα. ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, ἐμπλησθήσεται ἄρτων. οἱ δὲ διώκοντες μάταια, ἐνδεεῖς φρενῶν, ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι, καταλείψει ἀτιμίαν. ἐπιθυμίαι ἀσεβῶν, κακαί. αἱ δὲ ῥίζαι τῶν δικαίων ἐν ὀχυρώμασι. δι᾽ ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλός. ἐξολισθαίνει δὲ ἐξ αὐτῶν δίκαιος. ὁ βλέπων λεῖα ἐλεηθήσεται. ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς. ἀπὸ καρπῶν στόματος, ψυχὴ ἀν-

ἀνδρὸς πλησθήσεται ἀγαθῶν. ἀνταπόδομα δὲ χειλέων αὐτοῦ, δοθήσεται αὐτῷ. ὁδοὶ ἀφρόνων ὀρθαὶ, ἐνώπιον αὐτῶν. εἰσακούει δὲ συμβουλίας σοφός. ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ. κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος. ἐπιδεικνυμένην πίστιν ἀναγγελεῖ δίκαιος. ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος. εἰσὶν οἱ λέγοντες, τιτρώσκουσιν ὡς μάχαιρα. γλῶσσαι δὲ σοφῶν ἰῶνται. χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν. μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον. δόλος ἐν καρδίᾳ τεκταινομένου κακά. οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται. οὐκ ἀρέσει τῷ δικαίῳ, οὐδὲν ἄδικον. οἱ δὲ ἀσεβεῖς, πλησθήσονται κακῶν. βδέλυγμα κυρίῳ χείλη ψευδῆ. ὁ δὲ ποιῶν πίστιν, δεκτὸς παρ' αὐτῷ. ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως. καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς. χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς. δόλιοι δὲ ἔσονται εἰς προνομήν. φοβερὸς λόγος, καρδίαν ταράσσει ἀνδρὸς δικαίου. ἀγγελία ἀγαθὴ εὐφραίνει αὐτόν. ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται. αἱ δὲ γνῶμαι τῶν ἀσεβῶν ἀνεπιεικεῖς. ἁμαρτάνοντας, καταδιώξεται κακά. ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς. οὐκ ἐπιτεύξεται δόλιος θήρας. κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός. ἐν ὁδοῖς δικαιοσύνης ζωή. ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον.

Κεφ. ιγ. 13.

Υἱὸς πανοῦργος, ὑπήκοος πατρί. υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ. ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθός. ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι. ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα τηρεῖ τὴν ἑαυτοῦ ψυχήν. ὁ δὲ προπετὴς χείλεσιν, πτοήσει ἑαυτόν. ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργός. χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ. λόγον ἄδικον μισεῖ δίκαιος. ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐχ ἕξει παρρησίαν. δικαιοσύνη φυλάσσει ἀκάκους. τοὺς δὲ ἀσεβεῖς, φαύλους ποιεῖ ἁμαρτία. εἰσὶν οἱ πλουτίζοντες ἑαυτούς, μηδὲν ἔχοντες. καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ. λύτρον ἀνδρὸς ψυχῆς,

ὁ ἴδιος πλοῦτος. πτωχὸς δὲ, οὐχ ὑφίσταται ἀπειλήν. φῶς δικαίοις διαπαντός. φῶς ἀσεβῶν, σβέννυται. ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις. δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι. κακὸς μεθ' ὕβρεως πράσσει κακά. οἱ δὲ ἑαυτῶν ἐπιγνώμονες, σοφοί. ὕπαρξις ἐπισπουδαζομένη μετὰ ἀνομίας, ἐλάσσων γίνεται. ὁ δὲ συνάγων ἑαυτῷ μετ' εὐσεβείας πληθυνθήσεται. δίκαιος οἰκτείρει καὶ κιχρᾷ. κρείσσων ἐναρχόμενος βοηθῶν καρδίᾳ, τοῦ ἐπαγγελλομένου καὶ εἰς ἐλπίδα ἄγοντος. δένδρον γὰρ ζωῆς, ἐπιθυμία ἀγαθή. ὃς καταφρονεῖ πράγματος, καταφρονηθήσεται ὑπ' αὐτοῦ. ὁ δὲ φοβούμενος ἐντολὴν οὗτος ὑγιαίνει. υἱῷ δολίῳ, οὐδὲν ἔσται ἀγαθόν. οἰκέτῃ σοφῷ, εὔοδοι ἔσονται πράξεις. καὶ κατευθυνθήσεται ἡ ὁδὸς αὐτοῦ. νόμος σοφοῦ πηγὴ ζωῆς, ὁ δὲ ἄνους, ὑπὸ παγίδος θανεῖται. σύνεσις ἀγαθὴ, δίδωσι χάριν. τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. ὁδοὶ δὲ καταφρονούντων, ἐν ἀπωλείᾳ. πᾶς πανοῦργος, πράσσει μετὰ γνώσεως. ὁ δὲ ἄφρων ἐξεπέτασεν ἑαυτοῦ κακίαν. βασιλεὺς θρασὺς πεσεῖται εἰς κακά. ἄγγελος δὲ σοφὸς ῥύσεται αὐτόν. πενίαν καὶ ἀτιμίαν ἀφαιρεῖται παιδεία. ὁ δὲ φυλάσσων ἐλέγχους δοξασθήσεται. ἐπιθυμίαι ἀσεβῶν, ἡδύνουσι ψυχήν. ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως. ὁ συμπορευόμενος σοφοῖς, σοφὸς ἔσται. ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται. ἁμαρτάνοντας καταδιώξεται κακά. τοὺς δικαίους καταλήψεται ἀγαθά. ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν. θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν. δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλά. ἄδικοι δὲ ἀπολοῦνται συντόμως. ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ. ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει. δίκαιος ἐσθίων, ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ. ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς.

## Κεφ. ιδ. 14.

Οφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους. ἡ δὲ ἄφρων, κατέσκαψε ταῖς χερσὶν αὐτῆς. ὁ πορευόμενος ὀρ-

θῶς φοβεῖται τὸν κύριον. ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται. ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως. χείλη δὲ σοφῶν φυλάσσει αὐτούς. οὗ μὴ εἰσὶ βόες, φάτναι καθαραί. οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς. μάρτυς πιστὸς οὐ ψεύδεται. ἐκκαίει δὲ ψευδῆ μάρτυς ἄδικος. ζητήσεις σοφίαν παρὰ κακοῖς· καὶ οὐκ εὑρήσεις. αἴσθησις δὲ παρὰ φρονίμοις, εὐχερής. πάντα ἐναντία ἀνδρὶ ἄφρονι. ὅπλα αἰσθήσεως χείλη σοφά. σοφία πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῶν. ἔννοια δὲ ἀφρόνων ἐν πλάνῃ, οἰκίαι παρανόμων ὀφειλήσουσι καθαρισμόν. οἰκίαι δὲ δικαίων, δεκταί. καρδία ἀνδρὸς αἰσθητική, λυπηρὰ ψυχὴ αὐτοῦ. ὅταν δὲ εὐφραίνηται οὐκ ἐπιμίγνυται ὕβρει. οἰκίαι ἀσεβῶν, ἀφανισθήσονται. σκηναὶ δὲ κατορθούντων στήσονται. ἔστιν ὁδὸς, ἣ δοκεῖ ὀρθὴ εἶναι παρὰ ἀνθρώποις. τὰ δὲ τελευταῖα αὐτῆς ἔρχεται εἰς πυθμένα ᾅδου. ἐν εὐφροσύναις, οὐ προσμίγνυται λύπη. τελευταῖα δὲ χαρᾶς εἰς πένθος ἔρχεται. τῶν ἑαυτοῦ ὁδῶν, πλησθήσεται θρασυκάρδιος. ἀπὸ δὲ τῶν διανοημάτων αὐτοῦ ἀνὴρ ἀγαθός. ἄκακος πιστεύει παντὶ λόγῳ. πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. σοφὸς φοβηθεὶς, ἐξέκλινεν ἀπὸ κακοῦ. ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ. ὀξύθυμος πράσσει μετὰ ἀβουλίας. ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει, μεριοῦνται ἄφρονες κακίαν. οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως. ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν. καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων. φίλοι μισήσουσι φίλους πτωχούς. φίλοι δὲ πλουσίων πολλοί. ὁ ἀτιμάζων πένητας, ἁμαρτάνει. ὁ ἐλεῶν δὲ πτωχοὺς μακαριστός. πλανώμενοι ἄδικοι τεκταίνουσι κακά. ἔλεος δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί. οὐκ ἐπίστανται ἔλεον, καὶ πίστιν, τέκτονες κακῶν. ἐλεημοσύναι δὲ καὶ πίστεις, παρὰ τέκτοσιν ἀγαθοῖς. ἐν παντὶ μεριμνῶντι, ἔνεστι περισσόν. ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται. στέφανος σοφῶν πλοῦτος αὐτῶν. ἡ δὲ διατριβὴ ἀφρόνων κακή. ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός. ἐκκαίει δὲ ψευδῆ δόλιος. ἐν φόβῳ κυρίου

ἐλπὶς ἰσχύος· τοῖς δὲ τέκνοις αὐτοῦ καταλείψει ἔρεισμα εἰρήνης. φόβος κυρίου πηγὴ ζωῆς· ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου. ἐν πολλῷ ἔθνει δόξα βασιλέως· ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου. μακρόθυμος ἀνήρ, πολὺς ἐν φρονήσει· ὁ δὲ ὀλιγόψυχος, ἰσχυρῶς ἄφρων, πραΰθυμος ἀνήρ, καρδίας ἰατρός· σὴς δὲ ὀστέων καρδία αἰσθητική. ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν· ὁ δὲ τιμῶν αὐτόν, ἐλεεῖ πτωχόν. ἐν κακίᾳ αὐτοῦ ἀπωσθήσεται ἀσεβής· ὁ πεποιθὼς δὲ κυρίῳ τῇ ἑαυτοῦ ὁσιότητι, δίκαιος. ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς ἀναπαύσεται σοφία· ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται. δικαιοσύνη ὑψοῖ ἔθνος· ἐλαττονοῦσι δὲ φυλὰς ἁμαρτίαι. δεκτὸς βασιλεῖ ὑπηρέτης νοήμων· τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν. Κεφ. ιε. 15.

Ὀργὴ ἀπόλλυσι καὶ φρονίμους· ἀπόκρισις δὲ ὑποπίπτουσα, ἀποστρέφει θυμόν, λόγος δὲ λυπηρὸς ἐγείρει ὀργάς. γλῶσσα σοφῶν καλὰ ἐπίσταται· στόμα δὲ ἀφρόνων, ἀναγγελεῖ κακά. ἐν παντὶ τόπῳ ὀφθαλμοὶ κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς. ἴασις γλώσσης, δένδρον ζωῆς· ὁ δὲ συντηρῶν αὐτήν, πλησθήσεται πνεύματος. ἄφρων μυκτηρίζει παιδείαν πατρός· ὁ δὲ φυλάσσων ἐντολὰς πανουργότερος. ἐν πλεοναζούσῃ δικαιοσύνῃ ἰσχὺς πολλή· οἱ δὲ ἀσεβεῖς, ὁλόρριζοι ἐκ γῆς ὀλοῦνται. οἴκοις δικαίων ἰσχὺς πολλή· καρποὶ δὲ ἀσεβῶν ἀπολοῦνται. χείλη σοφῶν δέδεται αἰσθήσει· καρδίαι δὲ ἀφρόνων οὐκ ἀσφαλεῖς. θυσία ἀσεβῶν, βδέλυγμα κυρίῳ· εὐχαὶ δὲ κατευθυνόντων, δεκταὶ παρ' αὐτῷ. βδέλυγμα κυρίῳ, ὁδοὶ ἀσεβοῦς· διώκοντας δικαιοσύνην ἀγαπᾷ. παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων· οἱ δὲ μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς. ᾅδης καὶ ἀπώλεια φανερὰ παρὰ κυρίῳ· πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων. οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν· μετὰ δὲ σοφῶν, οὐχ ὁμιλήσει. καρδίας εὐφραινομένης πρόσωπον θάλλει· ἐν δὲ λύπαις οὔσης, σκυθρωπάζει. καρδία ὀρθή, ζητεῖ αἴσθησιν· στόμα δὲ ἀπαιδεύτων, γνώσεται κακά.

πάντα τὸν χρόνον, οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακά· οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διαπαντός. κρεῖσσον μικρὰ μερὶς μετὰ φόβου κυρίου, ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας. κρεῖσσον ξενισμὸς λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ παράθεσις μόσχων μετὰ ἔχθρας. ἀνὴρ θυμώδης παρασκευάζει μάχας. μακρόθυμος δὲ, καὶ τὴν μέλλουσαν καταπραΰνει. μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις. ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον. ὁδοὶ ἀεργῶν ἐστρωμέναι ἀκάνθαις, αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι. Υἱὸς σοφὸς εὐφραίνει πατέρα. υἱὸς δὲ ἄφρων μυκτηρίζει μητέρα αὐτοῦ. ἀνοήτου τρίβοι, ἐνδεεῖς φρενῶν. ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται. ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια. ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή. οὐ μὴ ὑπακούσῃ ὁ κακὸς αὐτῇ. οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ. ὁδοὶ ζωῆς, διανοήματα συνετοῦ. ἵνα ἐκκλίνας ἐκ τοῦ ᾅδου σωθῇ. οἴκους ὑβριστῶν κατασπᾷ κύριος. ἐστήρισε δὲ ὅριον χήρας. βδέλυγμα κυρίῳ λογισμὸς ἄδικος. ἁγνῶν δὲ ῥήσεις σεμναί. ἐξόλλυσιν ἑαυτὸν, ὁ δωρολήπτης. ὁ δὲ μισῶν δώρων λήψεις σώζεται. ἐλεημοσύναις καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι. τῷ δὲ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ. καρδίαι δικαίων μελετῶσι πίστιν. στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά. δεκταὶ παρὰ κυρίῳ ὁδοὶ ἀνδρῶν δικαίων. διὰ δὲ αὐτῶν, καὶ οἱ ἐχθροὶ φίλοι γίνονται. μακρὰν ἀπέχει ὁ θεὸς ἀπὸ ἀσεβῶν. εὐχαῖς δὲ δικαίων, ἐπακούει. κρεῖσσον ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. Κεφ. ις. 16

Αρδία ἀνδρὸς, λογιζέσθω δίκαια ἵνα ὑπὸ τοῦ θεοῦ
κ · διορθωθῇ τὰ διαβήματα αὐτοῦ. θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν. φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ. ὁ οὐ σκληρύνων ἐλέγχους ζωῆς, ἐν μέσῳ σοφῶν αὐλισθήσεται. ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτόν. ὁ δὲ τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν αὐτοῦ. φόβος κυρίου παιδεία καὶ σοφία, καὶ ἀρχὴ δόξης, ἀποκριθήσεται αὐτῇ. προπορεύεται δὲ ταπεινοῖς δόξα. πάντα

τὰ ἔργα τοῦ ταπεινοῦ φαῦλα παρὰ τῷ θεῷ· οἱ δὲ ἀσεβεῖς, ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται. ἀκάθαρτος παρὰ θεῷ, πᾶς ὑψηλοκάρδιος. χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως, οὐκ ἀθῳωθήσεται. ἀρχὴ ὁδοῦ ἀγαθῆς, τὸ ποιεῖν τὰ δίκαια. δεκτὰ δὲ παρὰ θεῷ μᾶλλον, ἢ θύειν θυσίας. ὁ ζητῶν τὸν κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης. οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν, εὑρήσουσιν εἰρήνην. πάντα τὰ ἔργα κυρίου μετὰ δικαιοσύνης. φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν. μαντεῖον ἐπὶ χείλεσι βασιλέως· ἐν δὲ κρίσει οὐ μὴ πλανηθῇ τὸ στόμα αὐτοῦ, ῥοπὴ ζυγοῦ δικαιοσύνη παρὰ θεῷ· τὰ δὲ ἔργα αὐτοῦ, στάθμια δίκαια. βδέλυγμα βασιλεῖ, ὁ ποιῶν κακά· μετὰ γὰρ δικαιοσύνης, ἑτοιμάζεται θρόνος ἀρχῆς. δεκτὰ βασιλεῖ, χείλη δίκαια· λόγους δὲ ὀρθοὺς ἀγαπᾷ ὁ κύριος. θυμὸς βασιλέως, ἄγγελος θανάτου· ἀνὴρ δὲ σοφὸς ἐξιλάσεται αὐτόν. ἐν φωτὶ ζωῆς υἱὸς βασιλέως· οἱ δὲ προσδεκτοὶ αὐτῷ, ὥσπερ νέφος ὄψιμον. νοσσιαὶ σοφίας, αἱρετώτεραι χρυσίου· νοσσιαὶ δὲ φρονήσεως, αἱρετώτεραι ὑπὲρ ἀργύριον. τρίβοι ζωῆς, ἐκκλίνουσιν ἀπὸ κακῶν· μῆκος δὲ βίου, ὁδοὶ δικαιοσύνης. Ὁ δεχόμενος παιδείαν, ἐν ἀγαθοῖς ἔσται· ὁ δὲ φυλάσσων ἐλέγχους, σοφισθήσεται. ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ἀγαπῶν δὲ ζωὴν αὐτοῦ, φείσεται στόματος αὐτοῦ. πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος, κακοφροσύνη. κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν. συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ κυρίῳ μακαριστός. τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν· οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλεῖον ἀκούσονται. πηγὴ ζωῆς, ἔννοια τοῖς κεκτημένοις· παιδεία δὲ ἀφρόνων κακή. καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος· ἐπὶ δὲ χείλεσι, φορέσει ἐπιγνωμοσύνην. κηρία μέλιτος λόγοι καλοί, γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς. εἰσὶν ὁδοὶ δοκοῦσαι ὀρθαὶ εἶναι ἀνδρί· τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου. ἀνὴρ ἐν πόνοις, πονεῖ ἑαυτῷ καὶ ἐκβιάζεται

αὐτοῦ τὴν ἀπώλειαν. ὁ μέν τοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν. ἀνὴρ ἄφρων, ὀρύσσει ἑαυτῷ κακά. ἐπὶ δὲ τῶν ἑαυτοῦ χειλέων, θησαυρίζει πῦρ. ἀνὴρ σκολιὸς διαπέμπεται κακά. καὶ λαμπτῆρα δόλου πυρσεύει κακοῖς, καὶ διαχωρίζει φίλους. ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς. στηρίζων ὀφθαλμοὺς αὐτοῦ, λογίζεται διεστραμμένα. ἐπιδάκνων δὲ τοῖς χείλεσιν αὐτοῦ, ὁρίζει πάντα τὰ κακά. οὗτος κάμινός ἐστι κακίας. στέφανος καυχήσεως, γῆρας. ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται, κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων, γεωργίου μεγάλου. ὁ δὲ κρατῶν ὀργῆς, καταλαμβανομένου πόλιν. εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις. παρὰ δὲ κυρίου πάντα τὰ δίκαια.

## Κεφάλαιον. ιζ. 17.

Κρείσσων ψωμὸς μεθ᾽ ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πλήρης πολλῶν ἀγαθῶν, καὶ ἀδίκων θυμάτων μετὰ μάχης. οἰκέτης νοήμων, κρατήσει δεσποτῶν ἀφρόνων. ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη. ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς οὕτως ἐκλεκταὶ καρδίαι παρὰ κυρίῳ. κακὸς ὑπακούει γλώσσης παρανόμων. δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν. ὁ καταγελῶν πτωχοῦ, παροξύνει τὸν ποιήσαντα αὐτόν. ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ, οὐκ ἀθῳωθήσεται. ὁ δὲ ἐπισπλαγχνιζόμενος, ἐλεηθήσεται. στέφανος γερόντων, τέκνα τέκνων. καύχημα δὲ τέκνων πατέρες αὐτῶν. τοῦ πιστοῦ, ὅλος ὁ κόσμος τῶν χρημάτων. τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολὸς. οὐχ ἁρμόσει ἄφρονι χείλη πιστά. οὐδὲ δικαίῳ χείλη ψευδῆ. μισθὸς χαρίτων ἡ παιδεία τοῖς χρωμένοις. οὗ δ᾽ ἂν ἐπιστρέψῃ, εὐοδωθήσεται. ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν. ὃς δὲ μισεῖ κρύπτειν, διΐστησι φίλους καὶ οἰκείους. συντρίβει ἀπειλὴ καρδίαν φρονίμου. ἄφρων δὲ μαστιγωθεὶς οὐκ αἰσθάνεται. ἀντιλογίας ἐγείρει πᾶς κακός. ὁ δὲ κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ. ἐμπεσεῖται μέ-

ρίμνα ἀνδρὶ νοήμονι· οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά. ὃς ἀπο
δίδωσι κακά, ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ, ἐκ τοῦ οἴκου αὐ
τοῦ. ἐξουσίαν δίδωσι λόγοις· ἀρχὴ δικαιοσύνης, προηγεῖται δὲ
τῆς ἐνδείας στάσις, καὶ μάχη. ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδι
κον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ θεῷ. ἵνα τί
ὑπῆρξε χρήματα ἄφρονι· κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ
δυνήσεται. ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον ζητεῖ συντριβήν, ὁ
δὲ σκολιάζων τοῦ μαθεῖν, ἐμπεσεῖται εἰς κακά. εἰς πάντα καιρὸν
φίλος ὑπαρχέτω σοι. ἀδελφοὶ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν·
τούτου γὰρ χάριν γεννῶνται. ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει
ἑαυτῷ. ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τὸν ἑαυτοῦ φίλον. ἐπὶ δὲ τῶν
ἑαυτοῦ χειλέων πῦρ θησαυρίζει. φιλαμαρτήμων χαίρει μάχαις·
ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς. ἀνὴρ εὐμετάβολος
γλώσσῃ, ἐμπεσεῖται εἰς κακά. καρδία δὲ ἄφρονος, ὀδύνη τῷ
κεκτημένῳ αὐτήν. οὐκ εὐφραίνεται πατὴρ ἐφ᾽ υἱῷ ἀπαιδεύτῳ.
υἱὸς δὲ φρόνιμος. εὐφραίνει μητέρα αὐτοῦ. καρδία εὐφραινο
μένη εὐεκτεῖν ποιεῖ. ἀνδρὸς δὲ λυπηροῦ, ξηραίνεται ὀστᾶ. λαμβά
νοντος δῶρα ἀδίκως ἐν κόλποις οὐ κατευοδοῦνται αἱ ὁδοί. ἀσε
βὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης. πρόσωπον συνετὸν, ἀνδρὸς
σοφοῦ. οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ᾽ ἄκρα γῆς. ὀργὴ πατρὶ
υἱὸς ἄφρων· καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν. ζημιοῦν ἄνδρα δί
καιον, οὐ καλόν. οὐ δὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις.
ὃς φείδεται ῥῆμα προέσθαι σκληρὸν, ἐπιγνώμων. μακρόθυμος
δὲ ἀνὴρ φρόνιμος. κρείττων τοῦ μὴ ζητοῦντος μαθεῖν· ἀνοήτῳ
ἐπερωτήσαντι σοφίαν, σοφία λογισθήσεται. ἐνεὸν δέ τις ἑαυτὸν
ποιήσας, δόξει φρόνιμος εἶναι.

Κεφάλαιον. ιη. 18.

Ροφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι
φίλων. ἐν παντὶ δὲ καιρῷ, ἐπονείδιστος ἔσται.
οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν. μᾶλλον γὰρ

ἄγεται ἀφροσύνῃ. ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν καταφρονεῖ. ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος. ὕδωρ βαθὺ, λόγος ἐν καρδίᾳ ἀνδρός. ποταμὸς δὲ ἀναπηδῶν καὶ πηγὴ ζωῆς. θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν. οὐδὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει. χείλη ἄφρονος, ἄγουσιν αὐτὸν εἰς κακά. τὸ δὲ στόμα αὐτοῦ τὸ θρασὺ θάνατον ἐπικαλεῖται. στόμα ἄφρονος συντριβὴ αὐτῷ. τὰ δὲ χείλη αὐτοῦ, παγὶς τῇ ψυχῇ αὐτοῦ. ὀκνηροὺς καταβάλλει φόβος. ψυχαὶ δὲ ἀνδρογύνων, πεινάσουσιν. ὁ μὴ ἰώμενος ἑαυτὸν ἐν τοῖς ἔργοις αὐτοῦ, ἀδελφός ἐστι τοῦ λυμαινομένου ἑαυτόν. ἐκ μεγαλωσύνης ἰσχύος, ὄνομα κυρίου. αὐτῷ δὲ προσδραμόντες δίκαιοι ὑψοῦνται. ὕπαρξις πλουσίου ἀνδρὸς πόλις ὀχυρά. ἡ δὲ δόξα αὐτῆς, μέγα ἐπισκιάζει. πρὸ συντριβῆς ὑψοῦται καρδία ἀνδρός. καὶ πρὸ δόξης ταπεινοῦται. ὃς ἀποκρίνεται λόγον πρὶν ἀκοῦσαι, ἀφροσύνη αὐτῷ ἐστι καὶ ὄνειδος. θυμὸν ἀνδρὸς, πραΰνει θεράπων φρόνιμος. ὀλιγόψυχον δὲ ἄνδρα, τίς ὑποίσει. καρδία φρονίμου κτᾶται αἴσθησιν. ὦτα δὲ σοφῶν, ζητεῖ ἔννοιαν. δόμα ἀνθρώπου, ἐμπλατύνει αὐτόν. καὶ παρὰ δυνάσταις, καθιζάνει αὐτόν. δίκαιος ἑαυτοῦ κατήγορος, ἐν πρωτολογίᾳ. ὡς δ᾽ ἂν ἐπιβάλῃ ὁ ἀντίδικος ἐλέγχεται. ἀντιλογίας παύει κληρός. ἐν δὲ δυνάσταις ὁρίζει. ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρὰ καὶ ὑψηλή. ἰσχύει δὲ ὥσπερ τεθεμελιωμένον βασίλειον. ἀπὸ καρπῶν στόματος ἀνὴρ πίμπλησι κοιλίαν αὐτοῦ. ἀπὸ δὲ καρπῶν χειλέων αὐτοῦ ἐμπλησθήσεται. θάνατος καὶ ζωὴ ἐν χειρὶ γλώσσης. οἱ δὲ κρατοῦντες αὐτῆς, ἔδονται τοὺς καρποὺς αὐτῆς. ὃς εὗρε γυναῖκα ἀγαθὴν, εὗρε χάριτας. ἔλαβεν δὲ παρὰ κυρίου ἱλαρότητα. ὃς ἐκβάλλει γυναῖκα ἀγαθὴν ἐκβάλλει τὰ ἀγαθά. ὁ δὲ κατέχων μοιχαλίδα, ἄφρων καὶ ἀσεβής. ἀφροσύνη ἀνδρὸς λυμαίνεται τὰς ὁδοὺς αὐτοῦ. τὸν δὲ θεὸν αἰτιᾶται τῇ καρδίᾳ αὐτοῦ.

## Κεφ. ιθ. 19.

Λοῦτος προστίθησι φίλους πολλούς· ὁ δὲ πτωχὸς καὶ
ἀπὸ τοῦ ὑπάρχοντος φίλου λείπεται. μάρτυς ψευδὴς
οὐκ ἀτιμώρητος ἔσται· ὁ δὲ ἐγκαλῶν ἀδίκως οὐ δια-
φεύξεται. πολλοὶ θεραπεύουσι πρόσωπα βασιλέων· πᾶς δὲ ὁ κα-
κὸς γίνεται ὄνειδος ἀνδρί, πᾶς ὃς ἀδελφὸν πτωχὸν μισεῖ, καὶ φι-
λίας μακρὰν ἔσται. ἔννοια ἀγαθή, τοῖς εἰδόσιν αὐτὴν ἐγγιεῖ· ἀνὴρ
δὲ φρόνιμος εὑρήσει αὐτήν. ὁ πολλὰ κακοποιῶν τελεσιουργεῖ
κακίαν. ὃς δὲ ἐρεθίζει λόγους οὐ διασωθήσεται. ὁ κτώμενος
φρόνησιν ἀγαπᾷ ἑαυτόν. ὃς δὲ φυλάσσει φρόνησιν, εὑρήσει ἀγα-
θά. μάρτυς ψευδής, οὐκ ἀτιμώρητος ἔσται. ὃς δ' ἂν ἐκκαύσῃ κα-
κίαν, ἀπολεῖται ἀπ' αὐτῆς. οὐ συμφέρει ἄφρονι τρυφή. καὶ ἐὰν
οἰκέτης ἄρξηται μεθ' ὕβρεως δυναστεύειν. ἐλεήμων ἀνὴρ μακρο-
θυμεῖ. τὸ δὲ καύχημα αὐτοῦ ἐπέρχεται παρανόμοις. βασιλέως
ἀπειλὴ ὁμοία βρυγμῷ λέοντος. ὥσπερ δὲ δρόσος ἐπὶ χόρτῳ,
οὕτως τὸ ἱλαρὸν αὐτοῦ. αἰσχύνη πατρὶ υἱὸς ἄφρων. καὶ οὐχ ἁγναὶ
εὐχαὶ ἀπὸ μισθώματος ἑταίρας. οἶκον καὶ ὕπαρξιν μερίζουσι πα-
τέρες παισί· παρὰ δὲ κυρίου, ἁρμόζεται γυνὴ ἀνδρί. δειλία κα-
τέχει ἀνδρόγυνον. ψυχὴ δὲ ἀεργοῦ πεινάσει. Ος φυλάσσει ἐντο-
λήν, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν
ἀπολεῖται. δανείζει θεῷ ὁ ἐλεῶν πτωχόν. κατὰ δὲ τὸ δόμα αὐ-
τοῦ ἀνταποδώσει αὐτῷ. παίδευε υἱόν σου· οὕτως γὰρ ἔσται εὔ-
ελπις· εἰς δὲ ὕβριν, μὴ ἐπαίρου τῇ ψυχῇ σου. κακόφρων ἀνήρ,
πολλὰ ζημιωθήσεται, ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ
προσθήσει. ἄκουε υἱὲ παιδείαν πατρός σου ἵνα σοφὸς γένῃ ἐπ' ἐ-
σχάτων σου. πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός· ἡ δὲ βουλὴ τοῦ
κυρίου εἰς τὸν αἰῶνα μένει. καρπὸς ἀνδρὶ ἐλεημοσύνη. κρείσσων δὲ
πτωχὸς δίκαιος, ἢ πλούσιος ψεύστης. φόβος κυρίου εἰς ζωὴν ἀν-
δρί. ὁ δὲ ἄφοβος, αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται
γνῶσις. ὁ ἐγκρύπτων εἰς τοὺς κόλπους αὐτοῦ χεῖρας, ἀδίκως· οὐδὲ
τῷ στόματι οὐ μὴ προσαγάγῃ αὐτάς. λοιμοῦ μαστιγουμένου,

ἄφρων πανουργότερος ἔσται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν. ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ, καταισχυνθήσεται, ἐπονείδιστος ἔσται. υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρὸς, μελετήσει ῥήσεις κακάς. ὁ ἐγγυώμενος παῖδα ἄφρονα, καθυβρίζει δικαίωμα. στόμα δὲ ἀσεβῶν, καταπίεται κρίσεις. ἑτοιμάζονται ἀκολάστοις μάστιγες. καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

Κεφάλ. κ. 20.

Κόλαστον οἶνος, καὶ ὑβριστικὸν μέθη. πᾶς δὲ ὁ λυμαι-
α νόμενος οὐκ ἔσται σοφός. οὐ διαφέρει ἀπειλὴ βασιλέως
θυμοῦ λέοντος. ὁ δὲ παροξύνων αὐτὸν καὶ ἐπιμιγνύμενος, ἁμαρτάνει εἰς τὴν ἑαυτοῦ ψυχήν. δόξα ἀνδρὶ ἀποστρέφεσθαι λοιδορίας. πᾶς δὲ ἄφρων τοιούτοις συμπλέκεται. ὀνειδιζόμενος ὀκνηρὸς, οὐκ αἰσχυνθήσεται. ὡσαύτως καὶ ὁ δανειζόμενος σῖτον ἐν ἀμήτῳ. ὕδωρ βαθὺ βουλὴ ἐν καρδίᾳ ἀνδρός. ἀνὴρ δὲ φρόνιμος ἐξαντλήσει αὐτήν. μέγα ἄνθρωπος καὶ τίμιον ἀνὴρ ἐλεήμων. ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν. ὃς ἀναστρέφεται ἄμωμος ἐν δικαιοσύνῃ, μακαρίους τοὺς παῖδας αὐτοῦ καταλείψει. ὅταν βασιλεὺς δίκαιος καθίσῃ ἐπὶ θρόνου, οὐκ ἐναντιοῦται ἐν ὀφθαλμοῖς αὐτοῦ πᾶν πονηρόν. τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παῤῥησιασθήσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; κακολογοῦντος πατέρα ἢ μητέρα, σβεσθήσεται λαμπτήρ. αἱ δὲ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ ὄψονται σκότος. μερὶς ἐπισπουδαζομένη ἐν πρώτοις, ἐν τοῖς τελευταίοις οὐκ εὐλογηθήσεται. μὴ εἴπῃς τίσομαι τὸν ἐχθρόν. ἀλλ' ὑπόμεινον τὸν κύριον ἵνα σοι βοηθήσῃ. στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα δισσὰ, ἀκάθαρτα ἐνώπιον κυρίου, ἀμφότερα. καὶ ὁ ποιῶν αὐτὰ, ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ, ὑποσκελισθήσεται. νεανίσκος μετὰ ὁσίου. καὶ εὐθεῖα ἡ ὁδὸς αὐτοῦ. οὖς ἀκούει, καὶ ὀφθαλμὸς ὁρᾷ. κυρίου ἔργα καὶ ἀμφότερα. μὴ ἀγάπα καταλαλεῖν, ἵνα μὴ ἐξαρθῇς. διάνοιξον δὲ τοὺς ὀφθαλμοὺς

μου καὶ ἐμπλήσθητι ἄρτων βδέλυγμα κυρίῳ, δισσὸν σάθμιον·
καὶ ζυγὸς δόλιος, οὐ καλὸν ἐνώπιον αὐτοῦ· παρὰ κυρίου εὐθύ-
νεται τὰ διαβήματα ἀνδρί· θνητὸς δὲ πῶς ἂν νοήσαι τὰς ὁδοὺς
αὐτοῦ· παγὶς ἀνδρὶ ταχύ τι τῶν ἰδίων ἁγιάσαι· μετὰ γὰρ τὸ εὔ-
ξασθαι, μετανοεῖν γίνεται. λικμήτωρ ἀσεβῶν, βασιλεὺς σοφός.
καὶ ἐπιβαλεῖ αὐτοῖς τροχόν· φῶς κυρίου πνοὴ ἀνθρώπων· ὃς ἐρευ-
νᾷ ταμιεῖα κοιλίας. ἐλεημοσύνη, καὶ ἀλήθεια φυλακὴ βασιλεῖ.
καὶ περικυκλώσουσιν ἐν δικαιοσύνῃ τὸν θρόνον αὐτοῦ· κόσμος
νεανίαις σοφία. δόξα δὲ πρεσβυτέρων, πολιαί. ὑπώπια καὶ συν-
τρίμματα συναντᾷ κακοῖς. πληγαὶ δὲ εἰς ταμιεῖα κοιλίας.

## Κεφάλαιον. κα. 21.

Ὥσπερ ὁρμὴ ὕδατος, οὕτως καρδία βασιλέως ἐν χει-
δ ρὶ θεοῦ· οὗ ἐὰν θέλων νεύσῃ, ἐκεῖ ἔκλινεν αὐτήν· πᾶς
ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος. κατευθύνει δὲ καρδί-
ας κύριος. Ποιεῖν δίκαια καὶ ἀληθεύειν, ἀρεστὰ παρὰ θεῷ μᾶλ-
λον, ἢ θυσιῶν αἷμα. μεγαλόφρων ἐφ' ὕβρει θρασυκάρδιος. λαμ-
πτὴρ δὲ ἀσεβῶν ἁμαρτία. λογισμοὶ συντέμνοντος πλὴν εἰς πε-
ρισσείαν καὶ πᾶς μὴ ἐπισπουδάζων πλὴν εἰς ὑστέρημα. ὁ ἐνερ-
γῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ. μάταια διώκει ἐπὶ παγί-
δας θανάτου. ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται. οὐ γὰρ βού-
λονται πράσσειν τὰ δίκαια. πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς
ἐξαποστέλλει ὁ θεός. ἁγνὰ γὰρ καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ. κρεῖσ-
σον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ ἐν κεκονιαμένοις μετὰ ἀ-
δικίας καὶ ἐν οἴκῳ κοινῷ. ψυχὴ ἀσεβοῦς, οὐκ ἐλεηθήσεται
ὑπ' οὐδενὸς τῶν ἀνθρώπων. ζημιουμένου ἀκολάστου, πανουρ-
γότερος γίνεται ὁ ἄκακος. συνιῶν δὲ σοφὸς, δέξεται γνῶ-
σιν. συνιεῖ δίκαιος καρδίας ἀσεβῶν καὶ φαυλίζει ἀσεβεῖς
ἐν κακοῖς. ὃς φράσσει τὰ ὦτα αὐτοῦ τοῦ μὴ ἀκοῦσαι ἀσθε-
νοῦς, καὶ αὐτὸς ἐπικαλέσεται καὶ οὐκ ἔσται ὁ εἰσακούων. δόσις λά-
θριος ἀνατρέπει ὀργάς. δώρων δὲ ὁ φειδόμενος ἐγείρει ἰσχυρόν.

εὐφροσύνη δικαίων, ποιεῖν κρίμα. ὅσιος δὲ ἀκάθαρτος παρὰ κα-
κούργοις. ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης, ἐν συναγωγῇ
γιγάντων ἀναπαύσεται. ἀνὴρ δὲ ἐνδεὴς, ἀγαπᾷ εὐφροσύνην.
φιλῶν οἶνον καὶ ἔλαιον εἰς πλοῦτον. περικάθαρμα δὲ δικαίου, ἄνο-
μος. κρεῖττον οἰκεῖν ἐν γῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς μαχίμου καὶ
γλωσσώδους καὶ ὀργίλου. θησαυρὸς ἐπιθυμητὸς, ἀναπαύσεται
ἐπὶ στόματος σοφοῦ. ἄφρονες δὲ ἄνδρες, καταπίονται αὐτόν.
ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης, εὑρήσει ζωὴν καὶ δόξαν.
πόλεις ὀχυρὰς, ἐπέβη σοφός. καὶ καθεῖλε τὸ ὀχύρωμα. ἐφ' ᾧ ἐπε-
ποίθησαν οἱ ἀσεβεῖς. Ὃς φυλάσσει τὸ στόμα αὐτοῦ καὶ τὴν γλῶσ-
σαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ. θρασὺς καὶ αὐθά-
δης καὶ ἀλαζὼν λοιμὸς καλεῖται. ὃς δὲ μνησικακεῖ, παράνομος.
ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν. οὐ γὰρ προαιροῦνται αἱ χεῖ-
ρες αὐτοῦ, ποιεῖν τί. ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυ-
μίας κακάς. ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς. θυσίαι ἀ-
σεβῶν βδέλυγμα κυρίῳ. καὶ γὰρ παρανόμως προσφέρουσιν
αὐτάς. μάρτυς ψευδὴς ἀπολεῖται. ἀνὴρ ὑπήκοος, φυλασσόμε-
νος λαλήσει. ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ. ὁ δὲ εὐ-
θὺς, αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ. οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία.
οὐκ ἔστι βουλὴ πρὸς τὸν ἀσεβῆ. ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πο-
λέμου. παρὰ δὲ κυρίου ἡ βοήθεια.

Κεφαλ. κβ. 22.

Ιρετώτερον ὄνομα καλὸν, ἢ πλοῦτος πολύς. ὑπὲρ δὲ
α ἀργύριον, καὶ χρυσίον, χάρις ἀγαθή. πλούσιος, καὶ
πτωχὸς συνήντησαν ἀλλήλοις. ἀμφοτέρους δὲ ὁ κύ-
ριος ἐποίησε. πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον. κραταιῶς
αὐτὸς παιδεύεται. οἱ δὲ ἄφρονες παρελθόντες, ἐζημιώθησαν.
γενεὰ σοφίας φόβος κυρίου, καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.
Τρίβολοι καὶ παγίδες ἐν ὁδοῖς σκολιαῖς. ὁ δὲ φυλάσσων τὴν
ἑαυτοῦ ψυχὴν, ἀφέξεται αὐτῶν. πλούσιοι πτωχῶν ἄρξουσι.

καὶ οἰκέται ἰδίοις δεσπόταις δανειοῦσιν, ὁ σπείρων φαῦλα θερίσει κακά· πληγὴν δὲ ἔργον αὐτοῦ συντελέσει. ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ θεός. ματαιότητα δὲ ἔργον αὐτοῦ συντελέσει. ὁ ἐλεῶν πτωχόν, αὐτὸς διατραφήσεται. τῶν γὰρ ἑαυτοῦ ἄρτων δέδωκε τῷ πτωχῷ. νίκην καὶ τιμὴν περιποιεῖται ὁ δῶρα δούς. τὴν μέντοι ψυχὴν ἀφαιρεῖται τῶν κεκτημένων. ἔκβαλε ἐκ συνεδρίου λοιμόν, καὶ συνεξελεύσεται αὐτῶν νεῖκος. ὅταν γὰρ καθίσῃ ἐν συνεδρίῳ πάντας ἀτιμάζει. ἀγαπᾷ κύριος ὁσίας καρδίας. δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν. χείλεσι ποιμαίνει βασιλεύς. οἱ δὲ ὀφθαλμοὶ κυρίου διατηροῦσιν αἴσθησιν. φαυλίζει δὲ λόγους παράνομος. προφασίζεται καὶ λέγει ὀκνηρός. λέων ἐν ταῖς ὁδοῖς ἐν δὲ ταῖς πλατείαις φονευταί. βόθρος βαθύς, στόμα παρανόμου. ὁ δὲ μισηθεὶς ὑπὸ κυρίου, ἐμπεσεῖται εἰς αὐτόν. εἰσὶν ὁδοὶ κακαὶ ἐνώπιον ἀνδρός. καὶ οὐκ ἀγαπᾷ τοῦ ἀποστρέψαι ἀπ' αὐτῶν. ἀποστρέφειν δὲ δεῖ ἀπὸ ὁδοῦ σκολιᾶς καὶ κακῆς. ἄνοια ἐξῆπται καρδίαν νέου. ῥάβδος δὲ καὶ παιδεία, μακρὰν ἀπ' αὐτοῦ. ὁ συκοφαντῶν πένητα, πολλὰ ποιεῖ τὰ ἑαυτοῦ κακά. δίδωσι δὲ πλουσίῳ, ἐπ' ἐλάσσονι. λόγοις σοφῶν παράβαλλε τὸ οὖς σὸν καὶ ἄκουε ἐμῶν λόγων. τὴν δὲ σὴν καρδίαν ἐπίστησον. ἵνα γνῷς ὅτι καλοί εἰσιν. καὶ ἐὰν ἐμβάλῃς αὐτοὺς εἰς τὴν καρδίαν σου εὐφρανοῦσί σε ἅμα σοῖς χείλεσι. ἵνα σου γένηται ἐπὶ κύριον ἡ ἐλπὶς καὶ γνωρίσῃ σοι τὴν ὁδὸν αὐτοῦ. καὶ σὺ δὲ ἀπόγραψαι σε αὐτὰς τρισσῶς. εἰς βουλὴν καὶ ἔννοιαν καὶ γνῶσιν ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. διδάσκω οὖν σε ἀληθῆ λόγον, καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν. τοῦ ἀποκρίνεσθαί σε λόγους ἀληθείας τοῖς προβαλλομένοις σε. μὴ ἀποβιάζου πένητα. πτωχὸς γάρ ἐστι. καὶ μὴ ἀτιμάσῃς ἀσθενῆ ἐν πύλαις. ὁ γὰρ κύριος κρινεῖ αὐτοῦ τὴν κρίσιν καὶ ῥύσῃ σὴν ἄσυλον ψυχήν. μὴ ἴσθι ἑταῖρος ἀνδρὶ θυμώδει. φίλῳ δὲ ὀργίλῳ μὴ συναυλίζου. μήποτε μάθῃς τῶν ὁδῶν αὐτοῦ, καὶ λάβῃς βρόχους τῇ ψυχῇ. μὴ δίδου

σεαυ

σεαυτὸν εἰς ἐγγύην, αἰσχυνόμενος πρόσωπον. ἐὰν γὰρ μὴ ἔχῃς
πόθεν ἀποτίσῃς λήψονται τὸ στρῶμα τὸ ὑπὸ τὰς πλευράς σου. μὴ
μέταιρε ὅρια αἰώνια ἃ ἔθεντο οἱ πατέρες σου. ὁρατικὸν ἄνδρα
καὶ ὀξὺν ἐν τοῖς ἔργοις αὐτοῦ. βασιλεῦσι δεῖ παρεστάναι καὶ μὴ
παρεστάναι ἀνδράσι νωθροῖς.

Κεφαλ. κγ. 23.

Αν καθίσῃς δειπνεῖν ἐπὶ τραπέζης δυνάστου, νοητῶς
νόει τὰ παρατιθέμενά σοι. καὶ ἐπίβαλλε τὴν χεῖρά
σου. εἰδὼς ὅτι τοιαῦτά σε δεῖ παρασκευάσαι. εἰ δὲ
ἀπληστότερος εἶ, μὴ ἐπιθύμει τῶν ἐδεσμάτων αὐτοῦ. ταῦτα γὰρ
ἔχεται ζωῆς ψευδοῦς. μὴ παρεκτείνου πένης ὢν πλουσίῳ. τῇ δὲ σῇ
ἐννοίᾳ ἀπόσχου. ἐὰν ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὸν οὐδαμοῦ
φανεῖται. κατεσκεύασται γὰρ αὐτῷ πτέρυγες ὥσπερ ἀετοῦ. καὶ ὑπο-
στρέφει εἰς τὸν οἶκον τοῦ προεστηκότος αὐτοῦ. μὴ συνδείπνει ἀνδρὶ
βασκάνῳ. μηδὲ ἐπιθύμει τῶν βρωμάτων αὐτοῦ, ὃν τρόπον γὰρ
εἴ τις καταπίοι τρίχα, οὕτως ἐσθίει καὶ πίνει. μηδὲ πρὸς σὲ εἰσα-
γάγῃς αὐτὸν, καὶ φάγῃς τὸν ψωμόν σου μετ' αὐτοῦ. ἐξεμέσει γὰρ
αὐτόν. καὶ λυμανεῖται τοὺς λόγους σου τοὺς καλούς. εἰς ὦτα ἄφρο-
νος μηδὲν λέγε. μήποτε μυκτηρίσῃ τοὺς συνετοὺς σου λόγους
σου. μὴ μεταθῇς ὅρια αἰώνια. εἰς δὲ κτῆμα ὀρφανῶν μὴ εἰσέλ-
θῃς. ὁ γὰρ λυτρούμενος αὐτοὺς κύριος, κραταιός ἐστι καὶ κρινεῖ
τὴν κρίσιν αὐτῶν μετὰ σοῦ. δὸς εἰς παιδείαν τὴν καρδίαν σου.
τὰ δὲ ὦτά σου ἑτοίμασον λόγοις αἰσθήσεως. μὴ ἀπόσχῃ νήπιον
παιδεύειν. ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ. σὺ μὲν
γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥύ-
σῃ. Υἱὲ, ἐὰν σοφὴ γένηταί σου ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν
καρδίαν. καὶ ἐνδιατρίψει λόγων τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χεί-
λη ἐὰν ὀρθὰ ὦσι. μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλούς. ἀλλὰ
ἐν φόβῳ κυρίου ἴσθι ὅλην τὴν ἡμέραν. ἐὰν γὰρ τηρήσῃς αὐτὰ,
ἔσται σοι ἔκγονα. ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται. Ακουε υἱὲ, καὶ

σοφὸς γίνου, καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας. μὴ ἴσθι οἰνοπότης. μηδὲ ἐκτείνου συμβολαῖς. κρεῶν τε ἀγορασμοῖς. πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει. καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη, πᾶς ὑπνώδης. ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε. καὶ μὴ καταφρόνει, ὅτι γεγήρακέ σου ἡ μήτηρ. ἀλήθειαν κτῆσαι καὶ μὴ ἀπώσῃ. σοφίαν καὶ παιδείαν καὶ σύνεσιν. καλῶς ἐκτρέφει πατὴρ δίκαιος. ἐπὶ δὲ υἱῷ σοφῷ, εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ. εὐφραινέσθω ὁ πατὴρ καὶ ἡ μήτηρ ἐπὶ σοί, καὶ χαιρέτω ἡ τεκοῦσά σε. δός μοι υἱὲ σὴν καρδίαν. οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν. πίθος γὰρ τετριμμένος ἐστὶν ἀλλότριος οἶκος. καὶ φρέαρ στενὸν ἀλλότριον. οὗτος γὰρ συντόμως ἀπολεῖται. καὶ πᾶς παράνομος, ἀναλωθήσεται. τίνι οὐαί. τίνι θόρυβος τίνι κρίσεις τίνι ἀηδίαι, καὶ λέσχαι. τίνι συντρίμματα διακενῆς. τίνος πελιδνοὶ οἱ ὀφθαλμοί. αὐτῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; μὴ μεθύσκεσθε οἴνῳ ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις. καὶ ὁμιλεῖτε ἐν περιπάτοις ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου. ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου. τὸ δ' ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται. καὶ ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτοῦ ὁ ἰός. οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά. καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι. ἐρεῖς δὲ ἔτυπτόν με καὶ οὐκ ἐπόνεσα. καὶ ἐνέπαιξάν μοι. ἐγὼ δὲ οὐκ ᾔδειν. πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι.

Κεφ. κδ. 24.

Ε μὴ ζηλώσῃς κακοὺς ἄνδρας. μηδὲ ἐπιθυμήσῃς
ἡ εἶναι μετ' αὐτῶν ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν. καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ. μετὰ σοφίας οἰκοδομεῖται οἶκος μετὰ συνέσεως ἀνορθοῦται. μετὰ αἰσθήσεως ἐμπίμπλαται τὰ ταμιεῖα, ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ

κρείσσων σοφὸς ἰσχυροῦ. καὶ ἀνὴρ φρόνησιν ἔχων, γεωργίου μεγά-
λου. μετὰ κυβερνήσεως γίνεται πόλεμος. βοήθεια δὲ μετὰ καρ-
δίας βουλευτικῆς. σοφία καὶ ἔννοια ἀγαθὴ ἐν πύλαις σοφῶν. σοφοὶ
οὐκ ἐκκλίνουσιν ἐκ νόμου κυρίου. ἀλλὰ λογίζονται ἐν συνεδρίοις. ἀ-
παιδεύτοις συναντᾷ θάνατος, ἀποθνήσκει δὲ ἄφρων ἐν ἁμαρτί-
αις. ἀκαθαρσία ἀνδρὶ λοιμῷ ἐμμολυνθήσεται. ἐν ἡμέρᾳ κακῇ
καὶ ἐν ἡμέρᾳ θλίψεως ἕως ἂν ἐκλίπῃ. ῥῦσαι ἀγομένους εἰς θά-
νατον. καὶ ἐκ πρίων τεινομένους μὴ φείσῃ. ἐὰν δὲ εἴπῃς οὐκ οἶδα
τοῦτον, γίνωσκε, ὅτι κύριος καρδίας πάντων γινώσκει. καὶ ὁ πλά-
σας πνοὴν πᾶσιν, αὐτὸς οἶδε τὰ πάντα. ὃς ἀποδώσει ἑκάστῳ κα-
τὰ τὰ ἔργα αὐτοῦ. φάγε μέλι υἱέ, ἀγαθὸν γὰρ κηρίον, ἵνα γλυκαν-
θῇ σου ὁ φάρυγξ. οὕτως γὰρ αἰσθήσῃ σοφίαν τῇ σῇ ψυχῇ. ἐὰν
γὰρ εὕρῃς, ἔσται καλὴ ἡ τελευτή σου, καὶ ἐλπίς σε οὐ καταλείψει.
μὴ προσαγάγῃς ἀσεβῆ νομῇ δικαίων. μηδὲ ἀπατηθῇς χορτα-
σίᾳ κοιλίας. ἑπτάκις γὰρ πεσεῖται ὁ δίκαιος, καὶ ἀναστήσεται
οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς. ἐὰν πέσῃ ὁ ἐχθρός σου μὴ
ἐπιχαρῇς αὐτῷ. ἐν δὲ τῷ ὑποσκελίσματι αὐτοῦ, μὴ ἐπαίρου.
ὅτι ὄψεται κύριος, καὶ οὐκ ἀρέσει αὐτῷ καὶ ἀποστρέψει τὸν θυ-
μὸν αὐτοῦ ἀπ' αὐτοῦ. μὴ χαῖρε ἐπὶ κακοποιοῖς. μηδὲ ζήλου ἁμαρ-
τωλούς. οὐ γὰρ μὴ γένηται ἔκγονα πονηροῖς. λαμπτὴρ δὲ ἀσε-
βῶν σβεσθήσεται. φοβοῦ τὸν θεὸν υἱὲ καὶ βασιλέα καὶ μηθετέ-
ρῳ αὐτῶν ἀπειθήσῃς. ἐξαίφνης γὰρ τίσονται τοὺς ἀσεβεῖς. τὰς δὲ
τιμωρίας ἀμφοτέρων τίς οἶδεν. λόγον φυλασσόμενος υἱός, ἀπω-
λείας ἐκτὸς ἔσται. δεχόμενος δὲ ἐδέξατο αὐτόν. μηδὲν ψεῦδος
βασιλεῖ λεγέσθω. καὶ οὐδὲν ψεῦδος ἀπὸ γλώσσης αὐτοῦ οὐ μὴ
ἐξέλθῃ. μάχαιρα, γλῶσσα βασιλέως. καὶ οὐ σαρκίνη. ὃς δ' ἂν
παραδοθῇ, συντριβήσεται. ἐὰν γὰρ ὀξυνθῇ ὁ θυμὸς αὐτοῦ σὺν νεύ-
ροις ἀνθρώπους ἀναλίσκει. καὶ ὀστᾶ ἀνθρώπων κατατρώγει. καὶ
συγκαίει ὥσπερ φλόξ. ὡς ἄβρωτα εἶναι νεοσσοῖς ἀετοῦ. τοὺς ἐμοὺς
λόγους υἱὲ φοβήθητι. καὶ δεξάμενος αὐτοὺς μετανόει.

Κεφάλαιον λ. 30.

τ

Α δὲ λέγει ὁ ἀνὴρ τοῖς πιστεύουσι θεῷ, καὶ παύομαι. ἀφρονέστατος γάρ εἰμι ἁπάντων ἀνθρώπων. καὶ φρόνησις ἀνθρώπου, οὐκ ἔστιν ἐν ἐμοί. θεὸς δὲ ἐδίδαξέ με σοφίαν. καὶ γνῶσιν ἁγίων ἔγνωκα. τίς ἀνέβη εἰς τὸν οὐρανὸν καὶ κατέβη. τίς συνήγαγεν ἀνέμους ἐν κόλπῳ. τίς συνέστρεψε τὸ πᾶν ὕδωρ ἐν ἱματίῳ. τίς ἐκράτησε πάντων τῶν ἄκρων τῆς γῆς. τί ὄνομα αὐτῷ ἢ τί ὄνομα τοῖς τέκνοις αὐτοῦ ἵνα γνῶσι πάντες γὰρ λόγοι θεοῦ πεπυρωμένοι. ὑπερασπίζει δὲ αὐτὸς, τῶν εὐλαβουμένων αὐτόν. μὴ προσθῇς τοῖς λόγοις αὐτοῦ, ἵνα μὴ ἐλέγξῃ σε καὶ ψευδὴς γένῃ. δύο αἰτοῦμαι παρὰ σου, μὴ ἀφέλῃς μου χάριν πρὸ τοῦ ἀποθανεῖν με. μάταιον λόγον καὶ ψευδῆ μακράν μου ποίησον. πλοῦτον δὲ καὶ πενίαν, μή μοι δῷς. σύνταξον δέ μοι τὰ δέοντα καὶ τὰ αὐτάρκη. ἵνα μὴ πλησθεὶς ψευδὴς γένωμαι, καὶ εἴπω τίς με ὁρᾷ ἢ πένης γενηθεὶς κλέψω, καὶ ὀμόσω τὸ ὄνομα τοῦ θεοῦ. μὴ παραδῷς δοῦλον εἰς χεῖρας δεσπότου. μήποτε καταράσηταί σε καὶ ἀφανισθῇς. ἔκγονον κακὸν, πατέρα καταρᾶται. τὴν δὲ μητέρα οὐκ εὐλογεῖ. ἔκγονον κακὸν, δίκαιον ἑαυτὸν κρίνει. τὴν δὲ ἔξοδον αὐτοῦ, οὐκ ἀπένιψεν, ἔκγονον κακὸν, ὑψηλοὺς ὀφθαλμοὺς ἔχει. τοῖς δὲ βλεφάροις αὐτοῦ ἐπαίρεται. ἔκγονον κακὸν, μαχαίρας τοὺς ὀδόντας ἔχει. καὶ τὰς μύλας τομίδας, ὥστε ἀναλίσκειν καὶ κατεσθίειν τοὺς ἀσθενεῖς ἀπὸ τῆς γῆς καὶ τοὺς πένητας αὐτῶν ἐξ ἀνθρώπων. ταῦτα δὲ λέγω ὑμῖν τοῖς σοφοῖς ἐπιγινώσκειν. αἰδεῖσθαι πρόσωπον ἐν κρίσει οὐ καλόν. ὁ εἰπὼν τὸν ἀσεβῆ δίκαιός ἐστιν, ἐπικατάρατος λαοῖς ἔσται. καὶ μισητὸς εἰς ἔθνη. οἱ δὲ ἐλέγχοντες βελτίους φανοῦνται. ἐπ' αὐτοὺς δὲ ἥξει, εὐλογία ἀγαθή. χείλη δὲ φιλήσουσιν ἀποκρινόμενα λόγους ἀγαθούς. ἑτοίμαζε εἰς τὴν ἔξοδον τὰ ἔργα σου καὶ παρασκευάζου εἰς τὸν ἀγρόν. καὶ πορεύου κατόπισθέν μου καὶ ἀνοικοδομήσεις τὸν οἶκόν μου. μὴ ἴσθι ψευδὴς μάρτυς ἐπὶ σὸν πολίτην. μηδὲ πλατύνου σοῖς

χείλεσι· μὴ εἴπῃς ὃν τρόπον ἐχρήσατό μοι· χρήσομαι αὐτῷ· τί-
σομαι δὲ αὐτὸν, ἅ με ἠδίκησεν. ὥσπερ γεώργιον ἀνὴρ ἄφρων καὶ
ὥσπερ ἀμπελὼν, ἄνθρωπος ἐνδεὴς φρενῶν. ἐὰν ἀφῇς αὐτὸν χερσωθή-
σεται καὶ χορτομανήσει ὅλος καὶ γίνεται ἐκλελειμμένος. οἱ δὲ
φραγμοὶ τῶν λίθων αὐτοῦ κατασκάπτονται. ὕστερον ἐγὼ με-
τενόησα, ἐπέβλεψα τοῦ ἐκλέξασθαι παιδείαν. ὀλίγον νυστάζω ὀ-
λίγον δὲ καθῆμαι ὀλίγον δὲ ἐναγκαλίζομαι χερσὶ στήθη. ἐὰν δὲ
τοῦτο ποιῇς ἥξει προπορευομένη ἡ πενία σου. καὶ ἡ ἔνδεια ὥσπερ
ἀγαθὸς δρομεύς. τῇ βδέλλῃ τρεῖς θυγατέρες ἦσαν ἀγαπήσει ἀ-
γαπώμεναι. καὶ αἱ τρεῖς αὗται οὐκ ἐνεπίμπλασαν αὐτήν. καὶ ἡ τε-
τάρτη οὐκ ἠρκέσθη εἰπεῖν ἱκανόν. ᾅδης. καὶ ἔρως γυναικός. καὶ γῆ
οὐκ ἐμπιπλαμένη ὕδατος. καὶ ὕδωρ καὶ πῦρ, οὐ μὴ εἴπωσιν
ἀρκεῖ. ὀφθαλμὸν καταγελῶντα πατρός. καὶ ἀτιμάζοντα γῆρας
μητρὸς, ἐκκόψεσαν αὐτὸν κόρακες ἐκ τῶν φαράγγων. καὶ κατα-
φάγοισαν αὐτὸν νεοσσοὶ ἀετῶν. τρία δέ ἐστιν ἀδύνατά μοι νοῆ-
σαι, καὶ τὸ τέταρτον οὐκ ἐπιγινώσκω. ἴχνη ἀετοῦ πετομένου καὶ
ὁδοὺς ὄφεως ἐπὶ πέτρας. καὶ τρίβους νηὸς ποντοπορούσης. καὶ
ὁδοὺς ἀνδρὸς ἐν νεότητι. τοιαύτη ὁδὸς γυναικὸς μοιχαλίδος.
ἣ ὅταν πράξῃ ἀπονιψαμένη, οὐδὲν φησὶ πεπραχέναι ἄτοπον.
διὰ τριῶν σείεται ἡ γῆ. τὸ δὲ τέταρτον, οὐ δύναται φέρειν. ἐὰν
οἰκέτης βασιλεύσῃ. καὶ ἄφρων πλησθῇ σιτίων. καὶ οἰκέτης ἐὰν
ἐκβάλῃ τὴν ἑαυτῆς κυρίαν. καὶ μισητὴ γυνὴ, ἐὰν τύχῃ ἀνδρὸς
ἀγαθοῦ. τέσσαρα δέ ἐστι ἐλάχιστα ἐπὶ τῆς γῆς. ταῦτα δέ ἐστι σο-
φώτερα τῶν σοφῶν. οἱ μύρμηκες οἷς μὴ ἔστιν ἰσχὺς καὶ ἑτοιμά-
ζονται θέρους τὴν τροφήν. καὶ οἱ χοιρογρύλλιοι. ἔθνος οὐκ ἰσχυρὸν
οἱ ἐποιήσαντο ἐν πέτραις τοὺς ἑαυτῶν οἴκους. ἀβασίλευτόν ἐστιν
ἡ ἀκρὶς, καὶ ἐκστρατεύει ἀφ᾽ ἑνὸς κελεύσματος εὐτάκτως. καὶ
καλαβώτης χερσὶν ἐρειδόμενος καὶ εὐάλωτος ὢν κατοικεῖ ἐν
ὀχυρώμασι βασιλέων. τρία δέ ἐστιν, ἃ εὐόδως πορεύεται. καὶ
τὸ τέταρτον ὃ καλῶς διαβαίνει. σκύμνος λέοντος, ἰσχυρότερος

κτηνῶν. ὃς οὐκ ἀποστρέφεται, οὐδὲ καταπτήσσει κτῆνος. καὶ ἀλέ-
κτωρ ἐμπεριπατῶν ἐν θηλείαις εὐψύχως, καὶ τράγος ἡγούμενος
αἰπολίου, καὶ βασιλεὺς δημηγορῶν ἐν ἔθνει. ἐὰν πρόῃ, σεαυτὸν
εἰς εὐφροσύνην. καὶ ἐκτείνῃς τὴν χεῖρα σου μετὰ μάχης ἀτιμα-
σθήσῃ. ἄμελγε γάλα. καὶ ἔσται βούτυρον. ἐὰν δὲ ἐκπιέζῃς μυκτῆ-
ρας, ἐξελεύσεται αἷμα. ἐὰν δὲ ἐξέλκῃς λόγους, ἐξελεύσονται κρί-
σεις καὶ μάχαι.

Κεφ. λα. 31.

Ι ἐμοὶ λόγοι εἴρηνται ὑπὸ θεοῦ βασιλέως χρηματι-
δ σμὸς, ὃν ἐπαίδευσεν ἡ μήτηρ αὐτοῦ. τί τέκνον τη-
ρήσεις, ῥήσεις θεοῦ. πρωτογενὲς σοὶ λέγω υἱέ. τί. τέ-
κνον ἐμῆς κοιλίας. τί τέκνον ἐμῶν εὐχῶν. μὴ δῷς γυναιξὶ, σὸν
πλοῦτον. καὶ τὸν σὸν νοῦν, καὶ βίον, καὶ εἰς ὑστεροβουλίαν. μετὰ βου-
λῆς πάντα ποίει. μετὰ βουλῆς οἰνοπότει. οἱ δυνάσται θυμώδεις εἰ-
σὶν οἶνον μὴ πινέτωσαν ἵνα μὴ πιόντες ἐπιλάθωνται τῆς σοφί-
ας. καὶ ὀρθὰ κρίνειν, οὐ μὴ δύνωνται τοὺς ἀσθενεῖς. δότε μέθην
τοῖς ἐν λύπαις καὶ οἶνον πίνειν τοῖς ἐν ὀδύναις, ἵνα ἐπιλάθωνται
τῆς πενίας καὶ τῶν πόνων μὴ μνησθῶσιν ἔτι. Υἱέ. ἄνοιγε σὸν
στόμα λόγῳ θεοῦ καὶ κρίνε πάντα ὑγιῶς. ἄνοιγε σὸν στόμα καὶ
κρίνε δικαίως. διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Γυναῖκα ἀνδρεί-
αν τίς εὑρήσει τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη.
θαρσεῖ ἐπ' αὐτὴν ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς. ἡ τοιαύτη καλῶν
σκύλων οὐκ ἀπορήσει. ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα
τὸν βίον. μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερ-
σὶν αὐτῆς. ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν συνάγει
δὲ αὕτη τὸν βίον. καὶ ἀνίσταται ἐκ νυκτῶν. καὶ ἔδωκε βρώματα
τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις θεωρήσασα γεώργιον,
ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. ἀνα-
ζωσαμένη ἰσχυρῶς τὴν ὀσφὴν αὐτῆς ἤρεισε τοὺς βραχίονας αὐ-
τῆς εἰς ἔργον. ἐγεύσατο, ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι. καὶ οὐκ ἀπο-

σβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα· τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι. καρπὸν δὲ ἐξέτεινε πτωχῷ. οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς· ὅταν που χρονίζῃ. πάντες γὰρ οἱ παρ' αὐτῇ ἐνδιδύσκονται. δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς· ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων τῶν κατοικούντων τῆς γῆς. σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς φοίνιξι, καὶ περιζώματα τοῖς χαναναίοις. στόμα αὐτῆς διήνοιξε, προσεχόντως καὶ ἐννόμως. καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς. ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο. καὶ ηὐφράνθη ἐν ἡμέραις ἐσχάταις. στεγναὶ διατριβαὶ οἴκων αὐτῆς. σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε. στόμα δὲ ἀνοίγει σοφῶς καὶ νομοθέσμως. ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς καὶ ἐπλούτησαν. καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν. πολλαὶ θυγατέρες ἐποίησαν δύναμιν. πολλαὶ ἐποίησαν δυνατά. σὺ δὲ ὑπέρκεισαι. ὑπερῆρας πάσας. ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικὸς οὐκ ἔστιν ἐν σοί. γυνὴ γὰρ συνετὴ εὐλογεῖται. φόβον δὲ κυρίου αὕτη αἰνείτω. δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

# ΚΡΙΤΟΙ ΑΣ ΕΓΡΑΨΑΝΤΟ ΟΙ ΦΙΛΟΙ ΕΞΕΚΙΟΥ ΒΑΣΙΛΕΩΣ ΤΗΣ ΙΟΥΔΑΙΑΣ.

Κεφάλαιον. κε. 25.

Δόξα θεοῦ κρύπτει λόγον· δόξα δὲ βασιλέως, τιμᾷ πρόσταγμα αὐτοῦ. οὐρανὸς ὑψηλὸς, γῆ δὲ βαθεῖα. καρδία δὲ βασιλέως, ἀνεξέλεγκτος. τύπτε ἀδόκιμον ἀργύριον· καὶ καθαρισθήσεται καθαρὸν ἅπαν. κτεῖνε ἀσεβεῖς, ἐκ προσώπου βασιλέως· καὶ κατορθώσει ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ. μὴ ἀλαζονεύου ἐνώπιον βασιλέως, μηδὲ ἐν τόποις δυναστῶν ὑφίστασο· κρεῖττον γάρ σοι τὸ ῥηθῆναι ἀνάβηθι, ἢ ταπεινῶσαί σε ἐν προσώπῳ δυνάστου. ἃ εἶδον οἱ ὀφθαλμοί σου λέγε. μὴ πρόσπιπτε εἰς μάχην ταχέως, ἵνα μὴ μεταμεληθῇς ἐπ' ἐσχάτων. ἡνίκα ἄν σε ὀνειδίσῃ ὁ φίλος, ἀναχώρει εἰς τὰ ὀπίσω. μὴ καταφρόνει, μή σε ὀνειδίσῃ μὲν ὁ φίλος. ἡ δὲ μάχη σου καὶ ἡ ἔχθρα σου οὐκ ἀπέσται, ἀλλ' ἔσται σοι ἴση θανάτῳ. χάρις καὶ φιλία ἐλευθεροῖ· ἃς τήρησον σεαυτῷ. ἵνα μὴ ἐπονείδιστος γένῃ· ἀλλὰ φύλαξον τὰς ὁδούς σου εὐσυναλλάκτως. μῆλον χρυσοῦν ἐν ὁρμίσκῳ σαρδίου· οὕτως εἰπεῖν λόγον ἐπὶ ἁρμόζουσιν αὐτῷ. εἰς ἐνώπιον χρυσοῦν, σάρδιον πολυτελὲς δέδεται. λόγος σοφὸς εἰς εὐήκοον οὖς. ὥσπερ ἔξοδος χιόνος ἐν ἀμήτῳ κατὰ καῦμα ὠφελεῖ, οὕτως ἄγγελος πιστὸς, τοὺς ἀποστείλαντας αὐτόν. ψυχὰς γὰρ τῶν αὐτῷ χρωμένων ὠφελεῖ. ὥσπερ ἄνεμοι καὶ νέφη καὶ ὑετοὶ ἐπιφανέστα

τοι, οὕτως οἱ καυχώμενοι ἐπὶ δόσει ψευδεῖ. ἐν μακροθυμίᾳ εὐ-
οδία βασιλέως. γλῶσσα δὲ μαλακὴ, συντρίβει ὀστᾶ. μέλι εὑρὼν,
φάγε τὸ ἱκανὸν, μήποτε πλησθεὶς, ἐξεμέσῃς. σπάνιον εἴσαγε σὸν
πόδα πρὸς τὸν σεαυτοῦ φίλον. μήποτε πλησθείς σου, μισήσῃ σε.
ῥόπαλον καὶ μάχαιρα καὶ τόξευμα ἀκηλίδωτον, οὕτως καὶ ἀ-
νὴρ ὁ καταμαρτυρῶν τοῦ φίλου αὐτοῦ, μαρτυρίαν ψευδῆ. ὁδὸς
κακοῦ καὶ πούς παρανόμου, ὀλεῖται ἐν ἡμέρᾳ κακῇ. ὥσπερ ὄξος
ἕλκει ἀσύμφορον, καὶ καπνὸς ὄμμασιν, οὕτως προσπεσὸν πά-
θος ἐν σώματι, καρδίαν λυπεῖ. ὥσπερ σὴς ἐν ἱματίῳ. καὶ σκώ-
ληξ ξύλῳ, οὕτως λύπη ἀνδρὸς βλάπτει καρδίαν. ἐὰν πεινᾷ ὁ ἐ-
χθρός σου, τρέφε αὐτόν. ἐὰν διψᾷ, πότιζε αὐτόν. τοῦτο γὰρ ποι-
ῶν ἄνθρακας πυρὸς σωρεύσεις, ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ κύ-
ριος, ἀνταποδώσει σοι ἀγαθά. ἄνεμος βορέας, ἐξεγείρει νέφη.
πρόσωπον δὲ ἀναιδὲς, γλῶσσαν ἐρεθίζει. κρεῖσσον οἰκεῖν ἐπὶ γω-
νίας δώματος ἢ μετὰ γυναικὸς λοιδόρου ἐν οἰκίᾳ κοινῇ. ὥσπερ
ὕδωρ ψυχρὸν, ψυχῇ διψώσῃ προσηνὲς, οὕτως ἀγγελία ἀγα-
θὴ ἐκ γῆς μακρόθεν. ὥσπερ εἴ τις πηγὴν φράσσοι καὶ ὕδατος ἔξο-
δον λυμαίνοιτο, οὕτως ἄκοσμον, δίκαιον πεπτωκέναι ἐνώπιον
ἀσεβοῦς. ἐσθίειν μέλι πολὺ, οὐ καλόν. τιμᾶν δὲ χρὴ λόγους ἐνδό-
ξους. ὥσπερ πόλις τὰ τείχη καταβεβλημένη καὶ ἀτείχιστος, οὕ-
τως ἀνὴρ ὃς οὐ μετὰ βουλῆς τι πράσσει.

Κεφάλαιον. κϛ. 26.

ω Σπερ δρόσος ἐν ἀμήτῳ, καὶ ὥσπερ ὑετὸς ἐν θέρει,
οὕτως οὐκ ἔστιν ἄφρονι τιμή. ὥσπερ ὄρνεα πέταται καὶ
στρουθοὶ, οὕτως ἀρὰ ματαία οὐκ ἐπελεύσεται οὐδενί.
ὥσπερ μάστιξ ἵππῳ. καὶ κέντρος ὄνῳ, οὕτως ῥάβδος ἔθνει παρα-
νόμῳ. μὴ ἀποκρίνου ἄφρονι, κατὰ τὴν ἐκείνου ἀφροσύνην, ἵνα μὴ
ὅμοιος γένῃ αὐτῷ. ἀλλὰ ἀποκρίνου ἄφρονι, πρὸς τὴν ἀφροσύνην
αὐτοῦ, ἵνα μὴ φαίνηται σοφὸς παρ' ἑαυτῷ. ἐκ τῶν ὁδῶν ἑαυτοῦ
ὄνειδος ποιεῖται. ὁ ἀποστείλας δι' ἀγγέλου ἄφρονος λόγον. ἀφε-

λοῦ πορείαν σκελῶν, καὶ παρανομίαν ἐκ στόματος ἀφρόνων. ὃς ἀποδεσμεύει λίθον ἐν σφενδόνῃ, ὅμοιός ἐστι τῷ διδόντι ἄφρονι δόξαν. ἄκανθαι φύονται ἐν χειρὶ τοῦ μεθύσου. δουλεία δὲ ἐν χειρὶ τῶν ἀφρόνων. πολλὰ χειμάζεται πᾶσα σὰρξ ἀφρόνων. συντρίβεται γὰρ ἡ ἔκστασις αὐτῶν, ὥσπερ κύων, ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς γένηται. οὕτως ἄφρων τῇ ἑαυτοῦ κακίᾳ ἀναστρέψας ἐπὶ τὴν ἑαυτοῦ ἁμαρτίαν. ἔστιν αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. καί ἐστιν αἰσχύνη δόξα καὶ χάρις. εἶδον ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι. ἐλπίδα μέντοι ἔσχε μᾶλλον ἄφρων αὐτοῦ. λέγει ὀκνηρὸς ἀποστελλόμενος εἰς ὁδόν. λέων ἐν ταῖς ὁδοῖς. ἐν δὲ ταῖς πλατείαις φονευταί. ὥσπερ θύρα στρέφεται ἐπὶ τοῦ στρόφιγγος, οὕτως ὀκνηρὸς ἐπὶ τῆς κλίνης αὐτοῦ. κρύψας ὀκνηρὸς τὴν χεῖρα ἐν τῷ κόλπῳ αὐτοῦ, οὐ δύναται ἐπενεγκεῖν εἰς τὸ στόμα. σοφώτερος ἑαυτῷ ὀκνηρὸς φαίνεται, τοῦ ἐν πλησμονῇ ἀποκομίζοντος ἀγγελίαν. ὥσπερ ὁ κρατῶν κέρκου κυνὸς, οὕτως ὁ προεστὼς ἀλλοτρίας κρίσεως. ὥσπερ οἱ πειρώμενοι προβάλλουσι λόγους εἰς ἀνθρώπους. ὁ δὲ ἀπαντήσας τῷ λόγῳ, πρῶτος ὑποσκελισθήσεται. οὕτως πάντες οἱ ἐνεδρεύοντες τοὺς ἑαυτῶν φίλους ὅταν δὲ ὁραθῶσι, λέγουσιν ὅτι παίζων ἔπραξα. ἐν πολλοῖς ξύλοις θάλλει πῦρ. ὅπου δὲ οὐκ ἔστιν ὀξύθυμος ἡσυχάζει μάχη. ἐσχάρα ἄνθραξι, καὶ ξύλα πυρί. ἀνὴρ δὲ λοίδορος εἰς ταραχὴν μάχης. λόγοι κερκόπων μαλακοί. οὗτοι δὲ τύπτουσιν εἰς ταμιεῖα σπλάγχνων. ἀργύριον διδόμενον μετὰ δόλου ὥσπερ ὄστρακον ἡγητέον. χείλη δόλια καρδίαν καλύπτει πονηράν. χείλεσι πάντα ἀπονεύει, ἀποκλαιόμενος ἐχθρὸς ἐν δὲ τῇ καρδίᾳ τεκταίνεται δόλους. ἐάν σου δέηται ὁ ἐχθρὸς μεγάλῃ τῇ φωνῇ, μὴ πεισθῇς. ἑπτὰ γάρ εἰσι πονηρίαι ἐν τῇ ψυχῇ αὐτοῦ. ὁ κρύπτων ἔχθραν συνίστησι δόλον. ἐκκαλύπτει δὲ τὰς ἑαυτοῦ ἁμαρτίας, εὔγνωστος ἐν συνεδρίῳ. ὁ ὀρύσσων βόθρον τῷ πλησίον, ἐμπεσεῖται εἰς αὐτόν. ὁ δὲ κυλίων λίθον, ἐφ' ἑαυτὸν κυλίει. γλῶσσα ψευδὴς, μισεῖ ἀλήθειαν. στόμα δὲ ἄστεγον, ποιεῖ ἀκαταστασίας.

Κεφάλαιον κζ. 27.

μ Η καυχῶ τὰ εἰς αὔριον· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. ἐγκωμιαζέτω σε, ὁ πέλας, καὶ μὴ τὸ σὸν στόμα· ἀλλότριος καὶ μὴ τὰ σὰ χείλη. βαρὺ λίθος, καὶ δυσβάστακτος ἄμμος· ὀργὴ δὲ ἄφρονος βαρυτέρα ἀμφοτέρων. ἀνελεήμων θυμὸς, καὶ ὀξεῖα ὀργή· ἀλλ' οὐδὲν ὑφίσταται ζῆλος. κρείσσους ἔλεγχοι ἀποκαλυπτόμενοι κρυπτομένης φιλίας. ἀξιοπιστότερά ἐστι τραύματα φίλου, ἢ ἑκούσια φιλήματα ἐχθροῦ. ψυχὴ ἐν πλησμονῇ οὖσα, κυρίοις ἐμπαίζει. ψυχὴ δὲ ἐν ἐνδείᾳ καὶ τὰ πικρὰ γλυκέα φαίνεται. ὥσπερ ὅταν ὄρνεον καταπετασθῇ ἐκ τῆς ἰδίας νοσσιᾶς αὐτοῦ· οὕτως ἄνθρωπος δουλοῦται ὅταν ἀποξενωθῇ ἐκ τῶν ἰδίων τόπων. μύροις καὶ οἴνοις καὶ θυμιάμασι τέρπεται καρδία· καταῤῥήγνυται δὲ ὑπὸ συμπτωμάτων ψυχή. φίλον σὸν ἢ φίλον πατρῷον, μὴ ἐγκαταλίπῃς· εἰς δὲ τὸν οἶκον τοῦ ἀδελφοῦ σου μὴ εἰσέλθῃς ἀτυχῶν, κρείσσων φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν. σοφὸς γίνου υἱὲ, ἵνα εὐφραίνηταί σου ἡ καρδία. καὶ ἀπόστρεψον ἀπὸ σοῦ ἐπονειδίστους λόγους. πανοῦργος κακῶν ἐπερχομένων, κατεκρύβη· ἄφρονες δὲ ἐπελθόντες, ζημίαν τίσουσιν. ἀφελοῦ τὸ ἱμάτιον αὐτοῦ, παρῆλθε γὰρ ὑβριστὴς ὅστις τὰ ἀλλότρια λυμαίνεται. ὃς ἂν εὐλογῇ φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρειν δόξει. σταγόνες ἐκβάλλουσιν ἄνθρωπον ἐν ἡμέρᾳ χειμερινῇ ἐκ τοῦ οἴκου αὐτοῦ. ὡσαύτως καὶ γυνὴ λοίδορος ἀπὸ τοῦ ἰδίου οἴκου. βορέας σκληρὸς ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. σίδηρος σίδηρον ὀξύνει. ἀνὴρ δὲ παροξύνει πρόσωπον ἑταίρου. ὃς φυτεύει συκῆν, φάγεται τοὺς καρποὺς αὐτῆς. ὃς δὲ φυλάσσει τὸν ἑαυτοῦ κύριον τιμηθήσεται. ὥσπερ οὐχ ὅμοια πρόσωπα προσώποις οὕτως οὐδὲ αἱ καρδίαι τῶν ἀνθρώπων ὅμοιαι. ᾅδης καὶ ἀπώλεια οὐκ ἐμπίμπλανται. ὡσαύτως καὶ οἱ ὀφθαλμοὶ τῶν ἀνθρώπων ἄπληστοι. βδέλυγμα κυρίῳ στηρίζων ὀφθαλμόν. καὶ οἱ ἀπαίδευτοι ἀκρατεῖς γλώσσῃ. δοκίμιον ἀργυρίῳ καὶ χρυσῷ

καὶ πύρωσις· ἀνὴρ δὲ δοκιμάζεται διὰ στόματος ἐγκωμιαζόντων
αὐτόν· καρδίαν ἀνόμου, ἐκζητεῖ κακά· καρδία δὲ εὐθὴς ἐκζητεῖ
γνῶσιν· ἐὰν μαστιγοῖς ἄφρονα ἐν μέσῳ συνεδρίου ἀτιμάζων, οὐ
μὴν περιέλῃς τὴν ἀφροσύνην αὐτοῦ. γνωστῶς ἐπιγνώσῃ ψυχὰς
ποιμνίου σου, καὶ ἐπιστήσεις καρδίαν σου ταῖς ἀγέλαις, ὅτι οὐκ
εἰς τὸν αἰῶνα ἀνδρὶ κράτος καὶ ἰσχύς, οὐδὲ παραδίδωσιν ἐκ γε-
νεᾶς εἰς γενεάν. ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς
πόαν καὶ συνάγαγε χόρτον ὀρεινόν, ἵνα ἔχῃς πρόβατα εἰς ἱμα-
τισμόν· τίμα πεδίον, ἵνα ὦσί σοι ἄρνες. υἱὲ παρ' ἐμοῦ ἔχεις ῥή-
σεις σεμνὰς εἰς τὴν ζωήν σου καὶ εἰς τὴν ζωὴν σῶν θεραπόντων.

Κεφ. κη. 28.

Φεύγει ἀσεβὴς μηδενὸς διώκοντος· δίκαιος δὲ ὥσπερ
φ λέων πέποιθε. δι' ἁμαρτίας ἀσεβῶν, κρίσεις ἐγεί-
ρονται· ἀνὴρ δὲ πανοῦργος κατασβέσει αὐτάς. ἀνδρεῖ-
ος ἐν ἀσεβείαις συκοφαντεῖ πτωχούς. ὥσπερ ὑετὸς λάβρος καὶ ἀνω-
φελής, οὕτως οἱ ἐγκαταλιπόντες τὸν νόμον, ἐγκωμιάζουσιν ἀσέ-
βειαν· οἱ δὲ ἀγαπῶντες τὸν νόμον, περιβάλλουσιν ἑαυτοῖς τεῖχος.
ἄνδρες κακοὶ οὐ νοήσουσι κρίμα· οἱ δὲ ζητοῦντες τὸν κύριον συνή-
σουσιν ἐν παντί. κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλου-
σίου ψευδοῦς. φυλάσσει νόμον, υἱὸς συνετός, ὃς δὲ ποιμαίνει ἀ-
σωτίαν, ἀτιμάζει πατέρα αὐτοῦ. ὁ πληθύνων τὸν πλοῦτον αὐτοῦ με-
τὰ τόκων καὶ πλεονασμῶν, τῷ ἐλεοῦντι πτωχοὺς συνάγει αὐ-
τόν. ὁ ἐκκλίνων τὸ οὖς αὐτοῦ τοῦ μὴ ἀκοῦσαι νόμον, καὶ αὐτὸς προσευ-
χὴν αὐτοῦ ἐβδέλυκται. ὃς πλανᾷ εὐθεῖς ἐν ὁδῷ κακῇ εἰς διαφθο-
ρὰν αὐτὸς ἐμπεσεῖται· οἱ δὲ ἄνομοι διελεύσονται ἀγαθά, καὶ οὐκ
εἰσελεύσονται εἰς αὐτά. σοφὸς παρ' ἑαυτῷ, ἀνὴρ πλούσιος· πᾶς
δὲ νοήμων, καταγνώσεται αὐτοῦ. διὰ βοήθειαν δικαίων, πολλὴ
γίνεται δόξα· ἐν δὲ τόποις ἀσεβῶν, ἁλίσκονται ἄνθρωποι. ὁ
ἐπικαλύπτων ἀσέβειαν αὐτοῦ, οὐκ εὐοδωθήσεται· ὁ δὲ ἐξηγούμε-
νος ἐλέγχους ἀγαπηθήσεται. μακάριος ἀνὴρ ὃς καταπτήσσει πάν-

τα δι᾽ εὐλάβειαν. ὁ δὲ σκληρὸς τὴν καρδίαν ἐμπεσεῖται εἰς κακά. λέων πεινῶν καὶ λύκος διψῶν, ὃς τυραννεῖ πτωχὸς ὤν, ἔθνους πενιχροῦ. βασιλεὺς ἐνδεὴς προσόδων, μέγας συκοφάντης. ὁ δὲ μισῶν ἀδικίαν, μακρὸν χρόνον ζήσεται. ἄνδρα τὸν ἐν αἰτίᾳ φόνου ὁ ἐγγυώμενος, φυγὰς ἔσται καὶ οὐκ ἐν ἀσφαλείᾳ. παίδευε υἱόν, καὶ ἀγαπήσει σε. καὶ δώσει κόσμον τῇ σῇ ψυχῇ. οὐ μὴ ὑπακούσῃ ἔθνει παρανόμῳ ὁ πορευόμενος δικαίως, βεβοήθηται. ὁ δὲ σκολιαῖς ὁδοῖς πορευόμενος ἐμπλακήσεται. ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν, πλησθήσεται ἄρτων. ὁ δὲ διώκων σχολήν, πλησθήσεται πενίας. ἀνὴρ ἀξιόπιστος, πολλὰ εὐλογηθήσεται. ὁ δὲ κακός, οὐκ ἀτιμώρητος ἔσται. ὃς οὐκ αἰσχύνεται πρόσωπα δικαίων, οὐκ ἀγαθός. ὁ τοιοῦτος, ψωμοῦ ἄρτου ἀποδώσεται ἄνδρα. σπεύδει πλουτεῖν ἀνὴρ βάσκανος, καὶ οὐκ οἶδεν, ὅτι ἐλεήμων κρατήσει αὐτοῦ, ὁ ἐλέγχων ἀνθρώπου ὁδοὺς χάριτας ἕξει μᾶλλον, τοῦ γλωσσοχαριτοῦντος, ὃς ἀποβάλλεται πατέρα ἢ μητέρα, καὶ δοκεῖ μὴ ἁμαρτάνειν, οὗτος κοινωνός ἐστιν ἀνδρὸς ἀσεβοῦς. ἄπληστος ἀνὴρ κρίνει εἰκῇ. ὃς δὲ πέποιθεν ἐπὶ κύριον ἐν ἐπιμελείᾳ ἔσται. ὃς πέποιθε θρασείᾳ καρδίᾳ ὁ τοιοῦτος ἄφρων. ὃς δὲ πορεύεται σοφίᾳ, σωθήσεται, ὃς δίδωσι πτωχοῖς, οὐκ ἐνδεηθήσεται, ὃς δὲ ἀποστρέφει τὸν ὀφθαλμὸν αὐτοῦ, ἐν πολλῇ ἀπορίᾳ ἔσται. ἐν τόποις ἀσεβῶν, στένουσι δίκαιοι. ἐν δὲ τῇ ἐκείνων ἀπωλείᾳ πληθυνθήσονται δίκαιοι.

Κεφαλ. κθ. 29.

Ρείσσων ἀνὴρ ἐλέγχων, ἀνδρὸς σκληροτραχήλου. ἐξαπίνης γὰρ φλεγομένου αὐτοῦ, οὐκ ἔστιν ἴασις ἐγκωμιαζομένων δικαίων, εὐφρανθήσονται λαοί· ἀρχόντων δὲ ἀσεβῶν στένουσιν ἄνδρες, ἀνδρὸς φιλοῦντος σοφίαν. εὐφραίνεται ὁ πατὴρ αὐτοῦ. ὃς δὲ ποιμαίνει πόρνας ἀπολεῖ πλοῦτον. βασιλεὺς δίκαιος ἀνίστησι χώραν. ἀνὴρ δὲ παράνομος κατασκάπτει. ὃς παρασκευάζεται ἐπὶ πρόσωπον τοῦ ἑαυτοῦ φίλου δίκτυ

ὂν, περιβάλλει αὐτὸ τοῖς ἑαυτοῦ ποσίν. ἁμαρτάνοντι ἀνδρὶ, μεγάλη παγίς. δίκαιος δὲ ἐν χαρᾷ, καὶ ἐν εὐφροσύνῃ ἔσται. ἐπίσταται δίκαιος κρίνειν πενιχροῖς. ὁ δὲ ἀσεβὴς, οὐ νοεῖ γνῶσιν. καὶ πτωχῷ, οὐχ ὑπάρχει νοῦς ἐπιγνώμων. ἄνδρες ἄνομοι ἐξέκαυσαν πόλιν. σοφοὶ δὲ ἀπέστρεψαν ὀργήν. ἀνὴρ δὲ σοφὸς κρινεῖ ἔθνη. ἀνὴρ δὲ φαῦλος ὀργιζόμενος καταγελᾶται, καὶ οὐ καταπτήσσει. ἄνδρες αἱμάτων μέτοχοι, μισήσουσιν ὅσιον. οἱ δὲ εὐθεῖς ἐκζητήσουσι ψυχὴν αὐτοῦ. ὅλον τὸν θυμὸν αὐτοῦ ἐκφαίνει ἄφρων. σοφὸς δὲ ταμιεύεται κατὰ μέρος. βασιλέως ὑπακούοντος λόγον ἄδικον, πάντες οἱ ὑπ᾽ αὐτὸν παράνομοι. δανειστοῦ καὶ χρεωφειλέτου ἀλλήλοις συνελθόντων, ἐπισκοπὴν ποιεῖται ἀμφοτέρων ὁ κύριος. βασιλεὺς ἐν ἀληθείᾳ κρίνων πτωχοὺς, ὁ θρόνος αὐτοῦ εἰς μαρτύριον κατασταθήσεται. πληγαὶ καὶ ἔλεγχοι, διδόασι σοφίαν. παῖς δὲ πλανώμενος αἰσχύνει γονεῖς αὐτοῦ. πολλῶν ὄντων ἀσεβῶν πολλαὶ γίνονται ἁμαρτίαι. οἱ δὲ δίκαιοι ἐκείνων πιπτόντων, κατάφοβοι γίνονται. παίδευε υἱόν σου καὶ ἀναπαύσει σε. καὶ δώσει κόσμον τῇ ψυχῇ σου. μὴ ὑπάρξῃ ἐξηγητὴς ἔθνει παρανόμῳ. ὁ δὲ φυλάσσων τὸν νόμον μακαριστός. λόγοις οὐ παιδευθήσεται οἰκέτης σκληρός. ἐὰν γὰρ καὶ νοήσῃ, ἀλλ᾽ οὐχ ὑπακούσεται. ἐὰν ἴδῃς ἄνδρα ταχὺν ἐν λόγοις, γίνωσκε ὅτι ἐλπίδα ἔχει μᾶλλον ὁ ἄφρων αὐτοῦ. ὃς κατασπαταλᾷ ἐκ παιδὸς οἰκέτης ἔσται. ἔσχατον δὲ, ὀδυνηθήσεται ἐφ᾽ ἑαυτῷ. ἀνὴρ θυμώδης ἐγείρει νεῖκος. ἀνὴρ δὲ ὀργίλος, ἐξώρυξεν ἁμαρτίας. ὕβρις ἄνδρα ταπεινοῖ. τοὺς δὲ ταπεινόφρονας, ἐρείδει δόξῃ κύριος. ὃς μερίζεται κλέπτῃ, μισεῖ τὴν ἑαυτοῦ ψυχήν. ἐὰν δὲ ὅρκου προτεθέντος ἀκούσαντες μὴ ἀναγγείλωσι, φοβηθέντες, καὶ αἰσχυνθέντες ἀνθρώπους, ὑπεσκελίσθησαν. ὁ δὲ πεποιθὼς ἐπὶ κυρίῳ εὐφρανθήσεται. ἀσέβεια ἀνδρὶ δίδωσι σφάλμα. ὃς δὲ πέποιθεν ἐπὶ τῷ δεσπότῃ, σωθήσεται. πολλοὶ θεραπεύουσι πρόσωπα ἡγουμένων. παρὰ δὲ κυ-

ρίου, γίνεται δὲ δίκαιον ἀνδρί. βδέλυγμα δικαίῳ ἀνὴρ ἄδικος·
βδέλυγμα δὲ ἀνόμῳ κατευθύνουσα ὁδός.

ΕΝ ΤΑΙΣ ΠΑΡΟΙΜΙ-
αις ὥσπερ παίδευμα διὰ παραδειγμά-
των καὶ συμβουλῶν προσφέ-
ρει τὰς παραι-
νέσεις.

ΤΕΛΟΣ ΤΩΝ ΠΑ-
ροιμιῶν τοῦ Σολο-
μῶντος.

## ΡΗΜΑΤΑ ΕΚΚΛΗΣΙΑ- ΣΤΟΥ ΥΙΟΥ ΔΑΒΙΔ ΒΑΣΙΛΕΩΣ ΙΣΡΑ- ΗΛ ΕΝ ΙΕΡΟΥ- ΣΑΛΗΜ.

Κεφάλαιον. α. 1.

Ματαιότης ματαιοτήτων εἶπεν ὁ ἐκκλη-
σιαστής, ματαιότης ματαιοτήτων, τὰ
πάντα ματαιότης. τίς περισσεία τῷ ἀν-
θρώπῳ, ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ μο-
χθεῖ ὑπὸ τὸν ἥλιον. γενεὰ πορεύεται καὶ
γενεὰ ἔρχεται καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστη-
κε. καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ
ἥλιος, καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει. αὐτὸς ἀνατέλλων ἐκπορεύεται
πρὸς νότον, καὶ κυκλοῖ πρὸς βοῤῥᾶν. κυκλοῖ κυκλῶν πορεύεται

τὸ πνεῦμα· καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα, πάντες οἱ χείμαρροι πορεύονται εἰς τὴν θάλασσαν· καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιπλασμένη· εἰς τὸν τόπον οὗ οἱ χείμαρροι πορεύονται ἐκεῖ αὐτοὶ ἐπιστρέφουσι τοῦ πορευθῆναι πάντες οἱ λόγοι ἔγκοποι οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν, καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν, καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως. τί τὸ γεγονός. αὐτὸ τὸ γεννησόμενον· καὶ τί τὸ πεποιημένον αὐτὸ, τὸ ποιηθησόμενον· καὶ οὐκ ἔστι πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον· ὃς λαλήσει καὶ ἐρεῖ· ἴδε τοῦτο καινόν ἐστιν· ἤδη γέγονεν ἐν τοῖς αἰῶσι τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν· οὐκ ἔστι μνήμη τοῖς πρώτοις· καί γε τοῖς ἐσχάτοις γενησομένοις οὐκ ἔσται αὐτοῖς μνήμη· μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην. Ἐγὼ ἐκκλησιαστὴς ἐγενόμην βασιλεὺς ἐπὶ Ἰσραὴλ ἐν Ἱερουσαλήμ· καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι· καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων, τῶν γενομένων ὑπὸ τὸν οὐρανόν· ὅτι περισπασμὸν πονηρὸν ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων· τοῦ περισπᾶσθαι ἐν αὐτῷ· εἶδον σύμπαντα τὰ ποιήματα τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον· καὶ ἰδοὺ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος· διεστραμμένον οὐ δυνήσεται ἐπικοσμηθῆναι· καὶ ὑστέρημα οὐ δυνήσεται ἀριθμηθῆναι· ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου τοῦ λέγειν ἰδοὺ ἐγὼ ἐμεγαλύνθην· καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν· οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἱερουσαλήμ· καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν· καὶ καρδία μου εἶδε πολλά· σοφίαν καὶ γνῶσιν· παραβολὰς καὶ ἐπιστήμην ἔγνων ἐγὼ, ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος· ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως· καὶ ὁ προστιθεὶς γνῶσιν, προσθήσει ἄλγημα.

## Κεφάλαιον. β. 2.

ε Ιπον ἐγὼ ἐν καρδίᾳ μου· δεῦρο δὴ πειράσω σε ἐν εὐφροσύνῃ· καὶ ἴδε ἐν ἀγαθῷ· καὶ ἰδοὺ γέγονε τοῦτο ματαιότης· τῷ γέλωτι εἶπα περιφοράν, καὶ τῇ εὐφροσύνῃ τί τοῦ-

το ποιεῖς

τὸ ποιεῖς· καὶ κατεσκεψάμην εἰ ἡ καρδία μου, ἑλκύσει ὡς οἶνον
τὴν σάρκα μου, καὶ καρδία μου ὡδήγησέ με ἐν σοφίᾳ καὶ τοῦ
κρατῆσαι ἐπ' εὐφροσύνῃ. ἕως οὗ ἴδω ποῖον τὸ ἀγαθὸν τοῖς υἱοῖς
τῶν ἀνθρώπων, ὃ, ποιοῦσιν ὑπὸ τὸν ἥλιον. ἀριθμὸν ἡμερῶν ζωῆς αὐ-
τῶν. ἐμεγάλυνα ποίημά μου. ᾠκοδόμησά μοι οἴκους. ἐφύτευ-
σά μοι ἀμπελῶνας, ἐποίησά μοι κήπους καὶ παραδείσους. καὶ
ἐφύτευσα ἐν αὐτοῖς ξύλον πᾶν καρποῦ. ἐποίησά μοι κολυμβή-
θρας ὑδάτων τοῦ ποτίσαι ἐπ' αὐτῶν δρυμὸν βλαστῶν τὰ ξύλα.
ἐκτησάμην δούλους καὶ παιδίσκας καὶ οἰκογενεῖς ἐγένοντό
μοι καί γε κτῆσις βουκολίου καὶ ποιμνίου πολλὴ ἐγένετό μοι.
ὑπὲρ πάντας τοὺς γενομένους ἔμπροσθεν μου ἐν ἱερουσαλήμ. συνή-
γαγόν μοι καί γε ἀργύριον καί γε χρυσίον. καὶ περιουσιασμοὺς
βασιλέων καὶ τῶν χωρῶν. ἐποίησά μοι ᾄδοντας καὶ ᾀδούσας.
καὶ ἐντρυφήματα υἱῶν τοῦ ἀνθρώπου. οἰνοχόον καὶ οἰνοχόας.
καὶ ἐμεγαλύνθην. καὶ προσέθηκα σοφίαν παρὰ πάντας τοὺς γε-
νομένους ἔμπροσθεν μου ἐν ἱερουσαλήμ. καί γε σοφία μου ἐστάθη
μοι. καὶ πᾶν ὃ ᾔτησαν οἱ ὀφθαλμοί μου. οὐκ ἀπεῖχον ἀπ' αὐτῶν.
οὐκ ἀπεκώλυσα τὴν καρδίαν μου ἀπὸ πάσης εὐφροσύνης. ὅτι καρ-
δία μου εὐφράνθη ἐν παντὶ μόχθῳ μου. καὶ τοῦτο ἐγένετο μερι-
σμὸς ἀπὸ παντὸς μόχθου μου. καὶ ἐπέβλεψα ἐγὼ ἐν πᾶσι ποι-
ήμασί μου, οἷς ἐποίησαν αἱ χεῖρές μου, καὶ ἐν μόχθῳ ᾧ ἐμόχθη-
σα τοῦ ποιεῖν. καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύ-
ματος. καὶ οὐκ ἔστι περισσεία ὑπὸ τὸν ἥλιον. καὶ ἀπέβλεψα ἐγὼ
τοῦ ἰδεῖν σοφίαν, καὶ περιφορὰν καὶ ἀφροσύνην. ὅτι τίς ἄνθρωπος.
ὃς ἐπελεύσεται ὀπίσω τῆς βουλῆς πάντα ὅσα ἐποίησεν ἐν αὐ-
τῇ καὶ εἶδον ἐγὼ ὅτι ἐστὶ περισσεία. τῇ σοφίᾳ ὑπὲρ τὴν ἀφροσύ-
νην, ὡς περισσεία τοῦ φωτὸς ὑπὲρ τὸ σκότος. τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ
αὐτοῦ ἐν κεφαλῇ αὐτοῦ. καὶ ὁ ἄφρων ἐν σκότει πορεύεται. Καὶ
ἔγνων καί γε ἐγὼ ὅτι συνάντημα ἓν συναντήσεται τοῖς πᾶσιν
αὐτοῖς. καὶ εἶπον ἐγὼ ἐν καρδίᾳ μου. ὡς συνάντημα τοῦ ἄφρο-

νος. καί γε ἐμοὶ συναντήσεται καὶ ἵνα τί ἐσοφισάμην ἐγὼ τότε πε-
ρισσὸν ἐλάλησα ἐν καρδίᾳ μου. διότι ἄφρων ἐκ περισσεύματος
λαλεῖ. ὅτι καί γε τοῦτο ματαιότης. ὅτι οὐκ ἔστιν ἡ μνήμη τοῦ σο-
φοῦ μετὰ τοῦ ἄφρονος εἰς τὸν αἰῶνα. καθότι ἤδη αἱ ἡμέραι ταῖς
ἐρχόμεναι, τὰ πάντα ἐπελήσθη. καὶ πῶς ἀποθανεῖται σοφὸς
μετὰ τοῦ ἄφρονος. καὶ ἐμίσησα τὴν ζωήν, ὅτι πονηρὸν ἐπ' ἐμὲ
τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. ὅτι πάντα ματαιότης,
καὶ προαίρεσις πνεύματος. καὶ ἐμίσησα ἐγὼ σύμπαντα τὸν κό-
σμον καὶ τὸν μόχθον μου, ὃν ἐγὼ ἐμόχθησα ὑπὸ τὸν ἥλιον. ὅτι ἀφίω
αὐτὸν τῷ ἀνθρώπῳ τῷ γενομένῳ μετ' ἐμέ. καὶ τίς οἶδεν εἰ σο-
φὸς ἔσται ἢ ἄφρων. καὶ εἰ ἐξουσιάζεται ἐν παντὶ μόχθῳ μου ᾧ ἐ-
μόχθησα καὶ ἐσοφισάμην ὑπὸ τὸν ἥλιον. καί γε τοῦτο ματαιό-
της. καὶ ἐπέστρεψα ἐγὼ τοῦ ἀνατάξασθαι τῇ καρδίᾳ μου. ἐν παντὶ
μόχθῳ ᾧ ἐμόχθησα ὑπὸ τὸν ἥλιον, ὅτι ἔστιν ἄνθρωπος ὅτι μόχθος
αὐτοῦ ἐν σοφίᾳ καὶ ἐν γνώσει καὶ ἐν ἀνδρείᾳ. καὶ ἄνθρωπος ᾧ
οὐκ ἐμόχθησεν. δώσει αὐτῷ μερίδα αὐτοῦ. καί γε τοῦτο μαται-
ότης καὶ πονηρία μεγάλη. ὅτι γίνεται ἐν τῷ ἀνθρώπῳ ἐν παν-
τὶ μόχθῳ αὐτοῦ καὶ ἐν προαιρέσει καρδίας αὐτοῦ ὡς αὐτὸς μο-
χθεῖ ὑπὸ τὸν ἥλιον. ὅτι πᾶσαι αἱ ἡμέραι αὐτοῦ ἀλγημάτων καὶ
θυμοῦ περισπασμὸς αὐτοῦ. καί γε ἐν νυκτὶ οὐ κοιμᾶται ἡ καρ-
δία αὐτοῦ καί γε τοῦτο ματαιότης ἐστίν. οὐκ ἔστιν ἀγαθὸν τῷ
ἀνθρώπῳ. εἰ μὴ ὃ φάγεται καὶ ὃ πίεται καὶ δείξει τῇ ψυχῇ αὐτοῦ, ἀ-
γαθὸν ἐν μόχθῳ αὐτοῦ. καί γε τοῦτο εἶδον ἐγὼ ὅτι ἀπὸ χειρὸς τοῦ
θεοῦ ἐστι. ὅτι τίς φάγεται καὶ τίς πίεται, πάρεξ αὐτοῦ. ὅτι τῷ
ἀνθρώπῳ τῷ ἀγαθῷ προπροσώπου αὐτοῦ ἔδωκεν σοφίαν
καὶ γνῶσιν, καὶ εὐφροσύνην καὶ τῷ ἁμαρτάνοντι, ἔδωκεν πε-
ρισπασμὸν τοῦ πορευθῆναι καὶ τοῦ συναγαγεῖν. τοῦ δοῦναι τῷ
ἀγαθῷ προπροσώπου τοῦ θεοῦ. ὅτι καί γε τοῦτο ματαιότης
καὶ προαίρεσις πνεύματος.

Κεφάλαιον. γ. ς.

Οἶς πᾶσιν ὁ χρόνος, καὶ καιρὸς τῷ παντὶ πράγμα-
γ τι ὑπὸ τὸν ἥλιον. καιρὸς τοῦ τεκεῖν, καὶ καιρὸς τοῦ ἀπο-
θανεῖν. καιρὸς τοῦ φυτεῦσαι. καιρὸς τοῦ ἐκτῖλαι τὸ
πεφυτευμένον. καιρὸς τοῦ ἀποκτεῖναι, καὶ καιρὸς τοῦ ἰάσασθαι καὶ
τοῦ καθελεῖν, καὶ καιρὸς τοῦ οἰκοδομεῖν. καιρὸς τοῦ κλαῦσαι. καὶ
καιρὸς τοῦ γελάσαι. καιρὸς τοῦ κόψασθαι, καὶ καιρὸς τοῦ ὀρχή-
σασθαι. καιρὸς τοῦ βαλεῖν λίθους, καὶ καιρὸς τοῦ συναγαγεῖν λίθους.
καιρὸς τοῦ περιλαβεῖν. καὶ καιρὸς τοῦ μακρωθῆναι ἀπὸ περιλήμ-
ματος. καιρὸς τοῦ ζητῆσαι, καὶ καιρὸς τοῦ ἀπολέσαι. καιρὸς τοῦ
φυλάξαι καὶ καιρὸς τοῦ ἐκβαλεῖν. καιρὸς τοῦ ῥῆξαι, καὶ καιρὸς τοῦ
ῥάψαι, καιρὸς τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν. καιρὸς τοῦ φιλῆ-
σαι, καὶ καιρὸς τοῦ μισῆσαι. καιρὸς πολέμου καὶ καιρὸς εἰρήνης.
τίς περισσεία τοῦ ποιοῦντος ἐν οἷς αὐτὸς μοχθεῖ. εἶδον σύμπαν-
τα τὸν περισπασμὸν ὃν ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων,
τοῦ περισπᾶσθαι ἐν αὐτῷ τὰ σύμπαντα ἃ ἐποίησε, καλὰ ἐν και-
ρῷ αὐτοῦ καί γε σύμπαντα τὸν αἰῶνα ἔδωκεν ἐν καρδίᾳ αὐ-
τῶν. ὅπως μὴ εὕρῃ ὁ ἄνθρωπος, τὸ ποίημα ὃ ἐποίησεν ὁ
θεὸς ἀπαρχῆς καὶ μέχρι τέλους. ἔγνων ὅτι οὐκ ἔστι ἀγαθὸν ἐν
αὐτοῖς εἰ μὴ τοῦ εὐφρανθῆναι καὶ τοῦ ποιεῖν ἀγαθὸν ἐν ζωῇ αὐ-
τοῦ. καί γε πᾶς ὁ ἄνθρωπος ὃς φάγεται καὶ πίεται καὶ ἴδη ἀ-
γαθὸν ἐν παντὶ μόχθῳ αὐτοῦ, τοῦτο δόμα θεοῦ ἐστιν. ἔγνων,
ὅτι πάντα ὅσα ἐποίησεν ὁ θεὸς, αὐτὰ ἔσται εἰς τὸν αἰῶνα. ἐπ'
αὐτῶν, οὐκ ἔστι προσθεῖναι. καὶ ἀπ' αὐτῶν οὐκ ἔστι ἀφερεῖν. καὶ
ὁ θεὸς ἐποίησεν, ἵνα φοβηθῶσιν ἀπὸ προσώπου αὐτοῦ τὸ γε-
νόμενον ἤδη ἐστί. καὶ ὅσα τοῦ γίνεσθαι, ἤδη γέγονε. καὶ ὁ θε-
ὸς ζητήσει τὸν διωκόμενον. καὶ ἔτι εἶδον ὑπὸ τὸν ἥλιον τό-
πον τῆς κρίσεως. ἐκεῖ ὁ ἀσεβής. καὶ τόπον τοῦ δικαίου ἐκεῖ ὁ
ἀσεβής. καὶ εἶπα ἐγὼ ἐν τῇ καρδίᾳ μου. σὺν τὸν δίκαιον καὶ
σὺν τὸν ἀσεβῆ, κρινεῖ ὁ θεὸς, ὅτι καιρὸς τῷ παντὶ πράγματι-
καὶ ἐπὶ παντὶ τῷ ποιήματι. ἐκεῖ εἶπα ἐγὼ ἐν καρδίᾳ μου

περὶ λαλιᾶς υἱῶν τοῦ ἀνθρώπου, ὅτι διακρινεῖ αὐτοὺς ὁ θεός. καὶ τοῦ δεῖξαι, ὅτι αὐτοὶ κτήνη εἰσί. καί γε αὐτοῖς ὡς συνάντημα τῶν υἱῶν τοῦ ἀνθρώπου καὶ συνάντημα τοῦ κτήνους, συνάντημα ἐν αὐτοῖς. ὡς ὁ θάνατος τούτου οὕτως καὶ ὁ θάνατος τούτου. καὶ πνεῦμα ἓν τοῖς πᾶσιν. καί τι ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος. οὐδὲν ὅτι πάντα ματαιότης. τὰ πάντα εἰς τόπον ἕνα τὰ πάντα ἐγένετο ἐκ τοῦ χοὸς καὶ τὰ πάντα ἐπιστρέψει εἰς χοῦν. καὶ τίς εἶδεν πνεῦμα υἱῶν ἀνθρώπου εἰ ἀναβαίνει εἰς ἄνω. καὶ τὸ πνεῦμα τοῦ κτήνους, εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν. καὶ εἶδον ὅτι οὐκ ἔστι ἀγαθόν. εἰ μὴ ὃ εὐφρανθήσεται ἄνθρωπος. ἐν ποιήμασιν αὐτοῦ. ὅτι αὐτὸ μερὶς αὐτοῦ. ὅτι τίς ἄξει αὐτὸν τοῦ ἰδεῖν ἐν ᾧ ἐὰν γένηται μετ᾽ αὐτόν.

## Κεφ. δ. 4.

Καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον σύμπασας τὰς συκοφαντίας τὰς γινομένας ὑπὸ τὸν ἥλιον. καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων, καὶ οὐκ ἔστιν αὐτοῖς ὁ παρακαλῶν καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοὺς ἰσχύς. καὶ ἐπῄνεσα ἐγὼ σύμπαντας τοὺς τεθνηκότας. τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας. ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν. καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους. ὅστις οὔπω ἐγένετο. ὃς οὐκ οἶδε σύμπαν τὸ ποίημα τὸ πονηρὸν τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. καὶ εἶδον ἐγὼ σύμπαντα τὸν μόχθον. καὶ σὺν τὴν πᾶσαν ἀνδρείαν τοῦ ποιήματος. ὅτι τὸ ζῆλος ἀνδρὸς ἀπὸ τοῦ ἑταίρου αὐτοῦ. καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. ὁ ἄφρων περιέλαβε τὰς χεῖρας αὐτοῦ, καὶ ἔφαγε τὰς σάρκας αὐτοῦ. ἀγαθὸν ἐστι πλήρωμα δρακὸς ἀναπαύσεως, ὑπὲρ πληρώματα δύο δρακῶν μόχθου καὶ προαιρέσεως πνεύματος. καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον ματαιότητα ὑπὸ τὸν ἥλιον. ἔστιν εἷς, καὶ οὐκ ἔστιν δεύτερος. καί γε υἱὸς καί γε ἀδελφὸς, οὐκ ἔστιν αὐτῷ. καὶ οὐκ ἔστι περασμὸς τῷ παντὶ μόχθῳ αὐτοῦ. καί γε ὀφθαλμὸς αὐτοῦ οὐκ ἐμπίπλαται πλούτου. καὶ

τίνι ἐγὼ μοχθῶ, καὶ στερίσκω τὴν ψυχήν μου ἀπὸ ἀγαθωσύνης.
καί γε τοῦτο ματαιότης καὶ περισπασμὸς πονηρός ἐστι. ἀγαθοὶ
δύο ὑπὲρ τὸν ἕνα. οἷς ἔστιν αὐτοῖς μισθὸς ἀγαθὸς ἐν μόχθῳ αὐτῶν.
ὅτι ἐὰν πέσῃ ὁ εἷς, ὁ εἷς ἐγερεῖ τὸν μέτοχον αὐτοῦ. καὶ οὐαὶ αὐ-
τῷ τῷ ἑνί. ὅταν πέσῃ καὶ μὴ ᾖ δεύτερος τοῦ ἐγεῖραι αὐτόν. καί
γε ἐὰν κοιμηθῶσι οἱ δύο καὶ θέρμη αὐτοῖς. καὶ ὁ εἷς πῶς θερ-
μανθῇ. καὶ ἐὰν ἐπικραταιωθῇ ὁ εἷς, καὶ οἱ δύο στήσονται κατέναν-
τι αὐτοῦ. καὶ τὸ σπαρτίον τὸ ἔντριτον, οὐ ταχέως ἀπορραγήσεται.
ἀγαθὸς παῖς πένης καὶ σοφὸς, ὑπὲρ βασιλέα πρεσβύτερον καὶ ἄ-
φρονα. ὃς οὐκ ἔγνω τοῦ προσέχειν ἔτι. ὅτι ἐξ οἴκου τῶν δεσμῶν
ἐξελεύσεται τοῦ βασιλεῦσαι. ὅτι καί γε ἐν βασιλείᾳ αὐτοῦ ἐγε-
νήθη πένης. εἶδον σύμπαντας τοὺς ζῶντας τοὺς περιπατοῦντας
ὑπὸ τὸν ἥλιον, μετὰ τοῦ νεανίσκου τοῦ δευτέρου ὃς στήσεται ἀντ'
αὐτοῦ. οὐκ ἔστι περασμὸς τῷ παντὶ λαῷ τοῖς πᾶσιν, ὅσοι ἐγένον-
το ἔμπροσθεν αὐτῶν καί γε οἱ ἔσχατοι οὐκ εὐφρανθήσονται ἐν αὐ-
τῷ. ὅτι καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. φύ-
λαξον τὸν πόδα σου ἐν ᾧ ἂν πορεύῃ εἰς οἶκον τοῦ θεοῦ. καὶ ἐγγὺς
τοῦ ἀκούειν. ὑπὲρ δόμα τῶν ἀφρόνων θυσία σου ὅτι οὐκ εἰσὶν εἰ-
δότες τοῦ ποιῆσαι καλόν.

Κεφάλ. ε. ϛ.

Η σπεῦδε ἐν στόματί σου. καὶ καρδία σου μὴ ταχυ-
β νέτω, τοῦ ἐξενέγκαι λόγον πρὸ προσώπου τοῦ θεοῦ.
ὅτι ὁ θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ σὺ ἐπὶ τῆς γῆς κά-
τω. ἐπὶ τούτῳ ἔστωσαν οἱ λόγοι σου ὀλίγοι. ὅτι παραγίνεται ἐνύ-
πνιον ἐν πλήθει πειρασμοῦ καὶ φωνὴ ἄφρονος ἐν πλήθει λόγων.
καθὼς ἂν εὔξῃ εὐχὴν τῷ θεῷ. μὴ χρονίσῃς τοῦ ἀποδοῦναι αὐτήν
οὐκ ἔστιν ἐν ἀφροσύνῃ θέλημα. σὺ οὖν ἐὰν εὔξῃ ἀπόδος. ἀγαθὸν
τὸ μὴ εὔξασθαί σε, ἢ εὐξάμενον, μὴ ἀποδοῦναι. μὴ δῷς τὸ στόμα
σου τοῦ ἐξαμαρτεῖν τὴν σάρκα σου. καὶ μὴ εἴπῃς προπροσώπου
θεοῦ, ὅτι ἄγνοιά ἐστιν. ἵνα μὴ ὀργισθῇ ὁ θεὸς ἐπὶ φωνῇ σου. καὶ δι-

αφθείρῃ τὰ ποιήματα τῶν χειρῶν σου. ὅτι ἐν πλήθει ἐνυπνίων
καὶ ματαιοτήτων, καὶ λόγων πολλῶν. σὺν τὸν θεὸν φοβοῦ. ἐὰν
συκοφαντίαν πένητος καὶ ἁρπαγὴν κρίματος καὶ δικαιοσύνης
ἴδῃς ἐν χώρᾳ, μὴ θαυμάσῃς ἐπὶ τῷ πράγματι. ὅτι ὑψηλὸς ἐ-
πάνω ὑψηλοῦ φυλάξαι, καὶ ὑψηλοὶ ἐπ' αὐτοῖς καὶ περισσεία γῆς.
ἐπὶ παντί ἐστι βασιλεὺς τοῦ ἀγροῦ εἰργασμένου. ἀγαπῶν ἀργύ-
ριον, οὐ πλησθήσεται ἀργυρίου. καὶ τίς ἠγάπησεν ἐν πλήθει
αὐτῶν γέννημα. καίγε τοῦτο ματαιότης. ἐν πλήθει ἀγαθωσύ-
νης ἐπληθύνθησαν οἱ ἔσθοντες αὐτήν. καὶ τί, ἀνδρεία τῷ παρ'
αὐτῆς. ὅτι ἀρχὴ τοῦ ὁρᾶν ὀφθαλμοῖς αὐτοῦ. γλυκὺς ὕπνος τοῦ δού-
λου. εἰ ὀλίγον καὶ εἰ πολὺ φάγεται. καὶ τῷ ἐμπλησθέντι τοῦ
πλουτῆσαι. ὅτι οὐκ ἔστιν ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι. ἔστιν ἀῤῥωστία
ἣν εἶδον ὑπὸ τὸν ἥλιον. πλοῦτον φυλασσόμενον τῷ παρ' αὐτοῦ
εἰς κακίαν αὐτοῦ. καὶ ἀπολεῖται ὁ πλοῦτος ἐκεῖνος, ἐν περι-
σπασμῷ πονηρῷ. καὶ ἐγέννησεν υἱὸν καὶ οὐκ ἔστιν ἐν χειρὶ αὐτοῦ
οὐδέν. καθὼς ἐξῆλθεν ἀπὸ γαστρὸς μητρὸς αὐτοῦ γυμνός, ἐπι-
στρέψει τοῦ πορευθῆναι ὡς ἥκει. καὶ οὐδὲν οὐ λήψεται ἐν μόχθῳ
αὐτοῦ. ἵνα πορευθῇ ἐν χειρὶ αὐτοῦ. καίγε τοῦτο πονηρὰ ἀῤῥω-
στία. ὥσπερ γὰρ παρεγένετο, οὕτως καὶ ἀπελεύσεται, καὶ τίς ἡ πε-
ρισσεία αὐτοῦ ἣν μοχθεῖ εἰς ἄνεμον. καίγε πᾶσαι αἱ ἡμέραι αὐ-
τοῦ ἐν σκότει καὶ ἐν πένθει. καὶ θυμῷ πολλῷ, καὶ ἀῤῥωστίᾳ καὶ χό-
λῳ. ἰδοὺ εἶδον ἐγὼ ἀγαθὸν ὅ ἐστι καλόν. τοῦ φαγεῖν καὶ τοῦ πιεῖν,
καὶ τοῦ ἰδεῖν ἀγαθωσύνην ἐν παντὶ μόχθῳ αὐτοῦ ᾧ ἐὰν μοχθή-
σῃ ὑπὸ τὸν ἥλιον. ἀριθμὸν ἡμερῶν ζωῆς αὐτοῦ, ὧν ἔδωκεν αὐτῷ
ὁ θεός. ὅτι αὐτὸ μερὶς αὐτοῦ καίγε πᾶς ἄνθρωπος ᾧ ἔδωκεν αὐ-
τῷ ὁ θεός, πλοῦτον καὶ ὑπάρχοντα καὶ ἐξουσίασεν αὐτὸν, τοῦ φα-
γεῖν ἀπ' αὐτῶν καὶ λαβεῖν τὸ μέρος αὐτοῦ καὶ τοῦ εὐφρανθῆ-
ναι ἐν μόχθῳ αὐτοῦ. τοῦτο δόμα θεοῦ ἐστιν, ὅτι οὐ πολλὰ μνησθή-
σεται τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. ὅτι ὁ θεὸς περισπᾷ αὐτὸν,
ἐν εὐφροσύνῃ καρδίας αὐτοῦ.

Κεφάλαιον. ς. 6.

ξ Ἔστι πονηρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον καὶ πολλή ἐστιν ὑπὸ τὸν ἄνθρωπον. ἀνὴρ ᾧ δώσει αὐτῷ ὁ θεὸς πλοῦτον καὶ ὑπάρχοντα καὶ δόξαν. καὶ οὐκ ἔστιν ὑστερῶν τῇ ψυχῇ αὐτοῦ ἀπὸ πάντων ὧν ἐπιθυμήσει καὶ οὐκ ἐξουσιάσει αὐτῷ ὁ θεὸς τοῦ φαγεῖν ἀπ' αὐτοῦ, ὅτι ἀνὴρ ξένος καταφάγεται αὐτόν. καί γε τοῦτο ματαιότης καὶ ἀρρωστία πονηρά ἐστιν. ἐὰν γεννήσῃ ἀνὴρ ἑκατὸν ἔτη καὶ πολλὰ ζήσεται. καὶ πλῆθος ὅτι ἔσονται αἱ ἡμέραι ἐτῶν αὐτοῦ. καὶ ψυχὴ αὐτοῦ οὐκ ἐμπλησθήσεται ἀπὸ τῆς ἀγαθωσύνης. καί γε ταφὴ οὐκ ἐγένετο αὐτῷ. εἶπα ἀγαθὸν ὑπὲρ αὐτὸν τὸ ἐκτρώμα, ὅτι ἐν ματαιότητι ἦλθεν καὶ ἐν σκότει πορεύεται καὶ ἐν σκότει ὄνομα αὐτοῦ καλυφθήσεται. καί γε ἥλιον οὐκ εἶδεν, καὶ οὐκ ἔγνω ἀνάπαυσιν. τούτῳ ὑπὲρ τοῦτον καὶ ἔζησεν χιλίων ἐτῶν καθόδους καὶ ἀγαθωσύνην οὐκ εἶδεν, μὴ οὐχὶ εἰς τόπον ἕνα πορεύσεται τὰ πάντα; πᾶς μόχθος τοῦ ἀνθρώπου εἰς στόμα αὐτοῦ. καί γε ἡ ψυχὴ οὐ πληρωθήσεται, ὅτι περισσεία τῷ σοφῷ ὑπὲρ τὸν ἄφρονα. διότι ὁ πένης οἶδε πορευθῆναι κατέναντι τῆς ζωῆς. ἀγαθὸν ὅραμα ὀφθαλμῶν ὑπὲρ πορευόμενον ψυχῇ. καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος. ἔτι ἐγένετο ἤδη κέκληται ὄνομα αὐτοῦ. καὶ ἐγνώσθη ὅ ἐστιν ἄνθρωπος. καὶ οὐ δυνήσεται κριθῆναι μετὰ τοῦ ἰσχυροτέρου ὑπὲρ αὐτόν. ὅτι εἰσὶν λόγοι πολλοὶ πληθύνοντες ματαιότητα.

Κεφάλαιον. ζ. 7.

γ Τί περισσὸν τῷ ἀνθρώπῳ. ὅτι τίς οἶδεν ἀγαθὸν τῷ ἀνθρώπῳ ἐν τῇ ζωῇ. ἀριθμὸν ζωῆς ἡμερῶν ματαιότητος αὐτοῦ. καὶ ἐποίησεν αὐτὰ ἐν σκιᾷ. ὅτι τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ τί ἔσται ὀπίσω αὐτοῦ ὑπὸ τὸν ἥλιον. ἀγαθὸν ὄνομα ὑπὲρ ἔλαιον ἀγαθόν. καὶ ἡμέρα τοῦ θανάτου ὑπὲρ ἡμέραν γενέσεως. ἀγαθὸν πορευθῆναι εἰς οἶκον πένθους, ἢ ὅτι πορευθῆναι εἰς οἶκον πότου. καθότι τοῦτο τέλος παντὸς ἀνθρώπου καὶ ὁ ζῶν δώσει ἀγαθὸν

εἰς καρδίαν αὐτοῦ. ἀγαθὸς θυμὸς ὑπὲρ γέλωτα ὅτι ἐν κακίᾳ προ-
σώπου ἀγαθυνθήσεται καρδία. καρδία σοφῶν ἐν οἴκῳ πένθους.
καὶ καρδία ἀφρόνων, ἐν οἴκῳ εὐφροσύνης. ἀγαθὸν τὸ, ἀκοῦσαι
ἐπιτίμησιν σοφοῦ. ὑπὲρ ἄνδρα ἀκούοντα ᾄσματα ἀφρόνων. ὡς
φωνὴ τῶν ἀκανθῶν ὑπὸ τὸν λέβητα. οὕτως γέλως τῶν ἀφρόνων.
καί γε τοῦτο ματαιότης. ὅτι ἡ συκοφαντία, περιφέρει σοφόν. καὶ
ἀπολλύει τὴν καρδίαν εὐγενείας αὐτοῦ. ἀγαθὴ ἐσχάτη λόγων
ὑπὲρ ἀρχὴν αὐτοῦ. ἀγαθὸν μακρόθυμος ὑπὲρ ὑψηλὸν πνεύμα-
τι. μὴ σπεύσῃς ἐν πνεύματί σου. τοῦ θυμοῦσθαι. ὅτι θυμὸς ἐν κόλ
πῳ ἀφρόνων. ἀναπαύσεται. μὴ εἴπῃς τί ἐγένετο ὅτι αἱ ἡμέραι αἱ
πρότερον ἦσαν ἀγαθαὶ ὑπὲρ ταύτας. ὅτι οὐκ ἐν σοφίᾳ ἐπηρώ-
τησας περὶ τούτου. ἀγαθὴ σοφία μετὰ κληροδοσίας, καὶ περισσεία
τοῖς θεωροῦσιν τὸν ἥλιον. ὅτι ἐν σκιᾷ αὐτῆς ἡ σοφία ὡς σκιὰ ἀρ-
γυρίου. καὶ περισσεία γνώσεως τῆς σοφίας ἡ σοφία ζωοποιήσει
τὸν παρ᾽ αὐτῆς. ἴδε τὰ ποιήματα τοῦ θεοῦ, ὅτι τίς δυνήσεται τοῦ
κοσμῆσαι ὃν ἂν ὁ θεὸς διαστρέψῃ αὐτόν. ἐν ἡμέρᾳ ἀγαθωσύνης
αὐτοῦ. ζῆθι ἐν ἀγαθῷ καὶ ἴδε ἐν ἡμέρᾳ κακίας. ἴδε καί γε σὺν
τοῦτο σύμφωνον τούτων. ὃ ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς, ἵνα μὴ
εὕρῃ ἄνθρωπος ὀπίσω αὐτοῦ οὐδέν. σύμπαντα εἶδον ἐν ἡμέραις
ματαιότητός μου. ἐστὶ δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ.
καὶ ἐστὶν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ. μὴ γίνου δίκαιος πο-
λύ. μὴ δὲ σοφίζου περισσά. μήποτε ἐκπλαγῇς. καὶ μὴ ἀσεβή-
σῃς ἐπὶ πολύ. καὶ μὴ γίνου σκληρός, μήποτε ἀποθάνῃς ἐν οὐ
καιρῷ σου. ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ. καί γε ἀπὸ τούτου
μὴ μιάνῃς τὴν χεῖρά σου. ὅτι φοβουμένοις τὸν θεὸν, ἐξελεύσεται τὰ
πάντα. ἡ σοφία, βοηθήσει τῷ σοφῷ ὑπὲρ δέκα ἐξουσιάζοντας
τοὺς ὄντας ἐν τῇ πόλει. ὅτι ἄνθρωπος οὐκ ἔστιν δίκαιος ἐν τῇ γῇ.
ὃς ποιήσει ἀγαθόν. καὶ οὐχ ἁμαρτήσεται. καί γε εἰς πάντας τοὺς
λόγους οὓς λαλήσουσι ἀσεβεῖς. μὴ θῇς καρδίαν σου. ὅπως μὴ ἀ-
κούσῃς τοῦ δούλου σου καταρωμένου σε. ὅτι πλειστάκις πονηρεύ-

σεταί σε· καὶ καθόδους πολλὰς κακώσει καρδίαν σου· ὅπως καὶ γε σὺ κατηράσω ἑτέρους πολλούς. πάντα ταῦτα ἐπείρασα ἐν τῇ σοφίᾳ· εἶπα σοφισθήσομαι, καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν ὑπὲρ ὃ ἦν· καὶ βαθὺ βάθος, τίς εὑρήσει αὐτήν· ἐκύκλωσα ἐγὼ καὶ ἡ καρδία μου τοῦ γνῶναι καὶ τοῦ κατασκέψασθαι καὶ τοῦ ζητῆσαι σοφίαν καὶ ψῆφον καὶ τοῦ γνῶναι ἀσεβοῦς εὐφροσύνην· καὶ σκληρίαν, καὶ περιφοράν. καὶ εὑρίσκω ἐγὼ αὐτήν, πικροτέραν ὑπὲρ θάνατον· σὺν τὴν γυναῖκα, ἥ τίς ἐστι θήραμα, καὶ σαγήνη καρδίαν αὐτῆς· δεσμὸς εἰς χεῖρας αὐτῆς· ἀγαθὸς πρὸς προσώπου τοῦ θεοῦ ἐξαρθήσεσθαι ἀπ' αὐτῆς· καὶ ἁμαρτάνων συλληφθήσεται ἐν αὐτῇ. ἴδε τοῦτο εὗρον εἶπεν ὁ ἐκκλησιαστής. μία τῇ μιᾷ τοῦ εὑρεῖν λογισμὸν ὃν ἐπεζήτησεν ἡ ψυχή μου, καὶ οὐχ εὗρον· καὶ ἄνθρωπον ἕνα, ἀπὸ χιλίων εὗρον· καὶ γυναῖκα ἐν πᾶσι τούτοις οὐκ εὗρον, πλὴν ἴδε τοῦτο εὗρον ὃ ἐποίησεν ὁ θεός. σὺν τὸν ἄνθρωπον εὐθῆ· καὶ αὐτοὶ ἐζήτησαν λογισμοὺς πολλούς. τίς οἶδεν σοφίαν καὶ τίς οἶδεν λύσιν ῥήματος.

## Κεφάλαιον. η. 8.

Οφία ἀνθρώπου φωτιεῖ πρόσωπον αὐτοῦ. καὶ ἀναι-
σ δὴς προσώπῳ αὐτοῦ, μισηθήσεται. στόμα βασιλέως φύλαξον· καὶ περὶ λόγους ὅρκου θεοῦ μὴ σπουδάσῃς. ἀπὸ προσώπου αὐτοῦ πορεύσῃ. μὴ στῇς ἐν λόγῳ πονηρῷ ὅτι ὃ ἐὰν θελήσῃ ποιήσει. καθὼς βασιλέως ἐξουσιάζων. καὶ τίς ἐρεῖ αὐτῷ, τί ποιήσεις. ὁ φυλάσσων ἐντολήν· οὐ γνώσεται ῥῆμα πονηρόν· καὶ καιρὸν κρίσεως γινώσκει καρδία σοφοῦ. ὅτι ἐν παντὶ πράγματι ἐστὶ καιρὸς κρίσεως. ὅτι γνῶσις τοῦ ἀνθρώπου ἐστὶ πολλὴ ἐπ' αὐτόν. ὅτι οὐκ ἔστιν γινώσκων τί τὸ ἐσόμενον. ὅτι καθὼς ἔσται, τίς ἀναγγελεῖ αὐτῷ. οὐκ ἔστιν ἄνθρωπος ἐξουσιάζων ἐν πνεύματι, τοῦ κωλῦσαι σὺν τὸ πνεῦμα. καὶ οὐκ ἔστιν ἐξουσιάζων ἐν ἡμέρᾳ θανάτου. καὶ οὐκ ἔστιν ἀποστολή, ἐν ἡμέρᾳ πολέμου. καὶ οὐ διασώσει ἀσέβεια τὸν παρ' αὐτῆς, καὶ σύμπαν τοῦτο εἶδον· καὶ ἔδω-

κα τὴν καρδίαν μου εἰς πᾶν τὸ ποίημα· ὃ πεποίηται ὑπὸ τὸν ἥλι-
ον, πάντα ὅσα ἐξουσιάσατο ὁ ἄνθρωπος ἐν ἀνθρώπῳ, τοῦ κακῶσαι
αὐτόν. καὶ τότε εἶδον ἀσεβεῖς εἰς τάφους εἰσαχθέντας. καὶ ἐκ τοῦ
ἁγίου. καὶ ἐπορεύθησαν καὶ ἐπῃνέθησαν ἐν τῇ πόλει, ὅτι οὕτως
ἐποίησαν. καίγε τοῦτο ματαιότης. ὅτι οὐκ ἔστιν γινομένη ἀντίρρη-
σις. ἀπὸ τῶν ποιούντων τὸ πονηρὸν ταχύ. διὰ τοῦτο ἐπληροφο-
ρήθη καρδία υἱῶν τοῦ ἀνθρώπου, ἐν αὐτοῖς τοῦ ποιῆσαι τὸ πονη-
ρόν. ὃς ἥμαρτεν ἐποίησεν τὸ πονηρόν. ἀπὸ τότε καὶ ἀπὸ μα-
κρότητος αὐτῶν. ὅτι καὶ γινώσκω ἐγὼ ὅτι ἔστιν ἀγαθὸν τοῖς φο-
βουμένοις τὸν θεόν. ὅπως φοβῶνται ἀπὸ προσώπου αὐτοῦ. καὶ ἀ-
γαθὸν οὐκ ἔσται τῷ ἀσεβεῖ. καὶ οὐ μακρυνεῖ ἡμέρας ἐν σκιᾷ. ὃς
οὐκ ἔστι φοβούμενος ἀπὸ προσώπου τοῦ θεοῦ. ἔστι ματαιότης ἣ
πεποίηται ἐπὶ τῆς γῆς. ὅτι εἰσὶ δίκαιοι, ὅτι φθάνει ἐπ᾽ αὐτοὺς ὡς
ποίημα τῶν ἀσεβῶν, καὶ εἰσὶν ἀσεβεῖς ὅτι φθάνει ἐπ᾽ αὐτούς, ὡς
ποίημα τῶν δικαίων. εἶπα. ὅτι καίγε τοῦτο ματαιότης. καὶ ἐπῄ-
νεσα ἐγὼ σὺν τὴν εὐφροσύνην. ὅτι οὐκ ἔστιν ἀγαθὸν τῷ ἀνθρώ-
πῳ ὑπὸ τὸν ἥλιον. ὅτι εἰ μὴ τοῦ φαγεῖν καὶ τοῦ πιεῖν, καὶ τοῦ εὐ-
φρανθῆναι καὶ αὐτὸ συμπορεύσεται αὐτῷ ἐν μόχθῳ αὐτοῦ. ἡμέ-
ρας ζωῆς αὐτοῦ ὅσας ἔδωκεν αὐτῷ ὁ θεὸς ὑπὸ τὸν ἥλιον ἐν οἷς ἔδω-
κα τὴν καρδίαν μου τοῦ γνῶναι τὴν σοφίαν καὶ τοῦ ἰδεῖν τὸν περι-
σπασμὸν πεποιημένον ἐπὶ τῆς γῆς. καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ
ὕπνον ὀφθαλμοῖς αὐτοῦ. οὐκ ἔστιν βλέπων. καὶ εἶδον σύμπαντα
τὰ ποιήματα τοῦ θεοῦ ὅτι οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν σὺν
τὸ ποίημα τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον. ὅσα ἂν μοχθήσῃ ἄνθρω-
πος τοῦ εὑρεῖν καὶ οὐχ εὑρήσει. καίγε ὅσα ἂν εἴπῃ σοφὸς τοῦ γνῶ-
ναι, οὐ δυνήσεται τοῦ εὑρεῖν. ὅτι σύμπαν τοῦτο ἔδωκα εἰς καρδί-
αν μου, καὶ καρδία μου σύμπαν εἶδε τοῦτο. Κεφ. θ. 9.

Σ οἱ δίκαιοι καὶ οἱ σοφοί. καὶ αἱ ἐργασίαι αὐτῶν
α ἐν χειρὶ τοῦ θεοῦ καίγε ἀγάπη καίγε μῖσος. οὐκ ἔστιν
ὁ ἄνθρωπος εἰδὼς τὰ πάντα πρὸ προσώπου αὐτοῦ, ματαιό-
της ἐν τοῖς πᾶσιν. συνάντημα ἐν τῷ δικαίῳ, καὶ τῷ ἀσεβεῖ τῷ

ἀγαθῷ καὶ τῷ κακῷ. καὶ τῷ καθαρῷ καὶ τῷ ἀκαθάρτῳ καὶ
τῷ θυσιάζοντι, καὶ τῷ μὴ θυσιάζοντι. καὶ ὡς ὁ ἀγαθὸς ὡς ὁ ἁ-
μαρτάνων. ὡς ὁ ὀμνύων καθὼς ὁ τὸν ὅρκον φοβούμενος. τοῦτο
πονηρὸν ἐν παντὶ πεποιημένῳ ὑπὸ τὸν ἥλιον ὅτι συνάντημα ἐν
τοῖς πᾶσιν καί γε καρδίαν υἱῶν τοῦ ἀνθρώπου ἐπληρώθη πονη-
ροῦ. καὶ περιφέρεια ἐν καρδίᾳ αὐτῶν καὶ ἐν ζωῇ αὐτῶν. καὶ ὀπί-
σω αὐτῶν πρὸς τοὺς νεκρούς. ὅτι τίς ὃς κοινωνεῖ πρὸς πάντας τοὺς
ζῶντας. ἔστιν ἐλπὶς ὅτι ὁ κύων ὁ ζῶν αὐτὸς ἀγαθὸς ὑπὲρ τὸν λέον-
τα τὸν νεκρόν. ὅτι οἱ ζῶντες γνώσονται ὅτι ἀποθανοῦνται. καὶ οἱ
νεκροὶ οὐκ εἰσὶ γινώσκοντες οὐδέν. καὶ οὐκ ἔστιν αὐτοῖς ἔτι μισθὸς
ὅτι ἐπελήσθη ἡ μνήμη αὐτῶν. καί γε ἀγάπη αὐτῶν καί γε μῖ-
σος αὐτῶν. καί γε ζῆλος αὐτῶν ἤδη ἀπώλετο. καί γε μερὶς οὐκ
ἔστιν αὐτοῖς ἔτι εἰς τὸν αἰῶνα ἐν παντὶ τῷ πεποιημένῳ ὑπὸ τὸν
ἥλιον. δεῦρο φάγε ἐν εὐφροσύνῃ τὸν ἄρτον σου καὶ πίε ἐν καρ-
δίᾳ ἀγαθῇ οἶνόν σου. ὅτι ἤδη εὐδόκησεν ὁ θεὸς τὰ ποιήματά
σου. ἐν παντὶ καιρῷ ἔστωσαν ἱμάτιά σου λευκά. καὶ ἔλαιον ἐπὶ κε-
φαλῆς σου μὴ στερησάτω. καὶ ἴδε ζωὴν μετὰ γυναικὸς ἧς ἠγά-
πησας πάσας τὰς ἡμέρας ζωῆς νεότητός σου. τὰς δοθείσας σοι
ὑπὸ τὸν ἥλιον πάσας τὰς ἡμέρας ματαιότητός σου. ὅτι αὐτὸ μερίς
σου ἐν τῇ ζωῇ σου. καὶ ἐν τῷ μόχθῳ σου ᾧ σὺ μοχθεῖς ὑπὸ τὸν ἥλι
λιον. πάντα ὅσα ἂν εὕρῃ ἡ χείρ σου τοῦ ποιῆσαι, ὡς ἡ δύναμίς σου
ποίησον. ὅτι οὐκ ἔστιν ποίημα καὶ λογισμὸς καὶ γνῶσις. καὶ σοφία
ἐν ᾅδῃ ὅπου σὺ πορεύῃ ἐκεῖ. ἐπέστρεψα καὶ εἶδον ὑπὸ τὸν ἥ-
λιον. ὅτι οὐ τοῖς κούφοις ὁ δρόμος, καὶ οὐ τοῖς δυνατοῖς πόλεμος.
καί γε οὐ τῷ σοφῷ ἄρτος. καί γε οὐ τοῖς συνετοῖς ὁ πλοῦτος
καί γε οὐ τοῖς γινώσκουσιν ἡ χάρις. ὅτι καιρὸς καὶ ἀπάντημα
συναντήσεται τοῖς συμπᾶσιν αὐτοῖς. ὅτι καί γε καὶ οὐκ ἔγνω
ὁ ἄνθρωπος τὸν καιρὸν αὐτοῦ, ὡς οἱ ἰχθύες οἱ θηρευόμενοι, ἐν ἀμ-
φιβλήστρῳ κακῷ. καὶ ὡς ὄρνεα τὰ θηρευόμενα ἐν παγίδι.
ὡς αὐτὰ παγιδεύονται οἱ υἱοὶ τοῦ ἀνθρώπου εἰς καιρὸν

πονηρόν, ὅταν ἐπιπέσῃ ἐπ' αὐτοὺς ἄφνω. καί γε τοῦτο εἶδον σο-
φίαν ὑπὸ τὸν ἥλιον. καὶ μεγάλη ἐστὶ πρός με πόλις μικρά. καὶ
ἄνδρες αὐτῆς ὀλίγοι. καὶ ἔλθῃ ἐπ' αὐτὴν βασιλεὺς μέγας καὶ
κυκλώσῃ αὐτήν. καὶ οἰκοδομήσῃ ἐπ' αὐτὴν χάρακας μεγά-
λους. καὶ εὕρῃ ἐν αὐτῇ ἄνδρα πένητα σοφόν. καὶ διασώσει αὐ-
τὸς τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτοῦ. καὶ ἄνθρωπος οὐκ ἐμνήσθη σὺν τοῦ
ἀνδρὸς τοῦ πένητος ἐκείνου. καὶ εἶπα ἐγὼ ἀγαθὴ σοφία ὑπὲρ δύ-
ναμιν. καὶ σοφία τοῦ πένητος ἐξουδενωμένη, καὶ οἱ λόγοι αὐτοῦ οὐκ
εἰσὶν ἀκουόμενοι. λόγοι σοφῶν, ἐν ἀναπαύσει ἀκούονται, ὑπὲρ
κραυγὴν ἐξουσιαζόντων ἐν ἀφροσύνῃ. ἀγαθὴ σοφία. ὑπὲρ σκεύη
πολέμου. καὶ ἁμαρτάνων εἷς, ἀπολέσει ἀγαθωσύνην πολλήν.

Κεφ. ι. 10.

Υῖαι θανατοῦσαι, σαπριοῦσι σκευασίαν ἐλαίου ἡδύ-
μ σματος. τίμιον ὀλίγον σοφίας ὑπὲρ δόξαν ἀφροσύ-
νης μεγάλην. καρδία σοφοῦ, εἰς δεξιὸν αὐτοῦ. καὶ καρ-
δία ἄφρονος, εἰς ἀριστερὸν αὐτοῦ. καί γε ἐν ὁδῷ ὅταν ἄφρων
πορεύηται, καρδία αὐτοῦ ὑστερήσει. καὶ ἃ λογιεῖται πάντα ἀφρο-
σύνη ἐστίν. ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπὶ σέ, τόπον σου
μὴ ἀφῇς. ὅτι ἴαμα καταπαύσει ἁμαρτίας μεγάλας. ἔστι πονη-
ρία ἣν εἶδον ὑπὸ τὸν ἥλιον. ὡς ἀκούσιον ἐξῆλθεν ἀπὸ προσώπου
ἐξουσιάζοντος. ἐδόθη ὁ ἄφρων, ἐν ὕψεσι μεγάλοις. καὶ πλούσιοι
ἐν ταπεινῷ καθήσονται. εἶδον δούλους ἐφ' ἵππους, καὶ ἄρχοντας
πορευομένους, ὡς δούλους ἐπὶ τῆς γῆς. ὁ ὀρύσσων βόθρον, εἰς αὐ-
τὸν ἐμπεσεῖται. καὶ καθαιροῦντα φραγμόν, δήξεται αὐτὸν ὄφις.
ἐξαίρων λίθους, διαπονηθήσεται ἐν αὐτοῖς. σχίζων ξύλα, κινδυνεύ-
σει ἐν αὐτοῖς. ἐὰν ἐκπέσῃ τὸ σιδήριον, καὶ αὐτὸς πρόσωπον ἐτά-
ραξεν. καὶ δυνάμεις δυναμώσει, καὶ περισσεία τοῦ ἀνδρὸς σο-
φία. ἐὰν δάκῃ ὄφις ἐν οὐ ψιθυρισμῷ, καὶ οὐκ ἔστι περισσεία τῷ
ἐπάδοντι. λόγοι στόματος σοφοῦ, χάρις. καὶ χείλη ἄφρονος, κατα-
ποντιοῦσιν αὐτόν. ἀρχὴ λόγων στόματος αὐτοῦ ἀφροσύνη, καὶ

ἐσχάτη στόματος αὐτοῦ περιφέρεια πονηρά. ὁ ἄφρων πληθύνει λό-
γους. οὐκ ἔγνω ὁ ἄνθρωπος τί τὸ γενησόμενον. καὶ τί τὸ ἐσόμε-
νον. τί ὀπίσω αὐτοῦ καὶ τίς ἀναγγελεῖ αὐτῷ. μόχθος τῶν ἀφρό-
νων κοπώσει αὐτόν. ὃς οὐκ ἔγνω τοῦ πορευθῆναι εἰς πόλιν. οὐαί
σοι πόλις ἧς ὁ βασιλεύς σου νεώτερος. καὶ οἱ ἄρχοντές σου πρω-
ΐας ἐσθίουσιν. μακαρία γῆ. ἧς ὁ βασιλεύς σου υἱὸς ἐλευθέρων.
καὶ οἱ ἄρχοντές σου πρὸς καιρὸν φάγονται ἐν δυνάμει. καὶ οὐκ
αἰσχυνθήσονται. ἐν ὀκνηρίαις ταπεινωθήσεται ἡ δόκωσις. καὶ ἐν
ἀργίᾳ χειρῶν, στάξει ἡ οἰκία. εἰς γέλωτα ποιοῦσιν ἄρτον. καὶ οἶ-
νον καὶ ἔλαιον τοῦ εὐφρανθῆναι ζῶντας. καὶ τῷ ἀργυρίῳ ἐπα-
κούσεται τὰ πάντα. καί γε ἐν συνειδήσει σου. μὴ καταράσῃ
πλούσιον μηδὲ βασιλέα. καὶ ἐν ταμιείοις κοιτώνων σου μὴ κατα-
ράσῃ πλούσιον. ὅτι πετεινὸν τοῦ οὐρανοῦ ἀποίσει τὴν φωνήν σου.
καὶ ὁ ἔχων τὰς πτέρυγας ἀπαγγελεῖ λόγον σου.

Κεφάλαιον ια. 11.

Ἀπόστειλον τὸν ἄρτον σου ἐπὶ πρόσωπον τοῦ ὕδατος.
α ὅτι ἐν πλήθει τῶν ἡμερῶν, εὑρήσεις αὐτόν. δὸς μερί-
δα τοῖς ἑπτὰ καί γε τοῖς ὀκτώ. ὅτι οὐ γινώσκεις τί
ἔσται πονηρὸν ἐπὶ τῆς γῆς. ἐὰν πληρωθῶσι τὰ νέφη ὑετοῦ. ἐπὶ τὴν γῆν
ἐκχέουσιν. καὶ ἐὰν πέσῃ ξύλον ἐν τῷ νότῳ καὶ ἐὰν ἐν τῷ βορ-
ρᾷ τόπῳ, οὗ πεσεῖται τὸ ξύλον ἐκεῖ ἔσται. τηρῶν ἄνεμον, οὐ σπερεῖ.
καὶ βλέπων ἐν ταῖς νεφέλαις, οὐ θερίσει. ἐν οἷς οὐκ ἔστι γινώσκων,
τίς ἡ ὁδὸς τοῦ πνεύματος. ὡς ὀστᾶ ἐν γαστρὶ τῆς κυοφορούσης, οὕ-
τως οὐ γνώσῃ τὰ ποιήματα τοῦ θεοῦ ὅσα ποιήσει τὰ σύμπαντα.
ἐν τῷ πρωῒ σπεῖρον τὸ σπέρμα σου. καὶ ἐν ἡμέρᾳ μὴ ἀφιέτω ἡ
χείρ σου. ὅτι οὐ γινώσκεις ποῖον στοιχήσει τοῦτο ἢ τοῦτο. καὶ ἐὰν τὰ
δύο ἐπὶ τὸ αὐτὸ ἀγαθά. καὶ γλυκὺ τὸ φῶς. καὶ ἀγαθὸν τοῖς ὀφθαλ-
μοῖς τοῦ βλέπειν σὺν τὸν ἥλιον. ὅτι καὶ ἐὰν ἔτη πολλὰ ζήσεται ὁ
ἄνθρωπος. ἐν πᾶσιν αὐτοῖς εὐφρανθήσεται. καὶ μνησθήσονται,
τὰς ἡμέρας τοῦ σκότους, ὅτι πολλαὶ ἔσονται. πᾶν τὸ ἐρχόμενον

ματαιότης. εὐφραίνου νεανίσκε ἐν νεότητί σου, καὶ ἀγαθυνέτω
σε ἡ καρδία σου ἐν ἡμέραις νεότητός σου. καὶ περιπάτει ἐν ὁ-
δοῖς καρδία σου ἄμωμος. καὶ μὴ ἐν ὁράσει ὀφθαλμῶν σου. καὶ
γνῶσι ὅτι ἐπὶ πᾶσι τούτοις ἄξει σε ὁ θεὸς εἰς κρίσιν. καὶ ἀπό-
στησον θυμὸν ἀπὸ καρδίας σου καὶ παράγαγε πονηρίαν ἀπὸ
σαρκός σου. ὅτι ἡ νεότης καὶ ἡ ἄνοια ματαιότης.

Κεφάλαιον. ιβ. 12.

Αὶ μνήσθητι τοῦ κτίσαντός σε ἐν ἡμέραις νεότητός
κ σου. ἕως ὅτου μὴ ἔλθωσιν αἱ ἡμέραι τῆς κακίας σου.
καὶ φθάσωσιν ἔτη ἐν οἷς ἐρεῖς. οὐκ ἔστιν μοι ἐν αὐτοῖς
θέλημα. ἕως οὗ μὴ σκοτισθῇ ὁ ἥλιος καὶ τὸ φῶς καὶ ἡ σελήνη καὶ
οἱ ἀστέρες. καὶ ἐπιστρέψουσιν τὰ νέφη ὀπίσω τοῦ ὑετοῦ, ἐν ἡμέρᾳ
ᾗ ἐὰν σαλευθῶσιν φύλακες τῆς οἰκίας. καὶ διαστραφῶσιν ἄνδρες
τῆς δυνάμεως. καὶ ἤργησαν αἱ ἀλήθουσαι ὅτι ὠλιγώθησαν. καὶ
σκοτάσουσιν αἱ βλέπουσαι ἐν ταῖς ὀπαῖς. καὶ κλείσουσιν θύ-
ρας ἐν ἀγορᾷ ἐν ἀσθενείᾳ φωνῆς τῆς ἀληθούσης. καὶ ἀναστήσεται
εἰς φωνὴν τοῦ στρουθίου. καὶ ταπεινωθήσονται πᾶσαι αἱ θυγατέ-
ρες τοῦ ᾄσματος. καί γε ἀπὸ ὕψους ὄψονται. καὶ θάμβος ἐν τῇ
ὁδῷ, καὶ ἀνθήσει τὸ ἀμύγδαλον, καὶ παχυνθῇ ἡ ἀκρίς. καὶ δι-
ασκεδασθῇ ἡ κάππαρις ὅτι ἐπορεύθη ὁ ἄνθρωπος εἰς οἶκον αἰ-
ῶνος αὐτοῦ. καὶ ἐκύκλωσαν ἐν ἀγορᾷ οἱ κοπτόμενοι. ἕως ὅτου
μὴ ἀνατραπῇ τὸ σχοινίον τοῦ ἀργυρίου. καὶ συντριβῇ τὸ ἀνθέμιον
τοῦ χρυσίου. συντριβῇ ἡ ὑδρία ἐπὶ τὴν πηγὴν καὶ συντροχάσῃ
ὁ τροχὸς ἐπὶ τὸν λάκκον. καὶ ἐπιστρέψῃ ὁ χοῦς ἐπὶ τὴν γῆν ὡς ἦν
καὶ τὸ πνεῦμα ἐπιστρέψῃ πρὸς τὸν θεόν. ὃς ἔδωκεν αὐτό. μαται-
ότης ματαιοτήτων εἶπεν ὁ ἐκκλησιαστής, τὰ πάντα ματαιότης
καὶ περισσὸν ὅτι ἐγένετο ἐκκλησιαστὴς σοφός. καὶ ὅτι ἐδίδα-
ξε γνῶσιν σὺν τὸν ἄνθρωπον. καὶ οὖς ἐξιχνιάσεται κόσμιον παρα-
βολῶν. πολλὰ ἐζήτησεν ἐκκλησιαστής. τοῦ εὑρεῖν λόγους θελή-
ματος καὶ γεγραμμένον εὐθύτητος λόγους ἀληθείας. λόγοι σο-

φῶν, ὡς τὰ βούκεντρα. καὶ ὡς ἧλοι πυρώμενοι. οἳ παρὰ τῶν συνθημάτων ἐδόθησαν. ἐκ ποιμένος ἑνὸς, καὶ περισσὸν ἐξ αὐτῶν υἱέ μου φυλάξαι. βιβλία ποιῆσαι πολλὰ οὐκ ἔστι περασμός. καὶ μελέτη πολλὴ, κόπωσις σαρκός. τέλος λόγου τὸ πᾶν ἀκούεται. τὸν θεὸν φοβοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ φύλαττε. ὅτι τοῦτο πᾶς ὁ ἄνθρωπος. ὅτι σύμπαν τὸ ποίημα ὁ θεὸς ἄξει ἐν κρίσει. ἐν παντὶ παρεωραμένῳ. ἐάν τε ἀγαθὸν καὶ ἐάν τε πονηρόν.

## ΤΕΛΟΣ ΤΟΥ ἐκκλησιαστοῦ.

## ΕΝ ΤΩ ΕΚΚΛΗΣΙΑΣΤΗ

τελείαν. ὡς ἂν μεγάλοις καὶ τελείοις, παρατίθησι τὴν διδασκαλίαν.

## ΤΑ ΠΡΟΣΩΠΑ ΤΟΥ ΒΙ-
βλίου τοῦ ᾄσματος· νυμφίος ὁ κύριος ἡμῶν· νύμφη ἡ ἐκκλησία· φίλοι τοῦ νυμφίου ἄγγελοι καὶ ἅγιοι· νεάνιδες αἱ τῆς ἐκκλησίας ἀκόλουθοι.

# ΑΣΜΑ ΑΣΜΑΤΩΝ Ο ΕΣΤΙ ΣΑΛΟΜΩΝ.

Κεφάλαιον. α. 1.

φ Ιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ, ὅτι ἀγαθοὶ μαστοί σου ὑπὲρ οἶνον. καὶ ὀσμὴ μύρων σου· ὑπὲρ πάντα τὰ ἀρώματα· μύρον ἐκκενωθὲν ὄνομά σου· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε ἥλκυσάν σε· ὀπίσω σου εἰς ὀσμὴν μύρων σου, δραμοῦμεν. εἰσήνεγκέ με ὁ βασιλεὺς εἰς τὸ ταμεῖον αὐτοῦ. ἀγαλλιασώμεθα. καὶ εὐφρανθῶμεν ἐν σοί. ἀγαπήσωμεν μαστούς σου ὑπὲρ οἶνον. εὐθύτης ἠγάπησέ σε. μέλαινά εἰμι ἐγὼ καὶ καλὴ θυγατέρες Ἱερουσαλήμ. ὡς σκηνώματα κηδάρ. ὡς δέῤῥεις Σαλωμῶν, μὴ βλέψητέ με, ὅτι ἐγώ εἰμι μελανωμένη, ὅτι παρέβλεψέν με ὁ ἥλιος· υἱοὶ μητρός μου, ἐμαχέσαντο ἐν ἐμοί, ἔθεντό με φυλάκισσαν ἐν ἀμπελῶσιν· ἀμπελῶνα ἐμὸν οὐκ ἐφύλαξα· ἀπάγγειλόν μοι ὃν ἠγάπησεν ἡ ψυχή μου· ποῦ ποιμαίνεις· ποῦ κοιτάζεις, ἐν μεσημβρίᾳ· μήποτε γένωμαι ὡσεὶ περιβαλλομένη ἐπ' ἀγέλαις ἑταίρων σου· ἐὰν μὴ γνῷς σεαυτὴν ἡ καλὴ ἐν γυναιξίν.

ἔξελθε

ἔξελθε σὺ ἐν πτέρναις τῶν ποιμνίων. καὶ ποίμαινε, τὰς ἐρίφους σου ἐπὶ σκηνώμασι τῶν ποιμένων. τῇ ἵππῳ μου ἐν ἅρμασι φαραὼ, ὡμοίωσά σε ἡ πλησίον μου. τί ὡραιώθησαν σιαγόνες σου, ὡς τρυγόνος. τράχηλός σου ὡς ὁρμίσκοι, ὁμοιώματα χρυσίου, ποιήσομέν σοι, μετὰ στιγμάτων τοῦ ἀργυρίου. ἕως οὗ ὁ βασιλεὺς ἐνανακλίσει αὐτοῦ. νάρδος μου ἔδωκεν ὀσμὴν αὐτοῦ. ἀπόδεσμος τῆς στακτῆς ἀδελφιδός μου ἀνὰ μέσον τῶν μαστῶν μου αὐλισθήσεται. βότρυς τῆς κύπρου ἀδελφιδός μου ἐμοί. ἐν ἀμπελῶνι ἐν γαδδί. ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου. ἰδοὺ εἶ καλή ὀφθαλμοί σου περιστεραί. ἰδοὺ εἶ καλὸς ἀδελφιδός μου, καί γε ὡραῖος. κλίνη ἡμῶν σύσκιος. δοκοὶ ἡμῶν κέδροι. φατνώματα ἡμῶν κυπάρισσοι.

Κεφ. β. 2.

ἐ

Γὼ ἄνθος τοῦ πεδίου. κρίνον τῶν κοιλάδων. ὡς κρίνον ἐν μέσῳ ἀκανθῶν, οὕτως ἡ πλησίον μου ἀνὰ μέσον τῶν θυγατέρων. ὡς μῆλον ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ. οὕτως ἀδελφιδός μου ἀνὰ μέσον τῶν υἱῶν. ἐν τῇ σκιᾷ αὐτοῦ ἐπεθύμησα, καὶ ἐκάθισα, καὶ καρπὸς αὐτοῦ γλυκὺς ἐν λάρυγγί μου. εἰσαγάγετέ με εἰς οἶκον τοῦ οἴνου. τάξατε ἐπ' ἐμὲ ἀγάπην. στηρίσατέ με ἐν μύροις. στοιβάσατέ με ἐν μήλοις. ὅτι τετρωμένη ἀγάπης ἐγώ. εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. καὶ ἡ δεξιὰ αὐτοῦ περιλήψεταί με. ὥρκισα ὑμᾶς θυγατέρες ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι, καὶ ἐν ἰσχύσεσι τοῦ ἀγροῦ. ἐὰν ἐγείρητε καὶ ἐξεγείρητε τὴν ἀγάπην ἕως οὗ θελήσῃ, φωνὴ τοῦ ἀδελφιδοῦ μου, ἰδοὺ οὗτος ἥκει, πηδῶν ἐπὶ τὰ ὄρη, διαλλόμενος ἐπὶ τοὺς βουνούς. ὅμοιός ἐστιν ἀδελφιδός μου τῇ δορκάδι. ἢ νεβρῷ ἐλάφων ἐπὶ τὰ ὄρη βαιθήλ. ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου ἡμῶν παρακύπτων διὰ τῶν θυρίδων. ἐκκύπτων διὰ τῶν δικτύων. ἀποκρίνεται ἀδελφιδός μου, καὶ λέγει μοι. ἀνάστα ἐλθὲ ἡ πλησίον μου καλή μου περιστερά μου. ὅτι ἰδοὺ ὁ χειμὼν παρῆλθεν. ὁ ὑετὸς ἀπῆλθεν. ἐπορεύθη ἑαυτῷ τὰ ἄνθη ὤφθη ἐν τῇ γῇ. καιρὸς τῆς τομῆς ἔφθακε

κεν· φωνὴ τοῦ τρυγόνος ἠκούσθη ἐν τῇ γῇ ἡμῶν· ἡ συκῆ ἐξήνεγκεν
ὀλύνθους αὐτῆς· αἱ ἄμπελοι κυπρίζουσιν ἔδωκαν ὀσμήν· ἀνάστα,
ἐλθὲ ἡ πλησίον μου καλή μου περιστερά μου· δεῦρο καὶ ἐλθέ· σὺ
περιστερά μου, ἐν σκέπῃ τῆς πέτρας· ἐχόμενα τοῦ προτειχίσμα-
τος· δεῖξόν μοι τὴν ὄψιν σου· καὶ ἀκούτισόν με τῆς φωνῆς σου·
ὅτι ἡ φωνή σου ἡδεῖα· καὶ ἡ ὄψις σου ὡραία· πιάσατε ἡμῖν ἀλώ-
πεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας· καὶ αἱ ἄμπελοι ἡμῶν κυ-
πρίζουσιν· ἀδελφιδός μου ἐμοὶ κἀγὼ αὐτῷ· ὁ ποιμαίνων ἐν
τοῖς κρίνοις ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα· καὶ κινηθῶσιν αἱ σκιαί·
ἀπόστρεψον ὁμοιώθητι σὺ ἀδελφιδέ μου τῷ δόρκωνι· ἢ νεβρῷ
ἐλάφων ὄρη κυκλωμάτων.

Κεφ. γ. 3.

Ἐπὶ κοίτην μου ἐν νυξίν· ἐζήτησα ὃν ἠγάπησεν ἡ ψυ-
χή μου· ἐζήτησα αὐτὸν, καὶ οὐχ εὗρον αὐτόν· ἐπεκά-
λεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέν μου. ἀναστήσομαι δὴ
καὶ κυκλώσω ἐν τῇ πόλει· ἐν ταῖς ἀγοραῖς, καὶ ἐν ταῖς πλατεί-
αις καὶ ζητήσω ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐζήτησα αὐτὸν καὶ οὐχ
εὗρον αὐτόν· ἐπεκάλεσα αὐτὸν, καὶ οὐχ ὑπήκουσέν μου· εὕροσάν
με οἱ τηροῦντες οἱ κυκλοῦντες ἐν τῇ πόλει· μὴ ὃν ἠγάπησεν ἡ
ψυχή μου εἴδετε; ὡς μικρὸν ὅτε παρῆλθον ἀπ' αὐτῶν ἕως οὗ εὗρον
ὃν ἠγάπησεν ἡ ψυχή μου· ἐκράτησα αὐτὸν καὶ οὐκ ἀφῆκα αὐτόν·
ἕως οὗ εἰσήγαγον αὐτὸν εἰς οἶκον μητρός μου· καὶ εἰς ταμεῖον τῆς
συλλαβούσης με· ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυ-
νάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ· ἐὰν ἐγείρητε καὶ ἐξεγ-
είρητε τὴν ἀγάπην ἕως ἂν θελήσῃ. Τίς αὕτη ἡ ἀναβαίνουσα
ἐκ τῆς ἐρήμου· ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρναν καὶ λί-
βανον, ἀπὸ πάντων κονιορτῶν μυρεψοῦ. ἰδοὺ ἡ κλίνη τοῦ Σολομῶν·
ἑξήκοντα δυνατοὶ κύκλῳ αὐτοῦ· ἀπὸ δυνατῶν Ἰσραήλ· πάντες
κατέχοντες ῥομφαίαν· δεδιδαγμένοι πόλεμον· ἀνὴρ ῥομφαί-
αν αὐτοῦ ἐπὶ μηρὸν αὐτοῦ· ἀπὸ θάμβους ἐν νυξίν· φορεῖον ἐποίη-
σεν ἑαυτῷ ὁ βασιλεὺς Σολομῶν· ἀπὸ ξύλων τοῦ Λιβάνου· στύλους

αὐτοῦ ἐποίησεν ἀργύρεον, καὶ ἀνάκλιτον αὐτοῦ χρύσεον· ἐπίβα-
σις αὐτοῦ πορφυρᾶ· ἐντὸς αὐτοῦ λιθόστρωτον· ἀγάπην ἀπὸ θυγα-
τέρων ἱερουσαλήμ. θυγατέρες σιὼν ἐξέλθετε καὶ ἴδετε ἐν τῷ
βασιλεῖ σαλωμὼν ἐν τῷ στεφάνῳ ᾧ ἐστεφάνωσεν αὐτὸν ἡ μήτηρ
αὐτοῦ. ἐν ἡμέρᾳ νυμφεύσεως αὐτοῦ, καὶ ἐν ἡμέρᾳ εὐφροσύνης
καρδίας αὐτοῦ.

## Κεφάλαιον. δ. 4.

i Ἰδοὺ εἶ καλὴ ἡ πλησίον μου ἰδοὺ εἶ καλή· ὀφθαλμοί
σου περιστεραὶ, ἐκτὸς τῆς σιωπήσεώς σου· τρίχωμά σου,
ὡς ἀγέλαι τῶν αἰγῶν, αἳ ἀπεκαλύφθησαν ἀπὸ τοῦ γα-
λαάδ. ὀδόντες σου ὡς ἀγέλαι τῶν κεκαρμένων· αἳ ἀνέβησαν ἀπὸ
τοῦ λουτροῦ· αἱ πᾶσαι διδυμεύουσαι, καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐ-
ταῖς. ὡς σπαρτίον τὸ κόκκινον χείλη σου· καὶ ἡ λαλιά σου ὡραία.
ὡς λέπυρον τῆς ῥόας μῆλόν σου· ἐκτὸς τῆς σιωπήσεώς σου. ὡς πύρ-
γος δαβὶδ τράχηλός σου. ὁ ᾠκοδομημένος εἰς θαλπιώθ· χίλιοι
θυρεοὶ κρέμανται ἐπ᾽ αὐτόν. πᾶσαι βολίδες τῶν δυνατῶν. δύο
μαστοί σου. ὡς δύο νεβροὶ δίδυμοι δορκάδος οἱ νεμόμενοι ἐν
κρίνοις, ἕως οὗ διαπνεύσῃ ἡ ἡμέρα, καὶ κινηθῶσιν αἱ σκιαὶ πο-
ρεύσομαι ἐμαυτῷ, πρὸς τὸ ὄρος τῆς σμύρνης, καὶ πρὸς βουνὸν τοῦ
λιβάνου. ὅλη καλὴ ἡ πλησίον μου· καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. δεῦ-
ρο ἀπὸ λιβάνου νύμφη, δεῦρο ἀπὸ λιβάνου· ἐλεύσῃ καὶ διελεύ-
σῃ ἀπαρχῆς πίστεως· ἀπὸ κεφαλῆς σανὶρ καὶ ἀερμών· ἀπὸ μαν-
δρῶν λεόντων. ἀπὸ ὀρέων παρδάλεων ἐκαρδίωσας ἡμᾶς ἀ-
δελφὴ ἡμῶν νύμφη. ἐκαρδίωσας ἡμᾶς ἑνὶ ἀπὸ ὀφθαλμῶν σου
ἐν μιᾷ ἐνθέματι τραχήλῳ σου. τί ἐκαλλιώθησαν μαστοί σου ἀδελ-
φή μου νύμφη. τί ἐκαλλιώθησαν μαστοί σου ἀπὸ οἴνου. καὶ ὀσμὴ
ἱματίων σου ὑπὲρ πάντα ἀρώματα. κηρίον ἀποστάζουσι χεί-
λη σου νύμφη. μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου. καὶ ὀσ-
μὴ ἱματίων σου, ὡς ὀσμὴ λιβάνου. κῆπος κεκλεισμένος ἀ-
δελφή μου νύμφη· κῆπος κεκλεισμένος πηγὴ ἐσφραγισμένη.

ἀποστολαί σου παράδεισος ῥοῶν μετὰ καρποῦ ἀκροδρύων. κύ-
προι μετὰ νάρδων. νάρδος καὶ κρόκος κάλαμος καὶ κινάμωμον
ἀπὸ πάντων ξύλων τοῦ λιβάνου. σμύρνα. ἀλωή, μετὰ πάντων πρώ-
των μύρων. πηγὴ κήπου, καὶ φρέαρ ὕδατος ζῶντος. καὶ ῥοιζοῦντος
ἀπὸ τοῦ λιβάνου. ἐξεγέρθητι βοῤῥᾶ, καὶ ἔρχου, νότε. καὶ διάπνευ-
σον κῆπόν μου, καὶ ῥευσάτωσαν ἀρώματά σου. Κεφ. ε. 5.

Αταβήτω ἀδελφιδός μου, εἰς κῆπον αὐτοῦ, καὶ φα-
κ γέτω καρπὸν ἀκροδρύων αὐτοῦ. εἰσῆλθον εἰς κῆπον
μου ἀδελφή μου νύμφη. ἐτρύγησα σμύρναν μου μετὰ
ἀρωμάτων μου. ἔφαγον ἄρτον μου μετὰ μέλιτός μου. ἔπιον οἶνόν
μου μετὰ γάλακτός μου. φάγεται οἱ πλησίοι καὶ πίετε. καὶ με-
θύσθητε ἀδελφοί. ἐγὼ καθεύδω καὶ ἡ καρδία μου ἀγρυπνεῖ. φω-
νὴ ἀδελφιδοῦ μου, κρούει ἐπὶ τὴν θύραν. ἄνοιξόν μοι ἡ πλησίον
μου ἀδελφή μου. περιστερά μου τελεία μου. ὅτι ἡ κεφαλή μου, ἐπλή-
σθη δρόσου, καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός. ἐξεδυσάμην
τὸν χιτῶνά μου. πῶς ἐνδύσωμαι αὐτόν ἐνιψάμην τοὺς πόδας μου,
πῶς μολυνῶ αὐτούς. ἀδελφιδός μου ἀπέστειλεν χεῖρα αὐτοῦ διὰ
τῆς ὀπῆς. καὶ ἡ κοιλία μου ἐθροήθη ἐπ' αὐτόν. ἀνέστην ἐγὼ ἀνοῖ-
ξαι τῷ ἀδελφιδῷ μου, χεῖρές μου ἔσταξαν σμύρναν δάκτυλοί
μου σμύρναν πλήρη. ἐπὶ χεῖρας τοῦ κλείθρου. Ἤνοιξα ἐγὼ τῷ ἀ-
δελφιδῷ μου, ἀδελφιδός μου, παρῆλθεν. ψυχή μου ἐξῆλθεν ἐν
λόγῳ αὐτοῦ. ἐζήτησα αὐτόν, καὶ οὐχ εὗρον αὐτόν. ἐκάλεσα αὐτὸν
καὶ οὐχ ὑπήκουσέ μου. εὕροσάν με οἱ φύλακες οἱ κυκλοῦντες
ἐν τῇ πόλει. ἐπάταξάν με ἐτραυμάτισάν με. ἦραν τὸ θέριστρόν
μου ἀπ' ἐμοῦ, φύλακες τῶν τειχέων. ὥρκισα ὑμᾶς θυγατέρες ἱερου-
σαλήμ. ἐν ταῖς δυνάμεσι, καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. ἐὰν
εὕρητε τὸν ἀδελφιδόν μου ἀπαγγείλατε αὐτῷ, ὅτι τετρωμένη ἀγά-
πης ἐγώ εἰμι. τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ ἡ καλὴ ἐν γυναι-
ξί. τί ἀδελφιδός σου ἀπὸ ἀδελφιδοῦ. ὅτι οὕτως ὥρκισας ἡμᾶς ὁ
ἀδελφιδός μου λευκὸς καὶ πυῤῥός. ἐκλελογισμένος ἀπὸ μυ-

εἰκάδων. κεφαλὴ αὐτοῦ χρυσίον. βόστρυχοι αὐτοῦ, ἐλάται μέ-
λανες ὡς κόραξ. ὀφθαλμοὶ αὐτοῦ ὡς περιστεραὶ, ἐπὶ πληρώ-
ματα ὑδάτων, λελουμέναι ἐν γάλακτι. καθήμεναι ἐπὶ πληρώ-
ματα ὑδάτων. σιαγόνες αὐτοῦ ὡς φιάλαι τοῦ ἀρώματος φύουσαι
μυρεψικά. χείλη αὐτοῦ, κρίνα στάζοντα σμύρναν πλήρη. χεῖρες
αὐτοῦ τορευταὶ χρυσαῖ πεπληρωμέναι θαρσεῖς. κοιλία αὐτοῦ, πυ-
ξίον ἐλεφάντινον ἐπὶ λίθου σαπφείρου. κνῆμαι αὐτοῦ, στῦλοι μαρ-
μάρινοι. τεθεμελιωμένοι ἐπὶ βάσεις χρυσᾶς. εἶδος αὐτοῦ, ὡς λί-
βανος ἐκλεκτὸς ὡς κέδροι. φάρυγξ αὐτοῦ γλυκασμὸς καὶ ὅλος
ἐπιθυμία. οὗτος ἀδελφιδός μου, καὶ οὗτος πλησίον μου θυγατέρες
ἱερουσαλήμ. ποῦ ἀπῆλθεν ὁ ἀδελφιδός σου ἡ καλὴ ἐν γυναιξίν.
ποῦ ἀπέβλεψεν ὁ ἀδελφιδός σου. καὶ ζητήσομεν αὐτὸν μετὰ σοῦ.

Κεφάλαιον. ς. 6.

α Δελφιδός μου κατέβη εἰς κῆπον αὐτοῦ. εἰς φιάλας
τοῦ ἀρώματος, ποιμαίνειν ἐν κήποις καὶ συλλέγειν
κρίνα. ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ἀδελφιδός μου ἐμοί. ὁ ποι-
μαίνων ἐν τοῖς κρίνοις. καλὴ ἡ πλησίον μου ὡς εὐδοκία. ὡραία
ὡς ἱερουσαλήμ. θάμβος ὡς τεταγμέναι. ἀπόστρεψον ὀφθαλμούς
σου ἀπεναντίον μου. ὅτι αὐτοὶ ἀνεπτέρωσάν με. τρίχωμά σου ὡς
ἀγέλαι τῶν αἰγῶν. αἳ ἀνέβησαν, ἀπὸ τοῦ γαλαάδ. ὀδόντες σου
ὡς ἀγέλαι τῶν κεκαρμένων. αἳ ἀνέβησαν ἀπὸ τοῦ λουτροῦ. αἳ πά-
σαι διδυμεύουσαι. καὶ ἀτεκνοῦσα οὐκ ἔστιν ἐν αὐταῖς. ὡς σπαρτί-
ον κόκκινον χείλη σου. καὶ ἡ λαλιά σου ὡραία. ὡς λέπυρος τῆς ῥό-
ας μῆλόν σου. ἐκτὸς τῆς σιωπήσεώς σου. ἑξήκοντα εἰσὶ βασίλισ-
σαι καὶ ὀγδοήκοντα παλλακαί. καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός.
μία ἐστὶν περιστερά μου. τελεία μου. μία ἐστὶ τῇ μητρὶ αὐτῆς ἐκλε-
κτὴ τῇ τεκούσῃ αὐτήν. ἴδοσαν αὐτὴν θυγατέρες καὶ ἐμακάρι-
σαν αὐτὴν βασίλισσαι καί γε παλλακαὶ καὶ αἰνέσουσιν αὐτήν.
Τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεὶ ὄρθρος. καλὴ ὡς σελήνη. ἐκλεκτὴ
ὡς ὁ ἥλιος. θάμβος ὡς τεταγμένη. εἰς κῆπον καρύας κατέβην

ἰδεῖν ἐν γεννήμασι τοῦ χειμάῤῥου. ἰδεῖν εἰ ἤνθησεν ἡ ἄμπελος ἐξ
ένθησαν αἱ ῥοαί. ἐκεῖ δώσω τοὺς μαστούς μου σοί. οὐκ ἔγνω ἡ ψυ
χή μου. ἔθετό με ἅρματα ἀμιναδάβ. ἐπίστρεφε ἐπίστρεφε ἡ σου
λαμῖτις. ἐπίστρεφε καὶ ὀψόμεθα ἐν σοί. Κεφ. ζ. ⁊.

Ι ὄψεσθε ἐν τῇ σουλαμίτιδι ἡ ἐρχομένη ὡς χοροὶ τῶν
τ παρεμβολῶν. τί ὡραιώθησαν διαβήματά σου ἐν ὑπο
δήμασιν σου θύγατερ ναδάβ. ῥυθμοὶ μηρῶν σου ὅ-
μοιοι ὁρμίσκοις. ἔργῳ χειρῶν τεχνίτου. ὀμφαλός σου κρατὴρ το-
ρευτὸς μὴ ὑστερούμενος κρᾶμα. κοιλία σου θημωνία σίτου, πε-
φραγμένη ἐν κρίνοις. δύο μαστοί σου, ὡς δύο νεβροὶ δίδυμοι
δορκάδος. ὁ τράχηλός σου, ὡς πύργος ἐλεφάντινος. οἱ ὀφθαλ
μοί σου. ὡς λίμναι ἐν ἐσεβὼν, ἐν πύλαις θυγατρὸς πολλῶν. μυ-
κτήρ σου, ὡς πύργος τοῦ λιβάνου, σκοπεύων πρόσωπον δαμα-
σκοῦ. κεφαλή σου ἐπὶ σὲ ὡς κάρμηλος. καὶ πλόκιον κεφαλῆς σου
ὡς πορφύρα. βασιλεὺς δεδεμένος ἐν παραδρομαῖς. τί ὡραιώ
θης, καὶ τί ἡδύνθης, ἀγάπη ἐν τρυφαῖς σου. τοῦτο μέγεθός σου ὡ-
μοιώθης τῷ φοίνικι, καὶ οἱ μαστοί σου τοῖς βότρυσιν. εἶπα ἀναβή
σομαι ἐπὶ τῷ φοίνικι, κρατήσω τῶν ὕψεων αὐτοῦ. καὶ ἔσονται
δὴ μαστοί σου, ὡς βότρυες τῆς ἀμπέλου. καὶ ὀσμὴ ῥινός σου. ὡς
μῆλα, καὶ ὁ λάρυγξ σου, ὡς οἶνος ὁ ἀγαθὸς πορευόμενος τῷ ἀ-
δελφιδῷ μου εἰς εὐθύτητας. ἱκανούμενος χείλεσί μου καὶ ὀδοῦ-
σιν, ἐγὼ τῷ ἀδελφιδῷ μου καὶ ἐπ᾽ ἐμὲ ἡ ἐπιστροφὴ αὐτοῦ. ἐλ-
θὲ ἀδελφιδέ μου ἐξέλθωμεν εἰς ἀγρὸν αὐλισθῶμεν ἐν κώμαις. ὀρ
θρίσωμεν εἰς ἀμπελῶνας. ἴδωμεν εἰ ἤνθησεν ἡ ἄμπελος. ἤνθη
σεν ὁ κυπρισμός. ἤνθησαν αἱ ῥοαί. ἐκεῖ δώσω τοὺς μαστούς μου
σοί. οἱ μανδραγόραι ἔδωκαν ὀσμήν. καὶ ἐπὶ θύραις ἡμῶν πάν
τα ἀκρόδρυα. νέα πρὸς παλαιὰ ἀδελφιδέ μου ἐτήρησά σοι.

Κεφάλαιον. η. Ϛ.

τ Ις δῴη σε ἀδελφιδέ μου θηλάζοντα μαστοὺς μητρός
μου. εὑροῦσά σε ἔξω, φιλήσω σε. καί γε οὐκ ἐξουδε-

νώσουσί μου. παραλήψομαί σε εἰσάξω σε εἰς οἶκον μητρός μου. καὶ εἰς ταμεῖον τῆς συλλαβούσης με, διδάξεις με. ποτιῶ σε ἀπὸ οἴνου τοῦ μυρεψικοῦ. ἀπὸ νάματος ῥοῶν μου. εὐώνυμος αὐτοῦ ὑπὸ τὴν κεφαλήν μου. καὶ ἡ δεξιὰ αὐτοῦ παραλήψεταί με. ὥρκισα ὑμᾶς θυγατέρες Ἱερουσαλὴμ ἐν ταῖς δυνάμεσι. καὶ ἐν ταῖς ἰσχύσεσι τοῦ ἀγροῦ. τί ἐγείρητε καὶ τί ἐξεγείρητε ἀγάπην ἕως ἂν θελήσῃ. τίς αὕτη ἡ ἀναβαίνουσα λελευκανθισμένη, ἐπιστηριζομένη ἐπὶ τὸν ἀδελφιδὸν αὐτῆς. ὑπὸ μῆλον ἐξήγειρά σε. ἐκεῖ ὠδίνησέ σε ἡ μήτηρ σου. ἐκεῖ ὠδίνησέν σε ἡ τεκοῦσά σε. θές με ὡς σφραγῖδα ἐπὶ τὴν καρδίαν σου. ὡς σφραγῖδα ἐπὶ τὸν βραχίονά σου ὅτι κραταιὰ ὡς θάνατος ἀγάπη. σκληρὸς ὡς ᾅδης ζῆλος. περίπτερα αὐτῆς περίπτερα πυρός. ἄνθρακες πυρός, φλόγες αὐτῆς. ὕδωρ πολὺ οὐ δυνήσεται σβέσαι τὴν ἀγάπην. καὶ ποταμοὶ οὐ συγκλύσουσιν αὐτήν. ἐὰν δῷ ἀνὴρ πάντα τὸν βίον αὐτοῦ ἐν τῇ ἀγάπῃ ἐξουδενώσει ἐξουδενώσουσιν αὐτόν. ἀδελφὴ ἡμῶν μικρὰ καὶ μαστοὺς οὐκ ἔχει. τί ποιήσωμεν τῇ ἀδελφῇ ἡμῶν. ἐν ἡμέρᾳ, ᾗ ἐὰν λαληθῇ ἐν αὐτῇ. εἰ τεῖχός ἐστιν οἰκοδομήσωμεν ἐπ᾽ αὐτὴν ἐπάλξεις ἀργυρᾶς. καὶ εἰ θύρα ἐστί, διαγράψωμεν ἐπ᾽ αὐτὴν σανίδα κεδρίνην. ἐγὼ τεῖχος καὶ οἱ μαστοί μου, ὡς πύργος. ἐγὼ ἤμην ἐν ὀφθαλμοῖς αὐτοῦ εὑρίσκουσα εἰρήνην. ἀμπελὼν ἐγενήθη τῷ Σαλωμὼν. ἐν Βεελαμὼν. ἔδωκεν τὸν ἀμπελῶνα αὐτοῦ τοῖς τηροῦσιν. ἀνὴρ οἴσει ἐν καρπῷ αὐτοῦ χιλίους ἀργυρίου. ἀμπελών μου ἐμὸς ἐνώπιόν μου. οἱ χίλιοι τῷ Σαλωμὼν καὶ οἱ διακόσιοι τοῖς τηροῦσι τὸν καρπὸν αὐτοῦ. ὁ καθήμενος ἐν κήποις, ἑταῖροι προσέχοντες τῆς φωνῆς σου ἀκούτισόν με. φύγε ἀδελφιδέ μου καὶ ὁμοιώθητι τῇ δορκάδι. ἢ τῷ νεβρῷ τῶν ἐλάφων ἐπὶ τὰ ὄρη ἀρωμάτων.

ΤΕΛΟΣ ΤΟΥ

ἄσματος τῶν ᾀσμάτων.

# ΗΣΑΙΑΣ.

Κεφάλαιον. α. ι.

ὍΡασις ἣν εἶδεν ἡσαΐας υἱὸς ἀμώς. ἣν
εἶδε κατὰ τῆς ἰουδαίας καὶ κατὰ ἱερουσα-
λήμ. ἐν βασιλείᾳ ὀζίου καὶ ἰωάθαμ.
καὶ ἄχαζ καὶ ἐζεκίου, οἳ ἐβασίλευσαν
τῆς ἰουδαίας. Ἄκουε οὐρανὲ, καὶ ἐνω-
τίζου γῆ, ὅτι κύριος ἐλάλησεν. υἱοὺς, ἐ-
γέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέ-
τησαν. ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυ-
ρίου αὐτοῦ. ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆ-
κεν. οὐαὶ ἔθνος ἁμαρτωλὸν. λαὸς πλήρης ἁμαρτιῶν. σπέρμα
πονηρὸν, υἱοὶ ἄνομοι. ἐγκατελίπετε τὸν κύριον, καὶ παρωργί-
σατε τὸν ἅγιον τοῦ ἰσραήλ. ἀπηλλοτριώθησαν εἰς τὰ ὀπίσω τί ἔτι
πληγῆτε προστιθέντες ἀνομίαν. πᾶσα κεφαλὴ εἰς πόνον. καὶ πᾶ-
σα καρδία εἰς λύπην. ἀπὸ ποδῶν ἕως κεφαλῆς οὐκ ἔστιν ἐν αὐ-
τῷ ὁλοκληρία. οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλε-
γμαίνουσα. οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι. οὔτε ἔλαιον, οὔτε κα-
ταδέσμους. ἡ γῆ ὑμῶν ἔρημος. αἱ πόλεις ὑμῶν, πυρίκαυστοι.
τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν, ἀλλότριοι κατεσθίουσιν αὐτήν.
καὶ ἠρήμωται. κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων. ἐγκατα-
λειφθήσεται ἡ θυγάτηρ σιὼν. ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς
ὀπωροφυλάκιον, ἐν σικυηράτῳ. ὡς πόλις πολιορκουμένη. καὶ
εἰ μὴ κύριος σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς σόδο-
μα ἂν ἐγενήθημεν, καὶ ὡς γόμορρα ἂν ὡμοιώθημεν. Ἀκού-

σατε λόγον κυρίου, ἄρχοντες σοδόμων. προσέχετε νόμον θεοῦ,
ὁ λαὸς γομόῤῥας. τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν λέγει κύριος.
πλήρης εἰμὶ ὁλοκαυτωμάτων καὶ κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ
αἷμα ταύρων καὶ τράγων. οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆ-
ναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν
τὴν αὐλήν μου οὐ προσθήσεσθε. ἐὰν φέρητε σεμίδαλιν, μά-
ταιον θυμίαμα, βδέλυγμά μοι ἐστί, τὰς νουμηνίας ὑμῶν, καὶ
τὰ σάββατα καὶ ἡμέραν μεγάλην, οὐκ ἀνέχομαι νηστείαν, καὶ
ἀργίαν καὶ τὰς νουμηνίας ὑμῶν, καὶ τὰς ἑορτὰς ὑμῶν, μισεῖ
ἡ ψυχή μου. ἐγενήθητέ μοι εἰς πλησμονήν. οὐκέτι ἀνήσω τὰς
ἁμαρτίας ὑμῶν. ὅταν ἐκτείνητε τὰς χεῖρας, ἀποστρέψω τοὺς
ὀφθαλμούς μου, ἀφ' ὑμῶν. καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ
εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις.
λούσασθε, καθαροὶ γένεσθε. ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυ-
χῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. παύσασθε ἀπὸ τῶν
πονηριῶν ὑμῶν. μάθετε καλὸν ποιεῖν. ἐκζητήσατε κρίσιν. ῥύ-
σασθε ἀδικούμενον. κρίνατε ὀρφανῷ. καὶ δικαιώσατε χήραν.
καὶ δεῦτε καὶ διαλεχθῶμεν λέγει κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁ-
μαρτίαι ὑμῶν, ὡς φοινικοῦν. ὡς χιόνα λευκανῶ. ἐὰν δὲ ὦσιν
ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. καὶ ἐὰν θέλητε, καὶ εἰσακού-
σητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰ-
σακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα κυρίου,
ἐλάλησε ταῦτα. πῶς ἐγένετο πόρνη πόλις πιστὴ σιὼν πλήρης
κρίσεως. ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη ἐν αὐτῇ. νῦν δὲ φονευταί.
τὸ ἀργύριον ὑμῶν, ἀδόκιμον. οἱ κάπηλοί σου, μίσγουσι τὸν οἶνον
ὕδατι. οἱ ἄρχοντές σου ἀπειθοῦσι. κοινωνοὶ κλεπτῶν. ἀγαπῶν-
τες δῶρα. διώκοντες ἀνταπόδομα. ὀρφανοῖς οὐ κρίνοντες.
καὶ κρίσιν χηρῶν, οὐ προσέχοντες. διὰ τοῦτο τάδε λέγει ὁ δε-
σπότης κύριος σαβαώθ. οὐαὶ οἱ ἰσχύοντες ἰσραήλ. οὐ παύσεται
γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις. καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν

μου ποιήσω καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ. καὶ πυρώσω εἰς καθαρόν, τοὺς ἀπειθοῦντας. καὶ ἀφελῶ πάντας τοὺς ἀνόμους ἀπὸ σοῦ. καὶ πάντας ὑπερηφάνους, καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον. καὶ τοὺς συμβούλους σου, ὡς τὸ ἀπ' ἀρχῆς. καὶ μετὰ ταῦτα κληθήσῃ, πόλις δικαιοσύνης. μητρόπολις πιστὴ σιών. μετὰ γὰρ κρίματος, σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης. καὶ συντριβήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα. καὶ οἱ ἐγκαταλιπόντες τὸν κύριον, συντελεσθήσονται. διότι αἰσχυνθήσονται ἀπὸ τῶν εἰδώλων αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο. καὶ ἐπαισχύνθησαν ἐπὶ τοῖς κήποις, ἃ ἐπεθύμησαν. ἔσονται γὰρ ὡς περ τερέβινθος, ἀποβεβληκυῖα τὰ φύλλα. καὶ ὡς παράδεισος, ὕδωρ μὴ ἔχων. καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππείου καὶ αἱ ἐργασίαι αὐτῶν ἅμα, ὡς σπινθῆρες, καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οὐκ ἔσται ὁ σβέσων.

Κεφ. β. 2.

Ο Λόγος ὁ γενόμενος πρὸς ἠσαΐαν υἱὸν ἀμὼς περὶ τῆς ἰουδαίας, καὶ περὶ ἱερουσαλήμ. ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος κυρίου. καὶ ὁ οἶκος τοῦ θεοῦ. ἐπ' ἄκρου τῶν ὀρέων. καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν. καὶ ἥξουσιν ἐν αὐτῇ, πάντα τὰ ἔθνη. καὶ πορεύσονται ἔθνη πολλὰ καὶ ἐροῦσι. δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακώβ. καὶ ἀναγγελεῖ ὑμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ. ἐκ γὰρ σιών, ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλήμ. καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. καὶ ἐξελέγξει λαὸν πολύν. καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν, εἰς ἄροτρα. καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα. καὶ οὐ λήψεται ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. καὶ νῦν ὁ οἶκος ἰακώβ, δεῦτε καὶ πορευθῶμεν ἐν τῷ φωτὶ κυρίου. ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ ἰακώβ. ὅτι ἐνεπλήσθη ὡς τὸ ἀπαρχῆς ἡ χώρα αὐτῶν κληδονισμῶν. ὡς ἡ τῶν ἀλλοφύλων.

καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν, ἀργυρίου καὶ χρυσίου. καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν. καὶ ἐνεπλήσθη ἡ γῆ ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν. καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων τῶν ἔργων τῶν χειρῶν αὐτῶν. καὶ προσεκύνησαν οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν, καὶ ἔκυψεν ἄνθρωπος καὶ ἐταπεινώθη ἀνὴρ καὶ οὐ μὴ ἀνήσω αὐτούς. καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας καὶ κρύπτεσθε τῇ γῇ ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ δόξης τῆς ἰσχύος αὐτοῦ. ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. οἱ γὰρ ὀφθαλμοὶ κυρίου, ὑψηλοί. ὁ δὲ ἄνθρωπος, ταπεινός. καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων. καὶ ὑψωθήσεται κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἡμέρα γὰρ κυρίου σαββαὼθ ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον, καὶ ταπεινωθήσονται. ὑπὸ πᾶσαν κέδρον τοῦ λιβάνου τῶν ὑψηλῶν καὶ μετέωρον. καὶ ἐπὶ πᾶν δένδρον βαλάνου βασάν. καὶ ἐπὶ ὑψηλὸν ὄρος. καὶ ἐπὶ πάντα βουνὸν ὑψηλόν. καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν. καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης. καὶ ἐπὶ πᾶσαν θέαν πλοίων κάλλους. καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος. καὶ πεσεῖται ὕψος τῶν ἀνθρώπων καὶ ὑψωθήσεται κύριος μόνος. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τὰ χειροποίητα πάντα κατακρύψουσιν. εἰσενέγκαντες εἰς τὰ σπήλαια. καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν. καὶ εἰς τὰς τρώγλας τῆς γῆς. ἀπὸ προσώπου τοῦ φόβου κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ. ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ, ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ. ἃ ἐποίησαν προσκυνεῖν τοῖς ματαίοις. καὶ ταῖς νυκτερίσι, τοῦ εἰσελθεῖν εἰς τὰς τρώγλας τὰς στερεὰς πέτρας καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ φόβου κυρίου. καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. παύσασθε ὑμεῖς ἀπὸ τοῦ ἀνθρώπου οὗ ἀναπνοὴ ἐν μυκτῆρι αὐτοῦ. ὅτι ἐν τίνι ἐλογίσθη.

Κεφάλαιον. γ. 3.

Δοὺ δὴ ὁ δεσπότης κύριος σαβαὼθ ἀφελεῖ ἀπὸ
i ἰσραήλ, καὶ ἀπὸ τῆς ἰουδαίας ἰσχύοντα καὶ ἰσχύουσαν
ἰσχὺν ἄρτου καὶ ἰσχὺν ὕδατος. γίγαντα καὶ ἰσχύοντα,
ἄνθρωπον, πολεμιστὴν. καὶ δικαστὴν καὶ προφήτην καὶ στοχα-
στὴν, καὶ πρεσβύτην. καὶ πεντηκόνταρχον καὶ θαυμαστὸν σύμ-
βουλον. καὶ σοφὸν ἀρχιτέκτονα. καὶ συνετὸν ἀκροατήν. καὶ ἐπι-
στήσω νεανίσκους ἄρχοντας αὐτῶν καὶ ἐμπαῖκται κυριεύσουσιν
αὐτῶν καὶ συμπεσεῖται ὁ λαός. ἄνθρωπος πρὸς ἄνθρωπον
καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ, προκόψει τὸ παιδίον, πρὸς τὸν
πρεσβύτην. ὁ ἄτιμος, πρὸς τὸν ἔντιμον. ὅτι ἐπιλήψεται ἄν-
θρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ. λέ-
γων. ἱμάτιον ἔχεις, ἀρχηγὸς γενοῦ ἡμῶν. καὶ τὸ βρῶμα τὸ ἐμὸν,
ὑπὸ σὲ ἔσω καὶ ὑποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐρεῖ. οὐκ ἔσομαί
σου ἀρχηγός. οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος οὐδὲ ἱμάτιον. οὐκ
ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου. ὅτι ἀνεῖται ἱερουσαλήμ. καὶ ἡ ἰου-
δαία, συμπέπτωκε. καὶ αἱ γλῶσσαι αὐτῶν, μετὰ ἀνομίας.
τὰ πρὸς κύριον ἀπειθοῦντες. διότι νῦν ἐταπεινώθη ἡ δόξα αὐ-
τῶν, καὶ ἡ αἰσχύνη αὐτῶν τοῦ προσώπου ἀντέστη αὐτοῖς. τὴν
δὲ ἁμαρτίαν αὐτῶν ὡς σοδόμων ἀνήγγειλαν καὶ ἐνεφάνισαν. οὐαὶ
τῇ ψυχῇ αὐτῶν. διότι βεβούλευνται βουλὴν πονηράν. καθ' ἑαυτῶν
εἰπόντες. δήσωμεν τὸν δίκαιον ὅτι δύσχρηστος ἡμῖν ἐστι. τοίνυν
τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. οὐαὶ τῷ ἀνόμῳ
πονηρὰ κατὰ ἔργα τῶν χειρῶν αὐτοῦ, συμβήσεται αὐτῷ. λα-
ός μου. οἱ πράκτορες ὑμῶν, καλαμῶνται ὑμᾶς. καὶ οἱ ἀπαιτοῦντες
κυριεύουσιν ὑμῶν. λαός μου οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν
ὑμᾶς. καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν, ταράσσουσιν. ἀλλὰ νῦν
καταστήσεται εἰς κρίσιν κύριος. καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐ-
τοῦ. αὐτὸς κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ,
καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ. ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπε-

λῶνά μου. καὶ ἡ ἁρπαγὴ τοῦ πτωχοῦ ἐν τοῖς οἴκοις ὑμῶν. τί ὑ-
μεῖς ἀδικεῖτε τὸν λαόν μου, καὶ τὸ πρόσωπον τῶν πτωχῶν κα-
ταισχύνετε, φησὶ κύριος. κύριος στρατιῶν. τάδε λέγει κύριος. ἀνθ'
ὧν ὑψώθησαν αἱ θυγατέρες σιὼν, καὶ ἐπορεύθησαν ὑψηλῷ τρα-
χήλῳ. καὶ ἐν νεύμασιν ὀφθαλμῶν καὶ τῇ πορείᾳ τῶν ποδῶν ἅμα
σύρουσαι τοὺς χιτῶνας καὶ τοῖς ποσὶν ἅμα παίζουσαι καὶ τα-
πεινώσει ὁ θεὸς ἀρχούσας θυγατέρας σιών. καὶ κύριος ἀνακαλύ-
ψει τὸ σχῆμα αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀφελεῖ κύριος τὴν
δόξαν τοῦ ἱματισμοῦ αὐτῶν. καὶ τοὺς κοσύμβους καὶ τοὺς μηνί-
σκους καὶ τὸ κάθεμα καὶ τὸν κόσμον τοῦ προσώπου αὐτῶν. καὶ τὴν
σύνθεσιν τοῦ κόσμου τῆς δόξης. καὶ τοὺς χλιδῶνας. καὶ τὰ ψέλ-
λια καὶ τοὺς δακτυλίους καὶ τὰ περιδέξια καὶ τὰ ἐμπλόκια ἐ-
νώτια. καὶ τὰ περιπόρφυρα καὶ τὰ μεσοπόρφυρα. καὶ τὰ ἐπι-
βλήματα τὰ κατὰ τὴν οἰκίαν. καὶ τὰ διαφανῆ λακωνικά. καὶ
τὰ βύσσινα καὶ τὰ ὑακίνθινα καὶ κόκκινα. καὶ τὴν βύσσον, σὺν
χρυσῷ καὶ ὑακίνθῳ συγκαθυφασμένην καὶ θέριστρα κατάκλει-
σα. καὶ ἔσται ἀντὶ ὀσμῆς ἡδείας, κονιορτός. καὶ ἀντὶ ζώνης, σχοι-
νίῳ ζώσῃ. καὶ ἀντὶ τοῦ κόσμου τῆς κεφαλῆς τοῦ χρυσίου, φαλά-
κρωμα ἕξεις, διὰ τὰ ἔργα σου. καὶ ἀντὶ τοῦ χιτῶνος τοῦ μεσοπορ-
φύρου, περιζώσῃ σάκκον. καὶ ὁ υἱός σου ὁ κάλλιστος ὃν ἀγαπᾷς, μα-
χαίρᾳ πεσεῖται. καὶ οἱ ἰσχύοντες ὑμῶν, μαχαίρᾳ πεσοῦνται. καὶ
ταπεινωθήσονται καὶ πενθήσουσιν αἱ θῆκαι τοῦ κόσμου ὑμῶν.
καὶ καταληφθείσῃ μόνη, καὶ εἰς τὴν γῆν ἐδαφισθήσῃ.

## Κεφ. δ. 4.

Καὶ ἐπιλήψονται ἑπτὰ γυναῖκες ἀνθρώπου ἑνός.
λέγουσαι, τὸν ἄρτον ὑμῶν φαγόμεθα. καὶ τὰ ἱμά-
τια ὑμῶν περιβαλλώμεθα. πλὴν τὸ ὄνομα τὸ σὸν κε-
κλήσθω ἐφ' ἡμᾶς. ἄφελε τὸν ὀνειδισμὸν ἡμῶν. ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ ἐπιλάμψει ὁ θεὸς, ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς τοῦ ὑψῶ-
σαι καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ ἰσραήλ. καὶ ἔσται τὸ ὑπο-

λειφθὲν ἐν σιὼν· καὶ τὸ καταλειφθὲν ἐν ἱερουσαλήμ· ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν, ἐν ἱερουσαλήμ· ὅτι ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων σιών· καὶ τὸ αἷμα ἱερουσαλὴμ ἐκκαθαριεῖ ἐκ μέσου αὐτῆς, ἐν πνεύματι κρίσεως καὶ πνεύματι καύσεως· καὶ ἥξει καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους σιών, καὶ πάντα τὰ περὶ κύκλῳ αὐτῆς σκιάσει νεφέλη ἡμέρας· καὶ ὡς καπνοῦ καὶ φωτὸς πυρὸς καιομένου νυκτὸς, πάσῃ τῇ δόξῃ σκεπασθήσεται· καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ, ἀπὸ σκληρότητος καὶ ὑετοῦ.

Κεφ. ε. ς.

Σω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ
α ἀμπελῶνί μου. ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ
ἐν κέρατι ἐν τόπῳ πίονι. καὶ φραγμὸν περιέθηκα. καὶ ἐχαράκωσα καὶ ἐφύτευσα ἄμπελον σωρήχ. καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ. καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλήν. καὶ ἐποίησεν ἀκάνθας. καὶ νῦν οἱ ἐνοικοῦντες ἐν ἱερουσαλὴμ καὶ ἄνθρωπος τοῦ ἰούδα κρίνατε ἐν ἐμοί. καὶ ἀνὰ μέσον τοῦ ἀμπελῶνός μου. τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου. καὶ οὐκ ἐποίησα αὐτῷ. διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλήν. ἐποίησε δὲ ἀκάνθας. νῦν οὖν ἀναγγελῶ ὑμῖν τί ἐγὼ ποιήσω τῷ ἀμπελῶνί μου. ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγήν. καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ καὶ ἔσται εἰς καταπάτημα. καὶ ἀνήσω τὸν ἀμπελῶνά μου. καὶ οὐ μὴ τμηθῇ. οὐδ᾽ οὐ μὴ σκαφῇ. καὶ ἀναβήσεται εἰς αὐτὸν, ὡς εἰς χέρσον ἄκανθα. καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι εἰς αὐτὸν ὑετόν. ὁ γὰρ ἀμπελὼν κυρίου σαββαὼθ, οἶκος τοῦ ἰσραὴλ ἐστὶ καὶ ὁ ἄνθρωπος τοῦ ἰούδα νεόφυτον ἠγαπημένον. ἔμεινα τοῦ ποιῆσαι κρίσιν. ἐποίησε δὲ ἀνομίαν καὶ οὐ δικαιοσύνην. ἀλλὰ κραυγήν. οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν. καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι. μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς;

ἠκούσθη γὰρ εἰς τὰ ὦτα κυρίου σαβαὼθ ταῦτα. ἐὰν γὰρ γένων
ται οἰκίαι πολλαί, εἰς ἔρημον ἔσονται μεγάλαι καὶ καλαί, καὶ οὐκ
ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς. οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βο
ῶν, ποιήσει κεράμιον ἕν. καὶ ὁ σπείρων ἀρτάβας ἓξ ποιήσει μέτρα
τρία. οὐαὶ οἱ ἐγειρόμενοι πρωῒ καὶ τὸ σίκερα διώκοντες. οἱ μέ
νοντες τὸ ὀψέ. ὁ γὰρ οἶνος αὐτοῦ συγκαύσει αὐτούς. μετὰ γὰρ κι
θάρας καὶ ψαλτηρίου καὶ τυμπάνων καὶ αὐλῶν τὸν οἶνον πίνου
σι. τὰ δὲ ἔργα κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν
αὐτοῦ οὐ κατανοοῦσι. τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ
τὸ μὴ εἰδέναι αὐτοὺς τὸν κύριον. καὶ πλῆθος ἐγενήθη νεκρῶν, διὰ
λιμὸν καὶ δίψος ὕδατος. καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐ
τοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, μὴ διαλιπεῖν. καὶ καταβήσονται
οἱ ἔνδοξοι καὶ οἱ μεγάλοι καὶ οἱ πλούσιοι καὶ οἱ λοιμοὶ αὐτῆς καὶ
ὁ ἀγαλλιώμενος ἐν αὐτῇ. καὶ ταπεινωθήσεται ἄνθρωπος καὶ ἀτι
μασθήσεται ἀνήρ. καὶ ὀφθαλμοὶ οἱ μετέωροι, ταπεινωθήσονται.
καὶ ὑψωθήσεται κύριος σαβαὼθ ἐν κρίματι. καὶ ὁ θεὸς ὁ ἅγι
ος, δοξασθήσεται ἐν δικαιοσύνῃ. καὶ βοσκηθήσονται οἱ διηρπασμέ
νοι ὡς ταῦροι καὶ τὰς ἐρήμους τῶν ἐπειλημμένων ἄρνες φάγον
ται. οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας αὐτῶν ὡς σχοινίῳ μα
κρῷ. καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως, τὰς ἀνομίας αὐτῶν. οἱ λέγον
τες τὸ τάχος ἐγγισάτω. ἃ ποιήσει, ἵνα ἴδωμεν. καὶ ἐλθέτω ἡ βου
λὴ τοῦ ἰσραὴλ ἵνα γνῶμεν, οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν. καὶ
τὸ καλὸν πονηρόν. οἱ τιθέντες, τὸ σκότος φῶς καὶ τὸ φῶς σκότος. οἱ
τιθέντες τὸ πικρὸν γλυκύ, καὶ τὸ γλυκὺ πικρόν. οὐαὶ οἱ συνετοὶ ἐν
ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες. οὐαὶ οἱ ἰσχύοντες ὑμῶν. οἱ
πίνοντες τὸν οἶνον καὶ οἱ δυνάσται οἱ κεραννῦντες τὸ σίκερα. οἱ δι
καιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων. καὶ τὸ δίκαιον τοῦ δικαίου αἴ
ροντες. διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη, ὑπὸ ἄνθρακος πυ
ρὸς καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης. ἡ ῥίζα αὐτῶν ὡς
χνοῦς ἔσται καὶ τὸ ἄνθος αὐτῶν, ὡς κονιορτὸς ἀναβήσεται. οὐ γὰρ

ἠθέλησαν τὸν νόμον κυρίου σαββαώθ, ἀλλὰ τὸ λόγιον τοῦ ἁγίου ἰσραὴλ παρώξυναν. καὶ ἐθυμώθη κύριος σαββαὼθ ἐπὶ τὸν λαὸν αὐτοῦ. ἐπέβαλε τὴν χεῖρα ἐπ᾽ αὐτοὺς καὶ ἐπάταξεν αὐτοὺς καὶ παρωξύνθη τὰ ὄρη καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κόπρια ἐν μέσῳ ὁδοῦ. καὶ ἐν πᾶσι τούτοις, οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ ἀλλὰ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. τοιγαροῦν ἀρεῖ σύσσημον ἐν τοῖς ἔθνεσι τοῖς μακρόθεν. καὶ συριεῖ ἀπ᾽ ἄκρου τῆς γῆς. καὶ ἰδοὺ ταχὺ κούφως ἔρχονται. οὐ πεινάσουσιν οὐδὲ κοπιάσουσιν οὐδὲ νυστάξουσιν οὐδὲ κοιμηθήσονται, οὐδὲ λύσουσι τὰς ζώνας αὐτῶν ἀπὸ τῆς ὀσφύος αὐτῶν. οὐδὲ μὴ ῥαγῶσιν οἱ ἱμάντες τῶν ὑποδημάτων αὐτῶν. ὧν τὰ βέλη ὀξέα ἐστὶ, καὶ τὰ τόξα αὐτῶν ἐντεταμένα. οἱ πόδες τῶν ἵππων αὐτῶν ὡς στερεὰ πέτρα. ἐλογίσθησαν οἱ τροχοὶ τῶν ἁρμάτων αὐτῶν ὡς καταιγίς. ὀργιῶσιν ὡς λέοντες καὶ παρέστηκαν ὡς σκύμνοι λεόντων. καὶ ἐπιλήψεται, καὶ βοήσει ὡς θηρίον καὶ ἐκβαλεῖ. καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτούς. καὶ βοήσει δι᾽ αὐτοὺς τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς φωνὴ θαλάσσης κυμαινούσης. καὶ ἐμβλέψονται εἰς τὸν οὐρανὸν ἄνω καὶ κάτω. καὶ ἰδοὺ σκότος σκληρὸν ἐν τῇ ἀπορίᾳ αὐτῶν.

## Κεφάλαιον. ς. 6.

Αἰ ἐγένετο τοῦ ἐνιαυτοῦ οὗ ἀπέθανεν ὀζίας ὁ βασι-
κ λεύς, εἶδον τὸν κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ
καὶ ἐπηρμένου. καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ καὶ σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ταῖς μὲν δυσὶ, κατεκάλυπτον τὸ πρόσωπον. ταῖς δὲ δυσὶ, κατεκάλυπτον τοὺς πόδας. καὶ ταῖς δυσὶν ἐπέταντο καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον. καὶ ἔλεγον, ἅγιος ἅγιος ἅγιος κύριος σαββαὼθ πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον. καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ καὶ εἶπον. ὦ τάλας ἐγὼ ὅτι κατανένυγμαι. ὅτι ἄνθρωπος ὢν καὶ ἀκάθαρτα χείλη ἔχων ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη

ἔχοντος

ἔχοντος· ἐγὼ οἰκῶ, καὶ τὸν βασιλέα κύριον σαββαὼθ εἶδον τοῖς
ὀφθαλμοῖς μου· καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφίμ· καὶ ἐν τῇ
χειρὶ εἶχεν ἄνθρακα ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου
καὶ ἥψατο τοῦ στόματός μου καὶ εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χει-
λέων σου· καὶ ἀφελεῖ τὰς ἀνομίας σου καὶ τὰς ἁμαρτίας σου πε-
ρικαθαριεῖ· καὶ ἤκουσα τῆς φωνῆς κυρίου λέγοντος· τίνα ἀποστείλω
καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα· ἰδοὺ ἐγώ εἰμι·
ἀπόστειλόν με. καὶ εἶπε πορεύθητι, καὶ εἰπὸν τῷ λαῷ τούτῳ.
ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε καὶ
οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου· καὶ τοῖς ὠ-
σὶν αὐτῶν βαρέως ἤκουσαν· καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυ-
σαν· μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ ὠσὶ ἀκούσωσι καὶ
τῇ καρδίᾳ συνῶσι καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς· καὶ
εἶπα ἕως πότε κύριε; καὶ εἶπε· ἕως ἂν ἐρημωθῶσι πόλεις· παρὰ
τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους· καὶ ἡ
γῆ καταλειφθήσεται ἔρημος· καὶ μετὰ ταῦτα μηκυνεῖ ὁ θεὸς τοὺς
ἀνθρώπους· καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς
γῆς· καὶ ἔτι ἐπ' αὐτῆς ἐστὶ τὸ ἐπιδέκατον· καὶ πάλιν ἔσται εἰς προ-
νομὴν ὡς τερέβινθος· καὶ ὡς βάλανος ὅταν ἐκπέσῃ ἐκ τῆς θή-
κης αὐτῆς σπέρμα ἅγιον τὸ στήλωμα αὐτῆς.

Κεφάλαιον. ζ. ζ.

Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἄχαζ καὶ ἰωάθαμ τοῦ
υἱοῦ ὀζίου βασιλέως ἰούδα, ἀνέστη ῥασὶν βασιλεὺς
ἀρὰμ· καὶ φακὲ υἱὸς ῥομελίου βασιλεὺς ἰσραὴλ ἐπὶ
ἱερουσαλὴμ πολεμῆσαι αὐτήν, καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι
αὐτήν· καὶ ἀνηγγέλη εἰς τὸν οἶκον δαβὶδ λέγων· συνεφώνησεν
ἀρὰμ πρὸς τὸν ἐφραΐμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ
λαοῦ αὐτοῦ· ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ.
καὶ εἶπε κύριος πρὸς ἠσαΐαν· ἔξελθε εἰς συνάντησιν ἄχαζ· σὺ
καὶ ὁ καταλειφθεὶς ἰασοὺβ ὁ υἱός σου πρὸς τὴν κολυμβήθραν τῆς

ἄνω ὁδοῦ ἀγροῦ τοῦ κναφέως, καὶ ἐρεῖς αὐτῷ φύλαξαι τοῦ ἡσυχά-
σαι· καὶ μὴ φοβοῦ· μηδὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύ-
λων τῶν δαλῶν τῶν καπνιζομένων τούτων. ὅταν γὰρ ὀργὴ τοῦ θυ-
μοῦ γένηται, πάλιν ἰάσομαι, καὶ υἱὸς τοῦ ἀρὰμ καὶ ὁ υἱὸς τοῦ ῥω-
μελίου, ὅτι ἐβουλεύσαντο βουλὴν πονηρὰν· ἐφραὶμ καὶ ὁ υἱὸς ῥωμε-
λίου περὶ σοῦ· λέγοντες ἀναβησόμεθα εἰς τὴν ἰουδαίαν καὶ συλλα-
λήσαντες αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς· καὶ βασιλεύ-
σομεν αὐτῆς τὸν υἱὸν ταβεήλ. τάδε λέγει κύριος σαββαώθ· οὐ μεί-
νῃ ἡ βουλὴ αὕτη· οὐδὲ ἔσται ἀλλὰ κεφαλὴ ἀρὰμ, δαμασκὸς καὶ
ἡ κεφαλὴ δαμασκοῦ ῥαασείμ. ἀλλ᾽ ἐφ᾽ ἑξήκοντα, καὶ πέντε ἐ-
τῶν, ἐκλείψει ἡ βασιλεία ἐφραὶμ ἐπὶ λαοῦ· καὶ ἡ κεφαλὴ ἐφραὶμ
σομόρων, υἱὸς τοῦ ῥωμελίου, καὶ ἐὰν μὴ πιστεύσητε οὐδὲ μὴ συν-
ῆτε. καὶ προσέθετο κύριος λαλῆσαι τῷ ἄχαζ λέγων· αἴτησαι σε-
αυτῷ σημεῖον παρὰ κυρίου θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος καὶ εἶ-
πεν ἄχαζ· οὐ μὴ αἰτήσω· οὐδὲ μὴ πειράσω κύριον καὶ εἶπεν· ἀκού-
σατε δὴ ὁ οἶκος δαβὶδ μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀν-
θρώποις, καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα· διὰ τοῦτο δώσει κύ-
ριος αὐτὸς ὑμῖν σημεῖον. ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται υἱὸν
καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ἐμμανουήλ. βούτυρον καὶ μέλι φά-
γεται καὶ πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκλέξασθαι
τὸ ἀγαθὸν διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ
πονηρίᾳ, ἐκλέξασθαι τὸ ἀγαθόν· καὶ καταληφθήσεται ἡ γῆ· ἣν
σὺ φοβῇ ἀπὸ προσώπου τῶν δύο βασιλέων. ἀλλὰ ἐπάξει ὁ θε-
ὸς ἐπὶ σὲ καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡ-
μέρας· οὔπω ἥκασιν ἀφ᾽ ἧς ἡμέρας ἀφεῖλεν ἐφραὶμ ἀπὸ ἰούδα
τὸν βασιλέα τῶν ἀσυρίων. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συριεῖ
κύριος μυίαις αἳ κυριεύουσι μέρος ποταμοῦ αἰγύπτου· καὶ τῇ με-
λίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ ἀσυρίων· καὶ ἐξελεύσονται καὶ ἀναπαύ-
σονται πάντες, ταῖς φάραγξι τῆς χώρας καὶ ἐν ταῖς τρώγλαις
τῶν πετρῶν· καὶ εἰς τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα· καὶ ἐν

παντὶ ξύλῳ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυρήσει κύριος ἐν τῷ ξυλῷ τῷ μεμεθυσμένῳ πέραν τοῦ ποταμοῦ βασιλέως ἀσυρίων, τὴν κεφαλὴν, καὶ τὰς τρίχας· καὶ τῶν ποδῶν καὶ τὸν πώγωνα ἀφελεῖ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο πρόβατα καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, φάγεται βούτυρον, ὅτι βούτυρον καὶ γάλα φάγεται πᾶς ὁ καταληφθεὶς ἐπὶ τῆς γῆς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἔσται πᾶς τόπος οὗ ἐὰν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται. καὶ εἰς ἄκανθαν μετὰ βέλους καὶ τοξεύματος εἰσελεύσονται ἐκεῖ. ὅτι χέρσος, καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ, καὶ πᾶν ὄρος ἀροτριώμενον ἀροτριωθήσεται. οὐ μὴ ἐπέλθῃ ἐκεῖ φόβος. ἔσται γὰρ ἀπὸ τῆς χέρσου καὶ ἀκάνθης βόσκημα προβάτου. καὶ καταπάτημα βοός.

Κεφ. η.

κ Αἰ εἶπε κύριος πρός με λάβε σεαυτῷ τόμον καινὸν μέγαν. γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. πάρεστι γὰρ καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους. τὸν οὐρίαν τὸν ἱερέα καὶ ζαχαρίαν υἱὸν βαραχίου. καὶ προσῆλθον πρὸς τὴν προφῆτιν καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱόν. καὶ εἶπε κύριός μοι κάλεσον τὸ ὄνομα αὐτοῦ. ταχέως σκύλευσον ὀξέως προνόμευσον. διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα, ἢ μητέρα λήψεται δύναμιν δαμασκοῦ. καὶ τὰ σκῦλα σαμαρείας, ἔναντι βασιλέως ἀσυρίων. καὶ προσέθετο κύριος λαλῆσαί μοι ἔτι λέγων διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ σιλωὰμ τὸ πορευόμενον ἡσυχῆ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν ῥαασὶν καὶ τὸν υἱὸν ῥομελίου βασιλέα ἐφ᾽ ὑμῶν. διὰ τοῦτο ἰδοὺ κύριος ἀνάγει ἐφ᾽ ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ, τὸ ἰσχυρὸν καὶ τὸ πολύ. τὸν βασιλέα τῶν ἀσυρίων, καὶ τὴν δόξαν αὐτοῦ. καὶ ἀναβήσεται ἐπὶ πᾶσαν φάραγγα ὑμῶν. καὶ περιπατήσει ἐπὶ πᾶν τεῖχος ὑμῶν.

καὶ ἀφελεῖ ἀπὸ τῆς ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν
ἆραι ἢ δυνατὸν συντελέσασθαί τι. καὶ ἔσται ἡ παρεμβολὴ αὐ-
τοῦ, ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου μεθ᾽ ὑμῶν ὁ θε-
ός. γνῶτε ἔθνη καὶ ἡττᾶσθε. ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς.
ἰσχυκότες, ἡττᾶσθε. ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσε-
σθε. καὶ ἣν ἂν βουλὴν βουλήσασθε, διασκεδάσει κύριος. καὶ λό-
γον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν. ὅτι, μεθ᾽ ὑμῶν ὁ
θεός. οὕτω λέγει κύριος. τῇ ἰσχυρᾷ χειρὶ ἀπειθοῦσι τῇ πορείᾳ
τῆς ὁδοῦ τοῦ λαοῦ τούτου λέγοντες. μήποτε εἴπωσι σκληρόν. πᾶν γὰρ
ὃ ἐὰν εἴπῃ ὁ λαὸς οὗτος σκληρόν ἐστι. τὸν δὲ φόβον αὐτοῦ, οὐ μὴ
φοβηθῆτε οὐδὲ μὴ ταραχθῆτε. τὸν κύριον τῶν δυνάμεων αὐ-
τὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος, κἂν ἐπ᾽ αὐτῷ πεποιθὼς
ᾖς, ἔσται σοι εἰς ἁγιασμόν. καὶ οὐχ ὡς λίθου προσκόμματι συ-
ναντήσεσθε. οὐδὲ ὡς πέτρας πτώματι. οἱ δὲ οἶκοι ἰακώβ, ἐν πα-
γίδι καὶ ἐν κοιλώματι ἐγκαθήμενοι ἐν ἱερουσαλήμ. διὰ τοῦ-
το ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοί. καὶ πεσοῦνται καὶ συντρι-
βήσονται. καὶ ἐγγιοῦσι καὶ ἁλώσονται ἄνθρωποι, ἐν ἀσφαλείᾳ
ὄντες. τότε φανεροὶ ἔσονται οἱ σφαγιζόμενοι τὸν νόμον τοῦ μὴ μα-
θεῖν. καὶ ἐρεῖ μένων τὸν θεόν. τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐ-
τοῦ ἀπὸ τοῦ οἴκου ἰακώβ. καὶ πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ.
ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός. καὶ ἔσται σημεῖα
καὶ τέρατα ἐν τῷ οἴκῳ ἰσραὴλ παρὰ κυρίου σαβαώθ. ὃς κα-
τοικεῖ ἐν τῷ ὄρει σιών. καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς ζητήσατε
τοὺς ἐγγαστριμύθους. καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας. τοὺς κενολο-
γοῦντας. οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν. οὐκ ἔθνος πρὸς θεὸν αὐ-
τοῦ ἐκζητήσουσι τί ἐκζητήσουσι περὶ τῶν ζώντων τοὺς νεκρούς. νό-
μον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ ὡς τὸ ῥῆμα τοῦτο
περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. καὶ ἥξει ἐφ᾽ ὑμᾶς, σκλη-
ρὰ λιμός. καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε. καὶ κακῶς
ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια. καὶ ἀναβλέψονται. εἰς τὸν

οὐρανὸν ἄνω καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται. καὶ ἰδοὺ ἀ-
πορία στενή. καὶ σκότος θλίψις καὶ στενοχωρία. καὶ σκότος,
ὥστε μὴ βλέπειν, καὶ οὐκ ἀπορηθήσεται ὁ ἐν στενοχωρίᾳ ὢν
ἕως καιροῦ. τοῦτο πρῶτον ταχὺ ποίει.

Κεφάλαιον. θ. 9.

Αχὺ ποίει χώρα ζαβουλὼν ἡ γῆ νεφθαλείμ. καὶ οἱ
τ λοιποὶ οἱ τὴν παραλίαν καὶ πέραν τοῦ ἰορδάνου γα-
λιλαία τῶν ἐθνῶν. ὁ λαὸς ὁ πορευόμενος ἐν σκό-
τει, ἴδετε φῶς μέγα. οἱ κατοικοῦντες ἐν χώρᾳ καὶ σκιᾷ θανά-
του. φῶς λάμψει ἐφ' ὑμᾶς. τὸ πλεῖστον τοῦ λαοῦ κατήγαγες ἐν
εὐφροσύνῃ. καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμε-
νοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα διότι ἀ-
φῄρηται ὁ ζυγὸς ὁ ἐπ' αὐτῶν κείμενος. καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τρα-
χήλου αὐτῶν τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν ὡς
τῇ ἡμέρᾳ τῇ ἐπὶ μαδιάμ. ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δό-
λῳ καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσιν. καὶ θελήσου-
σιν, εἰ ἐγενήθησαν πυρίκαυστοι. ὅτι παιδίον ἐγεννήθη ἡμῖν. υἱὸς
καὶ ἐδόθη ἡμῖν. οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ. καὶ καλεῖται τὸ
ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος. θαυμαστὸς σύμβουλος θε-
ὸς ἰσχυρὸς ἐξουσιαστός. ἄρχων εἰρήνης πατὴρ τοῦ μέλλοντος αἰῶ-
νος. ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας καὶ ὑγίειαν αὐτῷ. καὶ με-
γάλη ἡ ἀρχὴ αὐτοῦ. καὶ τῆς εἰρήνης αὐτοῦ, οὐκ ἔστιν τέλος ἐπὶ τὸν
θρόνον δαβίδ, καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτήν.
καὶ ἀντιλαμβάνεσθαι ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν
καὶ εἰς τὸν αἰῶνα. ὁ ζῆλος κυρίου σαβαὼθ ποιήσει ταῦτα. θάνα-
τον ἀπέστειλε κύριος ἐπὶ ἰακὼβ, καὶ ἦλθεν ἐπὶ ἰσραήλ. καὶ
γνώσονται πᾶς ὁ λαὸς τοῦ ἐφραίμ. καὶ οἱ καθήμενοι ἐν σαμα-
ρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες. πλίνθοι πεπτώκα-
σιν. ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους. καὶ κόψωμεν συκαμίνους
καὶ κέδρους. καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργους καὶ ῥάξει ὁ θεὸς

τοὺς ἐπανισταμένους ἐπὶ ὄρος σιὼν ἐπὶ αὐτόν. καὶ τοὺς ἐχθροὺς αὐ-
τοῦ διασκεδάσει. συρίαν ἀφ' ἡλίου ἀνατολῶν. καὶ τοὺς ἕλληνας
ἀφ' ἡλίου δυσμῶν τοὺς κατεσθίοντας τὸν ἰσραὴλ ὅλῳ τῷ στόμα-
τι. ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμός. ἀλλ' ἔτι ἡ χεὶρ ὑψη-
λή. καὶ ὁ λαός μου οὐκ ἐπεστράφη ἕως ἐπλήγη. καὶ τὸν κύριον τῶν
δυνάμεων οὐκ ἐζήτησαν. καὶ ἀφεῖλε κύριος ἀπὸ ἰσραὴλ κεφαλὴν
καὶ οὐράν. μέγαν, καὶ μικρὸν, ἐν μιᾷ ἡμέρᾳ. πρεσβύτην, καὶ
τοὺς τὰ πρόσωπα θαυμάζοντας. αὕτη ἡ ἀρχὴ καὶ προφήτην δι-
δάσκοντα ἄνομα. οὗτος ἡ οὐρά. καὶ ἔσονται οἱ μακαρίζοντες τὸν
λαὸν τοῦτον, πλανῶντες καὶ πλανῶσιν, ὅπως καταπίωσιν αὐ-
τούς. καὶ διὰ τοῦτο ἐπὶ τοῖς νεανίσκοις αὐτῶν, οὐκ εὐφρανθήσε-
ται ὁ κύριος. καὶ τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας αὐτῶν
οὐκ ἐλεήσει. ὅτι πάντες ἄνομοι καὶ πονηροὶ, καὶ πᾶν στόμα λα-
λεῖ ἄδικα. ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι
ἡ χεὶρ αὐτοῦ ὑψηλή. καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς
ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός. καὶ καυθήσεται ἐν τοῖς δα-
σεσι τοῦ δρυμοῦ. καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν
πάντα διὰ θυμὸν ὀργῆς κυρίου. συγκέκαυται ἡ γῆ ὅλη. καὶ ἔσται
ὁ λαὸς ὡς κατακεκαυμένος ὑπὸ πυρός. ἄνθρωπος τὸν ἀδελφὸν
αὐτοῦ οὐκ ἐλεήσει. ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιά, ὅτι πεινάσει καὶ
φάγεται ἐκ τῶν ἀριστερῶν. καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἔσθων
τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ. φάγεται γὰρ μανασσῆς, τοῦ ἐφραΐμ
καὶ ἐφραΐμ τοῦ μανασσῆ. ὅτι ἅμα πολιορκήσουσι τὸν ἰούδαν.
ἐπὶ τούτοις πᾶσιν, οὐκ ἀπεστράφη ὁ θυμός. ἀλλ' ἔτι ἡ χεὶρ ὑψηλή.

Κεφάλαιον. ι. 10.

Αἱ τοῖς γράφουσι πονηρίαν γράφοντες γὰρ πονηρί-
ι αν γράφουσιν. ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπά-
ζοντες κρίμα πενήτων τοῦ λαοῦ μου. ὥστε εἶναι αὐτοῖς
χήραν εἰς διαρπαγὴν καὶ ὀρφανὸν εἰς προνομήν. καὶ τί ποιή-
σουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς. ἡ γὰρ θλίψις ὑμῶν πόῤῥω-

θεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθῆναι, καὶ ποῦ κατα-
λείψετε τὴν δόξαν ὑμῶν τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν· καὶ
ὑπὸ κάτω ἀνῃρημένων πεσοῦνται· καὶ ἐπὶ πᾶσι τούτοις, οὐκ ἀπε-
στράφη ἡ ὀργή· ἀλλ' ἔτι ἡ χείρ, ὑψηλή· οὐαὶ ἀσσυρίοις· ἡ ῥάβδος
τοῦ θυμοῦ μου καὶ ὀργῆς ἐστιν ἐν ταῖς χερσὶν αὐτῶν· τὴν ὀργήν μου
εἰς ἔθνος ἄνομον ἀποστελῶ· καὶ τῷ ἐμῷ λαῷ, συντάξω ποι-
ῆσαι σκῦλα καὶ προνομήν· καὶ καταπατεῖν τὰς πόλεις καὶ θεῖναι
αὐτὰς εἰς κονιορτόν· αὐτὸς δὲ οὐχ οὕτως ἐνεθυμήθη καὶ τῇ ψυ-
χῇ, οὐχ οὕτως λελόγισται· ἀλλὰ ἀπαλλάξει ὁ νοῦς αὐτοῦ, καὶ τοῦ
ἔθνη ἐξολοθρεῦσαι οὐκ ὀλίγα· καὶ ἐὰν εἴπωσιν αὐτῷ· σὺ μόνος
εἶ ἄρχων, καὶ ἐρεῖ, οὐκ ἔλαβον τὴν χώραν τὴν ἐπάνω βαβυλῶ-
νος καὶ χαλάνης· οὗ ὁ πύργος ᾠκοδομήθη· καὶ ἔλαβον ἀραβίαν
καὶ δαμασκὸν καὶ σαμάρειαν· ὃν τρόπον ταύτας ἔλαβον πά-
σας, τὰς ἀρχὰς λήψομαι· ὀλολύξατε τὰ γλυπτὰ ἐν ἱερουσαλὴμ
καὶ ἐν σαμαρείᾳ· ὃν τρόπον γὰρ ἐποίησα σαμαρείᾳ· καὶ τοῖς χει-
ροποιήτοις αὐτῆς, οὕτω ποιήσω, καὶ τῇ ἱερουσαλήμ, καὶ τοῖς εἰ-
δώλοις αὐτῆς· καὶ ἔσται ὅταν συντελέσῃ κύριος· πάντα ποιῶν
ἐν τῷ ὄρει σιὼν καὶ ἱερουσαλὴμ ἐπάξει ἐπὶ τὸν νοῦν τὸν μέγαν, ἐπὶ
τὸν ἄρχοντα τῶν ἀσσυρίων· καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλ-
μῶν αὐτοῦ. εἶπε γὰρ ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς
συνέσεως, ἀφελῶ ὅρια ἐθνῶν· καὶ τὴν ἰσχὺν αὐτῶν, προνομεύ-
σω· καὶ σείσω πόλεις κατοικουμένας· καὶ τὴν οἰκουμένην ὅλην
καταλήψομαι τῇ χειρὶ ὡς νοσσιάν· καὶ ὡς καταλελειμμένα ὠά,
ἀρῶ· καὶ οὐκ ἔστιν ὃς διαφεύξεταί με ἢ ἀντείπῃ μοι· καὶ ἀνοί-
γων τὸ στόμα καὶ στρουθίζων· μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ
κόπτοντος ἐν αὐτῇ, ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐ-
τόν; ὡσαύτως ἐάν τις ἄρῃ ῥάβδον ἢ ξύλον καὶ οὐχ οὕτως·
ἀλλὰ ἀποστελεῖ κύριος σαβαὼθ εἰς τὴν σὴν τιμήν, ἀτιμίαν·
καὶ εἰς τὴν σὴν δόξαν, πῦρ καιόμενον καυθήσεται· καὶ ἔσται
τὸ φῶς τοῦ ἰσραὴλ εἰς πῦρ· καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ·

καὶ φάγεται ὥσπερ χόρτον τὴν ὕλην. τῇ ἡμέρᾳ ἐκείνῃ, ἀποσβε-
σθήσονται τὰ ὄρη καὶ οἱ βουνοὶ καὶ οἱ δρυμοί. καὶ καταφάγεται
ἀπὸ ψυχῆς ἕως σαρκῶν. καὶ ἔσται ὁ φεύγων ὡς ὁ φεύγων ἀπὸ φλο-
γὸς καιομένης. καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν, ἀριθμὸς ἔσον-
ται. καὶ παιδίον μικρὸν γράψει αὐτούς. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν ἰσραήλ. καὶ οἱ σωθέν-
τες τοῦ ἰακὼβ οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαν-
τας αὐτούς. ἀλλὰ ἔσονται πεποιθότες ἐπὶ τὸν θεὸν τὸν ἅγιον τοῦ
ἰσραὴλ τῇ ἀληθείᾳ. καὶ ἔσται τὸ καταλειφθὲν τοῦ ἰακὼβ ἐπὶ θεὸν
ἰσχύοντα. καὶ ἐὰν γένηται ὁ λαὸς ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θα-
λάσσης, τὸ κατάλειμμα αὐτῶν σωθήσεται. λόγον γὰρ συντελῶν
καὶ συντέμνων ἐν δικαιοσύνῃ. ὅτι λόγον συντετμημένον κύρι-
ος ποιήσει ἐν τῇ οἰκουμένῃ ὅλῃ. διὰ τοῦτο τάδε λέγει κύριος
σαβαώθ. μὴ φοβοῦ ὁ λαός μου. οἱ κατοικοῦντες ἐν σιὼν ἀπὸ ἀσ-
συρίων. ὅτι ἐν ῥάβδῳ πατάξει σε. πληγὴν γὰρ ἐπάγει ἐπὶ σὲ,
τοῦ ἰδεῖν ὁδὸν αἰγύπτου. ἔτι γὰρ μικρὸν καὶ παύσεται ἡ ὀργή·
ὁ δὲ θυμός μου ἐπὶ τὴν βουλὴν αὐτῶν. καὶ ἐγερεῖ κύριος ὁ θεὸς
τῶν δυνάμεων ἐπ' αὐτούς. κατὰ τὴν πληγὴν μαδιὰμ ἐν τόπῳ
θλίψεως. καὶ ὁ θυμὸς αὐτοῦ, τῇ ὁδῷ τῇ κατὰ θάλασσαν, εἰς τὴν
ὁδὸν τὴν κατ' αἴγυπτον. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀφαιρε-
θήσεται ὁ ζυγὸς αὐτοῦ, ἀπὸ τοῦ ὤμου σου. καὶ ὁ φόβος αὐτοῦ ἀπὸ
σοῦ. καὶ καταφθαρήσεται ὁ ζυγὸς ἀπὸ τῶν ὤμων ὑμῶν. ἥξει γὰρ
εἰς τὴν πόλιν ἀγγαί. καὶ παρελεύσεται εἰς μαγγεδώ. καὶ ἐν μα-
χμὰς θήσει τὰ σκεύη αὐτοῦ. καὶ παρελεύσεται φάραγγα. καὶ
ἥξει εἰς ἀγγαί, φόβος λήψεται ῥαμὰ πόλιν. σαοὺλ φεύξεται. χρεμέ-
τισον φωνήν σου θύγατερ γαλλείμ. ἐπακούσεται λαισὰ ἐπακού-
σεται ἐν ἀναθώθ. καὶ ἐξέστη μαδεβηνὰ καὶ οἱ κατοικοῦντες γιβ-
βείρ. παρακαλεῖτε σήμερον ἐν ὁδῷ τοῦ μεῖναι. παρακαλεῖτε τῇ χει-
ρὶ τὸ ὄρος τὴν θυγατέρα σιών. καὶ οἱ βουνοὶ οἱ ἐν ἱερουσαλήμ. ἰδοὺ
ὁ δεσπότης κύριος σαβαὼθ, συνταράσσει τοὺς ἐνδόξους μετὰ

ἰσχύος· καὶ οἱ ὑψηλοὶ, τῇ ὕβρει συντριβήσονται καὶ οἱ ὑψηλοὶ, πεσοῦνται καὶ ταπεινωθήσονται, καὶ πεσοῦνται οἱ ὑψηλοὶ, μαχαίρᾳ· ὁ δὲ λίβανος σὺν τοῖς ὑψηλοῖς πεσεῖται.

Κεφ. ια. 11.

ΚΑὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης ἰεσσαὶ, καὶ ἄν-
* θος ἐκ τῆς ῥίζης ἀναβήσεται· ἀναπαύσεται, ἐπ' αὐ-
τὸν πνεῦμα κυρίου πνεῦμα σοφίας καὶ συνέσεως· πνεῦμα βουλῆς καὶ ἰσχύος· πνεῦμα γνώσεως καὶ εὐσεβείας ἐμπλήσει αὐτόν· πνεῦμα φόβου θεοῦ· οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ, ταπεινῷ, κρίσιν· καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς καὶ πατάξει γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ· καὶ ἐν πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ· καὶ ἔσται δικαιοσύνη ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ· καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ· καὶ συμβοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ πάρδαλις συναναπαύσεται ἐρίφῳ· καὶ μοσχάριον καὶ ταῦρος καὶ λέων· ἅμα βοσκηθήσονται· καὶ παιδίον μικρὸν ἄξει αὐτούς· καὶ βοῦς καὶ ἄρκων ἅμα βοσκηθήσονται, καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται· καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα· καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων· καὶ ἐπὶ κοίτην ἐκγόνων ἀσπίδων, τὴν χεῖρα ἐπιβαλεῖ· καὶ οὐ μὴ κακοποιήσουσιν· οὐδὲ μὴ δύνωνται ἀπολέσαι οὐδένα· ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου· ὅτι ἐνεπλήσθη ἡ σύμπασα τοῦ γνῶναι τὸν κύριον· ὡς ὕδωρ πολὺ, κατακαλύψαι θαλάσσης· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἡ ῥίζα τοῦ ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσι· καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, τιμή· καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ προσθήσει ὁ κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ λαοῦ, ὃ ἐὰν καταλειφθῇ, ἀπὸ τῶν ἀσσυρίων· καὶ ἀπὸ αἰγύπτου καὶ ἀπὸ βαβυλῶνος καὶ ἀπὸ αἰθιοπίας καὶ ἀπὸ ἐλαμιτῶν, καὶ ἀπὸ ἡλίου ἀνατολῶν καὶ ἐξ ἀραβίας· καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη· καὶ συνάξει τοὺς ἀπολομένους

ἰσραήλ. καὶ τοὺς διεσπαρμένους ἰούδα συνάξει ἐκ τῶν τεσσάρων
πτερύγων τῆς γῆς. καὶ ἀφαιρεθήσεται ὁ ζῆλος ἐφραίμ. καὶ οἱ
ἐχθροὶ ἰούδα, ἀπολοῦνται. ἐφραὶμ οὐ ζηλώσει ἰούδαν. καὶ ἰού
δας, οὐ θλίψει ἐφραίμ. καὶ μεταθήσονται ἐν πλοίοις ἀλλοφύλων.
θάλασσαν ἅμα προνομεύουσι. καὶ τοὺς ἀφ' ἡλίου ἀνατολῶν καὶ
ἰδουμαίαν. καὶ ἐπὶ μωὰβ πρῶτον τὰς χεῖρας ἐπιβαλοῦσιν. οἱ δὲ
υἱοὶ ἀμμὼν, πρῶτοι ὑπακούσονται. καὶ ἐρημώσει κύριος τὴν θάλασ
σαν αἰγύπτου. καὶ ἐπιβαλεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν πνεύ
ματι βιαίῳ. καὶ πατάξει ἑπτὰ φάραγγας, ὥστε διαπορεύεσθαι
αὐτὸν ἐν ὑποδήμασι. καὶ ἔσται δίοδος τῷ καταλειφθέντι μου
λαῷ ἐν αἰγύπτῳ. καὶ ἔσται τῷ ἰσραὴλ, ὡς τῇ ἡμέρᾳ. ὅτε ἐξ
ῆλθεν ἐκ γῆς αἰγύπτου.

Κεφάλ. ιβ. 12.

Αἰ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. εὐλογήσω σε κύριε
κ διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου
καὶ ἠλέησάς με. ἰδοὺ ὁ θεός μου σωτήρ μου. πε
ποιθὼς ἔσομαι ἐπ' αὐτῷ. σωθήσομαι ἐν αὐτῷ καὶ οὐ φο
βηθήσομαι. διότι ἡ δόξα μου καὶ ἡ αἴνεσίς μου κύριος. καὶ
ἐγένετό μοι εἰς σωτηρίαν, καὶ ἀντλήσατε ὕδωρ μετ' εὐφρο
σύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐ
κείνῃ. ὑμνεῖτε κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ. ἀναγγείλατε ἐν
τοῖς ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ. μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα
αὐτοῦ. ὑμνήσατε τὸ ὄνομα κυρίου ὅτι ὑψηλὰ ἐποίησεν. ἀναγγεί
λατε ταῦτα ἐν πάσῃ τῇ γῇ καὶ ἀγαλλιᾶσθε. καὶ εὐφραίνεσθε οἱ
κατοικοῦντες σιών. ὅτι ὑψώθη ὁ ἅγιος τοῦ ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Κεφάλαιον. ιγ. 13.

Ρασις κατὰ βαβυλῶνος. ἣν εἶδεν ἡσαΐας υἱὸς ἀ
δ μὼς, ἐπ' ὄρους πεδινοῦ. ἄρατε σημεῖον. ὑψώσατε
τὴν φωνὴν αὐτοῖς μὴ φοβεῖσθε. παρακαλεῖτε. τῇ χει
ρὶ, ἀνοίξατε οἱ ἄρχοντες. ἐγὼ συντάσσομαι καὶ ἐγὼ ἄγω

αὐτοῦ· γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου, χαίρον-
τες ἅμα καὶ ὑβρίζοντες. φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων. ὁ-
μοία ἐθνῶν πολλῶν. φωνὴ βασιλέων καὶ ἐθνῶν συνηγμένων. κύ-
ριος σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ, ἔρχεσθαι ἐκ γῆς
πόῤῥωθεν ἀπ᾽ ἄκρου θεμελίου τοῦ οὐρανοῦ κύριος, καὶ οἱ ὁπλο-
μάχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν οἰκουμένην. ὀλολύζετε
ἐγγὺς γὰρ ἡμέρα κυρίου καὶ συντριβὴ παρὰ τοῦ θεοῦ ἥξει. διὰ
τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται. καὶ πᾶσα ψυχὴ ἀνθρώπου δει-
λιάσει. ταραχθήσονται οἱ πρέσβεις. καὶ ὠδῖνες αὐτοὺς ἕξου-
σιν ὡς γυναικὸς τικτούσης. καὶ συμφοράσουσιν ἕτερος πρὸς
τὸν ἕτερον. καὶ ἐκστήσονται. καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ
μεταβαλοῦσιν. ἰδοὺ γὰρ ἡμέρα κυρίου ἔρχεται ἀνίατος. καὶ
μύνιδος θυμὸν καὶ ὀργῆς θεῖναι τὴν οἰκουμένην ἔρημον. καὶ
τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς. οἱ γὰρ ἀστέρες τοῦ οὐρα-
νοῦ καὶ ὁ ὠρίων καὶ πᾶς ὁ κόσμος τοῦ οὐρανοῦ, τὸ φῶς οὐ
δώσουσι. καὶ σκοτισθήσεται τοῦ ἡλίου ἀνατέλλοντος. καὶ ἡ
σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς. καὶ ἐντελοῦμαι τῇ οἰκουμένῃ
ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν. καὶ ἀπο-
λῶ ὕβριν ἀνόμων. καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω. καὶ ἔσον-
ται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυ-
ρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσαι ἢ ὁ λίθος ὁ ἐκ σαπ-
φείρ. ὁ γὰρ οὐρανὸς θυμωθήσεται. καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν
θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς κυρίου σαβαώθ. ἐν τῇ ἡμέ-
ρᾳ ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ. καὶ ἔσονται οἱ καταλελειμμένοι
ὡς δορκάδιον φεῦγον, καὶ ὡς πρόβατον πλανώμενον. καὶ οὐκ ἔστιν
ὁ συνάγων ὥστε τὸν ἄνθρωπον εἰς τὸν λαὸν αὐτοῦ ἀποστραφῆναι. καὶ
ἄνθρωπος εἰς τὴν χώραν ἑαυτοῦ διώξεται. ὃς γὰρ ἂν ἁλῷ ἡττη-
θήσεται. καὶ οἵτινες συνηγμένοι εἰσὶ πεσοῦνται μαχαίρᾳ.
καὶ τὰ τέκνα αὐτῶν, ῥάξουσιν ἐνώπιον αὐτῶν καὶ τὰς οἰκίας
αὐτῶν προνομεύσουσι. καὶ τὰς γυναῖκας αὐτῶν ἕξουσιν.

ἰδοὺ ἐπεγείρω ὑμῖν τοὺς μήδους οἳ ἀργύριον οὐ λογίζονται οὐδὲ
χρυσίου χρείαν ἔχουσι. τοξεύματα νεανίσκων συντρίψουσι καὶ
τὰ τέκνα ὑμῶν οὐ μὴ ἐλεήσωσιν. οὐδὲ ἐπὶ τοῖς τέκνοις του φεί-
σονται, οἱ ὀφθαλμοὶ αὐτῶν. καὶ ἔσται βαβυλὼν ἣ καλεῖται ἔν-
δοξος ἀπὸ βασιλέως χαλδαίων, ὃν τρόπον κατέστρεψεν ὁ θε-
ὸς σόδομα καὶ γόμορρα. οὐ κατοικηθήσεται εἰς τὸν αἰῶνα χρό-
νον, οὐδὲ μὴ εἰσέλθωσιν εἰς αὐτὴν διὰ πολλῶν γενεῶν. οὐδὲ
μὴ διέλθωσιν αὐτὴν ἄραβες. οὐδὲ ποιμένες οὐ μὴ ἀναπαύσον-
ται ἐν αὐτῇ. καὶ ἄρα παύσονται ἐκεῖ θηρία. καὶ ἐμπλησθήσον-
ται αἱ οἰκίαι ἤχου. καὶ ἀναπαύσονται ἐκεῖ σειρῆνες καὶ δαι-
μόνια ἐκεῖ ὀρχήσονται. καὶ ὀνοκένταυροι ἐκεῖ κατοικήσουσι. καὶ
νοσσοποιήσουσιν ἐκεῖνοι ἐν τοῖς οἴκοις αὐτῶν.

Κεφάλ. ιδ. 14.

Αχὺ ἔρχεται καὶ οὐ χρονιεῖ. καὶ αἱ ἡμέραι αὐτῶν οὐ μὴ
τ ἐφελκυσθῶσι. καὶ ἐλεήσει κύριος τὸν ἰακώβ. καὶ ἐκ-
λέξεται ἔτι τὸν ἰσραήλ. καὶ ἀναπαύσονται ἐπὶ τῆς γῆς
αὐτῶν. καὶ ὁ γιώρας προστεθήσεται πρὸς αὐτούς. καὶ προστεθή-
σεται πρὸς τὸν οἶκον ἰακώβ. καὶ λήψονται αὐτοὺς ἔθνη. καὶ εἰ-
σάξουσιν εἰς τὸν τόπον αὐτῶν, καὶ κατακληρονομήσουσι. καὶ
πληθυνθήσονται ἐπὶ τῆς γῆς τοῦ θεοῦ εἰς δούλους καὶ δούλας. καὶ
ἔσονται αἰχμάλωτοι οἱ αἰχμαλωτεύσαντες αὐτούς. καὶ κυριευ-
θήσονται οἱ κυριεύσαντες αὐτῶν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἀναπαύσει σε κύριος, ἀπὸ τῆς ὀδύνης καὶ τοῦ θυμοῦ σου καὶ τῆς
δουλείας σου τῆς σκληρᾶς, ἧς ἐδούλευσας αὐτοῖς. καὶ λήψῃ τὸν
θρῆνον τοῦτον ἐπὶ τὸν βασιλέα βαβυλῶνος. καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ πῶς ἀναπέπαυται ὁ ἀπαιτῶν καὶ ἀναπέπαυται ὁ ἐπισπου-
δαστής. συνέτριψε κύριος τὸν ζυγὸν τῶν ἁμαρτωλῶν τὸν ζυγὸν
τῶν ἀρχόντων. πατάξας ἔθνος, θυμῷ. πληγῇ ἀνιάτῳ. παίων
ἔθνος πληγῇ θυμοῦ ἣ οὐκ ἐφείσατο. ἀνεπαύσατο πεποιθώς. πᾶ-
σα ἡ γῆ, βοᾷ μετ' εὐφροσύνης. καὶ τὰ ξύλα τοῦ λιβάνου, εὐφράν-

ἥσθησαν ἐπί σοι. καὶ ἡ κέδρος τοῦ λιβάνου ἀφ' οὗ σὺ κεκοίμησαι. οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς ὁ ᾅδης κάτωθεν ἐπικράνθη, συναντήσας σοι. συνηγέρθησάν σοι πάντες οἱ γίγαντες οἱ ἄρξαντες τῆς γῆς. οἱ ἐγείραντες ἐκ τῶν θρόνων αὐτῶν πάντας βασιλεῖς ἐθνῶν. πάντες ἀποκριθήσονται καὶ ἐροῦσί σοι. καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς. ἐν ἡμῖν δὲ κατελογίσθης. κατέβη εἰς ᾅδου, ἡ δόξα σου ἡ πολλὴ εὐφροσύνη σου. ὑπὸ κάτω σου στρώσουσι σῆψιν. καὶ τὸ κατάλειμμά σου σκώληξ. πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος ὁ πρωῒ ἀνατέλλων. συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων πρὸς πάντα τὰ ἔθνη. σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου, εἰς τὸν οὐρανὸν ἀναβήσομαι. ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου. καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν. ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. νῦν δὲ εἰς ᾅδου καταβήσῃ καὶ εἰς τὰ θεμέλια τῆς γῆς οἱ ἰδόντες σε θαυμάσονται ἐπί σοι καὶ ἐροῦσιν. οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν. ὁ σείων βασιλεῖς. ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτοῦ καθεῖλε. τοὺς ἐν ἀπαγωγῇ οὐκ ἔλυσε, πάντες οἱ βασιλεῖς τῶν ἐθνῶν ἐκοιμήθησαν ἐν τιμῇ. ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. σὺ δὲ ῥιφήσῃ, ἐν τοῖς ὄρεσιν ὡς νεκρὸς ἐβδελυγμένος. μετὰ πολλῶν τεθνηκότων ἐκκεκεντημένων μαχαίρᾳ. καταβαινόντων εἰς ᾅδου. ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρόν. οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. διότι τὴν γῆν μου ἀπώλεσας καὶ τὸν λαόν μου ἀπέκτεινας. οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον. σπέρμα πονηρόν. ἑτοίμασον τὰ τέκνα σου σφαγῆναι ταῖς ἁμαρτίαις τοῦ πατρὸς αὐτοῦ, ἵνα μὴ ἀναστῶσι καὶ κληρονομήσωσιν τὴν γῆν, καὶ ἐμπλήσωσι τὴν γῆν πολέμων. καὶ ἐπαναστήσομαι αὐτοῖς λέγει κύριος σαβαώθ. καὶ ἀπολέσω αὐτοῦ ὄνομα καὶ κατάλειμμα καὶ σπέρμα. τάδε, λέγει κύριος. καὶ θήσω τὴν βαβυλωνίαν ἔρημον, ὥστε κατοικεῖν ἐχίνους καὶ ἔσται εἰς οὐδέν. καὶ θήσω αὐτὴν πηλοῦ βάραθρον εἰς ἀπώλ

θ. τάδε λέγει κύριος σαβαώθ. ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ
ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ. τοῦ ἀπολέσαι τοὺς ἀσσυρί-
ους ἐπὶ τῆς γῆς τῆς ἐμῆς. καὶ ἐπὶ τῶν ὀρέων μου. καὶ ἔσονται εἰς κα-
ταπάτημα. καὶ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῶν ὁ ζυγὸς αὐτῶν. καὶ τὸ
κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται. αὕτη ἡ βουλὴ ἣν
βεβούλευται κύριος, ἐπὶ τὴν ὅλην οἰκουμένην. καὶ αὕτη ἡ χεὶρ ἡ ὑ-
ψηλὴ, ἐπὶ πάντα τὰ ἔθνη. ἃ γὰρ ὁ θεὸς ὁ ἅγιος βεβούλευται, τίς
διασκεδάσει. καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει.
Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ βασιλεὺς ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο.
μὴ εὐφρανθείητε οἱ ἀλλόφυλοι πάντες. συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ
παίοντος ὑμᾶς. ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα
ἀσπίδων. καὶ τὰ ἔκγονα αὐτῶν, ἐξελεύσονται ὄφεις πετόμενοι
καὶ βοσκηθήσονται πτωχοὶ δι᾽ αὐτοῦ. πτωχοὶ δὲ ἄνθρωποι, ἐπ᾽ εἰ-
ρήνης ἀναπαύσονται, ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κα-
τάλειμμά σου ἀνελεῖ. ὀλολύξατε πύλαι πόλεων. κεκραγέτωσαν
πόλεις τεταραγμέναι οἱ ἀλλόφυλοι πάντες. ὅτι ἀπὸ βοῤῥᾶ, κα-
πνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι, καὶ τί ἀποκριθήσονται βασιλεῖς
ἐθνῶν. ὅτι κύριος ἐθεμελίωσε σιών. καὶ δι᾽ αὐτοῦ σωθήσονται
οἱ ταπεινοὶ τοῦ λαοῦ.

Κεφ. ιε. 15.

Ο ῥῆμα τὸ κατὰ τῆς μωαβίτιδος. Νυκτὸς ἀπολεῖται ἡ μω-
τ αβῖτις. νυκτὸς γὰρ ἀπολεῖται τὸ τεῖχος τῆς μωαβίτιδος, λυπεῖ-
σθε ἐφ᾽ ἑαυτοῖς. ἀπολεῖται γὰρ καὶ γεβών. οὗ ὁ βωμὸς ὑ-
μῶν, ἐκεῖ ἀναβήσεσθε κλαίειν ἐπὶ ναβατὸν τῆς μωαβίτιδος.
ὀλολύξατε. ἐπὶ πάσης κεφαλῆς φαλάκρωμα. πάντες βραχίο-
νες κατατετμημένοι ἐν ταῖς πλατείαις αὐτῶν περιζώσατε σάκ-
κους, καὶ κόπτεσθε ἐπὶ τῶν δωμάτων αὐτῆς. καὶ ἐν ταῖς πλα-
τείαις αὐτῆς, καὶ ἐν ταῖς ῥύμαις αὐτῶν, πάντες ὀλολύζετε με-
τὰ κλαυθμῶν. ὅτι κέκραγεν ἐσεβὼν καὶ ἐλεαλή. ἕως ἰασὰ ἠ-
κούσθη ἡ φωνὴ αὐτῶν. διὰ τοῦτο ἡ ὀσφὺς τῆς μωαβίτιδος βοᾷ

ἡ ψυχὴ αὐτῆς γνώσεται. ἡ καρδία τῆς μωαβίτιδος βοᾷ ἐν αὐ-
τῇ, ἕως σηγὼρ, δάμαλις γάρ ἐστι τριετής. ἐπὶ δὲ τῆς ἀναβάσε-
ως τῆς λουεὶθ. πρὸς σὲ κλαίοντες ἀναβήσονται τῇ ὁδῷ ἀρωνι-
είμ. βοᾷ σύντριμμα καὶ σεισμός. τὸ ὕδωρ τῆς νεβρεὶμ, ἔρημον
ἔσται. καὶ ὁ χόρτος αὐτῆς ἐκλείψει. χόρτος γὰρ χλωρὸς οὐκ ἔσται. μὴ
καὶ οὕτως μέλλει σωθῆναι. ἐπάξω γὰρ ἐπὶ τὴν φάραγγα ἄραβας,
καὶ λήψονται αὐτήν. συνῆψε γὰρ ἡ βοὴ τὸ ὅριον τῆς μωαβίτι-
δος τοῦ ἀγαλείμ. καὶ ὀλολυγμὸς αὐτῆς, ἕως τοῦ φρέατος τοῦ ἐλείμ.
ὀλολύγματος αὐτῆς. τὸ γὰρ ὕδωρ τοῦ δεβὼν, πλησθήσεται αἵματος. ἐ-
πάξω γὰρ ἐπὶ δεβὼν, ἄραβας. καὶ ἀρῶ τὸ σπέρμα μωὰβ, καὶ ἀ-
ριὴλ καὶ τὸ κατάλοιπον ἀδαμά.

Κεφ. ις. 16.

ποστελῶ, ὡς ἑρπετὰ ἐπὶ τὴν γῆν. μὴ, πέτρα ἔρη-
ἀ μος ἐστι, τὸ ὄρος θυγατρὸς σιών. ἔσῃ γὰρ ὡς πετει-
νοῦ ἀνιπταμένου νοσσὸς ἀφῃρημένος θύγατερ
μωάβ. ἔπειτα δὲ, ἀρνῶν πλείονα βουλεύου. ποίει τε σκέπην
πένθους. αὐτοῖς διαπαντὸς ἐν μεσημβρινῇ σκοτία φεύγουσιν. ἐ-
ξέστησαν μὴ ἀχθῇς. παροικήσουσί σοι, οἱ φυγάδες μωάβ, ἔσονται
σκέπη ὑμῖν ἀπὸ προσώπου διώκοντες. ὅτι ἤρθη ἡ συμμαχία
σου. καὶ ὁ ἄρχων ἀπώλετο ὁ καταπατῶν ἐπὶ τῆς γῆς. καὶ διορθω-
θήσεται μετ' ἐλέους θρόνος. καὶ καθιεῖται ἐπ' αὐτοῦ μετὰ ἀ-
ληθείας ἐν σκηνῇ δαβίδ. κρίνων καὶ ἐκζητῶν κρίμα καὶ σπεύδων
δικαιοσύνην. ἠκούσαμεν τὴν ὕβριν μωάβ. ὑβριστὰ σφόδρα τὴν
ὑπερηφανίαν. καὶ ἡ ὕβρις αὐτοῦ καὶ ἡ μῆνις αὐτοῦ. οὐχ οὕτως
ἡ μαντεία σου, οὐχ οὕτως. ὀλολύξει μωάβ. ἐν γὰρ τῇ μωα-
βίτιδι πάντες ὀλολύξουσι. τοῖς κατοικοῦσι δεσὲθ μελετήσεις.
καὶ οὐκ ἐντραπήσῃ τὰ πεδία ἐσεβὼν. πενθήσει ἄμπελος
σεβαμὰ καταπίνοντες τὰ ἔθνη. καταπατήσατε τὰς ἀμπέλους
αὐτῆς ἕως ἰαζὴρ. οὐ μὴ συνάψητε, πλανήθητε τὴν ἔρημον. οἱ ἀπε-
σταλμένοι ἀπ' αὐτῆς ἐγκατελείφθησαν. διέβησαν εἰς τὴν θάλασσαν.

διὰ τοῦτο κλαύσομαι, ὡς τὸν κλαυθμὸν ἰαζήρ· ἄμπελον σεβαμά·
τὰ δένδρα σου κατέβαλον ἐσεβῶν καὶ ἐλάλησαν· ὅτι ἐπὶ τῷ
θερισμῷ, καὶ ἐπὶ τῷ τρύγῃ τῷ σου καταπατήσω· καὶ πάντα
πεσοῦνται καὶ ἀρθήσεται εὐφροσύνη καὶ ἀγαλλίαμα ἐκ τῶν ἀμ-
πελώνων· καὶ ἐν τοῖς ἀμπελῶσί σου, οὐ μὴ εὐφρανθήσονται· καὶ
οὐ μὴ πατήσωσιν οἶνον εἰς τὰ ὑπολήνια· πέπαυται γάρ. διὰ τοῦ-
το ἡ κοιλία μου ἐπὶ μωάβ, ὡς κιθάρα ἠχήσει· καὶ τὰ ἐντός μου·
ὡς τεῖχος ἐνεκαίνισας· καὶ ἔσται εἰς τὸ ἐντραπῆναί σε. ὅτι ἐκοπία-
σε μωὰβ ἐπὶ τοῖς βωμοῖς· καὶ εἰσελεύσεται εἰς τὰ χειροποίητα
αὐτῆς, ὥστε προσεύξασθαι, καὶ οὐ μὴ δύνηται ἐξελέσθαι αὐτήν·
Τοῦτο τὸ ῥῆμα ὃ ἐλάλησε κύριος ἐπὶ μωὰβ ὁπότε καὶ ἐλάλησε·
καὶ νῦν ἐλάλησε κύριος λέγων ἐν τρισὶν ἔτεσιν ἐτῶν μισθωτοῦ·
ἀτιμασθήσεται ἡ δόξα μωὰβ παντὶ τῷ πλούτῳ τῷ πολλῷ·
καὶ καταλειφθήσεται ὀλιγοστὸς, καὶ οὐκ ἔντιμος.

## ΤΟ ΡΗΜΑ ΤΟ ΚΑΤΑ ΔΑΜΑΣΚΟΥ.

Κεφ. ιζ. 17.

Δοὺ δαμασκὸς ἀρθήσεται ἀπὸ πόλεων, καὶ ἔσται εἰς
πτῶσιν καταλελειμμένη εἰς τὸν αἰῶνα· εἰς κοίτην ποι-
μνίων καὶ ἀνάπαυσιν· καὶ οὐκ ἔσται ὁ διώκων· καὶ οὐ-
κέτι ἔσται ὀχυρὰ τοῦ καταφυγεῖν ἐκεῖ τὸν ἐφραίμ· καὶ οὐκέτι βα-
σιλεία ἐν δαμασκῷ· καὶ τὸ κατάλοιπον τῶν σύρων. οὐ γὰρ σὺ
βελτίων εἶ τῶν υἱῶν ἰσραήλ, καὶ τῆς δόξης αὐτῶν. τάδε λέγει
κύριος σαβαώθ. ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκλειψις τῆς δόξης
ἰακώβ· καὶ τὰ πλείονα τῆς δόξης αὐτοῦ σεισθήσεται. καὶ ἔσται ὃν
τρόπον ἐάν τις συναγάγῃ ἀμητὸν ἑστηκότα, καὶ σπέρμα σταχύ-
ων ἀμήσῃ, καὶ ἔσται ὃν τρόπον ἐάν τις συναγάγῃ στάχυν ἐν φάρ-
αγγι στερεᾷ, καὶ καταλειφθῇ ἐν αὐτῇ καλάμη. ἢ ὡς ῥῶγες ἐλαί-
ας δύο, ἢ τρεῖς ἐπ᾽ ἄκρου μετεώρου, ἢ τέσσαρες, ἢ πέντε ἐπὶ τῶν
κλάδων αὐτῶν καταλειφθῶσι· τάδε λέγει κύριος ὁ θεὸς ἰσρα-

βλ. τῇ ἡμέρᾳ ἐκείνῃ πεποιθὼς ἔσαι ὁ ἄνθρωπος, ἐπὶ τῷ ποιήσαντι αὐτόν. οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ, εἰς τὸν ἅγιον τοῦ ἰσραὴλ ἐμβλέψονται, καὶ οὐ μὴ πεποιθότες ὦσιν, ἐπὶ τοῖς βωμοῖς, οὐδὲ ἐπὶ τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἃ ἐποίησαν οἱ δάκτυλοι αὐτῶν. καὶ οὐκ ὄψονται τὰ δένδρα οὐδὲ τὰ βδελύγματα αὐτῶν. τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσονται αἱ πόλεις σου, ἐγκαταλελειμμέναι, ὃν τρόπον κατέλιπον οἱ ἀμοῤῥαῖοι, καὶ οἱ εὐαῖοι ἀπὸ προσώπου τῶν υἱῶν ἰσραήλ. καὶ ἔσονται ἔρημοι διότι κατέλιπες τὸν θεὸν τὸν σωτῆρά σου. καὶ κυρίου τοῦ βοηθοῦ σου, οὐκ ἐμνήσθης. διὰ τοῦτο φυτεύσεις φύτευμα ἄπισον. καὶ σπέρμα ἄπισον. τῇ δὲ ἡμέρᾳ ᾗ ἂν φυτεύσῃς, πλανηθήσῃ τὸ δὲ πρωῒ ἐὰν σπείρῃς, ἀνθήσει εἰς ἀμητόν. ᾗ ἂν ἡμέρᾳ κληρώσῃ. καὶ ὡς πατὴρ ἀνθρώπου, κληρώσει τοὺς υἱούς σου. οὐαὶ πλῆθος ἐθνῶν πολλῶν. ὡς θάλασσα κυμαίνουσα, οὕτω ταραχθήσεσθε. καὶ νῶτος ἐθνῶν πολλῶν, ὡς ὕδωρ ἠχήσει. ὡς ὕδωρ πολύ, ἔθνη πολλά. ὡς ὕδατος πολλοῦ βίᾳ φερομένου καὶ ἀποσκορακιεῖ αὐτούς. καὶ πόῤῥω αὐτοὺς διώξεται, ὡς χνοῦν ἀχύρου λικμώντων ἀπέναντι ἀνέμου. καὶ ὡς κονιορτὸν τροχοῦ καταιγὶς φέρουσα. πρὸς ἑσπέραν ἔσαι πένθος. πρὶν ἢ πρωΐ, καὶ οὐκ ἔσαι αὕτη ἡ μερὶς τῶν προνομευσάντων ὑμᾶς. καὶ κληρονομία τοῖς ὑμᾶς κληρονομήσασιν ὑμᾶς. Κεφ. ιη. 18

Οὐαὶ γῆς πλοίων πτέρυγες. ἐπέκεινα ποταμῶν αἰθιοπίας. ὁ ἀποσέλλων ἐν θαλάσσῃ ὅμηρα. καὶ ἐπισολὰς βιβλίνας ἐπάνω τοῦ ὕδατος. πορεύσονται γὰρ ἄγγελοι κοῦφοι πρὸς ἔθνος μετέωρον. καὶ ξένον λαόν, καὶ χαλεπόν. τίς αὐτοῦ ἐπέκεινα, ἔθνος ἀνέλπισον καὶ καταπεπατημένον. νῦν οἱ ποταμοὶ τῆς γῆς πάντες, ὡς χώρα κατοικουμένη κατοικηθήσεται. ἡ χώρα αὐτῶν ὡσεὶ σημεῖον ἀπὸ ὄρους ἀρθῇ. ὡς σάλπιγγος φωνὴ ἀκουστὸν ἔσαι. διότι οὕτως εἶπε κύριός μοι. ἀσφάλεια ἔσαι ἐν τῇ ἐμῇ πόλει. ὡς φῶς καύματος μεσημβρίας.

καὶ ὡς νεφέλη δρόσου ἡμέρας ἀμήτου. ἔσται πρὸ τοῦ θερισμοῦ ὅ-
ταν συντελεσθῇ ἄνθος. καὶ ὄμφαξ ἐξανθήσῃ ἄνθος ὀμφακίζου-
σα. καὶ ἀφελεῖ τὰ βοτρύδια τὰ μικρὰ τοῖς δρεπάνοις, καὶ τὰς
κληματίδας ἀφελεῖ. καὶ ἀποκόψει καὶ καταλείψει ἅμα τοῖς πε-
τεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ συναχθήσεται
ἐπ᾽ αὐτοὺς τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ πάντα τὰ θηρία τῆς γῆς ἐπ᾽
αὐτὴν ἥξει. ἐν τῷ καιρῷ ἐκείνῳ, ἀνενεχθήσεται δῶρα κυρίῳ
σαβαὼθ ἐκ λαοῦ τεθλιμμένου, καὶ τετιλμένου. καὶ ἀπὸ λαοῦ με-
γάλου, ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα χρόνον. ἔθνος ἐλπίζον, καὶ
καταπεπατημένον. ὅ ἐστιν ἐν μέρει ποταμοῦ τῆς χώρας αὐτοῦ
εἰς τὸν τόπον οὗ τὸ ὄνομα κυρίου σαβαὼθ εἰς ὄρος ἅγιον.

## ΟΡΑΣΙΣ ΑΙΓΥΠΤΟΥ.

Κεφάλαιον ιθ. 19.

Δοὺ κύριος κάθηται ἐπὶ νεφέλης κούφης. καὶ ἥξει εἰς
i αἴγυπτον. καὶ σεισθήσεται τὰ χειροποίητα αἰγύ-
πτου, ἀπὸ προσώπου αὐτοῦ. καὶ ἡ καρδία αὐτῶν,
ἡττηθήσεται ἐν αὐτοῖς. καὶ ἐπεγερθήσονται αἰγύπτιοι ἐπ᾽ αἰ-
γυπτίους. καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ
ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πόλις ἐπὶ πόλιν. καὶ νομὸς
ἐπὶ νομόν. καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν αἰγυπτίων ἐν αὐ-
τοῖς. καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω. καὶ ἐπερωτήσου-
σι τοὺς θεοὺς αὐτῶν καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐκ
τῆς γῆς φωνοῦντας. καὶ τοὺς ἐγγαστριμύθους. καὶ παραδώσω
τὴν αἴγυπτον εἰς χεῖρας ἀνθρώπων κυρίων σκληρῶν. καὶ βα-
σιλεῖς σκληροί, κυριεύσουσιν αὐτῶν. τάδε λέγει κύριος σα-
βαώθ. καὶ πίονται οἱ αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν. ὁ δὲ
ποταμὸς ἐκλείψει. καὶ ξηρανθήσεται καὶ ἐκλείψουσιν οἱ ποτ-

ταμοί. καὶ αἱ διώρυγες τοῦ ποταμοῦ. καὶ ξηρανθήσεται πᾶσα συν-
αγωγὴ ὕδατος. καὶ ἐν παντὶ ἕλει καλάμου. καὶ πάπυρου. καὶ τὸ
ἄχι τὸ χλωρὸν. πᾶν τὸ κύκλῳ τοῦ ποταμοῦ. καὶ πᾶν τὸ σπειρό-
μενον διὰ τοῦ ποταμοῦ ξηρανθήσεται, ἀνεμόφθορον. καὶ στενά-
ξουσιν οἱ ἁλιεῖς. καὶ στενάξουσιν πάντες οἱ βάλλοντες ἄγκιστρον
εἰς τὸν ποταμὸν, καὶ οἱ βάλλοντες σαγήνας. καὶ οἱ ἀμφιβολεῖς
πενθήσουσι. καὶ αἰσχύνη λήψεται τοὺς ἐργαζομένους τὸ λινὸν τὸ
σχιστὸν. καὶ τοὺς ἐργαζομένους τὴν βύσσον. καὶ ἔσονται οἱ ἐργα-
ζόμενοι αὐτὰ, ἐν ὀδύνῃ. καὶ πάντες οἱ ποιοῦντες τὸν ζύθον λυ-
πηθήσονται, καὶ τὰς ψυχὰς πονέσουσι. καὶ μωροὶ ἔσονται οἱ
ἄρχοντες τάνεως οἱ σοφοὶ σύμβουλοι τοῦ βασιλέως, ἡ βουλὴ
αὐτῶν μωρανθήσεται. πῶς ἐρεῖτε τῷ βασιλεῖ υἱοὶ συνετῶν. ἡ-
μεῖς υἱοὶ βασιλέων τῶν ἐξ ἀρχῆς. ποῦ εἰσὶ νῦν οἱ σοφοί σου, καὶ
ἀναγγειλάτωσάν σοι. καὶ εἰπάτωσαν. τὶ βεβούλευται κύριος σαβ-
βαὼθ ἐπ᾽ αἴγυπτον. ἐξέλιπον οἱ ἄρχοντες τάνεως. καὶ ὑψώθησαν
οἱ ἄρχοντες μέμφεως, καὶ πλανήσουσιν τὴν αἴγυπτον καὶ τὰς φυ-
λάς. κύριος γὰρ ἐκέρασεν αὐτοῖς πνεῦμα πλανήσεως. καὶ ἐπλάνη-
σαν αἴγυπτον ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν, ὡς πλανᾶται ὁ μεθύων,
καὶ ὁ ἐμῶν ἅμα. καὶ οὐκ ἔσται τοῖς αἰγυπτίοις ἔργον ὃ ποιήσει
κεφαλὴν καὶ οὐρὰν, καὶ ἀρχὴν, καὶ τέλος. τῇ δὲ ἡμέρᾳ ἐκείνῃ, ἔ-
σονται οἱ αἰγύπτιοι, ὡς γυναῖκες ἐν φόβῳ ἐν τρόμῳ, καὶ ἀπὸ προ-
σώπου τῆς χειρὸς κυρίου σαββαώθ. ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς.
καὶ ἔσται ἡ χώρα τῶν ἰουδαίων τοῖς αἰγυπτίοις εἰς φόβητρον.
πᾶς ὃς ἐὰν ὀνομάσῃ αὐτὴν αὐτοῖς φοβηθήσονται. διὰ τὴν βου-
λὴν ἣν βεβούλευται κύριος σαββαὼθ ἐπ᾽ αὐτήν. τῇ ἡμέρᾳ ἐ-
κείνῃ, ἔσονται πέντε πόλεις ἐν τῇ αἰγύπτῳ λαλοῦσαι τῇ γλώσ-
σῃ τῇ χανανίτιδι, καὶ ὀμνύοντες τῷ ὀνόματι κυρίου σαβ-
βαὼθ. πόλις ἀσεδὲκ κληθήσεται ἡ μία πόλις. τῇ ἡμέρᾳ ἐκεί-
νῃ ἔσται θυσιαστήριον τῷ κυρίῳ ἐν χώρᾳ αἰγυπτίων. καὶ στήλη
πρὸς τὸ ὅριον αὐτῆς τῷ κυρίῳ. καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰ-

ὄνα κυρίῳ ἐν χώρᾳ αἰγύπτου. ὅτι κεκράξονται πρὸς κύριον διὰ τοὺς θλίβοντας αὐτούς. καὶ ἀποστελεῖ αὐτοῖς ἄνθρωπον ὃς σώσει αὐτούς, κρίνων σώσει αὐτούς. καὶ γνωστὸς ἔσται κύριος τοῖς αἰγυπτίοις, καὶ γνώσονται οἱ αἰγύπτιοι τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ποιήσουσι θυσίας. καὶ δῶρον, καὶ εὔξονται εὐχὰς τῷ κυρίῳ, καὶ ἀποδώσουσι. καὶ πατάξει κύριος τοὺς αἰγυπτίους πληγῇ καὶ ἰάσεται αὐτούς. καὶ ἐπιστραφήσονται πρὸς κύριον, καὶ εἰσακούσεται αὐτῶν καὶ ἰάσεται αὐτοὺς ἰάσει. τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται ἡ ὁδὸς αἰγύπτου πρὸς ἀσσυρίους καὶ εἰσελεύσονται ἀσσύριοι εἰς αἴγυπτον. καὶ αἰγύπτιοι πορεύσονται πρὸς ἀσσυρίους. καὶ δουλεύσουσιν αἰγύπτιοι τοῖς ἀσσυρίοις. τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσται ἰσραὴλ τρίτος ἐν τοῖς αἰγυπτίοις, καὶ ἐν τοῖς ἀσσυρίοις εὐλογημένος ἐν τῇ γῇ ἣν εὐλόγησε κύριος σαβαὼθ λέγων. εὐλογημένος ὁ λαός μου, ὁ ἐν αἰγύπτῳ, καὶ ὁ ἐν ἀσσυρίοις καὶ ἡ κληρονομία μου ἰσραήλ.

## Κεφάλαιον. κ. 20.

Οὗ ἔτους οὗ εἰσῆλθε νάθαν εἰς ἄζωτον. ἡνίκα ἀπεστάλη ὑ-
τ πὸ ἀρνᾶ βασιλέως ἀσσυρίων, καὶ ἐπολέμησε τὴν ἄ-
ζωτον, καὶ κατελάβετο αὐτήν. τότε ἐλάλησε κύριος πρὸς ἠσαΐαν υἱὸν ἀμὼς λέγων. πορεύου καὶ ἄφελε τὸν σάκκον ἀπὸ τῆς ὀσφύος σου. καὶ τὰ σανδάλιά σου ὑπόλυσαι ἀπὸ τῶν ποδῶν σου, καὶ ποίησον οὕτως πορευόμενος γυμνὸς καὶ ἀνυπόδετος. καὶ εἶπε κύριος. ὃν τρόπον πεπόρευται ὁ παῖς μου ἠσαΐας γυμνὸς καὶ ἀνυπόδετος, τρία ἔτη ἔσται εἰς σημεῖα, καὶ τέρατα τοῖς αἰγυπτίοις. καὶ αἰθίοψιν. ὅτι οὕτως ἄξει βασιλεὺς ἀσσυρίων τὴν αἰχμαλωσίαν αἰγύπτου, καὶ αἰθιόπων νεανίσκους, καὶ πρεσβύτας γυμνούς. καὶ ἀνυποδέτους ἀνακεκαλυμμένους τὴν αἰσχύνην αἰγύπτου. καὶ αἰσχυνθήσονται ἡττηθέντες ἐπὶ τοῖς αἰθίοψιν ἐφ' οἷς ἦσαν πεποιθότες οἱ αἰγύπτιοι. ἦσαν γὰρ αὐτοῖς δόξα. καὶ ἐροῦσιν οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ ἐν

τῇ ἡμέρᾳ ἐκείνῃ. ἰδοὺ ἡμεῖς ἦμεν πεποιθότες τοῦ φυγεῖν εἰς αὐτοὺς εἰς βοήθειαν. οὐκ ἠδύναντο σωθῆναι ἀπὸ βασιλέως ἀσσυρίων, καὶ πῶς ἡμεῖς σωθησόμεθα;

## ΤΟ ΡΗΜΑ ΤΗΣ ΕΡΗΜΟΥ.

Κεφάλαιον. κα. 21.

Σ καταιγὶς δι' ἐρήμου διέλθοι ἐξ ἐρήμου ἐρχομένη ἐκ γῆς. φοβερὸν τὸ ὅραμα, καὶ σκληρὸν ἀνηγγέλη μοι. ὁ ἀθετῶν ἀθετεῖ. ὁ ἀνομῶν ἀνομεῖ. ἐπ' ἐμοὶ οἱ ἐλαμῖται καὶ οἱ πρέσβεις τῶν περσῶν, ἐπ' ἐμὲ ἔρχονται. νῦν στενάξω καὶ παρακαλέσω ἐμαυτόν. διὰ τοῦτο ἐνεπλήσθη ἡ ὀσφύς μου ἐκλύσεως καὶ ὠδῖνες ἔλαβόν με, ὡς τὴν τίκτουσαν. ἠδίκησα τοῦ μὴ ἀκοῦσαι. ἐσπούδασα τοῦ μὴ βλέπειν. ἡ καρδία μου πλανᾶται, καὶ ἡ ἀνομία με βαπτίζει. ἡ ψυχή μου ἐφέστηκεν εἰς φόβον. ἑτοιμάσατε τὴν τράπεζαν. φάγετε πίετε. ἀναστάντες οἱ ἄρχοντες ἑτοιμάσατε θυρεούς. ὅτι οὕτως εἶπε πρός με κύριος. βαδίσας σεαυτῷ στῆσον σκοπόν. καὶ ὃ ἂν ἴδῃς ἀνάγγειλον. καὶ εἶδον ἀναβάτας ἱππεῖς δύο. καὶ ἀναβάτην ὄνου. καὶ ἀναβάτην καμήλου. ἀκρόασαι ἀκρόασιν πολλήν. καὶ κάλεσον οὐρίαν εἰς τὴν σκοπιὰν κυρίου. καὶ εἶπεν. ἔστην διαπαντὸς ἡμέρας. καὶ ἐπὶ τῆς παρεμβολῆς ἐγὼ ἔστην ὅλην τὴν νύκτα. καὶ ἰδοὺ αὐτὸς ἔρχεται ἀναβάτης ξυνωρίδος. καὶ ἀποκριθεὶς εἶπε. πέπτωκε βαβυλών. καὶ πάντα τὰ ἀγάλματα αὐτῆς. καὶ τὰ χειροποίητα αὐτῆς συνετρίβησαν εἰς τὴν γῆν. ἀκούσατε οἱ καταλελειμμένοι καὶ οἱ ὀδυνώμενοι. ἀκούσατε. ἃ ἤκουσα παρὰ κυρίου σαβαώθ. ὁ θεὸς τοῦ ἰσραὴλ ἀνήγγειλεν ἡμῖν.

## ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΙΔΟΥΜΑΙΑΣ.

Πρὸς ἐμὲ καλεῖ παρὰ τοῦ σιεὶρ, φυλάσσετε ἐπάλξεις. φυλάσσω τὸ πρωῒ, καὶ τὴν νύκτα. ἐὰν ζητῇς ζήτει, καὶ παρ' ἐμοὶ οἴκει. ἐσ

τοῦ δρυμοῦ ἑσπέρας κοιμηθήσῃ, ἢ ἐν τῇ ὁδῷ Δαιδάν. εἰς συνάντησιν διψῶντι ὕδωρ φέρετε. οἱ ἐνοικοῦντες ἐν χώρᾳ Θαιμᾶν, ἄρτοις συναντᾶτε τοῖς φεύγουσι. διὰ τὸ πλῆθος τῶν πεφονευμένων, καὶ διὰ τὸ πλῆθος τῶν πλανωμένων, καὶ διὰ τὸ πλῆθος τῆς μαχαίρας. καὶ διὰ τὸ πλῆθος τῶν τοξευμάτων τῶν διατεταμένων, καὶ διὰ τὸ πλῆθος τῶν πεπτωκότων ἐν τῷ πολέμῳ. διότι, οὕτως εἶπέ μοι κύριος. ἔτι ἐνιαυτὸς ὡς ἐνιαυτὸς μισθωτοῦ. ἐκλείψει ἡ δόξα τῶν υἱῶν Κηδάρ, καὶ τὸ κατάλοιπον τῶν τοξευμάτων τῶν ἰσχυρῶν υἱῶν Κηδὰρ ἔσται ὀλίγον. διότι κύριος ἐλάλησε ὁ θεὸς Ἰσραήλ.

## ΤΟ ΟΡΑΜΑ ΤΗΣ ΦΑΡΑΓΓΟΣ ΣΙΩΝ.

Κεφάλαιον. κβ. 22.

Ι'εγένετό σοι. ὅτι νῦν ἀνέβητε πάντες εἰς δώματα μάταια. ἐνεπλήσθη ἡ πόλις βοώντων. οἱ τραυματίαι σου, οὐ τραυματίαι ἐν μαχαίραις. οὐδὲ οἱ νεκροί σου νεκροὶ πολέμων, πάντες οἱ ἄρχοντές σου πεφεύγασι, καὶ οἱ ἁλόντες σκληρῶς δεδεμένοι εἰσί. καὶ οἱ ἰσχύοντες ἐν σοί, πόρρω πεφεύγασι. διὰ τοῦτο εἶπα. ἄφετέ με πικρῶς κλαύσομαι. μὴ κατισχύσητε παρακαλεῖν με, ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. ὅτι ἡμέρα ταραχῆς καὶ ἀπωλείας καὶ καταπατήματος, καὶ πλάνησις παρὰ κυρίου σαβαώθ. ἐν φάραγγι Σιὼν πλανῶνται. ἀπὸ μικροῦ ἕως μεγάλου πλανῶνται ἐπὶ τὰ ὄρη. οἱ δὲ Ἐλαμῖται, ἔλαβον φαρέτρας. καὶ ἀναβάται ἄνθρωποι ἐφ' ἵπποις. καὶ συναγωγὴ παρατάξεως. καὶ ἔσονται αἱ ἐκλεκταὶ φάραγγές σου πλησθήσονται ἁρμάτων. οἱ δὲ ἱππεῖς ἐμφράξουσι τὰς πύλας σου. καὶ ἀνακαλύψουσι τὰς πύλας Ἰούδα. καὶ ἐμβλέψονται τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τοὺς ἐκλεκτοὺς οἴκους τῆς πόλεως. καὶ ἀνακαλύψουσι τὰ κρυπτὰ τῶν οἴκων τῆς ἄκρας Δαβίδ. καὶ εἴδοσαν ὅτι πλείους εἰσί, καὶ ὅτι ἀπέστρεψε τὸ ὕδωρ τῆς ἀρχαίας

κολυμβήθρας εἰς τὴν πόλιν· καὶ ὅτι καθείλοσαν τοὺς οἴκους ἱερουσαλήμ, εἰς ὀχυρώματα τείχους τῇ πόλει· καὶ ἐποιήσατε αὑτοῖς ὕδωρ ἀνὰ μέσον τῶν δύο τειχέων ἐσώτερον τῆς κολυμβήθρας τῆς ἀρχαίας, καὶ οὐκ ἐνεβλέψατε εἰς τὸν ἀπαρχῆς ποιήσαντα αὐτήν· καὶ τὸν κτίσαντα αὐτὴν οὐκ εἴδετε. καὶ ἐκάλεσε κύριος σαββαὼθ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κλαυθμόν· καὶ κοπετὸν καὶ ξύρησιν καὶ ζῶσιν σάκκων· αὐτοὶ δὲ ἐποιήσαντο εὐφροσύνην καὶ ἀγαλλίαμα σφάζοντες μόσχους· καὶ θύοντες πρόβατα ὥστε φαγεῖν κρέατα· καὶ πιεῖν οἶνον· λέγοντες φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. καὶ ἀνακεκαλυμμένα ταῦτα ἐστὶν ἐν τοῖς ὠσὶ κυρίου σαββαώθ· ὅτι οὐκ ἀφεθήσεται ὑμῖν αὕτη ἡ ἁμαρτία, ἕως ἂν ἀποθάνητε· τάδε λέγει κύριος σαββαώθ· πορεύου εἰς τὸ παστοφόριον· πρὸς σομνᾶν τὸν ταμίαν· καὶ εἶπον αὐτῷ· τί σοι ὧδε. καὶ τί σοι ὧδε ἐστὶν ὅτι ἐλατόμησας σεαυτῷ ὧδε μνημεῖον, καὶ ἐποίησας σεαυτῷ ἐν ὑψηλῷ μνημεῖον, καὶ ἔγραψας σεαυτῷ ἐν πέτρᾳ σκηνήν· ἰδοὺ δὴ κύριος σαββαὼθ ἐκβαλεῖ καὶ ἐκτρίψει ἄνδρα· καὶ ἀφελεῖ τὴν στολήν σου, καὶ τὸν στέφανόν σου τὸν ἔνδοξον· καὶ ῥίψει σε εἰς χώραν μεγάλην, καὶ ἀμέτρητον καὶ ἐκεῖ ἀποθανῇ· καὶ θήσει τὸ ἅρμα σου τὸ καλὸν εἰς ἀτιμίαν· καὶ τὸν οἶκον τοῦ ἄρχοντός σου εἰς καταπάτημα· καὶ ἀφαιρεθήσῃ ἐκ τῆς οἰκονομίας σου, καὶ ἐκ τῆς στάσεώς σου· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ καλέσω τὸν παῖδά μου ἐλιακείμ· τὸν τοῦ χελκίου, καὶ ἐνδύσω αὐτὸν τὴν στολήν σου· καὶ τὸν στέφανόν σου δώσω αὐτῷ· καὶ τὸ κράτος· καὶ τὴν οἰκονομίαν σου, δώσω εἰς τὰς χεῖρας αὐτοῦ· καὶ ἔσται ὡς πατὴρ τοῖς ἐνοικοῦσιν ἐν ἱερουσαλήμ, καὶ τοῖς ἐνοικοῦσιν ἐν ἰούδᾳ· καὶ δώσω αὐτῷ τὴν κλεῖδα οἴκου δαβίδ· ἐπὶ τῷ ὤμῳ αὐτοῦ· καὶ ἀνοίξει· καὶ οὐκ ἔσται ὁ ἀποκλείων καὶ κλείσει καὶ οὐκ ἔσται ὁ ἀνοίγων, καὶ δώσω τὴν δόξαν δαβίδ αὐτῷ· καὶ ἄρξει καὶ οὐκ ἔσται ὁ ἀντιλέγων· καὶ στήσω αὐτὸν ἄρχοντα ἐν τόπῳ πιστῷ

καὶ ἔσαι εἰς θρόνον δόξης τοῦ οἴκου τοῦ πατρὸς αὐτοῦ. καὶ ἔσαι πε-
ποιθὼς ἐπ᾽ αὐτὸν, πᾶς ἔνδοξος ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ,
ἀπὸ μικροῦ ἕως μεγάλου. πᾶν τὸ σκεῦος τὸ μικρὸν ἀπὸ σκεύους
τῶν ἀγανὼθ, καὶ ἔσονται ἐπικρεμάμενοι αὐτῷ τῇ ἡμέρᾳ ἐκεί-
νῃ. τάδε λέγει κύριος σαββαὼθ. κινηθήσεται ὁ ἄνθρωπος ὁ ἐσ-
τηριγμένος ἐν τόπῳ πιστῷ. καὶ ἀφαιρεθήσεται καὶ πεσεῖται καὶ ἐξο-
λοθρευθήσεται ἡ δόξα ἐπ᾽ αὐτόν. ὅτι κύριος ἐλάλησεν.

## ΤΟ ΟΡΑΜΑ ΤΥΡΟΥ.

Κεφ. κγ. 23.

Ὀλολύζετε πλοῖα καρχηδόνος. ὅτι ἀπώλετο καὶ οὐ-
ὃ κέτι ἔρχονται ἐκ γῆς, κιτιαίων, ἦκται αἰχμάλωτος.
τίνι ὅμοιοι γεγόνασιν οἱ ἐνοικοῦντες ἐν τῇ νήσῳ
μετάβολοι φοινίκης. διαπερῶντες τὴν θάλασσαν ἐν ὕδατι πολ-
λῷ σπέρμα μεταβόλων, ὡς ἀμήτου εἰσφερομένου, οἱ μετάβολοι
τῶν ἐθνῶν. αἰσχύνθητι σιδὼν εἶπεν ἡ θάλασσα. ἡ δὲ ἰσχὺς τῆς θα-
λάσσης εἶπεν. οὐκ ὤδινον οὐδὲ ἔτεκον οὐδὲ ἐξέθρεψα νεανίσκους
οὐδὲ ὕψωσα παρθένους. ὅταν δὲ ἀκουστὸν γένηται αἰγύπτῳ, λή-
ψεται αὐτοὺς ὀδύνη περὶ τύρου. ἀπέλθετε εἰς καρχηδόνα. ὀλολύ-
ξατε οἱ κατοικοῦντες ἐν τῇ νήσῳ ταύτῃ. οὐχ αὕτη ἦν ὑμῶν. ἡ
ὕβρις ἀπ᾽ ἀρχῆς, πρὶν ἢ παραδοθῆναι αὐτήν. τίς ταῦτα ἐβου-
λεύσεν ἐπὶ τύρον. μὴ ἥσσων ἐστίν, ἢ οὐκ ἰσχύει; οἱ ἔμποροι αὐτῆς
ἔνδοξοι ἄρχοντες τῆς γῆς. κύριος σαβαὼθ ἐβουλεύσατο παρα-
λῦσαι πᾶσαν τὴν ὕβριν τῶν ἐνδόξων. καὶ ἀτιμάσαι πᾶν ἔνδο-
ξον ἐπὶ τῆς γῆς. ἐργάζου τὴν γῆν σου. καὶ γὰρ πλοῖα, οὐκέτι ἔρχεται
ἐκ καρχηδόνος. ἡ δὲ χεὶρ σου οὐκέτι ἰσχύει κατὰ θάλασσαν. ἡ
παροξύνουσα βασιλεῖς. κύριος σαβαὼθ ἐνετείλατο περὶ χαναὰν
ἀπολέσαι αὐτῆς τὴν ἰσχύν. καὶ ἐροῦσιν οὐκέτι οὐ μὴ προσθῆσ-
τε τοῦ ὑβρίζειν καὶ ἀδικεῖν τὴν θυγατέρα σιών. καὶ ἐὰν ἀπέλ-
θῃς εἰς κιτιεῖς, οὐδὲ ἐκεῖ σοι ἀνάπαυσις ἔσαι. καὶ εἰς γῆν χαλ-
δαίων, καὶ αὕτη ἠρήμωται ἀπὸ τῶν ἀσσυρίων. οὐδὲ ἐκεῖ σοι

ἀνάπαυσις ἔσαι. ὅτι, ὁ τοῖχος αὐτῶν πέπτωκεν. ὀλολύζετε πλοῖα καρχηδόνος, ὅτι ἀπώλετο τὸ ὀχύρωμα ὑμῶν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καταλειφθήσεται τύρος, ἔτη ἑβδομήκοντα, ὡς χρόνος βασιλέως. ὡς χρόνος ἀνθρώπου καὶ ἔσαι μετὰ ἑβδομήκοντα ἔτη, τύρος ἔσαι ὡς ᾆσμα πόρνης. λάβε κιθάραν ῥέμβευσον πόλις πόρνη ἐπιλελησμένη καλῶς κιθάρισον. πολλὰ ᾆσον, ἵνα σου μνεία γένηται. καὶ ἔσαι μετὰ τὰ ἑβδομήκοντα ἔτη ἐπισκοπὴν ποιήσει ὁ θεὸς τύρου. καὶ πάλιν ἀποκατασταθήσεται εἰς τὸ ἀρχαῖον. καὶ ἔσαι ἐμπόριον πάσαις ταῖς βασιλείαις τῆς οἰκουμένης ἐπὶ πρόσωπον τῆς γῆς. καὶ ἔσαι αὐτῆς, ἡ ἐμπορία καὶ ὁ μισθὸς ἅγιος τῷ κυρίῳ. οὐκ αὐτοῖς συναχθήσεται. ἀλλὰ τοῖς κατοικοῦσιν ἔναντι κυρίου. ἐν ἱερουσαλήμ. πᾶσα ἡ ἐμπορία αὐτῆς φαγεῖν, καὶ πιεῖν. καὶ ἐμπλησθῆναι καὶ εἰς συμβολὴν μνημόσυνον ἔναντι κυρίου.

## Κεφ. κδ. 24.

δοὺ κύριος καταφθείρει τὴν οἰκουμένην ὅλην. καὶ ἐρη-
ἰ μώσει αὐτήν. καὶ ἀνακαλύψει τὸ πρόσωπον αὐτῆς,
καὶ διασπερεῖ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ. καὶ ἔσαι ὁ λαὸς, ὡς ἱερεύς. καὶ ὁ παῖς, ὡς ὁ κύριος. καὶ ἡ θεράπαινα ὡς ἡ κυρία. ἔσαι ὁ ἀγοράζων ὡς ὁ πωλῶν. ὁ δανείζων, ὡς ὁ δανειζόμενος. καὶ ὁ ὀφείλων, ὡς ᾧ ὀφείλει. φθορᾷ φθαρήσεται ἡ γῆ καὶ προνομῇ προνομευθήσεται ἡ γῆ. τὸ γὰρ σόμα κυρίου, ἐλάλησε ταῦτα ἐπένθησεν ἡ γῆ. καὶ ἐφθάρη ἡ οἰκουμένη. ἐπένθησαν οἱ ὑψηλοὶ τῆς γῆς. καὶ ἡ γῆ ἠνόμησε διὰ τοὺς κατοικοῦντας αὐτήν. διότι τὸν νόμον παρέβησαν κυρίου, καὶ διεσκέδασαν. ἤλλαξαν τὰ προστάγματα διαθήκην αἰώνιον. διὰ τοῦτο ἀρὰ ἔδεται τὴν γῆν, ὅτι ἡμάρτοσαν οἱ κατοικοῦντες αὐτήν. διὰ τοῦτο πτωχοὶ ἔσονται οἱ ἐνοικοῦντες ἐν τῇ γῇ. καταλειφθήσονται ἄνθρωποι ὀλίγοι. πενθήσει οἶνος. πενθήσει ἄμπελος, σενάξουσι πάντες οἱ εὐφραινόμενοι τὴν ψυχήν. πέπαυται εὐφροσύνη τυμπάνων. πέπαυται αὐ-

θάδεια· καὶ πλοῦτος ἀσεβῶν· πέπαυται φωνὴ κιθάρας· ᾐσχύνθη-
σαν· οὐκ ἔπιον οἶνον· πικρὸν ἐγένετο τὸ σίκερα τοῖς πίνουσιν· ἠρημώ-
θη πᾶσα πόλις κλείσει οἰκίαν τοῦ μὴ εἰσελθεῖν· ὀλολύζετε περὶ τοῦ
οἴνου πανταχῇ· πέπαυται πᾶσα εὐφροσύνη τῆς γῆς· ἀπῆλθεν
πᾶσα εὐφροσύνη τῆς γῆς· καὶ καταλειφθήσονται πόλεις ἔρη-
μοι· καὶ οἶκοι ἐγκαταλελειμμένοι ἀπολοῦνται· ταῦτα πάντα
ἔσονται ἐν τῇ γῇ ἐν μέσῳ τῶν ἐθνῶν ὃν τρόπον ἐάν τις κα-
λαμήσηται ἐλαίαν, οὕτως καλαμήσονται αὐτούς, καὶ ἐὰν
παύσηται ὁ τρυγητός, καὶ οὗτοι φωνῇ βοήσονται. οἱ δὲ κατα-
λειφθέντες ἐπὶ τῆς γῆς εὐφρανθήσονται ἅμα τῇ δόξῃ κυρίου.
ταραχθήσεται τὸ ὕδωρ τῆς θαλάσσης· διὰ τοῦτο ἡ δόξα κυρί-
ου ἐν ταῖς νήσοις ἔσται τῆς θαλάσσης· τὸ ὄνομα κυρίου ἔνδοξον
ἔσται. Κύριε ὁ θεὸς ἰσραὴλ ἀπὸ τῶν πτερύγων τῆς γῆς, τέ-
ρατα ἠκούσαμεν ἐλπὶς τῷ εὐσεβεῖ, καὶ ἐροῦσι· οὐαὶ τοῖς ἀθε-
τοῦσιν· οἱ ἀθετοῦντες τὸν νόμον. φόβος καὶ βόθυνος καὶ πα-
γὶς ἐφ᾽ ὑμᾶς τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς· καὶ ἔσται ὁ φεύγων
τὸν φόβον, ἐμπεσεῖται εἰς τὸν βόθυνον· ὁ δὲ ἐκβαίνων ἐκ τοῦ
βοθύνου, ἁλώσεται ὑπὸ τῆς παγίδος· ὅτι θυρίδες ἐκ τοῦ οὐ-
ρανοῦ ἠνεῴχθησαν· καὶ σεισθήσεται τὰ θεμέλια τῆς γῆς· ταρα-
χῇ ταραχθήσεται ἡ γῆ· καὶ ἀπορίᾳ, ἀπορηθήσεται ἡ γῆ· ἔ-
κλινεν καὶ σεισθήσεται ὡς ὀπωροφυλάκιον ἡ γῆ· ὡς ὁ μεθύων
καὶ κραιπαλῶν· καὶ πεσεῖται καὶ οὐ μὴ δύνηται ἀναστῆναι· κα-
τίσχυσε γὰρ ἐπ᾽ αὐτῆς ἡ ἀνομία. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ἐπάξει ὁ θεὸς ἐπὶ τὸν κόσμον τοῦ οὐρανοῦ τὴν χεῖρα· καὶ ἐπὶ
τοὺς βασιλεῖς τῆς γῆς· καὶ συνάξουσι συναγωγὴν αὐτῆς καὶ
ἀποκλείσουσιν εἰς ὀχύρωμα, καὶ εἰς δεσμωτήριον διὰ πολλῶν
γενεῶν· ἐπισκοπὴ ἔσται αὐτῶν· καὶ τακήσεται ἡ πλίνθος· καὶ
πεσεῖται τὸ τεῖχος καὶ ἐντραπήσεται ἡ σελήνη καὶ αἰσχυνθήσε-
ται ὁ ἥλιος· ὅτι βασιλεύσει κύριος ἐν σιών, καὶ ἐν ἱερουσαλήμ·
καὶ ἐνώπιον τῶν πρεσβυτέρων δοξασθήσεται.

Κεφάλαιον. κε. 25.

Υριος ὁ θεός μου δοξάσω σε. ὑμνήσω τὸ ὄνο-
κ μά σου. ὅτι ἐποίησας θαυμαστὰ πράγματα βου-
λὴν ἀρχαίαν ἀληθινήν. γένοιτο κύριε. ὅτι ἔ-
θηκας πόλεις εἰς χῶμα. πόλεις ὀχυρὰς τοῦ μὴ πεσεῖν αὐ-
τῶν τὰ θεμέλια. τῶν ἀσεβῶν πόλις. εἰς τὸν αἰῶνα οὐ μὴ οἰ-
κοδομηθῇ. καὶ διὰ τοῦτο εὐλογήσουσί σε ὁ λαὸς ὁ πτωχὸς, καὶ
πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε. ἐγένου γὰρ
πάσῃ πόλει ταπεινῇ βοηθός. καὶ τοῖς ἀτιμήσασι, δι' ἔν-
δειαν, σκέπη. ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς. σκέ-
πη διψώντων. καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων, ὡς
ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν σιών. ὅτι ῥύσῃ αὐ-
τοὺς ἀπὸ ἀνθρώπων ἀσεβῶν οἷς ἡμᾶς παρέδωκας, καὶ ποι-
ήσει κύριος σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν. ἐπὶ τὸ ὄρος τοῦ-
το, πίονται εὐφροσύνην. πίονται οἶνον. χρίσονται μύρον
ἐν τῷ ὄρει τούτῳ. παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν.
ἡ γὰρ βουλὴ αὕτη, ἐπὶ πάντα τὰ ἔθνη. κατέπιεν ὁ θά-
νατος ἰσχύσας. καὶ πάλιν ἀφεῖλε κύριος ὁ θεὸς πᾶν δά-
κρυον ἀπὸ παντὸς προσώπου. τὸ ὄνειδος τοῦ λαοῦ ἀφεῖ-
λεν ἀπὸ πάσης τῆς γῆς. τὸ γὰρ στόμα κυρίου ἐλάλησεν.
καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ, ἰδοὺ ὁ θεὸς ἡμῶν ἐφ' ὃν ἠλ-
πίζομεν. καὶ σώσει ἡμᾶς. οὗτος κύριος ὑπεμείναμεν αὐ-
τῷ, καὶ ἠγαλλιώμεθα καὶ εὐφρανθησώμεθα ἐπὶ τῇ σωτη-
ρίᾳ ἡμῶν. ἀνάπαυσιν δώσει ὁ θεὸς ἐπὶ τὸ ὄρος τοῦτο.
καὶ καταπατηθήσεται ἡ μωαβῖτις, ὃν τρόπον πατοῦσιν
ἅλωνα ἐν ἁμάξαις. καὶ ἀνήσει τὰς χεῖρας αὐτοῦ ὃν τρό-
πον καὶ αὐτὸς ἐταπείνωσε τοῦ ἀπολέσαι. καὶ ταπεινώσει
τὴν ὕβριν αὐτοῦ ἐφ' ἃ τὰς χεῖρας ἐπέβαλε. καὶ τὸ ὕψος
τῆς καταφυγῆς τοῦ οἴκου σου ταπεινώσει, καὶ καταβήσεται
ἕως τοῦ ἐδάφους.

Κεφάλαιον. κϛ. 26.

Η ἡμέρᾳ ἐκείνῃ, ᾄσονται τὸ ᾆσμα τοῦτο ἐπὶ γῆς τῆς
τ ἰουδαίας, λέγοντες. ἰδοὺ πόλις ἰσχυρά. καὶ σωτή-
ριον ἡμῶν θήσει τὸ τεῖχος. καὶ περὶ τεῖχος, ἀνοί-
ξατε πύλας, εἰσελθέτω λαὸς φυλάσσων δικαιοσύνην καὶ φυλάσ-
σων ἀλήθειαν. ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰ-
ρήνην. ὅτι ἐπὶ σοὶ ἐλπίδι ἤλπισαν κύριε ἕως τοῦ αἰῶνος. ὁ θε-
ὸς ὁ μέγας ὁ αἰώνιος. ὃς ταπεινώσας κατήγαγες τοὺς ἐνοικοῦν-
τας ἐν ὑψηλοῖς. πόλεις ὀχυρὰς καταβαλεῖς, καὶ κατάξεις ἕως
ἐδάφους. καὶ πατήσουσιν αὐτοὺς πόδες πραέων, καὶ ταπεινῶν
βήματα. ὁδὸς ἀσεβῶν εὐθεῖα ἐγένετο, καὶ παρεσκευασμέ-
νη ἡ ὁδὸς ἀσεβῶν. ἡ γὰρ ὁδὸς κυρίου κρίσις. ἠλπίσαμεν ἐπὶ
τῷ ὀνόματί σου, καὶ ἐπὶ τῇ μνείᾳ ἣ ἐπιθυμεῖ ἡ ψυχή μου. ἐκ
νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ θεός. διότι φῶς τὰ
προστάγματά σου, ἐπὶ τῆς γῆς. δικαιοσύνην μάθετε οἱ ἐνοικοῦν-
τες ἐπὶ τῆς γῆς. πέπαυται γὰρ ὁ ἀσεβὴς πᾶς ὃς οὐ μὴ μάθῃ
δικαιοσύνην. ἐπὶ τῆς γῆς ἀλήθειαν οὐ μὴ ποιήσει. ἀρθήτω ὁ ἀ-
σεβὴς, ἵνα μὴ ἴδῃ τὴν δόξαν κυρίου. κύριε ὑψηλός σου ὁ βρα-
χίων καὶ οὐκ ᾔδεισαν. γνόντες δὲ αἰσχυνθήσονται. ζῆλος λήψε-
ται λαὸν ἀπαίδευτον. καὶ νῦν πῦρ τοὺς ὑπεναντίους ἔδεται. κύ-
ριε ὁ θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν. πάντα γὰρ ἀπέδωκας ἡ-
μῖν. κύριε ὁ θεὸς ἡμῶν, κτῆσαι ἡμᾶς. κύριε ἐκτός σου, ἄλλον
οὐκ οἴδαμεν. τὸ ὄνομά σου ὀνομάζομεν. οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ
ἴδωσιν οὐδὲ ἰατροὶ οὐ μὴ ἀναστήσουσι. διὰ τοῦτο ἐπήγαγες καὶ
ἀπώλεσας καὶ ἦρας πᾶν ἄρσεν αὐτῶν. πρόσθες αὐτοῖς κακὰ κύ-
ριε. πρόσθες κακὰ τοῖς ἐνδόξοις τῆς γῆς. κύριε ἐν θλίψει ἐμνή-
σθημέν σου. ἐν θλίψει μικρᾷ, ἡ παιδεία σου ἡμῖν. καὶ ὡσεὶ ὠ-
δίνουσα ἐγγίζει τοῦ τεκεῖν, καὶ ἐπὶ τῇ ὠδῖνι αὐτῆς ἐκέκραξεν,
οὕτως ἐγενήθημεν τῷ ἀγαπητῷ σου διὰ τὸν φόβον σου κύριε ἐν
γαστρὶ ἐλάβομεν καὶ ὠδινήσαμεν, καὶ ἐτέκομεν πνεῦμα σω-

τηρίας σου ὃ ἐποιήσαμεν ἐπὶ τῆς γῆς· οὐ πεσούμεθα ἀλλὰ πεσοῦνται πάντες οἱ ἐνοικοῦντες ἐπὶ τῆς γῆς· ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ εὐφρανθήσονται οἱ ἐν τῇ γῇ· ἡ γὰρ δρόσος ἡ παρὰ σοῦ, ἴαμα αὐτοῖς ἐστιν· ἡ δὲ γῆ τῶν ἀσεβῶν πεσεῖται. Βάδιζε λαός μου· εἴσελθε εἰς τὸ ταμιεῖόν σου, ἀπόκλεισον τὴν θύραν σου ἀποκρύβηθι μικρὸν ὅσον ὅσον, ἕως ἂν παρέλθῃ ἡ ὀργὴ κυρίου. ἰδοὺ γὰρ κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ κατακαλύψει τοὺς ἀνῃρημένους.

Κεφ. κζ. 27.

ε. ΕΝ τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ θεὸς τὴν μάχαιραν τὴν ἁγίαν καὶ τὴν μεγάλην καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα τὸν ὄφιν φεύγοντα. ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν. καὶ ἀνελεῖ τὸν δράκοντα. τῇ ἡμέρᾳ ἐκείνῃ, ἀμπελὼν καλὸς ἐπιθύμημα ἐξάρχειν κατ᾽ αὐτῆς. ἐγὼ πόλις ὀχυρὰ πόλις πολιορκουμένη. μάτην ποτιῶ αὐτήν. ἁλώσεται γὰρ νυκτός. ἡμέρας δὲ πεσεῖται. τεῖχος αὐτῆς οὐκ ἔστιν. ἡ οὐκ ἐπελάβετο αὐτῆς. τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ. διὰ τὴν πολεμίαν ταύτην, ἠθέτηκα αὐτήν. τοίνυν διὰ τοῦτο ἐποίησε κύριος πάντα ὅσα συνέταξε. κατακέκαυμαι, βοήσονται πάντες οἱ ἐνοικοῦντες ἐν αὐτῇ ποιήσωμεν εἰρήνην αὐτῷ ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι. τέκνα ἰακώβ. βλαστήσει καὶ ἐξανθήσει ἰσραήλ. καὶ ἐμπλησθήσεται ἡ οἰκουμένη τοῦ καρποῦ αὐτοῦ. μὴ ὡς αὐτὸς ἐπάταξε. καὶ αὐτὸς οὕτως πληγήσεται. καὶ ὡς αὐτὸς οὕτως ἀνεῖλον. καὶ αὐτὸς οὕτως ἀναιρεθήσεται. μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς. οὐ σὺ ἦσθα ὁ μελετῶν τῷ πνεύματι τῷ σκληρῷ ἀνελεῖν αὐτοὺς πνεύματι θυμοῦ; διὰ τοῦτο ἀφαιρεθήσεται ἡ ἀνομία ἰακώβ. καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ ὅταν ἀφέλωμαι ἁμαρτίαν αὐτοῦ. ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους, ὡς κονίαν λεπτόν.

καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν· καὶ τὰ εἴδωλα αὐτῶν ἐκ
κεκομμένα· ὥσπερ δρυμὸς μακράν· τὸ κατοικούμενον ποίμνι-
ον ἀνειμένον ἔσται, ὡς ποίμνιον καταλελειμμένον. Καὶ ἔσται πο
λὺν χρόνον εἰς βόσκημα· καὶ ἐκεῖ ἀναπαύσονται ποίμνια· καὶ με
τὰ χρόνον οὐκ ἔσται ἐν αὐτῇ χλωρὸν, διὰ τὸ ξηρανθῆναι. γυναῖ
κες ἐρχόμεναι ἀπὸ θέας. δεῦτε. οὐ γὰρ λαός ἐστιν ἔχων σύνε
σιν, διὰ τοῦτο οὐ μὴ οἰκτειρήσῃ ὁ ποιήσας αὐτοὺς, οὐδὲ ὁ πλά
σας αὐτοὺς οὐ μὴ ἐλεήσῃ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συμφρά
ξει κύριος ἀπὸ τῆς διώρυγος τοῦ ποταμοῦ, ἕως ῥινοκούρων. ὑμεῖς
δὲ συναγάγετε κατὰ ἕνα τοὺς υἱοὺς ἰσραήλ. καὶ ἔσται ἐν τῇ ἡμέ
ρᾳ ἐκείνῃ σαλπιοῦσι τῇ σάλπιγγι τῇ μεγάλῃ. καὶ ἥξουσιν οἱ ἀπο
λόμενοι ἐν τῇ χώρᾳ τῶν ἀσσυρίων καὶ οἱ ἀπολόμενοι ἐν αἰγύπτῳ
καὶ προσκυνήσουσι τῷ κυρίῳ ἐπὶ τὸ ὄρος τὸ ἅγιον. ἐν ἱερουσαλήμ.

Κεφάλαιον. κη. 28.

Οὐαὶ τῷ στεφάνῳ τῆς ὕβρεως οἱ μισθωτοὶ ἐφραίμ. τὸ
ἄνθος τὸ ἐκπεσὸν ἐκ τῆς δόξης ἐπὶ τῆς κορυφῆς τοῦ
ὄρους τοῦ παχέος. οἱ μεθύοντες ἄνευ οἴνου. ἰδοὺ ἰ-
σχυρὸν καὶ σκληρόν. ὁ θυμὸς κυρίου. ὡς χάλαζα καταφερομέ-
νη οὐκ ἔχουσα σκέπην. βίᾳ καταφερομένη. ὡς ὕδατος πολὺ
πλῆθος σῦρον χώραν. ἐν τῇ γῇ ποιήσει ἀνάπαυσιν. καὶ ταῖς
χερσὶ, καὶ τοῖς ποσὶ καταπατηθήσεται ὁ στέφανος τῆς ὕβρεως.
οἱ μισθωτοὶ τοῦ ἐφραίμ. καὶ ἔσται τὸ ἄνθος τὸ ἐκπεσὸν τῆς ἐλπίδος
τῆς δόξης, ἐπ᾽ ἄκρου τοῦ ὄρους τοῦ ὑψηλοῦ. ὡς πρόδρομος σύκου
ὁ ἰδὼν αὐτὸ πρὶν εἰς τὴν χεῖρα αὐτοῦ λαβεῖν, θελήσει αὐτὸ κατα
πιεῖν. Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται κύριος σαβαὼθ ὁ στέφανος τῆς
ἐλπίδος ὁ πλακεὶς τῆς δόξης τῷ καταλειφθέντι μου λαῷ ἐν
αἰγύπτῳ καὶ καταληφθήσονται ἐν πνεύματι κρίσεως. ἐπὶ κρί-
σιν καὶ ἰσχὺν κωλυόντων ἀνελεῖν. οὗτοι γὰρ οἴνῳ πεπλανημένοι εἰ
σίν. ἐπλανήθησαν διὰ τὸ σίκερα. ἱερεὺς καὶ προφήτης ἐξέστη-
σαν διὰ τὸ σίκερα. κατεπόθησαν διὰ τὸν οἶνον, ἐσείσθησαν, ἀπὸ

τῆς μέθης τοῦ σίκερα, ἐπλανήθησαν. τοῦτό ἐστι φάσμα. ἀρὰ ἔδεται ταύτην τὴν βουλὴν, αὕτη γὰρ ἡ βουλὴ ἕνεκα πλεονεξίας. τίνι ἀνηγγείλαμεν κακὰ, καὶ τίνι ἀνηγγείλαμεν ἀγγελίαν, οἱ ἀπογεγαλακτισμένοι ἀπὸ γάλακτος, οἱ ἀπεσπασμένοι ἀπὸ μαστοῦ. θλίψιν ἐπὶ θλίψιν προσδέχου. ἐλπίδα ἐπ' ἐλπίδι. ἔτι μικρὸν διὰ φαυλισμὸν χειλέων. διὰ γλώσσης ἑτέρας ὅτι λαλήσουσι τῷ λαῷ τούτῳ λέγοντες αὐτοῖς τοῦτο τὸ ἀνάπαυμα τῷ πεινῶντι, καὶ τοῦτο τὸ σύντριμμα, καὶ οὐκ ἠθέλησαν ἀκούειν. καὶ ἔσται αὐτοῖς τὸ λόγιον τοῦ θεοῦ, θλίψις ἐπὶ θλίψιν ἐλπὶς ἐπὶ ἐλπίδι. ἔτι μικρὸν ἔτι μικρόν. ἵνα πορεύσωσι καὶ πέσωσιν εἰς τὰ ὀπίσω, καὶ συντριβήσονται, καὶ κινδυνεύσωσι, καὶ ἁλώσονται. διὰ τοῦτο ἀκούσατε λόγον κυρίου ἄνδρες τεθλιμμένοι, καὶ οἱ ἄρχοντες τοῦ λαοῦ τούτου, τοῦ ἐν ἱερουσαλήμ. ὅτι εἴπατε ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας. καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἐπέλθῃ ἡμῖν. ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα. διατοῦτο οὕτω λέγει κύριος. ἰδοὺ ἐγὼ ἐμβαλῶ εἰς τὰ θεμέλια σιὼν, λίθον πολυτελῆ ἐκλεκτὸν ἀκρογωνιαῖον ἔντιμον, εἰς τὰ θεμέλια αὐτῆς. καὶ ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ μὴ καταισχυνθῇ. καὶ θήσω κρίσιν εἰς ἐλπίδα ἡ δὲ ἐλεημοσύνη μου, εἰς σταθμούς. καὶ οἱ πεποιθότες μάτην ψεύδει. ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς. μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου, καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην. οὐ μὴ ἐμμείνῃ. καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα. ὅταν παρέλθῃ, λήψεται ὑμᾶς. πρωῒ πρωῒ παρελεύσεται ἡμᾶς καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά. μάθετε ἀκούειν στενοχωρούμενοι. οὐ δυνάμεθα μάχεσθαι αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ὑμᾶς συναχθῆναι. ὥσπερ ὄρος ἀσεβῶν ἀναστήσεται κύριος. καὶ ἔσται ἐν τῇ φάραγγι γαβαών. μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον. ὁ δὲ θυμὸς αὐτοῦ, ἀλλοτρίως χρήσεται.

καὶ ἡ πικρία αὐτοῦ ἀλλοτρία. καὶ ὑμεῖς μὴ εὐφρανθείητε. μηδὲ
ἰσχυσάτωσαν ὑμῶν οἱ δεσμοί. διότι συντετελεσμένα καὶ συν
τετμημένα πράγματα ἤκουσα παρὰ κυρίου σαβαὼθ. ἃ ποιή
σει ἐπὶ πᾶσαν τὴν γῆν. ἐνωτίζεσθε καὶ ἀκούετε ἀκούετε τῆς φωνῆς
μου. προσέχετε καὶ ἀκούετε τοὺς λόγους μου, μὴ ὅλην τὴν ἡ
μέραν μέλλει ὁ ἀροτριῶν ἀροτριᾶν, ἢ σπόρον προετοιμάσαι
πρὶν ἐργάσασθαι τὴν γῆν. οὐχ ὅταν ὁμαλίσῃ τὸ πρόσωπον
αὐτῆς, τότε σπείρει μικρὸν μελάνθιον, ἢ κύμινον. καὶ πάλιν σπεί
ρει πυρὸν καὶ κριθὴν, καὶ κέγχρον καὶ ζέαν ἐν τοῖς ὁρίοις σου. καὶ
παιδευθήσῃ κρίματι θεοῦ σου, καὶ εὐφρανθήσῃ. οὐ γὰρ μετὰ σκλη
ρότητος καθαίρεται τὸ μελάνθιον. οὐδὲ τροχὸς ἁμάξης περιά
ξει ἐπὶ τὸ κύμινον. ἀλλὰ ῥάβδῳ τινάσσεται τὸ μελάνθιον. τὸ δὲ κύ
μινον, μετὰ ἄρτου βρωθήσεται. οὐ γὰρ εἰς τὸν αἰῶνα ἐγὼ ὑμῖν ὀρ
γισθήσομαι. οὐδὲ φωνὴ τῆς πικρίας μου καταπατήσει ὑμᾶς. καὶ
ταῦτα παρὰ κυρίου σαββαὼθ ἐξῆλθε. τὰ τέρατα βουλεύσασθε.
ὑψώσατε ματαίαν παράκλησιν.

## Κεφάλαιον. κθ. 29.

Υαὶ πόλις ἀριὴλ ἣν ἐπολέμησε δαβίδ. συναγά
γετε γεννήματα ἐνιαυτὸν ἐπὶ ἐνιαυτόν. φάγεσθε γὰρ
σὺν μωάβ. ἐκθλίψω γὰρ ἀριήλ. καὶ ἔσται αὐτῆς ἡ
ἰσχὺς, καὶ ὁ πλοῦτος ἐμοί. καὶ κυκλώσω, ὡς δαβὶδ ἐπὶ σέ.
καὶ βαλῶ περὶ σὲ χάρακα καὶ οἰκοδομήσω. καὶ θήσω περὶ
σὲ πύργους, καὶ ταπεινωθήσονται εἰς τὴν γῆν οἱ λόγοι σου. καὶ
εἰς τὴν γῆν οἱ λόγοι σου δύσονται. καὶ ἔσται, ὡς οἱ φωνοῦντες ἐκ
τῆς γῆς ἡ φωνή σου. καὶ πρὸς τὸ ἔδαφος ἡ φωνή σου, ἀσθενήσει.
καὶ ἔσται ὡς κονιορτὸς ἀπὸ τροχοῦ ὁ πλοῦτος τῶν ἀσεβῶν. καὶ
ὡς χνοῦς φερόμενος τὸ πλῆθος τῶν καταδυναστευόντων σε. καὶ
ἔσται ὡς στιγμὴ παραχρῆμα παρὰ κυρίου σαββαὼθ. ἐπισκοπὴ
γὰρ ἔσται μετὰ βροντῆς, καὶ σεισμοῦ. καὶ φωνῆς μεγάλης κα
ταιγὶς φερομένη. καὶ φλὸξ πυρὸς κατεσθίουσα. καὶ ἔσται ὡς ἐνυ

πνιζόμενος

νιζόμενος ἐν ὕπνῳ. ὁ πλοῦτος ἁπάντων τῶν ἐθνῶν ὅσοι ἐπεστρά-
τευσαν ἐπὶ ἰσραὴλ, καὶ πάντες οἱ στρατευόμενοι ἐπὶ ἱερουσα-
λήμ. καὶ πάντες οἱ συνηγμένοι ἐπ' αὐτὴν, καὶ οἱ θλίβοντες
αὐτήν. καὶ ὡς οἱ ἐν τῷ ὕπνῳ πίνοντες καὶ ἔσθοντες. καὶ ἐξ ἀνα-
στάντων, μάταιον τὸ ἐνύπνιον. καὶ ὃν τρόπον ἐνυπνιάζεται ὁ δι-
ψῶν, ὡς ὁ πίνων, καὶ ἐξαναστὰς, ἔτι διψᾷ, ἡ δὲ ψυχὴ αὐτοῦ εἰς
κενὸν ἤλπισεν, οὕτως ἔσται ὁ πλοῦτος τῶν ἐθνῶν πάντων, ὅσοι
ἐπεστράτευσαν ἐπὶ τὸ ὄρος σιών. ἐκλύθητε καὶ ἔκστητε. καὶ κραι-
πάλήσατε, οὐκ ἀπὸ σίκερα οὐδὲ ἀπὸ οἴνου. ὅτι πεπότικεν ὑμᾶς
κύριος πνεύματι κατανύξεως. καὶ καμμύσει τοὺς ὀφθαλμοὺς αὐ-
τῶν, καὶ τῶν προφητῶν αὐτῶν, καὶ τῶν ἀρχόντων αὐτῶν, οἱ
ὁρῶντες τὰ κρυπτά. καὶ ἔσται ὑμῖν τὰ ῥήματα πάντα ταῦτα,
ὡς οἱ λόγοι τοῦ βιβλίου τοῦ ἐσφραγισμένου τούτου. ὃ ἐὰν δῶσιν
αὐτὸ, ἀνθρώπῳ ἐπισταμένῳ γράμματα, λέγοντες. ἀνάγνωθι
ταῦτα καὶ ἐρεῖ, οὐ δύναμαι ἀναγνῶναι. ἐσφράγισται γὰρ καὶ
δοθήσεται τὸ βιβλίον τοῦτο, εἰς χεῖρας ἀνθρώπου μὴ ἐπισταμένου
γράμματα καὶ ἐρεῖ αὐτῷ. ἀνάγνωθι τοῦτο, καὶ ἐρεῖ, οὐκ ἐπίστα-
μαι γράμματα. Καὶ εἶπε κύριος. ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν
τῷ στόματι αὐτοῦ. καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με. ἡ δὲ
καρδία αὐτῶν, πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με.
διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας. διὰ
τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθή-
σω αὐτούς. καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν
τῶν συνετῶν κρύψω. οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες καὶ οὐ
διὰ κυρίου. οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες. καὶ ἔσται ἐν σκό-
τει τὰ ἔργα αὐτῶν. καὶ ἐροῦσι τίς ἑώρακεν ἡμᾶς, καὶ τίς ἡμᾶς
γνώσεται, ἢ ἃ ἡμεῖς ποιοῦμεν. οὐχ ὡς πηλὸς τοῦ κεραμέως λογι-
σθήσεσθε, μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτὸ, οὐ σύ με ἔ-
πλασας, ἢ τὸ ποίημα τῷ ποιήσαντι, οὐ συνετῶς με ἐποίησας;
οὐκέτι μικρὸν καὶ μετατεθήσεται ὁ λίβανος, ὡς τὸ ὄρος τὸ χερμέλ.

καὶ τὸ χέρμελ, εἰς δρυμὸν λογισθήσεται. καὶ ἀκούσονται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου. καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ, ὀφθαλμοὶ τυφλῶν ὄψονται, καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ διὰ κύριον ἐν εὐφροσύνῃ. καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων, ἐμπλησθήσονται εὐφροσύνης. ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος. καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ. καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ. πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν. ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπὶ τὸν οἶκον ἰακὼβ ὃν ἀφώρισεν ἐξ ἀβραάμ. οὐ νῦν αἰσχυνθήσεται ἰακώβ. οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ ἰσραήλ. ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου. καὶ ἁγιάσουσι τὸν ἅγιον ἰακὼβ. καὶ τὸν θεὸν τοῦ ἰσραὴλ φοβηθήσονται. καὶ γνώσονται οἱ πλανώμενοι τῷ πνεύματι σύνεσιν. οἱ δὲ γογγύζοντες, μαθήσονται ὑπακούειν. καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι, μαθήσονται λαλεῖν εἰρήνην.

Κεφάλαιον. λ. 30.

Οὐαὶ τέκνα ἀποστάται. τάδε λέγει κύριος. ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου. προσθεῖναι ἁμαρτίας ἐφ' ἁμαρτίας. οἱ πορευόμενοι καταβῆναι εἰς αἴγυπτον, ἐμὲ δὲ οὐκ ἐπηρώτησαν, βοηθηθῆναι ὑπὸ φαραώ, καὶ σκεπασθῆναι ὑπὸ αἰγυπτίων. ἔσται γὰρ ὑμῖν σκέπη φαραὼ εἰς αἰσχύνην, καὶ τοῖς πεποιθόσιν ἐπ' αἴγυπτον, ὄνειδος. ὅτι εἰσὶν ἐν τάνει ἀρχηγοὶ ἄγγελοι πονηροί. μάτην κοπιάσουσι πρὸς λαὸν ὃς οὐκ ὠφελήσει αὐτοὺς εἰς βοήθειαν ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος.

## ΟΡΑΣΙΣ ΤΩΝ ΤΕΤΡΑ-
## πόδων τῶν ἐν τῇ ἐρήμῳ.

Ἐν τῇ θλίψει καὶ τῇ στενοχωρίᾳ, λέων καὶ σκύμνος λέοντος ἐκεῖθεν καὶ ἀσπίδες, καὶ ἔκγονα ἀσπίδων πετομένων, οἳ ἔφερον

ἐπὶ ὄνων καὶ καμήλων τὸν πλοῦτον αὐτῶν. πρὸς ἔθνος, ὃ οὐκ ὠ-
φελήσει αὐτοὺς εἰς βοήθειαν ἀλλὰ εἰς αἰσχύνην καὶ ὄνειδος. αἰγύ-
πτιοι μάταια καὶ κενὰ ὠφελήσουσιν ὑμᾶς. ἀπάγγειλον αὐτοῖς
ὅτι ματαία ἡ παράκλησις ὑμῶν αὕτη. νῦν οὖν καθίσας γράψον
ἐπὶ πυξίου ταῦτα. καὶ εἰς βιβλίον, ὅτι ἔσται εἰς ἡμέρας καιρῶν ταῦ-
τα. καὶ ἕως εἰς τὸν αἰῶνα. ὅτι ὁ λαὸς ἀπειθής ἐστιν. υἱοὶ ψευδεῖς,
οἱ οὐκ ἠβούλοντο ἀκούειν τὸν νόμον τοῦ θεοῦ. οἱ λέγοντες τοῖς προ-
φήταις μὴ ἀναγγέλλετε ἡμῖν, καὶ τοῖς τὰ ὁράματα ὁρῶσι, μὴ
λαλεῖτε ἡμῖν, ἀλλὰ ἡμῖν λαλεῖτε, καὶ ἀναγγέλλετε ἡμῖν ἑτέ-
ραν πλάνησιν. καὶ ἀποστρέψατε ἡμᾶς ἀπὸ τῆς ὁδοῦ ταύτης.
ἀφέλετε ἀφ' ἡμῶν τὸν τρίβον τοῦτον, καὶ ἀφέλετε ἀφ' ἡμῶν τὸ λό-
γιον τοῦ ἰσραήλ. διὰ τοῦτο τάδε λέγει κύριος ὁ ἅγιος τοῦ ἰσρα-
ήλ. ὅτι ἠπειθήσατε τοῖς λόγοις τούτοις καὶ ἠλπίσατε ἐπὶ ψεύ-
δει. καὶ ὅτι ἐγόγγυσας, καὶ πεποιθὼς ἐγένου ἐπὶ τῷ λόγῳ τού-
τῳ. διὰ τοῦτο ἔσται ὑμῖν ἡ ἁμαρτία αὕτη. ὡς τεῖχος πίπτον πα-
ραχρῆμα πόλεως ὀχυρᾶς ἑαλωκυίας. οὗ παραχρῆμα πάρε-
στι τὸ πτῶμα καὶ τὸ πτῶμα αὐτῆς ἔσται ὡς σύντριμμα ἀγγείου
ὀστρακίνου, ἐκ κεραμίου λεπτοῦ. ὥστε μὴ εὑρεῖν ἐν αὐτοῖς ὄ-
στρακον. ἐν ᾧ πῦρ ἀρεῖς καὶ ἐν ᾧ ἀποσυριεῖς ὕδωρ μικρόν.
οὕτω λέγει κύριος κύριος ὁ ἅγιος τοῦ ἰσραήλ. ὅταν ἀποστρα-
φεὶς στενάξῃς, τότε σωθήσῃ καὶ γνώσῃ ποῦ ἦσθα, ὅτε ἐπεποί-
θεις ἐπὶ τοῖς ματαίοις. ματαία ἡ ἰσχὺς ὑμῶν ἐγενήθη, καὶ οὐκ
ἠβούλεσθε ἀκούειν. ἀλλ' εἴπατε ἐφ' ἵππων φευξόμεθα. διὰ
τοῦτο φεύξεσθε καὶ εἴπατε ἐπὶ κούφοις ἀναβάταις ἀναβησόμε-
θα. διὰ τοῦτο κοῦφοι ἔσονται οἱ διώκοντες ὑμᾶς. χίλιοι διὰ
φωνὴν ἑνὸς φεύξονται. καὶ διὰ φωνὴν πέντε φεύξονται πολλοί.
ἕως ἂν καταλειφθῆτε, ὡς ἱστὸς ἐπ' ὄρους. καὶ ὡς σημαίαν φέ-
ρων ἐπὶ βουνοῦ. καὶ πάλιν μενεῖ ὁ θεὸς τοῦ οἰκτειρῆσαι ὑμᾶς.
καὶ διὰ τοῦτο ὑψωθήσεται τοῦ ἐλεῆσαι ὑμᾶς. διότι κριτὴς
κύριος ὁ θεὸς ὑμῶν. μακάριοι οἱ ἐμμένοντες ἐν αὐτῷ.

διότι λαὸς ἅγιος ἐν σιὼν οἰκήσει. καὶ ἱερουσαλήμ. καὶ κλαυ-
θμῷ ἔκλαυσεν. ἐλεησόν με ἐλεήσει σε τὴν φωνὴν τῆς κραυγῆς
σου ἡνίκα εἶδεν, ἐπήκουσέ σου. καὶ δώσει κύριος ὑμῖν ἄρτον
θλίψεως, καὶ ὕδωρ στενόν. καὶ οὐκ ἔτι μὴ ἐγγίσωσί σοι, οἱ πλα-
νῶντές σε. ὅτι οἱ ὀφθαλμοί σου ὄψονται τοὺς πλανῶντάς σε. καὶ
ὦτά σου ἀκούσονται τοὺς λόγους τῶν ὀπίσω σε πλανησάντων. οἱ
λέγοντες, αὕτη ἡ ὁδὸς πορευθῶμεν ἐν αὐτῇ. ἄτε δεξιὰ ἄτε
ἀριστερά. καὶ μιανεῖς τὰ εἴδωλα τὰ περιηργυρωμένα καὶ τὰ πε-
ρικεχρυσωμένα λεπτὰ ποιήσεις. καὶ λικμήσεις, ὡς ὕδωρ ἀπο-
καθημένης. καὶ ὡς κόπρον ὤσεις αὐτά. τότε ἔσται ὁ ὑετὸς τῷ
σπέρματι τῆς γῆς σου. καὶ ὁ ἄρτος τοῦ γενήματος τῆς γῆς σου, ἔ-
σται πλησμονὴ καὶ λιπαρός. καὶ βοσκηθήσεταί σου τὰ κτήνη
τῇ ἡμέρᾳ ἐκείνῃ τόπον πίονα. καὶ εὐρύχωρον. οἱ ταῦροι ὑμῶν
καὶ οἱ βόες οἱ ἐργαζόμενοι τὴν γῆν φάγονται ἄχυρα ἀναπε-
ποιημένα ἐν κριθῇ λελικμημένῃ. καὶ ἔσται ἐπὶ παντὸς ὄρους ὑψη-
λοῦ, καὶ ἐπὶ παντὸς βουνοῦ μετεώρου. ὕδωρ διαπορευόμενον
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅταν ἀπόλωνται πολλοί. καὶ ὅταν πέσω-
σι πύργοι. καὶ ἔσται τὸ φῶς τῆς σελήνης, ὡς τὸ φῶς τοῦ ἡλίου
καὶ τὸ φῶς τοῦ ἡλίου ἑπταπλάσιον ἐν τῇ ἡμέρᾳ. ὅταν ἰάση-
ται κύριος τὸ σύντριμμα τοῦ λαοῦ αὐτοῦ. καὶ τὴν ὀδύνην τῆς
πληγῆς σου ἰάσεται. ἰδοὺ τὸ ὄνομα κυρίου ἔρχεται διὰ χρόνου
πολλοῦ καιόμενος θυμός. μετὰ δόξης. τὸ λόγιον τῶν χειλέων αὐτοῦ
τὸ λόγιον ὀργῆς πλῆρες. καὶ ἡ ὀργὴ τοῦ θυμοῦ αὐτοῦ, ὡς πῦρ ἔδεται.
καὶ τὸ πνεῦμα αὐτοῦ, ὡς ὕδωρ ἐν φάραγγι σῦρον, ἥξει ἕως τοῦ τρα-
χήλου, καὶ διαιρεθήσεται τοῦ ταράξαι ἔθνη ἐπὶ πλανήσει ματαίᾳ
καὶ διώξεται αὐτοὺς πλάνησις. καὶ λήψεται αὐτούς, κατὰ πρόσω-
πον αὐτῶν. μὴ διαπαντὸς δεῖ ὑμᾶς εὐφραίνεσθαι, καὶ εἰσπορεύεσθαι
εἰς τὰ ἅγιά μου διαπαντὸς ὡσεὶ ἑορτάζοντας. καὶ ὡσεὶ εὐφραι-
νομένους εἰσελθεῖν. μετὰ αὐλοῦ εἰς τὸ ὄρος κυρίου πρὸς τὸν θεὸν
τοῦ ἰσραήλ. καὶ ἀκουστὴν ποιήσει κύριος τὴν δόξαν τῆς φωνῆς αὐτοῦ.

καὶ τὸν θυμὸν τοῦ βραχίονος αὐτοῦ, δεῖξαι μετὰ θυμοῦ καὶ ὀργῆς καὶ φλογὸς κατεσθιούσης κεραυνώσει βιαίως. καὶ ὡς ὕδωρ καὶ χάλαζα συγκαταφερομένη βίᾳ. διὰ γὰρ τῆς φωνῆς κυρίου, ἡττηθήσονται ἀσσύριοι τῇ πληγῇ ᾗ ἂν πατάξῃ αὐτούς. καὶ ἔσται αὐτῷ κυκλόθεν. ὅθεν ἦν αὐτῶν ἡ ἐλπὶς τῆς βοηθείας. ἐφ᾽ ᾗ αὐτὸς ἐπεποίθει. αὐτοὶ μετὰ τυμπάνων καὶ κιθάρας πολεμήσουσιν αὐτὸν ἐκ μεταβολῆς. οὐ γὰρ πρὸ ἡμερῶν ἀθετηθήσῃ. μὴ καὶ σοὶ ἡτοιμάσθη βασιλεύειν, φάραγγα βαθεῖαν; ξύλα κείμενα. πῦρ καὶ ξύλα πολλά, ὁ θυμὸς κυρίου, ὡς φάραγξ ὑπὸ θείου καιομένη.

Κεφάλαιον. λα. 31.

Οὐαὶ οἱ καταβαίνοντες εἰς αἴγυπτον ἐπὶ βοήθειαν. οἱ ἐφ᾽ ἵπποις πεποιθότες, καὶ ἐφ᾽ ἅρμασιν. ἔστι γὰρ πολλὰ καὶ ἐφ᾽ ἵπποις πλῆθος σφόδρα. καὶ οὐκ ἦσαν πεποιθότες ἐπὶ τὸν ἅγιον τοῦ ἰσραήλ, καὶ τὸν θεὸν οὐκ ἐξεζήτησαν. καὶ αὐτὸς σοφῶς, ἤγαγεν ἐπ᾽ αὐτοὺς κακά. καὶ ὁ λόγος αὐτοῦ, οὐ μὴ ἀθετηθῇ. καὶ ἐπαναστήσεται ἐπ᾽ οἴκους ἀνθρώπων πονηρῶν. καὶ ἐπὶ τὴν ἐλπίδα αὐτῶν τὴν ματαίαν, αἰγύπτιον ἄνθρωπον, καὶ οὐ θεόν. ἵππων σαρκός, καὶ οὐκ ἔστι βοήθεια. ὁ δὲ κύριος ἐπάξει τὴν χεῖρα αὐτοῦ ἐπ᾽ αὐτοὺς καὶ κοπιάσουσιν οἱ βοηθοῦντες. καὶ ἅμα πάντες ἀπολοῦνται μαχαίρᾳ. ὅτι οὕτως εἶπέ μοι κύριος ὃν τρόπον ὅταν βοήσῃ ὁ λέων. ἢ ὁ σκύμνος ἐπὶ τῇ θύρᾳ ᾗ ἔλαβε, καὶ κεκράξῃ ἐπ᾽ αὐτήν. ἕως ἂν ἐμπλησθῇ τὰ ὄρη τῆς φωνῆς αὐτοῦ. καὶ ἡττήθησαν καὶ τὸ πλῆθος τοῦ θυμοῦ ἐπτοήθησαν. οὕτως καταβήσεται κύριος σαββαὼθ ἐπιστρατεῦσαι ἐπὶ τὸ ὄρος τὸ σιών. ἐπὶ τὰ ὄρη αὐτῆς, ὡς ὄρνεα πετόμενα, οὕτως ὑπερασπιεῖ κύριος σαββαὼθ ὑπὲρ ἱερουσαλήμ. ὑπερασπιεῖ, καὶ ἐξελεῖται καὶ περιποιήσεται, καὶ σώσει. ἐπιστράφητε οἱ τὴν βαθεῖαν βουλὴν βουλευόμενοι, καὶ ἄνομον υἱοὶ ἰσραήλ, ὅτι τῇ ἡμέρᾳ ἐκείνῃ ἀπαρνηθήσονται οἱ ἄνθρωποι τὰ χειροποίητα αὐτῶν τὰ ἀργυρᾶ, καὶ τὰ χειροποίητα τὰ χρυσᾶ, ἃ ἐποίησαν αἱ χεῖρες αὐτῶν καὶ πεσεῖται ἀσούρ. οὐ μα-

χαιρα ἀνδρός. οὐ δὲ μάχαιρα ἀνθρώπου καταφάγεται αὐτόν,
καὶ φεύξεται οὐκ ἀπὸ προσώπου μαχαίρας. οἱ δὲ νεανίσκοι ἔσον-
ται εἰς ἥττημα. πέτρᾳ γὰρ περιληφθήσονται, ὡς χάρακι καὶ ἡττη-
θήσονται. ὁ δὲ φεύγων ἁλώσεται. Τάδε λέγει κύριος. μακάρι-
ος ὃς ἔχει ἐν σιὼν σπέρμα. καὶ οἰκείους ἐν ἱερουσαλήμ.

Κεφάλαιον. λβ. 32.

Δοὺ γὰρ βασιλεὺς δίκαιος βασιλεύσει, καὶ ἄρχον-
ἰ τες μετὰ κρίσεως ἄρξουσι, καὶ ἔσται ὁ ἄνθρωπος
κρύπτων τοὺς λόγους αὐτοῦ. καὶ κρυβήσεται, ὡς ἀφ᾽
ὕδατος φερομένου. καὶ φανήσεται ἐν σιὼν, ὡς ποταμὸς φερό-
μενος ἔνδοξος ἐν γῇ διψώσῃ. καὶ οὐκέτι ἔσονται πεποιθότες
ἐπ᾽ ἀνθρώποις. ἀλλὰ τὰ ὦτα ἀκούειν δώσουσι. καὶ ἡ καρδία τῶν
ἀσθενούντων, προσέξει τῷ ἀκούειν. καὶ αἱ γλῶσσαι αἱ ψελλίζουσαι
ταχὺ μαθήσονται λαλεῖν εἰρήνην. καὶ οὐκέτι μὴ εἴπωσι τῷ μω-
ρῷ ἄρχειν. καὶ οὐκέτι μὴ εἴπωσιν οἱ ὑπηρέται σου, σίγα. ὁ γὰρ
μωρὸς, μωρὰ λαλήσει καὶ ἡ καρδία αὐτοῦ μάταια νοήσει τοῦ
συντελεῖν ἄνομα. καὶ λαλεῖν πρὸς κύριον πλάνησιν. τοῦ δια-
σπεῖραι ψυχὰς πεινώσας, καὶ τὰς ψυχὰς τὰς διψώσας κενὰς
ποιῆσαι. ἡ γὰρ βουλὴ τῶν πονηρῶν, ἄνομα βουλεύσεται, κατα-
φθεῖραι ταπεινοὺς ἐν λόγοις ἀδίκοις. καὶ διασκεδάσαι λόγους
ταπεινῶν, ἐν κρίσει. οἱ δὲ εὐσεβεῖς, συνετὰ ἐβουλεύσαντο. καὶ αὕ-
τη ἡ βουλὴ μενεῖ. Γυναῖκες πλούσιαι, ἀνάστητε καὶ ἀκούσα-
τε τῆς φωνῆς μου. θυγατέρες ἐν ἐλπίδι ἀκούσατε λόγους μου.
ἡμέρας ἐνιαυτοῦ μνείαν ποιήσασθε. ἐν ὀδύνῃ μετ᾽ ἐλπίδος ἀνή-
λωται ὁ τρυγητός. πέπαυται ὁ σπόρος καὶ οὐκέτι μὴ ἔλθῃ. ἔκ-
στητε, λυπήθητε. αἱ πεποιθυῖαι, ἐκδύσασθε. γυμναὶ γένεσθε. πε-
ριζώσασθε σάκκους τὰς ὀσφύας καὶ ἐπὶ τῶν μαστῶν κόπτεσθε.
ἀπὸ ἀγροῦ ἐπιθυμήματος, καὶ ἀμπέλου γεννήματος. ἡ γῆ τοῦ
λαοῦ μου, ἄκανθα καὶ χόρτος ἀναβήσεται. καὶ ἐκ πάσης οἰκίας
εὐφροσύνη ἀρθήσονται πόλις πλουσία. οἶκοι ἐγκαταλελειμμένοι

πλοῦτον πόλεως ἀφήσουσιν, οἴκους ἐπιθυμητούς. καὶ ἔσονται αἱ
κῶμαι σπήλαια ἕως τοῦ αἰῶνος. εὐφροσύνη ὄνων ἀγρίων βοσκή
ματα ποιμένων. ἕως ἂν ἔλθη ἐφ' ἡμᾶς πνεῦμα ἀφ' ὑψηλοῦ. καὶ
ἔσαι ἔρημος ὁ χέρμελ. καὶ ὁ χέρμελ, εἰς δρυμὸν λογισθήσε-
ται. καὶ ἀναπαύσεται ἐν τῇ ἐρήμῳ κρίμα. καὶ δικαιοσύνη ἐν
τῷ καρμήλῳ κατοικήσει καὶ ἔσαι τὰ ἔργα τῆς δικαιοσύνης εἰρή-
νη. καὶ κρατήσει ἡ δικαιοσύνη ἀνάπαυσιν, καὶ πεποιθότες ἔσον
ται. ἕως τοῦ αἰῶνος. καὶ κατοικήσει ὁ λαὸς αὐτοῦ, ἐν πόλει εἰρή-
νης. καὶ ἐνοικήσει πεποιθώς. καὶ ἀναπαύσονται. μετὰ πλούτου.
ἡ δὲ χάλαζα ἐὰν καταβῇ, οὐκ ἐφ' ἡμᾶς ἥξει. καὶ ἔσονται. οἱ ἐνοι-
κοῦντες ἐν τοῖς δρυμοῖς πεποιθότες, ὡς οἱ ἐν τῇ πεδινῇ. μακά-
ριοι οἱ σπείροντες ἐπὶ πᾶν ὕδωρ. οὗ βοῦς, καὶ ὄνος πατεῖ.

Κεφάλαιον. λγ. 33.

Οὐαὶ τοῖς ταλαιπωροῦσιν ὑμᾶς. ὑμᾶς δὲ οὐδεὶς ποιεῖ τα
λαιπώρους. καὶ ὁ ἀθετῶν ὑμᾶς οὐκ ἀθετεῖ. ἁλώσονται,
οἱ ἀθετοῦντες, καὶ παραδοθήσονται. καὶ ὡς σὴς ἐφ' ἱμα
τίου, οὕτως ἡττηθήσονται. Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποί-
θαμεν. ἐγενήθη τὸ σπέρμα τῶν ἀπειθούντων εἰς ἀπώλειαν. ἡ δὲ σω
τηρία ὑμῶν ἐν καιρῷ θλίψεως. διὰ φωνὴν τοῦ φόβου σου. ἐξέστησαν
λαοὶ ἀπὸ τοῦ φόβου σου, καὶ διεσπάρησαν τὰ ἔθνη. νῦν δὲ συναχθή
σεται τὰ σκῦλα ὑμῶν μικροῦ καὶ μεγάλου, ὃν τρόπον ἐάν τις συναγά
γῃ ἀκρίδας, οὕτως ἐμπαίξουσιν ὑμῖν. ἅγιος ὁ θεὸς ὁ κατοικῶν ἐν
οὐρανοῖς ὑψηλοῖς ἐνεπλήσθη σιὼν κρίσεως καὶ δικαιοσύνης ἐν νό-
μῳ παραδοθήσονται. ἐν θησαυροῖς ἡ σωτηρία ἡμῶν ἐκεῖ σοφία
καὶ ἐπιστήμη καὶ εὐσέβεια πρὸς τὸν κύριον. οὗτοί εἰσι θησαυροὶ δικαι
οσύνης. ἰδοὺ δὴ ἐν τῷ φόβῳ ὑμῶν, οὗτοι φοβηθήσονται. οὓς ἐφοβεῖσ-
θε βοήσονται, ἀφ' ὑμῶν, ἄγγελοι γὰρ ἀποσταλήσονται, παρακαλοῦν-
τες εἰρήνην πικρῶς κλαίοντες. ἐρημωθήσονται γὰρ αἱ τούτων ὁδοί.
πέπαυται ὁ φόβος τῶν ἐθνῶν. καὶ ἡ πρὸς τούτους διαθήκη αἴ-
ρεται. καὶ οὐ μὴ λογίσησθε αὐτοὺς ἀνθρώπους. ἐπένθησεν ἡ

γῆ. ἠσχύνθη ὁ λίβανος, ἐγένετο ὡς ἔρημος ὁ σαρών. φανερὰ ἔσαι
ἡ γαλιλαία καὶ ὁ κάρμηλος. νῦν ἀναςήσομαι λέγει κύριος. νῦν
δοξασθήσομαι νῦν ὑψωθήσομαι. νῦν ὄψεσθε. νῦν αἰσθηθήσεσθε.
ματαία ἔσαι ἡ ἰσχὺς τοῦ πνεύματος ὑμῶν. πῦρ κατέδεται ὑμᾶς
καὶ ἔσονται ἔθνη κατακεκαυμένα. ὡς ἄκανθα ἐν ἀγρῷ ἐῤῥιμμέ-
νη καὶ κατακεκαυμένη. ἀκούσονται οἱ πόῤῥωθεν, ἃ ἐποίησα. καὶ
γνώσονται οἱ ἐγγίζοντες τὴν ἰσχύν μου. ἀπέςησαν οἱ ἐν σιὼν ἄ-
νομοι. λήψεται τρόμος τοὺς ἀσεβεῖς. τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ
καίεται. τίς ἀναγγελεῖ ὑμῖν τὸν τόπον τὸν αἰώνιον, πορευόμενος
ἐν δικαιοσύνῃ. λαλῶν εὐθεῖαν ὁδόν. μισῶν ἀνομίαν καὶ ἀδι-
κίαν, καὶ τὰς χεῖρας ἀποσειόμενος ἀπὸ δώρων. βαρύνων τὰ ὦ-
τα, ἵνα μὴ ἀκούσῃ κρίσιν αἵματος. καμμύων τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ, ἵνα μὴ ἴδῃ ἀδικίαν. οὗτος οἰκήσει ἐν ὑψηλῷ σπηλαίῳ πέ-
τρας ἰσχυρᾶς. ἄρτος αὐτῷ δοθήσεται καὶ τὸ ὕδωρ αὐτοῦ. πιςὸν
βασιλέα μετὰ δόξης, ὄψεσθε, καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται
γῆν πόῤῥωθεν. ἡ ψυχὴ ἡμῶν μελετήσει φόβον. ποῦ εἰσὶν γραμ-
ματικοί. ποῦ εἰσιν οἱ συμβουλεύοντες. ποῦ ἐςιν ὁ ἀριθμῶν τοὺς
συςρεφομένους μικρὸν καὶ μέγαν λαόν. ᾧ οὐ συνεβουλεύσαντο οὐ-
δὲ ᾔδει βαθύφωνον. ὥςτε μὴ ἀκοῦσαι λαὸς πεφαυλισμένος. καὶ
οὐκ ἔςι τῷ ἀκούοντι σύνεσις. ἰδοὺ σιὼν ἡ πόλις τὸ σωτήριον ἡ-
μῶν. οἱ ὀφθαλμοί σου ὄψονται ἱερουσαλὴμ πόλις πλουσία. σκη-
ναὶ αἳ οὐ μὴ σεισθῶσιν. οὐδὲ μὴ κινηθῶσιν. οἱ πάσσαλοι τῆς σκη-
νῆς αὐτῆς εἰς τὸν αἰῶνα χρόνον. οὐδὲ τὰ σχοινία αὐτῆς οὐ μὴ
διαῤῥαγῶσιν. ὅτι τὸ ὄνομα κυρίου μέγα ὑμῖν. τόπους ὑμῖν. ἔσαι
ποταμοὶ καὶ διώρυγες πλατεῖς καὶ εὐρύχωροι. οὐ πορεύσῃ ταύ-
την τὴν ὁδόν, οὐδὲ πορεύσεται πλοῖον ἐλαῦνον. ὁ γὰρ θεός μου
μέγας ἐςίν. οὐ παρελεύσεταί με κύριος κριτὴς ἡμῶν κύριος ἄρ-
χων ἡμῶν κύριος βασιλεὺς ἡμῶν. κύριος αὐτὸς, ἡμᾶς σώσει.
ἐῤῥάγησαν τὰ σχοινία σου, ὅτι οὐκ ἐνίσχυσαν. ὁ ἱςός σου, ἔκλι-
νεν. οὐ χαλάσει τὰ ἱςία. οὐκ ἀρεῖ σημεῖον, ἕως οὗ παραδοθῇ εἰς

προνομήν. τοίνυν πολλοὶ χωλοὶ προνομὴν ποιήσουσιν. καὶ οὐ μὴ
κοπιῶ, ἀφέθη γὰρ αὐτοῖς ἡ ἁμαρτία. οἰκοῦντες ὁ λαὸς ἐνοικῶν
ἐν αὐτῇ..

Κεφ. λδ. 34.

Προσαγάγετε ἔθνη, καὶ ἀκούσατε ἄρχοντες. ἀκουσά-
τω ἡ γῆ καὶ οἱ ἐν αὐτῇ ἡ οἰκουμένη ὁ λαὸς ὁ ἐν αὐ-
τῇ. διότι θυμὸς κυρίου ἐπὶ πάντα τὰ ἔθνη καὶ ὀργὴ
ἐπὶ τὸν ἀριθμὸν αὐτῶν τοῦ ἀπολέσαι αὐτοὺς καὶ παραδοῦναι αὐ-
τοὺς εἰς σφαγήν. οἱ δὲ τραυματίαι αὐτῶν, ῥιφήσονται, καὶ οἱ νε-
κροί. καὶ ἀναβήσεται αὐτῶν ἡ ὀσμή. καὶ βραχήσεται τὰ ὄρη
ἀπὸ τοῦ αἵματος αὐτῶν. καὶ τακήσονται πᾶσαι αἱ δυνάμεις τῶν
οὐρανῶν. καὶ ἑλιγήσεται ὁ οὐρανὸς, ὡς βιβλίον καὶ πάντα τὰ
ἄστρα πεσεῖται ὡς φύλλα ἐξ ἀμπέλου. καὶ ὡς πίπτει φύλλα ἀπὸ
συκῆς. ἐμεθύσθη ἡ μάχαιρά μου ἐν τῷ οὐρανῷ. ἰδοὺ ἐπὶ τὴν ἰ-
δουμαίαν καταβήσεται καὶ ἐπὶ τὸν λαὸν τῆς ἀπωλείας μετὰ κρί-
σεως. ἡ μάχαιρα τοῦ κυρίου, ἐνεπλήσθη αἵματος. ἐπαχύνθη ἀπὸ
στέατος ἀπὸ αἵματος τράγων καὶ ἀμνῶν, καὶ ἀπὸ στέατος τράγων
καὶ κριῶν. ὅτι θυσία τῷ θεῷ ἐν Βοσὸρ, καὶ σφαγὴ μεγάλη ἐν
τῇ ἰδουμαίᾳ. καὶ συμπεσοῦνται οἱ ἁδροὶ μετ᾽ αὐτῶν καὶ οἱ κρι-
οί. καὶ οἱ ταῦροι. καὶ μεθυσθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος καὶ ὁ
χῶμα αὐτοῦ καὶ ἀπὸ τοῦ στέατος αὐτῶν ἐμπλησθήσεται. ἡμέρα
γὰρ κρίσεως κυρίου καὶ ἐνιαυτὸς ἀνταποδόσεως κρίσεως σι-
ών. καὶ στραφήσονται αἱ φάραγγες αὐτῆς εἰς πίσσαν, καὶ ἡ γῆ αὐ-
τῆς εἰς θεῖον. καὶ ἔσται ἡ γῆ αὐτῆς ὡς πίσσα καιομένη νυκτὸς καὶ
ἡμέρας, καὶ οὐ σβεσθήσεται εἰς τὸν αἰῶνα χρόνον. καὶ ἀναβή-
σεται ὁ καπνὸς αὐτῆς ἄνω. εἰς γενεὰς αὐτῆς ἐρημωθήσεται. καὶ
εἰς χρόνον πολὺν ἐρημωθήσεται, καὶ κατοικήσουσι ἐν αὐτῇ ὄρ-
νεα καὶ ἐχῖνοι καὶ ἴβεις καὶ κόρακες, καὶ ἐπιβληθήσεται ἐπ᾽
αὐτὴν σπαρτίον γεωμετρίας ἐρήμου. καὶ ὀνοκένταυροι οἰκήσου-
σιν ἐν αὐτῇ. οἱ ἄρχοντες αὐτῆς οὐκ ἔσονται. οἱ γὰρ βασιλεῖς αὐ-

τῆς καὶ οἱ μεγιστᾶνες αὐτῆς, ἔσονται εἰς ἀπώλειαν. καὶ ἀναφύσει εἰς τὰς πόλεις αὐτῶν, ἀκάνθινα ξύλα καὶ εἰς τὰ ὀχυρώματα αὐτῆς. καὶ ἔσονται ἐπαύλεις σειρήνων, καὶ αὐλὴ στρουθῶν. καὶ συναντήσουσιν δαιμόνια ὀνοκενταύροις, καὶ βοήσονται ἕτερος πρὸς τὸν ἕτερον. ἐκεῖ ἀναπαύσονται ὀνοκένταυροι. εὗρον γὰρ αὐτοῖς ἀνάπαυσιν ἐκεῖ ἐνόσσευσεν ἐχῖνος καὶ ἔσωσεν ἡ γῆ τὰ παιδία αὐτῆς μετὰ ἀσφαλείας. ἐκεῖ συνήντησαν ἔλαφοι καὶ εἶδον τὰ πρόσωπα ἀλλήλων ἀριθμῷ. παρῆλθον καὶ μία αὐτῶν οὐκ ἀπώλετο. ἑτέρα τὴν ἑτέραν οὐκ ἐζήτησαν. ὅτι ὁ κύριος αὐτῆς ἐνετείλατο. καὶ τὸ πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς. καὶ αὐτὸς ἐπιβαλεῖ αὐτοῖς κλήρους. καὶ ἡ χεὶρ αὐτοῦ διεμέρισε βόσκεσθαι εἰς τὸν αἰῶνα χρόνον κληρονομήσετε. εἰς γενεὰς γενεῶν ἀναπαύσονται ἐπ' αὐτῆς.

Κεφάλαιον. λε. 35.

Υφράνθητι ἔρημος διψῶσα. ἀγαλλιάσθω ἔρημος καὶ
α ἀνθείτω ὡς κρίνον. καὶ ἐξανθήσει καὶ ἀγαλλιάσεται
τὰ ἔρημα τοῦ ἰορδάνου. ἡ δόξα τοῦ λιβάνου ἐδόθη αὐτῇ. καὶ ἡ τιμὴ τοῦ καρμήλου. καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν κυρίου. καὶ τὸ ὕψος τοῦ θεοῦ. ἰσχύσατε χεῖρες ἀνειμέναι. καὶ γόνατα παραλελυμένα. παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ. ἰσχύσατε μὴ φοβεῖσθε, ἰδοὺ ὁ θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι καὶ ἀνταποδώσει. αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. τότε ἁλεῖται ὡς ἔλαφος ὁ χωλός. καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων. ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ καὶ φάραγξ ἐν γῇ διψώσῃ. καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη. καὶ εἰς τὴν διψῶσαν γῆν, πηγὴ ὕδατος ἔσται. ἐκεῖ εὐφροσύνη ὀρνέων, ἐπαύλεις καλάμου ποιμνίου καὶ ἕλη ἔσται ἐκεῖ ὁδὸς καθαρά, καὶ ὁδὸς ἁγία κληθήσεται. καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος. οὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος. οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐν αὐτοῖς, καὶ οὐ μὴ πλανηθῶσι. καὶ οὐκ

ἔσται ἐκεῖ λέων οὐδὲ τῶν πονηρῶν θηρίων, οὐ μὴ ἀναβῇ εἰς αὐτὴν
οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ, ἀλλὰ πορεύονται ἐν αὐτῇ, λελυτρωμένοι
καὶ συνηγμένοι διὰ κύριον. καὶ ἀποστραφήσονται καὶ ἥξουσιν
εἰς σιὼν μετ' εὐφροσύνης. καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς
αὐτῶν. ἐπὶ γὰρ τῆς κεφαλῆς αὐτῶν αἴνεσις καὶ ἀγαλλίαμα
καὶ εὐφροσύνη καταλήψεται αὐτούς. ἀπέδρα ὀδύνη καὶ λύπη
καὶ στεναγμός.

Κεφάλαιον. λς. 36.

ΑΙ ἐγένετο τοῦ τεσσαρεσκαιδεκάτου ἔτους βασιλεύον-
κ τος ἐζεκίου, ἀνέβη σενναχηρεὶμ βασιλεὺς ἀσσυρίων,
ἐπὶ τὰς πόλεις τῆς ἰουδαίας τὰς ὀχυράς, καὶ ἔλαβεν
αὐτάς καὶ ἀπέστειλε βασιλεὺς ἀσσυρίων τὸν ῥαψάκην ἐκ λάχης
εἰς ἱερουσαλὴμ πρὸς τὸν βασιλέα ἐζεκίαν μετὰ δυνάμεως πολ-
λῆς. καὶ ἔστη ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβήθρας τῆς ἄνω ἐν τῇ
ὁδῷ τοῦ ἀγροῦ τοῦ κναφέως καὶ ἐξῆλθε πρὸς αὐτὸν ἐλιακὴμ ὁ τοῦ
χελκίου ὁ οἰκονόμος. καὶ σομνᾶς ὁ γραμματεύς. καὶ ἰωὰχ ὁ τοῦ
ἀσὰφ ὁ ὑπομνηματογράφος. καὶ εἶπεν αὐτοῖς ῥαψάκης. εἴπατε
δὴ πρὸς ἐζεκίαν. τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας βασιλεὺς
ἀσσυρίων. τίνι πεποιθὼς εἶ. μὴ ἐν βουλῇ ἢ λόγοις χειλέων παρά-
ταξις γίνεται, καὶ νῦν ἐπὶ τίνα πέποιθας ὅτι ἀπειθεῖς μοι. ἰδοὺ
πεποιθὼς εἶ ἐπὶ τὴν ῥάβδον τὴν καλαμίνην τὴν τεθλασμένην
ταύτην ἐπ' αἴγυπτον. ὡς ἂν ἐπιστηριχθῇ ἀνὴρ ἐπ' αὐτῆς, εἰσε-
λεύσεται εἰς τὴν χεῖρα αὐτοῦ. καὶ ῥήσει αὐτήν, οὕτως ἐστὶ φα-
ραὼ βασιλεὺς αἰγύπτου, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐ-
τῷ. εἰ δὲ λέγετε πρὸς με ἐπὶ κύριον τὸν θεὸν ἡμῶν, πεποίθα-
μεν, οὐκ αὐτός ἐστιν οὗ ἀφεῖλεν ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ τὰ θυ-
σιαστήρια αὐτοῦ, καὶ εἶπε τῷ ἰούδα καὶ τῇ ἱερουσαλὴμ κατὰ
πρόσωπον τοῦ θυσιαστηρίου τούτου, προσκυνήσατε νῦν. μί-
χθητε δὴ τῷ κυρίῳ μου τῷ βασιλεῖ ἀσσυρίων, καὶ δώσω
ὑμῖν, δισχιλίαν ἵππον. εἰ δυνήσεσθε δοῦναι ἀναβάτας ἐπ' αὐτούς

καὶ πῶς δύνασθε ἀποστρέψαι, εἰς πρόσωπον τῶν τοπαρχῶν· οἰ-
κέται εἰσίν, οἱ πεποιθότες ἐπ' αἰγυπτίοις εἰς ἵππον καὶ ἀναβά-
την· καὶ νῦν μὴ ἄνευ κυρίου ἀνέβημεν ἐπὶ τὴν χώραν ταύτην πο-
λεμῆσαι αὐτήν, κύριος εἶπε πρός με· ἀνάβηθι ἐπὶ τὴν γῆν ταύ-
την καὶ διάφθειρον αὐτήν· καὶ εἶπε πρὸς αὐτὸν ἐλιακεὶμ καὶ σο-
μνᾶς καὶ ἰωὰχ πρὸς ῥαψάκην· λάλησον δὴ πρὸς τοὺς παῖδας
σου συριστί· ἀκούομεν γὰρ ἡμεῖς· καὶ μὴ λάλει πρὸς ἡμᾶς ἰου-
δαϊστί· καὶ ἵνα τί λαλεῖς εἰς τὰ ὦτα τῶν ἀνθρώπων τῶν ἑστηκότων
ἐπὶ τῷ τείχει· καὶ εἶπε πρὸς αὐτοὺς ῥαψάκης· μὴ πρὸς τὸν κύρι-
ον ὑμῶν ἢ πρὸς ὑμᾶς ἀπέσταλκέ με ὁ κύριός μου λαλῆσαι τοὺς
λόγους τούτους· οὐχὶ πρὸς τοὺς ἀνθρώπους τοὺς καθημένους ἐπὶ
τῷ τείχει· ἵνα φάγωσι κόπρον καὶ πίωσιν οὖρον μεθ' ὑμῶν ἅ-
μα· καὶ ἔστη ῥαψάκης καὶ ἀνεβόησε φωνῇ μεγάλῃ ἰουδαϊστί· καὶ εἶ-
πεν· ἀκούσατε τοὺς λόγους τοῦ βασιλέως, τοῦ μεγάλου βασιλέως ἀσ-
συρίων· τάδε λέγει ὁ βασιλεύς· μὴ ἀπατάτω ὑμᾶς ἐζεκίας λό-
γοις· οὐ μὴ δύνηται ῥύσασθαι ὑμᾶς· καὶ μὴ λεγέτω ὑμῖν ἐζεκίας· ὅτι
ῥύσεται ὑμᾶς ὁ θεός· καὶ οὐ μὴ παραδοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βα-
σιλέως ἀσσυρίων· μὴ ἀκούετε ἐζεκίου· τάδε λέγει ὁ βασιλεὺς
ἀσσυρίων· εἰ βούλεσθε εὐλογηθῆναι, ἐκπορεύεσθε πρός με καὶ φά-
γεσθε ἕκαστος τὴν ἄμπελον αὐτοῦ καὶ τὰς συκᾶς· καὶ πίεσθε ὕδωρ
ἐκ τοῦ λάκκου ὑμῶν, ἕως ἂν ἔλθω καὶ λάβω ὑμᾶς εἰς γῆν· ὡς ἡ γῆ
ὑμῶν γῆ σίτου καὶ οἴνου καὶ ἄρτων καὶ ἀμπελώνων· μὴ ἀπατά-
τω ὑμᾶς ἐζεκίας λέγων· ὁ θεὸς ῥύσεται ὑμᾶς· μὴ ἐρρύσαντο οἱ θεοὶ
οἱ τῶν ἐθνῶν, ἕκαστος τὴν ἑαυτοῦ χώραν ἐκ χειρὸς βασιλέως ἀσ-
συρίων; ποῦ ἐστιν ὁ θεὸς ἐμὰθ καὶ ἀρφάθ· καὶ ποῦ ὁ θεὸς τῆς πό-
λεως σεμφαρουαίμ· μὴ ἐδύναντο ῥύσασθαι σαμάρειαν ἐκ χει-
ρός μου, τίς τῶν θεῶν πάντων τῶν ἐθνῶν τούτων· ὅστις ἐρρύσατο τὴν
γῆν αὐτοῦ ἐκ χειρός μου, ὅτι ῥύσεται ὁ θεὸς τὴν ἱερουσαλὴμ ἐκ
χειρός μου· καὶ ἐσιώπησαν· καὶ οὐδεὶς ἀπεκρίθη αὐτῷ λόγον διὰ
τὸ προστάξαι τὸν βασιλέα, μηδένα ἀποκριθῆναι, καὶ εἰσῆλθεν ἐλι-

ακεὶμ ὁ τοῦ χελκίου ὁ οἰκονόμος. καὶ σομνᾶς ὁ γραμματεὺς τῆς δυ-
νάμεως. καὶ ἰωὰχ ὁ τοῦ ἀσὰφ ὁ ὑπομνηματογράφος πρὸς ἐζε-
κίαν περιεσχισμένοι τοὺς χιτῶνας. καὶ ἀνήγγειλαν αὐτῷ τοὺς λό-
γους ῥαψάκου.

Κεφ. λζ. 37

Αἰ ἐγένετο ἐν τῷ ἀκοῦσαι τὸν βασιλέα ἐζεκίαν, ἔ-
κ σχισε τὰ ἱμάτια αὐτοῦ. καὶ περιεβάλετο σάκκον καὶ ἀ-
νέβη εἰς τὸν οἶκον κυρίου. καὶ ἀπέστειλεν ἐλιακεὶμ τὸν οἰκο-
νόμον. καὶ σομνᾶν τὸν γραμματέα καὶ τοὺς πρεσβυτέρους τῶν ἱερέ-
ων περιβεβλημένους σάκκους, πρὸς ἠσαΐαν υἱὸν ἀμὼς τὸν προ-
φήτην, καὶ εἶπαν αὐτῷ. τάδε λέγει ἐζεκίας. ἡμέρας θλίψεως
καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ καὶ ὀργῆς ἡ σήμερον ἡμέρα. ὅ-
τι ἥκει ἡ ὠδὶν τῇ τικτούσῃ. ἰσχὺν δὲ οὐκ ἔχει τοῦ τεκεῖν ὅπως
εἰσακούσεται κύριος ὁ θεός σου τοὺς λόγους ῥαψάκου οὓς ἀπέ-
στειλε βασιλεὺς ἀσσυρίων ὁ κύριος αὐτοῦ. ὀνειδίζειν θεὸν ζῶν-
τα, καὶ ὀνειδίζειν λόγους οὓς ἤκουσε κύριος ὁ θεός σου. καὶ δε-
ηθήσῃ πρὸς κύριον τὸν θεόν σου περὶ τῶν καταλελειμμένων τού-
των. καὶ ἦλθον οἱ παῖδες τοῦ βασιλέως ἐζεκίου πρὸς ἠσαΐαν.
καὶ εἶπεν αὐτοῖς ἠσαΐας. οὕτως ἐρεῖτε πρὸς τὸν κύριον ὑμῶν.
τάδε λέγει κύριος. μὴ φοβηθῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας.
οὓς ὠνείδισάν με οἱ πρέσβεις βασιλέως ἀσσυρίων. ἰδοὺ ἐγὼ ἐμ-
βαλῶ εἰς αὐτὸν πνεῦμα. καὶ ἀκούσας ἀγγελίαν, ἀποστραφήσε-
ται εἰς τὴν χώραν αὐτοῦ, καὶ πεσεῖται μαχαίρᾳ ἐν τῇ γῇ αὐ-
τοῦ. καὶ ἀπέστρεψε ῥαψάκης, καὶ κατέλαβε τὸν βασιλέα ἀσσυρί-
ων πολιορκοῦντα λοβνάν. καὶ ἤκουσεν ὅτι ἀπῆρεν ἀπὸ λα-
χὶς καὶ ἐξῆλθε θαρακὰ βασιλεὺς αἰθιόπων πολιορκῆσαι αὐ-
τόν, καὶ ἀκούσας, ἀπέστρεψε. καὶ ἀπέστειλεν ἀγγέλους πρὸς
ἐζεκίαν. λέγων. οὕτως ἐρεῖτε ἐζεκίᾳ βασιλεῖ τῆς ἰουδαί-
ας. μή σε ἀπατάτω ὁ θεός σου ἐφ᾽ ᾧ πέποιθας ἐπ᾽ αὐτῷ
λέγων. οὐ μὴ παραδοθῇ ἱερουσαλὴμ, ἐν χειρὶ βασιλέως ἀσσυ-
ρίων. σὺ οὐκ ἤκουσας ἃ ἐποίησαν βασιλεῖς ἀσσυρίων. πᾶσαν

τὴν γῆν, ὡς ἀπώλεσαν· καὶ σὺ ῥυσθήσῃ; μὴ ἐῤῥύσαντο αὐτοὺς οἱ
θεοὶ τῶν ἐθνῶν οὓς ἀπώλεσαν οἱ πατέρες μου· τήν τε γωζὰν καὶ
χαῤῥὰν· καὶ ῥάσεμ· αἵ εἰσιν ἐν χώρᾳ θεεμάθ. ποῦ εἰσι βασιλεῖς
ἐμὰθ, καὶ ποῦ ἀρφὰθ· καὶ ποῦ πόλεως ἐπφαρουέμ· ἀνὰ καὶ ἀ-
βα· καὶ ἔλαβεν ἐζεκίας τὸ βιβλίον παρὰ τῶν ἀγγέλων, καὶ ἀνέ-
γνω αὐτό· καὶ ἀνέβη εἰς οἶκον κυρίου, καὶ ἤνοιξεν αὐτὸ ἐναν-
τίον κυρίου· καὶ προσηύξατο ἐζεκίας πρὸς κύριον λέγων· κύρι-
ε σαβαὼθ ὁ θεὸς ἰσραήλ. ὁ καθήμενος ἐπὶ τῶν χερουβίμ·
σὺ εἶ ὁ θεὸς μόνος· πάσης βασιλείας τῆς οἰκουμένης· σὺ ἐποίη-
σας τὸν οὐρανὸν καὶ τὴν γῆν· κλῖνον κύριε τὸ οὖς σου· εἰσάκουσον
κύριε ἄνοιξον κύριε τοὺς ὀφθαλμούς σου· εἴσβλεψον κύριε, καὶ ἴδε
καὶ ἄκουσον πάντας τοὺς λόγους σενναχηρεὶμ οὓς ἀπέστειλεν ὀ-
νειδίζειν θεὸν ζῶντα· ἐπ' ἀληθείας γὰρ κύριε ἠρήμωσαν βασιλεῖς ἀσσυ-
ρίων τὴν οἰκουμένην ὅλην καὶ τὴν χώραν αὐτῶν· καὶ ἐνέβαλον
τὰ εἴδωλα αὐτῶν εἰς τὸ πῦρ· οὐ γὰρ θεοὶ ἦσαν· ἀλλὰ ἔργα χειρῶν
ἀνθρώπων· ξύλα καὶ λίθοι καὶ ἀπώλεσαν αὐτούς· νῦν δὲ κύριε ὁ θε-
ὸς ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτῶν· ἵνα γνῷ πᾶσα βασιλεία
τῆς γῆς ὅτι σὺ εἶ ὁ θεὸς μόνος· καὶ ἀπεστάλη ἠσαΐας υἱὸς ἀμὼς
πρὸς ἐζεκίαν, καὶ εἶπεν αὐτῷ· τάδε λέγει κύριος ὁ θεὸς ἰσρα-
ήλ. ἤκουσα ἃ προσηύξω πρός με περὶ σενναχηρεὶμ βασιλέως ἀσ-
συρίων· οὗτος ὁ λόγος ὃν ἐλάλησε περὶ αὐτοῦ ὁ θεός· ἐφαύλι-
σέ σε καὶ ἐμυκτήρισέ σε παρθένος θυγάτηρ σιών· ἐπὶ σοὶ κε-
φαλὴν ἐκίνησε θυγάτηρ ἱερουσαλήμ· τίνα ὠνείδισας καὶ παρώξυ-
νας· ἢ πρὸς τίνα ὕψωσας τὴν φωνήν σου καὶ οὐκ ἦρας εἰς ὕψος
τοὺς ὀφθαλμούς σου, εἰς τὸν ἅγιον τοῦ ἰσραήλ, ὅτι δι' ἀγγέλων ὠνεί-
δισας κύριον· σὺ γὰρ εἶπας τῷ πλήθει τῶν ἁρμάτων· ἐγὼ ἀνέβην
εἰς ὕψος ὀρέων καὶ εἰς τὰ ἔσχατα τοῦ λιβάνου καὶ ἔκοψα τὸ ὕ-
ψος τῆς κέδρου αὐτοῦ, καὶ τὸ κάλλος τῆς κυπαρίσσου· καὶ εἰσῆλ-
θον εἰς ὕψος μέρους τοῦ δρυμοῦ· καὶ ἔθηκα γέφυραν καὶ ἠρήμω-
σα ὕδατα καὶ πᾶσαν συναγωγὴν ὕδατος· οὐ ταῦτα ἤκουσας πά-

λαβε ἐγὼ ἐποίησα. ἐξ ἡμερῶν ἀρχαίων συνέταξα. νῦν δὲ ἐπέ-
δειξας ἐξερημῶσαι ἔθνη ἐν ὀχυροῖς, καὶ οἰκοῦντας ἐν πόλεσιν ὀ-
χυραῖς. ἀνῆκα τὰς χεῖρας, καὶ ἐξηράνθησαν. καὶ ἐγένοντο ὡς χόρ-
τος ξηρὸς ἐπὶ δωμάτων καὶ ὡς ἄγρωστις. νῦν δὲ τὴν ἀνάπαυ-
σίν σου, καὶ τὴν ἔξοδόν σου καὶ τὴν εἴσοδόν σου, ἐγὼ ἐπίστα-
μαι. ὁ δὲ θυμός σου ὃν ἐθυμώθης καὶ ἡ πικρία σου, ἀνέβη πρός με.
καὶ ἐμβαλῶ φιμὸν εἰς τὴν ῥῖνά σου. καὶ χαλινὸν εἰς τὰ χείλη σου.
καὶ ἀποστρέψω σε τῇ ὁδῷ ᾗ ἦλθες ἐν αὐτῇ. τοῦτο δέ σοι τὸ
σημεῖον. φάγε τοῦτον ἐν ἐνιαυτῷ, ἃ ἔσπαρκας. τῷ δὲ ἐνιαυτῷ τῷ
δευτέρῳ τὸ κατάλειμμα. τῷ δὲ τρίτῳ σπείραντες ἀμήσατε.
καὶ φυτεύσατε ἀμπελῶνας, καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν. καὶ
ἔσονται οἱ καταλελειμμένοι ἐν τῇ ἰουδαίᾳ. φυήσουσι ῥίζαν
κάτω καὶ ποιήσουσι σπέρμα ἄνω. ὅτι ἐξ ἱερουσαλὴμ ἔσονται
οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι, ἐξ ὄρους σιών. ὁ ζῆλος
κυρίου σαββαὼθ ποιήσει ταῦτα. διὰ τοῦτο οὕτως λέγει κύριος
ἐπὶ βασιλέα ἀσσυρίων. οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην. οὐ-
δὲ μὴ βάλῃ ἐπ᾽ αὐτὴν βέλος. οὐδὲ μὴ ἐπιβάλῃ ἐπ᾽ αὐτὴν θυρεόν.
οὐδὲ μὴ κυκλώσῃ ἐπ᾽ αὐτὴν χάρακα. ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν ἐν
αὐτῇ ἀποστραφήσεται. καὶ εἰς τὴν πόλιν ταύτην, οὐ μὴ εἰσέλθῃ.
τάδε λέγει κύριος. ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶ-
σαι αὐτὴν δι᾽ ἐμέ. καὶ διὰ δαβὶδ τὸν παῖδά μου. καὶ ἐξῆλθεν
ἄγγελος κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν ἀσσυρί-
ων, ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. καὶ ἀναστάντες τὸ πρωῒ
εὗρον πάντα τὰ σώματα νεκρά. καὶ ἀπῆλθεν ἀποστραφεὶς καὶ
ἀπέστρεψε σενναχηρεὶμ βασιλεὺς ἀσσυρίων. καὶ ᾤκησεν ἐν νι-
νευΐ. καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ, ἀσαρὰχ θεοῦ αὐ-
τοῦ πάτραρχον αὐτοῦ. ἀδραμέλεχ καὶ σαρασὰρ οἱ υἱοὶ αὐτοῦ, ἐ-
πάταξαν αὐτὸν, μαχαίραις. αὐτοὶ δὲ διεσώθησαν εἰς ἀρμενίαν
καὶ ἐβασίλευσεν ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Κεφ. λη. 38.

Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη ἐζεκί-
ας, ἕως θανάτου. καὶ ἦλθε πρὸς αὐτὸν ἡσαΐας υἱὸς ἀ-
μὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτόν. τάδε λέγει
κύριος τάξαι περὶ τοῦ οἴκου σου. ἀποθνήσκεις γὰρ σὺ καὶ οὐ μὴ
ζήσῃ. καὶ ἀπέστρεψεν ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖ-
χον, καὶ προσηύξατο πρὸς κύριον λέγων, μνήσθητι κύριε ὡς ἐπο-
ρεύθην ἐνώπιόν σου μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀ-
ρεστὰ ἐνώπιόν σου ἐποίησα. καὶ ἔκλαυσεν ἐζεκίας κλαυθμῷ με-
γάλῳ. καὶ ἐγένετο λόγος κυρίου πρὸς ἡσαΐαν λέγων, πορεύθητι
καὶ εἰπὸν ἐζεκίᾳ. τάδε λέγει κύριος ὁ θεὸς δαβὶδ τοῦ πατρὸς
σου. ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου. ἰδοὺ
προστίθημι πρὸς τὸν χρόνον σου, πεντεκαίδεκα ἔτη καὶ ἐκ χει-
ρὸς βασιλέως ἀσσυρίων, ῥύσομαί σε καὶ τὴν πόλιν ταύτην. καὶ
ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης. τοῦτο δέ σοι τὸ σημεῖον πα-
ρὰ κυρίου. ὅτι ποιήσει ὁ θεὸς τὸ ῥῆμα τοῦτο. ὡς ἐλάλησεν. ἰδοὺ
ἐγὼ, στρέψω τὴν σκιὰν τῶν ἀναβαθμῶν οὓς κατέβη, τοὺς δέκα
ἀναβαθμοὺς τοῦ οἴκου τοῦ πατρός σου, ὁ ἥλιος. ἀποστρέψω τὸν ἥ-
λιον τοὺς δέκα ἀναβαθμούς. οὓς κατέβη ἡ σκιὰ καὶ ἀνέβη ὁ ἥλι-
ος, τοὺς δέκα ἀναβαθμοὺς οὓς κατέβη ἡ σκιά.

## ΠΡΟΣΕΥΧΗ ΕΖΕΚΙΟΥ

βασιλέως τῆς ἰουδαίας, ἡνίκα ἐμαλακίσθη καὶ
ἀνέστη ἐκ τῆς μαλακίας αὐτοῦ.

Ἐγὼ εἶπα ἐν τῷ ὕψει τῶν ἡμερῶν μου πορεύσομαι ἐν πύλαις ᾅ-
δου καταλείψω τὰ ἔτη τὰ ἐπίλοιπα. εἶπα οὐκέτι οὐ μὴ, ἴδω τὸ
σωτήριον τοῦ θεοῦ ἐπὶ τῆς γῆς ζώντων. οὐκέτι οὐ μὴ, ἴδω τὸ σωτήρι-
ον τοῦ ἰσραὴλ ἐπὶ γῆς. οὐκέτι οὐ μὴ ἴδω ἄνθρωπον μετὰ κατοι-
κούντων. ἐξέλιπον ἐκ τῆς συγγενείας μου. κατέλιπον τὸ ἐπίλοι-
πον τῆς ζωῆς μου. ἐξῆλθε καὶ ἀπῆλθεν ἀπ' ἐμοῦ ὥσπερ ὁ καταλύ-
ων σκηνὴν πήξας. τὸ πνεῦμά μου παρ' ἐμοὶ ἐγένετο ὡς ἱστὸς ἐρί-
θου ἐγγιζούσης ἐκτεμεῖν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ παρεδόθην ἕως
πρωΐ.

πρωΐ. ὡς λέων τὶς, οὕτως συνέτριψε πάντα τὰ ὀστᾶ μου. ἀπὸ γὰρ τῆς ἡμέρας παρεδόθην. ἕως νυκτὸς ὡς χελιδών. οὕτως φωνήσω. καὶ ὡς περιστερὰ, οὕτω μελετήσω. ἐξέλιπον γάρ μου οἱ ὀφθαλμοὶ ἀπὸ τοῦ βλέπειν εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, πρὸς τὸν κύριον. ὃς ἐξείλατό με καὶ ἀφείλατό μου τὴν ὀδύνην τῆς ψυχῆς. κύριε περὶ αὐτῆς γὰρ ἀνηγγέλη σοι. καὶ ἐξήγειράς μου τὴν πνοήν. καὶ παρακληθεὶς, ἔζησα. εἵλου γάρ μου τὴν ψυχὴν, ἵνα μὴ ἀπόληται. καὶ ἀπέῤῥιψας ὀπίσω μου τὰς ἁμαρτίας. οὐ γὰρ οἱ ἐν ἅδου αἰνέσουσί σε. οὐδὲ οἱ ἀποθανόντες εὐλογήσουσί σε. οὐδὲ ἐλπιοῦσιν οἱ ἐν ἅδου τὴν ἐλεημοσύνην σου. οἱ ζῶντες εὐλογήσουσί σε ὃν τρόπον κἀγώ. ἀπὸ γὰρ τῆς σήμερον, παιδία ποιήσω ἃ ἀναγγελοῦσι τὴν δικαιοσύνην σου κύριε τῆς σωτηρίας μου. καὶ οὐ παύσομαι εὐλογῶν σε μετὰ ψαλτηρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου κατέναντι τοῦ οἴκου τοῦ θεοῦ. καὶ εἶπεν ἡσαΐας πρὸς ἐζεκίαν. λάβε παλάθην σύκων. καὶ τρίψον καὶ κατάπλασαι, καὶ ὑγιὴς ἔσῃ. καὶ εἶπεν ἐζεκίας. τοῦτο σημεῖον πρὸς ἐζεκίαν, ὅτι ἀναβήσομαι εἰς τὸν οἶκον τοῦ θεοῦ.

Κεφ. λθ. 39.

ε

ΕΝ τῷ καιρῷ ἐκείνῳ, ἀπέστειλε μαιωδὰχ βαλαδὰν ὁ υἱὸς τοῦ βαλαδὰν ὁ βασιλεὺς τῆς βαβυλωνίας ἐπιστολὰς καὶ πρέσβεις καὶ δῶρα ἐζεκίᾳ. ἤκουσε γὰρ, ὅτι ἐμαλακίσθη ἕως θανάτου. καὶ ἀνέστη. καὶ ἐχάρη ἐπ' αὐτοῖς ἐζεκίας, χαρὰν μεγάλην, καὶ ἔδειξεν αὐτοῖς τὸν οἶκον τοῦ νεχωθᾶ. καὶ τοῦ ἀργυρίου καὶ τοῦ χρυσίου. καὶ τῆς στακτῆς καὶ τῶν θυμιαμάτων. καὶ τοῦ μύρου. καὶ πάντας τοὺς οἴκους τῶν σκευῶν τῆς γάζης. καὶ πάντα ὅσα ἦν ἐν τοῖς θησαυροῖς αὐτοῦ. καὶ οὐκ ἦν οὐθὲν ὃ οὐκ ἔδειξεν αὐτοῖς ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ. καὶ ἐν πάσῃ τῇ ἐξουσίᾳ αὐτοῦ. καὶ ἦλθεν ἡσαΐας ὁ προφήτης πρὸς τὸν βασιλέα ἐζεκίαν. καὶ εἶπε πρὸς αὐτόν. τί λέγουσιν οἱ ἄνθρωποι οὗτοι. καὶ πόθεν ἥκασι πρὸς σέ; καὶ εἶπεν ἐζεκίας ἐκ γῆς πόῤῥωθεν ἥκασι πρός με ἐκ βαβυλῶνος.

καὶ εἶπεν ἡσαΐας· τί εἴδοσαν ἐν τῷ οἴκῳ σου, καὶ εἶπεν ἐζεκίας πάντα τὰ ἐν τῷ οἴκῳ μου εἴδοσαν· καὶ οὐκ ἔστιν ἐν τῷ οἴκῳ μου ὃ οὐκ εἴδοσαν· ἀλλὰ καὶ τὰ ἐν τοῖς θησαυροῖς μου· καὶ εἶπεν ἡσαΐας αὐτῷ· ἄκουσον τὸν λόγον κυρίου σαβαώθ. ἰδοὺ ἡμέραι ἔρχονται· καὶ λήψονται πάντα τὰ ἐν τῷ οἴκῳ σου, καὶ ὅσα συνήγαγον οἱ πατέρες σου ἕως τῆς ἡμέρας ταύτης, εἰς βαβυλῶνα ἥξει· καὶ οὐδὲν οὐ μὴ καταλείψουσιν. εἶπε δὲ ὁ θεός· ὅτι καὶ ἀπὸ τῶν τέκνων σου ὧν ἐγέννησας, λήψονται καὶ ποιήσουσι σπάδοντας· ἐν τῷ οἴκῳ τοῦ βασιλέως τῶν βαβυλωνίων· καὶ εἶπεν ἐζεκίας, ἡσαΐᾳ· ἀγαθὸς ὁ λόγος κυρίου ὃν ἐλάλησε· γενέσθω δὴ εἰρήνη καὶ δικαιοσύνη ἐν ταῖς ἡμέραις μου.

Κεφάλαιον μ. 40.

Αρακαλεῖτε παρακαλεῖτε τὸν λαόν μου λέγει ὁ θεὸς
π ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν ἱερουσαλήμ· παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς· λέλυται αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς· φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ θεοῦ ἡμῶν· πᾶσα φάραγξ πληρωθήσεται· καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται· καὶ ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν· καὶ ἡ τραχεῖα, εἰς ὁδοὺς λείας· καὶ ὀφθήσεται ἡ δόξα κυρίου· καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ θεοῦ ὅτι κύριος ἐλάλησε· φωνὴ λέγοντος βόησον· καὶ εἶπα· τί βοήσω· πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου, ὡς ἄνθος χόρτου, ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος ἐξέπεσε· τὸ δὲ ῥῆμα τοῦ θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα· ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι ὁ εὐαγγελιζόμενος σιὼν ὕψωσον τῇ ἰσχύι τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος ἱερουσαλήμ. ὑψώσατε μὴ φοβεῖσθε· εἶπον ταῖς πόλεσιν ἰούδα ἰδοὺ ὁ θεὸς ὑμῶν ἰδοὺ κύριος· κύριος μετὰ ἰσχύος ἔρχεται καὶ ὁ βραχίων μετὰ κυρίας· ἰδοὺ ὁ μισθὸς αὐτοῦ μετ' αὐτοῦ καὶ τὸ ἔργον ἐναντίον

αὐτοῦ. ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ. καὶ τῷ βραχίονι αὐ-
τοῦ, συνάξει ἄρνας. καὶ ἐν γαστρὶ ἐχούσας παρακαλέσει. τίς ἐμέ-
τρησε τῇ χειρὶ τὸ ὕδωρ. καὶ τὸν οὐρανὸν σπιθαμῇ. καὶ πᾶσαν
τὴν γῆν δρακί. τίς ἔστησε τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ.
τίς ἔγνω νοῦν κυρίου. καὶ τίς αὐτοῦ σύμβουλος ἐγένετο ὃς συμβι-
βάσει αὐτόν. ἢ πρὸς τίνα συνεβουλεύσατο καὶ συνεβίβασεν αὐ-
τόν. ἢ τίς ἔδειξεν αὐτῷ κρίσιν ἢ ὁδὸν συνέσεως, τίς ἔδωκεν
αὐτῷ, ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; εἰ
πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου. καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθη-
σαν. καὶ ὡς σίελος λογισθήσονται. ὁ δὲ λίβανος οὐχ ἱκανὸς εἰς καῦ-
σιν. καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκαρπωσιν. καὶ
πάντα τὰ ἔθνη ὡς οὐδέν εἰσι καὶ εἰς οὐδὲν ἐλογίσθησαν. τίνι ὡμοι-
ώσατε κύριον. καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν. μὴ εἰκόνα ἐποί-
ησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτό; ὁ-
μοίωμα κατεσκεύασεν αὐτόν. ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκ-
των. καὶ σοφῶς ζητήσει πῶς στήσει εἰκόνα αὐτοῦ. καὶ ἵνα μὴ σαλεύ-
ηται. οὐ γνώσεσθε οὐκ ἀκούσεσθε. οὐκ ἀνηγγέλη ἐξ ἀρχῆς ὑμῖν
οὐκ ἔγνωτε, τὰ θεμέλια τῆς γῆς. καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀ-
κρίδες. ὁ στήσας ὡς καμάραν τὸν οὐρανόν. καὶ διατείνας ὡς σκηνὴν
κατοικεῖν. ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς
οὐδὲν ἐποίησεν. οὐ γὰρ μὴ φυτεύσωσιν οὐδὲ μὴ σπείρωσιν. οὐ-
δὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν. ἔπνευσεν ἐπ᾽ αὐτοὺς καὶ
ἐξηράνθησαν. καὶ καταιγὶς ὡς φρύγανα ἀναλήψεται αὐτούς. νῦν
οὖν τίνι με ὡμοιώσατε. καὶ ὑψωθήσομαι εἶπεν ὁ ἅγιος. ἀνα-
βλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ ἴδετε, τίς κατέδει-
ξε ταῦτα πάντα. ὁ ἐκφέρων κατ᾽ ἀριθμὸν τὸν κόσμον αὐτοῦ. πάν-
τας ἐπ᾽ ὀνόματι καλέσει. ἀπὸ πολλῆς δόξης καὶ ἐν κράτει ἰσχύ-
ος αὐτοῦ οὐδένος ἔλαθε. μὴ γὰρ εἴπῃς ἰακὼβ καὶ τί ἐλάλησας ἰσρα-
ήλ. ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ θεοῦ. καὶ ὁ θεός μου τὴν κρί-
σιν ἀφεῖλε, καὶ ἀπέστη. καὶ νῦν οὐκ ἔγνως. εἰ μὴ ἤκουσας θεὸς αἰώ-

νιος. θεὸς ὁ κατασκευάζων τὰ ἄκρα τῆς γῆς. οὐ πεινάσει οὐδὲ
κοπιάσει οὐ δὲ ἐστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ. διδοὺς τοῖς
πεινῶσιν ἰσχὺν, καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην. πεινάσουσι γὰρ
νεώτεροι καὶ κοπιάσουσι νεανίσκοι. καὶ ἐκλεκτοὶ, ἀνίσχυες ἔσον-
ται. οἱ δὲ ὑπομένοντες τὸν θεὸν, ἀλλάξουσιν ἰσχύν. πτεροφυήσου-
σιν ὡς ἀετοί. δραμοῦνται καὶ οὐ κοπιάσουσι. βαδιοῦνται καὶ
οὐ πεινάσουσιν.

## Κεφάλαιον. μα. 41.

Γκαινίζεσθε πρὸς με νῆσοι. οἱ γὰρ ἄρχοντες, ἀλλά-
ε ξουσιν ἰσχύν. ἐγγισάτωσαν καὶ λαλησάτωσαν ἅμα.
τότε κρίσιν ἀναγγειλάτωσαν. τίς ἐξήγειρεν ἀπὸ ἀνα-
τολῶν δικαιοσύνην. ἐκάλεσεν αὐτὴν κατὰ πόδας αὐτοῦ. καὶ πο-
ρεύεται, δώσει ἐναντίον ἐθνῶν, καὶ βασιλεῖς ἐκστήσει. καὶ δώσει
εἰς γῆν τὰς μαχαίρας αὐτῶν, καὶ ὡς φρύγανα ἐξωσμένα, τὰ τό-
ξα αὐτῶν. καὶ διώξεται αὐτούς. διελεύσεται ἐν εἰρήνῃ ἡ ὁδὸς τῶν πο-
δῶν αὐτοῦ. τίς ἐνήργησε καὶ ἐποίησε ταῦτας ἐκάλεσεν αὐτὴν
ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν ἀρχῆς. ἐγὼ θεὸς πρῶτος, καὶ εἰς τὰ
ἐπερχόμενα ἐγώ εἰμι. εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν. τὰ ἄκρα τῆς
γῆς, ἤγγισαν καὶ ἦλθον ἅμα κρίνων ἕκαστος τῷ πλησίον καὶ τῷ
ἀδελφῷ βοηθῆσαι. καὶ ἐρεῖ ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς
τύπτων σφύρᾳ ἅμα ἐλαύνων. ποτὲ μὲν ἐρεῖ. σύμβλημα καλόν ἐ-
στιν. ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις. θήσουσιν αὐτά, καὶ οὐ κινηθήσονται.
σὺ δὲ ἰσραὴλ παῖς μου ἰακώβ. καὶ ὃν ἐξελεξάμην σπέρμα ἀβρα-
ἀμ. ὃν ἠγάπησα. οὗ ἀντελαβόμην ἀπ' ἄκρων τῆς γῆς. καὶ ἐκ τῶν
σκοπιῶν αὐτῆς ἐκάλεσά σε καὶ εἶπά σοι παῖς μου εἶ. ἐξελεξάμην
σε. καὶ οὐκ ἐγκατέλιπόν σε. μὴ φοβοῦ. μετὰ σοῦ γάρ εἰμι μὴ πλα-
νῶ. ἐγώ εἰμι ὁ θεός σου ὁ ἐνισχύσας. καὶ ἐβοήθησά σοι, καὶ ἠ-
σφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου. ἰδοὺ αἰσχυνθήσονται.
καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς
οὐκ ὑπάρχοντες. καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου. ζη-

τήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους οἳ παρανομήσου-
σιν εἰς σέ. ἔσονται γὰρ ὡς οὐκ ὄντες. καὶ οὐκ ἔσονται οἱ ἀντιπολε-
μοῦντές σε. ὅτι ἐγὼ ὁ θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου. ὁ λέγων
σοι μὴ φοβοῦ ἰακὼβ ὀλιγοστὸς ἰσραήλ. ἐγὼ ἐβοήθησά σοι λέγει
ὁ θεός σου, ὁ λυτρούμενός σε ἰσραήλ. ἰδοὺ ἐποίησά σε, ὡς τρο-
χοὺς ἁμάξης ἀλοῶντας καινοὺς. πριστηροειδεῖς. καὶ ἀλοήσεις ὄρη
καὶ λεπτυνεῖς βουνοὺς. καὶ ὡς χνοῦν θήσεις καὶ λικμήσεις καὶ ἄ-
νεμος λήψεται αὐτοὺς. καὶ καταιγὶς διασπερεῖ αὐτούς. σὺ δὲ εὐ-
φρανθήσῃ ἐν τοῖς ἁγίοις ἰσραήλ. καὶ ἀγαλλιάσονται οἱ πτωχοὶ
καὶ οἱ ἐνδεεῖς. ζητήσουσι γὰρ ὕδωρ, καὶ οὐκ ἔσται. ἡ γλῶσσα αὐ-
τῶν ἀπὸ τῆς δίψης ἐξηράνθη. ἐγὼ κύριος ὁ θεὸς ἐγὼ ἐπακούσο-
μαι ὁ θεὸς ἰσραήλ. καὶ οὐκ ἐγκαταλείψω αὐτούς, ἀλλὰ ἀνοίξω
ἐπὶ τῶν ὀρέων ποταμοὺς. καὶ ἐν μέσῳ πεδίων, πηγὰς ποιήσω
τὴν ἔρημον εἰς ἕλη ὑδάτων. καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγω-
γοῖς. θήσω εἰς τὴν ἄνυδρον γῆν, κέδρον καὶ πύξον καὶ μυρσίνην
καὶ κυπάρισσον. καὶ λεύκην. ἵνα ἴδωσι καὶ γνῶσι καὶ ἐννοηθῶ-
σι καὶ ἐπιστῶνται ἅμα, ὅτι χεὶρ κυρίου ἐποίησε ταῦτα πάντα,
καὶ ὁ ἅγιος τοῦ ἰσραὴλ κατέδειξεν, ἐγγίζει ἡ κρίσις ὑμῶν λέγει
κύριος ὁ θεός. ἤγγισαν αἱ βουλαὶ ὑμῶν. λέγει ὁ βασιλεὺς ἰακώβ
ἐγγισάτωσαν καὶ ἀναγγειλάτωσαν ὑμῖν ἃ συμβήσεται. ἢ τὰ
πρότερον τίνα ἦν. εἴπατε καὶ ἐπιστήσομεν τὸν νοῦν καὶ γνωσόμε-
θα, τί τὰ ἔσχατα καὶ τὰ ἐπερχόμενα. εἴπατε ὑμῖν ἀναγγείλατε
ἡμῖν τὰ ἐπερχόμενα ἐπ' ἐσχάτου, καὶ γνωσόμεθα. ὅτι θεοί ἐστε.
εὖ ποιήσατε καὶ κακώσατε καὶ θαυμασόμεθα, καὶ ὀψόμεθα
ἅμα, ὅτι πόθεν ἐστὲ ὑμεῖς. καὶ πόθεν ἡ ἐργασία ἡμῶν ἐκ γῆς
βδέλυγμα ἐξελέξαντο ὑμᾶς. ἐγὼ δὲ ἤγειρα τὸν ἀπὸ βοῤῥᾶ καὶ
τὸν ἀφ' ἡλίου ἀνατολῶν. κληθήσονται τῷ ὀνόματί μου. ἐρχέσθωσαν
ἄρχοντες, καὶ ὡς πηλὸς κεραμέως καὶ ὡς κεραμεὺς καταπατῶν
τὸν πηλὸν, οὕτω καταπατηθήσεσθε. τίς γὰρ ἀναγγελεῖ τὰ ἐξ ἀρχῆς
ἵνα γνῶμεν. καὶ τὰ ἔμπροσθεν. καὶ ἐροῦμεν ὅτι ἀληθῆ ἐστιν. οὐκ

ἔστιν ὁ προλέγων, οὐδὲ ὁ ἀκούων ὑμῶν τοὺς λόγους. ἀρχὴν σιὼν
δώσω· καὶ ἱερουσαλὴμ παρακαλέσω εἰς ὁδόν, ἀπὸ γὰρ τῶν ἐθ-
νῶν, ἰδοὺ οὐθείς· καὶ ἀπὸ τῶν εἰδώλων αὐτῶν, οὐκ ἦν ὁ ἀναγγέλ-
λων. καὶ ἐὰν ἐρωτήσω αὐτοὺς πόθεν ἐστὶ οὐ μὴ ἀποκριθῶσί μοι.
εἰσὶ γὰρ οἱ ποιοῦντες ὑμᾶς, καὶ μάτην οἱ πλανῶντες ὑμᾶς.

Κεφάλαιον. μβ. 42.

Ακὼβ ὁ παῖς μου ἀντιλήψομαι αὐτοῦ, ἰσραὴλ ὁ ἐκ-
λεκτός μου προσεδέξατο αὐτὸν ἡ ψυχή μου. ἔδωκα
τὸ πνεῦμά μου ἐπ' αὐτόν· κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει.
οὐ κεκράξεται οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται ἔξω ἡ φωνὴ αὐ-
τοῦ· κάλαμον συντεθλασμένον οὐ συντρίψει· καὶ λίνον καπνιζό-
μενον οὐ σβέσει· ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, ἀναλάμψει. καὶ
οὐ θραυσθήσεται ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν. καὶ ἐπὶ τῷ
ὀνόματι αὐτοῦ, ἔθνη ἐλπιοῦσιν. οὕτω λέγει κύριος ὁ θεὸς ὁ ποιή-
σας τὸν οὐρανὸν καὶ πήξας αὐτόν. ὁ στερεώσας τὴν γῆν καὶ τὰ ἐν
αὐτῇ· καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ' αὐτῆς. καὶ πνεῦμα
τοῖς πατοῦσιν αὐτήν. ἐγὼ κύριος ὁ θεὸς ἐκάλεσά σε ἐν δικαι-
οσύνῃ καὶ κρατήσω τῆς χειρός σου· καὶ ἐνισχύσω σε· καὶ ἔδωκα
σε εἰς διαθήκην γένους μου· εἰς φῶς ἐθνῶν· ἀνοῖξαι ὀφθαλμοὺς τυ-
φλῶν· ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους καὶ ἐξ οἴκου φυλακῆς
καὶ καθημένους ἐν σκότει· ἐγὼ κύριος ὁ θεός· τοῦτό μου ἐστὶ τὸ ὄνο-
μα. τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω οὐδὲ τὰς ἀρετάς μου τοῖς
γλυπτοῖς. τὰ ἀπ' ἀρχῆς, ἰδοὺ ἥκασι καὶ καινὰ ἃ ἐγὼ ἀναγγελῶ
καὶ πρὸ τοῦ ἀναγγεῖλαι ἐδηλώθη ὑμῖν. ὑμνήσατε τῷ κυρίῳ ὕμνον
καινόν. ἡ ἀρχὴ αὐτοῦ, δοξάζετε τὸ ὄνομα αὐτοῦ. ἀπ' ἄκρου τῆς γῆς
οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν καὶ πλέοντες αὐτήν καὶ
νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς. εὐφράνθητι ἔρημος, καὶ αἱ κῶ-
μαι αὐτῆς. ἐπαύλεις καὶ οἱ κατοικοῦντες κηδάρ. εὐφρανθήσον-
ται οἱ κατοικοῦντες πέτραν. ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι. δώ-
σουσι τῷ θεῷ δόξαν τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀπαγγε-

λοῦσι. κύριος ὁ θεὸς τῶν δυνάμεων ἐξελεύσεται καὶ συντρίψει πόλεμον. ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος. ἐσιώπησα ἀπ᾽ αἰῶνος. μὴ καὶ ἀεὶ σιωπήσομαι καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέρησα. ἐκστήσω καὶ ξηρανῶ ἅμα ἐρημώσω ὄρη καὶ βουνοὺς καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ. καὶ θήσω ποταμοὺς εἰς νήσους καὶ ἕλη ξηρανῶ. καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν καὶ τρίβους ἃς οὐκ ᾔδεισαν, πατῆσαι ποιήσω αὐτούς. ποιήσω αὐτοῖς τὸ σκότος, εἰς φῶς. καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν. ταῦτα τὰ ῥήματα ποιήσω, αὐτοῖς καὶ οὐκ ἐγκαταλείψω αὐτούς. αὐτοὶ δὲ ἀπεστράφησαν εἰς τὰ ὀπίσω. Αἰσχύνθητε αἰσχύνην οἱ πεποιθότες ἐπὶ τοῖς γλυπτοῖς. οἱ λέγοντες τοῖς χωνευτοῖς. ὑμεῖς ἐστε θεοὶ ἡμῶν. οἱ κωφοὶ ἀκούσατε. καὶ οἱ τυφλοὶ ἀναβλέψατε ἰδεῖν. καὶ τίς τυφλὸς ἀλλ᾽ ἢ οἱ παῖδές μου. καὶ κωφοὶ ἀλλ᾽ ἢ οἱ κυριεύοντες αὐτῶν. τίς τυφλὸς ὡς ὁ ἀπεσχηκώς. καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ. εἴδετε πλεονάκις καὶ οὐκ ἐφυλάξασθε ἀνεῳγμένα τὰ ὦτα καὶ οὐκ ἠκούσατε. κύριος ὁ θεὸς ἠβούλετο ἵνα δικαιωθῇ. καὶ μεγαλύνῃ αἴνεσιν. καὶ εἶδον καὶ ἐγένετο ὁ λαὸς προνομευμένος. καὶ διηρπασμένος. ἡ γὰρ παγὶς ἐν τοῖς ταμιείοις πανταχοῦ. καὶ ἐν οἴκοις ἅμα. ὅπου ἔκρυψαν αὐτούς. ἐγένοντο εἰς προνομήν. καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἅρπαγμα. καὶ οὐκ ἦν ὁ λέγων ἀπόδος. τίς ἐν ὑμῖν ὃς ἐνωτίσεται ταῦτα. ὃς εἰσακούσεται εἰς τὰ ἐπερχόμενα. τίς ἔδωκεν εἰς διαρπαγὴν ἰακὼβ καὶ ἰσραὴλ τοῖς προνομεύουσιν αὐτόν. οὐχὶ ὁ θεὸς ᾧ ἡμάρτοσαν αὐτῷ. καὶ οὐκ ἠβούλοντο ἐν ταῖς ὁδοῖς αὐτοῦ πορεύεσθαι. οὐδὲ ἀκούειν τοῦ νόμου αὐτοῦ. καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ. καὶ κατίσχυσεν αὐτοὺς πόλεμος. καὶ οἱ συμφλέγοντες αὐτοὺς κύκλῳ καὶ οὐκ ἔγνωσαν ἕκαστος αὐτῶν. οὐ δὲ ἔθεντο ἐπὶ ψυχήν.

Κεφάλαιον. μγ. 43.

Καὶ νῦν οὕτως λέγει κύριος ὁ θεὸς ὁ ποιήσας σε ἰακὼβ καὶ ὁ πλάσας σε ἰσραήλ. μὴ φοβοῦ, ὅτι ἐλυτρωσάμην σε. ἐκάλεσά σε τὸ ὄνομά σου. ἐμὸς εἶ σύ.

* 

καὶ ἐὰν διαβαίνῃς δι᾽ ὕδατος, μετὰ σοῦ εἰμί, καὶ ποταμοὶ οὐ συ-
γκλύσουσί σε. καὶ ἐὰν διέλθῃς διὰ πυρὸς, οὐ μὴ κατακαυθῇς.
φλὸξ οὐ κατακαύσει σε. ὅτι ἐγὼ κύριος ὁ θεός σου ὁ ἅγιος ἰσρα-
ὴλ ὁ σώζων σε. ἐποίησα ἄλλαγμά σου. αἴγυπτον καὶ αἰθιοπί-
αν καὶ σοῦ ἦν ὑπὲρ σοῦ. ἀφ᾽ οὗ ἔντιμος ἐγένου ἐναντίον ἐμοῦ, ἐδο-
ξάσθης. καὶ ἐγώ σε ἠγάπησα. καὶ δώσω ἀνθρώπους. ὑπὲρ σοῦ, καὶ
ἄρχοντας ὑπὲρ τῆς κεφαλῆς σου. μὴ φοβοῦ ὅτι μετὰ σοῦ εἰμι. ἀ-
πὸ ἀνατολῶν, ἄξω τὸ σπέρμα σου καὶ ἀπὸ δυσμῶν συνάξω σε.
ἐρῶ τῷ βοῤῥᾷ ἄγε. καὶ τῷ λιβὶ μὴ κώλυε. ἄγε τοὺς υἱούς μου
ἀπὸ τῆς πόῤῥωθεν, καὶ τὰς θυγατέρας μου ἀπ᾽ ἄκρων τῆς γῆς. πάν-
τας, ὅσοι ἐπικέκληνται τῷ ὀνόματί μου. ἐν γὰρ τῇ δόξῃ μου κατε-
σκεύασα αὐτόν. καὶ ἔπλασα αὐτὸν καὶ ἐποίησα αὐτὸν, καὶ ἐξή-
γαγον λαὸν τυφλόν. καὶ ὀφθαλμοί εἰσιν ὡσαύτως τυφλοὶ, καὶ
κωφὰ καὶ τὰ ὦτα ἔχοντες. πάντα τὰ ἔθνη συνήχθησαν ἅμα καὶ
συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα. ἢ τὰ ἐξ
ἀρχῆς τίς ἀναγγελεῖ ἡμῖν. ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν
καὶ δικαιωθήτωσαν, καὶ ἀκουσάτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. γέ-
νεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς λέγει κύριος ὁ θεός. καὶ ὁ
παῖς ὃν ἐξελεξάμην ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε. ὅτι
ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ
ἔσται. ἐγὼ ὁ θεὸς καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ σώζων. ἐγὼ ἀνήγγειλα
καὶ ἔσωσα. ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος, ὑμεῖς ἐμοὶ
μάρτυρες. καὶ ἐγὼ κύριος ὁ θεὸς ἔτι ἀπ᾽ ἀρχῆς. καὶ οὐκ ἔστιν ὁ ἐκ
τῶν χειρῶν μου ὁ ἐξαιρούμενος με. ποιήσω καὶ τίς ἀποστρέψει
αὐτό. οὕτως λέγει κύριος ὁ θεὸς ὁ λυτρούμενος ὑμᾶς. ὁ ἅγιος τοῦ
ἰσραήλ. ἕνεκεν ὑμῶν ἀποστελῶ εἰς βαβυλῶνα. καὶ ἐπεγερῶ φεύ-
γοντας πάντας. καὶ χαλδαῖοι ἐν πλοίοις δεθήσονται. ἐγὼ κύρι-
ος ὁ θεὸς ὁ ἅγιος ὑμῶν ὁ καταδείξας ἰσραὴλ βασιλέα ὑμῶν.
οὕτω δὲ λέγει κύριος ὁ διδοὺς ἐν θαλάσσῃ ὁδὸν, καὶ ἐν ὕδατι
ἰσχυρῷ τρίβον. ὁ ἐξαγαγὼν ἅρματα καὶ ἵππον καὶ ὄχλον ἰσχυρόν.

ἀλλ' ἐκοιμήθησαν καὶ οὐκ ἀναστήσονται· ἐσβέσθησαν ὡς λίνον
ἐσβεσμένον. μὴ μνημονεύετε τὰ πρῶτα καὶ τὰ ἀρχαῖα. μὴ
συλλογίζεσθε. ἰδοὺ ἐγὼ ποιῶ καινὰ ἃ νῦν ἀνατελεῖ. καὶ γνώσε-
σθε αὐτά. καὶ ποιήσω ἐν τῇ ἐρήμῳ ὁδὸν, καὶ ἐν τῇ ἀνύδρῳ πο-
ταμούς. εὐλογήσει μετὰ θηρία τοῦ ἀγροῦ σειρῆνες καὶ θυγατέρες
στρουθῶν ὅτι ἔδωκεν τῇ ἐρήμῳ ὕδωρ, καὶ ποταμοὺς ἐν τῇ ἀνύδρῳ
ποτίσαι τὸ γένος μου τὸ ἐκλεκτόν. λαόν μου ὃν περιεποιησάμην
τὰς ἀρετάς μου διηγεῖσθαι. Οὐ νῦν ἐκάλεσά σε ἰακώβ. οὐδὲ κο-
πιάσαι σε ἐποίησα ἰσραήλ. οὐκ ἤνεγκάς μοι πρόβατά σου τῆς ὁ-
λοκαρπώσεώς σου. οὐδὲ ἐν ταῖς θυσίαις σου ἐδόξασάς με.
οὐκ ἐδούλωσάς ἐν θυσίαις. οὐδὲ ἔγκοπον ἐποίησας ἐν λιβάνῳ.
οὐδὲ ἐκτήσω μοι θυμίαμα ἀνδὺ ἀργυρίου. οὐδὲ τὸ στέαρ τῶν θυσι-
ῶν σου ἐπεθύμησα. ἀλλὰ ἐν ταῖς ἁμαρτίαις σου προέστης μου καὶ
ἐν ταῖς ἀδικίαις σου ἐγώ εἰμι αὐτὸς ὁ ἐξαλείφων τὰς ἀνομίας
σου. ἕνεκεν ἐμοῦ καὶ τὰς ἁμαρτίας σου καὶ οὐ μὴ μνησθήσομαι. σὺ
δὲ μνήσθητι. καὶ κριθῶμεν ἅμα. λέγε σὺ τὰς ἀνομίας σου πρῶτος
ἵνα δικαιωθῇς. οἱ πατέρες ὑμῶν πρῶτοι ἥμαρτον καὶ οἱ ἄρχον-
τες ὑμῶν ἠνόμησαν εἰς ἐμέ. καὶ ἐμίαναν οἱ ἄρχοντες τὰ ἅγιά
μου, καὶ ἔδωκα ἀπολέσαι ἰακὼβ καὶ ἰσραὴλ εἰς ὀνειδισμόν.

Κεφάλαιον. μδ. 44.

Υν δὲ ἄκουσον ἰακὼβ ὁ παῖς μου καὶ ἰσραὴλ ὃν ἐξελε-
ν ξάμην. οὕτω λέγει κύριος ὁ θεὸς ὁ κτίσας σε καὶ ὁ
πλάσας σε ἐκ κοιλίας ἔτι βοηθήσει. μὴ φοβοῦ παῖς
μου ἰακώβ. καὶ ὁ ἠγαπημένος ἰσραὴλ ὃν ἐξελεξάμην. ἐγὼ δώ-
σω ὕδωρ ἐν δίψει τοῖς πορευομένοις ἐν ἀνύδρῳ. ἐπιθήσω τὸ
πνεῦμά μου, ἐπὶ τὸ σπέρμα σου. καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέ-
κνα σου. καὶ ἀνατελοῦσιν ὡς ἀνὰ μέσον ὕδατος χόρτος. καὶ ὡς ἰτέα
ἐπὶ πᾶν ῥέον ὕδωρ. οὗτος ἐρεῖ. τοῦ θεοῦ εἰμί. καὶ οὗτος βοήσεται ἐπὶ
τῷ ὀνόματι ἰακώβ. καὶ ἕτερος ἐπιγράψει χειρὶ αὐτοῦ. τοῦ θεοῦ εἰ-
μι ἐπὶ τῷ ὀνόματι ἰσραὴλ βοήσεται. οὕτως λέγει ὁ θεὸς ὁ βασι

λεὺς ἰσραὴλ καὶ ῥυσάμενος αὐτὸν θεὸς σαβαώθ. ἐγὼ πρῶτος καὶ ἐγὼ μετὰ ταῦτα. πλὴν ἐμοῦ οὐκ ἔστιν ὁ θεός. τίς ὥσπερ ἐγώ· στήτω καὶ καλεσάτω καὶ ἀναγγειλάτω καὶ ἑτοιμασάτω μοι ἀφ' οὗ ἐποίησα ἄνθρωπον εἰς τὸν αἰῶνα. καὶ τὰ ἐπερχόμενα πρὸ τοῦ ἐλθεῖν ἐπαγγειλάτωσαν ὑμῖν. μὴ παρακαλύπτεσθε, μηδὲ πλανᾶσθε. οὐκ ἀπ' ἀρχῆς ἠνωτίσασθε καὶ ἀπήγγειλα ὑμῖν. μάρτυρες ὑμεῖς ἐστέ. εἰ ἔστι θεὸς πλὴν ἐμοῦ. Καὶ οὐκ ἦσαν τότε οἱ πλάσσοντες καὶ οἱ γράφοντες. πάντες μάταιοι ποιοῦντες τὰ καταθύμια αὐτῶν, ἃ οὐκ ὠφελήσει αὐτούς. καὶ μάρτυρες αὐτῶν εἰσιν. οὐκ ὄψονται καὶ οὐ γνώσονται ἵνα αἰσχυνθῶσιν. τίς πλάσσει ἰσχυρὸν καὶ γλυπτὸν χωνεύσει εἰς ἀνωφελῆ. ἰδοὺ οἱ κοινωνοῦντες αὐτῷ ἀλλὰ αἰσχυνθήσονται οἱ πλάσσοντες θεὸν καὶ γλύφοντες πάντες ἀνωφελῆ. καὶ πάντες ὅθεν ἐγένοντο ἐξηράνθησαν. καὶ κωφοὶ ἀπὸ ἀνθρώπων συναχθήτωσαν πάντες, καὶ στήτωσαν ἅμα. καὶ ἐντραπήτωσαν καὶ αἰσχυνθήτωσαν ἅμα ὅτι ὤξυνε τέκτων, σίδηρον, σκεπάρνῳ εἰργάσατο αὐτόν, ἐν ἄνθραξι καὶ ἐν τερέτρῳ, ἔστησεν αὐτό. καὶ εἰργάσατο αὐτὸ ἐν τῷ βραχίονι τῆς ἰσχύος αὐτοῦ. καὶ πεινάσει καὶ ἀσθενήσει. καὶ οὐ μὴ πίῃ ὕδωρ. ἐκλεξάμενος τέκτων ξύλον ἔστησεν αὐτὸ ἐν μέτρῳ καὶ ἐμόρφωσεν αὐτὸ ἐν παραγραφίδι. ἐποίησεν αὐτὸ ἐν παραγωνίσκοις καὶ ἐν κόλλῃ ἐρύθμισεν αὐτό. καὶ ἐποίησεν αὐτό. ὡς μορφὴν ἀνδρὸς, καὶ ὡς ὡραιότητα ἀνθρώπου στῆσαι αὐτὸ ἐν οἰκίσκῳ. ὃ ἔκοψε ἑαυτῷ κέδρους. καὶ ἔλαβε ἀγριοβάλανον καὶ δρῦν καὶ ἐκαρτέρωσεν αὐτὸ, ξύλον ἐκ τοῦ δρυμοῦ ὃ ἐφύτευσεν κύριος πίτυν. καὶ ὑετὸς ἐμήκυνεν. ἵνα ᾖ ἀνθρώποις εἰς καῦσιν. καὶ λαβὼν ἀπ' αὐτοῦ, ἐθερμάνθη. καὶ καύσαντες ἔπεμψαν ἄρτους ἐπ' αὐτῷ, τὸ δὲ λοιπὸν, εἰργάσαντο θεούς. καὶ προσκυνοῦσιν αὐτοῖς, ἐποίησε αὐτὸ γλυπτὸν, καὶ κάμπτει αὐτοῖς. οὗ τὸ ἥμισυ αὐτοῦ. κατέκαυσεν ἐν πυρί. καὶ ἐπὶ τοῦ ἡμίσους αὐτοῦ, ἔπεμψαν ἐν τοῖς ἄνθραξιν ἄρτους. καὶ ἐπ' αὐτοῦ κρέας ἔφαγε ὀπτήσας ὤπτησε

ὀπτὸν καὶ ἐνεπλήσθη· καὶ θερμανθεὶς εἶπεν· ἡδύ μοι ὅτι ἐθερμάνθην· καὶ εἶδον πῦρ. τὸ δὲ λοιπὸν ἐποίησεν εἰς θεὸν γλυπτὸν κάμπτει αὐτῷ καὶ προσκυνεῖ καὶ προσεύχεται αὐτῷ λέγων, ἐξελοῦ με. ὅτι θεός μου εἶ σύ. οὐκ ἔγνωσαν φρονῆσαι ὅτι ἀπημαυρώθησαν τοῦ βλέπειν τοῖς ὀφθαλμοῖς αὐτοῦ· καὶ τοῦ νοῆσαι τῇ καρδίᾳ αὐτῶν, καὶ οὐκ ἐλογίσατο τῇ ψυχῇ αὐτοῦ. οὐδὲ ἔγνω τῇ φρονήσει, ὅτι τὸ ἥμισυ αὐτοῦ κατέκαυσεν ἐν πυρί· καὶ ἔπεψεν ἐπὶ τῶν ἀνθράκων αὐτοῦ ἄρτους· καὶ ὀπτήσας κρέα ἔφαγε· καὶ τὸ λοιπὸν αὐτοῦ. εἰς βδέλυγμα ἐποίησε· καὶ προσκυνοῦσιν αὐτῷ, γνῶθι ὅτι σποδὸς ἡ καρδία αὐτῶν καὶ πλανῶνται, καὶ οὐδεὶς δύναται ἐξελέσθαι τὴν ψυχὴν αὐτοῦ· ἴδετε οὐκ ἐρεῖτε ὅτι ψεῦδος ἐν τῇ δεξιᾷ μου. Μνήσθητι ταῦτα ἰακὼβ καὶ ἰσραήλ. ὅτι παῖς μου εἶ σύ, ἔπλασά σε παῖδά μου, καὶ σὺ ἰσραὴλ μὴ ἐπιλανθάνου μου. ἰδοὺ γὰρ ἀπήλειψα ὡς νεφέλην τὰς ἀνομίας, καὶ ὡς γνόφον τὰς ἁμαρτίας σου. ἐπιστράφηθι πρός με καὶ λυτρώσομαί σε. εὐφράνθητε οὐρανοί, ὅτι ἠλέησεν ὁ θεὸς τὸν ἰσραήλ, σαλπίσατε τὰ θεμέλια τῆς γῆς· βοήσατε τὰ ὄρη εὐφροσύνην. οἱ βουνοὶ καὶ πάντα τὰ ξύλα τὰ ἐν αὐτοῖς. ὅτι ἐλυτρώσατο ὁ θεὸς τὸν ἰακὼβ, καὶ ἰσραὴλ δοξασθήσεται. οὕτω λέγει κύριος ὁ λυτρούμενός σε καὶ πλάσσων σε ἐκ κοιλίας· ἐγὼ κύριος ὁ συντελῶν πάντα ἐξέτεινα τὸν οὐρανὸν μόνος· καὶ ἐστερέωσα τὴν γῆν· τίς ἕτερος διασκεδάσει σημεῖα ἐγγαστριμύθων· καὶ μαντείας ἀπὸ καρδίας, ἀποστρέφων φρονίμους εἰς τὰ ὀπίσω καὶ τὴν βουλὴν αὐτῶν μωραίνων, καὶ ἱστῶν ῥῆμα παιδὸς αὐτοῦ. καὶ τὴν βουλὴν τῶν ἀγγέλων αὐτοῦ ἀληθεύων. ὁ λέγων τῇ ἱερουσαλὴμ κατοικηθήσῃ. καὶ ταῖς πόλεσι τῆς ἰδουμαίας οἰκοδομηθήσεσθε. καὶ τὰ ἔρημα αὐτῆς ἀναστήσω. ὁ λέγων τῇ ἀβύσσῳ ἐρημωθήσῃ· καὶ τοὺς ποταμούς σου ξηρανῶ. ὁ λέγων κύρῳ φρονεῖν, καὶ πάντα τὰ θελήματά μου ποιήσει. ὁ λέγων ἱερουσαλὴμ οἰκοδομηθήσῃ καὶ τὸν οἶκον τὸν ἅγιόν μου θεμελιώσω.

Κεφάλαιον. με. 45.

Οὕτω λέγει κύριος ὁ θεὸς τῷ χριστῷ μου κύρῳ οὗ ἐκράτησα τῆς δεξιᾶς. ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ. ἔθνη καὶ ἰσχὺν βασιλέων διαρρήξω. ἀνοίξω ἔμπροσθεν αὐτοῦ θύρας, καὶ πόλεις οὐ συγκλεισθήσονται. ἐγὼ ἔμπροσθέν σου πορεύσομαι. καὶ ὄρη ὁμαλιῶ. θύρας χαλκᾶς συντρίψω, καὶ μοχλοὺς σιδηροῦς συνθλάσω. καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς ἀποκρύφους. ἀοράτους, ἀνοίξω σοι. ἵνα γνῷς. ὅτι ἐγὼ κύριος ὁ θεός σου ὁ καλῶν τὸ ὄνομά σου ὁ θεὸς ἰσραήλ. ἕνεκεν τοῦ παιδός μου ἰακώβ. καὶ ἰσραὴλ τοῦ ἐκλεκτοῦ μου, ἐγὼ καλέσω σε τῷ ὀνόματί σου καὶ προσδέξομαί σε. σὺ δὲ οὐκ ἔγνως με. ὅτι ἐγὼ κύριος ὁ θεός. καὶ οὐκ ἔστιν ἔτι πλὴν ἐμοῦ θεός. ἐνίσχυσά σε καὶ οὐκ ᾔδεις με ἵνα γνῶσιν οἱ ἀπ᾽ ἀνατολῶν ἡλίου καὶ οἱ ἀπὸ δυσμῶν, ὅτι οὐκ ἔστι θεὸς πλὴν ἐμοῦ. ἐγὼ κύριος ὁ θεός. καὶ οὐκ ἔστιν ἔτι. ἐγὼ ὁ κατασκευάσας φῶς καὶ ποιήσας σκότος. ὁ ποιῶν εἰρήνην καὶ κτίζων κακά. ἐγὼ ὁ θεὸς ὁ ποιῶν πάντα ταῦτα. Εὐφρανθήτω ὁ οὐρανὸς ἄνωθεν. καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. ἀνατειλάτω ἡ γῆ καὶ βλαστησάτω ἔλεος καὶ δικαιοσύνην. ἀνατειλάτω ἅμα. ἐγώ εἰμι κύριος ὁ κτίσας σε ποῖον βέλτιον κατεσκεύασα ὡς πηλὸν κεραμέως. μὴ ὁ ἀροτριῶν ἀροτριάσει τὴν γῆν ὅλην τὴν ἡμέραν, μὴ, ἐρεῖ ὁ πηλὸς τῷ κεραμεῖ. τί ποιεῖς ὅτι οὐκ ἐργάζῃ οὐδὲ ἔχεις χεῖρας. μὴ ἀποκριθήσεται τὸ πλάσμα πρὸς τὸν πλάσαντα αὐτό. ὁ λέγων τῷ πατρὶ τί γεννήσεις. καὶ τῇ μητρὶ τί ὠδίνεις. ὅτι οὕτω λέγει κύριος ὁ θεὸς ὁ ἅγιος ἰσραὴλ ὁ ποιήσας τὰ ἐπερχόμενα. ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι. ἐγὼ ἐποίησα τὴν γῆν καὶ ἄνθρωπον ἐπ᾽ αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν οὐρανόν. ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην. ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης βασιλέα. καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι. οὗτος οἰκοδομήσει τὴν πόλιν μου καὶ τὴν αἰχμαλω-

σίαν τοῦ λαοῦ μου, ἐπιστρέψει, οὐ μετὰ λύτρων οὐδὲ μετὰ δώρων εἶπε κύριος σαβαώθ. Οὕτω λέγει κύριος σαβαώθ· ἐκοπίασεν αἴγυπτος καὶ ἐμπορία αἰθιόπων καὶ οἱ σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται. καὶ σοὶ ἔσονται δοῦλοι. καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις· καὶ διαβήσονται πρὸς σὲ καὶ προσκυνήσουσί σοι. καὶ ἐν σοὶ προσεύξονται. ὅτι ἐν σοὶ ὁ θεός ἐστι· καὶ οὐκ ἔστι θεὸς πλήν σου. οὐ γὰρ εἶ θεὸς καὶ οὐκ ᾔδειμεν· ὁ θεὸς τοῦ ἰσραήλ· σωτὴρ αἰσχυνθήσονται ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ.

Ἐγκαινίζεσθε πρός με νῆσοι ἰσραὴλ σώζεται ὑπὸ κυρίου, σωτηρίαν αἰώνιον οὐκ αἰσχυνθήσονται· οὐ μὴ ἐντραπήσονται ἕως τοῦ αἰῶνος ἔτι, οὐκ ἔτι γὰρ οὐ μὴ ἐντραπῶσιν. εἰ καὶ διὰ τὴν πλάνην τῶν εἰδώλων ἐνετράπησαν πρότερον. ὅτι οὕτως λέγει κύριος ὁ ποιήσας τὸν οὐρανόν. οὗτος ὁ θεὸς ὁ καταδείξας τὴν γῆν καὶ ποιήσας αὐτήν. αὐτὸς διώρισεν αὐτὴν οὐκ εἰς κενὸν ἐποίησεν αὐτήν· ἀλλὰ κατοικεῖσθαι ἔπλασεν αὐτήν· ἐγώ εἰμι κύριος καὶ οὐκ ἔστιν ἔτι. οὐκ ἐν κρυφῇ λελάληκα οὐδὲ ἐν τόπῳ γῆς σκοτεινῷ· οὐκ εἶπα τῷ σπέρματι ἰακὼβ μάταιον ζητήσατε. ἐγώ εἰμι κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν· συνάχθητε καὶ ἥκετε, βουλεύσασθε ἅμα οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν· οὐκ ἔγνωσαν οἱ αἴροντες τὸ ξύλον· γλύμμα αὐτῶν, καὶ οἱ προσευχόμενοι πρὸς θεοὺς· οἳ, οὐ σώζουσιν· οἱ ἀναγγέλλουσιν ἐγγισάτωσαν, ἵνα γνῶσιν ἅμα τίς ἀκουστὰ ἐποίησε ταῦτα ἀπαρχῆς, τότε ἀνηγγέλη ἡμῖν οὐχὶ ἐγὼ κύριος ὁ θεός. καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ· δίκαιος καὶ σωτήρ, οὐκ ἔστι πάρεξ ἐμοῦ· ἐπιστράφητε ἐπ᾽ ἐμὲ καὶ σωθήσεσθε· οἱ ἐπ᾽ ἐσχάτου τῆς γῆς· ἐγώ εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἄλλος· κατ᾽ ἐμαυτοῦ ὀμνύω. εἰ μὴ ἐξελεύσεται ἐκ τοῦ στόματος δικαιοσύνη· οἱ λόγοι μου οὐκ ἀποστραφήσονται. ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ καὶ ὀμεῖται πᾶσα γλῶσσα τὸν θεὸν λέγων· δικαιοσύνη καὶ δόξα πρὸς αὐτὸν ἥξει· καὶ αἰσχυνθήσονται πάντες οἱ

ἀφορίζοντες αὐτοὺς ἀπὸ κυρίου. δικαιωθήσονται καὶ ἐν τῷ θεῷ
ἐνδοξασθήσεται πᾶν τὸ σπέρμα τῶν υἱῶν ἰσραήλ.

Κεφάλαιον. μς. 46.

Πέσε βήλ. συνετρίβη δαγὼν, ἐγένετο τὰ γλυπτὰ αὐ-
τῶν, εἰς θηρία. καὶ τὰ κτήνη. αἴρετε αὐτὰ καταδε-
δεμένα. ὡς φορτίον κοπιῶντι ἐκλελυμένῳ καὶ πει-
νῶντι. οὐκ ἰσχύοντι ἅμα. οἳ, οὐ δυνήσονται σωθῆναι ἀπὸ πολέμου,
αὐτοὶ δὲ αἰχμάλωτοι ἤχθησαν. Ἀκούσατέ μου οἶκος τοῦ ἰακώβ.
καὶ πᾶν τὸ κατάλοιπον τοῦ ἰσραήλ. οἱ αἰρόμενοι ἐκ κοιλίας καὶ
παιδευόμενοι ἐκ παιδίου ἕως γήρους, ἐγώ εἰμι καὶ ἕως ἂν κα-
ταγηράσητε, ἐγώ εἰμι ἐγὼ ἀνέχομαι ὑμῶν. ἐγὼ ἐποίησα καὶ
ἐγὼ ἀνήσω. ἐγὼ ἀναλήψομαι καὶ σώσω ὑμᾶς. τίνι με ὡμοιώ-
σατε; ἴδετε. τεχνάσασθε οἱ πλανώμενοι καὶ οἱ συμβαλλόμενοι
χρυσίον ἐκ μαρσιππίου, καὶ ἀργύριον ἐν ζυγῷ. στήσουσιν ἐν στα-
θμῷ καὶ μισθωσάμενοι χρυσίον ἐποίησαν χειροποίητα καὶ κύψαν-
τες προσκυνοῦσιν αὐτῷ, αἴρουσιν αὐτὸ ἐπὶ τῶν ὤμων καὶ πορεύονται.
ἐὰν δὲ θῶσιν αὐτὸ ἐπὶ τοῦ τόπου αὐτοῦ μένει. οὐ μὴ κινηθῇ. καὶ ὃς ἐὰν
βοήσῃ πρὸς αὐτὸν, οὐ μὴ εἰσακούσῃ. ἀπὸ κακῶν. οὐ μὴ σώσῃ αὐ-
τόν. μνήσθητε ταῦτα καὶ στενάξατε. μετανοήσατε οἱ πεπλανημέ-
νοι. ἐπιστρέψατε τῇ καρδίᾳ καὶ μνήσθητε τὰ πρότερα ἀπὸ τοῦ αἰ-
ῶνος. ὅτι ἐγώ εἰμι ὁ θεὸς, καὶ οὐκ ἔστιν ἄλλος πλὴν ἐμοῦ. ἀναγγέλ-
λων πρότερον τὰ ἔσχατα πρὶν αὐτὰ γενέσθαι. καὶ ἅμα συντε-
λέσθη. καὶ εἶπα, πᾶσα ἡ βουλή μου, στήσεται καὶ πάντα ὅσα βε-
βούλευμαι ποιήσω. καλῶν ἀπὸ ἀνατολῶν πετεινόν. καὶ ἀπὸ
γῆς πόρρωθεν περὶ ὧν βεβούλευμαι. ἐλάλησα καί γε ἤγαγον.
ἔκτισα καὶ ἐποίησα, ἤγαγον αὐτὸν, καὶ εὐώδωσα τὴν ὁδὸν αὐτοῦ.
ἀκούσατέ μου, οἱ ἀπολωλεκότες τὴν καρδίαν. οἱ μακρὰν ἀπὸ
τῆς δικαιοσύνης. ἤγγισα τὴν δικαιοσύνην μου οὐ μὴ μακρυν-
θῇ. καὶ τὴν σωτηρίαν τῶν παρ' ἐμοῦ οὐ βραδυνῶ. δέδωκα
ἐν σιὼν, σωτηρίαν τῷ ἰσραὴλ, εἰς δόξασμα.

Κεφάλαιον. μζ. 47.

Κατάβηθι κάθισον ἐπὶ τὴν γῆν παρθένος θύγατερ βα
κ βυλῶνος. κάθισον εἴσελθε εἰς τὴν γῆν, οὐκ ἔστι θρό-
νος θύγατερ χαλδαίων. ὅτι οὐκέτι προσθήσῃ κλη
θῆναι ἁπαλὴ καὶ τρυφερά. λάβε μύλον. ἄλεσον ἄλευρον ἀπο-
κάλυψε τὸ κατάλειμμά σου. ἀνάσυρε τὰς πολιάς. ἀποκάλυψε
τὰς κνήμας. διάβηθι ποταμούς. ἀνακαλυφθήσεται ἡ αἰσχύνη
σου. φανήσονται οἱ ὀνειδισμοί σου. τὸ δίκαιον ἐκ σοῦ λήψομαι.
οὐκέτι μὴ παραδῶ ἀνθρώποις. ὁ ῥυσάμενός σε κύριος σαββα
ὼθ, ὄνομα αὐτῷ ἅγιος ἰσραήλ, κάθισον κατανενυγμένη. εἴ-
σελθε εἰς τὸ σκότος θύγατερ χαλδαίων. οὐκέτι μὴ κληθήσῃ ἰ-
σχὺς βασιλείας. παρωξύνθην ἐπὶ τῷ λαῷ μου. ἐμίανα τὴν κληρο
νομίαν μου. ἐγὼ ἔδωκα αὐτοὺς εἰς τὴν χεῖρά σου, σὺ δὲ οὐκ ἔδω
κας αὐτοῖς ἔλεος τοῦ πρεσβυτέρου ἐβάρυνας τὸν ζυγὸν σφόδρα καὶ
εἶπας εἰς τὸν αἰῶνα ἔσομαι ἄρχουσα. οὐκ ἐνόησας ταῦτα ἐν τῇ
καρδίᾳ σου. οὐ δὲ ἐμνήσθης τὰ ἔσχατα. νῦν δὲ ἄκουε ταῦτα τρυ
φερά. ἡ καθημένη. ἡ πεποιθυῖα. ἡ λέγουσα ἐν καρδίᾳ αὐτῆς.
ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἑτέρα. οὐ καθίσω χήρα οὐ δὲ γνώσομαι ὀρ
φανίαν. νῦν δὲ ἥξει ἐπὶ σὲ. τὰ δύο ταῦτα ἐξαίφνης ἐν ἡμέρᾳ μιᾷ
ἀτεκνία καὶ χηρεία. ἥξει ἐξαίφνης ἐπὶ σὲ. ἐν τῇ φαρμακείᾳ σου,
ἐν τῇ ἰσχύϊ τῶν ἐπαοιδῶν σου σφόδρα τῇ ἐλπίδι τῆς πονηρίας
σου. καὶ σὺ εἶπας. ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἑτέρα. γνῶθι ὅτι ἡ σύνε
σις τούτων ἔσται, καὶ ἡ πορνεία σου, σοὶ αἰσχύνη. καὶ εἶπας τῇ καρ
δίᾳ σου. ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἑτέρα. καὶ ἥξει ἐπὶ σὲ ἀπώλεια καὶ οὐ
μὴ γνῷς. καὶ ἐμπέσῃ εἰς αὐτόν. καὶ ἥξει ἐπὶ σὲ ταλαιπωρία.
οὐ μὴ δυνήσῃ καθαρὰ γενέσθαι. καὶ ἥξει ἐπὶ σὲ ἐξαπίνης ἀπώλεια
καὶ οὐ μὴ γνώσῃ. στῆθι νῦν ἐν ταῖς ἐπαοιδαῖς σου, καὶ ἐν τῇ πο
λῇ φαρμακείᾳ σου ἃ ἐμάνθανες ἐκ νεότητός σου, εἰ δυνήσῃ
ὠφεληθῆναι. εἰ πῶς δυνήσῃ ἰσχῦσαι, κεκοπίακας ἐν ταῖς βου
λαῖς σου. στήτωσαν δὴ καὶ σωσάτωσάν σε οἱ ἀστρολόγοι τοῦ οὐρανοῦ

οἱ ὁρῶντες τοὺς ἀστέρας, ἀναγγειλάτωσάν σοι, τί μέλλει ἐπὶ σὲ ἔρ-
χεσθαι. ἰδοὺ πάντες, ὡς φρύγανα ἐπὶ πυρὶ κατακαυθήσονται,
καὶ οὐ μὴ ἐξέλωνται τὴν ψυχὴν αὐτῶν ἐκ φλογός. ὅτι ἔχεις ἄν-
θρακας πυρὸς, καυθήσεσαι ἐπ᾽ αὐτούς. οὗτοι ἔσονταί σοι βοήθεια.
ἐκοπίασας ἐν τῇ μεταβολῇ ἐκ νεότητος. ἄνθρωπος καθ᾽ ἑαυτὸν
ἐπλανήθη. σοὶ δὲ οὐκ ἔσται σωτηρία.

Κεφ. μη. 48.

Κούσατε ταῦτα οἶκος ἰακώβ. οἱ κεκλημένοι ἐπὶ τῷ
α ὀνόματι ἰσραήλ. καὶ ἐξ ὕδατος ἰούδα ἐξελθόντες. οἱ
ὀμνύοντες τῷ ὀνόματι κυρίου θεοῦ ἰσραήλ. μιμνη-
σκόμενοι οὐ μετὰ ἀληθείας οὐδὲ μετὰ δικαιοσύνης καὶ ἀντε-
χόμενοι τῷ ὀνόματι τῆς πόλεως τῆς ἁγίας. καὶ ἐπὶ τῷ θεῷ
ἰσραὴλ ἀντιστηριζόμενοι. κύριος σαββαὼθ ὄνομα αὐτῷ. τὰ πρό-
τερα ἔτι ἀνήγγειλα. καὶ ἐκ τοῦ στόματός μου ἐξῆλθε καὶ ἀκουστὸν
ἐγένετο. ἐξάπινα ἐποίησε καὶ ἀπῆλθεν. γινώσκω ὅτι σκληρὸς
εἶ, καὶ νεῦρον σιδηροῦν ὁ τράχηλός σου, καὶ τὸ μέτωπόν σου χαλ-
κοῦν. καὶ ἀνήγγειλά σοι πάλαι ἃ πρὶν ἐλθεῖν ἐπὶ σέ, ἀκουστόν σοι
ἐποίησα. μήποτε εἴπῃς ὅτι τὰ εἴδωλά μου ἐποίησε. καὶ εἴπῃς ὅτι
τὰ γλυπτὰ καὶ τὰ χωνευτὰ ἐνετείλατό μοι. ἠκούσατε πάντα
καὶ ὑμεῖς, οὐκ ἔγνωτε. ἀλλὰ καὶ νῦν ἀκουστά σοι ἐποίησα τὰ και-
νὰ ἀπὸ τοῦ νῦν. ἃ μέλλει γίνεσθαι, καὶ οὐκ εἶπας νῦν γίνεται, καὶ
οὐ πάλαι. καὶ οὐ προτέραις ἡμέραις καὶ ἤκουσας αὐτά. μὴ εἴ-
πῃς ναὶ γινώσκω αὐτά. οὔτε ἔγνως οὔτε ἠπίστω. οὔτε ἀπ᾽ ἀρχῆς
ἤνοιξά σου τὰ ὦτα. ἔγνων γὰρ ὅτι ἀθετῶν ἀθετήσεις, καὶ ἄνομος
ἔτι ἐκ κοιλίας κληθήσῃ. ἕνεκεν τοῦ ἐμοῦ ὀνόματος δείξω σοι τὸν
θυμόν μου. καὶ τὰ ἔνδοξά μου ἐπάξω ἐπὶ σέ, ἵνα μὴ ἐξολοθρεύ-
σω σε. ἰδοὺ πέπρακά σε. οὐχ ἕνεκεν ἀργυρίου. ἐξειλάμην δέ
σε ἐκ καμίνου πτωχείας. ἕνεκεν ἐμοῦ ποιήσω σοι. ὅτι τὸ ἐμὸν ὄνο-
μα βεβηλοῦται, καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. ἄκουέ μου
ἰακὼβ. καὶ ἰσραὴλ ὃν ἐγὼ καλῶ. ἐγώ εἰμι πρῶτος καὶ ἐγώ εἰμι

εἰς τὸν

εἰς τὸν αἰῶνα. καὶ ἡ χείρ μου, ἐθεμελίωσε γῆν καὶ ἡ δεξιά μου,
ἐστερέωσε τὸν οὐρανόν. καλέσω αὐτοὺς καὶ στήσονται ἅμα καὶ συ
ναχθήσονται πάντες καὶ ἀκούσονται. τίς αὐτοῖς ἀνήγγειλε ταῦ
τα; ἀγαπῶν σε ἐποίησα τὸ θέλημά σου. ἐπὶ βαβυλῶνα, τοῦ ἆραι
σπέρμα χαλδαίων. ἐγὼ ἐλάλησα. ἐγὼ ἐκάλεσα. ἤγαγον αὐ
τὸν καὶ εὐόδωσα τὴν ὁδὸν αὐτοῦ. προσαγάγετε πρός με, καὶ ἀ
κούσατε ταῦτα. οὐκ ἀπ' ἀρχῆς ἐν κρυφῇ λελάληκα. ἡνίκα ἐγέ
νετο, ἐκεῖ ἤμην. καὶ νῦν κύριος κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦ
μα αὐτοῦ. οὕτω λέγει κύριος ὁ ῥυσάμενός σε ὁ ἅγιος ἰσραήλ.
ἐγὼ κύριος ὁ θεός σου. δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν ἐν ᾗ
πορεύσῃ ἐν αὐτῇ. καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν
ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου. καὶ ἡ δικαιοσύνη σου, ὡς κῦμα θα
λάσσης. καὶ ἐγένετο ἂν ὡσεὶ ἄμμος τὸ σπέρμα σου. καὶ τὰ ἔκ
γονα τῆς κοιλίας σου, ὡς ὁ χοῦς τῆς γῆς. οὐδὲ νῦν οὐ μὴ ἐξολο
θρευθῇς οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιον ἐμοῦ. ἔξελθε ἐκ
βαβυλῶνος φεύγων ἀπὸ τῶν χαλδαίων. φωνὴν εὐφροσύνης ἀναγ
γείλατε. καὶ ἀκουστὸν γενέσθω τοῦτο. ἀπαγγείλατε ἕως ἐσχάτου
τῆς γῆς. λέγετε ἐρρύσατο κύριος τὸν δοῦλον αὐτοῦ ἰακώβ. καὶ
ἐὰν διψήσωσιν ἐν τῇ ἐρήμῳ ἄξει αὐτοὺς ὕδωρ ἐκ πέτρας ἐξά
ξει αὐτοῖς. σχισθήσεται πέτρα καὶ ῥυήσεται ὕδωρ. καὶ πίεται
ὁ λαός μου. οὐκ ἔστι χαίρειν. λέγει κύριος τοῖς ἀσεβέσιν.

Κεφάλαιον. μθ. 49.

α ἈΚούσατέ μου νῆσοι καὶ προσέχετε ἔθνη. διὰ χρό
νου πολλοῦ, στήσεται λέγει κύριος. ἐκ κοιλίας μη
τρός μου, ἐκάλεσε τὸ ὄνομά μου, καὶ ἔθηκε τὸ στόμα μου
ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ, ἔ
κρυψέ με, ἔθηκέ με ὡσεὶ βέλος ἐκλεκτόν, καὶ ἐν τῇ φαρέτρᾳ αὐ
τοῦ, ἔκρυψέ με, καὶ εἶπέ μοι, δοῦλός μου εἶ σύ ἰσραήλ. καὶ ἐν σοὶ
ἐνδοξασθήσομαι. καὶ ἐγὼ εἶπα κενῶς ἐκοπίασα. εἰς μάταιον.
καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου. διὰ τοῦτο ἡ κρίσις μου παρὰ κυ

ρίῳ καὶ ὁ πόνος μου, ἐναντίον τοῦ θεοῦ μου. καὶ νῦν οὕτω λέγει
κύριος. ὁ πλάσας με ἐκ κοιλίας δοῦλον ἑαυτῷ τοῦ συναγαγεῖν
τὸν ἰακὼβ πρὸς αὐτὸν καὶ ἰσραήλ. συναχθήσομαι καὶ δοξασθήσο-
μαι ἐναντίον κυρίου, καὶ ὁ θεός μου, ἔσται μοι ἰσχύς. καὶ εἶπέ μοι
μέγα σοι ἐστὶ τοῦ κληθῆναί σε παῖδά μου. τοῦ στῆσαι τὰς φυλὰς ἰα-
κώβ, καὶ τὴν διασπορὰν τοῦ ἰσραὴλ ἐπιστρέψαι. ἰδοὺ δέδωκά σε
εἰς διαθήκην γένους εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν, ἕ-
ως ἐσχάτου τῆς γῆς. οὕτως λέγει κύριος. ὁ ῥυσάμενός σε ὁ θε-
ὸς ἰσραὴλ ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ. τὸν βδε-
λυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων. βασι-
λεῖς ὄψονται αὐτὸν, καὶ ἀναστήσονται ἄρχοντες καὶ προσκυνή-
σουσιν αὐτῷ, ἕνεκεν κυρίου. ὅτι πιστός ἐστιν ὁ ἅγιος ἰσραήλ, καὶ
ἐξελεξάμην σε. οὕτως λέγει κ̃ς. καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ
ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. καὶ ἔπλασά σε καὶ ἔδωκά
σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆ-
σαι κληρονομίας ἐρήμους, λέγοντα. τοῖς ἐν δεσμοῖς ἐξέλθετε,
καὶ τοῖς ἐν τῷ σκότει καὶ ἀνακαλυφθῆναι. ἐν πάσαις ταῖς ὁ-
δοῖς βοσκηθήσονται. καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐ-
τῶν. οὐ πεινάσουσιν, οὐ δὲ διψήσουσιν, οὐ δὲ πατάξει αὐ-
τοὺς ὁ καύσων οὐ δὲ ὁ ἥλιος. ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέ-
σει. καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. καὶ θήσω πᾶν ὄρος
εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. ἰδοὺ οὗτοι
πόρρωθεν ἥξουσιν. οὗτοι ἀπὸ βορρᾶ καὶ θαλάσσης. ἄλλοι δὲ ἐκ
γῆς περσῶν. εὐφραίνεσθε οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. ῥηξά-
τωσαν τὰ ὄρη εὐφροσύνην καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέη-
σεν θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ πα-
ρεκάλεσεν. Εἶπε δὲ σιὼν ἐγκατέλιπέ με κύριος. καὶ ὁ κύ-
ριος ἀπελάθετό μου. μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐ-
τῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς; εἰ δὲ καὶ
ταῦτα ἐπιλάθοιτο γυνή, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, εἶπε κύ-

ος. ἰδοὺ ἐπὶ τῶν χειρῶν μου ἐζωγράφησά σου τὰ τείχη. καὶ ἐνώπιόν μου εἶ διαπαντός. καὶ ταχὺ οἰκοδομηθήσῃ ὑφ᾽ ὧν καθῃρέθης. καὶ οἱ ἐρημώσαντές σε, ἐξελεύσονται ἐκ σοῦ. ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε πάντας. ἰδοὺ συνήχθησαν καὶ ἦλθοσαν πρός σε. ζῶ ἐγὼ λέγει κύριος. ὅτι πάντας αὐτοὺς, ὡς κόσμον ἐνδύσῃ, καὶ περιθήσει αὐτοὺς, ὡς κόσμον νύμφη. ὅτι τὰ ἔρημά σου, καὶ τὰ κατεφθαρμένα καὶ τὰ καταπεπτωκότα. ὅτι νῦν στενοχωρήσει ἀπὸ τῶν κατοικούντων. καὶ μακρυνθήσονται ἀπὸ σοῦ οἱ καταπίνοντές σε, ἐροῦσι γὰρ εἰς τὰ ὦτά σου, οἱ υἱοί σου. οὓς ἀπολώλεκας. στενός μοι ὁ τόπος. ποίησόν μοι τόπον, ἵνα κατοικήσω. καὶ ἐρεῖς ἐν τῇ καρδίᾳ σου, τίς ἐγέννησέ μοι τούτους. ἐγὼ δὲ ἄτεκνος καὶ χήρα. πάροικος καὶ ἐγκεκλεισμένη. τούτους δὲ τίς ἐξέθρεψέ μοι. ἐγὼ δὲ κατελήφθην μόνη. οὗτοι δέ μοι ποῦ ἦσαν. οὕτως λέγει κύριος κύριος. ἰδοὺ αἴρω εἰς τὰ ἔθνη τὴν χεῖρά μου, καὶ εἰς τὰς νήσους ἀρῶ σύσσημόν μου. καὶ ἄξουσι τοὺς υἱούς σου ἐν κόλπῳ. τὰς δὲ θυγατέρας σου ἐπ᾽ ὤμων ἀροῦσι. καὶ ἔσονται βασιλεῖς τιθηνοί σου. αἱ δὲ ἄρχουσαι αὐτῶν τροφοί σου. ἐπὶ πρόσωπον τῆς γῆς προσκυνήσουσί σοι, καὶ τὸν χοῦν τῶν ποδῶν σου λείξουσι. καὶ γνώσῃ, ὅτι ἐγὼ κύριος ὁ θεὸς καὶ οὐκ αἰσχυνθήσονται οἱ ὑπομένοντές με. μὴ λήψεταί τις περὶ γίγαντος σκῦλα; καὶ ἐὰν αἰχμαλωτεύσῃ τις ἀδίκως σωθήσονται. ὅτι οὕτω λέγει κύριος. ὅτι ἐάν τις αἰχμαλωτίσῃ γίγαντα λήψεται σκῦλα. λαμβάνων δὲ παρὰ ἰσχύοντος σωθήσεται. ἐγὼ δὲ τὴν κρίσιν σου κρινῶ. καὶ ἐγὼ τοὺς υἱούς μου ῥύσομαι. καὶ φάγονται οἱ θλίψαντές σε τὰς σάρκας αὐτῶν. καὶ πίονται ὡς οἶνον νέον τὸ αἷμα αὐτῶν. καὶ μεθυσθήσονται πᾶσα σάρξ, ὅτι ἐγὼ κύριος ὁ ῥυσάμενός σε καὶ ἀντιλαμβανόμενος ἰσχύος ἰακώβ.

Κεφάλαιον ν. 50.

Υτως λέγει κύριος· ποῖον τοῦ βιβλίον, τοῦ ἀποστα-
σίου τῆς μητρὸς ὑμῶν ᾧ ἐξαπέστειλα αὐτήν· ἢ τίνι ὑπ-
χρέῳ τῶν πρασσόντων με ᾧ πέπρακα ὑμᾶς αὐτῷ. ἰ-
δοὺ ταῖς ἁμαρτίαις ὑμῶν ἐπράθητε. καὶ ταῖς ἀνομίαις ὑμῶν
ἐξαπέστειλα τὴν μητέρα ὑμῶν, ἐν σαρκὶ διότι ἦλθον, καὶ οὐκ
ἦν ἄνθρωπος. ἐκάλεσα καὶ οὐκ ἦν ὁ ὑπακούων. μή, οὐκ ἰσχύει ἡ
χείρ μου τοῦ ῥύσασθαι, ἢ οὐκ ἰσχύω τοῦ ἐξελέσθαι, ἰδοὺ τῷ ἐλεγ-
μῷ μου ἐξερημώσω τὴν θάλασσαν. καὶ θήσω ποταμοὺς ἐρήμους
καὶ ξηρανθήσονται, οἱ ἰχθύες αὐτῶν, ἀπὸ τοῦ μὴ εἶναι ὕδωρ.
καὶ ἀποθανοῦνται ἐν δίψει. ἐνδύσω τὸν οὐρανὸν σκότος. καὶ ὡς
σάκκον θήσω τὸ περιβόλαιον αὐτοῦ. κύριος κύριος δίδωσί
μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον. Ἔθη-
κέ με πρωῒ πρωῒ προσέθηκέ μοι ὠτίον τοῦ ἀκούειν, καὶ ἡ παι-
δεία κυρίου ἀνοίγει μου τὰ ὦτα. ἐγὼ δὲ οὐκ ἀπειθῶ. οὐδὲ
ἀντιλέγω. τὸν νῶτόν μου δέδωκα εἰς μάστιγας, τὰς δὲ σιαγό-
νας μου εἰς ῥαπίσματα. τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀ-
πὸ αἰσχύνης ἐμπτυσμάτων. καὶ κύριος κύριος βοηθός μοι ἐγε-
νήθη. διὰ τοῦτο οὐκ ἐνετράπην. ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς
στερεὰν πέτραν. καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δι-
καιώσας με. τίς ὁ κρινόμενός μοι ἀντιστήτω μοι ἅμα καὶ τίς ὁ
κρινόμενός μοι, ἐγγισάτω μοι, ἰδοὺ κύριος βοηθήσει μοι.
τίς κακώσει με. ἰδοὺ πάντες ὑμεῖς, ὡς ἱμάτιον παλαιωθή-
σεσθε, καὶ ὡς σὴς καταφάγεται ὑμᾶς. τίς ἐν ὑμῖν ὁ φοβού-
μενος τὸν κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ.
οἱ πορευόμενοι ἐν σκότει καὶ οὐκ ἔστιν αὐτοῖς φῶς. πεποίθα-
τε ἐπὶ τῷ ὀνόματι κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ θεῷ. ἰ-
δοὺ πάντες ὑμεῖς πῦρ καίετε καὶ κατισχύετε φλόγα. πορεύε-
σθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε. δι᾽
ἐμὲ ἐγένετο ταῦτα ὑμῖν. ἐν λύπῃ κοιμηθήσεσθε.

Κεφάλαιον. λ. 51.

Ἀκούσατέ μου οἱ διώκοντες τὸ δίκαιον, καὶ ζητοῦντες
α τὸν κύριον· ἐμβλέψατε εἰς τὴν στερεὰν πέτραν,
ἣν ἐλατομήσατε. καὶ εἰς τὸν βόθυνον τοῦ λάκκου ὃν
ὠρύξατε. ἐμβλέψατε εἰς ἀβραὰμ τὸν πατέρα ὑμῶν, καὶ εἰς
σάῤῥαν τὴν ὠδίνουσαν ὑμᾶς. ὅτι εἷς ἦν. καὶ ἐκάλεσα αὐτὸν
καὶ εὐλόγησα αὐτόν. καὶ ἠγάπησα αὐτὸν, καὶ ἐπλήθυνα αὐ-
τὸν, καὶ σὲ νῦν παρακαλέσω σιών. καὶ παρεκάλεσα πάντα
τὰ ἔρημα αὐτῆς. καὶ θήσω τὰ ἔρημα αὐτῆς, ὡς παράδεισον.
καὶ τὰς πρὸς δυσμὰς αὐτῆς, ὡς παράδεισον κυρίου. εὐφρο-
σύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ. ἐξομολόγησιν καὶ
φωνὴν αἰνέσεως. ἀκούσατέ μου. ἀκούσατέ μου. λαός μου, καὶ
οἱ βασιλεῖς πρός με ἐνωτίσασθε. ὅτι νόμος παρ᾽ ἐμοῦ ἐξελεύ-
σεται. καὶ ἡ κρίσις μου, εἰς φῶς ἐθνῶν. ἐγγίζει ταχὺ ἡ δικαιο-
σύνη μου. καὶ ἐξελεύσεται ὡς φῶς τὸ σωτήριόν μου. καὶ εἰς τὸν
βραχίονά μου ἔθνη ἐλπιοῦσιν. ἐμὲ νῆσοι ὑπομένουσι, καὶ
εἰς τὸν βραχίονά μου ἐλπιοῦσιν. ἐμὲ νῆσοι ὑπομένουσι. Ἄρα-
τε εἰς τὸν οὐρανὸν τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἐμβλέψατε εἰς τὴν
γῆν κάτω. ὅτι ὁ οὐρανὸς, ὡς καπνὸς ἐστερεώθη. ἡ δὲ γῆ, ὡς ἱ-
μάτιον παλαιωθήσεται. οἱ δὲ κατοικοῦντες ὥσπερ ταῦτα ἀ-
ποθανοῦνται. τὸ δὲ σωτήριόν μου εἰς τὸν αἰῶνα ἔσται. ἡ δὲ δικαιο-
σύνη μου οὐ μὴ ἐκλείπῃ. ἀκούσατέ μου, οἱ εἰδότες κρίσιν, λα-
ὸς οὗ ὁ νόμος μου, ἐν τῇ καρδίᾳ ὑμῶν. μὴ φοβεῖσθε ὀνειδι-
σμὸν ἀνθρώπων. καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε. ὥσ-
περ γὰρ ἱμάτιον βρωθήσεται ὑπὸ χρόνου. καὶ ὡς ἔριον βρωθήσε-
ται ὑπὸ σητός. ἡ δὲ δικαιοσύνη μου εἰς τὸν αἰῶνα ἔσται. τὸ δὲ
σωτήριόν μου εἰς γενεὰς γενεῶν. Ἐγείρου ἐξεγείρου ἱερουσα-
λήμ, καὶ ἔνδυσαι τὴν ἰσχὺν τοῦ βραχίονός σου. ἐξεγείρου ὡς ἐν
ἀρχῇ ἡμέρας. ὡς γενεὰ αἰῶνος. οὐ σὺ εἶ ἡ λατομήσασα πλά-
τος, διαῤῥήξασα δράκοντα, οὐ σὺ εἶ ἡ ἐρημοῦσα θάλασσαν.
ὕδωρ ἀβύσσου πλῆθος. ἡ θεῖσα τὰ βάθη τῆς θαλάσσης ὁδὸν

διαβάσεως ῥυομένοις καὶ λελυτρωμένοις. ὑπὸ γὰρ κυρίου ἀ-
ποστραφήσονται. καὶ ἥξουσιν εἰς σιὼν μετ' εὐφροσύνης. καὶ
ἀγαλλιάματος αἰωνίου. ἐπὶ κεφαλῆς γὰρ αὐτῶν, αἴνεσις καὶ
εὐφροσύνη καταλήψεται αὐτούς. ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στε-
ναγμός. ἐγώ εἰμι, ἐγώ εἰμι αὐτὸς ὁ παρακαλῶν σε, γνῶθι τίς
οὖσα. ἐφοβήθης ἀπὸ ἀνθρώπου θνητοῦ καὶ ἀπὸ υἱοῦ ἀνθρώπου.
οἳ ὡσεὶ χόρτος ἐξηράνθησαν, καὶ ἐπελάθου θεὸν τὸν ποιήσαν-
τά σε, τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ θεμελιώσαντα τὴν γῆν.
καὶ φοβοῦ ἀεὶ πάσας τὰς ἡμέρας, τὸ πρόσωπον τοῦ θυμοῦ τοῦ
θλίβοντός σε. ὃν τρόπον γὰρ ἐβουλεύσατο τοῦ ἆραί σε, καὶ
νῦν, ποῦ ὁ θυμὸς τοῦ θλίβοντός σε. ἐν γὰρ τῷ σώζεσθαί σε, οὐ
στήσεται οὐδὲ χρονιεῖ, καὶ θανατώσει εἰς διαφθορὰν καὶ οὐ μὴ
ὑστερήσῃ ἄρτος αὐτοῦ. ὅτι ἐγὼ ὁ θεός σου, ὁ ταράσσων τὴν
θάλασσαν καὶ ἠχῶν τὰ κύματα αὐτῆς. κύριος σαβαὼθ θή-
σω τοὺς λόγους μου, εἰς τὸ στόμα σου, καὶ ὑπὸ τὴν σκιὰν τῆς χει-
ρός μου σκεπάσω σε. ἐν ᾗ ἔστησα τὸν οὐρανὸν καὶ ἐθεμελίωσα
τὴν γῆν. καὶ ἐρεῖ σιών. κύριος εἶ σύ. ἐξεγείρου ἐξεγείρου. ἀνάστη-
θι ἱερουσαλήμ. ἡ πιοῦσα ἐκ χειρὸς κυρίου τὸ ποτήριον τοῦ θυμοῦ
αὐτοῦ. τὸ ποτήριον γὰρ τῆς πτώσεως τὸ κόνδυ τοῦ θυμοῦ ἐξέπιες,
καὶ ἐξεκένωσας. καὶ οὐκ ἦν ὁ παρακαλῶν σε ἀπὸ πάντων τῶν
τέκνων σου, ὧν ἔτεκες. καὶ οὐκ ἦν ὁ ἀντιλαμβανόμενος τῆς
χειρός σου. οὐδὲ ἀπὸ πάντων τῶν υἱῶν σου, ὧν ὕψωσας. διὸ
ταῦτα ἀντικείμενά σοι. τίς λυπηθήσεταί σοι. πτῶμα καὶ σύν-
τριμμα. λιμὸς, καὶ μάχαιρα. τίς παρακαλέσει σε; οἱ υἱοί σου
οἱ ἀπορούμενοι. οἱ καθεύδοντες ἐπ' ἄκρου πάσης ἐξόδου. ὡς
σευτλίον ἡμίεφθον. οἱ πλήρεις θυμοῦ κυρίου ἐκλελυμένοι διὰ
θυμοῦ κυρίου τοῦ θεοῦ. διὰ τοῦτο ἄκουε τεταπεινωμένη, καὶ μεθύ-
ουσα οὐκ ἀπὸ οἴνου. οὕτω λέγει κύριος ὁ θεὸς ὁ κρίνων τὸν λαὸν
αὐτοῦ. ἰδοὺ εἴληφα ἐκ τῆς χειρός σου τὸ ποτήριον τῆς πτώσεως
τὸ κόνδυ τοῦ θυμοῦ μου, καὶ οὐ προσθήσῃ ἔτι πιεῖν αὐτό, καὶ

δώσω αὐτὸ εἰς τὰς χεῖρας τῶν ἀδικησάντων σε, καὶ τῶν ταπει-
νωσάντων σε. οἳ εἶπαν τῇ ψυχῇ σου, κύψον. ἵνα παρέλθωμεν.
καὶ ἔθηκας ἴσα τῇ γῇ τὰ μέσα σου ἔξω τοῖς παραπορευομένοις.

Κεφάλ. νβ. 52.

Ἐξεγείρου ἐξεγείρου σιών. ἔνδυσαι τὴν ἰσχύν σου σι-
ε ών. καὶ σὺ ἔνδυσαι τὴν δόξαν σου ἱερουσαλὴμ πόλις
ἡ ἁγία. οὐκέτι προστεθήσεται διελθεῖν διὰ σοῦ, ἀπε-
ρίτμητος καὶ ἀκάθαρτος. ἐκτίναξαι τὸν χοῦν καὶ ἀνάστηθι. κάθι-
σον ἱερουσαλήμ. ἔκδυσαι τὸν δεσμὸν τοῦ τραχήλου σου, ἡ αἰχμά-
λωτος θυγάτηρ σιών. ὅτι τάδε λέγει κύριος δωρεὰν ἐπρά-
θητε, καὶ οὐ μετὰ ἀργυρίου λυτρωθήσεσθε. Ὅτι οὕτως λέγει
κύριος κύριος ὁ θεὸς, εἰς αἴγυπτον κατέβη ὁ λαός μου, τὸ πρό-
τερον. παροικῆσαι, ἐκεῖ καὶ εἰς ἀσσυρίους βίᾳ ἤχθησαν. καὶ νῦν
τί ἐστε ὧδε τάδε λέγει κύριος, ὅτι ἐλήφθη ὁ λαός μου δω-
ρεάν. θαυμάζετε καὶ ὀλολύζετε. τάδε λέγει κύριος. δι' ὑμᾶς δι-
απαντὸς τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι. διὰ τοῦτο γνώ-
σεται, ὁ λαός μου, τὸ ὄνομά μου. διὰ τοῦτο, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὅτι
ἐγώ εἰμι αὐτὸς ὁ λαλῶν. πάρειμι ὡς ὥρα ἐπὶ τῶν ὀρέων. ὡς πόδες
εὐαγγελιζομένου ἀκοὴν εἰρήνης. ὡς εὐαγγελιζόμενος ἀγαθά. ὅτι
ἀκουστὴν ποιήσω τὴν σωτηρίαν σου. λέγων σιὼν βασιλεύσει σου
ὁ θεός. ὅτι φωνὴ τῶν φυλασσόντων σε ὑψώθη. καὶ τῇ φωνῇ ἅ-
μα εὐφρανθήσονται. ὅτι ὀφθαλμοὶ πρὸς ὀφθαλμοὺς ὄψονται. ἡνίκα
ἂν ἐλεήσῃ κύριος τὴν σιών. ῥηξάτω εὐφροσύνην ἅμα τὰ ἔρημα
ἱλήμ. ὅτι ἠλέησε κύριος αὐτήν. καὶ ἐρρύσατο ἱλήμ. καὶ ἀποκα-
λύψει κύριος τὸν βραχίονα τὸν ἅγιον αὐτοῦ ἐνώπιον πάντων τῶν
ἐθνῶν. καὶ ὄψονται πάντα τὰ ἄκρα τῆς γῆς τὴν σωτηρίαν τὴν παρὰ
τοῦ θεοῦ ἡμῶν. ἀπόστητε ἀπόστητε ἐξέλθετε ἐκεῖθεν καὶ ἀκαθάρτου
μὴ ἅπτεσθε ἐξέλθετε. ἐκ μέσου αὐτῆς. ἀφορίσθητε οἱ φέροντες τὰ
σκεύη κυρίου ὅτι οὐ μετὰ ταραχῆς ἐξελεύσεσθε. οὐδὲ φυγῇ πορεύ-
εσθε. προπορεύσεται γὰρ πρότερος ὑμῶν κύριος ὁ καὶ ἐπισυνάγων ὑ-

μᾶς θεὸς ἰηλ. Ἰδοὺ συνήσει ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξα-
σθήσεται καὶ μετεωρισθήσεται σφόδρα. ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ
πολλοὶ οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου. καὶ ἡ δόξα
σου ἀπὸ τῶν ἀνθρώπων. οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ' αὐ-
τῷ καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν. ὅτι οἷς οὐκ ἀνηγγέλη
περὶ αὐτοῦ ὄψονται. καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι.

Κεφάλαιον. νγ. 53.

κ Υριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυ-
ρίου, τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν. ὡς παιδίον ἐναν-
τίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ, οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δό-
ξα. καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος. ἀλλὰ
τὸ εἶδος αὐτοῦ ἄτιμον, καὶ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν
ἀνθρώπων. ἄνθρωπος ἐν πληγῇ ὤν. καὶ εἰδὼς φέρειν μαλακίαν
ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ. ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη.
οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει. καὶ περὶ ἡμῶν ὀδυνᾶται. καὶ ἡ-
μεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ καὶ ἐν πληγῇ ὑπὸ θεοῦ,
καὶ ἐν κακώσει. αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν
καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν. παιδεία εἰρήνης ἡμῖν
ἐπ' αὐτόν. τῷ μώλωπι αὐτοῦ, ἡμεῖς ἰάθημεν πάντες. ὡς πρό-
βατα ἐπλανήθημεν. ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη. καὶ κύ-
ριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν. καὶ αὐτὸς διὰ τὸ
κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ὡς πρόβατον ἐπὶ σφα-
γὴν ἤχθη. καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος. οὕτως οὐκ
ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει, ἡ κρίσις αὐτοῦ ἤρθη.
τὴν γενεὰν αὐτοῦ, τίς διηγήσεται, ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ
αὐτοῦ, ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον. καὶ δώ-
σω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ. καὶ τοὺς πλουσίους ἀντὶ
τοῦ θανάτου αὐτοῦ. ὅτι ἀνομίαν οὐκ ἐποίησεν οὐδὲ δόλον ἐν τῷ
στόματι αὐτοῦ. καὶ κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς.
ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρό-

βίον, καὶ βούλεται κύριος ἐν χειρὶ αὐτοῦ ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς
ψυχῆς αὐτοῦ δεῖξαι αὐτῷ φῶς καὶ πλάσαι τῇ συνέσει. δικαιῶ-
σαι δίκαιον εὖ δουλεύοντα πολλοῖς. καὶ τὰς ἁμαρτίας αὐτῶν
αὐτὸς ἀνοίσει. διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς. καὶ τῶν ἰ-
σχυρῶν μεριεῖ σκῦλα. ἀνθ᾽ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐ-
τοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη. καὶ αὐτὸς ἁμαρτίας πολλῶν
ἀνήνεγκε. καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη.

Κεφάλαιον. νδ. 54.

ε Υφράνθητι στεῖρα ἡ οὐ τίκτουσα. ῥῆξον καὶ βόησον ἡ
οὐκ ὠδίνουσα. ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλ-
λον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. εἶπε γὰρ κύριος. πλάτυ-
νον τὸν τόπον τῆς σκηνῆς σου, καὶ τὰς δέρρεις τῶν αὐλέων σου πῆ-
ξον. μὴ φείσῃ, μάκρυνον τὰ σχοινίσματά σου, καὶ τοὺς πασσάλους
σου. κατίσχυσον ἔτι εἰς τὰ δεξιὰ καὶ τὰ ἀριστερὰ ἐκπέτασον. καὶ
τὸ σπέρμα σου ἔθνη κληρονομήσει. καὶ πόλεις ἠρημωμένας κατοι-
κιεῖς. μὴ φοβοῦ ὅτι κατῃσχύνθης. μηδὲ ἐντραπῇς ὅτι ὠνειδίσθης. ὅτι
αἰσχύνην αἰώνιον ἐπιλήσῃ. καὶ ὄνειδος τῆς χηρείας σου, οὐ μὴ μνη-
σθήσῃ ἔτι ὅτι κύριος ὁ ποιῶν σε. κύριος σαβαὼθ ὄνομα αὐτῷ.
καὶ ὁ ῥυσάμενός σε αὐτὸς θεὸς ἰσραὴλ, πάσῃ τῇ γῇ κληθήσε-
ται. οὐχ ὡς γυναῖκα καταλελειμμένην καὶ ὀλιγόψυχον κέκλη-
κέ σε ὁ κύριος. οὐδ᾽ ὡς γυναῖκα ἐκ νεότητος μεμισημένην εἶ-
πεν ὁ θεός. οὐ χρόνον μικρὸν κατέλιπόν σε, καὶ μετ᾽ ἐλέους με-
γάλου ἐλεήσω σε. ἐν θυμῷ μικρῷ ἀπέστρεψα τὸ πρόσωπόν μου
ἀπὸ σοῦ. καὶ ἐν ἐλέει αἰωνίῳ ἐλεήσω σε. εἶπεν ὁ ῥυσάμενός σε
κύριος, ἀπὸ τοῦ ὕδατος τοῦ ἐπὶ νῶε. τοῦτό μοι ἐστὶ καθότι ὤμοσα αὐ-
τῷ ἐν τῷ χρόνῳ ἐκείνῳ τῇ γῇ, μὴ θυμωθήσεσθαι ἐπὶ σοὶ ἔτι.
μηδὲ ἐν ἀπειλῇ σου τὰ ὄρη μεταστήσεσθαι. οὐδ᾽ οἱ βουνοί σου με-
τακινηθήσονται. οὕτως οὐδὲ τὸ παρ᾽ ἐμοῦ σοι ἔλεος ἐκλείψει. οὐδὲ
ἡ διαθήκη τῆς εἰρήνης μου, οὐ μὴ μεταστῇ. εἶπε γὰρ ἵλεώς σοι κύ-
ριος. ταπεινὴ καὶ ἀκατάστατος. οὐ παρεκλήθης. ἰδοὺ ἐγὼ ἑτοιμάζω

σοι ἄνθρακα τὸν λίθον σου. καὶ τὰ θεμέλιά σου σάπφειρον. καὶ
θήσω τὰς ἐπάλξεις σου ἴασπιν. καὶ τὰς πύλας σου, λίθους. κρυ-
στάλλους λίθους, καὶ τὸν περίβολόν σου λίθους ἐκλεκτούς. καὶ
πάντας τοὺς υἱούς σου διδακτοὺς θεοῦ, καὶ ἐν πολλῇ εἰρήνῃ τὰ τέ-
κνα σου. καὶ ἐν δικαιοσύνῃ οἰκοδομηθήσῃ ἀπέχουσα ἀπὸ ἀδί-
κου καὶ οὐ φοβηθήσῃ, καὶ τρόμος οὐκ ἐγγιεῖ σοι. ἰδοὺ προσήλυτοι
προσελεύσονταί σοι δι' ἐμοῦ, καὶ παροικήσουσί σοι. καὶ ἐπὶ σὲ κα-
ταφεύξονται. ἰδοὺ ἐγὼ ἔκτισά σε. οὐχ ὡς χαλκεὺς φυσῶν
ἐν πυρία ἄνθρακας καὶ ἐκφέρων σκεῦος εἰς ἔργον. ἐγὼ δὲ ἔκ-
τισά σε, οὐκ εἰς ἀπώλειαν φθεῖραι. πᾶν σκεῦος σκευαστὸν ἐπὶ
σὲ οὐκ εὐοδωθήσεται. καὶ πᾶσα φωνὴ ἀναστήσεται ἐπὶ σέ. εἰς
κρίσιν πάντας αὐτοὺς ἡττήσεις. οἱ δὲ ἔνοχοί σου ἔσονται ἐν αὐ-
τῇ. ἔστι κληρονομία τοῖς θεραπεύουσιν κυρίου. καὶ ὑμεῖς ἔσεσθέ
μοι δίκαιοι λέγει κύριος.

Κεφάλαιον. νε. 55.

Οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. καὶ ὅσοι μὴ ἔχε-
τε ἀργύριον, βαδίσαντες ἀγοράσατε. καὶ φάγετε
καὶ πορεύεσθε καὶ ἀγοράσατε, ἄνευ ἀργυρίου καὶ τι-
μῆς, οἶνον. καὶ στέαρ. ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις. καὶ
τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν. ἀκούσατέ μου. καὶ φάγε-
σθε ἀγαθά. καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. προσέχετε
τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθήσατε ταῖς ὁδοῖς μου, ἐπακού-
σατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. καὶ διαθή-
σομαι ὑμῖν διαθήκην αἰώνιον. τὰ ὅσια δαβὶδ τὰ πιστά. ἰδοὺ
μαρτύριον ἐν ἔθνεσιν ἔδωκα αὐτὸν ἄρχοντα καὶ προστάσσοντα
ἔθνεσι. ἰδοὺ ἔθνη ἃ οὐκ ᾔδεισάν σε, ἐπικαλέσονταί σε. καὶ
λαοὶ οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται. ἕνεκεν κυρίου
τοῦ θεοῦ σου τοῦ ἁγίου ἰσραήλ. ὅτι ἐδόξασέ σε. ζητήσατε τὸν κύ-
ριον καὶ ἐν τῷ εὑρίσκειν αὐτόν, ἐπικαλέσασθε. ἡνίκα δ' ἂν ἐγγίζῃ
ὑμῖν. ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ. καὶ ἀνὴρ ἄνομος τὰς

βουλὰς αὐτοῦ. καὶ ἐπιστραφήτω ἐπὶ κύριον καὶ ἐλεηθήσεται. καὶ πρὸς τὸν θεὸν ἡμῶν. ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. οὐ γάρ εἰσιν αἱ βουλαί μου ὥσπερ αἱ βουλαὶ ὑμῶν. οὐδ' ὥσπερ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου λέγει κύριος. ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν. καὶ τὰ διανοήματα ὑμῶν, ἀπὸ τῆς διανοίας μου. ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ. ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ. καὶ δῷ σπέρμα τῷ σπείροντι καὶ ἄρτον εἰς βρῶσιν, οὕτως ἔσται τὸ ῥῆμά μου. ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα. καὶ εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ ἐντάλματά μου. ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται προσδεχόμενοι ὑμᾶς, ἐν χαρᾷ. καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ, ἐπικροτήσει τοῖς κλάδοις. καὶ ἀντὶ τῆς στοιβῆς, ἀναβήσεται κυπάρισσος. ἀντὶ δὲ τῆς κονύζης, ἀναβήσεται μυρσίνη. καὶ ἔσται κύριος εἰς ὄνομα καὶ εἰς σημεῖον αἰώνιον. καὶ οὐκ ἐκλείψει.

Κεφάλαιον. νϛ. 56.

Αδε λέγει κύριος. φυλάσσεσθε κρίσιν. καὶ ποιήσα-
Τ τε δικαιοσύνην. ἤγγικε γὰρ τὸ σωτήριόν μου παρα-
γίνεσθαι. καὶ τὸ ἔλεός μου ἀποκαλυφθῆναι. μακάρι-
ος ἀνὴρ ὁ ποιῶν ταῦτα. καὶ ἄνθρωπος ὁ ἀντεχόμενος αὐτῶν
καὶ φυλάσσων τὰ σάββατα μὴ βεβηλοῦν. καὶ διατηρῶν τὰς χεῖ-
ρας αὐτοῦ μὴ ποιεῖν ἄδικα. Μὴ λεγέτω ὁ ἀλλογενὴς ὁ προσκεί-
μενος πρὸς κύριον λέγων. ἀφοριεῖ με ἄρα κύριος ἀ-
πὸ τοῦ λαοῦ αὐτοῦ. καὶ μὴ λεγέτω ὁ εὐνοῦχος, ὅτι ξύλον ἐγώ εἰμι
ξηρόν. τάδε λέγει κύριος τοῖς εὐνούχοις. ὅτι ἐὰν φυλάξωνται τὰ
σάββατά μου, καὶ ἐκλέξωνται ἃ ἐγὼ θέλω καὶ ἀντέχωνται
τῆς διαθήκης μου, δώσω αὐτοῖς ἐν τῷ οἴκῳ μου, καὶ ἐν τῷ
τείχει μου, τόπον ὀνομαστὸν, κρείττω υἱῶν, καὶ θυγατέρων.

ὄνομα αἰώνιον δώσω αὐτοῖς καὶ οὐκ ἐκλείψει, καὶ τοῖς ἐκλεκτοῖς
ἀλλογενέσι τοῖς προσκειμένοις κυρίῳ δουλεύειν αὐτῷ· καὶ ἀγα-
πᾶν τὸ ὄνομα κυρίου τοῦ θεοῦ αὐτῷ εἰς δούλους καὶ δούλας καὶ
πάντας τοὺς φυλασσομένους τὰ σάββατά μου, μὴ βεβηλοῦν· καὶ
ἀντεχομένους τῆς διαθήκης μου· εἰσάξω αὐτοὺς εἰς τὸ ὄρος τὸ ἅγι-
όν μου· καὶ εὐφρανῶ αὐτοὺς ἐν τῷ οἴκῳ τῆς προσευχῆς μου· τὰ
ὁλοκαυτώματα αὐτῶν· καὶ αἱ θυσίαι αὐτῶν, ἔσονται δεκταὶ ἐπὶ
τὸ θυσιαστήριόν μου· ὁ γὰρ οἶκός μου, οἶκος προσευχῆς κληθήσε-
ται πᾶσι τοῖς ἔθνεσιν, εἶπε κύριος· ὁ συνάγων τοὺς διεσπαρμέ-
νους ἰσραήλ, ὅτι συνάξω ἐπ' αὐτὴν συναγωγήν· πάντα τὰ θηρία
τὰ ἄγρια· δεῦτε φάγετε πάντα τὰ θηρία τοῦ δρυμοῦ· Ἴδετε ὅτι
ἐκτετύφλωνται πάντες· οὐκ ἔγνωσαν ἴδετε πάντες κύνες ἐνεοί·
οὐ δυνήσονται ὑλακτεῖν ἐνυπνιαζόμενοι· κοίτην φιλοῦντες νυστά-
ξαι καὶ οἱ κύνες ἀναιδεῖς τῇ ψυχῇ οὐκ εἰδότες πλησμονήν·
καὶ εἰσὶ πονηροὶ οὐκ εἰδότες σύνεσιν· πάντες ταῖς ὁδοῖς αὐ-
τῶν ἐξηκολούθησαν· ἕκαστος κατὰ τὸ ἑαυτοῦ πλεονέκτημα ἀπ' ἄ-
κρου αὐτῶν· δεῦτε λάβωμεν οἶνον καὶ οἰνοφλυγήσωμεν μέθην·
καὶ ἔσται τοιαύτη ἡμέρα αὔριον μεγάλη περισσέ.

Κεφάλαιον. νζ. 57.

Σφόδρα ἴδετε ὡς ὁ δίκαιος ἀπώλετο· καὶ οὐδεὶς
α ἀνὴρ ἐκδέχεται τῇ καρδίᾳ· καὶ ἄνδρες δίκαιοι αἴ-
ρονται, καὶ οὐδεὶς κατανοεῖ· ἀπὸ γὰρ προσώπου ἀ-
δικίας, ἦρται ὁ δίκαιος· ἔσται ἐν εἰρήνῃ, ἡ ταφὴ αὐτοῦ, ἦρται ἐκ
τοῦ μέσου. Ὑμεῖς δὲ προσαγάγετε ὧδε· υἱοὶ ἄνομοι σπέρμα
μοιχῶν καὶ πόρνης ἐν τίνι ἐνετρυφήσατε· καὶ ἐπὶ τίνα ἠνοίξα-
τε τὸ στόμα ὑμῶν καὶ ἐπὶ τίνα ἐχαλάσατε τὴν γλῶσσαν ὑμῶν·
οὐχ ὑμεῖς ἐστὲ τέκνα ἀπωλείας; σπέρμα ἄνομον· οἱ παρακαλοῦν-
τες ἐπὶ τὰ εἴδωλα ὑπὸ δένδρα δασέα σφάζοντες τὰ τέκνα
αὐτῶν ἐν ταῖς φάραγξιν· ἀνὰ μέσον τῶν πετρῶν· ἐκείνη σου ἡ με-
ρίς· οὗτός σου ὁ κλῆρος· κἀκείνοις ἐξέχεας σπονδάς· καὶ τούτοις

ἀνήνεγκας θυσίας. ἐπὶ τούτοις οὖν οὐκ ὀργισθήσομαι. λέγει κύριος. ἐπ' ὄρος ὑψηλὸν καὶ μετέωρον. ἐκεῖ σου ἡ κοίτη καὶ ἐκεῖ ἀνεβίβασας θυσίας σου, καὶ ὀπίσω τῶν σταθμῶν τῆς θύρας σου ἔθηκας. μνημόσυνα. ᾤου. ὅτι ἐὰν ἀπ' ἐμοῦ ἀποστῇς ἀπ' ἐμοῦ πλεῖόν τι ἕξεις. ἠγάπησας τοὺς κοιμωμένους μετὰ σοῦ καὶ ἐπλήθυνας τὴν πορνείαν σου μετ' αὐτῶν. καὶ πολλοὺς ἐποίησας τοὺς μακρὰν ἀπὸ σοῦ. καὶ ἀπέστειλας πρέσβεις ὑπὲρ τὰ ὅριά σου καὶ ἐπέστρεψας καὶ ἐταπεινώθης ἕως ᾅδου. ταῖς πολυοδίαις σου ἐκοπίασας. καὶ οὐκ εἶπας παύσομαι ἐνισχύουσα, ὅτι ἔπραξας ταῦτα. διὰ τοῦτο οὐ κατεδεήθης μου. σὺ τίνα εὐλαβηθεῖσα ἐφοβήθης καὶ ἐψεύσω με. καὶ οὐκ ἐμνήσθης μου. οὐδὲ ἔλαβές με εἰς τὴν διάνοιαν οὐδὲ εἰς τὴν καρδίαν σου. καὶ ἐγώ σε ἰδὼν παρορῶ. καὶ ἐμὲ οὐκ ἐφοβήθης. καὶ ἐγὼ ἀπαγγελῶ τὴν δικαιοσύνην σου, καὶ τὰ κακά σου, ἃ οὐκ ὠφελήσουσί σε. ὅταν ἀναβοήσῃς, ἐξελέσθωσάν σε ἐν τῇ θλίψει σου. τούτους γὰρ πάντας, ἄνεμος λήψεται καὶ ἀποίσει καταιγίς. οἱ δὲ ἀντεχόμενοί μου κτήσονται γῆν, καὶ κληρονομήσουσι τὸ ὄρος τὸ ἅγιόν μου. καὶ ἐροῦσι καθαρίσατε ἀπὸ προσώπου αὐτοῦ ὁδούς. καὶ ἄρατε σκῶλα ἀπὸ τῆς ὁδοῦ τοῦ λαοῦ μου. τάδε λέγει ὁ ὕψιστος ἐν ὑψηλοῖς κατοικῶν τὸν αἰῶνα ἅγιος ἐν ἁγίοις ὄνομα αὐτῷ κύριος ὕψιστος ἐν ἁγίοις ἀναπαυόμενος καὶ ὀλιγοψύχοις διδοὺς μακροθυμίαν καὶ διδοὺς ζωὴν τοῖς συντετριμμένοις τὴν καρδίαν. οὐκ εἰς τὸν αἰῶνα ἐκδικήσω ὑμᾶς. οὐδὲ διαπαντὸς ὀργισθήσομαι ὑμῖν. πνεῦμα γὰρ παρ' ἐμοῦ ἐξελεύσεται. καὶ πνοὴν πᾶσαν ἐγὼ ἐποίησα. δι' ἁμαρτίαν βραχύ τι ἐλύπησα αὐτόν. καὶ ἐπάταξα αὐτόν. καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτοῦ, καὶ ἐλυπήθη. καὶ ἐπορεύθη στυγνὸς, ἐν ταῖς ὁδοῖς αὐτοῦ, τὰς ὁδοὺς αὐτοῦ ἑώρακα. καὶ ἰασάμην αὐτὸν καὶ παρεκάλεσα αὐτόν. καὶ ἔδωκα αὐτῷ παράκλησιν ἀληθινήν. εἰρήνην ἐπ' εἰρήνῃ τοῖς μακρὰν καὶ τοῖς ἐγγὺς οὖσι. καὶ εἶπε κύριος ἰάσομαι αὐτούς. οἱ δὲ ἄδικοι οὕτως κλυδωνισθήσονται. καὶ ἀνα-

ἀναπαύσασθαι οὐ δυνήσονται. οὐκ ἔστι χαίρειν τοῖς ἀσεβέσιν, εἶπεν
ὁ θεός.

## Κεφάλαιον. νη. 58.

Ἀναβόησον ἐν ἰσχύϊ καὶ μὴ φείσῃ· ὡς σάλπιγγα ὕψω-
α σον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου, τὰ ἁ-
μαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ ἰακὼβ τὰς ἀνομίας
αὐτῶν. ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσι, καὶ γνῶναί μου, τὰς ὁδοὺς ἐ-
πιθυμοῦσιν. ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν θεοῦ αὐ-
τοῦ, μὴ ἐγκαταλελοιπώς. αἰτοῦσί με νῦν κρίσιν δικαίαν. καὶ ἐγγί-
ζειν θεῷ ἐπιθυμοῦσι. λέγοντες ὅτι ἐνηστεύσαμεν. καὶ οὐκ εἶδες. ἐτα-
πεινώσαμεν τὰς ψυχὰς ἡμῶν. καὶ οὐκ ἔγνως. ἐν γὰρ ταῖς ἡμέραις
τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν καὶ πάντας τοὺς ὑ-
ποχειρίους ὑμῶν ὑπονύσσετε εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ
τύπτετε πυγμαῖς ταπεινόν, ἵνα τί μοι νηστεύετε. ὡς σήμερον ἀκου-
σθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν. οὐ ταύτην τὴν νηστείαν ἐγὼ
ἐξελεξάμην. καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ. οὐ
δ᾽ ἂν κάμψῃς, ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σπον-
δὸν ὑποστρώσῃς, οὐδ᾽ οὕτω καλέσετε νηστείαν δεκτήν. οὐχὶ τοι-
αύτην νηστείαν ἐξελεξάμην λέγει κύριος. ἀλλὰ λῦε πάντα σύν-
δεσμον ἀδικίας. διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων
ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδι-
κον διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου. καὶ πτωχοὺς ἀστέγους
εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνόν, περίβαλε. καὶ ἀπὸ τῶν
οἰκείων τοῦ σπέρματός σου, οὐχ ὑπερόψει. τότε ῥαγήσεται πρώϊ-
μον τὸ φῶς σου. καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ. καὶ προπορεύ-
σεται. ἔμπροσθέν σου, ἡ δικαιοσύνη σου. καὶ ἡ δόξα τοῦ θεοῦ περι-
στελεῖ σε. τότε βοήσῃ, καὶ ὁ θεὸς εἰσακούσεταί σου. ἔτι λαλοῦντός
σου ἐρεῖ, ἰδοὺ πάρειμι. ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χει-
ροτονίαν. καὶ ῥῆμα γογγυσμοῦ. καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυ-
χῆς σου. καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ
ἐν τῷ σκότει τὸ φῶς σου, καὶ τὸ σκότος σου, ὡς μεσημβρία. καὶ

ἔσται ὁ θεός σου μετὰ σοῦ διαπαντός. καὶ ἐμπλησθήσῃ καθάπερ
ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ τὰ ὀστᾶ σου πιανθήσεται. καὶ ἔσται ὡς
κῆπος μεθύων. καὶ ὡς πηγὴ ἣν μὴ ἐξέλιπεν ὕδωρ καὶ τὰ ὀστᾶ σου
ὡς βοτάνη ἀνατελεῖ. καὶ πιανθήσεται καὶ κληρονομήσουσι γε-
νεὰς γενεῶν. καὶ οἰκοδομηθήσονταί σου, αἱ ἔρημοι αἰώνιοι. καὶ
ἔσται τὰ θεμέλιά σου αἰώνια γενεαῖς γενεῶν. καὶ κληθήσῃ οἰκο-
δόμος φραγμῶν. καὶ τοὺς τρίβους σου τοὺς ἀνὰ μέσον παύσεις.
ἐὰν ἀποστρέψῃς τὸν πόδα σου ἀπὸ τῶν σαββάτων τοῦ μὴ ποιεῖν
τὰ θελήματά σου, ἐν τῇ ἡμέρᾳ τῇ ἁγίᾳ. καὶ καλέσεις τὰ σάβ-
βατα τρυφερά, ἅγια τῷ θεῷ σου. οὐκ ἀρεῖς τὸν πόδα σου ἐπ᾽ ἔργῳ
οὐδὲ λαλήσεις λόγον ἐν ὀργῇ ἐκ τοῦ στόματός σου. καὶ ἔσῃ πε-
ποιθὼς ἐπὶ κύριον. καὶ ἀναβιβάσει σε ἐπὶ τὰ ἀγαθὰ τῆς γῆς.
καὶ ψωμιεῖ σε τὴν κληρονομίαν ἰακὼβ τοῦ πατρός σου. τὸ γὰρ στό-
μα κυρίου, ἐλάλησε ταῦτα.

Κεφ. νθ. 59.

Ἡ οὐκ ἰσχύει ἡ χεὶρ κυρίου τοῦ σῶσαι; ἢ ἐβάρυνε τὸ
οὖς αὐτοῦ. τοῦ μὴ εἰσακοῦσαι; ἀλλὰ τὰ ἁμαρτήματα
ὑμῶν διιστῶσιν, ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον
τοῦ θεοῦ. καὶ διὰ τὰς ἁμαρτίας ὑμῶν, ἀπέστρεψε τὸ πρόσω-
πον ἀφ᾽ ὑμῶν τοῦ μὴ ἐλεῆσαι. αἱ γὰρ χεῖρες ὑμῶν μεμολυ-
σμέναι αἵματι. καὶ οἱ δάκτυλοι ὑμῶν, ἐν ἁμαρτίαις. τὰ δὲ
χείλη ὑμῶν, ἐλάλησεν ἀνομίαν. καὶ ἡ γλῶσσα ὑμῶν ἀδι-
κίαν μελετᾷ. οὐθεὶς λαλεῖ δίκαια, οὐδὲ ἔστι κρίσις ἀληθινή.
πεποίθασιν ἐπὶ ματαίοις καὶ λαλοῦσι κενά. ὅτι κύουσι πό-
νον καὶ τίκτουσιν ἀνομίαν. ᾠὰ ἀσπίδων ἔρρηξαν καὶ ἱστὸν ἀ-
ράχνης ὑφαίνουσιν. καὶ ὁ μέλλων τῶν ᾠῶν αὐτῶν φαγεῖν.
συντρίψας οὔριον εὗρε καὶ ἐν αὐτῷ βασιλίσκον. ὁ ἱστὸς αὐτῶν, οὐκ
ἔσται ὡς ἱμάτιον, οὐδὲ μὴ περιβάλλωνται ἀπὸ τῶν ἔργων αὐτῶν. τὰ γὰρ
ἔργα αὐτῶν, ἔργα ἀνομίας. οἱ δὲ πόδες αὐτῶν ἐπὶ πονηρί-
αν τρέχουσι ταχινοὶ ἐκχέαι αἷμα καὶ οἱ διαλογισμοὶ αὐτῶν.

διαλογισμοὶ ἀπὸ φόνων· σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν. καὶ ὁδὸν εἰρήνης οὐκ οἴδασι, καὶ οὐκ ἔστι κρίσις ἐν ταῖς ὁδοῖς αὐτῶν. αἱ γὰρ τρίβοι αὐτῶν διεστραμμέναι. ἃς διοδεύουσι καὶ οὐκ οἴδασιν εἰρήνην. διὰ τοῦτο ἀπέστη ἡ κρίσις ἀπ' αὐτῶν καὶ οὐ μὴ καταλάβῃ αὐτοὺς δικαιοσύνη. ὑπομεινάντων αὐτῶν φῶς ἐγένετο αὐτοῖς σκότος. μείναντες αὐγὴν, ἐν ἀωρίᾳ περιεπάτησαν. ψηλαφήσουσιν ὡς τυφλοὶ τοῖχον. καὶ ὡς οὐχ ὑπαρχόντων ὀφθαλμῶν ψηλαφήσουσι. καὶ πεσοῦνται ἐν μεσημβρίᾳ, ὡς ἐν μεσονυκτίῳ, ὡς ἀποθνήσκοντες, στενάξουσιν, ὡς ἄρκος καὶ ὡς περιστερὰ ἅμα πορεύσονται. Ἀνεμείναμεν κρίσιν καὶ οὐκ ἔστι σωτηρία. μακρὰν ἀφέστηκεν ἀφ' ἡμῶν. πολλὴ γὰρ ἡμῶν ἡ ἀνομία ἐναντίον σου. καὶ αἱ ἁμαρτίαι ἡμῶν ἀντέστησαν ἡμῖν. αἱ γὰρ ἀνομίαι ἡμῶν ἐν ἡμῖν. καὶ τὰ ἀδικήματα ἡμῶν ἔγνωμεν. ἠσεβήσαμεν καὶ ἐψευσάμεθα καὶ ἀπέστημεν ἀπὸ ὄπισθεν τοῦ θεοῦ ἡμῶν. ἐλαλήσαμεν ἄδικα καὶ ἠπειθήσαμεν. ἐκύομεν καὶ ἐμελετήσαμεν ἀπὸ καρδίας ἡμῶν λόγους ἀδίκους. καὶ ἀπεστήσαμεν ὀπίσω τὴν κρίσιν, καὶ ἡ δικαιοσύνη μακρὰν ἀφέστηκεν. ὅτι κατηναλώθη ἐν ταῖς ὁδοῖς αὐτῶν ἡ ἀλήθεια. καὶ δι' εὐθείας, οὐκ ἐδύναντο διελθεῖν. καὶ ἡ ἀλήθεια ἦρται. καὶ μετέστησαν τὴν διάνοιαν αὐτῶν τοῦ συνιέναι. καὶ εἶδε κύριος καὶ οὐκ ἤρεσεν αὐτῷ. ὅτι οὐκ ἦν κρίσις. καὶ εἶδε καὶ οὐκ ἦν ἀνήρ. καὶ κατενόησε καὶ οὐκ ἦν ὁ ἀντιληψόμενος. καὶ ἠμύνατο αὐτοὺς τῷ βραχίονι αὐτοῦ. καὶ τῇ ἐλεημοσύνῃ ἐστηρίσατο. καὶ ἐνεδύσατο δικαιοσύνην, ὡς θώρακα, καὶ περιέθετο περικεφαλαίαν σωτηρίου ἐπὶ τῆς κεφαλῆς. καὶ περιεβάλετο ἱμάτιον ἐκδικήσεως. καὶ τὸ περιβόλαιον αὐτοῦ, ὡς ἀνταποδώσων, ἀνταπόδοσιν ὄνειδος τοῖς ὑπεναντίοις. καὶ φοβηθήσονται οἱ ἀπὸ δυσμῶν τὸ ὄνομα κυρίου. καὶ οἱ ἀπ' ἀνατολῶν ἡλίου τὸ ὄνομα τὸ ἔνδοξον. ἥξει γὰρ ὡς ποταμὸς βίαιος ἡ ὀργὴ παρὰ κυρίου, ἥξει μετὰ θυμοῦ. καὶ ἥξει ἕνεκεν σιὼν ὁ ῥυόμενος. καὶ ἀποστρέ-

ψει ἀσεβείας

ψει ἀσεβείας ἀπὸ ἰακώβ. καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθή
κη εἶπε κύριος. τὸ πνεῦμα τὸ ἐμὸν, ὅ ἐστιν ἐπὶ σοὶ, καὶ τὰ ῥήμα
τα ἃ ἔδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου.
καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου. εἶπε γὰρ κύριος ἀπὸ
τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.

Κεφάλαιον. ξ. 60.

Φωτίζου φωτίζου ἱερουσαλήμ. ἥκει γάρ σου τὸ φῶς,
φ καὶ ἡ δόξα κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. ἰδοὺ σκότος
καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη. ἐπὶ δὲ σὲ φανήσε
ται κύριος. καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. καὶ πορεύσον
ται βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου, ἆ
ρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου
ἥκασι πάντες οἱ υἱοί σου μακρόθεν. καὶ αἱ θυγατέρες σου ἐπ' ὤ
μων ἀρθήσονται, τότε ὄψῃ καὶ φοβηθήσῃ καὶ ἐκστήσῃ τῇ καρδίᾳ,
ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης. καὶ ἐθνῶν καὶ λαῶν. καὶ
ἥξουσί σοι ἀγέλαι καμήλων. καὶ καλύψουσί σε, κάμηλοι μαδι
ὰμ καὶ γηφάρ. πάντες ἐκ σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ
λίβανον. οἴσουσι, καὶ λίθον τίμιον καὶ τὸ σωτήριον κυρίου εὐαγγε
λιοῦνται, καὶ πάντα τὰ πρόβατα κηδὰρ συναχθήσονταί σοι. καὶ
κριοὶ ναβαιώθ. ἥξουσί σοι. καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσια
στήριόν μου. καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται. τίνες δὲ
οἵδε, ὡς νεφέλαι πέτανται. καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς. ἐμὲ
αἱ νῆσοι ὑπέμειναν, καὶ πλοῖα θαρσεῖς ἐν πρώτοις ἀγαγεῖν τὰ τέ
κνα σου μακρόθεν. καὶ τὸν ἄργυρον καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐ
τῶν. καὶ διὰ τὸ ὄνομα κυρίου τὸ ἅγιον. καὶ διὰ τὸ τὸν ἅγιον τοῦ
ἰσραὴλ ἔνδοξον εἶναι. καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη
σου. καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι. διὰ γὰρ ὀργήν μου
ἐπάταξά σε. καὶ διὰ ἔλεον ἠγάπησά σε. καὶ ἀνοιχθήσονται
αἱ πύλαι σου διαπαντὸς ἡμέρας καὶ νυκτός. οὐ κλεισθήσονται εἰ
σαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν. καὶ βασιλεῖς. αὐτῶν ἀγομένους

τὰ γὰρ ἔθνη καὶ οἱ βασιλεῖς οἵτινες οὐ δουλεύσουσί σοι ἀπο-
λοῦνται· καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. καὶ ἡ δόξα τοῦ λιβάνου
πρὸς σὲ ἥξει ἐν κυπαρίσσῳ καὶ πεύκῃ, καὶ κέδρῳ ἅμα δοξά-
σαι τὸν τόπον τὸν ἅγιόν μου. καὶ πορεύσονται πρὸς σὲ δεδοι-
κότες υἱοὶ ταπεινωσάντων σε καὶ παροξυνάντων σε. καὶ κλη-
θήσῃ πόλις σιὼν ἁγίου ἰσραήλ, διὰ τὸ γεγενῆσθαί σε ἐγκατα-
λελειμμένην καὶ μεμισημένην· καὶ οὐκ ἦν ὁ βοηθῶν. καὶ θήσω
σε ἀγαλλίαμα αἰώνιον εὐφροσύνης γενεαῖς γενεῶν, καὶ θηλά-
σεις γάλα ἐθνῶν καὶ πλοῦτον βασιλέων φάγεσαι. καὶ γνώσῃ ὅτι
ἐγὼ κύριος ὁ σώζων σε, καὶ ἐξαιρούμενός σε θεὸς ἰσραήλ. καὶ ἀν-
τὶ χαλκοῦ, οἴσω σοι χρυσίον· ἀντὶ δὲ σιδήρου, οἴσω σοι ἀργύ-
ριον· ἀντὶ δὲ ξύλων, οἴσω σοι χαλκόν· ἀντὶ δὲ λίθων, σίδηρον.
καὶ δώσω τοὺς ἄρχοντάς σου, ἐν εἰρήνῃ· καὶ τοὺς ἐπισκόπους
σου ἐν δικαιοσύνῃ, καὶ οὐκ ἀκουσθήσεται ἔτι ἀδικία ἐν τῇ γῇ
σου. οὐδὲ σύντριμμα οὐδὲ ταλαιπωρία ἐν τοῖς ὁρίοις σου. ἀλ-
λὰ κληθήσεται σωτήριον τὰ τείχη σου. καὶ αἱ πύλαι σου γλύμμα.
καὶ οὐκ ἔσται σοι ἔτι ὁ ἥλιος, εἰς φῶς ἡμέρας. οὐδὲ ἀνατολὴ σε-
λήνης φωτιεῖ σου τὴν νύκτα. ἀλλ᾽ ἔσται σοι κύριος φῶς αἰώνιον καὶ
ὁ θεὸς δόξα σου. οὐ γὰρ δύσεται ὁ ἥλιός σοι καὶ ἡ σελήνη σου,
οὐκ ἐκλείψει. ἔσται γὰρ σοι κύριος φῶς αἰώνιον καὶ ἀναπληρωθήσον-
ται αἱ ἡμέραι τοῦ πένθους σου. καὶ ὁ λαός σου πᾶς δίκαιος καὶ δι᾽
αἰῶνος, κληρονομήσουσι τὴν γῆν. φυλάσσων τὸ φύτευμα ἔργα
χειρῶν αὐτοῦ εἰς δόξαν. ὁ ὀλιγοστὸς ἔσται εἰς χιλιάδας. καὶ ὁ ἐλά-
χιστος εἰς ἔθνος μέγα. ἐγὼ κύριος κατὰ καιρὸν συνάξω αὐτούς.

Κεφάλαιον ξα. 61.

Νεῦμα κυρίου ἐπ᾽ ἐμὲ οὗ εἵνεκεν ἔχρισέ με. εὐαγ-
F γελίσασθαι πτωχοῖς ἀπέσταλκέ με. ἰάσασθαι τοὺς συν-
τετριμμένους τὴν καρδίαν. κηρύξαι αἰχμαλώτοις ἄ-
φεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. καλέσαι ἐνιαυτὸν κυρίου δε-
κτόν. καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς

πενθοῦντας δοθῆναι τοῖς πενθοῦσι σιών· αὐτοῖς δόξαν· ἀντὶ σπο-
δοῦ, ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι καταστολὴν δόξης ἀν-
τὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης·
φύτευμα κυρίου εἰς δόξαν· καὶ οἰκοδομήσουσιν ἐρήμους αἰω-
νίας ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι· καὶ καινιοῦσι πό-
λεις ἐρήμους· ἐξηρημωμένας εἰς γενεάς καὶ ἥξουσιν ἀλλογενεῖς
ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες· καὶ ἀμ-
πελουργοί. ὑμεῖς δὲ ἱερεῖς κυρίου κληθήσεσθε λειτουργοί· θεοῦ
ἡμῶν ῥηθήσεται ὑμῖν, ἰσχὺν ἐθνῶν κατέδεσθε· καὶ ἐν τῷ πλούτῳ
αὐτῶν θαυμασθήσεσθε· οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν
γῆν, καὶ εὐφροσύνη αἰώνιος, ὑπὲρ κεφαλῆς αὐτῶν· ἐγὼ γάρ εἰμι
κύριος ὁ ἀγαπῶν δικαιοσύνην· καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας·
καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις· καὶ διαθήκην αἰώνιον δια-
θήσομαι αὐτοῖς· καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν
καὶ τὰ ἔκγονα αὐτῶν· ἐν μέσῳ τῶν λαῶν· πᾶς ὁ ὁρῶν ἑαυτοὺς
ἐπιγνώσεται αὐτούς· ὅτι οὗτοι εἰσὶ σπέρμα εὐλογημένον ὑπὸ
θεοῦ· καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ κύριον. Ἀγαλλιά-
σθω ἡ ψυχή μου ἐπὶ τῷ κυρίῳ· ἐνέδυσε γάρ με ἱμάτιον σω-
τηρίου, καὶ χιτῶνα εὐφροσύνης· ὡς νυμφίῳ περιέθηκέ μοι μί-
τραν, καὶ ὡς νύμφην κατεκόσμησέ με κόσμῳ· καὶ ὡς γῆν αὔξου-
σαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ· οὕτως ἀνα-
τελεῖ κύριος κύριος δικαιοσύνην· καὶ ἀγαλλίαμα ἐναντίον πάν-
των τῶν ἐθνῶν.

Κεφ. ξβ. 62.

Διὰ σιὼν οὐ σιωπήσομαι· καὶ διὰ ἱερουσαλὴμ, οὐκ
ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου· τὸ
δὲ σωτήριόν μου, ὡς λαμπὰς καυθήσεται· καὶ ὄ-
ψονται ἔθνη, τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου,
καὶ καλέσει σε τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ κύριος ὀνομάσει
αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ κυρίου, καὶ διάδημα βα-
σιλείας ἐν χειρὶ θεοῦ σου· καὶ οὐκέτι κληθήσῃ, καταλελειμμένη·

καὶ ἡ γῆ σου, οὐ κληθήσεται ἔτι ἔρημος. σοὶ γὰρ κληθήσεται
θέλημα ἐμόν. καὶ ἡ γῆ σου οἰκουμένη. ὅτι εὐδοκήσει κύριος ἐν
σοί. καὶ ἡ γῆ σου, συνοικηθήσεται. καὶ ὡς συνοικῶν νεανίσκος
παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου μετά σου. καὶ ἔσται ὃν
τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται
κύριος ἐπὶ σοί. καὶ ἐπὶ τῶν τειχέων σου ἱερουσαλὴμ, κατέστησα φύλα-
κας. ὅλην τὴν ἡμέραν, καὶ ὅλην τὴν νύκτα. οἱ διὰ τέλους οὐ
σιωπήσονται μιμνησκόμενοι κυρίου. οὐκ ἔστι γὰρ ὑμῖν ὅμοιος.
ἐὰν διορθώσῃ ἱερουσαλὴμ καὶ ποιήσῃ γαυρίαμα ἐπὶ τῆς γῆς. ὤμο-
σε κύριος κατὰ τῆς δεξιᾶς αὐτοῦ, καὶ κατὰ τῆς ἰσχύος τοῦ βρα-
χίονος αὐτοῦ. καὶ εἰ ἔτι δώσω τὸν σῖτόν σου, καὶ τὰ βρώματά σου,
τοῖς ἐχθροῖς σου. καὶ εἰ ἔτι πίονται υἱοὶ ἀλλότριοι τὸν οἶνόν σου.
ἐφ' ᾧ ἐμόχθησας. ἀλλ' ἢ οἱ συναγαγόντες, φάγονται αὐτὰ καὶ
αἰνέσουσιν τὸν κύριον. καὶ οἱ συναγαγόντες πίονται αὐτὰ ἐν
ταῖς ἐπαύλεσι ταῖς ἁγίαις μου. πορεύεσθε διὰ τῶν πυλῶν μου,
καὶ ὁδοποιήσατε τῷ λαῷ μου, καὶ τοὺς λίθους τοὺς ἐκ τῆς ὁ-
δοῦ διαρρίψατε. ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. ἰδοὺ γὰρ κύ-
ριος ἐποίησεν ἀκουστὸν, ἕως ἐσχάτου τῆς γῆς. εἴπατε τῇ θυγα-
τρὶ σιών. ἰδοὺ ὁ σωτήρ σοι παραγίνεται ἔχων τὸν ἑαυτοῦ μι-
σθὸν, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. καὶ καλέσει αὐ-
τὸν λαὸν ἅγιον λελυτρωμένον ὑπὸ κυρίου. σὺ δὲ κληθήσῃ ἐπιζη-
τουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη.

## Κεφάλαιον. ξγ. 63.

Τίς οὗτος ὁ παραγενόμενος ἐξ ἐδώμ. ἐρύθημα ἱμα-
τίων ἐκ βοσόρ. οὗτος ὡραῖος ἐν στολῇ βίᾳ μετὰ ἰσχύ-
ος, ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτη-
ρίου. διὰ τί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀ-
πὸ πατητοῦ ληνοῦ πλήρους, καταπεπατημένης. καὶ τῶν ἐθνῶν
οὐκ ἔστιν ἀνὴρ μετ' ἐμοῦ. καὶ κατεπάτησα αὐτοὺς ἐν θυμῷ μου.
καὶ κατέθλασα αὐτοὺς, ὡς γῆν, καὶ κατήγαγον αὐτοὺς, τὸ αἷμα

αὐτῶν εἰς γῆν. ἡμέρα γὰρ ἀνταποδώσεως ἐπῆλθεν αὐτοῖς, καὶ
ἐνιαυτὸς λυτρώσεως πάρεστι, καὶ ἐπέβλεψα καὶ οὐκ ἦν βοηθός. καὶ
προσενόησα, καὶ οὐθεὶς ἀντελαμβάνετο. καὶ ἐῤῥύσατο αὐτοὺς ὁ βρα
χίων μου, καὶ ὁ θυμός μου ἐπέστη. καὶ κατεπάτησα αὐτοὺς τῇ ὀρ
γῇ μου. καὶ κατήγαγον τὸ αἷμα αὐτῶν εἰς γῆν. τὸν ἔλεον κυρίου ἐμνήσθην
τὰς ἀρετὰς κυρίου, ἐν πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσι. κύριος κριτὴς
ἀγαθὸς τῷ οἴκῳ ἰσραήλ. ἐπάγει ἡμῖν κατὰ τὸ ἔλεος αὐτοῦ. καὶ κατὰ
τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. καὶ εἶπεν οὐχ ὁ λαός μου τέκνα, οὐ
μὴ ἀθετήσωσι. καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν, ἐκ πάσης θλί
ψεως αὐτῶν, οὐ πρέσβυς, οὐδὲ ἄγγελος. ἀλλ' αὐτὸς ὁ κύριος
ἔσωσεν αὐτούς. διὰ τὸ ἀγαπᾶν αὐτοὺς καὶ φείδεσθαι αὐτῶν, αὐτὸς ἐ
λύτρωσεν αὐτούς. καὶ ἀνέλαβεν αὐτοὺς. καὶ ὕψωσεν αὐτοὺς πάσας
τὰς ἡμέρας τοῦ αἰῶνος. αὐτοὶ δὲ ἠπείθησαν. καὶ παρώξυναν τὸ πνεῦ
μα τὸ ἅγιον αὐτοῦ. καὶ ἐστράφη αὐτοῖς κύριος εἰς ἔχθραν. καὶ αὐ
τὸς ἐπολέμησεν αὐτούς. καὶ ἐμνήσθη ἡμερῶν αἰωνίων ὁ ἀναβιβά
σας ἐκ τῆς γῆς τὸν ποιμένα τῶν προβάτων. ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς
τὸ πνεῦμα τὸ ἅγιον. ὁ ἀγαγὼν τῇ δεξιᾷ μωϋσῆν. ὁ βραχίων
τῆς δόξης αὐτοῦ. οὕτως ἤγαγε τὸν λαόν σου, κατίσχυσεν ὕδωρ
ἀπὸ προσώπου αὐτοῦ ποιῆσαι αὐτῷ ὄνομα αἰώνιον. ἤγαγεν αὐ
τοὺς διὰ τῆς ἀβύσσου. ὡς ἵππον δι' ἐρήμου καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς
κτήνη διὰ πεδίου, κατέβη πνεῦμα παρὰ κυρίου, καὶ ὡδήγησεν
αὐτούς. οὕτως ἤγαγες τὸν λαόν σου τοῦ ποιῆσαι σεαυτῷ ὄνομα
δόξης. ἐπίστρεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ ἁγίου σου καὶ
δόξης σου. ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου. ποῦ ἐστι τὸ πλῆ
θος τοῦ ἐλέους σου, καὶ οἱ οἰκτιρμοί σου, ὅτι ἀνέσχου ἡμῶν. σὺ
γὰρ εἶ πατὴρ ἡμῶν. ὅτι ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς καὶ ἰσραὴλ οὐκ ἔγνω
ἡμᾶς. ἀλλὰ σὺ κύριε πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς. ἀπ' ἀρχῆς τὸ ὄνο
μά σου ἐφ' ἡμᾶς ἐστι. τί ἐπλάνησας ἡμᾶς κύριε, ἀπὸ τῆς ὁδοῦ σου
ἐσκλήρωσας τὰς καρδίας ἡμῶν τοῦ μὴ φοβεῖσθαί σε. ἐπίστρε
ψον διὰ τοὺς δούλους σου διὰ τὰς φυλὰς τῆς κληρονομίας σου.

ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. οἱ ὑπεναν-
τίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. ἐγενόμεθα ὡς
τὸ ἀπ᾽ ἀρχῆς ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά
σου ἐφ᾽ ἡμᾶς.

## Κεφάλαιον. ξδ. 64.

Ἂν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄ-
ξ ρη. καὶ τακήσονται, ὡς κηρὸς ἀπὸ προσώπου πυ-
ρὸς τήκεται. καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους
καὶ φανερὸν ἔσται τὸ ὄνομα κυρίου, ἐν τοῖς ὑπεναντίοις. ἀπὸ προ-
σώπου σου, ἔθνη ταραχθήσονται. ὅταν ποιῇς τὰ ἔνδοξα. τρό-
μος λήψεται ἀπὸ σοῦ ὄρη. ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν. οὐ-
δὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον θεὸν πλήν σου καὶ τὰ ἔργα σου ἃ ποι-
ήσεις τοῖς ὑπομένουσιν ἔλεον. συναντήσεται γὰρ τοῖς ποιοῦ-
σι τοῖς ὑπομένουσι τὸ δίκαιον καὶ τῶν ὁδῶν σου μνησθήσονται.
ἰδοὺ σὺ ὠργίσθης, καὶ ἡμεῖς ἡμάρτομεν, διὰ τοῦτο ἐπλανήθημεν καὶ
ἐγενήθημεν, ὡς ἀκάθαρτοι πάντες ἡμεῖς. ὡς ῥάκος ἀποκαθη-
μένης πᾶσα ἡ δικαιοσύνη ἡμῶν. καὶ ἐξεῤῥύημεν ὡς φύλλα διὰ
τὰς ἀνομίας ἡμῶν. οὕτως ἄνεμος οἴσει ἡμᾶς. καὶ οὐκ ἔστιν ὁ ἐπι-
καλούμενος τὸ ὄνομά σου, καὶ ὁ μνησθεὶς ἀντιλαβέσθαι σου. ὅτι
ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν καὶ παρέδωκας ἡμᾶς,
διὰ τὰς ἁμαρτίας ἡμῶν. καὶ νῦν κύριος πατὴρ ἡμῶν σύ. ἡμεῖς
δὲ πηλός. ἔργα τῶν χειρῶν σου πάντες, μὴ ὀργίζου ἡμῖν σφό-
δρα. καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. καὶ νῦν ἐπίβλε-
ψον κύριε. ὅτι λαός σου πάντες ἡμεῖς. πόλις τοῦ ἁγίου σου ἐγε-
νήθη ἔρημος σιών. ὡς ἔρημος ἐγενήθη ἱερουσαλήμ. εἰς κατά-
ραν ὁ οἶκος τὸ ἅγιον ἡμῶν. καὶ ἡ δόξα ἣν εὐλόγησαν οἱ πατέ-
ρες ἡμῶν ἐγενήθη πυρίκαυστος. καὶ πάντα τὰ ἔνδοξα ἡμῶν συ-
νέπεσε. καὶ ἐπὶ πᾶσιν τούτοις ἀνέσχου κύριε, καὶ ἐσιώπησας
καὶ ἐταπείνωσας ἡμᾶς σφόδρα.

## Κεφάλαιον. ξε. 65.

Μφανὴς ἐγενήθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, εὑρέθην τοῖς
ε ἐμὲ μὴ ἐπερωτῶσιν. εἶπα ἰδού εἰμι, τῷ ἔθνει. οἳ οὐκ ἐκάλεσάν μου τὸ ὄνομα, ἐξεπέτασα τὰς χεῖράς μου, ὅλην τὴν ἡμέραν πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα, οἳ οὐκ ἐπορεύθησαν ὁδῷ ἀληθινῇ. ἀλλ' ὀπίσω τῶν ἁμαρτιῶν αὐτῶν. ὁ λαὸς οὗτος ὁ παροξύνων με, ἐναντίον ἐμοῦ διαπαντός. αὐτοὶ θυσιάζουσιν ἐν τοῖς κήποις καὶ θυμιῶσιν ἐπὶ ταῖς πλίνθοις τοῖς δαιμονίοις. ἃ οὐκ ἔστιν, καὶ ἐν τοῖς μνήμασι, καὶ ἐν τοῖς σπηλαίοις. κοιμῶνται διὰ ἐνύπνια. οἱ ἔσθοντες κρέατα ὕεια, καὶ ζωμὸν θυσιῶν. μεμολυσμένα πάντα τὰ σκεύη αὐτῶν. οἱ λέγοντες πόρρω ἀπ' ἐμοῦ, μὴ ἐγγίσῃς μοι ὅτι καθαρός εἰμι. οὗτος καπνὸς τοῦ θυμοῦ μου. πῦρ καίεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας. ἰδοὺ γέγραπται ἐνώπιόν μου. οὐ σιωπήσω ἕως ἂν ἀποδώσω εἰς τὸν κόλπον αὐτῶν, τὰς ἁμαρτίας αὐτῶν. καὶ τῶν πατέρων αὐτῶν λέγει κύριος. οἳ ἐθυμίασαν ἐπὶ τῶν ὀρέων. καὶ ἐπὶ τῶν βουνῶν ὠνείδισάν με. ἀποδώσω τὰ ἔργα αὐτῶν εἰς τὸν κόλπον αὐτῶν. οὕτως λέγει κύριος. ὃν τρόπον εὑρεθήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ. καὶ ἐροῦσι μὴ λυμήνῃ αὐτόν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ, οὕτως ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι. τούτου ἕνεκεν, οὐ μὴ ἀπολέσω πάντας. καὶ ἐξάξω τὸ ἐξ ἰακὼβ σπέρμα καὶ τὸ ἐξ ἰούδα. καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου. καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου. καὶ οἱ δοῦλοί μου. καὶ κατοικήσουσιν ἐκεῖ. καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων. καὶ φάραγξ ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου. οἳ ἐζήτησάν με. ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου, καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν. καὶ πληροῦντες τῇ τύχῃ κέρασμα. ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν. πάντες ἐν σφαγῇ πεσεῖσθε. ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε. ἐλάλησα καὶ παρηκούσατε καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ. καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξασθε. διὰ τοῦτο τάδε λέγει κύριος. ἰδοὺ

οἱ δουλεύοντές μοι φάγονται. ὑμεῖς δὲ πεινάσετε. ἰδοὺ οἱ δουλεύοντές μοι πίωνται. ὑμεῖς δὲ διψήσετε. ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ. ὑμεῖς δὲ κεκράξεσθε, διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν καὶ ἀπὸ συντριβῆς πνεύματος ὑμῶν, ὀλολύξετε. καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν. εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου. ὑμᾶς δὲ ἀνελεῖ κύριος. τοῖς δὲ δουλεύουσί μοι, κληθήσεται ὄνομα καινόν. ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς. εὐλογήσουσι γὰρ θεὸν τὸν ἀληθινόν. καὶ οἱ ὀμνύοντες ἐπὶ τῆς γῆς, ὀμοῦνται τὸν θεὸν τὸν ἀληθινόν. ἐπιλήσονται γὰρ τὴν θλίψιν αὐτῶν τὴν πρώτην, καὶ οὐκ ἀναβήσεται αὐτῶν ἐπὶ τὴν καρδίαν. ἔσται γὰρ ὁ οὐρανὸς καινὸς, καὶ ἡ γῆ καινή, καὶ οὐ μὴ μνησθῶσι τῶν προτέρων οὐδ᾽ οὐ μὴ ἐπέλθῃ αὐτῶν ἐπὶ τὴν καρδίαν, ἀλλ᾽ εὐφροσύνην καὶ ἀγαλλίαμα εὑρήσουσιν ἐν αὐτῇ. ὅτι ἰδοὺ ἐγὼ ποιῶ ἀγαλλίαμα ἱερουσαλὴμ. καὶ τὸν λαόν μου εὐφροσύνην. καὶ ἀγαλλιάσομαι ἐπὶ ἱερουσαλὴμ, καὶ εὐφρανθήσομαι ἐπὶ τῷ λαῷ μου. καὶ οὐκέτι μὴ ἀκουσθῇ ἐν αὐτῇ φωνὴ κλαυθμοῦ. οὐδὲ φωνὴ κραυγῆς. οὐδὲ μὴ γένηται ἔτι ἐκεῖ ἄωρος καὶ πρεσβύτης. ὃς οὐκ ἐμπλήσει τὸν χρόνον αὐτοῦ, ἔσται γὰρ ὁ νέος ἑκατὸν ἐτῶν. ὁ δὲ ἀποθνήσκων ἁμαρτωλὸς ἑκατὸν ἐτῶν. καὶ ἐπικατάρατος ἔσται. καὶ οἰκοδομήσουσιν οἰκίας καὶ αὐτοὶ ἐνοικήσουσι. καὶ καταφυτεύσουσιν ἀμπελῶνας. καὶ αὐτοὶ φάγονται τὰ γεννήματα αὐτῶν. καὶ τὸν οἶνον πίονται. καὶ οὐ μὴ οἰκοδομήσουσι καὶ ἄλλοι ἐνοικήσουσι. καὶ οὐ μὴ φυτεύσουσι καὶ ἄλλοι φάγονται. κατὰ γὰρ τὰς ἡμέρας τοῦ ξύλου τῆς ζωῆς ἔσονται αἱ ἡμέραι λαοῦ μου. τὰ γὰρ ἔργα τῶν πόνων αὐτῶν παλαιώσουσιν οἱ δὲ ἐκλεκτοί μου οὐ κοπιάσουσιν εἰς κενόν. οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν. ὅτι σπέρμα εὐλογημένον ὑπὸ θεοῦ ἐστι. καὶ τὰ ἔκγονα αὐτῶν μετ᾽ αὐτῶν ἔσονται. καὶ ἔσται πρὶν ἢ κεκράξαι αὐτοὺς, ἐγὼ ὑπακούσομαι αὐτῶν. ἔτι λαλούντων αὐτῶν, ἐρῶ, τί ἐστι. τότε λύκοι καὶ

ἄρνες συμβοσκηθήσονται ἅμα· καὶ λέων ὡς βοῦς φάγεται ἄχυρα· ὄφις δὲ γῆν ὡς ἄρτον· οὐκ ἀδικήσουσιν οὐδὲ μὴ λυμανοῦνται ἐπὶ τῷ ὄρει τῷ ἁγίῳ μου λέγει κύριος.

Κεφάλαιον. ξς. 66.

Οὕτως λέγει κύριος. ὁ οὐρανός μοι θρόνος, καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ μοι, καὶ ποῖος τόπος τῆς καταπαύσεώς μου. πάντα γὰρ ταῦτα ἐποίησεν ἡ χείρ μου καὶ ἔστιν ἐμὰ πάντα ταῦτα λέγει κύριος. Καὶ ἐπὶ τίνα ἐπιβλέψω, ἀλλ᾽ ἢ ἐπὶ τὸν ταπεινὸν καὶ ἡσύχιον καὶ τρέμοντα τοὺς λόγους μου. ὁ δὲ ἄνομος ὁ θύων μοι μόσχον ὁ τύπτων ἄνδρα καὶ ὁ θυσιάζων ἐκ ποιμνίου ὡς ὁ ἀποκτείνων κύνα. ὁ δὲ ἀναφέρων σεμίδαλιν ὡς αἷμα ὕειον. ὁ διδοὺς λίβανον εἰς μνημόσυνον ὡς βλάσφημος. καὶ αὐτοὶ ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε. καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν. καὶ τὰς ἁμαρτίας αὐτῶν ἀνταποδώσω αὐτοῖς. ὅτι ἐκάλεσα αὐτοὺς καὶ οὐχ ὑπήκουσάν μου. ἐλάλησα καὶ οὐκ ἤκουσαν, καὶ ἐποίησαν τὸ πονηρὸν ἐναντίον ἐμοῦ. καὶ ἃ οὐκ ἐβουλόμην ἐξελέξαντο. ἀκούσατε ῥήματα κυρίου οἱ τρέμοντες τὸν λόγον αὐτοῦ. εἴπατε ἀδελφοὶ ἡμῶν τοῖς μισοῦσιν ὑμᾶς καὶ βδελυσσομένοις. ἵνα τὸ ὄνομα κυρίου δοξασθῇ, καὶ ὀφθῇ ἐν τῇ εὐφροσύνῃ αὐτῶν καὶ ἐκεῖνοι αἰσχυνθήσονται φωνὴ κραυγῆς ἐκ πόλεως. φωνὴ ἐκ ναοῦ. φωνὴ κυρίου ἀνταποδιδόντος ἀνταπόδοσιν τοῖς ἀντικειμένοις. πρὶν τὴν ὠδίνουσαν τεκεῖν, πρὶν ἐλθεῖν τὸν πόνον τῶν ὠδίνων, ἐξέφυγε καὶ ἔτεκεν ἄρσεν. τίς ἤκουσε τοιοῦτον καὶ τίς ἑώρακεν οὕτως; εἰ ὤδινε γῆ ἐν ἡμέρᾳ μιᾷ, ἢ καὶ ἐτέχθη ἔθνος εἰς ἅπαξ. ὅτι ὤδινε καὶ ἔτεκε σιών, τὰ παιδία αὐτῆς. ἐγὼ δὲ ἔδωκα τὴν προσδοκίαν ταύτην καὶ οὐκ ἐμνήσθη μου, εἶπε κύριος. καὶ ἰδοὺ ἐγὼ γεννῶσαν καὶ στεῖραν ἐποίησα. εἶπεν μοι, ὁ θεός σου, εὐφράνθητι ἱερουσαλήμ. καὶ πανηγυρίσατε

ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες αὐτήν. καὶ οἱ κατοικοῦντες αὐ
τὴν χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ᾽ αὐτῇ.
ἵνα θηλάσητε καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐ-
τῆς. ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐ-
τῆς. ὅτι τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ καινῶ εἰς αὐτοὺς ὡς πο-
ταμὸς εἰρήνης καὶ ὡς χείμαρρους ἐπικλύζων δόξαν ἐθνῶν.
τὰ παιδία αὐτῶν, ἐπ᾽ ὤμων ἀρθήσονται. καὶ ἐπὶ γονάτων πα-
ρακληθήσονται. ὡς εἴ τινα μήτηρ παρακαλέσῃ. οὕτω κἀγὼ πα-
ρακαλέσω ὑμᾶς. καὶ ἐν ἱερουσαλὴμ παρακληθήσεσθε. καὶ ὄ-
ψεσθε καὶ χαρήσεται ἡ καρδία ὑμῶν. καὶ τὰ ὀστᾶ ὑμῶν, ὡς
βοτάνη ἀνατελεῖ. καὶ γνωσθήσεται ἡ χεὶρ κυρίου τοῖς φοβουμέ-
νοις αὐτόν. καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν, ἰδοὺ γὰρ κύριος ὡς
πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ ἀποδοῦναι ἐν θυ-
μῷ ἐκδίκησιν. καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός.
ἐν γὰρ τῷ πυρὶ κυρίου κριθήσεται πᾶσα ἡ γῆ. καὶ ἐν τῇ ῥομ-
φαίᾳ αὐτοῦ, πᾶσα σάρξ. πολλοὶ τραυματίαι ἔσονται ὑπὸ κυ-
ρίου. ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους καὶ ἐν
τοῖς προθύροις ἔσθοντες κρέας ὕειον. καὶ τὰ βδελύγματα καὶ
τὸν μῦν. ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται εἶπε κύριος. κἀγὼ τὰ ἔρ-
γα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν ἐπίσταμαι. καὶ ἐγὼ ἔρ-
χομαι συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας. καὶ ἥξου-
σι καὶ ὄψονται τὴν δόξαν μου καὶ καταλείψω ἐπ᾽ αὐτῶν ση-
μεῖον. καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη
εἰς θαρσεῖς καὶ φοὺδ. καὶ λοὺδ καὶ μοσὸχ καὶ εἰς θοβὲλ καὶ
εἰς τὴν ἑλλάδα καὶ εἰς τὰς νήσους τὰς πόῤῥω, οἳ οὐκ ἀκηκόα-
σί μου τὸ ὄνομα οὔτε ἑωράκασί μου τὴν δόξαν, καὶ ἀναγγελοῦ-
σι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι. καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑ-
μῶν ἐκ πάντων τῶν ἐθνῶν δῶρον κυρίῳ μεθ᾽ ἵππων καὶ ἁρμά-
των ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πό-
λιν ἱερουσαλήμ. καὶ εἶπε κύριος ὡς ἂν ἐνέγκαισαν οἱ υἱοὶ ἰσραὴλ τὰς

θυσίας αὐτῶν ἐμοί. μετὰ εὐφροσύνης μετὰ ψαλμῶν εἰς τὸν οἶ-
κον κυρίου. καὶ ἀπ' αὐτῶν λήψομαι ἱερεῖς καὶ λευίτας, εἶπε κύρι-
ος. ὃν τρόπον γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ,
μένει ἐνώπιον ἐμοῦ λέγει κύριος. οὕτω στήσεται τὸ σπέρμα ὑμῶν
καὶ τὸ ὄνομα ὑμῶν. καὶ ἔσται μὴν ἐκ μηνός. καὶ σάββατον ἐκ σαβ-
βάτου. ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν ἱερουσα-
λὴμ εἶπε κύριος. καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν
ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί. ὁ γὰρ σκώληξ αὐτῶν
οὐ τελευτήσει καὶ τὸ πῦρ αὐτῶν, οὐ σβεσθήσεται. καὶ ἔσονται
εἰς ὅρασιν πάσῃ σαρκί.

ΤΕΛΟΣ ΤΗΣ ΤΟΥ
ἡσαΐου προφήτου βίβλου.

# ΙΕΡΕΜΙΑΣ.

Κεφάλαιον. α. 1.

Τὸ ῥῆμα τοῦ θεοῦ ὃ ἐγένετο ἐπὶ τὸν ἱερεμί-
αν τὸν τοῦ χελκίου. ἐκ τῶν ἱερέων, ὃς κατῴ-
κει ἐν ἀναθὼθ ἐν γῇ βενιαμίν. ὃς ἐγε-
νήθη λόγος τοῦ θεοῦ πρὸς αὐτόν, ἐν ταῖς
ἡμέραις ἰωσίου υἱοῦ ἀμὼς βασιλέως ἰού-
δα. ἔτους τρισκαιδεκάτου ἐν τῇ βασιλείᾳ
αὐτοῦ, καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἰωα-
κεὶμ υἱοῦ ἰωσίου βασιλέως ἰούδα, ἕως ἑνδεκάτου ἔτους τοῦ σεδε-
κίου υἱοῦ ἰωσίου βασιλέως ἰούδα, ἕως τῆς αἰχμαλωσίας ἱερου-
σαλὴμ ἐν τῷ πέμπτῳ μηνί. καὶ ἐγένετο λόγος κυρίου πρός
με. πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε. καὶ
πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε. προφήτην εἰς ἔθνη

τέθηκά σε, καὶ εἶπα· ὁ ὢν δέσποτα κύριε ἰδοὺ οὐκ ἐπίσταμαι λα-
λεῖν· ὅτι νεώτερος ἐγώ εἰμι· καὶ εἶπε κύριος πρός με· μὴ λέγε ὅτι
νεώτερος ἐγώ εἰμι· ὅτι πρὸς πάντας οὓς ἐὰν ἐξαποστείλω σε πο-
ρεύσῃ· καὶ κατὰ πάντα ὅσα μὲν ἐντείλωμαί σοι λαλήσεις· μὴ φο-
βηθῇς ἀπὸ προσώπου αὐτῶν· ὅτι μετὰ σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖ-
σθαί σε λέγει κύριος· καὶ ἐξέτεινε κύριος τὴν χεῖρα αὐτοῦ πρός
με· καὶ ἥψατο τοῦ στόματός μου· καὶ εἶπε κύριος πρός με· ἰδοὺ δέ-
δωκα τοὺς λόγους μου, εἰς τὸ στόμα σου· ἰδοὺ καθέστηκά σε σήμερον
ἐπὶ ἔθνη καὶ ἐπὶ βασιλείας· ἐκριζοῦν, καὶ κατασκάπτειν· καὶ ἀπο-
λύειν καὶ ἀνοικοδομεῖν καὶ καταφυτεύειν· καὶ ἐγένετο λόγος κυ-
ρίου πρός με λέγων· τί σὺ ὁρᾷς ἱερεμία; καὶ εἶπα βακτηρίαν κα-
ρυΐνην· καὶ εἶπε κύριος πρός με· καλῶς ἑώρακας· διότι ἐγρηγό-
ρηκα ἐγὼ ἐπὶ τοὺς λόγους μου τοῦ ποιῆσαι αὐτούς· καὶ ἐγένετο λό-
γος κυρίου ἐκ δευτέρου πρός με λέγων· τί σὺ ὁρᾷς; καὶ εἶπα, λέ-
βητα ὑποκαιόμενον ἐγὼ ὁρῶ, καὶ τὸ πρόσωπον αὐτοῦ, ἀπὸ
προσώπου βορρᾶ· καὶ εἶπε κύριος πρός με· διότι ἐκκαυθήσε-
ται τὰ κακὰ ἀπὸ προσώπου βορρᾶ, καὶ εἶπε πρός με, ἀπὸ προ-
σώπου βορρᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦν-
τας τὴν γῆν· διότι ἰδοὺ συγκαλῶ πάσας βασιλείας τῆς γῆς ἀπὸ
βορρᾶ λέγει κύριος· καὶ ἥξουσι καὶ θήσουσιν ἕκαστος τὸν θρόνον
αὐτοῦ, ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν ἱερουσαλήμ· καὶ ἐπὶ πάντα τὰ
τείχη τὰ κύκλῳ αὐτῆς· καὶ ἐπὶ πάσας τὰς πόλεις ἰούδα· καὶ λα-
λήσω πρὸς αὐτοὺς μετὰ κρίσεως· ἐπὶ πάσης τῆς κακίας αὐτῶν
ὡς ἐγκατέλιπόν με· καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις καὶ προσεκύνη-
σαν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· καὶ σὺ περίζωσαι τὴν ὀσφύν
σου καὶ ἀνάστηθι καὶ εἰπὸν πρὸς αὐτοὺς πάντα ὅσα ἂν ἐντείλω-
μαί σοι· μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν· ὅτι μετά σου ἐγώ
εἰμι· μηδὲ πτοηθῇς ἐναντίον αὐτῶν· ὅτι μετὰ σοῦ εἰμι, τοῦ ἐξαι-
ρεῖσθαί σε, λέγει κύριος· ἰδοὺ τέθηκά σε ἐν τῇ σήμερον ἡμέρᾳ·
ὡς πόλιν ὀχυρὰν, καὶ ὡς τεῖχος χαλκοῦν ὀχυρὸν ἅπασι τοῖς βα-

βασιλεῦσιν ἰούδα. καὶ τοῖς ἄρχουσιν αὐτοῦ, καὶ τῷ λαῷ τῆς γῆς.
καὶ πολεμήσουσί σε, καὶ οὐ μὴ δύνωνται πρὸς σέ. διότι μετὰ
σοῦ ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαί σε. εἶπε κύριος.

## Κεφάλαιον. β. 2.

Καὶ εἶπε. τάδε λέγει κύριος. ἐμνήσθην ἐλέους νεότη-
κ τός σου, καὶ ἀγάπης τελειώσεώς σου τοῦ ἐξακολουθῆ-
σαί σε τῷ ἁγίῳ ἰσραήλ, λέγει κύριος ὁ ἅγιος ἰσ-
ραὴλ τῷ κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ. πάντες οἱ ἐσθίοντες
αὐτὸν πλημμελήσουσι κακά. ἥξει ἐπ' αὐτούς, φησὶ κύριος.
Ἀκούσατε λόγον κυρίου οἶκος ἰακὼβ καὶ πᾶσα πατριὰ οἴκου ἰσρα-
ήλ. τάδε λέγει κύριος κύριος. τί εὕροσαν οἱ πατέρες ὑμῶν ἐν ἐμοὶ
πλημμέλημα. ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ. καὶ ἐπορεύθησαν
ὀπίσω τῶν ματαίων. καὶ ἐματαιώθησαν, καὶ οὐκ εἶπαν ποῦ ἐστὶ
κύριος. ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς αἰγύπτου. ὁ καθοδηγήσας ἡ-
μᾶς ἐν τῇ ἐρήμῳ ἐν τῇ ἀπείρῳ καὶ ἀβάτῳ. ἐν γῇ ἀνύδρῳ καὶ
ἀκάρπῳ. ἐν γῇ ἐν ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνὴρ οὐθέν. καὶ οὐ κα-
τῴκησεν ἄνθρωπος ἐκεῖ. καὶ εἰσήγαγον ὑμᾶς εἰς τὸν κάρμηλον
τοῦ φαγεῖν ὑμᾶς τοὺς καρποὺς αὐτοῦ καὶ τὰ ἀγαθὰ αὐτοῦ. καὶ
εἰσήλθετε, καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου
ἔθεσθε εἰς βδέλυγμα. οἱ ἱερεῖς οὐκ εἶπον ποῦ ἐστι κύριος. καὶ οἱ ἀν-
τεχόμενοι τοῦ νόμου οὐκ ἠπίσταντό με. καὶ οἱ ποιμένες ἠσέβουν
εἰς ἐμέ. καὶ οἱ προφῆται ἐπροφήτευον τῇ βάαλ, καὶ ὀπίσω ἀνω-
φελοῦς ἐπορεύθησαν. διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς λέγει
κύριος καὶ πρὸς τοὺς υἱοὺς τῶν υἱῶν ἡμῶν, κριθήσομαι ἔτι. διέλ-
θετε εἰς νήσους χεττιεὶμ καὶ ἴδετε. καὶ εἰς κηδὰρ ἀποστείλατε
καὶ νοήσατε σφόδρα, καὶ ἴδετε εἰ γέγονε τοιαῦτα. εἰ ἀλλάξονται
ἔθνη θεοὺς αὐτῶν. καὶ οὗτοι οὐκ εἰσὶ θεοί, ὁ δὲ λαός μου ἠλλάξατο
τὴν δόξαν αὐτοῦ. ἐξ ἧς οὐκ ὠφεληθήσονται. ἐξέστη ὁ οὐρανὸς ἐπὶ
τούτῳ. καὶ ἔφριξεν ἡ γῆ ἐπιπλεῖον σφόδρα λέγει κύριος. ὅτι δύο
καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδα-

τος ζωῆς. καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ
δυνήσονται ὕδωρ συνέχειν. Μὴ δοῦλος ἐστὶν ἰσραὴλ, ἢ οἰκογε-
νής ἐστι; διατὶ εἰς προνομὴν ἐγένετο. ἐπ' αὐτὸν ὠρύοντο λέοντες
καὶ ἔδωκαν τὴν φωνὴν αὐτῶν οἳ ἔταξαν τὴν γῆν αὐτῶν εἰς ἀφα-
νισμούς. καὶ αἱ πόλεις αὐτοῦ κατεσκάφησαν παρὰ τὸ μὴ κατοικεῖ-
σθαι. καὶ υἱοὶ μέμφεως καὶ ταφνας ἔγνωσάν σε, καὶ κατέπαι-
ζόν σου. οὐχὶ ταῦτα ἐποίησέ σοι τὸ καταλιπεῖν σε ἐμὲ λέγει κύ-
ριος ὁ θεός σου, καὶ νῦν τί σοι, καὶ τῇ ὁδῷ αἰγύπτου τοῦ πιεῖν ὕδωρ
γηῶν. καὶ τί σοι καὶ τῇ ὁδῷ ἀσυρίων τοῦ πιεῖν ὕδωρ ποταμῶν
παιδεύσει σε ἡ ἀποστασία σου καὶ ἡ κακία σου ἐλέγξει σε. καὶ
γνῶθι, καὶ ἴδε. ὅτι πικρόν σοι τὸ καταλιπεῖν σε ἐμέ. λέγει κύρι-
ος ὁ θεός σου. ὅτι ἀπ' αἰῶνος συνέτριψας τὸν ζυγόν σου καὶ διέῤ-
ῥηξας τοὺς δεσμούς σου. καὶ εἶπας, οὐ δουλεύσω, ἀλλὰ πορεύ-
σομαι ἐπὶ πάντα βουνὸν ὑψηλόν. καὶ ὑπὸ κάτω παντὸς ξύλου κα-
τασκίου. ἐκεῖ διαχυθήσομαι ἐν τῇ πορνείᾳ μου. ἐγὼ δὲ ἐφύτευ-
σά σε ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. πῶς ἐστράφης εἰς
πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία. καὶ ἐὰν ἀποπλύνῃ ἐν νίτρῳ καὶ
πληθύνῃς σεαυτῇ πόαν κεκηλίδωσαι ἐν ταῖς ἀδικίαις σου. ἐναν-
τίον ἐμοῦ λέγει κύριος. πῶς ἐρεῖς οὐκ ἐμιάνθην καὶ ὀπίσω τῆς βά-
αλ οὐκ ἐπορεύθην. ἴδε τὰς ὁδούς σου ἐν τῷ πολυανδρίῳ, καὶ
γνῶθι τί ἐποίησας. ὀψὲ φωνὴ αὐτῆς ὠλόλυξε. τὰς ὁδοὺς αὐτῆς
ἐπλάτυνεν ἐφ' ὕδατι ἐρήμου ἐν ἐπιθυμίαις ψυχῆς αὐτῆς. ἐ-
πνευματοφορεῖτο. τίς ἐπιστρέψει αὐτήν. πάντες οἱ ζητοῦντες αὐ-
τὴν οὐ κοπιάσουσιν ἐν τῇ ταπεινώσει αὐτῆς εὑρήσουσιν αὐτήν.
ἀπόστρεψον τὸν πόδα σου ἀπὸ ὁδοῦ τραχείας, καὶ τὸν φάρυγγά σου
ἀπὸ δίψης. ἡ δὲ εἶπεν ὅτι ἀνδριοῦμαι. ὅτι ἠγαπήκει ἀλλοτρίους.
καὶ ὀπίσω αὐτῶν ἐπορεύετο. ὡς αἰσχύνη κλέπτου ὅταν ἁλῷ. οὕ-
τως αἰσχυνθήσονται οἱ υἱοὶ ἰσραήλ. αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν.
καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ ἱερεῖς αὐτῶν, καὶ οἱ προφῆται αὐτῶν
τῷ ξύλῳ εἶπαν. ὅτι πατήρ μου εἶ σύ. καὶ τῷ λίθῳ, σὺ ἐγέννη-

ησάς με. καὶ ἔστρεψαν ἐπ' ἐμὲ νῶτα καὶ οὐ πρόσωπα αὐτῶν. καὶ ἐν
τῷ καιρῷ τῶν κακῶν αὐτῶν ἐροῦσιν ἀνάστα καὶ σῶσον ἡμᾶς.
καὶ ποῦ ἐστιν οἱ θεοί σου, οὓς ἐποίησας σεαυτῷ. εἰ ἀναστήσονται
καὶ σώσουσιν ἐν καιρῷ τῆς κακώσεώς σου. ὅτι κατ' ἀριθμὸν τῶν πό-
λεών σου ἦσαν θεοί σου ἰούδα. καὶ κατ' ἀριθμὸν διόδων τῆς ἱερου-
σαλὴμ ἔθυον τῇ βαάλ. ἵνα τί λαλεῖτε πρός με, πάντες ὑμεῖς ἠ-
σεβήσατε, καὶ πάντες ὑμεῖς ἠνομήσατε εἰς ἐμὲ λέγει κύριος.
μάτην ἐπάταξα τὰ τέκνα ὑμῶν. παιδείαν οὐκ ἐδέξασθε. μά-
χαιρα κατέφαγε τοὺς προφήτας ὑμῶν. ὡς λέων ὀλοθρεύων, καὶ
οὐκ ἐφοβήθητε. Ἀκούσατε λόγον κυρίου. τάδε λέγει κύριος. μὴ
ἔρημος ἐγενήθην τῷ ἰσραήλ; ἢ γῆ κεχερσωμένη; διατί εἶπεν
ὁ λαός μου οὐ κυριευθησόμεθα. καὶ οὐχ ἥξομεν πρὸς σὲ ἔτι. μὴ
ἐπιλήσεται νύμφη τὸν κόσμον αὐτῆς, καὶ παρθένος τὴν στηθοδεσμί-
δα αὐτῆς; ὁ δὲ λαός μου ἐπελάθετό μου ἡμέρας. ὧν οὐκ ἔστιν ἀρι-
θμός. τί ἔτι καλὸν ἐπιτηδεύσεις ἐν ταῖς ὁδοῖς σου τοῦ ζητῆσαι ἀ-
γάπησιν. οὐχ οὕτως. ἀλλὰ καὶ σὺ ἐπονηρεύσω τοῦ μιᾶναι τὰς
ὁδούς σου. καὶ ἐν ταῖς χερσί σου εὑρέθη αἵματα ψυχῶν ἀθώων.
οὐκ ἐν διορύγμασιν εὗρον αὐτούς. ἀλλ' ἐπὶ πάσῃ δρυΐ. καὶ εἶπας
ἀθῶος εἰμί. ἀλλὰ ἀποστραφήτω ὁ θυμὸς αὐτοῦ ἀπ' ἐμοῦ. ἰδοὺ ἐγὼ
κρίνομαι πρὸς σὲ ἐν τῷ λέγειν σε οὐχ ἥμαρτον. ὅτι κατεφρό-
νησας σφόδρα τοῦ δευτερῶσαι τὰς ὁδούς σου. καὶ ἀπὸ αἰγύπτου κα-
ταισχυνθήσῃ καθὼς κατῃσχύνθης ἀπὸ ἀσσούρ. ὅτι καὶ ἐντεῦθεν ἐξ-
ελεύσῃ καὶ αἱ χεῖρές σου ἐπὶ τῆς κεφαλῆς σου. ὅτι ἀπώσατο κύριος
τὴν ἐλπίδα σου, καὶ οὐκ εὐοδωθήσῃ ἐν αὐτῇ. Κεφ. γ. 3.

Ἀν ἐξαποστείλῃ ἀνὴρ τὴν γυναῖκα αὐτοῦ καὶ ἀπέλθῃ
ε ἀπ' αὐτοῦ καὶ γένηται ἀνδρὶ ἑτέρῳ. μὴ ἀνακάμπτου-
σα ἀνακάμψει πρὸς αὐτὸν ἔτι; οὐ μιαινομένη μιανθή-
σεται ἡ γυνὴ ἐκείνη; καὶ σὺ ἐξεπόρνευσας ἐν ποιμέσι πολλοῖς
καὶ ἀνέκαμπτες πρός με λέγει κύριος. ἆρον τοὺς ὀφθαλμούς σου
εἰς εὐθεῖαν. καὶ ἴδε ποῦ οὐχὶ ἐξεφύρθης ἐπὶ ταῖς ὁδοῖς ἐκάθισας

αὐτοῖς ὡσεὶ κορώνη ἠρημουμένη· καὶ ἐμίανας τὴν γῆν ἐν ταῖς
πορνείαις σου καὶ ἐν ταῖς κακίαις σου. καὶ ἔσχες ποιμένας πολ
λοὺς εἰς πρόσκομμα σεαυτῇ· ὄψις πόρνης ἐγένετό σοι. ἀπη
ναισχύντησας πρὸς πάντας· οὐχ ὡς οἶκόν με ἐκάλεσας καὶ πα
τέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου· διαμενεῖ εἰς τὸν αἰῶνα ἢ
διαφυλαχθήσεται εἰς νῖκος; ἰδοὺ ἐλάλησας καὶ ἐποίησας τὰ
πονηρὰ ταῦτα καὶ ἠδυνήθης. Καὶ εἶπε κύριος πρός με. ἐν
ταῖς ἡμέραις ἰωσίου τοῦ βασιλέως, εἶδες ἃ ἐποίησέ μοι ἡ κα
τοικία τοῦ ἰσραήλ. ἐπορεύθησαν ἐπὶ πᾶν ὄρος ὑψηλὸν καὶ ὑποκά
τω παντὸς ξύλου ἀλσώδους. καὶ ἐπόρνευσαν ἐκεῖ. καὶ εἶπα μετὰ
τὸ πορνεῦσαι αὐτήν, ταῦτα πάντα πρός με ἀνάστρεψον· καὶ
οὐκ ἀνέστρεψε. καὶ εἶδε τὴν ἀσυνθεσίαν αὐτῆς ἡ ἀσύνθετος ἰου
δα. καὶ εἶδον ὅτι περὶ πάντων ὧν κατελείφθη ἐν οἷς ἐμοιχᾶτο ἡ
κατοικία ἰσραήλ. καὶ ἐξαπέστειλα αὐτῇ καὶ ἔδωκα βιβλίον ἀπο
στασίου εἰς τὰς χεῖρας αὐτῆς, καὶ οὐκ ἐφοβήθη ἡ ἀσύνθετος ἰου
δα. καὶ ἐπορεύθη καὶ ἐπόρνευσε καὶ αὐτή. καὶ ἐγένετο εἰς οὐ
θὲν ἡ πορνεία αὐτῆς. καὶ ἐμοίχευσε τὸ ξύλον. καὶ τὸν λίθον. καὶ
ἐν πᾶσι τούτοις, οὐκ ἀπεστράφη πρός με ἡ ἀσύνθετος ἰούδα,
ἐξ ὅλης τῆς καρδίας αὐτῆς, ἀλλ' ἐπὶ ψεύδει. καὶ εἶπε κύριος
πρός με. ἐδικαίωσε τὴν ψυχὴν αὐτοῦ ἰσραήλ, ἀπὸ τῆς ἀσυν
θέτου ἰούδα. πορεύου καὶ ἀνάγνωθι τοὺς λόγους τούτους πρὸς
βορρᾶν. καὶ ἐρεῖς ἀποστράφηθι πρός με ἡ κατοικία τοῦ ἰσραήλ
λέγει κύριος. καὶ οὐ μὴ στηρίσω πρόσωπόν μου ἐφ' ἡμᾶς, ὅτι
ἐλεήμων ἐγώ εἰμι λέγει κύριος, καὶ οὐ μηνιῶ ὑμῖν εἰς τὸν αἰῶ
να. πλὴν γνῶθι τὴν ἀδικίαν σου, ὅτι εἰς κύριον τὸν θεόν σου ἠσέ
βησας. καὶ διέχεας τὰς ὁδούς σου. εἰς ἀλλοτρίους ὑποκάτω παν
τὸς ξύλου ἀλσώδους. τῆς δὲ φωνῆς μου, οὐχ ὑπήκουσας λέγει κύ
ριος. ἐπιστράφητε υἱοὶ ἀφεστηκότες λέγει κύριος διότι ἐγὼ κα
τακυριεύσω ὑμῶν. καὶ λήψομαι ὑμᾶς ἕνα ἐκ πόλεως. καὶ δύο
ἐκ πατριᾶς. καὶ εἰσάξω ὑμᾶς εἰς σιών. καὶ δώσω ὑμῖν ποιμένας

κατὰ τὴν καρδίαν μου, καὶ ποιμαινοῦσιν ὑμᾶς ποιμαίνοντες
μετ' ἐπιστήμης. καὶ ἔσται ἐὰν πληθυνθῆτε καὶ αὐξηθῆτε ἐπὶ τῆς γῆς
λέγει κύριος ἐν ταῖς ἡμέραις ἐκείναις. οὐκ ἐροῦσιν ἔτι κιβωτὸς
διαθήκης ἁγίου ἰσραήλ. οὐκ ἀναβήσεται ἐπὶ καρδίαν. οὐκ ὀνο-
μασθήσεται οὐδὲ ἐπισκεφθήσεται καὶ οὐ ποιηθήσεται ἔτι. ἐν
ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, καλέσουσι τὴν
ἱερουσαλὴμ θρόνον κυρίου. καὶ συναχθήσονται πάντα τὰ ἔθνη εἰς
αὐτήν. καὶ οὐ πορεύσονται ἔτι ὀπίσω τῶν ἐνθυμημάτων τῆς καρδί-
ας αὐτῶν τῆς πονηρᾶς. ἐν ταῖς ἡμέραις ἐκείναις, συνελεύσονται
ὁ οἶκος τοῦ ἰσραὴλ ἐπὶ τὸν οἶκον ἰούδα. καὶ ἥξουσιν ἐπὶ τὸ αὐτὸ ἀ-
πὸ γῆς βορρᾶ καὶ ἀπὸ πασῶν τῶν χωρῶν ἐπὶ τὴν γῆν ἣν κατε-
κληρονόμησα τοὺς πατέρας αὐτῶν. καὶ ἐγὼ εἶπα, γένοιτο κύριε,
ὅτι τάξω σε εἰς τέκνα καὶ δώσω σοι γῆν ἐκλεκτὴν. κληρονομίαν
θεοῦ παντοκράτορος. ἐθνῶν καὶ εἶπα πατέρα ἐπικαλέσασθέ με
καὶ ἀπ' ἐμοῦ οὐκ ἀποστραφήσεσθε. πλὴν ὡς ἀθετεῖ γυνὴ εἰς τὸν
συνόντα αὐτῇ. οὕτως ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος ἰσραὴλ λέγει
κύριος. φωνὴ ἐκ χειλέων ἠκούσθη κλαυθμοῦ καὶ δεήσεως υἱῶν
ἰσραήλ. ὅτι ἠδίκησαν ἐν ταῖς ὁδοῖς αὐτῶν. ἐπελάθοντο θεοῦ
ἁγίου αὐτῶν. υἱοὶ ἐπιστράφητε ἐπιστρέφοντες, καὶ ἰάσομαι τὰ
συντρίμματα ὑμῶν. ἰδοὺ δοῦλοι ὑμεῖς ἐσόμεθά σοι. ὅτι σὺ
κύριος ὁ θεὸς ἡμῶν εἶ. ὄντως εἰς ψεῦδος ἦσαν οἱ βουνοὶ. καὶ ἡ
δύναμις τῶν ὀρέων. πλὴν διὰ κυρίου τοῦ θεοῦ ἡμῶν ἡ σωτηρία
τοῦ ἰσραήλ. ἡ δὲ αἰσχύνη, κατηνάλωσε τοὺς μόχθους τῶν πατέ-
ρων ἡμῶν ἀπὸ νεότητος αὐτῶν. τὰ πρόβατα αὐτῶν καὶ τοὺς
μόσχους αὐτῶν. καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐ-
τῶν ἐκοιμήθημεν ἐν τῇ αἰσχύνῃ ἡμῶν. καὶ ὑπεκάλυψεν ἡμᾶς
ἡ ἀτιμία ἡμῶν. διότι ἔναντι τοῦ θεοῦ ἡμῶν ἡμάρτομεν ἡμεῖς.
καὶ οἱ πατέρες ὑμῶν ἀπὸ νεότητος ἡμῶν ἕως τῆς ἡμέρας
ταύτης. καὶ οὐχ ὑπηκούσαμεν τῆς φωνῆς κυ-
ρίου τοῦ θεοῦ ἡμῶν.

Κεφάλαιον Δ. 4.

Αν μὴ ἐπιστραφῇ ἰσραὴλ. λέγει κύριος πρός με καὶ
ε ἐπιστραφήσεται. καὶ ἐὰν περιέλῃ τὰ βδελύγματα αὐ
τοῦ ἐκ στόματος αὐτοῦ. καὶ ἀπὸ τοῦ προσώπου μου εὐ
λαβηθῇ. καὶ ὀμόσει ζῇ κύριος μετὰ ἀληθείας ἐν κρίσει καὶ ἐν
δικαιοσύνῃ καὶ εὐλογήσουσιν ἐν αὐτῷ ἔθνη. καὶ ἐν αὐτῷ
αἰνέσουσι τῷ θεῷ ἐν ἱερουσαλήμ. ὅτι τάδε λέγει κύριος τοῖς
ἀνδράσιν ἰούδα καὶ τοῖς κατοικοῦσιν ἱερουσαλήμ. νεώσατε ἑαυ
τοῖς νεώματα καὶ ἀσπείρητε ἐπ᾽ ἀκάνθαις. περιτμήθητε τῷ θεῷ
ὑμῶν καὶ περιτέμνεσθε τὴν σκληροκαρδίαν ὑμῶν. ἄνδρες ἰούδα
καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ, μὴ ἐξέλθῃ ὡς πῦρ ὁ θυμός μου.
καὶ ἐκκαυθήσεται καὶ οὐκ ἔσται ὁ σβεννύων ἀπὸ προσώπου πο
νηρίας ἐπιτηδευμάτων ἡμῶν. ἀναγγείλατε ἐν τῷ ἰούδα, καὶ
ἀκουσθήτω ἐν ἱερουσαλήμ. εἴπατε σημάνατε σάλπιγγι ἐπὶ τῆς
γῆς καὶ κεκράξατε μέγα. εἴπατε συνάχθητε. καὶ εἰσέλθωμεν
εἰς τὰς πόλεις τὰς τειχήρεις. ἀναλαβόντες φεύγετε εἰς σιών.
σπεύσατε μὴ στῆτε. ὅτι κακὰ ἐγὼ ἐπάγω ἀπὸ βορρᾶ, καὶ συν
τριβὴν μεγάλην. ἀνέβη λέων ἐκ τῆς μάνδρας αὐτοῦ. καὶ ἐξολο
θρεύων. ἔθνη ἐξῆρε καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου αὐτοῦ τοῦ θεῖναι τὴν
γῆν εἰς ἐρήμωσιν. καὶ πόλεις. καθαιρεθήσονται. παρὰ τὸ μὴ κα
τοικεῖσθαι αὐτάς. ἐπὶ τούτοις περιζώσασθε σάκκους καὶ κόπτεσ
θε. καὶ ἀλαλάξατε. διότι οὐκ ἀπεστράφη ὁ θυμὸς ὀργῆς κυ
ρίου ἀφ᾽ ὑμῶν. καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κύριος. ἀπο
λεῖ ἡ καρδία τοῦ βασιλέως καὶ ἡ καρδία τῶν ἀρχόντων. καὶ
οἱ ἱερεῖς ἐκστήσονται καὶ οἱ προφῆται θαυμάσονται.

Καὶ εἶπα ὦ δέσποτα κύριε. ἄρα γε ἀπατῶν ἠπάτησας τὸν
λαὸν τοῦτον καὶ τὴν ἱερουσαλὴμ, λέγων. εἰρήνη ἔσται ὑμῖν καὶ ἀφίκετο
ἡ μάχαιρα ἕως τῆς ψυχῆς αὐτῶν. ἐν τῷ καιρῷ ἐκείνῳ, ἐροῦσι καὶ
τῇ ἱερουσαλὴμ τῷ λαῷ τούτῳ πνεῦμα πλανήσεως ἐν τῇ ἐρήμῳ
ὁδὸς τῆς θυγατρὸς τοῦ λαοῦ μου. οὐκ εἰς καθαρὸν, οὐδ᾽ εἰς ἅγιον, πνεῦ

μα πληρώσεως ἥξει μοι νῦν δὲ ἐγὼ λαλήσω κρίματά μου πρὸς
αὐτούς. ἰδοὺ ὡς νεφέλη ἀναβήσεται, καὶ ὡς καταιγὶς τὰ ἅρματα
αὐτῶν κουφότεροι ἀετῶν οἱ ἵπποι αὐτῶν. οὐαὶ ὑμῖν, ὅτι τα-
λαιπωροῦμεν. Ἀπόπλυνε ἀπὸ κακίας τὴν καρδίαν σου ἱερου
σαλὴμ ἵνα σωθῇς ἕως πότε ὑπάρχουσιν ἐν σοὶ διαλογισμοὶ
πόνων σου. διότι φωνὴ ἀναβαίνοντος ἐκ δὰν ἥξει μοι καὶ ἀκου
σθήσεται πόνος ἐξ ὄρους ἐφραίμ. ἀναμνήσατε ἔθνη. ἰδοὺ ἥκασιν.
ἀναγγείλατε ἐν ἱερουσαλὴμ, συστροφαὶ ἔρχονται ἐκ γῆς μακρό
θεν. καὶ ἔδωκαν ἐπὶ τὰς πόλεις ἰούδα φωνὴν αὐτῶν. ὡς φυλάσ
σοντες ἀγρὸν, ἐγένοντο ἐπ' αὐτὴν κύκλῳ. ὅτι ἐμοῦ ἠμέλησας
λέγει κύριος. αἱ ὁδοί σου καὶ τὰ ἐπιτηδεύματά σου ἐποίη-
σαν ταῦτα σοί. αὕτη ἡ κακία σου ὅτι πικρὰ ὅτι ἥψατο ἕως τῆς καρ
δίας σου. τὴν κοιλίαν μου ἀλγῶ. καὶ τὰ αἰσθητήρια τῆς καρδίας
μου, μαιμάσσει ἡ ψυχή μου. σπαράσσεται ἡ καρδία μου. οὐ σιωπήσο
μαι ὅτι φωνὴν σάλπιγγος ἤκουσεν ἡ ψυχή μου. κραυγὴν πολέ
μου καὶ ταλαιπωρίας. συντριμμὸν ἐπικαλεῖται ὅτι τεταλαιπώρη-
κε πᾶσα ἡ γῆ ἄφνω. τεταλαιπώρηκεν ἡ σκηνή. διεσπάσθησαν
αἱ δέρρεις μου. ἕως πότε ὄψομαι φεύγοντας ἀκούων φωνὴν σαλ
πίγγων. διότι οἱ ἡγούμενοι τοῦ λαοῦ μου ἐμὲ οὐκ ᾔδεισαν. υἱοὶ
ἄφρονές εἰσι καὶ οὐ συνετοί. σοφοί εἰσι τοῦ κακοποιῆσαι. τὸ δὲ καλῶς
ποιῆσαι οὐκ ἐπέγνωσαν. ἐπέβλεψα ἐπὶ τὴν γῆν. καὶ ἰδοὺ οὐθέν. καὶ
εἰς τὸν οὐρανόν. καὶ οὐκ ἦν τὰ φῶτα αὐτοῦ. εἶδον τὰ ὄρη καὶ ἦν τρέμον
τα. καὶ πάντας τοὺς βουνοὺς ταρασσομένους. ἐπέβλεψα καὶ ἰδοὺ οὐκ
ἦν ἄνθρωπος. καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐπτοεῖτο. εἶδον
καὶ ἰδοὺ ὁ κάρμηλος ἔρημος. καὶ πᾶσαι αἱ πόλεις ἐμπεπυρι-
σμέναι πυρὶ ἀπὸ προσώπου κυρίου. καὶ ἀπὸ προσώπου ὀργῆς
θυμοῦ αὐτοῦ ἠφανίσθησαν. τάδε λέγει κύριος. ἔρημος ἔσται πᾶσα
ἡ γῆ. συντέλειαν δὲ οὐ μὴ ποιήσω. ἐπὶ τούτοις πενθείτω ἡ γῆ.
καὶ συσκοτασάτω ὁ οὐρανὸς ἄνωθεν. διότι ἐλάλησα καὶ οὐ με-
τανοήσω. ὥρμησα καὶ οὐκ ἀποστρέψω ἀπ' αὐτῆς ἀπὸ φωνῆς ἱπ-

πέως καὶ ἐν τεταμένου τόξου, ἀνεχώρησε πᾶσα ἡ χώρα. εἰσέ-
δυσαν εἰς τὰ σπήλαια, καὶ εἰς τὰ ἄλση ἐκρύβησαν. καὶ ἐπὶ τὰς
πέτρας ἀνέβησαν, πᾶσα πόλις ἐγκατελείφθη. οὐ κατοικεῖ ἐν αὐ-
ταῖς ἄνθρωπος. καὶ σὺ τί ποιήσεις ἐὰν περιβάλῃ κόκκινον.
καὶ κοσμήσῃ κόσμῳ χρυσῷ. ἐὰν ἐγχρίσῃ στιβὶ τοὺς ὀφθαλ-
μούς σου εἰς μάτην ὡραϊσμός σου, ἀπώσαντό σε οἱ ἐρασταί σου.
τὴν ψυχήν σου ζητοῦσιν. ὅτι φωνὴν ὡς ὠδινούσης ἤκουσα τοῦ στε-
ναγμοῦ σου, ὡς πρωτοτοκούσης, φωνὴ θυγατρὸς σιὼν ἐκλυθή-
σεται. καὶ παρήσει τὰς χεῖρας αὐτῆς. οἴμοι ἐγὼ ὅτι ἐκλείπει
ἡ ψυχή μου ἐπὶ τοῖς ἀνῃρημένοις. Κεφ. ε. ς.

Εριδράμετε ἐν ταῖς ὁδοῖς ἱερουσαλὴμ, καὶ ἴδετε
π καὶ γνῶτε καὶ ζητήσατε ἐν ταῖς πλατείαις αὐτῆς. ἐὰν
εὕρητε ἄνδρα. εἰ ἔστι ποιῶν κρίμα. καὶ ζητῶν πίστιν.
καὶ ἵλεως ἔσομαι αὐτοῖς λέγει κύριος. ζῇ κύριος λέγουσι διὰ τοῦ-
το οὐκ ἐν ψεύδεσιν ὀμνύουσι. Κύριε οἱ ὀφθαλμοί σου εἰς πί-
στιν ἐμαστίγωσας αὐτοὺς καὶ οὐκ ἐπόνεσαν. συνετέλεσας αὐτούς, καὶ
οὐκ ἠθέλησαν δέξασθαι παιδείαν. ἐστερέωσαν τὰ πρόσωπα αὐ-
τῶν ὑπὲρ πέτραν, καὶ οὐκ ἠθέλησαν ἐπιστραφῆναι. καὶ ἐγὼ εἶπα.
ἴσως πτωχοί εἰσι διότι οὐκ ἐδυνήθησαν, ὅτι οὐκ ἔγνωσαν ὁδὸν
κυρίου καὶ κρίσιν θεοῦ. πορεύσομαι πρὸς τοὺς ἁδρούς. καὶ λα-
λήσω αὐτοῖς. ὅτι αὐτοὶ ἐπέγνωσαν ὁδὸν κυρίου καὶ κρίσιν θεοῦ. καὶ
ἰδοὺ ὁμοθυμαδὸν συνέτριψαν ζυγόν. διέρρηξαν δεσμούς, διὰ
τοῦτο ἔπαισεν αὐτοὺς λέων ἐκ τοῦ δρυμοῦ καὶ λύκος ἕως τῶν οἰ-
κιῶν ὠλόθρευσεν αὐτούς. καὶ πάρδαλις ἐγρηγόρησεν ἐπὶ
τὰς πόλεις αὐτῶν. πάντες οἱ ἐκπορευόμενοι ἀπ' αὐτῶν
θηρεύσονται. ὅτι ἐπλήθυναν ἀσεβείας αὐτῶν. ἴσχυσαν ἐν
ταῖς ἀποστροφαῖς αὐτῶν. ποία τούτων ἵλεως ἔσομαί σοι. οἱ υἱοί
σου ἐγκατέλιπόν με, καὶ ὤμνυον ἐν τοῖς οὐκ οὖσι θεοῖς. καὶ ἐ-
χόρτασα αὐτούς, καὶ ἐμοιχῶντο. καὶ ἐν οἴκοις πορνῶν κατέλυ-
ον. ἵπποι θηλυμανεῖς ἐγενήθησαν. ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ

πλησίον αὐτοῦ ἐχρεμέτιζον. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι λέγει κύριος. ἢ ἐν ἔθνει τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἀνάβητε ἐπὶ τοὺς προμαχῶνας αὐτῆς, καὶ κατασκάψατε. συντέλειαν δὲ μὴ ποιήσητε, ὑπολίπεσθε τὰ ὑποστηρίγματα αὐτῶν ὅτι τοῦ κυρίου εἰσίν. ὅτι ἀθετῶν ἠθέτησεν εἰς ἐμὲ, λέγει κύριος ὁ οἶκος ἰσραὴλ καὶ ὁ οἶκος ἰούδα, ἐψεύσατο τῷ κυρίῳ αὐτῶν. καὶ εἶπαν, οὐκ ἔστι ταῦτα. οὐχ ἥξει ἐφ' ὑμᾶς κακὰ καὶ μάχαιραν καὶ λιμὸν οὐκ ὀψόμεθα. οἱ προφῆται ἡμῶν, ἦσαν εἰς ἄνεμον καὶ λόγος κυρίου οὐχ ὑπῆρχεν αὐτοῖς. οὕτως ἔσται αὐτοῖς. διὰ τοῦτο τάδε λέγει κύριος παντοκράτωρ. ἀνθ' ὧν ἐλαλήσατε τὸ ῥῆμα τοῦτο, ἰδοὺ ἐγὼ δέδωκα τοὺς λόγους μου, εἰς τὸ στόμα σου πῦρ. καὶ τὸν λαὸν τοῦτον ξύλα. καὶ καταφάγεται αὐτούς. καὶ ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ἔθνος πόῤῥωθεν, οἶκος ἰσραὴλ λέγει κύριος. ἔθνος οὗ οὐκ ἀκούσει φωνῆς τῆς γλώσσης αὐτοῦ. πάντες ἰσχυροί. καὶ κατέδονται τὸν θερισμὸν ὑμῶν. καὶ τοὺς ἄρτους ὑμῶν. καὶ κατέδονται τοὺς υἱοὺς ὑμῶν. καὶ τὰς θυγατέρας ὑμῶν. καὶ κατέδονται πρόβατα ὑμῶν καὶ τοὺς μόσχους ὑμῶν, καὶ κατέδονται τοὺς ἀμπελῶνας ὑμῶν καὶ τοὺς συκῶνας ὑμῶν, καὶ τοὺς ἐλαιῶνας ὑμῶν. καὶ ἀλοήσουσι πόλεις τὰς ὀχυρὰς ὑμῶν, ἐφ' αἷς ὑμεῖς πεποίθατε ἐπ' αὐταῖς ἐν ῥομφαίᾳ. καὶ ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις λέγει κύριος ὁ θεός σου. οὐ μὴ ποιήσω ὑμᾶς εἰς συντέλειαν. καὶ ἔσται ὅταν εἴπητε, τίνος ἕνεκεν ἐποίησε κύριος ὁ θεὸς ἡμῶν ἡμῖν πάντα ταῦτα, καὶ ἐρεῖς αὐτοῖς ἀνθ' ὧν ἐγκατελίπετέ με ἐν τῇ γῇ ὑμῶν οὕτως δουλεύσατε ἀλλοτρίοις ἐν γῇ οὐχ ὑμῶν. ἀναγγείλατε ταῦτα εἰς τὸν οἶκον ἰακὼβ, καὶ ἀκουσθήτω ἐν τῷ οἴκῳ ἰούδα. ἀκούσατε δὴ ταῦτα λαὸς μωρὸς καὶ ἀκάρδιος. ὀφθαλμοὶ αὐτοῖς, καὶ οὐ βλέπουσιν. ὦτα αὐτοῖς καὶ οὐκ ἀκούουσι. μὴ ἐμὲ οὐ φοβηθήσεσθε λέγει κύριος. ἢ ἀπὸ προσώπου μου, οὐκ εὐλαβηθήσεσθε τὸν τάξαντα ἄμμον ὅριον τῇ θαλάσσῃ πρόσταγμα αἰώνιον καὶ οὐχ ὑπερβήσεται αὐτό; καὶ τα

ταραχθήσεται καὶ οὐκ δυνηθήσεται. καὶ ἠχήσουσι τὰ κύματα
αὐτῆς καὶ οὐχ ὑπερβήσεται αὐτό. τῷ δὲ λαῷ τούτῳ, ἐγε
νήθη καρδία ἀνήκοος καὶ ἀπειθὴς καὶ ἐξέκλιναν καὶ ἀπήλθοσαν.
καὶ οὐκ εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν φοβηθῶμεν δὴ κύριον τὸν θεὸν
ἡμῶν τὸν διδόντα ἡμῖν ὑετὸν πρώϊμον. καὶ ὄψιμον κατὰ και
ρὸν πληρώσεως προστάγματος θερισμοῦ. καὶ ἐφύλαξεν ἡμῖν.
Αἱ ἀνομίαι ὑμῶν, ἐξέκλιναν ταῦτα. καὶ αἱ ἁμαρτίαι ὑμῶν.
ἀπέστησαν τὰ ἀγαθὰ ἀφ' ὑμῶν ὅτι εὑρέθησαν ἐν τῷ λαῷ μου
ἀσεβεῖς. καὶ παγίδας ἔστησαν τοῦ διαφθεῖραι ἄνδρας καὶ συνε
λαμβάνοσαν, ὡς παγὶς ἐφεσταμένη πλήρης πετεινῶν, οὕτως οἱ
οἶκοι αὐτῶν πλήρεις δόλου, διὰ τοῦτο ἐμεγαλύνθησαν καὶ ἐπλού
τησαν καὶ παρέβησαν κρίσιν. οὐκ ἔκριναν κρίσιν ὀρφανοῦ. καὶ κρί
σιν χήρας οὐκ ἐκρίνοσαν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι λέγει
κύριος. ἢ ἐν ἔθνει τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου; ἔκ
στασις καὶ φρικτὰ ἐγενήθη ἐπὶ τῆς γῆς. οἱ προφῆται προφητεύ
ουσιν ἄδικα, καὶ οἱ ἱερεῖς ἐπεκρότησαν ταῖς χερσὶν αὐτῶν. καὶ ὁ
λαός μου ἠγάπησεν οὕτως. καὶ τί ποιήσετε εἰς τὰ μετὰ ταῦτα.

Κεφάλαιον. ς. 6.

Νισχύσατε υἱοὶ βενιαμεὶν ἐκ μέσου τῆς ἱερουσα
ε λήμ. καὶ ἐν θεκουὲ σημάνατε σάλπιγγι καὶ ὑ
πὲρ βηθαχαρμὰ, ἄρατε σημεῖον. ὅτι κακὰ ἐκκέκυ
φεν ἀπὸ βοῤῥᾶ. καὶ συντριβὴ μεγάλη γίνεται. καὶ ἀφαιρεθή
σεται τὸ ὕψος σου θύγατερ σιών. εἰς αὐτὴν ἥξουσι ποιμένες
καὶ τὰ ποίμνια αὐτῶν. καὶ πήξουσιν ἐπ' αὐτὴν σκηνὰς κύκλῳ
καὶ ποιμανοῦσιν ἕκαστος τῇ χειρὶ αὐτοῦ, παρατάξασθε ἐπ' αὐ
τὴν εἰς πόλεμον. ἀνάστητε καὶ ἀναβῶμεν ἐπ' αὐτὴν μεσημβρί
ας. οὐαὶ ἡμῖν. ὅτι κέκλικεν ἡ ἡμέρα. ὅτι ἐκλείπουσιν αἱ σκιαὶ
τῆς ἑσπέρας. ἀνάστητε καὶ ἀναβῶμεν ἐπ' αὐτὴν νυκτί. καὶ δια
φθείρωμεν τὰ θεμέλια αὐτῆς, ὅτι τάδε λέγει κύριος τῶν δυ
νάμεων. ἐκκόψατε τὰ ξύλα αὐτῆς, ἔκχεον ἐπὶ ἱερουσαλὴμ δύνα

μιν. ὦ πόλις ψευδὴς ὅλη καταδυναστεία ἐν αὐτῇ. ὡς ψύχει λάκκος ὕδωρ αὐτοῦ οὕτω ψύχει κακίας αὐτῆς. ἀσέβεια καὶ ταλαιπωρία ἀκουσθήσεται ἐν αὐτῇ ἐπὶ πρόσωπον αὐτῆς διαπαντός. πόνῳ καὶ μάστιγι παιδευθήσῃ ἱερουσαλήμ. μὴ ἀποστῇ ἡ ψυχή μου ἀπὸ σοῦ. μὴ ποιήσωσι ἄβατον γῆν. ἥτις οὐ κατοικηθήσεται. ὅτι τάδε λέγει κύριος τῶν δυνάμεων, καλαμᾶσθε, καλαμᾶσθε, ὡς ἄμπελον τὰ κατάλοιπα τοῦ ἰσραήλ. ἐπιστρέψατε ὡς ὁ τρυγών. ἐπὶ τὴν κάρταλλον αὐτοῦ. πρὸς τίνα λαλήσω καὶ διαμαρτύρωμαι καὶ ἀκούσεται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν καὶ οὐ δύνανται ἀκούειν. ἰδοὺ τὸ ῥῆμα κυρίου ἐγένετο αὐτοῖς εἰς ὀνειδισμόν. οὐ μὴ βουληθῶσιν αὐτὸ ἀκοῦσαι. καὶ τὸν θυμόν μου ἔπλησα. καὶ ἐπέσχον καὶ συνετέλεσα αὐτούς. ἐκχεῶ ἐπὶ νήπια ἔξωθεν καὶ ἐπὶ συναγωγὴν νεανίσκων ἅμα. ὅτι ἀνὴρ καὶ γυνὴ συλληφθήσονται. πρεσβύτερος μετὰ πλήρους ἡμερῶν καὶ μεταστραφήσονται αἱ οἰκίαι αὐτῶν εἰς ἑτέρους. ἀγροὶ καὶ αἱ γυναῖκες αὐτῶν ἐπὶ τὸ αὐτό. ὅτι ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην λέγει κύριος. ὅτι ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου, πάντες συνετέλεσαν τὰ ἄνομα. ἀπὸ ἱερέως καὶ ἕως ψευδοπροφήτου, πάντες ἐποίησαν ψευδῆ. καὶ ἰῶντο τὸ σύντριμμα τοῦ λαοῦ μου. ἐξουθενοῦντες καὶ λέγοντες εἰρήνη. καὶ ποῦ ἐστιν εἰρήνη. κατῃσχύνθησαν ὅτι ἐξελείποσαν. καὶ οὐδ᾽ ὡς καταισχυνόμενοι κατῃσχύνθησαν, καὶ τὴν ἀτιμίαν αὐτῶν οὐκ ἔγνωσαν. διὰ τοῦτο πεσοῦνται ἐν τῇ πτώσει αὐτῶν. καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται εἶπε κύριος. τάδε λέγει κύριος στῆτε ἐπὶ ταῖς ὁδοῖς. καὶ ἴδετε, καὶ ἐρωτήσατε τρίβους κυρίου αἰωνίους. καὶ ἴδετε ποία ἐστὶν ἡ ὁδὸς ἡ ἀγαθὴ καὶ βαδίζετε ἐν αὐτῇ. καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν. καὶ εἶπαν, οὐ πορευσόμεθα. καθέστακα ἐφ᾽ ὑμᾶς σκοπούς, ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος. καὶ εἶπαν οὐκ ἀκουσόμεθα. διὰ τοῦτο ἤκουσαν τὰ ἔθνη καὶ οἱ ποιμαίνοντες τὰ ποίμνια αὐτῶν. ἄκουε γῆ. ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον κακά.

τὸν καρπὸν ἀποστροφῆς αὐτῶν, ὅτι τῷ λόγῳ μου οὐ προσέσχον
καὶ τὸν νόμον μου ἀπώσαντο. ἱνατί μοι λίβανον ἐκ σαβὰ φέρετε
καὶ κινάμωμον ἐκ γῆς μακρόθεν. καὶ ὁλοκαυτώματα ὑμῶν οὐκ
εἰσὶ δεκτὰ καὶ αἱ θυσίαι ὑμῶν. οὐχ ἥδυνάν με. διὰ τοῦτο τάδε
λέγει κύριος. ἰδοὺ ἐγὼ δίδωμι ἐπὶ τὸν λαὸν τοῦτον ἀσθένειαν. καὶ
ἀσθενήσουσιν ἐν αὐτῇ. πατέρες καὶ υἱοὶ ἅμα. γείτων καὶ ὁ πλη
σίον αὐτοῦ. ἀπολοῦνται. τάδε λέγει κύριος. ἰδοὺ λαὸς ἔρχεται
ἀπὸ βοῤῥᾶ. καὶ ἔθνη ἐξεγερθήσεται ἀπ' ἐσχάτου τῆς γῆς. τόξον
καὶ ζυβίνην κρατήσουσιν. ἰταμός ἐστι καὶ οὐκ ἐλεήσει. φωνὴ αὐ
τοῦ. ὡς θάλασσα κυμαίνουσα. ἐφ' ἵπποις καὶ ἅρμασι παρατάξε
ται. ὡς πῦρ εἰς πόλεμον πρὸς σὲ θύγατερ σιών. ἠκούσαμεν τὴν
ἀκοὴν αὐτῶν. παρελύθησαν αἱ χεῖρες ὑμῶν. θλίψις κατέσχεν
ὑμᾶς, ὠδῖνες ὡς τικτούσης. μὴ ἐκπορεύεσθε εἰς ἀγρὸν καὶ ἐν ταῖς
ὁδοῖς μὴ βαδίζετε. ὅτι ῥομφαία τῶν ἐχθρῶν παροικεῖ κυκλό
θεν. θύγατερ λαοῦ μου, περίζωσαι σάκκον. κατάπασαι σποδόν.
πένθος ἀγαπητοῦ. ποίησαι σεαυτῇ κοπετὸν οἰκτρόν. ὅτι ἐξαίφνης
ἥξει ταλαιπωρία ἐφ' ὑμᾶς. δοκιμαστὴν δέδωκά σε ἐν λαοῖς δε
δοκιμασμένοις, καὶ γνώσῃ ἐν τῷ δοκιμάσαι με τὴν ὁδὸν αὐ
τῶν. πάντες ἀνήκοοι πορευόμενοι σκολιῶς. χαλκὸς καὶ σί
δηρος, πάντες διεφθαρμένοι εἰσίν. ἐξέλιπε φυσητὴρ ἀπὸ πυ
ρὸς, ἐξέλιπε μόλιβδος. εἰς κενὸν ἀργυροκόπος ἀργυροκοπεῖ.
πονηρίαι αὐτῶν οὐκ ἐτάκησαν. ἀργύριον ἀποδεδοκιμασμένον
καλέσατε αὐτούς. ὅτι ἀπεδοκίμασεν αὐτοὺς κύριος.

Κεφάλαιον. ζ. 7.

Ἀκούσατε λόγον κυρίου πᾶσα ἰουδαία. τάδε λέγει
α κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραήλ. ἐὰν διορθώ
σητε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἐπιτηδεύματα ὑμῶν καὶ
κατοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ τούτῳ. μὴ πεποίθατε ἐφ' ἑαυτοῖς
ἐπὶ λόγοις ψευδέσιν. ὅτι τὸ παράπαν οὐκ ὠφελήσουσιν ὑμᾶς λέ
γοντες. ναὸς κυρίου ναὸς κυρίου ἐστίν, ὅτι ἐὰν διορθοῦντες διορθώ

ώσητε τὰς ὁδοὺς ὑμῶν καὶ τὰ ἐπιτηδεύματα ὑμῶν καὶ ποιοῦντες
ποιήσητε κρίσιν ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίου
αὐτοῦ. καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν, μὴ καταδυνα-
στεύσητε. καὶ αἷμα ἀθῷον οὐ μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ.
καὶ ὀπίσω θεῶν ἑτέρων μὴ πορεύησθε εἰς κακὸν ὑμῖν. καὶ κα-
τοικιῶ ὑμᾶς ἐν τῷ τόπῳ ὑμῶν ἐν τῇ γῇ ᾗ ἔδωκα τοῖς πατρά-
σιν ὑμῶν. ἐξ αἰῶνος καὶ ἕως αἰῶνος. εἰ δὲ ὑμεῖς πεποίθατε ἐπὶ λό-
γοις ψευδέσιν ὅθεν οὐκ ὠφεληθήσεσθε καὶ φονεύετε καὶ μοιχᾶ-
σθε. καὶ κλέπτετε καὶ ὀμνύετε ἐπ' ἀδίκῳ καὶ θυμιᾶτε τῇ βάαλ. καὶ
πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων ὧν οὐκ οἴδατε τοῦ κακῶς εἶναι ὑ-
μῖν. καὶ ἤλθετε καὶ ἔστητε ἐνώπιον ἐμοῦ ἐν τῷ οἴκῳ οὗ ἐπικέκλη-
ται τὸ ὄνομά μου ἐπ' αὐτῷ. καὶ εἴπατε ἀπεσχήμεθα τοῦ μὴ ποι-
εῖν πάντα τὰ βδελύγματα ταῦτα. μὴ σπήλαιον λῃστῶν ὁ οἶκός
μου οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐκεῖ ἐνώπιον ὑμῶν;
καὶ ἰδοὺ ἐγὼ ἑώρακα λέγει κύριος. ὅτι πορεύθητε, εἰς τὸν τό-
πον μου τὸν ἐν σηλὼμ οὗ κατεσκήνωσα τὸ ὄνομά μου ἐπ' αὐτῷ ἐκεῖ
ἔμπροσθεν. καὶ ἴδετε ἃ ἐποίησα αὐτῷ ἀπὸ προσώπου κακί-
ας λαοῦ μου ἰσραήλ. καὶ νῦν ἀνθ' ὧν ἐποιήσατε πάντα τὰ ἔργα
ταῦτα καὶ ἐλάλησα πρὸς ὑμᾶς καὶ οὐκ εἰσηκούσατέ μου. καὶ ἐ-
κάλεσα ὑμᾶς καὶ οὐκ ἀπεκρίθητε. τοίνυν κἀγὼ ποιήσω τῷ οἴ-
κῳ τούτῳ οὗ ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτῷ. ἐφ' ᾧ ὑμεῖς πε-
ποίθατε ἐπ' αὐτῷ. καὶ τῷ τόπῳ ἔδωκα ὑμῖν καὶ τοῖς πατρά-
σιν ὑμῶν. καθὼς ἐποίησα τῇ σηλώμ. καὶ ἀπορρίψω ὑμᾶς ἀπὸ
προσώπου μου καθὼς ἀπέρριψα τοὺς ἀδελφοὺς ὑμῶν, πᾶν τὸ
σπέρμα ἐφραίμ. καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου καὶ
μὴ ἀξίου τοῦ ἐλεηθῆναι αὐτούς. καὶ μὴ εὔχου καὶ μὴ προσέλθῃς
μοι περὶ αὐτῶν. ὅτι οὐκ εἰσακούσομαι. ἢ οὐχ ὁρᾷς τί αὐτοὶ ποι-
οῦσιν ἐν ταῖς πόλεσιν ἰούδα. καὶ ἐν ταῖς ὁδοῖς ἱερουσαλήμ; οἱ υἱοὶ
αὐτῶν, συλλέγουσι ξύλα. καὶ οἱ πατέρες αὐτῶν, καίουσι πῦρ καὶ
αἱ γυναῖκες αὐτῶν τρίβουσι σταῖς. τοῦ ποιῆσαι χαμῶνας τῇ στρα-

τιᾷ τοῦ οὐρανοῦ. καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις, ἵνα παροργ
γίσωσί με. μὴ ἐμὲ αὐτοὶ παροργίζουσι λέγει κύριος. οὐχὶ ἑ
αυτοὺς ὅπως καταισχυνθῇ τὰ πρόσωπα αὐτῶν, διὰ τοῦτο τά
δε λέγει κύριος. ἰδοὺ ὀργὴ καὶ θυμός μου χεῖται ἐπὶ τὸν τόπον
τοῦτον, καὶ ἐπὶ τοὺς ἀνθρώπους. καὶ ἐπὶ τὰ κτήνη. καὶ ἐπὶ πᾶν
ξύλον τοῦ ἀγροῦ αὐτῶν. καὶ ἐπὶ τὰ γεννήματα τῆς γῆς. καὶ καυ
θήσεται καὶ οὐ σβεσθήσεται. Τάδε λέγει κύριος. τὰ ὁλο
καυτώματα ὑμῶν, συναγάγετε μετὰ τῶν θυσιῶν ὑμῶν. καὶ
φάγετε κρέα. ὅτι οὐκ ἐλάλησα πρὸς τοὺς πατέρας ὑμῶν. καὶ
οὐκ ἐνετειλάμην αὐτοῖς ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς αἰ
γύπτου. περὶ ὁλοκαυτωμάτων καὶ θυσίας. ἀλλ' ἢ τὸ ῥῆμα τοῦτο.
ἐνετειλάμην αὐτοῖς λέγων. ἀκούσατε τῆς φωνῆς μου καὶ ἔσο
μαι ὑμῖν εἰς θεόν. καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς λαόν. καὶ πορεύε
σθε ἐν πάσαις ταῖς ὁδοῖς μου αἷς ἂν ἐντέλλωμαι ὑμῖν. ὅπως
ἂν ἄη ὑμῖν, καὶ οὐκ ἤκουσάν μου. οὐδὲ προσέσχε τὸ οὖς αὐτῶν.
ἀλλ' ἐπορεύθησαν ἐν τοῖς ἐνθυμήμασι τῆς καρδίας αὐτῶν τῆς
κακῆς, καὶ ἐγενήθησαν εἰς τὰ ὀπίσω καὶ οὐκ εἰς τὰ ἔμπροσθεν
ἀφ' ἧς ἡμέρας ἐξήλθοσαν οἱ πατέρες αὐτῶν ἐκ γῆς αἰγύπτου
καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐξαπέστειλα πρὸς αὐτοὺς πάν
τας τοὺς δούλους μου τοὺς προφήτας. ἡμέρας καὶ ὄρθρου. καὶ
ἀπέστειλα καὶ οὐκ εἰσήκουσάν μου καὶ οὐ προσέσχε τὸ οὖς αὐ
τῶν. καὶ ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν ὑπὲρ τοὺς πατέρας
αὐτῶν. καὶ ἐρεῖς αὐτοῖς τοῦτον τὸν λόγον. τοῦτο τὸ ἔθνος ὃ οὐκ ἤ
κουσε τῆς φωνῆς κυρίου αὐτῶν, οὐδὲ ἐδέξατο παιδίαν, ἐξέ
λιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν. κεῖραι τὴν κεφαλήν σου καὶ ἀ
πόῤῥιπτε καὶ ἀνάλαβε ἐπὶ χειλέων θρῆνον, ὅτι ἀπεδοκίμασε κύ
ριος καὶ ἀπώσατο τὴν γενεὰν τὴν ποιοῦσαν ταῦτα. ὅτι ἐποίη
σαν οἱ υἱοὶ ἰούδα τὸ πονηρὸν ἐναντίον ἐμοῦ λέγει κύριος. ἔτα
ξαν τὰ βδελύγματα αὐτῶν ἐν τῷ οἴκῳ. οὗ ἐπικλήθη τὸ ὄνο
μά μου ἐπ' αὐτὸν τοῦ μιᾶναι αὐτόν. καὶ ᾠκοδόμησαν τὸν βω

μῶν τοῦ ταφὲθ ὅς ἐστιν ἐν φάραγγι υἱοῦ ἐννόμ· τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυρί, ὃ οὐκ ἐνετειλάμην αὐτοῖς καὶ οὐ διενοήθην ἐν τῇ καρδίᾳ μου· διὰ τοῦτο ἡμέραι ἔρχονται λέγει κύριος καὶ οὐκ ἐροῦσιν ἔτι βωμὸς τοῦ ταφὲθ καὶ φάραγξ υἱοῦ ἐννόμ· ἀλλὰ φάραγξ τῶν ἀνῃρημένων καὶ θάψουσιν ἐν τῷ ταφέθ, παρὰ τὸ μὴ ὑπάρχειν τόπον· καὶ ἔσονται οἱ νεκροὶ τοῦ λαοῦ τούτου εἰς βρῶσιν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς· οὐκ ἔσται ὁ ἀποσοβῶν· καὶ καταλύσω ἐκ πόλεων ἰούδα καὶ ἐκ διόδων ἱερουσαλήμ· φωνὴν εὐφραινομένων, καὶ φωνὴν χαιρόντων· φωνὴν νυμφίου, καὶ φωνὴν νύμφης ὅτι εἰς ἐρήμωσιν ἔσται πᾶσα ἡ γῆ.

## Κεφάλαιον. η. ς.

Ν τῷ καιρῷ ἐκείνῳ λέγει κύριος, ἀνοίξουσι τὰ ὀστᾶ τῶν βασιλέων ἰούδα καὶ τὰ ὀστᾶ τῶν ἀρχόντων αὐτῶν, καὶ τὰ ὀστᾶ τῶν ἱερέων· καὶ τὰ ὀστᾶ τῶν προφητῶν αὐτῶν· καὶ τὰ ὀστᾶ τῶν κατοικούντων ἐν ἱερουσαλὴμ ἐκ τῶν τάφων αὐτῶν· καὶ ψύξουσιν αὐτὰ πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην καὶ πρὸς πάντας τοὺς ἀστέρας, καὶ πρὸς πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ ἃ ἠγάπησαν, καὶ οἷς ἐδούλευσαν καὶ ὧν ἐπορεύθησαν ὀπίσω αὐτῶν καὶ ὧν ἀντείχοντο· καὶ οἷς προσεκύνησαν αὐτοῖς οὐ κοπήσονται· καὶ οὐ ταφήσονται καὶ ἔσονται εἰς παράδειγμα τοῦ προσώπου πάσης τῆς γῆς, ὅτι εἵλοντο τὸν θάνατον, ἢ τὴν ζωήν, καὶ πᾶσιν τοῖς καταλοίποις τοῖς καταλειφθεῖσιν ἀπὸ τῆς γενεᾶς ἐκείνης· ἐν παντὶ τόπῳ οὗ ἐὰν ἐξώσω αὐτοὺς ἐκεῖ.

Ὅτι τάδε λέγει κύριος· μὴ ὁ πίπτων οὐκ ἀνίσταται, ἢ ὁ ἀποστρέφων οὐκ ἐπιστρέφει; διατί ἀπέστρεψεν ὁ λαὸς οὗτος, ἀποστροφὴν ἀναιδῆ καὶ κατεκρατήθησαν ἐν τῇ προαιρέσει αὐτῶν· καὶ οὐκ ἠθέλησαν τοῦ ἐπιστρέψαι· ἐνωτίσασθε δὴ καὶ ἀκούσατε· οὐχ οὕτω λαλήσουσιν, οὐκ ἔστιν ἄνθρωπος ὁ μετανοῶν ἀπὸ τῆς κακίας αὐτοῦ λέγων, τί ἐποίησα, διέλιπεν ὁ ἄρχων ἀπὸ τοῦ δρόμου αὐτοῦ

ὡς ἵππος καθιδρῶν ἐν χρεμετισμῷ αὐτοῦ. καὶ ἡ ἀσιδὰ ἐν τῷ οὐρανῷ ἔγνω τὸν καιρὸν αὐτῆς. τρυγὼν καὶ χελιδὼν ἀγροῦ στρουθία. ἐφύλαξαν καιροὺς εἰσόδων ἑαυτῶν. ὁ δὲ λαός μου οὗτος, οὐκ ἔγνωσαν τὰ κρίματα κυρίου. πῶς ἐρεῖτε, ὅτι σοφοί ἐσμεν ἡμεῖς. καὶ νόμος κυρίου μεθ' ἡμῶν ἐστι. εἰς μάτην ἐγενήθη σχοῖνος. ψευδὴς γραμματεῦσιν. ᾐσχύνθησαν σοφοὶ ἐπεκάλυψαν τὴν κεφαλὴν αὐτῶν. καὶ ἐπτοήθησαν καὶ ἑάλωσαν. ὅτι τὸν λόγον κυρίου ἀπεδοκίμασαν. σοφία τίς ἐστιν ἐν αὐτοῖς; διατοῦτο, δώσω τὰς γυναῖκας αὐτῶν ἑτέροις. καὶ τοὺς ἀγροὺς αὐτῶν, τοῖς κληρονόμοις. καὶ συνάξουσι τὰ γεννήματα αὐτῶν λέγει κύριος. οὐκ ἔστι σταφυλὴ ἐν ταῖς ἀμπέλοις. καὶ οὐκ ἔστι σῦκα ἐν ταῖς συκαῖς. καὶ τὰ φύλλα κατεῤῥύηκεν. καὶ ἐπὶ τί ἡμεῖς καθήμεθα; συνάχθητε καὶ εἰσέλθωμεν εἰς τὰς πόλεις τὰς ὀχυρὰς καὶ ἀποῤῥιφθῶμεν ἐκεῖ. ὅτι ὁ θεὸς ἀπέῤῥιψεν ἡμᾶς, καὶ ἐπότισεν ἡμᾶς ὕδωρ χολῆς, ὅτι ἡμάρτομεν ἐναντίον αὐτοῦ. συνήχθημεν εἰς εἰρήνην. καὶ οὐκ ἦν ἀγαθὰ εἰς καιρὸν ἰάσεως. καὶ οὐκ ἦν σπουδὴ ἐκ δάν. ἀκουσώμεθα φωνὴν ὀξύτητος ἵππων αὐτοῦ. ἀπὸ φωνῆς χρεμετισμοῦ ἱππασίας ἵππων αὐτοῦ. ἐσείσθη πᾶσα ἡ γῆ, καὶ ἥξει καὶ καταφάγεται τὴν γῆν, καὶ τὸ πλήρωμα αὐτῆς. πόλιν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ. διότι ἰδοὺ ἐγὼ ἐξαποστέλλω εἰς ὑμᾶς ὄφεις θανατοῦντας, οἷς οὐκ ἔστιν ἐπᾶσαι καὶ δήξονται ὑμᾶς ἀνίατα μετ' ὀδύνης καρδίας ὑμῶν ἀπορουμένης. ἰδοὺ κραυγή, φωνὴ κραυγῆς θυγατρὸς λαοῦ μου ἀπὸ γῆς μακρόθεν. μὴ κύριος οὐκ ἔστιν ἐν σιών, ἢ βασιλεὺς οὐκ ἔστιν ἐκεῖ, διότι παρώργισάν με, ἐν τοῖς γλυπτοῖς αὐτῶν. καὶ ἐν ματαίοις ἀλλοτρίοις. διῆλθε θέρος παρῆλθεν ἀμητὸς καὶ ἡμεῖς οὐ διεσώθημεν. ἐπὶ συντρίμματι θυγατρὸς λαοῦ μου ἐσκοτιάσθην. ἐν ἀπορίᾳ κατίσχυσάν με ὠδῖνες, ὡς τικτούσης. καὶ μὴ ῥητίνη οὐκ ἔστιν ἐν γαλαάδ, ἢ ἰατρὸς οὐκ ἔστιν ἐκεῖ. διατί οὐκ ἀνέβη ἴασις θυγατρὸς λαοῦ μου.

Κεφάλαιον. θ. 9.

Τίς δώσει τῇ κεφαλῇ μου ὕδωρ, καὶ τοῖς ὀφθαλμοῖς
μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαόν μου τοῦ-
τον ἡμέρας καὶ νυκτὸς τοὺς τετραυματισμένους θυγα-
τρὸς λαοῦ μου. τίς δώσει μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον καὶ κα-
ταλείψω τὸν λαόν μου, καὶ ἀπελεύσομαι ἀπ᾽ αὐτῶν, ὅτι πάντες
μοιχῶνται. σύνοδος ἀθετούντων, καὶ ἐνέτειναν τὴν γλῶσσαν αὐ-
τῶν, ὡς τόξον. ψεῦδος, καὶ οὐ πίστις ἐνίσχυσαν ἐπὶ τῆς γῆς. ὅτι
ἐκ κακῶν εἰς κακὰ ἐξήλθοσαν, καὶ ἐμὲ οὐκ ἔγνωσαν. φησὶ κύρι-
ος ἕκαστος ἀπὸ τοῦ πλησίον αὐτοῦ φυλάξασθε. καὶ ἐπ᾽ ἀδελφοῖς
αὐτῶν μὴ πεποίθατε. ὅτι πᾶς ἀδελφὸς, πτέρνῃ πτερνιεῖ, καὶ πᾶς
φίλος, δολίως πορεύσεται, ἕκαστος κατὰ τοῦ φίλου αὐτοῦ, κατα-
παίξεται. ἀλήθειαν οὐ μὴ λαλήσωσι, μεμάθηκεν ἡ γλῶσσα αὐ-
τῶν λαλεῖν ψευδῆ. ἠδίκησαν καὶ οὐ διέλιπον τοῦ ἐπιστρέψαι, τό-
κος ἐπὶ τόκῳ, δόλος ἐπὶ δόλῳ. οὐκ ἠθέλησαν εἰδέναι με φησὶ κύ-
ριος. διὰ τοῦτο τάδε λέγει κύριος τῶν δυνάμεων. ἰδοὺ ἐγὼ πυ-
ρώσω αὐτοὺς, καὶ δοκιμῶ αὐτοὺς, ὅτι ποιήσω ἀπὸ προσώπου
πονηρίας θυγατρὸς λαοῦ μου. βολὶς τιτρώσκουσα ἡ γλῶσσα αὐτῶν
δόλια τὰ ῥήματα τοῦ στόματος αὐτῶν. τῷ πλησίον αὐτοῦ, λα-
λεῖ εἰρηνικά. καὶ ἐν ἑαυτῷ ἔχει τὴν ἔχθραν. μὴ ἐπὶ τούτοις οὐκ ἐ-
πισκέψομαι λέγει κύριος, ἢ ἐν λαῷ τοιούτῳ, οὐκ ἐκδικήσει ἡ
ψυχή μου. ἐπὶ τὰ ὄρη λάβετε κοπετὸν, καὶ ἐπὶ τὰς τρίβους τῆς
ἐρήμου θρῆνον. ὅτι ἐξέλιπον παρὰ τὸ μὴ εἶναι ἀνθρώπους. οὐκ
ἤκουσαν φωνὴν ὑπάρξεως ἀπὸ πετεινῶν τοῦ οὐρανοῦ καὶ ἕως κτη-
νῶν ἐξέστησαν. ᾤχοντο καὶ δώσω τὴν ἱερουσαλὴμ εἰς μετοικίαν καὶ
εἰς κατοικητήριον δρακόντων. καὶ τὰς πόλεις ἰούδα εἰς ἀφανι-
σμὸν θήσομαι παρὰ τὸ μὴ κατοικεῖσθαι. τίς ἄνθρωπος ὁ συνετὸς
καὶ συνέτω τοῦτο, καὶ ᾧ λόγος στόματος κυρίου πρὸς αὐτὸν, ἀναγγει-
λάτω ὑμῖν, ἕνεκεν τίνος ἀπώλετο ἡ γῆ. ἀνήφθη, ὡς ἔρημος πα-
ρὰ τὸ μὴ διοδεύεσθαι αὐτήν. Καὶ εἶπε κύριος πρός με. διὰ τὸ

ἐγκαταλιπεῖν αὐτοὺς τὸν νόμον μου, ὃν ἔδωκα πρὸ προσώπου αὐτῶν. καὶ οὐκ ἤκουσαν τῆς φωνῆς μου, ἀλλ᾿ ἐπορεύθησαν ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας αὐτῶν τῆς κακῆς. καὶ ὀπίσω τῶν εἰδώλων ἃ ἐδίδαξαν αὐτοὺς οἱ πατέρες αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραήλ. ἰδοὺ ἐγὼ ψωμίζω αὐτοὺς ἀνάγκας. καὶ ποτιῶ αὐτοὺς ὕδωρ χολῆς. καὶ διασκορπιῶ αὐτοὺς ἐν τοῖς ἔθνεσιν εἰς οὓς οὐκ ἐπεγίνωσκον αὐτοί. καὶ οἱ πατέρες αὐτῶν. καὶ ἀποστελῶ εἰς αὐτοὺς τὴν μάχαιραν, ἕως τοῦ ἐξαναλῶσαι αὐτοὺς ἐν αὐτῇ. τάδε λέγει κύριος. καλέσατε τὰς θρηνούσας, καὶ ἐλθέτωσαν καὶ πρὸς τὰς σοφὰς ἀποστείλατε καὶ φθεγξάσθωσαν καὶ λαβέτωσαν ἐφ᾿ ὑμᾶς θρῆνον. καὶ καταγαγέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν, δάκρυα. καὶ τὰ βλέφαρα ὑμῶν ῥείτω ὕδωρ. ὅτι φωνὴ οἴκτου οἴκτου ἐν σιών. πῶς ἐταλαιπωρήσαμεν κατῃσχύνθημεν σφόδρα. ὅτι ἐγκατελίπομεν τὴν γῆν, καὶ ἀπερρίψαμεν τὰ σκηνώματα ἡμῶν, ἀκούσατε δὴ γυναῖκες λόγον θεοῦ, καὶ δεξάσθω τὰ ὦτα ὑμῶν, λόγους στόματος αὐτοῦ. καὶ διδάξατε τὰς θυγατέρας ὑμῶν οἶκτον. καὶ γυνὴ τὴν πλησίον αὐτῆς θρῆνον. ὅτι ἀνέβη θάνατος διὰ τῶν θυρίδων ὑμῶν. εἰσῆλθεν εἰς τὴν γῆν ὑμῶν. τοῦ ἐκτρῖψαι νήπια ἔξωθεν. καὶ νεανίσκους ἀπὸ τῶν πλατειῶν. καὶ ἔσονται οἱ νεκροὶ τῶν ἀνθρώπων εἰς παράδειγμα ἐπὶ προσώπου τοῦ πεδίου τῆς γῆς ὑμῶν. καὶ ὡς χόρτος ὀπίσω θερίζοντος. καὶ οὐκ ἔσται ὁ συνάγων.

Τάδε λέγει κύριος. μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ. καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ. ἀλλ᾿ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν, ὅτι ἐγώ εἰμι κύριος ὁ ποιῶν ἔλεος καὶ κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. ὅτι ἐν τούτοις τὸ θέλημά μου λέγει κύριος. ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος καὶ ἐπισκέψομαι ἐπὶ πάντας περιτετμημένους, ἀκροβυστίας αὐτῶν ἐπ᾿ αἴγυπτον. καὶ ἐπὶ τὴν ἰδουμαίαν καὶ ἐπὶ ἐδώμ, καὶ ἐπὶ

τοὺς υἱοὺς ἀμμών. καὶ ἐπὶ τοὺς υἱοὺς μωάβ. καὶ ἐπὶ πάντα περι-
κειρόμενον τὰ κατὰ πρόσωπον αὐτοῦ, τοὺς κατοικοῦντας ἐν τῇ ἐ-
ρήμῳ, ὅτι πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ καὶ πᾶς οἶκος ἰσ-
ραήλ, ἀπερίτμητοι καρδίαις αὐτῶν.

Κεφ. ι. 10.

Κούσατε λόγον κυρίου ὃν ἐλάλησεν ἐφ' ὑμᾶς οἶκος
α ἰσραήλ, τάδε λέγει κύριος. κατὰ τὰς ὁδοὺς τῶν ἐ-
θνῶν μὴ μανθάνετε, καὶ ἀπὸ τῶν σημείων τοῦ οὐρα-
νοῦ, μὴ φοβεῖσθε. ὅτι φοβοῦνται αὐτὰ τοῖς προσώποις αὐτῶν. ὅτι
τὰ νόμιμα τῶν ἐθνῶν μάταια. ξύλον ἐστὶν ἐκ τοῦ δρυμοῦ ἐκκε-
καυμένον. ἔργον τέκτονος καὶ χώνευμα. ἀργυρίῳ, καὶ χρυσίῳ
κεκαλλωπισμένα ἐστὶν ἐν σφύραις. καὶ ἥλοις ἐστερέωσαν αὐτά.
θήσουσιν αὐτά, καὶ οὐ κινηθήσονται. ἀργύρεον τορευτόν ἐστιν οὐ
πορεύσονται. ἀργύρεον προσβλητόν ἐστι ἀπὸ θαρσεῖς ἥξει χρυσί-
ον, μωφάζ. καὶ χεὶρ χρυσοχόων. ἔργα τεχνιτῶν. πάντα ὑάκιν-
θον καὶ πορφύραν ἐνδύσουσιν αὐτά. αἰρόμενα ἀρθήσονται. ὅτι
οὐκ ἐπιβήσονται. μὴ φοβηθῆτε αὐτά. ὅτι οὐ μὴ κακοποιήσωσι
καὶ ἀγαθὸν οὐκ ἔστιν ἐν αὐτοῖς. οὕτως ἐρεῖτε αὐτοῖς. θεοὶ οἳ τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν, οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐκ τῆς γῆς καὶ
ἀπὸ κάτωθεν τοῦ οὐρανοῦ τούτου. θεὸς ὁ ποιήσας τὴν γῆν. ἐν τῇ ἰ-
σχύϊ αὐτοῦ. ὁ ἀνορθώσας τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ
τῇ φρονήσει αὐτοῦ, ἐξέτεινε τὸν οὐρανόν. καὶ πλῆθος ὕδατος ἐν
οὐρανῷ. καὶ ἀνήγαγε νεφέλας ἐξ ἐσχάτου τῆς γῆς. ἀστραπὰς εἰς
ὑετὸν ἐποίησε. καὶ ἐξήγαγε ἀνέμους φῶς ἐκ θησαυρῶν αὐτῶν.
ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως. κατῃσχύνθη πᾶς χρυ-
σοχόος ἐπὶ τοῖς γλυπτοῖς αὐτοῦ. ὅτι ψευδῆ ἐχώνευσαν. οὐκ ἔστι
πνεῦμα ἐν αὐτοῖς. μάταιά ἐστιν ἔργα ἐμπεπαιγμένα. ἐν καιρῷ
ἐπισκοπῆς αὐτῶν ἀπολοῦνται. οὐκ ἔστι τοιαύτη μερὶς τῷ ἰακώβ. ὅτι ὁ
πλάσας τὰ πάντα, αὐτὸς κληρονομία αὐτοῦ. κύριος ὄνομα αὐτῷ.
συνήγαγεν ἔξωθεν τὴν ὑπόστασίν σου κατοικοῦσαν ἐν ἐκλεκτοῖς

ὅτι τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ σκελίζω τοὺς κατοικοῦντας
τὴν γῆν ταύτην ἐν θλίψει. καὶ ἐκθλίψω αὐτούς. ὅπως εὑρεθῇ
ἡ πληγή σου. οὐαὶ ἐπὶ συντρίμματί σου. ἀλγηρὰ ἡ πληγή σου.
κἀγὼ εἶπα οὕτως τοῦτο τὸ τραῦμά σου. καὶ κατέλαβέ σε. ἡ σκη-
νή σου ἐταλαιπώρησεν, ὤλετο. καὶ πᾶσαι αἱ δέῤῥεις μου διεσπά-
σθησαν. οἱ υἱοί μου καὶ τὰ πρόβατά μου οὐκ εἰσίν. οὐκ ἔστιν ἔτι
τόπος τῆς σκηνῆς μου τόπος τῶν δέῤῥεών μου. ὅτι οἱ ποιμέ-
νες ἠφρονεύσαντο, καὶ τὸν κύριον οὐκ ἐξεζήτησαν. διὰ τοῦτο οὐκ ἐνόη-
σε πᾶσα ἡ νομή, καὶ διεσκορπίσθησαν, φωνὴ ἀκοῆς ἰδοὺ ἔρ-
χεται. καὶ σεισμὸς μέγας ἐκ γῆς βοῤῥᾶ τοῦ τάξαι τὰς πόλεις
ἰούδα εἰς ἀφανισμὸν καὶ κοίτην στρουθῶν. οἶδα κύριε ὅτι οὐχὶ
τοῦ ἀνθρώπου ἡ ὁδὸς αὐτοῦ. οὐδ᾽ ἀνὴρ πορεύσεται καὶ κατορθώσει
πορείαν αὐτοῦ. παίδευσον ἡμᾶς κύριε, πλὴν ἐν κρίσει καὶ μὴ
ἐν θυμῷ, ἵνα μὴ ὀλιγοστοὺς ἡμᾶς ποιήσῃς. ἔκχεον τὸν θυμόν
σου ἐπὶ ἔθνη τὰ μὴ εἰδότα σε. καὶ ἐπὶ βασιλείας αἳ τὸ ὄνομά σου
οὐκ ἐπεκαλέσαντο. ὅτι κατέφαγον τὸν ἰακὼβ καὶ ἐξανάλωσαν
τὸν ἰσραήλ.

Κεφ. ια. 11.

Λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν λέ-
ὁ γων. Ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης καὶ
λαλήσεις πρὸς ἄνδρας ἰούδα. καὶ πρὸς τοὺς κατοι-
κοῦντας ἐν ἱερουσαλήμ. καὶ ἐρεῖς πρὸς αὐτούς. Τάδε λέγει
κύριος ὁ θεὸς ἰσραήλ. ἐπικατάρατος ὁ ἄνθρωπος ὃς οὐκ ἀκού-
σεται τῶν λόγων τῆς διαθήκης ταύτης, ἧς ἐνετειλάμην τοῖς πα-
τράσιν ὑμῶν, ἐν ἡμέρᾳ ᾗ ἀνήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου ἐκ
καμίνου τῆς σιδηρᾶς. λέγων, ἀκούσατε τῆς φωνῆς μου καὶ ποιή-
σατε πάντα ὅσα ἐὰν ἐντέλλωμαι ὑμῖν, καὶ ἔσεσθέ μοι εἰς λαόν,
καὶ ἐγὼ ἔσομαι ὑμῖν εἰς θεόν. ὅπως στήσω τὸν ὅρκον μου, ὃν ὤμο-
σα τοῖς πατράσιν ὑμῶν τοῦ δοῦναι αὐτοῖς γῆν ῥέουσαν γάλα καὶ
μέλι. καθὼς ἡ ἡμέρα αὕτη. καὶ ἀπεκρίθην καὶ εἶπα, γένοιτο
κύριε. καὶ εἶπε κύριος πρός με. ἀνάγνωθι τοὺς λόγους τούτους

ἐν πόλεσιν ἰούδα καὶ ἔξωθεν ἱερουσαλὴμ λέγων, ἀκούσατε τοὺς λόγους τῆς διαθήκης ταύτης, καὶ ποιήσατε αὐτοὺς καὶ οὐκ ἐποίησαν. καὶ εἶπε κύριος πρός με. εὑρέθη σύνδεσμος ἐν ἀνδράσιν ἰούδα, καὶ ἐν τοῖς κατοικοῦσιν ἐν ἱερουσαλήμ. ἐπεστράφησαν ἐπὶ τὰς ἀδικίας τῶν πατέρων αὐτῶν τῶν προτέρων. οἳ οὐκ ἠθέλησαν ἐπακούειν τῶν λόγων μου. καὶ ἰδοὺ αὐτοὶ πορεύονται ὀπίσω θεῶν ἀλλοτρίων. τοῦ δουλεύειν αὐτοῖς. καὶ διεσκέδασαν οἶκος ἰσραὴλ καὶ οἶκος ἰούδα, τὴν διαθήκην μου. ἣν διεθέμην πρὸς τοὺς πατέρας αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ τὸν λαὸν τοῦτον, κακά. ἐξ ὧν οὐ δυνήσονται ἐξελθεῖν ἐξ αὐτῶν. καὶ κεκράξονται πρός με, καὶ οὐκ εἰσακούσομαι αὐτῶν. καὶ πορεύσονται πόλεις ἰούδα καὶ οἱ κατοικοῦντες ἱερουσαλήμ. καὶ κεκράξονται πρὸς τοὺς θεοὺς αὐτῶν. οἷς αὐτοὶ θυμιῶσιν αὐτοῖς. οἳ μὴ σώσουσιν αὐτοὺς ἐν τῷ καιρῷ τῆς κακώσεως αὐτῶν. ὅτι κατ' ἀριθμὸν τῶν πόλεών σου ἦσαν θεοί σου ἰούδα. καὶ κατ' ἀριθμὸν ἐξόδων τῆς ἱερουσαλήμ. ἔταξαν βωμοὺς θυμιᾶν τῇ βααλ. καὶ σὺ μὴ προσεύχου περὶ τοῦ λαοῦ τούτου. καὶ μὴ ἀξίου περὶ αὐτῶν ἐν δεήσει. καὶ προσευχῇ. ὅτι οὐκ εἰσακούσομαι ἐν τῷ καιρῷ ἐν ᾧ ἐπικαλοῦνταί με. ἐν καιρῷ κακώσεως αὐτῶν. τί ἡ ἠγαπημένη ἐν τῷ οἴκῳ μου ἐποίησε βδέλυγμα. μὴ εὐχαὶ καὶ κρέα ἅγια ἀφελοῦσιν ἀπὸ σοῦ τὰς κακίας σου ἢ τούτοις διαφεύξῃ, ἐλαίαν ὡραίαν εὔσκιον τῷ εἴδει, ἐκάλεσε κύριος τὸ ὄνομά σου εἰς φωνὴν περιτομῆς αὐτῆς ἐφύτευσεν. ἠχρειώθησαν οἱ κλάδοι αὐτῆς. καὶ κύριος τῶν δυνάμεων ὁ καταφυτεύσας σε ἐλάλησεν, ἐπὶ σὲ κακά, ἀντὶ τῆς κακίας οἴκου ἰσραὴλ. καὶ οἴκου ἰούδα, ὅτι ἐποίησαν ἑαυτοῖς τοῦ παροργίσαι με ἐν τῷ θυμιᾶν αὐτοὺς τῇ βάαλ. Κύριε γνώρισόν μοι καὶ γνώσομαι. τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν. ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι. οὐκ ἔγνων, ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν λέγοντες. δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ,

καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων· καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ
μνησθῇ οὐκέτι. κύριε κρίνων δίκαια δοκιμάζων νεφροὺς καὶ καρ-
δίας· ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν· ὅτι πρὸς σὲ ἀ-
πεκάλυψα τὸ δικαίωμά μου. διὰ τοῦτο τάδε λέγει κύριος, ἐπὶ
τοὺς ἄνδρας ἀναθὼθ τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγον-
τας, οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνόματι κυρίου εἰ δὲ μὴ ἀπο-
θανῇ ἐν ταῖς χερσὶν ἡμῶν. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ᾽ αὐτούς·
οἱ νεανίσκοι αὐτῶν, ἐν μαχαίρᾳ ἀποθανοῦνται· καὶ οἱ υἱοὶ αὐτῶν
καὶ αἱ θυγατέρες αὐτῶν, τελευτήσουσιν ἐν λιμῷ, καὶ ἐγκαταλ-
λειμμα οὐκ ἔσται αὐτῶν. ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας
ἐν ἀναθὼθ. ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν.

## Κεφάλαιον ιβ. 12.

Δίκαιος εἶ κύριε. ὅτι ἀπολογήσομαι πρὸς σέ. πλὴν κρί-
ματα λαλήσω πρὸς σέ. τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦ-
ται εὐθύνουσι πάντες οἱ ἀθετοῦντες ἀθετήματα. ἐφύτευσας
αὐτοὺς καὶ ἐριζώθησαν· ἐτεκνοποίησαν καὶ ἐποίησαν καρπόν·
ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν καὶ πόρρω ἀπὸ τῶν νεφρῶν αὐ-
τῶν. καὶ σὺ κύριε γινώσκεις με. δεδοκίμακας τὴν καρδίαν μου
ἐναντίον σου. ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν. ἄθροι-
σον αὐτοὺς ὥσπερ πρόβατα εἰς σφαγήν. ἕως πότε πενθήσει ἡ
γῆ. καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν
κατοικούντων ἐν αὐτῇ. ἠφανίσθησαν κτήνη καὶ πετεινά, ὅτι εἶ-
παν οὐκ ὄψεται ὁ θεὸς ὁδοὺς ἡμῶν. σοῦ οἱ πόδες τρέχουσι καὶ
ἐκλύουσί σε. πῶς παρασκευάσῃ ἐφ᾽ ἵππους καὶ ἐν γῇ εἰρήνης
σὺ πέποιθας. πῶς ποιήσεις ἐν φρυάγματι τοῦ ἰορδάνου. ὅτι καὶ
οἱ ἀδελφοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου, καὶ οὗτοι ἠθέτησάν
σε καὶ αὐτοὶ ἐβόησαν ἐκ τῶν ὀπίσω σου· ἐπισυνήχθησαν. μὴ
πιστεύσῃς ἐν αὐτοῖς ὅτι λαλήσουσι πρὸς σὲ εἰρηνικά. Ἐγκα-
ταλέλοιπα τὸν οἶκόν μου· ἀφῆκα τὴν κληρονομίαν μου. ἔδωκα
τὴν ἠγαπημένην ψυχήν μου, εἰς χεῖρας ἐχθρῶν αὐτῆς. ἐγενή-

θη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ. ἔδωκεν ἐπ᾽ ἐμὲ τὴν φωνὴν αὐτῆς. διὰ τοῦτο ἐμίσησα αὐτήν. μὴ σπήλαιον ὑαίνης ἡ κληρονομία μου ἐμοί. ἢ σπήλαιον κύκλῳ αὐτῆς. βαδίσατε συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν. ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου. ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου. εἰς ἔρημον ἄβατον ἐγενήθησαν εἰς ἀφανισμὸν ἀπωλείας, δι᾽ ἐμὲ ἀφανισμῷ ἠφανίσθη πᾶσα ἡ γῆ, ὅτι οὐκ ἔστιν ἀνὴρ τιθέμενος ἐν καρδίᾳ ἐπὶ πᾶσαν διεκβολήν. ἐν τῇ ἐρήμῳ ἦλθοσαν ταλαιπωροῦντες. ὅτι μάχαιρα τοῦ κυρίου καταφάγεται ἀπ᾽ ἄκρου τῆς γῆς, καὶ ἕως ἄκρου τῆς γῆς οὐκ ἔστιν εἰρήνη πάσῃ σαρκί. ἐσπείρατε πυρούς, καὶ ἀκάνθας ἐθερίσατε. οἱ κλῆροι αὐτῶν, οὐκ ὠφελήσουσιν αὐτούς. αἰσχύνθητε ἀπὸ καυχήσεως ὑμῶν. ἀπὸ ὀνειδισμοῦ ἔναντι κυρίου. Ὅτι τάδε λέγει κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν τῶν ἁπτομένων τῆς κληρονομίας μου ἧς ἐμέρισα τῷ λαῷ μου ἰσραήλ. ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν. καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτούς, ἀναστρέψω καὶ ἐλεήσω αὐτούς. καὶ κατοικιῶ αὐτούς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ. καὶ ἔσται ἐὰν μαθόντες μάθωσι τὴν ὁδὸν τοῦ λαοῦ μου τοῦ ὀμνύειν τῷ ὀνόματί μου, ζῇ κύριος καθὼς ἐδίδαξαν τὸν λαόν μου ὀμνύειν τῇ βαάλ καὶ οἰκοδομηθήσεται ἐν μέσῳ τοῦ λαοῦ μου. ἐὰν δὲ μὴ ἐπιστρέψωσι, καὶ ἐξαρῶ τὸ ἔθνος ἐκεῖνο ἐξ ἄρσει καὶ ἀπωλείᾳ.

## Κεφάλαιον ιγ. 13.

Αδε λέγει κύριος. βάδισον καὶ κτῆσαι σεαυτῷ πε-
τ ρίζωμα λινοῦν. καὶ περίθου περὶ τὴν ὀσφύν σου καὶ ἐν
ὕδατι οὐ διελεύσεται. καὶ ἐκτησάμην τὸ περίζωμα κατὰ τὸν λόγον κυρίου, καὶ περιέθηκα περὶ ὀσφύν μου. καὶ ἐγενήθη

λόγος κυρίου πρός με λέγων. λάβε τὸ περίζωμα τὸ περὶ τὴν ὀ-
σφύν σου, καὶ ἀνάστηθι. καὶ βάδισον εἰς τὸν εὐφράτην, καὶ κατά-
κρυψον αὐτὸ ἐκεῖ ἐν τῇ τρυμαλιᾷ τῆς πέτρας. καὶ ἐπορεύθην
καὶ ἔκρυψα αὐτὸ, ἐν τῷ εὐφράτῃ, καθὼς ἐνετείλατό μοι κύρι-
ος. καὶ ἐγένετο καθ' ἡμέρας πολλάς. καὶ εἶπε κύριος πρός με. ἀ-
νάστηθι, καὶ βάδισον εἰς τὸν εὐφράτην, καὶ λάβε ἐκεῖθεν τὸ περίζω-
μα ὃ ἐνετειλάμην σοι τοῦ κατακρύψαι ἐκεῖ. καὶ ἐπορεύθην ἐπὶ
τὸν εὐφράτην ποταμὸν, καὶ ὤρυξα καὶ ἔλαβον τὸ περίζωμα ἐκ
τοῦ τόπου οὗ, κατώρυξα αὐτὸ ἐκεῖ. καὶ ἰδοὺ διεφθαρμένον ἦν.
ὃ οὐ μὴ χρησθῇ εἰς οὐθέν. καὶ ἐγενήθη λόγος κυρίου πρός με λέ-
γων. τάδε λέγει κύριος οὕτω φθερῶ τὴν ὕβριν ἰούδα καὶ τὴν
ὕβριν ἱερουσαλὴμ τὴν πολλὴν ταύτην ὕβριν. τοὺς μὴ βουλομέ-
νους ὑπακούειν τῶν λόγων μου, καὶ πορευθέντας ὀπίσω θεῶν ἀλ-
λοτρίων τοῦ δουλεύειν αὐτοῖς. καὶ τοῦ προσκυνεῖν αὐτοῖς. καὶ ἔσονται
ὥσπερ τὸ περίζωμα τοῦτο, ὃ οὐ χρησθήσεται εἰς οὐθέν. ὅτι καθάπερ
κολλᾶται τὸ περίζωμα περὶ τὴν ὀσφὺν τοῦ ἀνθρώπου, οὕτως ἐ-
κόλλησα πρὸς ἐμαυτὸν τὸν οἶκον τοῦ ἰσραήλ. καὶ πάντα οἶκον ἰ-
ούδα τοῦ γενέσθαι μοι εἰς λαὸν ὀνομαστὸν καὶ εἰς καύχημα καὶ
εἰς δόξαν. καὶ οὐκ ὑπήκουσάν μου. καὶ ἐρεῖς πρὸς τὸν λαὸν τοῦ-
τον. πᾶς ἀσκὸς πληρωθήσεται οἴνου. καὶ ἔσται ἐὰν εἴπωσι πρὸς
σε μὴ γνόντες, οὐ γνωσόμεθα. ὅτι πᾶς ἀσκὸς πληρωθήσεται
οἴνου, καὶ ἐρεῖς πρὸς αὐτοὺς τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ πλη-
ρῶ τοὺς κατοικοῦντας τὴν γῆν ταύτην καὶ τοὺς βασιλεῖς αὐτῶν τοὺς
καθημένους υἱοὺς τοῦ δαβίδ. ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ τοὺς ἱερεῖς
καὶ τοὺς προφήτας, καὶ τὸν ἰούδαν καὶ πάντας τοὺς κατοικοῦν-
τας ἐν ἱερουσαλήμ. μεθύσματι, καὶ διασκορπιῶ αὐτοὺς ἄνδρα
καὶ τὸν ἀδελφὸν αὐτοῦ. καὶ τοὺς πατέρας αὐτῶν, καὶ τοὺς υἱοὺς αὐ-
τῶν ἐν τῷ αὐτῷ. καὶ οὐκ ἐπιποθήσω λέγει κύριος. καὶ οὐ φείσο-
μαι καὶ οὐκ οἰκτειρήσω ἀπὸ διαφορᾶς αὐτῶν. ἀκούσατε καὶ ἐνω-
τίσασθε καὶ μὴ ἐπαίρεσθε, ὅτι κύριος ἐλάλησε. δότε τῷ κυ-

ρίῳ θεῷ ὑμῶν δόξαν πρὸ τοῦ συσκοτάσαι. καὶ πρὸ τοῦ προσκόψαι πόδας ὑμῶν ἐπ' ὄρη σκοτεινά. καὶ ἀναμενεῖτε εἰς φῶς, καὶ ἐκεῖ σκιὰ θανάτου. καὶ τεθήσονται εἰς σκότος. ἐὰν δὲ μὴ ἀκούσητε κεκρυμμένως. κλαύσεται ἡ ψυχὴ ὑμῶν, ἀπὸ προσώπου ὕβρεως. καὶ κατάξουσιν οἱ ὀφθαλμοὶ ὑμῶν δάκρυα, ὅτι συνετρίβη τὸ ποίμνιον κυρίου. εἴπατε τῷ βασιλεῖ καὶ τοῖς δυναστεύουσι. ταπεινώθητε καὶ καθίσατε, ὅτι καθῃρέθη ἀπὸ κεφαλῆς ὑμῶν, στέφανος δόξης ὑμῶν. πόλεις αἱ πρὸς νότον, συνεκλείσθησαν. καὶ οὐκ ἦν ὁ ἀνοίγων. ἀπῳκίσθη ἰούδας. συνετέλεσαν ἀποικίαν τελείαν. ἀνάλαβε ὀφθαλμούς σου ἱερουσαλήμ, καὶ ἴδε τοὺς ἐρχομένους ἀπὸ βορρᾶ, ποῦ ἐστι τὸ ποίμνιον ὃ ἐδόθη σοι πρόβατα δόξης σου. τί ἐρεῖς ὅταν ἐπισκέπτωνταί σε; καὶ σὺ ἐδίδαξας αὐτοὺς ἐπὶ σὲ μαθήματα εἰς ἀρχὴν. οὐκ ὠδῖνες καθέξουσί σε καθὼς γυναῖκα τίκτουσαν. καὶ ἐὰν εἴπῃς ἐν τῇ καρδίᾳ σου, διὰ τί ἀπήντησέ μοι ταῦτα; διὰ τὸ πλῆθος τῆς ἀδικίας σου. Ἀνεκαλύφθη τὰ ὀπίσθιά σου παραδειγματισθῆναι τὰς πτέρνας σου. εἰ ἀλλάξεται αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς, καὶ ὑμεῖς δυνήσεσθε εὐποιῆσαι μεμαθηκότες τὰ κακά. καὶ διέσπειρα αὐτούς, ὡς φρύγανα φερόμενα ὑπὸ ἀνέμου εἰς ἔρημον, οὕτως ὁ κλῆρός σου, καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς ἐμοὶ λέγει κύριος ὡς ἐπελάθου μου. καὶ ἤλπισας ἐπὶ ψεύδεσι, κἀγὼ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ πρόσωπόν σου. καὶ ὀφθήσεται ἡ ἀτιμία σου, καὶ αἱ μοιχεῖαί σου καὶ ὁ χρεμετισμός σου καὶ ἡ ἀπαλλοτρίωσις τῆς πορνείας σου ἐπὶ τῶν βουνῶν καὶ ἐν τοῖς ἀγροῖς ἑώρακα τὰ βδελύγματά σου. οὐαί σοι ἱερουσαλήμ. ὅτι οὐ καθηρέθης ὀπίσω μου ἕως τίνος ἔσῃ.

ΛΟΓΟΣ ΚΥΡΙΟΥ ΟΣ ΕΓΕΝΗΘΗ ΠΡΟΣ ΙΕΡΕΜΙΑΝ περὶ τῆς ἀβροχίας.

Κεφάλ. ιδ. 14.

Πένθησεν ἡ ἰουδαία, καὶ αἱ πύλαι αὐτῆς ἐκενώθη-
σαν. καὶ ἐσκοτώθησαν ἐπὶ τῆς γῆς. καὶ ἡ κραυγὴ τῆς
ἱερουσαλὴμ ἀνέβη. καὶ οἱ μεγιστᾶνες αὐτῆς. ἀπέστειλαν
τοὺς νεωτέρους αὐτῶν ἐφ' ὕδωρ. ἤλθοσαν ἐπὶ τὰ φρέατα καὶ οὐχ
εὕροσαν ὕδωρ, καὶ ἀπέστρεψαν τὰ ἀγγεῖα αὐτῶν κενά. καὶ τὰ
ἔργα τῆς γῆς ἐξέλιπον, ὅτι οὐκ ἦν ὑετός. ᾐσχύνθησαν οἱ γεωρ-
γοί. ἐπεκάλυψαν τὰς κεφαλὰς αὐτῶν. καὶ ἔλαφοι ἐν ἀγρῷ ἔτε-
κον. καὶ ἐγκατέλιπον, ὅτι οὐκ ἦν βοτάνη. ὄναγροι ἔστησαν ἐπὶ νά-
πας καὶ εἵλκυσαν ἄνεμον. ἐξέλιπον οἱ ὀφθαλμοὶ αὐτῶν, ὅτι
οὐκ ἦν χόρτος ἀπὸ λαοῦ ἀδικίας αἱ ἁμαρτίαι ἡμῶν, ἀντέστη-
σαν ἡμῖν. κύριε ποίησον ἡμῖν ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι πολ-
λαὶ αἱ ἁμαρτίαι ἡμῶν ἐναντίον σου. ὅτι σοὶ ἡμάρτομεν. ὑπο-
μονὴ ἱερουσαλὴμ κύριε καὶ σώζεις ἐν καιρῷ κακῶν. ἱνατί ἐγενή-
θης ὡσεὶ πάροικος ἐπὶ τῆς γῆς. καὶ ὡς αὐτόχθων ἐκκλίνων εἰς
κατάλυμα. μὴ ἔσῃ ὥσπερ ἄνθρωπος ὑπνῶν, ἢ ὡς ἀνὴρ μὴ δυ-
νάμενος σώζειν. καὶ σὺ ἐν ἡμῖν εἶ κύριε. καὶ τὸ ὄνομά σου ἐπι-
κέκληται ἐφ' ἡμᾶς. μὴ ἐπιλάθῃ ἡμῶν. οὕτως λέγει κύριος τῷ
λαῷ τούτῳ. ἠγάπησαν κινεῖν πόδας αὐτῶν, καὶ οὐκ ἐφείσαντο.
καὶ ὁ θεὸς οὐκ εὐώδωσεν ἐν αὐτοῖς. νῦν μνησθήσεται τῆς ἀδικί-
ας αὐτῶν. καὶ εἶπε κύριος πρός με. μὴ προσεύχου ἐπὶ τοῦ λαοῦ
τούτου εἰς ἀγαθά. ὅτι ἐὰν νηστεύσωσιν, οὐκ εἰσακούσομαι τῆς δε-
ήσεως αὐτῶν. καὶ ἐὰν προσενέγκωσι ὁλοκαυτώματα καὶ θυσί-
ας οὐκ εὐδοκήσω ἐν αὐτοῖς. ὅτι ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ καὶ
ἐν θανάτῳ ἐγὼ συντελέσω αὐτούς. καὶ εἶπα ὁ ὢν κύριε. ἰδοὺ
οἱ προφῆται αὐτῶν προφητεύουσι. καὶ λέγουσιν, οὐκ ὄψεσθε μά-
χαιραν. οὐδὲ λιμὸς ἔσται ἐν ὑμῖν. ὅτι ἀλήθειαν καὶ εἰρήνην δώ-
σω ἐπὶ τῆς γῆς καὶ ἐν τῷ τόπῳ τούτῳ. καὶ εἶπε κύριος πρός
με ψευδῆ οἱ προφῆται προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, οὐκ
ἀπέστειλα αὐτοὺς καὶ οὐκ ἐνετειλάμην αὐτοῖς, καὶ οὐκ ἐλάλη-
σα πρὸς αὐτούς, ὅτι ὁράσεις ψευδεῖς, καὶ μαντείας καὶ οἰωνί-

σματα καὶ προαιρέσεις καρδίας αὐτῶν, αὐτοὶ προφητεύουσιν ὑμῖν. διὰ τοῦτο τάδε λέγει κύριος περὶ τῶν προφητῶν τῶν προφητευόντων ἐπὶ τῷ ὀνόματί μου ψευδῆ. καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτοὺς οἳ λέγουσι μάχαιρα καὶ λιμὸς, οὐκ ἔσται ἐπὶ τῆς γῆς ταύτης. ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται καὶ ἐν λιμῷ συντελεσθήσονται οἱ προφῆται. καὶ ὁ λαὸς οἷς αὐτοὶ προφητεύουσιν αὐτοῖς. καὶ ἔσονται ἐῤῥιμμένοι ἐν ταῖς διόδοις ἱερουσαλὴμ ἀπὸ προσώπου τῆς μαχαίρας καὶ τοῦ λιμοῦ. καὶ οὐκ ἔσται ὁ θάπτων αὐτούς. καὶ αἱ γυναῖκες αὐτῶν καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν. καὶ ἐκχεῶ ἐπ' αὐτοὺς τὰ κακὰ αὐτῶν καὶ ἐρεῖς πρὸς αὐτοὺς τὸν λόγον τοῦτον. καταγάγετε ἐπ' ὀφθαλμοὺς ὑμῶν, δάκρυα ἡμέρας καὶ νυκτὸς. καὶ μὴ διαλιπέτωσαν. ὅτι συντρίμματι συνετρίβη θυγάτηρ λαοῦ μου, καὶ πληγῇ ὀδυνηρᾷ σφόδρα. ἐὰν ἐξέλθω εἰς τὸ πεδίον, καὶ ἰδοὺ τραυματίαι ῥομφαίας. καὶ ἐὰν εἰσέλθω εἰς τὴν πόλιν, καὶ ἰδοὺ πόνος λιμοῦ. ὅτι ἱερεὺς καὶ προφήτης ἐπορεύθησαν εἰς γῆν, ἣν οὐκ ᾔδεισαν. Μὴ ἀποδοκιμάζων ἀπεδοκίμασας τὸν ἰούδαν καὶ ἀπὸ σιὼν ἀπέστη ἡ ψυχή μου; ἵνα τί ἔπαισας ἡμᾶς καὶ οὐκ ἔστιν ἡμῖν ἴασις. ὑπεμείναμεν εἰς εἰρήνην, καὶ οὐκ ἦν ἀγαθὰ εἰς καιρὸν ἰάσεως. καὶ ἰδοὺ ταραχή. ἔγνωμεν κύριε, ἁμαρτήματα ἡμῶν ἀδικίας πατέρων ἡμῶν, ὅτι ἡμάρτομεν ἐναντίον σου. κόπασον διὰ τὸ ὄνομά σου. μὴ ἀπολέσῃς θρόνον. δόξης σου, μνήσθητι. μὴ διασκεδάσῃς τὴν διαθήκην σου τὴν μεθ' ἡμῶν. μὴ ἔστιν ἐν εἰδώλοις τῶν ἐθνῶν ὑετίζων, καὶ εἰ ὁ οὐρανὸς δώσει πλησμονὴν αὐτοῦ, οὐχὶ σὺ αὐτός. καὶ ὑπομενοῦμέν σε κύριε. ὅτι σὺ ἐποίησας πάντα ταῦτα.

Κεφάλαιον. ιε. 15.

Καὶ εἶπε κύριος πρός με. ἐὰν στῇ μωϋσῆς καὶ σαμουὴλ πρὸ προσώπου μου, οὐκ ἔστιν ἡ ψυχή μου πρὸς αὐτούς. ἐξαπόστειλον τὸν λαὸν τοῦτον καὶ ἐξελθέτωσαν.

καὶ ἔσται ἐὰν εἴπωσι πρὸς σέ, ποῦ ἐξελευσόμεθα, καὶ ἐρεῖς πρὸς
αὐτούς. τάδε λέγει κύριος ὁ θεός, ὅσοι εἰς θάνατον, εἰς θάνα-
τον. καὶ ὅσοι εἰς μάχαιραν, εἰς μάχαιραν. καὶ ὅσοι εἰς λιμόν,
εἰς λιμόν. καὶ ὅσοι εἰς αἰχμαλωσίαν, εἰς αἰχμαλωσίαν. καὶ ἐκ-
δικήσω ἐπ' αὐτούς, τέσσαρα εἴδη λέγει κύριος. τὴν μάχαι-
ραν εἰς σφαγήν. καὶ τοὺς κύνας εἰς διασπασμόν. καὶ τὰ θηρία τῆς
γῆς καὶ τὰ πετεινά, τοῦ οὐρανοῦ εἰς βρῶσιν καὶ εἰς διαφθοράν.
καὶ παραδώσω αὐτοὺς εἰς ἀνάγκας πάσαις ταῖς βασιλείαις τῆς
γῆς διὰ μανασσῆν υἱὸν ἐζεκίου βασιλέα ἰούδα. περὶ πάντων
ὧν ἐποίησεν ἐν ἱερουσαλήμ. τίς φείσεται ἐπὶ σοὶ ἱερουσαλήμ,
ἢ τίς δειλιάσει ἐπὶ σοί. ἢ τίς ἀνακάμψει εἰς εἰρήνην σοι. σὺ ἀ-
πεστράφης με λέγει κύριος. ὀπίσω πορεύσῃ. καὶ ἐκτενῶ τὴν
χεῖρά μου, καὶ διαφθερῶ σε. καὶ οὐκέτι ἀνήσω αὐτούς. καὶ
διασπερῶ αὐτούς, ἐν διασπορᾷ ἐν πύλαις λαοῦ μου ἠτεκνώ-
θησαν. ἀπώλεσαν τὸν λαόν μου διὰ τὰς κακίας αὐτῶν, ἐπλη-
θύνθησαν αἱ χῆραι αὐτῶν. καὶ ὑπὲρ τὴν ἄμμον τῆς θαλάσσης.
ἐπήγαγον ἐπὶ τὴν μητέρα νεανίσκους ταλαιπωρίαν ἐν μεσημ-
βρίᾳ. ἀπέρριψαν ἐπ' αὐτὴν ἐξαίφνης τρόμον καὶ σπουδήν. ἐ-
κενώθη ἡ τίκτουσα ἑπτά. ἀπεκάκησεν ἡ ψυχὴ αὐτῆς. ἐπέδυ ὁ
ἥλιος ἐπ' αὐτῇ. Ὅτι μεσούσης τῆς ἡμέρας κατῃσχύνθη καὶ ὠνει-
δίσθη. τοὺς καταλοίπους αὐτῶν εἰς μάχαιραν δώσω ἐναντίον
τῶν ἐχθρῶν αὐτῶν φησὶ κύριος. οἴμοι ἐγὼ ὡς τίνα μῆτερ
με ἔτεκες ἄνδρα δικαζόμενον. καὶ διακρινόμενον πάσῃ τῇ γῇ.
οὔτε ὠφέλησα, οὔτε ὠφέλησέν με οὐδείς. ἡ ἰσχύς μου ἐξέλι-
πεν ἐν τοῖς καταρωμένοις με. γένοιτο δέσποτα κατευθυνόν-
των αὐτῶν, εἰ μὴ παρέστην σοι, ἐν καιρῷ τῶν κακῶν αὐτῶν.
καὶ ἐν καιρῷ θλίψεως αὐτῶν εἰς ἀγαθὰ πρὸς τὸν ἐχθρόν. εἰ γνω-
σθήσεται σίδηρος. καὶ περιβόλαιον χαλκοῦν ἡ ἰσχύς σου. καὶ
τοὺς θησαυρούς σου, εἰς προνομὴν δώσω ἀντάλλαγμα διὰ πά-
σας τὰς ἁμαρτίας σου, οὔτε ὠφέλησέ με οὐδείς, καὶ ἐν πᾶσι τοῖς

θρίοις σου. καταδουλώσω σε. κύκλῳ τοῖς ἐχθροῖς σου ἐν τῇ
γῇ, ᾗ οὐκ ᾔδεις. ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου. ἐφ' ὑ-
μᾶς καυθήσεται. κύριε μνήσθητί μου. καὶ ἐπίσκεψαί με, καὶ
ἀθώωσόν με ἀπὸ τῶν καταδιωκόντων με. μὴ εἰς μακροθυμίαν.
γνῶθι ὡς ἔλαβον περὶ σοῦ ὀνειδισμὸν ὑπὲρ τῶν ἀθετούντων τοὺς λό-
γους σου. συντέλεσον αὐτούς, καὶ ἔσται ὁ λόγος σου. ἐμοὶ εἰς εὐ-
φροσύνην καὶ χαρὰν καρδίας μου. ὅτι ἐπικέκληται τὸ ὄνομά σου
ἐπ' ἐμοὶ κύριε παντοκράτορ. οὐκ ἐκάθισα ἐν συνεδρίῳ αὐ-
τῶν παιζόντων. ἀλλὰ ηὐλαβούμην ἀπὸ προσώπου χειρός σου
καταμόνας ἐκαθήμην. ὅτι πικρίας ἐνεπλήσθην, ἵνα τί οἱ λυ-
ποῦντές με κατισχύουσί μου. ἡ πληγή μου στερεά. πόθεν ἰαθή-
σομαι. γινομένη ἐγενήθη μοι ὡς ὕδωρ ψευδές. οὐκ ἔχον πίστιν
διατοῦτο τάδε λέγει κύριος. ἐὰν ἐπιστρέψης καὶ ἀποκαταστήσω
σε. καὶ πρὸ προσώπου μου στήσῃ. καὶ ἐὰν ἐξαγάγης τίμιον ἀπὸ
ἀναξίου, ὡς τὸ στόμα μου ἔσῃ. καὶ ἀναστρέψουσιν αὐτοὶ πρὸς σέ,
καὶ σὺ οὐκ ἀναστρέψεις πρὸς αὐτούς. καὶ δώσω σε τῷ λαῷ τούτῳ.
ὡς τεῖχος ὀχυρὸν χαλκοῦν ὀχυρόν. καὶ πολεμήσουσι πρὸς σέ,
καὶ οὐ μὴ δύνωνται πρὸς σέ. διότι μετὰ σοῦ εἰμὶ τοῦ σώζειν σε, καὶ
τοῦ ἐξαιρεῖσθαί σε ἐκ χειρὸς πονηρῶν. καὶ λυτρώσομαί σε ἐκ χει-
ρὸς λοιμῶν.

Κεφ. ιϛ. 16.

Αἱ σὺ μὴ λάβῃς γυναῖκα, λέγει κύριος ὁ θεὸς ἰσ-
κ ραήλ. καὶ οὐ γεννηθήσεταί σοι υἱός. οὐδὲ θυγά-
τηρ ἐν τῷ τόπῳ τούτῳ. ὅτι τάδε λέγει κύριος ὁ θε-
ός, περὶ τῶν υἱῶν καὶ τῶν θυγατέρων τῶν γενομένων ἐν τῷ
τόπῳ τούτῳ. καὶ περὶ τῶν μητέρων αὐτῶν τῶν τεκουσῶν αὐ-
τούς. καὶ περὶ τῶν πατέρων αὐτῶν τῶν γεγεννηκότων αὐτούς.
ἐν τῇ γῇ ταύτῃ. ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται οὐ κοπή-
σονται. καὶ οὐ ταφήσονται εἰς παράδειγμα. ἐπὶ προσώπου τῆς
γῆς. ἔσονται τοῖς θηρίοις τῆς γῆς. καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ.
ἐν μαχαίρᾳ πεσοῦνται, καὶ ἐν λιμῷ συντελεσθήσονται. τὰ

δὲ λέγει κύριος. μὴ εἰσέλθῃς εἰς θίασον αὐτῶν. καὶ μὴ πορευ-
θῇς τοῦ κόψασθαι, καὶ μὴ πενθήσῃς αὐτούς, ὅτι ἀφέστηκα τὴν εἰ-
ρήνην μου, ἀπὸ τοῦ λαοῦ τούτου φησὶ κύριος, οὐ μὴ κόψονται αὐ-
τούς. οὐδὲ ἐντομίδας οὐ μὴ ποιήσωσι. καὶ μὴ ξυρήσωνται.
καὶ οὐ μὴ κλασθῇ ἄρτος ἐν πένθει αὐτῶν εἰς παράκλησιν ἐπὶ
τεθνηκότι. οὐ ποτιοῦσιν αὐτὸν ποτήριον εἰς παράκλησιν ἐπὶ πα-
τρὶ καὶ ἐπὶ μητρὶ αὐτοῦ. εἰς οἰκίαν πότου οὐκ εἰσελεύσῃ σύ, τοῦ
συγκαθίσαι μετ᾽ αὐτῶν τοῦ φαγεῖν καὶ πιεῖν. διότι τάδε λέ-
γει κύριος ὁ θεὸς ἰσραήλ. ἰδοὺ ἐγὼ καταλύσω ἐκ τοῦ τόπου τού-
του ἐνώπιον τῶν ὀφθαλμῶν ὑμῶν. καὶ ἐν ταῖς ἡμέραις ὑμῶν, φω-
νὴν χαρᾶς. καὶ φωνὴν εὐφροσύνης. φωνὴν νυμφίου, καὶ φωνὴν
νύμφης. καὶ ἔσαι ὅταν ἀναγγείλῃς τῷ λαῷ τούτῳ ἅπαντα τὰ
ῥήματα ταῦτα. καὶ εἴπωσι πρὸς σέ, διατί ἐλάλησε κύριος
ἐφ᾽ ἡμᾶς πάντα τὰ κακὰ ταῦτα. τίς ἡ ἀδικία ἡμῶν, καὶ τίς
ἁμαρτία ἡμῶν, ἣν ἡμάρτομεν ἔναντι κυρίου τοῦ θεοῦ ἡμῶν.
καὶ ἐρεῖς πρὸς αὐτούς, ἀνθ᾽ ὧν ἐγκατέλιπόν με οἱ πατέρες ὑ-
μῶν λέγει κύριος. καὶ ᾤχοντο ὀπίσω θεῶν ἀλλοτρίων, καὶ ἐδού-
λευσαν αὐτοῖς, καὶ προσεκύνησαν αὐτοῖς, καὶ ἐμὲ ἐγκατέλιπον.
καὶ τὸν νόμον μου οὐκ ἐφυλάξαντο. καὶ ὑμεῖς ἐπονηρεύσασθε
ὑπὲρ τοὺς πατέρας ὑμῶν. καὶ ἰδοὺ ὑμεῖς πορεύεσθε ἕκαστος
ὀπίσω τῶν ἀρεστῶν τῆς καρδίας ὑμῶν τῆς πονηρᾶς, τοῦ μὴ
ὑπακούειν μου. καὶ ἀποῤῥίψω ὑμᾶς ἀπὸ τῆς γῆς ταύτης. εἰς
τὴν γῆν, ἣν οὐκ ᾔδειτε ὑμεῖς καὶ οἱ πατέρες ὑμῶν. καὶ δου-
λεύσετε ἐκεῖ θεοῖς ἑτέροις. οἳ οὐ δώσουσιν ὑμῖν ἔλεον. διὰ
τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος. οὐκ ἐροῦσιν ἔτι. ζῇ κύ-
ριος ὁ ἀναγαγὼν τοὺς υἱοὺς ἰσραὴλ ἐκ γῆς αἰγύπτου. ἀλλὰ ζῇ
κύριος, ὡς ἀνήγαγε τὸν οἶκον ἰσραὴλ ἀπὸ γῆς βοῤῥᾶ. καὶ ἀ-
πὸ πασῶν τῶν χωρῶν οὗ ἐξώσθησαν ἐκεῖ. καὶ ἀποκαταστήσω αὐ-
τοὺς εἰς τὴν γῆν αὐτῶν, ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν. ἰδοὺ ἐγὼ ἀπο-
στέλλω τοὺς πολλοὺς ἁλιεῖς λέγει κύριος. καὶ ἁλιεύσουσιν αὐ-

τούς. καὶ μετὰ ταῦτα ἀποστελῶ τοὺς πολλοὺς θηρευτάς. καὶ θη-
ρεύσουσιν αὐτοὺς ἐπάνω παντὸς ὄρους. καὶ ἐπάνω παντὸς βουνοῦ. καὶ
ἐκ τῶν τρυμαλιῶν τῶν πετρῶν. ὅτι οἱ ὀφθαλμοί μου ἐπὶ πάσας
τὰς ὁδοὺς αὐτῶν. καὶ οὐκ ἐκρύβη τὰ ἀδικήματα αὐτῶν, ἀπέ-
ναντι τῶν ὀφθαλμῶν μου. καὶ ἀνταποδώσω διπλᾶς τὰς κακί-
ας αὐτῶν. καὶ τὰς ἁμαρτίας αὐτῶν, ἐφ᾽ αἷς ἐβεβήλωσαν τὴν γῆν
μου. ἐν τοῖς θνησιμαίοις τῶν βδελυγμάτων αὐτῶν. καὶ ἐν ταῖς
ἀνομίαις αὐτῶν, ἐν αἷς ἐπλημμέλησαν τὴν κληρονομίαν μου.
Κύριε σὺ ἰσχύς μου καὶ βοήθειά μου καὶ καταφυγή μου, ἐν ἡ-
μέραις κακῶν. πρὸς σὲ ἔθνη ἥξουσιν ἀπ᾽ ἐσχάτου τῆς γῆς, καὶ
ἐροῦσιν ὡς ψευδῆ ἐκτήσαντο οἱ πατέρες ἡμῶν εἴδωλα. καὶ
οὐκ ἔστιν ἐν αὐτοῖς ὠφέλημα. εἰ ποιήσει ἑαυτῷ ἄνθρωπος θε-
ούς. καὶ οὗτοι οὐκ εἰσὶ θεοί. διὰ τοῦτο ἰδοὺ ἐγὼ δηλώσω αὐ-
τοῖς ἐν τῷ καιρῷ τούτῳ τὴν χεῖρά μου, καὶ γνωριῶ αὐτοῖς
τὴν δύναμίν μου. καὶ γνώσονται, ὅτι ὄνομά μοι κύριος. ἐπικα-
τάρατος ὁ ἄνθρωπος, ὃς τὴν ἐλπίδα ἔχει ἐπ᾽ ἄνθρωπον. καὶ
στηρίσει σάρκα βραχίονος αὐτοῦ ἐπ᾽ αὐτόν. καὶ ἀπὸ κυρίου ἀ-
ποστῇ ἡ καρδία αὐτοῦ. καὶ ἔσται ὡς ἡ ἀγριομυρίκη ἡ ἐν τῇ ἐρή-
μῳ. οὐκ ὄψεται ὅταν ἔλθῃ τὰ ἀγαθά, καὶ κατασκηνώσει ἐν ἁ-
λίμοις. καὶ ἐν ἐρήμῳ ἐν γῇ ἁλμυρᾷ ἥτις οὐ κατοικηθήσεται.
καὶ εὐλογημένος ὁ ἄνθρωπος, ὃς πέποιθεν ἐπὶ τῷ κυρίῳ. καὶ
ἔσται κύριος ἐλπὶς αὐτοῦ. καὶ ἔσται ὡς ξύλον εὐθηνοῦν παρ᾽ ὕδα-
τα. καὶ ἐπὶ ἰκμάδα βαλεῖ τὰς ῥίζας αὐτοῦ. καὶ οὐ φοβηθήσε-
ται ὅταν ἔλθῃ καῦμα. καὶ ἔσται ἐπ᾽ αὐτῷ στελέχη ἀλσώδη, ἐν
ἐνιαυτῷ ἀβροχίας οὐ φοβηθήσεται. καὶ οὐ διαλείψει ποιῶν
καρπόν. βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστι. καὶ τίς
γνώσεται αὐτόν; ἐγὼ κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων
νεφρούς. τοῦ δοῦναι ἑκάστῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τοὺς
καρποὺς τῶν ἐπιτηδευμάτων αὐτῶν. ἐφώνησε πέρδιξ. συνή-
γαγεν ἃ οὐκ ἔτεκε. ποιῶν πλοῦτον αὐτοῦ οὐ μετὰ κρίσεως ἐν ἡμίσει

ἡμερῶν αὐτοῦ ἐγκαταλείψουσιν αὐτόν. καὶ οὐκ ἐπ᾽ ἐσχάτου αὐτοῦ
ἔσται ἄφρων. θρόνος δόξης ὑψωμένος ἁγίασμα ἡμῶν ὑπομονὴ
ἰσραὴλ κύριε. πάντες οἱ καταλιπόντες σε καταισχυνθήτωσαν
ἀφεστηκότες ἐπὶ τῆς γῆς. γραφήτωσαν ὅτι ἐγκατέλιπον πηγὴν
ζωῆς τὸν κύριον. ἴασαί με κύριε. καὶ ἰαθήσομαι. σῶσόν με, καὶ
σωθήσομαι. ὅτι καύχημά μου σὺ εἶ. ἰδοὺ αὐτοὶ λέγουσι πρός με·
ποῦ ἐστιν ὁ λόγος κυρίου, ἐλθέτω. ἐγὼ δὲ, οὐκ ἐκοπίασα κατακο-
λουθῶν ὀπίσω σου, καὶ ἡμέραν ἀνθρώπου οὐκ ἐπεθύμησα. σὺ ἐπί-
στασαι τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου. πρὸ προσώπου
ἐστί. μὴ γενηθῇς μοι εἰς ἀλλοτρίωσιν. φειδόμενός μου, ἐν ἡμέρᾳ
πονηρᾷ, καὶ καταισχυνθήτωσαν οἱ διώκοντές με, καὶ μὴ καται-
σχυνθείην ἐγώ. πτοηθείησαν αὐτοί, καὶ μὴ πτοηθείην ἐγώ. ἐπά-
γαγε ἐπ᾽ αὐτοὺς ἡμέραν πονηράν. δισσὸν σύντριμμα σύντριψον
αὐτούς. Τάδε λέγει κύριος. βάδισον καὶ στῆθι ἐν ταῖς πύλαις
υἱῶν λαοῦ σου. ἐν αἷς εἰσπορεύονται ἐν αὐταῖς βασιλεῖς ἰούδα.
καὶ ἐν αἷς ἐκπορεύονται ἐν αὐταῖς. καὶ ἐν πάσαις ταῖς πύλαις
ἱερουσαλήμ, καὶ ἐρεῖς πρὸς αὐτούς. ἀκούσατε τὸν λόγον κυρίου βα-
σιλεῖς ἰούδα καὶ πᾶσα ἰουδαία. καὶ πᾶσα ἱερουσαλὴμ οἱ εἰσπο-
ρευόμενοι ἐν ταῖς πύλαις ταύταις. τάδε λέγει κύριος φυλάσ-
σεσθε τὰς ψυχὰς ὑμῶν, καὶ μὴ αἴρετε βαστάγματα ἐν τῇ ἡμέ-
ρᾳ τῶν σαββάτων. καὶ πᾶν ἔργον οὐ ποιήσετε. ἁγιάσατε τὴν ἡ-
μέραν τῶν σαββάτων, καθὼς ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν.
καὶ οὐκ ἤκουσαν, καὶ οὐκ ἔκλιναν τὸ οὖς αὐτῶν καὶ ἐσκλήρυναν
τὸν τράχηλον αὐτῶν, ὑπὲρ τοὺς πατέρας αὐτῶν. τοῦ μὴ ἀκοῦσαί
μου, καὶ τοῦ μὴ δέξασθαι παιδείαν, καὶ ἔσται, ἐὰν εἰσακούσητέ
μου λέγει κύριος. τοῦ μὴ εἰσφέρειν βαστάγματα διὰ τῶν πυλῶν
τῆς πόλεως ταύτης ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἁγιάζειν
τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ ποιεῖν πᾶν ἔργον. καὶ εἰσελεύ-
σονται διὰ τῶν πυλῶν τῆς πόλεως ταύτης, βασιλεῖς καὶ ἄρχον-
τες καθήμενοι ἐπὶ θρόνου δαβίδ. καὶ ἐπιβεβηκότες ἐφ᾽ ἅρμα

σι καὶ ἵπποις αὐτῶν. αὐτοὶ καὶ οἱ ἄρχοντες αὐτῶν, ἄνδρες ἰού
δα καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλὴμ. καὶ κατοικισθήσεται ἡ πό
λις αὕτη εἰς τὸν αἰῶνα. καὶ ἥξουσιν ἐκ τῶν πόλεων ἰούδα. καὶ κυ
κλόθεν ἱερουσαλὴμ, καὶ ἐκ γῆς βενιαμὶν. καὶ ἐκ τῆς πεδινῆς, καὶ
ἐκ τοῦ ὄρους ἐκ τῶν πρὸς νότον φέροντες ὁλοκαυτώματα καὶ θυ
σίας. καὶ θυμιάματα, καὶ μάννα καὶ λίβανον φέροντες αἰνέ
σιν εἰς οἶκον κυρίου. καὶ ἔσται ἐὰν μὴ ἀκούσητέ μου τοῦ ἁγιάζειν
τὴν ἡμέραν τῶν σαββάτων, τοῦ μὴ αἴρειν βαστάγματα, καὶ μὴ
εἰσπορεύεσθαι ταῖς πύλαις ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ τῶν σαββά
των. καὶ ἀνάψω πῦρ ἐν ταῖς πύλαις αὐτῆς, καὶ καταφάγεται
ἄμφοδα ἱερουσαλὴμ. καὶ οὐ σβεσθήσεται.

Κεφάλαιον. ιζ. 17.

Λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν. λέ
γων. ἀνάστηθι καὶ κατάβηθι εἰς οἶκον τοῦ κεραμέως καὶ
ἐκεῖ ἀκούσῃ τοὺς λόγους μου. καὶ κατέβην εἰς τὸν οἶκον
τοῦ κεραμέως. καὶ ἰδοὺ αὐτὸς ἐποίει ἔργον ἐπὶ τῶν λίθων, καὶ ἔπε
σε τὸ ἀγγεῖον. ὃ αὐτὸς ἐποίει ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ πάλιν αὐ
τὸς ἐποίησεν αὐτὸ ἀγγεῖον ἕτερον. καθὼς ἤρεσεν, ἐνώπιον αὐτοῦ
ποιῆσαι. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. εἰ καθὼς ὁ κε
ραμεὺς οὗτος, οὐ δυνήσομαι τοῦ ποιῆσαι ὑμᾶς. οἶκος ἰσραήλ, ἰδοὺ
ὡς ὁ πηλὸς τοῦ κεραμέως ὑμεῖς ἐστὲ ἐν χερσίν μου. πέρας λαλήσω
ἐπὶ ἔθνος. ἢ ἐπὶ βασιλείαν τοῦ ἐξᾶραι αὐτούς. καὶ τοῦ ἀπολλύειν.
καὶ ἐπιστρέψῃ τὸ ἔθνος ἐκεῖνο ἀπὸ πάντων τῶν κακῶν αὐτῶν.
καὶ μετανοήσω περὶ τῶν κακῶν ὧν ἐλογισάμην. τοῦ ποιῆσαι αὐ
τοῖς. καὶ πέρας λαλήσω ἐπὶ ἔθνος. καὶ βασιλείας. τοῦ ἀνοικο
δομεῖσθαι. καὶ τοῦ καταφυτεύεσθαι. καὶ ποιήσωσι τὰ πονηρὰ
ἐναντίον μου, τοῦ μὴ ἀκούειν τῆς φωνῆς μου. καὶ μετανοήσω περὶ
τῶν ἀγαθῶν ὧν ἐλάλησα. τοῦ ποιῆσαι αὐτοῖς. καὶ νῦν εἶπον πρὸς
ἄνδρας ἰούδα, καὶ πρὸς τοὺς κατοικοῦντας ἱερουσαλήμ. ἰδοὺ ἐγὼ
πλάσσω ἐφ' ὑμᾶς κακά, καὶ λογίζομαι ἐφ' ὑμᾶς λογισμόν.

ἀποστραφήτω δὴ ἕκαστος ἀπὸ ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ καλλίονα ποιήσετε τὰ ἐπιτηδεύματα ὑμῶν. καὶ εἶπαν ἀνδριούμεθα. ὅτι ὀπίσω τῶν ἀποστροφῶν ἡμῶν πορευσόμεθα. καὶ ἕκαστος, τὰ ἀρεστὰ τῆς καρδίας αὐτοῦ τῆς πονηρᾶς ποιήσομεν. διὰ τοῦτο τάδε λέγει κύριος. ἐρωτήσατε δὴ ἐν ἔθνεσι. τίς ἤκουσε τοιαῦτα φρικτὰ ἃ ἐποίησε σφόδρα παρθένος ἰσραήλ, μὴ ἐκλείψουσιν ἀπὸ πέτρας μαστοί, ἢ χιὼν ἀπὸ τοῦ λιβάνου. μὴ ἐκκλινεῖ ὕδωρ βιαίως ἄνω φερόμενον; ὅτι ἐπελάθοντό μου λαός μου, εἰς κενὸν ἐθυμίασαν. καὶ ἀσθενήσουσιν ἐν ταῖς ὁδοῖς αὐτῶν σχοίνους αἰωνίους, τοῦ ἐπιβῆναι τρίβους οὐκ ἔχοντας ὁδὸν εἰς πορείαν τοῦ τάξαι τὴν γῆν αὐτῶν εἰς ἀφανισμόν, καὶ σύριγμα αἰώνιον, πάντες οἱ διαπορευόμενοι δι' αὐτῆς ἐκστήσονται. καὶ κινήσουσι τὴν κεφαλὴν αὐτῶν, ὡς ἄνεμον καύσωνα διασπερῶ αὐτοὺς κατὰ πρόσωπον ἐχθρῶν αὐτῶν δείξω αὐτοῖς ἡμέραν ἀπωλείας αὐτῶν.

Καὶ εἶπαν δεῦτε λογισώμεθα ἐπὶ ἱερεμίαν λογισμόν. ὅτι οὐκ ἀπολεῖται νόμος ἀπὸ ἱερέως, καὶ βουλὴ ἀπὸ συνετοῦ. καὶ λόγος ἀπὸ προφήτου. δεῦτε καὶ πατάξωμεν αὐτὸν ἐν γλώσσῃ. καὶ ἀκουσόμεθα πάντας τοὺς λόγους αὐτοῦ. εἰσάκουσόν μου κύριε. καὶ εἰσάκουσον τῆς φωνῆς τοῦ δικαιώματός μου, εἰ ἀνταποδίδοται ἀντὶ ἀγαθῶν κακά. ὅτι συνελάλησαν ῥήματα κατὰ τῆς ψυχῆς μου. καὶ τὴν κόλασιν αὐτῶν ἔκρυψάν μοι. μνήσθητι κύριε ἑστηκότος μου κατὰ πρόσωπόν σου, τοῦ λαλῆσαι ὑπὲρ αὐτῶν ἀγαθά. τοῦ ἀποστρέψαι τὸν θυμόν σου ἀπ' αὐτῶν. διὰ τοῦτο δὸς τοὺς υἱοὺς αὐτῶν εἰς λιμόν, καὶ ἄθροισον αὐτοὺς εἰς χεῖρας μαχαίρας γενέσθωσαν αἱ γυναῖκες αὐτῶν ἄτεκνοι καὶ χῆραι. καὶ οἱ ἄνδρες αὐτῶν ἔστωσαν ἀνῃρημένοι θανάτῳ. καὶ οἱ νεανίσκοι αὐτῶν, πεπτωκότες μαχαίρᾳ ἐν πολέμῳ. γενηθήτω κραυγὴ ἐν ταῖς οἰκίαις αὐτῶν. ἐπάγαγε ἐπ' αὐτοὺς λῃστὰς ἄφνω, ὅτι ἐνεχείρισαν λόγον εἰς σύλληψίν μου, καὶ παγίδας ἔκρυψαν ἐπ' ἐμέ. καὶ σύ, κύριε ἔγνως ἅπασαν τὴν βουλὴν αὐτῶν ἐπ' ἐμὲ εἰς θάνατον. μὴ

ἀφανίσῃς τὰς ἀδικίας αὐτῶν, καὶ τὰς ἁμαρτίας αὐτῶν ἀπὸ
προσώπου σου· μὴ ἐξαλείψῃς, γενέσθω ἡ ἀσθένεια αὐτῶν ἐναν-
τίον σου· ἐν καιρῷ θυμοῦ σου ποίησον ἐν αὐτοῖς.

Κεφάλαιον. ιθ. 19.

Ὅτε εἶπε κύριος πρός με· βάδισον καὶ κτῆσαι βίκον
τ πεπλασμένον ὀστράκινον, καὶ ἄξεις ἀπὸ τῶν πρεσβυ-
τέρων τοῦ λαοῦ, ἀπὸ πρεσβυτέρων τῶν ἱερέων· καὶ ἐξ-
ελεύσῃ εἰς τὸ πολυάνδριον υἱῶν τῶν τέκνων αὐτῶν· ὅ ἐστιν ἐπὶ τῶν
προπύλων θυρῶν τῆς πόλεως θαρσίς· καὶ ἀνάγνωθι ἐκεῖ πάν-
τας τοὺς λόγους τούτους, οὓς ἂν λαλήσω πρὸς σέ καὶ ἐρεῖς αὐτοῖς
ἀκούσατε τὸν λόγον κυρίου βασιλεῖς ἰούδα· καὶ ἄνδρες ἰούδα·
καὶ οἱ κατοικοῦντες εἰς ἱερουσαλήμ· καὶ οἱ εἰσπορευόμενοι ἐν
ταῖς πύλαις ταύταις, τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ· ἰδοὺ ἐ-
γὼ ἐπάγω ἐπὶ τὸν τόπον τοῦτον κακά· ὥστε παντὸς ἀκούοντος
αὐτὰ ἠχήσει τὰ ὦτα αὐτοῦ, ἀνθ' ὧν ἐγκατέλιπέ με, καὶ ἀπηλλο-
τρίωσαν τὸν τόπον τοῦτον, καὶ ἐθυμίασαν ἐν αὐτῷ θεοῖς ἀλλοτρί-
οις, οἷς οὐκ ᾔδεισαν αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν, καὶ οἱ βασιλεῖς
ἰούδα ἔπλησαν τὸν τόπον τοῦτον, αἱμάτων ἀθώων. καὶ ᾠκοδό-
μησαν ὑψηλὰ τῇ βάαλ, τοῦ κατακαίειν τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ ἃ
οὐκ ἐνετειλάμην. οὐδὲ διενοήθην ἐν τῇ καρδίᾳ μου. διὰ τοῦτο ἰδοὺ
ἡμέραι ἔρχονται λέγει κύριος. καὶ οὐ κληθήσεται τῷ τόπῳ
τούτῳ, ἔτι διάπτωσις, καὶ πολυάνδριον υἱοῦ ἐννόμ· ἀλλ' ἢ πολυ-
άνδριον τῆς ταφῆς· καὶ σφάξω τὴν βουλὴν ἰούδα. καὶ τὴν ἱερου-
σαλήμ, ἐν τῷ τόπῳ τούτῳ· καὶ καταβαλῶ αὐτοὺς ἐν μαχαίρᾳ
ἐναντίον τῶν ἐχθρῶν αὐτῶν· καὶ ἐν χερσὶ τῶν ζητούντων τὰς ψυ-
χὰς αὐτῶν, καὶ δώσω τοὺς νεκροὺς αὐτῶν εἰς βρῶσιν τοῖς πετει-
νοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς· καὶ κατάξω τὴν πόλιν
ταύτην, εἰς ἀφανισμὸν καὶ εἰς συριγμόν· πᾶς ὁ παραπορευό-
μενος ἐπ' αὐτῆς, σκυθρωπάσει, καὶ συριεῖ ὑπὲρ πάσης τῆς πλη-
γῆς ταύτης, καὶ ἔδονται τὰς σάρκας τῶν υἱῶν αὐτῶν.

καὶ τὰς σάρκας τῶν θυγατέρων αὐτῶν· καὶ ἕκαστος τὰς σάρκας
τοῦ πλησίον αὐτοῦ ἔδονται. ἐν τῇ περιοχῇ καὶ ἐν τῇ πολιορκίᾳ
ᾗ πολιορκήσουσιν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. καὶ συντρίψεις τὸν βί-
κον κατ' ὀφθαλμοὺς τῶν ἀνδρῶν τῶν ἐκπορευομένων μετὰ σοῦ
καὶ ἐρεῖς πρὸς αὐτοὺς τάδε λέγει κύριος· οὕτως συντρίψω τὸν λα-
ὸν τοῦτον· καὶ τὴν πόλιν ταύτην καθὼς συντρίβεται ἄγγος ὀστρά-
κινον ὃ οὐ δυνήσεται ἰαθῆναι ἔτι. οὕτως ποιήσω λέγει κύριος
τῷ τόπῳ τούτῳ, καὶ τοῖς κατοικοῦσιν ἐν αὐτῷ, τοῦ δοθῆναι τὴν
πόλιν ταύτην, ὡς γῆν διαπίπτουσαν. καὶ οἶκοι ἱερουσαλήμ· καὶ
οἶκοι βασιλέων ἰούδα ἔσονται καθὼς ὁ τόπος ὁ διαπίπτων ἀ-
πὸ τῶν ἀκαθαρσιῶν αὐτῶν ἐν πάσαις ταῖς οἰκίαις. ἐν αἷς ἐθυ-
μίασαν ἐπὶ τῶν δωμάτων αὐτῶν πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ,
καὶ ἔσπεισαν σπονδὰς θεοῖς ἀλλοτρίοις. καὶ ἦλθεν ἱερεμίας ἀπὸ
τῆς διαπτώσεως τοῦ τόπου ταφέθ, οὗ ἀπέστειλεν αὐτὸν κύριος ἐ-
κεῖ τοῦ προφητεῦσαι, καὶ ἔστη ἐν τῇ αὐλῇ οἴκου κυρίου. καὶ εἶπε
πρὸς πάντα τὸν λαόν· τάδε λέγει κύριος· ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ
τὴν πόλιν ταύτην, καὶ ἐπὶ πάσας τὰς πόλεις αὐτῆς, καὶ ἐπὶ τὰς
κώμας αὐτῆς, ἅπαντα τὰ κακὰ ἃ ἐλάλησα ἐπ' αὐτήν, καὶ ἐπὶ
τὰς πόλεις αὐτῆς. ὅτι ἐσκλήρυναν τὸν τράχηλον αὐτῶν, τοῦ μὴ εἰσα-
κούειν τῶν ἐντολῶν μου.

Κεφάλαιον. κ. 20.

Αἰ ἤκουσε πασχώρ. υἱὸς ὁ σεμμὴρ ὁ ἱερεύς, καὶ οὗ-
α τος ἦν καθιστάμενος ἡγούμενος οἴκου κυρίου τοῦ ἱερε-
μίου προφητεύοντος τοὺς λόγους τούτους. καὶ ἐπάταξεν
αὐτόν, καὶ ἐνέβαλεν αὐτόν· εἰς τὸν καταῤῥάκτην. ὃς ἦν ἐν πύλῃ
οἴκου ἀποτεταγμένου τοῦ πατρῴου, ὃς ἦν ἐν οἴκῳ κυρίου. καὶ ἐξή-
γαγε πασχὼρ τὸν ἱερεμίαν ἐκ τοῦ καταῤῥάκτου. καὶ εἶπεν αὐτῷ ἱε-
ρεμίας. οὐχὶ πασχὼρ ἐκάλεσε τὸ ὄνομά σου, ἀλλ' ἢ μέτοικον. δι-
ότι τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ δίδωμί σε εἰς μετοικίαν, σὺν
πᾶσι τοῖς φίλοις σου. καὶ πεσοῦνται μαχαίρᾳ ἐχθρῶν αὐτῶν,

καὶ οἱ ὀφθαλμοί σου ὄψονται. καὶ σὲ καὶ πάντα ἰούδα, δώσω
εἰς χεῖρας βασιλέως βαβυλῶνος, καὶ μετοικιοῦσιν αὐτοὺς, καὶ κα-
τακόψουσιν αὐτοὺς ἐν μαχαίραις. καὶ δώσω τὴν πᾶσαν ἰσχὺν
τῆς πόλεως ταύτης, καὶ πάντας τοὺς πόνους αὐτῆς. καὶ πάντας
τοὺς θησαυροὺς τοῦ βασιλέως ἰούδα, εἰς χεῖρας ἐχθρῶν αὐτοῦ.
καὶ ἄξουσιν αὐτοὺς εἰς βαβυλῶνα. καὶ σὺ πασχὼρ καὶ πάντες οἱ
κατοικοῦντες ἐν τῷ οἴκῳ σου, πορεύσεσθε ἐν αἰχμαλωσίᾳ,
καὶ ἐν βαβυλῶνι ἀποθανῇ. καὶ ἐκεῖ ταφήσῃ σὺ καὶ πάντες οἱ
φίλοι σου, οἷς ἐπροφήτευσας αὐτοῖς ψευδῆ. ἠπάτησάς με κύ-
ριε καὶ ἠπατήθην. ἐκράτησας καὶ ἠδυνάσθης. ἐγενόμην εἰς γέ-
λωτα. πᾶσαν ἡμέραν διετέλεσα μυκτηριζόμενος. ὅτι πικρῷ
λόγῳ μου γελάσομαι ἀθεσίαν, καὶ ταλαιπωρίαν ἐπικαλέσο-
μαι. ὅτι ἐγενήθη λόγος κυρίου, εἰς ὀνειδισμὸν ἐμοὶ. καὶ εἰς
χλευασμὸν πᾶσαν ἡμέραν μου. καὶ εἶπα οὐ μὴ ὀνομάσω τὸ
ὄνομα κυρίου, καὶ οὐ μὴ λαλήσω ἔτι ἐπὶ τῷ ὀνόματι αὐτοῦ.
καὶ ἐγένετο, ὡς πῦρ καιόμενον φλέγον ἐν τοῖς ὀστοῖς μου. καὶ πα-
ρεῖμαι πάντοθεν, καὶ οὐ δύναμαι φέρειν, ὅτι ἤκουσα ψόγον πολ-
λῶν συναθροιζομένων κυκλόθεν. ἐπισυστῆτε. καὶ ἐπισυστῶμεν
ἐπ' αὐτῷ πάντες ἄνδρες φίλοι αὐτοῦ. τηρήσατε τὴν ἐπίνοι-
αν αὐτοῦ, εἰ ἀπατηθήσεται. καὶ δυνησόμεθα αὐτῷ, καὶ ληψό-
μεθα τὴν ἐκδίκησιν ἡμῶν ἐξ αὐτοῦ. ὁ δὲ κύριος μετ' ἐμοῦ
καθὼς μαχητὴς ἰσχύων. διὰ τοῦτο ἐδίωξαν. καὶ νοῆσαι οὐκ ἠδύ-
ναντο. ᾐσχύνθησαν σφόδρα, ὅτι οὐκ ἐνόησαν ἀτιμίας αὐτῶν. αἳ
δι' αἰῶνος οὐκ ἐπιλησθήσονται. κύριε δοκιμάζων δίκαια συ-
νιῶν, νεφροὺς καὶ καρδίας. ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐν
αὐτοῖς. ὅτι πρὸς σὲ ἀπεκάλυψα τὰ ἀπολογήματά μου, ᾄσα-
τε τῷ κυρίῳ. αἰνέσατε αὐτῷ, ὅτι ἐξείλατο τὴν ψυχὴν πένητος,
ἐκ χειρὸς στερεωτέρων. ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην
ἐν αὐτῇ, ἡ ἡμέρα, ἐν ᾗ ἔτεκέν με ἡ μήτηρ μου. μὴ ἔστω ἐπευ-
κτή. ἐπικατάρατος ὁ ἄνθρωπος ὁ εὐαγγελισάμενος τῷ πατρὶ

μου. λέγων ὅτι ἐτέχθη σοι ἄρσεν. εὐφραινόμενος ἔστω ὁ ἄνθρωπος ἐκεῖνος, ὡς αἱ πόλεις ἃς κατέστρεψε κύριος ἐν θυμῷ, καὶ οὐ μετεμελήθη. ἀκουσάτω κραυγῆς τὸ πρωῒ, καὶ ἀλαλαγμοῦ μεσημβρίας, ὅτι οὐκ ἀπέκτεινέ με, ἐν μήτρᾳ μητρός μου. καὶ ἐγένετο μοι ἡ μήτηρ μου τάφος μου. καὶ ἡ μήτρα συλλήψεως αἰωνίας. ἵνα τί τοῦτο ἐξῆλθον ἐκ μήτρας τοῦ βλέπειν κόπους καὶ πόνους. καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου.

Κεφ. κά. 21.

Λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν, ὅτε ἀπέστειλε πρὸς αὐτὸν ὁ βασιλεὺς σεδεκίας τὸν πασχὼρ υἱὸν μελχίου, καὶ σοφονίαν υἱὸν βασαίου καὶ σοφονίαν υἱὸν μελχίου τὸν ἱερέα, λέγων. Ἐπερώτησον περὶ ἡμῶν τὸν κύριον. ὅτι βασιλεὺς βαβυλῶνος ἐφέστηκεν ἐφ' ἡμᾶς. εἰ ποιήσει κύριος κατὰ πάντα τὰ θαυμάσια αὐτοῦ, καὶ ἀπελεύσεται ἀφ' ἡμῶν. καὶ εἶπε πρὸς αὐτοὺς ἱερεμίας. οὕτως ἐρεῖτε, πρὸς σεδεκίαν βασιλέα ἰούδα. τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ μεταστρέφω τὰ ὅπλα τὰ πολεμικὰ, ἐν οἷς ὑμεῖς πολεμεῖτε ἐν αὐτοῖς πρὸς τοὺς χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς ἔξωθεν τοῦ τείχους. εἰς τὸ μέσον τῆς πόλεως ταύτης. καὶ πολεμήσω ἐγὼ ὑμᾶς ἐν χειρὶ ἐκτεταμένῃ, καὶ ἐν βραχίονι κραταιῷ. μετὰ θυμοῦ, καὶ ὀργῆς μεγάλης. καὶ πατάξω πάντας τοὺς κατοικοῦντας ἐν τῇ πόλει ταύτῃ. τοὺς ἀνθρώπους καὶ τὰ κτήνη ἐν θανάτῳ μεγάλῳ, καὶ ἀποθανοῦνται, καὶ μετὰ ταῦτα οὕτως λέγει κύριος. δώσω τὸν σεδεκίαν βασιλέα ἰούδα, καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὸν λαὸν καταλειφθέντα ἐν τῇ πόλει ταύτῃ ἀπὸ τοῦ θανάτου καὶ ἀπὸ τοῦ λιμοῦ. καὶ ἀπὸ τῆς μαχαίρας εἰς χεῖρας ἐχθρῶν αὐτῶν, τῶν ζητούντων τὰς ψυχὰς αὐτῶν. καὶ κατακόψουσιν αὐτοὺς ἐν στόματι μαχαίρας. οὐ φείσομαι ἐπ' αὐτοῖς καὶ οὐ μὴ οἰκτειρήσω αὐτούς. καὶ πρὸς τὸν λαὸν τοῦτον ἐρεῖς. τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ δέδωκα πρὸ προσώπου ὑμῶν τὴν ὁδὸν τῆς ζωῆς, καὶ τὴν ὁδὸν τοῦ θανάτου. ὁ καθήμενος, ἐν τῇ πόλει ταύτῃ, ἀποθανεῖται ἐν μαχαίρᾳ καὶ ἐν λι-

μῷ. καὶ ὁ ἐκπορευόμενος προσχωρῆσαι πρὸς τοὺς χαλδαίους τοὺς συγκεκλεικότας ὑμᾶς ζήσεται. καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς σκῦλα καὶ ζήσεται, διότι ἐστήριξα τὸ πρόσωπόν μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακά, καὶ οὐκ εἰς ἀγαθά· εἰς χεῖρας βασιλέως βαβυλῶνος παραδοθήσεται. καὶ κατακαύσει αὐτὴν ἐν πυρί. ὁ οἶκος βασιλέως ἰούδα. ἀκούσατε λόγον κυρίου οἶκος δαβίδ. τάδε λέγει κύριος κρίνατε πρωῒ κρίμα καὶ κατευθύνατε, καὶ ἐξέλεσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτόν. ὅπως μὴ ἀνακαλυφθῇ ὡς πῦρ ἡ ὀργή μου, καὶ καυθήσεται, καὶ οὐκ ἔσται ὁ σβέσων. ἰδοὺ ἐγὼ πρὸς σὲ τὸν κατοικοῦντα τὴν κοιλάδα σὸρ, τὴν πεδινὴν τοὺς λέγοντας τίς πτοήσει ἡμᾶς. ἢ τίς εἰσελεύσεται πρὸς τὸ κατοικητήριον ἡμῶν. καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς, καὶ ἔδεται πάντα τὰ κύκλῳ αὐτῆς.

## Κεφάλαιον κβ. 22.

ΤΑ'δε λέγει κύριος πορεύου καὶ κατάβηθι εἰς τὸν οἶκον τοῦ βασιλέως ἰούδα. καὶ λαλήσεις ἐκεῖ τὸν λόγον τοῦτον. καὶ ἐρεῖς. ἄκουε λόγον κυρίου βασιλεῦ ἰούδα. ὁ καθήμενος ἐπὶ θρόνου δαβίδ. σὺ καὶ ὁ οἶκός σου ὁ λαός σου, καὶ οἱ εἰσπορευόμενοι ταῖς πύλαις ταύταις. τάδε λέγει κύριος. ποιεῖτε κρίσιν καὶ δικαιοσύνην καὶ ἐξαιρεῖσθε διηρπασμένον ἐκ χειρὸς ἀδικοῦντος αὐτόν. καὶ προσήλυτον καὶ ὀρφανὸν καὶ χήραν μὴ καταδυναστεύσητε. καὶ μὴ ἀσεβεῖτε. καὶ αἷμα ἀθῶον μὴ ἐκχέητε ἐν τῷ τόπῳ τούτῳ, διότι ἐὰν ποιοῦντες ποιήσητε τὸν λόγον τοῦτον. καὶ εἰσελεύσονται ἐν ταῖς πύλαις τοῦ οἴκου τούτου βασιλεῖς καθήμενοι ἐπὶ θρόνου δαβίδ. καὶ ἐπιβεβηκότες ἐφ' ἁρμάτων καὶ ἵππων. αὐτοὶ καὶ οἱ παῖδες αὐτῶν, καὶ ὁ λαὸς αὐτῶν. ἐὰν δὲ μὴ ποιήσητε τοὺς λόγους τούτους κατ' ἐμαυτοῦ ὤμοσα λέγει κύριος, ὅτι εἰς ἐρήμωσιν ἔσται ὁ οἶκος οὗτος. ὅτι τάδε λέγει κύριος κατὰ τοῦ οἴκου βασιλέως ἰούδα γαλαάδ. σύ μοι ἀρχὴ τοῦ λιβάνου. ἐὰν μὴ θῶ σε εἰς ἔρημον

πόλεις μὴ κατοικηθησομένας. καὶ ἐπάξω ἐπί σε ὀλοθρεύοντα ἄν-
δρα. καὶ τὸν πέλεκυν αὐτοῦ. καὶ ἐκκόψουσι τὰς ἐκλεκτὰς κέ-
δρους σου, καὶ ἐμβαλοῦσιν εἰς τὸ πῦρ. καὶ διελεύσονται ἔθνη πολ-
λὰ διὰ τῆς πόλεως ταύτης. καὶ ἐροῦσιν ἕκαστος πρὸς τὸν πλη-
σίον αὐτοῦ. διατί ἐποίησε κύριος οὕτως τῇ πόλει ταύτῃ τῇ
μεγάλῃ. καὶ ἐροῦσιν ἀνθ' ὧν ἐγκατέλιπον τὴν διαθήκην κυ-
ρίου θεοῦ αὐτῶν. καὶ προσεκύνησαν θεοῖς ἀλλοτρίοις, καὶ ἐδού-
λευσαν αὐτοῖς. μὴ κλαίετε τὸν τεθνηκότα. μηδὲ θρηνεῖτε αὐτόν.
κλαύσατε κλαυθμῷ τὸν ἐκπορευόμενον, ὅτι οὐκ ἐπιστρέψει ἔ-
τι. οὐ δὲ ὄψεται τὴν γῆν, πατρίδος αὐτοῦ. διότι τάδε λέγει κύ-
ριος ἐπὶ σελλὴμ υἱὸν ἰωσίου τὸν βασιλεύοντα ἀντὶ ἰωσίου τοῦ
πατρὸς αὐτοῦ. ὃς ἐξῆλθεν ἐκ τοῦ τόπου τούτου. οὐκ ἀναστρέψει
ἐκεῖ οὐκ ἔτι, ἀλλ' ἢ ἐν τῷ τόπῳ τούτῳ οὗ μετῴκισα αὐτὸν, ἐ-
κεῖ ἀποθανεῖται. καὶ τὴν γῆν ταύτην οὐκ ὄψεται ἔτι. ὡς ὁ οἰ-
κοδομῶν οἰκίαν αὐτοῦ οὐ μετὰ δικαιοσύνης. καὶ τὰ ὑπερῷα
αὐτοῦ οὐκ ἐν κρίματι. παρὰ τῷ πλησίον αὐτοῦ ἐργᾶται δω-
ρεὰν. καὶ τὸν μισθὸν αὐτοῦ οὐ μὴ ἀποδώσει αὐτῷ. ᾠκοδόμη-
σας σεαυτῷ οἶκον σύμμετρον. ὑπερῷα ῥιπιστὰ καὶ διεσταλ-
μένα θυρίσι. καὶ ἐξυλωμένα ἐν κέδρῳ καὶ κεχρισμένα ἐν μίλ-
τῳ. μὴ βασιλεύσεις, ὅτι σὺ παροξύνθης ἐν ἀχὰζ τῷ πατρί
σου, οὐ φάγονται καὶ οὐ πίονται, βέλτιον σε ποιεῖν κρίμα καὶ
δικαιοσύνην καλήν. οὐκ ἔγνωσαν οὐκ ἔκριναν κρίσιν ταπει-
νῶν, οὐ δὲ κρίσιν πένητος. οὐ τοῦτό ἐστιν τὸ μὴ γνῶναί σε ἐμέ
λέγει κύριος. ἰδοὺ οὐκ εἰσὶν οἱ ὀφθαλμοί σου. οὐ δὲ ἡ καρδία
σου καλή. ἀλλὰ εἰς τὴν πλεονεξίαν σου, καὶ εἰς τὸ αἷμα τὸ ἀθῶον τοῦ
ἐκχέαι αὐτό. καὶ εἰς ἀδικήματα, καὶ εἰς φόνον τοῦ ποιεῖν αὐτά.
διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ ἰωακεὶμ, υἱὸν ἰωσίου βασιλέως
ἰούδα. καὶ ἐπὶ τὸν ἄνδρα τοῦτον, οὐ μὴ κόψωνται αὐτόν. ὦ ἀδελ-
φέ. οὐ δὲ μὴ κλαύσωνται αὐτόν. οἴμοι κύριε. ταφὴν οὐ ταφήσε-
ται. συμψησθεὶς, ῥιφήσεται ἐπέκεινα τῆς πύλης ἱερουσαλήμ.

ἀνάβηθι εἰς τὸν λίβανον. καὶ κέκραξον. καὶ εἰς τὴν βασὰν δὸς τὴν φωνήν σου, καὶ βόησον εἰς τὸ πέραν τῆς θαλάσσης, ὅτι συνετρίβησαν πάντες οἱ ἐρασταί σου. ἐλάλησα πρὸς σὲ ἐν τῇ παραπτώσει σου. καὶ εἶπας οὐκ ἀκούσομαι. αὕτη ἡ ὁδός σου ἐκ νεότητός σου, οὐκ ἤκουσας τῆς φωνῆς μου. πάντας τοὺς ποιμένας σου ποιμανεῖ ἄνεμος. καὶ οἱ ἐρασταί σου. ἐλάλησα πρὸς σὲ ἐν τῇ παραπτώσει σου. ἐν αἰχμαλωσίᾳ ἐξελεύσονται, ὅτι τότε αἰσχυνθήσῃ ἀπὸ πάντων τῶν φιλούντων σε. κατοικοῦσα ἐν τῷ λιβάνῳ. ἐννοσσεύουσα ἐν ταῖς κέδροις καταστενάξεις. ἐν τῷ ἐλθεῖν σοι ὠδῖνας ὡς τικτούσης. ζῶ ἐγὼ λέγει κύριος ἐὰν γενόμενος γένηται ἰεχονίας υἱὸς ἰωακεὶμ βασιλέως ἰούδα, ἀποσφράγισμα ἐπὶ τῆς χειρὸς τῆς δεξιᾶς μου. ἐκεῖθεν ἐκσπάσω σε. καὶ παραδώσω σε εἰς χεῖρας τῶν ζητούντων τὴν ψυχήν σου. ὧν σὺ εὐλαβῇ ἀπὸ προσώπου αὐτῶν. εἰς χεῖρας τῶν χαλδαίων, καὶ ἀπορρίψω σε καὶ τὴν μητέρα σου τὴν τεκοῦσάν σε εἰς γῆν, ἣν οὐκ ἐτέχθης ἐκεῖ. καὶ ἐκεῖ ἀποθανεῖσθε. εἰς δὲ τὴν γῆν ἣν αὐτοὶ εὔχονται ταῖς ψυχαῖς αὐτῶν, οὐ μὴ ἀποστρέψωσιν. ἠτιμώθη ἰεχονίας ὡς σκεῦος, οὗ οὐκ ἔστι χρεία αὐτοῦ. ὅτι ἐξερρίφη, καὶ ἐξεβλήθη εἰς γῆν, ἣν οὐκ ᾔδει. γῆ γῆ ἄκουε σου λόγον κυρίου γράψον τὸν ἄνδρα τοῦτον, ἐκκήρυκτον ἄνθρωπον. ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ σπέρματος αὐτοῦ, καθήμενος ἐπὶ θρόνου δαβίδ. ἄρχων ἔτι ἐν τῷ ἰούδα.

Κεφάλαιον. κγ. 23.

Ὦ Ποιμένες οἱ διασκορπίζοντες καὶ ἀπολλύντες τὰ πρόβατα τῆς νομῆς αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου. ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτά. καὶ οὐκ ἐπεσκέψασθε αὐτά. ἰδοὺ ἐγὼ ἐκδικήσω ἐφ᾽ ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύματα ὑμῶν. καὶ ἐγὼ εἰσδέξομαι τοὺς καταλοίπους τοῦ λαοῦ μου ἀπὸ πάσης τῆς γῆς, οὗ ἐξῶσα αὐτοὺς ἐκεῖ. καὶ

κατασήσω αὐτοὺς εἰς τὴν νομὴν αὐτῶν. καὶ αὐξηθήσονται, καὶ
πληθυνθήσονται. καὶ ἀνασήσω αὐτοῖς ποιμένας, οἳ ποιμανοῦ-
σιν αὐτούς. καὶ οὐ φοβηθήσονται ἔτι. οὐδὲ πτοηθήσονται λέγει
κύριος. ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος, καὶ ἀνασήσω τῷ
δαβὶδ ἀνατολὴν δικαίαν. καὶ βασιλεύσει βασιλεὺς δίκαιος.
καὶ συνήσει καὶ ποιήσει κρίμα, καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ἐν
ταῖς ἡμέραις αὐτοῦ. καὶ σωθήσεται ἰούδας. καὶ ἰσραὴλ κα-
τασκηνώσει πεποιθώς. καὶ τοῦτο τὸ ὄνομα αὐτοῦ, ὃ καλέσει αὐ-
τὸν κύριος ἰωσεδὲκ ἐν τοῖς προφήταις. συνετρίβη ἡ καρδία
μου, ἐν ἐμοί. ἐσαλεύθη πάντα τὰ ὀστᾶ μου. ἐγενήθην ὡς ἀνὴρ
συντετριμμένος. καὶ ὡς ἄνθρωπος συνεχόμενος ἀπὸ οἴνου ἀ-
πὸ προσώπου κυρίου. Καὶ ἀπὸ προσώπου εὐπρεπείας δό-
ξης αὐτοῦ ἠφανίσθησαν. ὅτι ἀπὸ προσώπου τούτων ἐπένθησεν
ἡ γῆ. ἐξηράνθησαν αἱ νομαὶ τῆς ἐρήμου, καὶ ἐγένετο ὁ δρό-
μος αὐτῶν πονηρός, καὶ ἡ ἰσχὺς αὐτῶν οὕτως, ὅτι ἱερεὺς καὶ
προφήτης, ἐμολύνθησαν. καὶ ἐν τῷ οἴκῳ μου, εἶδον πονηρί-
ας αὐτῶν. διὰ τοῦτο γενέσθω ἡ ὁδὸς αὐτῶν αὐτοῖς, εἰς ὀλί-
σθημα ἐν γνόφῳ. καὶ ὑποσκελισθήσονται, καὶ πεσοῦνται ἐν αὐ-
τῇ. διότι ἐπάξω ἐπ' αὐτοὺς κακά, ἐν ἐνιαυτῷ ἐπισκέψεως
αὐτῶν φησὶ κύριος. καὶ ἐν τοῖς προφήταις, σαμαρείας εἶδον
ἀνομήματα, ἐπροφήτευσαν ἐν ὀνόματί μου, διὰ τῆς βάαλ,
καὶ ἐπλάνησαν τὸν λαόν μου ἰσραήλ. καὶ ἐν τοῖς προφήταις
ἱερουσαλήμ, ἑώρακα φρικτὰ μοιχωμένους, καὶ πορευομένους
ἐν ψεύδεσι. καὶ ἀντιλαμβανομένους χειρῶν πολλῶν. τοῦ μὴ
ἀποστραφῆναι ἕκαστον, ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. ἐγε-
νήθησάν μοι πάντες ὡς σόδομα. καὶ οἱ κατοικοῦντες αὐτὴν,
ὥσπερ γόμοῤῥα. διὰ τοῦτο τάδε λέγει κύριος δυνάμεων. ἰδοὺ
ἐγὼ ψωμίζω αὐτοὺς ὀδύνην. καὶ ποτιῶ αὐτοὺς ὕδωρ πικρόν.
ὅτι ἀπὸ τῶν προφητῶν ἱερουσαλήμ, ἐξῆλθε μολυσμὸς πάσῃ
τῇ γῇ. οὕτως λέγει κύριος παντοκράτωρ. μὴ ἀκούετε τοὺς λό-

γους τῶν προφητῶν. ὅτι ματαιοῦσιν ἑαυτοῖς ὁράσεις, καὶ ἀπὸ
καρδίας αὐτῶν λαλοῦσι, καὶ οὐκ ἀπὸ στόματος κυρίου λέγου-
σι τοῖς ἀπωθουμένοις τὸν λόγον κυρίου εἰρήνη ἔσται ὑμῖν, καὶ
πᾶσι τοῖς πορευομένοις τοῖς θελήμασιν αὐτῶν καὶ παντὶ
τῷ πορευομένῳ πλάνῃ καρδίας αὐτοῦ. οὐχ ἥξει ἐπὶ σὲ κακά.
ὅτι τίς ἔσται ἐν ὑποστήματι κυρίου; καὶ εἶδε τὸν λόγον αὐτοῦ,
τίς ἠνωτίσατο, καὶ ἤκουσεν. ἰδοὺ σεισμὸς παρὰ κυρίου, καὶ
ὀργὴ ἐκπορεύεται. εἰς συσσεισμὸν συστρεφομένη ἥξει ἐπὶ τοὺς
ἀσεβεῖς ἥξει καὶ οὐκ ἔτι ἀποστρέψει ὁ θυμὸς κυρίου, ἕως ἂν
ποιήσῃ αὐτὸ, καὶ ἕως ἂν στήσῃ αὐτὸ, ἀπὸ ἐγχειρήματος καρ
δίας αὐτοῦ. ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν νοήσουσιν αὐτά. οὐκ
ἀπέστελλα τοὺς προφήτας καὶ αὐτοὶ ἔτρεχον. οὐδὲ ἐλάλησα πρὸς
αὐτοὺς καὶ αὐτοὶ ἐπροφήτευον. καὶ εἰ ἔστησαν ἐν τῇ ὑποστάσει μου
καὶ εἰ ἤκουσαν τῶν λόγων μου. καὶ τὸν λαόν μου ἀπέστρεφον
ἀπὸ τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν. θεὸς ἐγγίζων. ἐ-
γώ εἰμι λέγει κύριος καὶ οὐχὶ θεὸς πόῤῥωθεν εἰ κρυβήσεταί
τις ἐν κρυφαίοις, καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; μὴ οὐχὶ τὸν οὐ-
ρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ λέγει κύριος; ἤκουσα ἃ λαλοῦσιν
οἱ προφῆται. ἃ προφητεύουσιν ἐπὶ τῷ ὀνόματί μου, ψευδῆ
λέγοντες. ἐνυπνιασάμην ἐνύπνιον. ἕως πότε ἔστε ἐν καρδίᾳ τῶν
προφητῶν τῶν προφητευόντων ψευδῆ. ἐν τῷ προφητεύειν αὐ-
τοὺς τὰ θελήματα τῆς καρδίας αὐτῶν τῶν λογιζομένων τοῦ ἐπιλα-
θέσθαι τοῦ νόμου μου ἐν τοῖς ἐνυπνίοις αὐτῶν, ἃ διηγοῦντο ἕ-
καστος τῷ πλησίον αὐτοῦ, καθάπερ ἐπελάθοντο οἱ πατέρες αὐ-
τῶν τοῦ ὀνόματός μου, ἐν τῇ βάαλ. ὁ προφήτης ἐν ᾧ τὸ ἐνύπνιόν
ἐστι. διηγησάσθω τὸ ἐνύπνιον αὐτοῦ, καὶ ἐν ᾧ ὁ λόγος μου πρὸς
αὐτὸν. διηγησάσθω τὸν λόγον μου ἐπ᾽ ἀληθείας, τί τὸ ἄχυρον πρὸς
τὸν σῖτον, οὕτως οἱ λόγοι μου λέγει κύριος. οὐκ ἰδοὺ οἱ λόγοι
μου, ὥσπερ πῦρ φλέγον λέγει κύριος. καὶ ὡς πέλυξ κόπτων πέ-
τραν. ἰδοὺ ἐγὼ διατοῦτο πρὸς τοὺς προφήτας λέγει κύριος ὁ θεός.

τοὺς κλέπτοντας τοὺς λόγους μου ἕκαστον παρὰ τοῦ πλησίον αὐτοῦ.
ἰδοὺ ἐγὼ πρὸς τοὺς προφήτας τοὺς ἐκβάλλοντας προφητείας
γλώσσης, καὶ νυστάζοντας νυσταγμὸν αὐτῶν. ἰδοὺ ἐγὼ πρὸς
τοὺς προφήτας τοὺς προφητεύοντας ἐνύπνια ψευδῆ. καὶ οὐ διη-
γοῦντο αὐτά. καὶ ἐπλάνησαν τὸν λαόν μου, ἐν τοῖς ψεύδεσιν αὐ-
τῶν, καὶ ἐν τοῖς πλάνοις αὐτῶν. καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτούς,
καὶ οὐκ ἐνετειλάμην αὐτοῖς. καὶ ὠφέλειαν οὐκ ὠφελήσουσι τὸν
λαὸν τοῦτον. καὶ ἐὰν ἐρωτήσωσί σε ὁ λαὸς οὗτος, ἢ ἱερεύς. ἢ
προφήτης. λέγων τί τὸ λῆμμα κυρίου; καὶ ἐρεῖς αὐτοῖς. ὑμεῖς
ἐστὲ τὸ λῆμμα. καὶ ῥάξω ὑμᾶς λέγει κύριος καὶ ὁ προφήτης, καὶ οἱ
ἱερεῖς καὶ ὁ λαὸς, οἳ ἂν εἴπωσι λῆμμα κυρίου. καὶ ἐκδικήσωσι τὸν ἄν-
θρωπον ἐκεῖνον καὶ τὸν οἶκον αὐτοῦ, οὕτως ἐρεῖτε ἕκαστος πρὸς τὸν
πλησίον αὐτοῦ, καὶ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. τί ἀπεκρίθη
κύριος καὶ τί ἐλάλησε κύριος. καὶ λῆμμα κυρίου μὴ ὀνομάζετε
ἔτι. ὅτι τὸ λῆμμα τῷ ἀνθρώπῳ ἔσται ὁ λόγος αὐτοῦ, καὶ διατί
ἐλάλησε κύριος ὁ θεὸς ἡμῶν καὶ ἐξεστρέψατε τοὺς λόγους θεοῦ
ζῶντος. οὕτως ἐρεῖτε πρὸς τὸν προφήτην, διατοῦτο τάδε λέγει
κύριος ὁ θεὸς ἡμῶν, ἀνθ' ὧν εἴπατε τὸν λόγον τοῦτον λῆμμα κυ-
ρίου. καὶ ἀπέστειλα πρὸς ὑμᾶς λέγων. οὐκ ἐρεῖτε λῆμμα κυρίου.
διατοῦτο, ἰδοὺ ἐγὼ λαμβάνω καὶ ῥάσσω ὑμᾶς, καὶ τὴν πό-
λιν ἣν ἔδωκα ὑμῖν, καὶ τοῖς πατράσιν ὑμῶν, καὶ δώσω ἐφ'
ὑμᾶς ὀνειδισμὸν αἰώνιον, καὶ ἀτιμίαν αἰώνιον, ἥτις οὐκ ἐπι-
λησθήσεται. διατοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος. καὶ
οὐκ ἐροῦσιν ἔτι ζῇ κύριος, ὃς ἀνήγαγε τὸν οἶκον ἰσραὴλ ἐκ γῆς
αἰγύπτου. ἀλλὰ ζῇ κύριος ὃς συνήγαγε πᾶν τὸ σπέρμα ἰσρα-
ὴλ, ἀπὸ γῆς βοῤῥᾶ, καὶ ἀπὸ πασῶν τῶν χωρῶν, ἔξωσεν αὐ-
τοὺς ἐκεῖ. καὶ ἀποκατέστησεν αὐτοὺς εἰς τὴν γῆν αὐτῶν.

Κεφάλαιον. κδ. 24.

ἐ Δεῖξέ μοι κύριος δύο καλάθους σύκων. κειμένα κα-
τὰ πρόσωπον ναοῦ κυρίου. μετὰ τὸ ἀποικίσαι να-

βουχοδονόσορ, βασιλέα βαβυλῶνος τὴν ἰεχονίαν υἱὸν ἰωακεὶμ βασιλέα ἰούδα, καὶ τοὺς ἄρχοντας, καὶ τοὺς τεχνίτας, καὶ τοὺς δεσμώτας, καὶ τοὺς πλουσίους ἐξ ἱερουσαλὴμ. καὶ ἤγαγεν αὐτοὺς εἰς βαβυλῶνα ὁ κάλαθος ὁ εἷς σύκων χρηστῶν. σφόδρα. ὡς τὰ σῦκα τὰ πρώϊμα. καὶ ὁ κάλαθος ὁ δεύτερος σύκων πονηρῶν σφόδρα, ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. καὶ εἶπε κύριος πρός με. τί ὁρᾷς ἱερεμία; καὶ εἶπα, σῦκα. σῦκα τὰ χρηστὰ, χρηστὰ λίαν, καὶ τὰ πονηρὰ, πονηρὰ λίαν. ἃ οὐ βρωθήσεται ἀπὸ πονηρίας αὐτῶν. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. τάδε λέγει κύριος ὁ θεὸς ἰσραήλ. ὡς τὰ σῦκα τὰ χρηστὰ ταῦτα, οὕτως ἐπιγνώσομαι τοὺς ἀποικισθέντας ἰούδα, οὓς ἐξαπέσταλκα ἐκ τοῦ τόπου τούτου εἰς γῆν χαλδαίων εἰς ἀγαθὰ καὶ στηριῶ τοὺς ὀφθαλμούς μου. ἐπ᾽ αὐτοὺς εἰς ἀγαθὰ καὶ ἀποκαταστήσω αὐτοὺς εἰς τὴν γῆν ταύτην εἰς ἀγαθὰ, καὶ ἀνοικοδομήσω αὐτοὺς καὶ οὐ μὴ καθελῶ αὐτοὺς, καὶ καταφυτεύσω αὐτούς. καὶ οὐ μὴ ἐκτίλλω. καὶ δώσω αὐτοῖς καρδίαν τοῦ εἰδέναι αὐτοὺς ἐμέ. ὅτι ἐγώ εἰμι κύριος. καὶ ἔσονταί μοι εἰς λαόν. καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. καὶ ὅτι ἐπιστραφήσονται πρὸς ἐμὲ ἐξ ὅλης τῆς καρδίας αὐτῶν. καὶ ὡς τὰ σῦκα τὰ πονηρὰ. ἃ οὐ βρωθήσονται ἀπὸ πονηρίας αὐτῶν. τάδε λέγει κύριος. οὕτως παραδώσω τὴν σεδεκίαν βασιλέα ἰούδα, καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ τὸ κατάλοιπον ἱερουσαλὴμ τοὺς ὑπολελειμμένους ἐν τῇ γῇ ταύτῃ, καὶ τοὺς κατοικοῦντας ἐν αἰγύπτῳ. καὶ δώσω αὐτοὺς εἰς διασκορπισμοὺς εἰς πάσας τὰς βασιλείας τῆς γῆς καὶ ἔσονται εἰς ὀνειδισμόν. καὶ εἰς παραβολὴν καὶ εἰς μῖσος. καὶ εἰς κατάραν ἐν παντὶ τόπῳ οὗ ἐξώσω αὐτοὺς ἐκεῖ. καὶ ἀποστελῶ εἰς αὐτούς. καὶ τὴν λιμὸν τὴν θάνατον καὶ τὴν μάχαιραν, ἕως ἂν ἐκλείπωσιν ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.

## Κεφάλαιον. κε. 25.

Λόγος ὁ γενόμενος πρὸς Ἱερεμίαν ἐπὶ πάντα τὸν
λαὸν Ἰούδα ἐν τῷ ἔτει τῷ τετάρτῳ τοῦ Ἰωακεὶμ
υἱοῦ Ἰωσίου βασιλέως Ἰούδα. αὐτὸς ἐνιαυτὸς πρῶ-
τος τῷ Ναβουχοδονόσορ βασιλεῖ Βαβυλῶνος. ὃν ἐλάλησε πρὸς
πάντα τὸν λαὸν Ἰούδα καὶ πρὸς τοὺς κατοικοῦντας Ἱερουσα-
λὴμ λέγων ἐν τρισκαιδεκάτῳ ἔτει Ἰωσία υἱοῦ Ἀμὼς βασι-
λέως Ἰούδα. καὶ ἕως τῆς ἡμέρας ταύτης εἴκοσι καὶ τρία ἔτη.
καὶ ἐλάλησα πρὸς ὑμᾶς ὀρθρίζων καὶ λέγων. καὶ ἀπέστελλον πρὸς
ὑμᾶς τοὺς δούλους μου τοὺς προφήτας. ὄρθρου ἀποστέλλων, καὶ
οὐκ εἰσηκούσατε καὶ οὐ προσέχετε τοῖς ὠσὶν ὑμῶν. ἀπο-
στράφητε ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ ἀπὸ τῶν
πονηρῶν ἐπιτηδευμάτων ὑμῶν, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς
ἧς ἔδωκα ὑμῖν καὶ τοῖς πατράσιν ὑμῶν, ἀπ' αἰῶνος καὶ ἕως αἰ-
ῶνος. μὴ πορεύεσθε ὀπίσω θεῶν ἀλλοτρίων τοῦ δουλεύειν αὐτοῖς
καὶ τοῦ προσκυνεῖν αὐτοῖς. ὅπως μὴ παροργίζητέ με ἐν τοῖς ἔρ-
γοις τῶν χειρῶν ὑμῶν, τοῦ κακῶσαι ὑμᾶς, καὶ οὐκ ἠκούσατέ μου.
διὰ τοῦτο τάδε λέγει κύριος. ἐπειδὴ οὐκ ἐπιστεύσατε τοῖς λό-
γοις μου ἰδοὺ ἐγὼ ἀποστέλλω. καὶ λήψομαι τὴν πατριὰν ἀπὸ
βορρᾶ καὶ ἄξω αὐτοὺς ἐπὶ τὴν γῆν ταύτην καὶ ἐπὶ τοὺς κατοικοῦν-
τας αὐτὴν καὶ ἐπὶ πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῆς. καὶ ἐξερημώ-
σω αὐτούς. καὶ δώσω αὐτοὺς εἰς ἀφανισμὸν καὶ εἰς συριγμὸν καὶ
εἰς ὀνειδισμὸν αἰώνιον. καὶ ἀπολῶ ἀπ' αὐτῶν φωνὴν χαρᾶς. καὶ
φωνὴν εὐφροσύνης. φωνὴν νυμφίου, καὶ φωνὴν νύμφης. ὀσμὴν μύ-
ρου. καὶ φῶς λύχνου. καὶ ἔσται πᾶσα ἡ γῆ εἰς ἀφανισμὸν καὶ δουλεύ-
σουσιν ἐν τοῖς ἔθνεσιν ἑβδομήκοντα ἔτη. καὶ ἐν τῷ πληρωθῆναι
τὰ ἑβδομήκοντα ἔτη ἐκδικήσω τὸ ἔθνος ἐκεῖνο φησὶ κύριος. καὶ θή-
σομαι αὐτοὺς εἰς ἀφανισμὸν αἰώνιον. καὶ ἐπάξω ἐπὶ τὴν γῆν ἐκεί-
νην πάντας τοὺς λόγους μου. οὓς ἐλάλησα κατ' αὐτῆς. πάντα τὰ γε-
γραμμένα ἐν τῷ βιβλίῳ τούτῳ ἃ ἐπροφήτευσεν Ἱερεμίας ἐπὶ τὰ
ἔθνη Αἰλάμ. τάδε λέγει κύριος συντριβήτω τὸ τόξον Αἰλάμ, ἀρχὴ

δυναστείας αὐτῶν. καὶ ἐπάξω ἐπὶ αἰλὰμ τέσσαρας ἀνέμους
ἐκ τῶν τεσσάρων ἄκρων τοῦ οὐρανοῦ. καὶ διασπερῶ αὐτοὺς ἐν
πᾶσι τοῖς ἀνέμοις τούτοις. καὶ οὐκ ἔσται ἔθνος ὃ οὐχ ἥξει ἐκεῖ.
οἱ ἐξωσμένοι αἰλὰμ, καὶ ποιήσω αὐτοὺς ἐναντίον τῶν ἐχθρῶν
αὐτῶν, τῶν ζητούντων τὴν ψυχὴν αὐτῶν. καὶ ἐπάξω ἐπ᾽ αὐ-
τοὺς κατὰ τὴν ὀργὴν τοῦ θυμοῦ μου. καὶ ἀποστελῶ ὀπίσω αὐτῶν
τὴν μάχαιράν μου. ἕως τοῦ ἐξαναλῶσαι αὐτούς. καὶ θήσω τὸν
θρόνον μου ἐν αἰλὰμ. καὶ ἐξαποστελῶ ἐκεῖθεν βασιλέα καὶ με-
γιστᾶνας. καὶ ἔσται ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν καὶ ἀποστρέψω τὴν
αἰχμαλωσίαν ἐν αἰλὰμ λέγει κύριος. Οὕτως εἶπε κύριος
ὁ θεὸς ἰσραὴλ λάβε τὸ ποτήριον τοῦ οἴνου τοῦ ἀκράτου τούτου ἐκ
τῆς χειρός μου. καὶ ποτιεῖς πάντα τὰ ἔθνη, πρὸς ἃ ἐγὼ ἀπο-
στέλλω σε πρὸς αὐτούς, καὶ πίωνται καὶ ἐξεμέσονται καὶ ἐκμα-
νήσονται ἀπὸ προσώπου τῆς μαχαίρας, ἧς ἐγὼ ἀποστέλλω ἀνὰ
μέσον αὐτῶν καὶ ἔλαβον τὸ ποτήριον ἐκ χειρὸς κυρίου καὶ ἐ-
πότισα πάντα τὰ ἔθνη πρὸς ἃ ἀπέστειλέ με κύριος πρὸς αὐ-
τά. τὴν ἱερουσαλὴμ, καὶ τὰς πόλεις ἰούδα, καὶ βασιλεῖς ἰούδα
καὶ ἄρχοντας αὐτοῦ. τοῦ θεῖναι αὐτοὺς εἰς ἐρήμωσιν, καὶ εἰς ἄβα-
τον καὶ εἰς συριγμόν. καὶ τὸν φαραὼ βασιλέα αἰγύπτου, καὶ
τοὺς παῖδας αὐτοῦ. καὶ τοὺς μεγιστᾶνας αὐτοῦ, καὶ πάντα τὸν
λαὸν αὐτοῦ, καὶ πάντας τοὺς συμμίκτους αὐτοῦ. καὶ πάν-
τας τῶν ἀλλοφύλων τοὺς βασιλεῖς. καὶ τὴν ἀσκάλωνα καὶ
τὴν γάζαν, καὶ τὴν ἀκάρρων. καὶ τὸ ἐπίλοιπον ἀζώτου.
καὶ τὴν ἰδουμαίαν. καὶ τὴν μωαβῖτιν. καὶ τοὺς υἱοὺς ἀμ-
μών, καὶ βασιλεῖς τύρου. καὶ βασιλεῖς σιδῶνος. καὶ βα-
σιλεῖς τοὺς ἐν τῷ πέραν τῆς θαλάσσης. καὶ τὴν δαιδὰν
καὶ τὴν θαιμὰν. καὶ τὴν ῥῶς. καὶ πάντα περικεκαρμένον. κατὰ
πρόσωπον αὐτοῦ. καὶ πάντας τοὺς συμμίκτους τοὺς καταλύον-
τας ἐν τῇ ἐρήμῳ. καὶ πάντας βασιλεῖς δαιδάν. καὶ πάντας βα-
σιλεῖς περσῶν. καὶ πάντας βασιλεῖς ἀπὸ ἀπηλιώτου τοὺς πόῤῥω

καὶ τοὺς ἐγγὺς ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. καὶ πάσας βασι-
λείας τὰς ἐπὶ προσώπου τῆς γῆς. καὶ ἐρεῖς αὐτοῖς οὕτως εἶπε κύ-
ριος ὁ θεὸς παντοκράτωρ ὁ θεὸς ἰσραήλ. πίετε μεθύσθητε. καὶ
ἐξεμέσατε, καὶ πεσεῖσθε, καὶ οὐ μὴ ἀναστῆτε ἀπὸ προσώπου τῆς
μαχαίρας, ἧς ἀποστέλλω ἀνὰ μέσον ὑμῶν. καὶ ἔσται ὅταν μὴ βού-
λωνται δέξασθαι τὸ ποτήριον ἐκ τῆς χειρός σου ὥστε πιεῖν. καὶ
ἐρεῖς οὕτως εἶπε κύριος, πιόντες πίεσθε. ὅτι ἐν πόλει ἐν ᾗ ὠνομά-
σθη τὸ ὄνομά μου ἐπ' αὐτὴν ἐγὼ ἄρχομαι κακῶσαι. καὶ ὑμεῖς κα-
θάρσει, οὐ μὴ καθαρισθῆτε. ὅτι μάχαιραν ἐγὼ καλῶ ἐπὶ πάν-
τας τοὺς καθημένους ἐπὶ τῆς γῆς. καὶ σὺ προφητεύσεις ἐπ' αὐ-
τοὺς τοὺς λόγους τούτους. καὶ ἐρεῖς κύριος ἀφ' ὑψηλοῦ χρηματιεῖ, ἀ-
πὸ τοῦ οἰκητηρίου τοῦ ἁγίου δώσει φωνὴν αὐτοῦ λόγον χρηματι-
σεῖ ἐπὶ τοῦ τόπου αὐτοῦ. καὶ οἱ δὲ ὥσπερ τρυγῶντες ἀποκριθή-
σονται, καὶ ἐπικαθημένους ἐπὶ τὴν γῆν. ἥκει ὄλεθρος ἐπὶ μέρος
τῆς γῆς ὅτι κρίσις τῷ κυρίῳ, ἐν τοῖς ἔθνεσι κρίνεται αὐτὸς πρὸς
πᾶσαν σάρκα. οἱ δὲ ἀσεβεῖς ἐδόθησαν εἰς μάχαιραν λέγει κύ-
ριος. Οὕτως εἶπε κύριος. ἰδοὺ κακὰ ἔρχεται ἀπὸ ἔθνους ἐπὶ ἔ-
θνος. καὶ λαῖλαψ μεγάλη ἐκπορεύεται ἀπ' ἐσχάτου τῆς γῆς. καὶ
ἔσονται τραυματίαι ὑπὸ κυρίου, ἐν ἡμέρᾳ κυρίου, ἐκ μέρους τῆς
γῆς. καὶ ἕως εἰς μέρος τῆς γῆς, οὐ μὴ κατορυγῶσιν εἰς κοπρίαν.
ἐπὶ προσώπου τῆς γῆς ἔσονται. ἀλαλάξατε ποιμένες καὶ κεκρά-
ξατε καὶ κόπτεσθε οἱ κριοὶ τῶν προβάτων. ὅτι ἐπληρώθησαν αἱ
ἡμέραι ὑμῶν εἰς σφαγήν. καὶ πεσεῖσθε ὥσπερ οἱ κριοὶ οἱ ἐκλε-
κτοί. καὶ ἀπολεῖται φυγὴ ἀπὸ τῶν ποιμένων. καὶ σωτηρία ἀ-
πὸ τῶν κριῶν τῶν προβάτων. φωνὴ κραυγῆς τῶν ποιμένων, καὶ
ἀλαλαγμὸς τῶν προβάτων καὶ τῶν κριῶν. ὅτι ὠλόθρευσε κύ-
ριος τὰ βοσκήματα αὐτῶν. καὶ παύσεται τὰ κατάλοιπα τῆς
εἰρήνης, ἀπὸ προσώπου ὀργῆς θυμοῦ μου. ἐγκατέλιπον ὥσπερ
λέων κατάλυμα αὐτοῦ. ὅτι ἐγενήθη ἡ γῆ αὐτῶν, εἰς ἄβατον ἀπὸ
προσώπου τῆς μαχαίρας τῆς μεγάλης.

Κεφάλαιον. κϛ. 26.

Ν ἀρχῇ βασιλέως ἰωακεὶμ υἱοῦ ἰωσία. ἐγενήθη ὁ λόγος οὗτος παρὰ κυρίου οὕτως εἶπε κύριος. στῆθι ἐν αὐλῇ οἴκου κυρίου. καὶ χρηματιεῖς ἅπασι τοῖς ἰουδαίοις. καὶ πᾶσι τοῖς ἐρχομένοις προσκυνεῖν ἐν οἴκῳ κυρίου. ἅπαντας τοὺς λόγους, οὓς συνέταξά σοι χρηματίσαι αὐτοῖς. μὴ ἀφέλῃς ῥῆμα. ἴσως ἀκούσονται. καὶ ἀποστραφήσονται ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ παύσομαι ἀπὸ τῶν κακῶν ὧν ἐγὼ λογίζομαι τοῦ ποιῆσαι αὐτοῖς. ἕνεκεν τῶν πονηρῶν ἐπιτηδευμάτων αὐτῶν, καὶ ἐρεῖς οὕτως εἶπε κύριος. ἐὰν μὴ ἀκούσητέ μου τοῦ πορεύεσθαι ἐν τοῖς νομίμοις μου, οἷς ἔδωκα κατὰ πρόσωπον ὑμῶν, εἰσακούειν τῶν λόγων τῶν παίδων μου τῶν προφητῶν οὓς ἐγὼ ἀποστέλλω πρὸς ὑμᾶς ὄρθρου, καὶ ἀπέστειλα, καὶ οὐκ εἰσηκούσατέ μου. καὶ δώσω τὸν οἶκον τοῦτον, ὥσπερ σηλώμ. καὶ τὴν πόλιν δώσω εἰς κατάραν, πᾶσι τοῖς ἔθνεσι πάσης τῆς γῆς. καὶ ἤκουσαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται, καὶ πᾶς ὁ λαὸς τοῦ ἱερεμίου λαλοῦντος τοὺς λόγους τούτους ἐν οἴκῳ κυρίου. καὶ ἐγένετο τοῦ ἱερεμίου παυσαμένου λαλοῦντος πάντα ἃ συνέταξε κύριος αὐτῷ. λαλῆσαι παντὶ τῷ λαῷ, καὶ συνελάβοσαν αὐτὸν οἱ ἱερεῖς. καὶ οἱ ψευδοπροφῆται καὶ πᾶς ὁ λαὸς ὁ λέγων λέγων. θανάτῳ ἀποθανῇ. ὅτι ἐπροφήτευσας ἐπὶ τῷ ὀνόματι κυρίου λέγων. ὥσπερ σηλὼμ ἔσται ὁ οἶκος οὗτος. καὶ ἡ πόλις αὕτη ἐρημωθήσεται, ἀπὸ κατοικούντων, καὶ ἐξεκλησιάσθη πᾶς ὁ λαὸς, ἐπὶ ἱερεμίαν ἐν οἴκῳ κυρίου. καὶ ἤκουσαν οἱ ἄρχοντες ἰούδα τῶν λόγων τούτων, καὶ ἀνέβησαν ἐξ οἴκου τοῦ βασιλέως, εἰς οἶκον κυρίου. καὶ ἐκάθισαν ἐν προθύροις πύλης κυρίου τῆς καινῆς. καὶ εἶπαν οἱ ἱερεῖς καὶ οἱ ψευδοπροφῆται πρὸς τοὺς ἄρχοντας, καὶ παντὶ τῷ λαῷ. κρίσις θανάτου τῷ ἀνθρώπῳ τούτῳ. ὅτι ἐπροφήτευσε κατὰ τῆς πόλεως ταύτης. καθὼς ἠκούσατε ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ εἶπεν ἱερεμίας πρὸς τοὺς ἄρχοντας. καὶ παντὶ τῷ λαῷ λέγων.

κύριος ἀπέστειλέ με προφητεῦσαι ἐπὶ τὸν οἶκον τοῦτον, καὶ ἐπὶ τὴν
πόλιν ταύτην· πάντας τοὺς λόγους οὓς ἠκούσατε, καὶ νῦν βελτί-
ους ποιήσατε τὰς ὁδοὺς ὑμῶν, καὶ τὰ ἔργα ὑμῶν· καὶ ἀκούσατε τῆς
φωνῆς κυρίου τοῦ θεοῦ καὶ παύσεται κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλη-
σεν ἐφ᾽ ὑμᾶς· καὶ ἰδοὺ ἐγὼ ἐν χερσὶν ὑμῶν ποιήσατέ μοι ὡς συμ-
φέρει· καὶ ὡς βέλτιον ὑμῖν· ἀλλ᾽ ἢ γνόντες γνώσεσθε· ὅτι εἰ ἀναι-
ρεῖτέ με, αἷμα ἀθῷον ὑμεῖς δίδοτε ἐφ᾽ ὑμᾶς, καὶ ἐπὶ τὴν πόλιν
ταύτην, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ· ὅτι ἐν ἀληθείᾳ ἀπέσταλ-
κέ με κύριος πρὸς ὑμᾶς λαλῆσαι εἰς τὰ ὦτα ὑμῶν, πάντας τοὺς
λόγους τούτους. καὶ εἶπον οἱ ἄρχοντες καὶ πᾶς ὁ λαὸς πρὸς τοὺς ἱε-
ρεῖς, καὶ πρὸς τοὺς ψευδοπροφήτας. οὐκ ἔστι τῷ ἀνθρώπῳ τούτῳ
κρίσις θανάτου. ὅτι ἐπὶ τῷ ὀνόματι κυρίου τοῦ θεοῦ ἡμῶν ἐλάλησε
πρὸς ἡμᾶς. καὶ ἀνέστησαν ἄνδρες τῶν πρεσβυτέρων τῆς γῆς. καὶ εἶ-
πον πάσῃ τῇ συναγωγῇ τοῦ λαοῦ· μιχαίας ὁ μωραθίτης ἦν ἐν
ταῖς ἡμέραις ἐζεκίου βασιλέως ἰούδα. καὶ εἶπε παντὶ τῷ λαῷ
ἰούδα. οὕτως εἶπε κύριος· σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται. καὶ ἱε-
ρουσαλὴμ, ὡς ὀπωροφυλάκιον ἔσται. καὶ τὸ ὄρος τοῦ οἴκου, εἰς ἄλσος
δρυμοῦ. μὴ ἀναιρῶν ἀνεῖλεν αὐτὸν ἐζεκίας. καὶ πᾶς ἰούδα. οὐχ ὅτι
ἐφοβήθησαν τὸν κύριον, καὶ ὅτι ἐδεήθησαν τοῦ προσώπου κυρίου. καὶ
ἐπαύσατο κύριος ἀπὸ τῶν κακῶν ὧν ἐλάλησεν ἐπ᾽ αὐτοὺς, ἡμεῖς
ἐποιήσαμεν κακὰ μεγάλα ἐπὶ ψυχὰς ὑμῶν. καὶ ἄνθρωπος ἦν
προφητεύων ἐπὶ τῷ ὀνόματι κυρίου. οὐρίας υἱὸς σαμαίου ἐκ καρι-
αθιαρίμ. καὶ ἐπροφήτευσε περὶ τῆς γῆς ταύτης κατὰ πάντας τοὺς
λόγους τοῦ ἱερεμίου. καὶ ἤκουσεν ὁ βασιλεὺς ἰωακεὶμ, καὶ πάντες
οἱ ἄρχοντες πάντας τοὺς λόγους αὐτοῦ, καὶ ἐζήτουν ἀποκτεῖναι αὐ-
τόν. καὶ ἤκουσεν οὐρίας, καὶ εἰσῆλθεν εἰς αἴγυπτον. καὶ ἐξαπέστειλεν
ὁ βασιλεὺς, ἄνδρας εἰς αἴγυπτον, καὶ ἐξήγαγον αὐτὸν ἐκεῖθεν. καὶ
εἰσήγαγον αὐτὸν, πρὸς τὸν βασιλέα. καὶ ἐπάταξεν αὐτὸν ἐν μαχαί-
ρᾳ. καὶ ἔρριψαν αὐτὸν εἰς τὸ μνῆμα υἱῶν λαοῦ αὐτοῦ. πλὴν χεὶρ ἀχει-
κὰμ υἱοῦ σαφὰν ἦν μετὰ ἱερεμίου τοῦ μὴ παραδοῦναι αὐτὸν εἰς χεῖρας
τοῦ λαοῦ, μὴ ἀνελεῖν αὐτόν.

Κεφάλαιον. κζ. 27.

Οὕτως εἶπε κύριος· ποίησον σεαυτῷ δεσμοὺς καὶ κλοιούς· καὶ περίθου περὶ τὸν τράχηλόν σου· καὶ ἀποστελεῖς αὐτοὺς πρὸς τὸν βασιλέα ἰδουμαίας, καὶ πρὸς βασιλέα μωάβ· καὶ πρὸς τὸν βασιλέα υἱῶν ἀμμὼν, καὶ πρὸς τὸν βασιλέα τύρου· καὶ πρὸς βασιλέα σιδῶνος ἐν χερσὶν ἀγγέλων αὐτῶν τῶν ἐρχομένων εἰς ἀπάντησιν αὐτῶν εἰς ἱερουσαλήμ· πρὸς σεδεκίαν βασιλέα ἰούδα· καὶ συντάξεις αὐτοὺς πρὸς τοὺς κυρίους αὐτῶν εἰπεῖν· οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ· οὕτως ἐρεῖτε πρὸς τοὺς κυρίους ὑμῶν, ὅτι ἐγὼ ἐποίησα τὴν γῆν ἐν τῇ ἰσχύϊ μου τῇ μεγάλῃ· καὶ ἐν τῷ βραχίονί μου τῷ ὑψηλῷ· καὶ δώσω αὐτὴν ᾧ ἐὰν δόξῃ ἐν ὀφθαλμοῖς μου· ἔδωκα τὴν γῆν τῷ ναβουχοδονόσορ βασιλεῖ βαβυλῶνος δουλεύειν αὐτῷ· καὶ τὰ θηρία τοῦ ἀγροῦ ἐργάζεσθαι αὐτῷ· καὶ τὸ ἔθνος καὶ ἡ βασιλεία ὅσοι ἐὰν μὴ ἐμβάλωσι τὸν τράχηλον αὐτῶν ὑπὸ τὸν ζυγὸν βασιλέως βαβυλῶνος, ἐν μαχαίρᾳ καὶ ἐν λιμῷ ἐπισκέψομαι αὐτούς· εἶπε κύριος ἕως ἂν ἐκλίπωσιν ἐν χειρὶ αὐτοῦ, καὶ ὑμεῖς μὴ ἀκούετε τῶν ψευδοπροφητῶν ὑμῶν· καὶ τῶν μαντευομένων ὑμῖν, καὶ τῶν ἐνυπνιαζομένων ὑμῖν, καὶ τῶν οἰωνισμάτων ὑμῶν, καὶ τῶν φαρμακῶν ὑμῶν, τῶν λεγόντων οὐ μὴ ἐργάσησθε τῷ βασιλεῖ βαβυλῶνος. ὅτι ψευδῆ αὐτοὶ προφητεύουσιν ὑμῖν, πρὸς τὸ μακρῦναι ὑμᾶς ἀπὸ τῆς γῆς αὐτοῦ, καὶ τὸ ἔθνος ὃ ἂν εἰσαγάγῃ τὸν τράχηλον αὐτοῦ· ὑπὸ τὸν ζυγὸν βασιλέως βαβυλῶνος· καὶ ἐργάσηται αὐτῷ, καὶ καταλείψω αὐτὸν, ἐπὶ τῆς γῆς αὐτοῦ· καὶ ἐργᾶται αὐτῷ, καὶ ἐνοικήσει ἐν αὐτῇ· καὶ πρὸς σεδεκίαν βασιλέα ἰούδα ἐλάλησα κατὰ πάντας τοὺς λόγους τούτους· λέγων· εἰσαγάγετε τὸν τράχηλον ὑμῶν, καὶ ἐργάσασθε τῷ βασιλεῖ βαβυλῶνος, ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν· ὅτι οὐκ ἀπέστειλα αὐτοὺς φησὶ κύριος, καὶ προφητεύουσι τῷ ὀνόματί μου ἐπ᾽ ἀδίκῳ, πρὸς τὸ ἀπολέσαι ὑμᾶς· καὶ ἀπολεῖσθε ὑμεῖς, καὶ οἱ προφῆται ὑμῶν, οἱ προφητεύοντες ὑμῖν ψευδῆ ἐπ᾽ ἀδίκῳ· ὑμῖν, καὶ παντὶ τῷ λαῷ τούτῳ.

καὶ τοῖς ἱερεῦσιν ἐλάλησα, λέγων. οὕτως εἶπε κύριος. μὴ ἀκούετε
τῶν λόγων τῶν προφητῶν, τῶν προφητευόντων ὑμῖν. λεγόντων,
ἰδοὺ σκεύη οἴκου κυρίου ἐπὶ βαβυλῶνος, ὅτι ἄδικα αὐτοὶ προ-
φητεύουσιν ὑμῖν, οὐκ ἀπέστειλα αὐτούς. εἶτα προφῆταί εἰσι, καὶ
εἰ ἔστι λόγος κυρίου ἐν αὐτοῖς ἀπαντησάτωσάν μοι. ὅτι οὕτως εἶ-
πε κύριος. καὶ τῶν ἐπιλοίπων σκευῶν. ὧν οὐκ ἔλαβε βασιλεὺς βα-
βυλῶνος, ὅτε ἀπώκισε τὸν ἰεχονίαν ἐξ ἱερουσαλὴμ εἰς βαβυλῶνα.
εἰσελεύσεται λέγει κύριος.

## Κεφ. κη. 28.

Αἰ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει βασιλεύοντος σεδε-
* κίου βασιλέως ἰούδα ἐν μηνὶ τῷ πέμπτῳ, εἶπέ μοι
ἀνανίας υἱὸς ἀζὼρ ὁ ψευδοπροφήτης ἀπὸ γαβαὼν
ἐν οἴκῳ κυρίου κατ' ὀφθαλμοὺς τῶν ἱερέων, καὶ παντὸς τοῦ λαοῦ. λέ-
γων. οὕτως εἶπε κύριος. συνέτριψα τὸν ζυγὸν τοῦ βασιλέως βαβυ-
λῶνος ἔτι δύο ἔτη ἡμερῶν. ἐγὼ ἀποστρέψω εἰς τὸν τόπον τοῦτον
τὰ σκεύη οἴκου κυρίου. καὶ ἰεχονίαν, καὶ τὴν ἀποικίαν ἰούδα. ὅτι
συντρίψω τὸν ζυγὸν βασιλέως βαβυλῶνος. καὶ εἶπεν ἱερεμίας
πρὸς ἀνανίαν, κατ' ὀφθαλμοὺς παντὸς τοῦ λαοῦ. καὶ κατ' ὀφθαλ-
μοὺς τῶν ἱερέων, τῶν ἑστηκότων ἐν οἴκῳ κυρίου. καὶ εἶπεν ἱερεμίας
ἀληθῶς οὕτως ποιήσαι κύριος, στήσαι τὸν λόγον σου. ὃν σὺ προφη-
τεύεις τοῦ ἐπιστρέψαι τὰ σκεύη οἴκου κυρίου. καὶ πᾶσαν τὴν ἀποι-
κίαν ἐκ βαβυλῶνος εἰς τὸν τόπον τοῦτον αὐτῶν. πλὴν ἀκούσατε τὸν
λόγον κυρίου ὃν ἐγὼ λέγω εἰς τὰ ὦτα ὑμῶν. καὶ εἰς τὰ ὦτα παν-
τὸς τοῦ λαοῦ. οἱ προφῆται οἱ γεγονότες πρότεροί μου. καὶ πρότε-
ροι ὑμῶν ἀπὸ τοῦ αἰῶνος. καὶ ἐπροφήτευσαν περὶ γῆς πολλῆς, καὶ
ἐπὶ βασιλείας μεγάλης εἰς πόλεμον. ὁ προφήτης ὁ προφητεύ-
σας εἰς εἰρήνην ἐλθόντος τοῦ λόγου. ἐπιγνώσονται τὸν προφήτην
ὃν ἀπέστειλεν αὐτοῖς κύριος ἐν πίστει. καὶ ἔλαβεν ἀνανίας ἐν ὀ-
φθαλμοῖς παντὸς τοῦ λαοῦ. τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου ἱερεμίου.
καὶ συνέτριψεν αὐτούς, καὶ εἶπεν ἀνανίας κατ' ὀφθαλμοὺς παντὸς
τοῦ λαοῦ

τοῦ λαοῦ. λέγων εἶπε κύριος· οὕτως συντρίψω τὸν ζυγὸν βασιλέ-
ως βαβυλῶνος ἀπὸ τραχήλων πάντων τῶν ἐθνῶν. καὶ ᾤχετο ἱε-
ρεμίας εἰς τὴν ὁδὸν αὐτοῦ. καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερε-
μίαν μετὰ τὸ συντρίψαι ἀνανίαν τοὺς κλοιοὺς ἀπὸ τοῦ τραχήλου
αὐτοῦ. λέγων. βάδιζε, καὶ εἶπον πρὸς ἀνανίαν. οὕτως λέγων. εἶπε
κύριος. κλοιοὺς ξυλίνους συνέτριψας. καὶ ποιήσω ἀντ' αὐτῶν κλοιοὺς σιδη-
ροῦς. ὅτι οὕτως εἶπε κύριος. ζυγὸν σιδηροῦν ἔθηκα ἐπὶ τὸν τρα-
χήλον πάντων τῶν ἐθνῶν ἐργάζεσθαι τῷ βασιλεῖ βαβυλῶνος.
καὶ εἶπεν ἱερεμίας τῷ ἀνανίᾳ οὐκ ἀπέσταλκέ σε κύριος, καὶ
πεποιθέναι ἐποίησας τὸν λαὸν τοῦτον ἐπ' ἀδίκῳ. διὰ τοῦτο οὕ-
τως εἶπε κύριος. ἰδοὺ ἐγὼ ἐξαποστέλλω σε ἀπὸ προσώπου τῆς
γῆς τούτῳ τῷ ἐνιαυτῷ ἀποθανῇ. καὶ ἀπέθανεν ἐν τῷ μηνὶ τῷ
ἑβδόμῳ.

## Κεφάλ. κθ. 29.

Καὶ οὗτοι οἱ λόγοι τῆς βίβλου οὓς ἀπέστειλεν ἱερεμίας
κ ἐξ ἱερουσαλὴμ πρὸς τοὺς πρεσβυτέρους αὐτῆς τῆς
ἀποικίας. καὶ πρὸς τοὺς ἱερεῖς, καὶ πρὸς τοὺς ψευδο-
προφήτας. ἐπιστολὴν εἰς βαβυλῶνα τῇ ἀποικίᾳ. καὶ πρὸς ἅπαν-
τα τὸν λαόν. ὕστερον ἐξελθόντος ἰεχονίου τοῦ βασιλέως καὶ τῆς βασιλίσ-
σης καὶ τῶν εὐνούχων καὶ παντὸς ἐλευθέρου, καὶ δεσμώτου, καὶ τεχνίτου
ἐξ ἱλήμ. ἐν χειρὶ ἐλεασὰρ υἱοῦ σαφὰν. καὶ γαμαρίου υἱοῦ χελκίου, ὃν
ἀπέστειλε σεδεκίας βασιλεὺς ἰούδα, πρὸς βασιλέα βαβυλῶνος
εἰς βαβυλῶνα λέγων, οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ. ἐπὶ τὴν
ἀποικίαν ἣν ἀπῴκισεν ἀπὸ ἱερουσαλήμ. οἰκοδομήσατε οἰκίας
καὶ κατοικήσατε, καὶ καταφυτεύσατε παραδείσους, καὶ φάγετε τοὺς
καρποὺς αὐτῶν, καὶ λάβετε γυναῖκας. καὶ τεκνοποιήσατε υἱοὺς
καὶ θυγατέρας, καὶ λάβετε τοῖς υἱοῖς ὑμῶν γυναῖκας. καὶ τὰς θυ-
γατέρας ὑμῶν δότε ἀνδράσι, καὶ πληθύνεσθε, καὶ μὴ σμικρύ-
νεσθε. καὶ ζητήσατε εἰς εἰρήνην τῆς γῆς, ἣν ἀπῴκισα ὑμᾶς ἐκεῖ,
καὶ προσεύξασθε περὶ αὐτῶν, πρὸς κύριον. ὅτι ἐν εἰρήνῃ αὐ-

τῶν ἔσαι εἰρήνη ὑμῖν. ὅτι οὕτως εἶπε κύριος. μὴ ἀναπειθέτω-
σαν ὑμᾶς οἱ ψευδοπροφῆται οἱ ἐν ὑμῖν. καὶ μὴ ἀναπειθέτωσαν ὑ-
μᾶς οἱ μάντεις ὑμῶν. καὶ μὴ ἀκούετε εἰς τὰ ἐνύπνια ὑμῶν, ἃ ὑ-
μεῖς ἐνυπνιάζεσθε. ὅτι ἄδικα αὐτοὶ προφητεύουσιν ὑμῖν ἐπὶ τῷ ὀ-
νόματί μου. καὶ οὐκ ἀπέστειλα αὐτούς. ὅτι οὕτως εἶπε κύριος ὅταν
μέλλῃ πληροῦσθαι βαβυλῶν ἑβδομήκοντα ἔτη ἐπισκέψομαι ὑ-
μᾶς, καὶ ἐπιστήσω τοὺς λόγους μου ἐφ' ὑμᾶς. τοῦ ἐπιστρέψαι τὸν λα-
ὸν ὑμῶν εἰς τὸν τόπον τοῦτον, καὶ λογιοῦμαι ἐφ' ὑμᾶς τοῦ ἐπιστρέ-
ψαι τὸν λαὸν ὑμῶν ἐφ' ὑμᾶς λογισμὸν εἰρήνης. καὶ οὐ κακὰ, τοῦ
δοῦναι ὑμῖν ταῦτα. καὶ προσεύξασθε πρός με καὶ εἰσακούσομαι ὑ-
μῶν, καὶ ἐκζητήσετέ με καὶ εὑρήσετέ με ὅτι ἐκζητήσετέ με ἐν
ὅλῃ καρδίᾳ ὑμῶν. καὶ ἐπιφανοῦμαι ὑμῖν ὅτι εἴπατε. κατέστησεν
ἡμῖν κύριος προφήτας ἐν βαβυλῶνι. οὕτως εἶπε κύριος ἐπὶ ἀχι-
άβ. καὶ ἐπὶ σεδεκίαν. ἰδοὺ ἐγὼ δίδωμι αὐτοὺς εἰς χεῖρας βασιλέ-
ως βαβυλῶνος. καὶ πατάξει αὐτοὺς κατ' ὀφθαλμοὺς ὑμῶν, καὶ λή-
ψονται ἀπ' αὐτῶν κατάρα ἐν πάσῃ τῇ ἀποικίᾳ ἰούδα. ἐν βαβυ-
λῶνι λέγοντες, ποιήσαι σε κύριος, ὡς σεδεκίαν ἐποίησε. καὶ
ὡς ἀχιάβ. οὓς ἀπετηγάνισε βασιλεὺς βαβυλῶνος ἐν πυρί. δι'
ἣν ἐποίησαν ἀνομίαν ἱερουσαλήμ. καὶ ἐμοιχῶντο τὰς γυναῖκας
τῶν πολιτῶν αὐτῶν, καὶ λόγον ἐχρημάτισαν ἐν τῷ ὀνόματί
μου. ὃν οὐ συνέταξα αὐτοῖς. καὶ ἐγὼ μάρτυς φησὶ κύριος, καὶ πρὸς
σαμέαν τὸν αἰλαμίτην ἐρεῖς. οὐκ ἀπέσταλκά σε τῷ ὀνόματί μου. καὶ
πρὸς σοφονίαν τὸν ἱερέα τὸν υἱὸν μανασσαίου εἶπε κύριος ἔδωκέ σε
ἱερέα ἀντὶ ἰωδαὲ τοῦ ἱερέως. γενέσθαι ἐπιστάτην ἐν τῷ οἴκῳ κυ-
ρίου παντὶ ἀνθρώπῳ προφητεύοντι. καὶ παντὶ ἀνθρώπῳ μαινομέ-
νῳ. καὶ δώσεις αὐτὸν εἰς τὸ ἀπόκλεισμα καὶ εἰς τὸν καταράκτην. καὶ
νῦν διατί συνελοιδορήσατε ἱερεμίαν τὸν ἐξ ἀναθώθ, τὸν προφη-
τεύσαντα ὑμῖν. ὅτι διὰ τοῦ μηνὸς τούτου ἀπέστειλε πρὸς ὑμᾶς εἰς
βαβυλῶνα λέγων, μακράν ἐστιν οἰκοδομήσατε οἰκίας. καὶ κατοι-
κήσατε. καὶ φυτεύσατε κήπους. καὶ φάγεσθε τὸν καρπὸν αὐτῶν.

καὶ ἀνέγνω σοφονίας τοὺς λόγους τούτους εἰς τὰ ὦτα ἱερεμίου καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν. λέγων. ἀπόστειλον πρὸς τὴν ἀποικίαν. λέγων. οὕτως εἶπε κύριος ἐπὶ σαμέαν τὸν ἀλαμίτην. ἐπειδὴ ἐπροφήτευσεν ὑμῖν σαμέας, καὶ ἐγὼ οὐκ ἀπέστειλα αὐτὸν, καὶ πεποιθέναι ἐποίησεν ὑμᾶς ἐπ᾽ ἀδίκῳ. διατοῦτο οὕτως εἶπε κύριος. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπὶ σαμέαν καὶ ἐπὶ τὸ γένος αὐτοῦ. καὶ οὐκ ἔσται αὐτῶν ἄνθρωπος ἐν μέσῳ ὑμῶν, τοῦ ἰδεῖν τὰ ἀγαθὰ ἃ ἐγὼ ποιήσω ὑμῖν οὐκ ὄψονται.

## Κεφάλαιον λ. 30.

Λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν περὶ κυρίου εἰ-
ὁ πεῖν. Οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ. λέγων. γρά-
ψον πάντας τοὺς λόγους οὓς ἐχρημάτισα πρὸς σὲ ἐπὶ βιβλίου. ὅτι ἰδοὺ ἡμέραι ἔρχονται φησὶ κύριος παντοκράτωρ καὶ ἀποστρέψω τὴν ἀποικίαν λαοῦ μου ἰσραὴλ καὶ ἰούδα εἶπε κύριος παντοκράτωρ καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν. ἣν ἔδωκα τοῖς πατράσιν αὐτῶν. καὶ κυριεύσουσιν αὐτῆς. Καὶ οὗτοι οἱ λόγοι οὓς ἐλάλησε κύριος ἐπὶ ἰσραὴλ καὶ ἰούδα. οὕτως εἶπε κύριος φωνὴν φόβου ἀκούσεσθε. φόβος, καὶ οὐκ ἔστιν εἰρήνη. ἐρωτήσατε καὶ ἴδετε εἰ ἔτεκεν ἄρσεν, καὶ περὶ φόβου ἐν ᾧ καθέξουσιν ὀσφὺν, καὶ σωτηρίαν. διότι ἑώρακα πάντα ἄνθρωπον. καὶ αἱ χεῖρες αὐτοῦ, ἐπὶ τῆς ὀσφύος αὐτοῦ. ἐστράφησαν πρόσωπα εἰς ἴκτερον. ἐγενήθη ὅτι μεγάλη ἡ ἡμέρα ἐκείνη, καὶ οὐκ ἔστι τοιαύτη, καὶ χρόνος στενός ἐστι τῷ ἰακὼβ. καὶ ἀπὸ τούτου σωθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. εἶπε κύριος. συντρίψω τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου αὐτῶν. καὶ τοὺς δεσμοὺς αὐτῶν διαῤῥήξω. καὶ οὐκ ἐργῶνται αὐτοὶ ἔτι ἀλλοτρίοις καὶ ἐργῶνται τῷ κυρίῳ θεῷ αὐτῶν. καὶ τὸν δαβὶδ βασιλέα αὐτῶν, ἀναστήσω αὐτοῖς. οὕτως εἶπε κύριος. ἀνέστησα σύντριμμα, ἀλγηρὰ ἡ πληγή σου, οὐκ ἔστι κρίνων κρίσιν σου εἰς ἀλγηρὸν ἰατρεύθης. ὠφέλειά σοι οὐκ ἔστι. πάντες οἱ φίλοι σου ἐπελάθοντό σου. οὐκ μὴ ἐπερωτήσωσιν τὰ εἰς εἰρήνην σου. ὅτι πληγὴν ἐχθροῦ

ἔπαισά σε παιδίαν στερεὰν, ἐπὶ πᾶσαν ἀδικίαν σου· ἐπληθύνθησαν αἱ ἁμαρτίαι σου· διὰ τοῦτο πάντες οἱ ἐσθίοντές σε βρωθήσονται καὶ πάντες οἱ ἐχθροί σου κρέας αὐτῶν πᾶν ἔδονται· ἐπὶ πλῆθος ἀδικιῶν σου· ἐπληθύνθησαν αἱ ἁμαρτίαι σου· ἐποίησα ταῦτά σοι· καὶ ἔσονται οἱ διαφοροῦντές σε εἰς διαφόρημα· καὶ πάντας τοὺς προνομεύσαντάς σε δώσω εἰς προνομὴν, ὅτι ἀνάξω τὸ ἴαμά σου ἀπὸ πληγῆς ὀδυνηρᾶς ἰατρεύσω σε φησὶ κύριος. ὅτι ἐσπαρμένη ἐκλήθης· θήρευμα ὑμῶν ἐστιν, ὅτι ζητῶν οὐκ ἔστιν αὐτήν. Οὕτως εἶπε κύριος· ἰδοὺ ἐγὼ ἀποστρέψω τὴν ἀποικίαν ἰακὼβ· καὶ τὴν αἰχμαλωσίαν αὐτοῦ ἐλεήσω· καὶ οἰκοδομηθήσεται πόλις ἐπὶ τὸ ὕψος αὐτῆς· καὶ ὁ λαὸς κατὰ τὸ κρίμα αὐτοῦ καθεδεῖται· καὶ ἐξελεύσονται ἀπ' αὐτῶν ᾄδοντες· καὶ φωνὴ παιζόντων· καὶ πλεονάσω αὐτοὺς καὶ οὐ μὴ ἐλαττωθῶσι· καὶ εἰσελεύσονται οἱ υἱοὶ αὐτῶν ὡς τὸ πρότερον· καὶ τὰ μαρτύρια αὐτῶν κατὰ πρόσωπόν μου ὁρμηθήσεται· καὶ ἐπισκέψομαι πάντας τοὺς θλίβοντας αὐτοὺς καὶ ἔσονται ἰσχυρότεροι αὐτοῦ ἐπ' αὐτούς· καὶ ὁ ἄρχων αὐτοῦ ἐξ αὐτοῦ ἐξελεύσεται· καὶ συνάξω αὐτούς· καὶ ἀποστρέψουσι πρός με· ὅτι τίς ἐστιν αὐτὸς ὃς ἔδωκε τὴν καρδίαν αὐτοῦ ἐπιστρέψαι πρός με φησὶ κύριος. ὅτι ὀργὴ κυρίου ἐξῆλθε θυμώδης· ἐξῆλθεν ὀργὴ στρεφομένη· ἐπ' ἀσεβεῖς ἥξει· οὐ μὴ ἀποστραφῇ ὀργὴ θυμοῦ κυρίου ἕως ποιήσῃ, καὶ ἕως καταστήσῃ ἐγχείρημα καρδίας αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν· γνώσεσθε αὐτά.

Κεφ. λά. 31.

Ἐν τῷ χρόνῳ ἐκείνῳ· εἶπε κύριος· ἔσομαι εἰς θεὸν τῷ γένει ἰσραήλ· καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. οὕτως εἶπε κύριος· εὗρον θερμὸν ἐν ἐρήμῳ μετὰ ὀλωλότων ἐν μαχαίρᾳ· βαδίσατε, καὶ μὴ ὀλέσητε τὸν ἰσραήλ· κύριος πόρρωθεν ὤφθη αὐτῷ, ἀγάπησιν αἰώνιον ἠγάπησά σε· διὰ τοῦτο εἵλκυσά σε εἰς οἰκτείρημα, ὅτι οἰκοδομήσω σε· καὶ οἰκοδομηθήσῃ παρθένος ἱερουσαλὴμ ἔτι λήψῃ τύμπανόν σου· καὶ ἐξε

λεύσῃ μετὰ συναγωγῆς παιζόντων. ὅτι ἐφυτεύσατε ἀμπελῶ-
νας ἐν ὄρεσι σαμαρείας. φυτεύσαντες φυτεύσατε ἐν ὄρεσιν ἐ-
φραίμ. καὶ αἰνέσατε, ὅτι ἔστιν ἡμέρα κλήσεως ἀπολογουμένων.
ἀνάστητε καὶ ἀνάβητε εἰς σιὼν πρὸς κύριον τὸν θεὸν ὑμῶν. ὅτι οὕ-
τως εἶπε κύριος τῷ ἰακώβ. εὐφράνθητε. εὐφράνθητε καὶ χρεμε-
τίσατε ἐπὶ κεφαλὴν ἐθνῶν. ἀκουστὰ ποιήσατε, καὶ αἰνέσατε. εἴπατε
ἔσωσε κύριος τὸν λαὸν αὐτοῦ τὸ κατάλοιπον τοῦ ἰσραήλ. ἰδοὺ ἐ-
γὼ ἄγω αὐτοὺς ἀπὸ βορρᾶ. καὶ συνάξω αὐτοὺς ἀπ᾽ ἐσχάτου τῆς
γῆς, ἐν ἑορτῇ φασέκ. καὶ τεκνοποιήσῃ ὄχλον πολύν. καὶ ἀποστρέ-
ψουσιν ὧδε. ἐν κλαυθμῷ ἐξῆλθον, καὶ ἐν παρακλήσει ἀνάξω αὐ-
τούς. αὐλίζων ἐπὶ διώρυγας ὑδάτων ἐν ὁδῷ ὀρθῇ. καὶ οὐ μὴ πλα-
νηθῶσιν ἐν αὐτῇ. ὅτι ἐγενόμην τῷ ἰσραὴλ εἰς πατέρα. καὶ ἐ-
φραὶμ πρωτότοκός μου ἐστίν. Ακούσατε λόγους κυρίου ἔθνη. καὶ ἀνα-
γγείλατε εἰς νήσους τὰς μακρόθεν. εἴπατε ὁ λικμήσας τὸν ἰσραὴλ
καὶ συνάξει αὐτὸν καὶ φυλάξει αὐτόν, ὡς ὁ βόσκων ποίμνιον αὐτοῦ.
ὅτι ἐλυτρώσατο κύριος τὸν ἰακώβ. ἐξείλατο αὐτὸν ἐκ χειρὸς στερεω-
τέρων αὐτοῦ. καὶ ἥξουσι, καὶ εὐφρανθήσονται ἐν τῷ ὄρει σιών. καὶ ἥ-
ξουσιν ἐπ᾽ ἀγαθὰ κυρίου. ἐπὶ γῆν σίτου καὶ οἴνου, καὶ καρπῶν, καὶ
κτηνῶν, καὶ προβάτων. καὶ ἔσται ἡ ψυχὴ αὐτῶν, ὥσπερ ξύλον
ἔγκαρπον. καὶ οὐ πεινάσουσιν ἔτι. τότε χαρήσονται παρθένοι,
ἐν συναγωγῇ νεανίσκων. καὶ πρεσβῦται χαρήσονται. καὶ στρέ-
ψω τὸ πένθος αὐτῶν εἰς χαρμοσύνην. καὶ ποιήσω αὐτοὺς εὐφραι-
νομένους. μεγαλυνῶ, καὶ μεθύσω τὴν ψυχὴν τῶν ἱερέων υἱῶν
λευΐ. καὶ ὁ λαός μου τῶν ἀγαθῶν μου ἐμπλησθήσεται. Οὕτως
εἶπε κύριος. φωνὴ ἐν ῥαμᾶ ἠκούσθη θρήνου. καὶ κλαυθμοῦ, καὶ ὀ-
δυρμοῦ. ῥαχὴλ ἀποκλαιομένη ἐπὶ τῶν υἱῶν αὐτῆς, καὶ οὐκ ἤθε-
λησε παρακληθῆναι ὅτι οὐκ εἰσίν. οὕτως εἶπε κύριος διαλιπέ-
τω ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δακρύ-
ων σου. ὅτι ἔστι μισθὸς τοῖς σοῖς ἔργοις. καὶ ἐπιστρέψουσιν ἐκ γῆς
ἐχθρῶν νόμιμον τοῖς σοῖς τέκνοις. ἀκούων ἤκουσα ἐφραὶμ ὀδυ-

ρομένου. ἐπαίδευσάς με, καὶ ἐπαιδεύθην. ἐγὼ ὥσπερ μόσχος
οὐκ ἐδιδάχθην. ἐπίστρεψόν με καὶ ἐπιστρέψω. ὅτι σὺ κύριος ὁ θεός
μου. ὅτι ὕστερον αἰχμαλωσίας μου μετενόησα. καὶ ὕστερον τοῦ γνῶ-
ναί με. ἐστέναξα ἐφ' ἡμέρας αἰσχύνης καὶ ὑπέδειξά σοι ὅτι ἔλαβον
ὀνειδισμὸν ἐκ νεότητός μου. υἱὸς ἀγαπητὸς ἐφραίμ. ἐμοὶ παι-
δίον ἐντρυφῶν. ὅτι ἀνθ' ὧν οἱ λόγοι μου ἐν αὐτῷ μνείᾳ μνη-
σθήσομαι αὐτοῦ, διὰ τοῦτο ἔσπευσα ἐπ' αὐτῷ. ἐλεῶν ἐλεήσω
αὐτὸν φησὶ κύριος. στῆσον σεαυτὴν σιὼν ποίησον τιμωρίαν. δὸς
καρδίαν σου εἰς τοὺς ὤμους σου. ὁδὸν ἣν πεπόρευσαι ἀποστρά-
φηθι παρθένος ἰσραὴλ ἀποστράφηθι εἰς τὰς πόλεις σου πενθοῦσα. ἕως
πότε ἀποστραφήσῃ θυγάτηρ ἠτιμωμένη. ὅτι ἔκτισε κύριος σω-
τηρίαν εἰς καταφύτευσιν καινὴν ἐν σωτηρίᾳ. περιελεύσονται ἄν-
θρωποι, ὅτι οὕτως εἶπε κύριος. ἔτι ἐροῦσι τὸν λόγον τοῦτον ἐν γῇ
ἰούδα, καὶ ἐν πόλεσιν αὐτῶν ὅταν ἀποστρέψω τὴν ἀποικίαν
αὐτοῦ. εὐλογημένος κύριος ἐπὶ δίκαιον ὄρος τὸ ἅγιον αὐτοῦ, καὶ ἐνοι-
κοῦντες ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἐν πάσῃ τῇ γῇ αὐτοῦ, ἅμα
τῷ γεωργῷ. καὶ ἀρθήσεται ἐν ποιμνίῳ, ὅτι ἐμέθυσα πᾶσαν ψυ-
χήν, διψῶσαν, καὶ πᾶσαν ψυχὴν πεινῶσαν ἐνέπλησα. διὰ τοῦτο ἐξ-
ηγέρθην καὶ εἶδον καὶ ὁ ὕπνος μου ἡδύς μοι ἐγενήθη. διὰ τοῦτο ἰδοὺ
ἡμέραι ἔρχονται φησὶ κύριος. καὶ σπερῶ τὸν ἰσραὴλ καὶ τὸν ἰού-
δαν, σπέρμα ἀνθρώπου, καὶ σπέρμα κτήνους. καὶ ἔσται ὥσπερ
ἐγρηγόρουν ἐπ' αὐτοὺς καθαιρεῖν, καὶ κακοῦν, οὕτως γρηγορή-
σω ἐπ' αὐτούς, τοῦ οἰκοδομεῖν καὶ καταφυτεύειν φησὶ κύριος. ἐν
ταῖς ἡμέραις ἐκείναις, οὐ μὴ εἴπωσιν οἱ πατέρες ἔφαγον ὄμφα-
κα. καὶ οἱ ὀδόντες τῶν τέκνων αἱμοδίασαν. ἀλλ' ἢ ἕκαστος ἐν τῇ
ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται. καὶ τοῦ φαγόντος τὸν ὄμφακα αἱμοδιά-
σουσιν οἱ ὀδόντες αὐτοῦ. ἰδοὺ ἡμέραι ἔρχονται φησὶ κύριος. καὶ διαθή-
σομαι τῷ οἴκῳ ἰσραὴλ καὶ τῷ οἴκῳ ἰούδα, διαθήκην καινήν. οὐ
κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν. ἐν ἡμέρᾳ
ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰ-

γύπτου. ὅτι αὐτοὶ, οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου· καὶ ἐγὼ ἠμέ-
λησα αὐτῶν φησὶ κύριος. ὅτι αὕτη ἡ διαθήκη μου, ἣν διαθήσομαι
τῷ οἴκῳ ἰσραὴλ. μετὰ τὰς ἡμέρας ἐκείνας φησὶ κύριος, διδοὺς
δώσω νόμους μου, εἰς τὴν διάνοιαν αὐτῶν. καὶ ἐπὶ καρδίας αὐτῶν
γράψω αὐτούς. καὶ ὄψομαι αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς θεόν. καὶ
αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ διδάξωσιν, ἕκαστος τὸν πο-
λίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ. λέγων, γνῶθι τὸν κύριον
ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν, ἕως μεγάλου αὐτῶν
ὅτι ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν. καὶ τῶν ἁμαρτιῶν, αὐ-
τῶν, οὐ μὴ μνησθῶ ἔτι. Ἐὰν ὑψωθῇ ὁ οὐρανὸς εἰς τὸ μετέωρον φη-
σὶ κύριος, καὶ ἐὰν ταπεινωθῇ τὸ ἔδαφος τῆς γῆς, καὶ ἐγὼ οὐκ ἀπο-
δοκιμῶ τὸ γένος ἰσραὴλ φησὶ κύριος, περὶ πάντων ὧν ἐποίη-
σαν. οὕτως εἶπε κύριος ὁ δοὺς τὸν ἥλιον εἰς φῶς τῆς ἡμέρας. σε-
λήνην καὶ ἀστέρας εἰς φῶς τῆς νυκτός. καὶ κραυγὴν ἐν θαλάσσῃ. καὶ
ἐβόμβησε τὰ κύματα αὐτῆς. κύριος παντοκράτωρ ὄνομα αὐ-
τῷ. ἐὰν παύσωνται οἱ νόμοι οὗτοι ἀπὸ προσώπου μου φησὶ
κύριος. καὶ τὸ γένος ἐν ἰσραὴλ παύσεται, γενέσθαι ἔθνος. κα-
τὰ πρόσωπόν μου πάσας τὰς ἡμέρας. ἰδοὺ ἡμέραι ἔρχονται
φησὶ κύριος. καὶ οἰκοδομηθήσεται πόλις τῷ κυρίῳ ἀπὸ πύρ-
γων ἀναμεὴλ, ἕως πύλης τῆς γωνίας. καὶ ἐξελεύσεται ἡ διαμέ-
τρησις αὐτῆς ἀπέναντι αὐτοῦ, ἕως βουνῶν γαρήβ. καὶ περικυ-
κλωθήσεται κύκλῳ ἐξ ἐκλεκτῶν λίθων. καὶ πάντες ἀσαρημὼθ,
ἕως χειμάρρου ἀχελκεδρὼν. ἕως γωνίας πύλης. ἵππων ἀνατο-
λῆς. ἁγίασμα τῷ κυρίῳ. καὶ οὐκέτι οὐ μὴ ἐκλίπῃ. καὶ οὐ μὴ
καθαιρεθῇ, ἕως τοῦ αἰῶνος.

## Κεφάλαιον. λβ. 32.

Λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν
δ. ἐν τῷ ἐνιαυτῷ τῷ δεκάτῳ βασιλεῖ σεδεκίᾳ.
οὗτος ἐνιαυτὸς ὀκτωκαιδέκατος τῷ βασιλεῖ ναβουχοδο-
νόσορ, βασιλεῖ βαβυλῶνος. καὶ δύναμις βασιλέως βαβυλῶνος,

ἐχαράκωσαν ἐπὶ ἱερουσαλήμ. καὶ ἱερεμίας ἐφυλάσσετο ἐν τῇ αὐλῇ τῆς φυλακῆς, ἥ ἐστιν ἐν οἴκῳ βασιλέως. ἐν ᾗ κατέκλεισεν αὐτὸν ὁ βασιλεὺς σεδεκίας. λέγων, διὰ τί σὺ προφητεύεις. λέγων. οὕτως εἶπε κύριος. ἰδοὺ ἐγὼ δίδωμι τὴν πόλιν ταύτην ἐν χερσὶ βασιλέως βαβυλῶνος, καὶ λήψεται αὐτήν. καὶ σεδεκίας βασιλεὺς ἰούδα. οὐ μὴ ῥυσθῇ ἐκ χειρὸς τῶν χαλδαίων. ὅτι παραδόσει παραδοθήσεται εἰς χεῖρας βασιλέως βαβυλῶνος. καὶ λαλήσει στόμα αὐτοῦ πρὸς στόμα αὐτοῦ. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται. καὶ εἰσελεύσεται σεδεκίας εἰς βαβυλῶνα, καὶ ἐκεῖ ἀποθανεῖται. καὶ ὁ λόγος κυρίου ἐγενήθη πρὸς ἱερεμίαν λέγων. ἰδοὺ ἀναμεὴλ υἱὸς σαλὼμ ἀδελφοῦ πατρός σου, ἔρχεται πρὸς σὲ λέγων. κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν ἀναθώθ. ὅτι σοὶ κρίμα τῆς ἀγχιστείας παραλαβεῖν εἰς κτῆσιν. καὶ ἦλθε πρός με ἀναμεὴλ υἱὸς σαλώμ, ἀδελφοῦ πατρός μου, κατὰ τὸν λόγον κυρίου, εἰς τὴν αὐλὴν τῆς φυλακῆς. καὶ εἶπε. κτῆσαι σεαυτῷ τὸν ἀγρόν μου τὸν ἐν γῇ βενιαμὶν τὸν ἐν ἀναθώθ, ὅτι σοὶ κρίμα κτήσασθαι αὐτόν, καὶ σὺ πρεσβύτερος. καὶ ἔγνων ὅτι λόγος κυρίου ἐστί, καὶ ἐκτησάμην τὸν ἀγρὸν ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου. καὶ ἔστησα αὐτῷ ἑπτὰ σίκλους. καὶ δέκα ἀργυρίου. καὶ ἔγραψα εἰς βιβλίον, καὶ ἐσφραγισάμην. καὶ διεμαρτυράμην μάρτυρας. καὶ ἔστησα τὸ ἀργύριον ἐν ζυγῷ, καὶ ἔλαβον τὸ βιβλίον τῆς κτήσεως τὸ ἀναγνωσμένον καὶ ἐσφραγισμένον καὶ ἔδωκα αὐτὸ τῷ βαροὺχ υἱῷ νηρίου υἱοῦ μαασαίου κατ᾽ ὀφθαλμοὺς ἀναμεὴλ υἱοῦ ἀδελφοῦ πατρός μου. καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἀνδρῶν, τῶν παρεστηκότων, μαρτύρων, καὶ γραφόντων ἐν τῷ βιβλίῳ τῆς κτήσεως. καὶ κατ᾽ ὀφθαλμοὺς τῶν ἰουδαίων, τῶν καθημένων ἐν τῇ αὐλῇ τῆς φυλακῆς. καὶ συνέταξα τῷ βαρούχ, κατ᾽ ὀφθαλμοὺς αὐτῶν. λέγων οὕτως εἶπε κύριος παντοκράτωρ. ὁ θεὸς ἰσραήλ. λάβε τὸ βιβλίον τῆς κτήσεως τοῦτο, καὶ τὸ βιβλίον τὸ ἀνεγνωσμένον. καὶ θήσεις αὐτὸ εἰς ἀγγεῖον ὀστράκινον, ἵνα διαμείνῃ ἡμέρας

πλείους. ὅτι οὕτως εἶπε κύριος. ἔτι κτηθήσονται ἀγροὶ καὶ οἰκίαι,
καὶ ἀμπελῶνες ἐν τῇ γῇ ταύτῃ. καὶ προσηυξάμην πρὸς κύριον με-
τὰ τὸ δοῦναί με τὸ βιβλίον τῆς κτήσεως. πρὸς βαροὺχ υἱὸν νη-
ρίου. λέγων. ὁ ὢν κύριε σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. τῇ
ἰσχύϊ σου τῇ μεγάλῃ καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ καὶ τῷ
μετεώρῳ, οὐ μὴ ἀποκρυβῇ ἀπὸ σοῦ. οὐθὲν ποιῶν ἔλεος εἰς χι-
λιάδας, καὶ ἀποδιδοὺς ἁμαρτίας πατέρων εἰς κόλπους τέ-
κνων αὐτῶν μετ' αὐτούς, ὁ θεὸς ὁ μέγας καὶ ἰσχυρός. κύριος με-
γάλης βουλῆς, καὶ δυνατὸς τοῖς ἔργοις. ὁ θεὸς ὁ μέγας ὁ παντο-
κράτωρ, καὶ μεγαλώνυμος κύριος. οἱ ὀφθαλμοί σου ἀνεῳγμέ-
νοι. εἰς τὰς ὁδοὺς πάσας τῶν υἱῶν τῶν ἀνθρώπων, δοῦναι ἑκάστῳ
κατὰ τὴν ὁδὸν αὐτοῦ. ὃς ἐποίησας σημεῖα καὶ τέρατα ἐν γῇ αἰ-
γύπτῳ, καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐν ἰσραήλ. καὶ ἐν τοῖς γηγενέ-
σι, καὶ ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη. καὶ ἐξήγα-
γες τὸν λαόν σου ἰσραήλ, ἐκ γῆς αἰγύπτου. ἐν σημείοις καὶ ἐν τέ-
ρασιν, ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. καὶ ἐν ὁράμα-
σι μεγάλοις. καὶ ἔδωκας αὐτοῖς τὴν γῆν ταύτην, ἣν ὤμοσας
τοῖς πατράσιν αὐτῶν. γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ εἰσήλθοσαν
καὶ ἔλαβον αὐτήν, καὶ οὐκ ἤκουσαν τῆς φωνῆς σου. καὶ ἐν τοῖς προ-
στάγμασί σου, οὐκ ἐπορεύθησαν. ἅπαντα ἃ ἐνετείλω αὐτοῖς ποι-
εῖν, οὐκ ἐποίησαν. καὶ ἐποίησαν συμβῆναι αὐτοῖς πάντα τὰ
κακὰ ταῦτα. ἰδοὺ ὄχλος ἥκει εἰς τὴν πόλιν συλλαβεῖν αὐτήν.
καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας χαλδαίων τῶν πολεμούντων
αὐτὴν ἀπὸ προσώπου μαχαίρας. καὶ τοῦ λιμοῦ, ὡς ἐλάλη-
σας οὕτως ἐγένετο. καὶ σὺ λέγεις πρός με κτῆσαι σεαυτῷ ἀ-
γρὸν ἀργυρίου. καὶ ἔγραψα βιβλίον, καὶ ἐσφραγισάμην. καὶ ἐπε-
μαρτυράμην μάρτυρας. καὶ ἡ πόλις ἐδόθη εἰς χεῖρας χαλ-
δαίων. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. ἐγὼ κύριος ὁ
θεὸς πάσης σαρκός. μή, ἀπ' ἐμοῦ κρυβήσεταί τι. διατοῦτο οὕτως
εἶπε κύριος ὁ θεὸς ἰσραήλ. δοθεῖσα παραδοθήσεται ἡ πόλις αὕ-

τη, εἰς χεῖρας βασιλέως βαβυλῶνος. καὶ λήψεται αὐτήν, καὶ ἥξουσιν οἱ χαλδαῖοι πολεμοῦντες ἐπὶ τὴν πόλιν ταύτην. καὶ καύσουσι τὴν πόλιν ταύτην ἐν πυρί. καὶ κατακαύσουσι τὰς οἰκίας ἐν αἷς ἐθυμίασαν, ἐν αὐταῖς ἐπὶ τῶν δωμάτων αὐτῶν, τῇ βάαλ. καὶ ἔσπενδον σπονδὰς θεοῖς ἑτέροις, πρὸς τὸ παραπικρᾶναι με, ὅτι ἦσαν οἱ υἱοὶ ἰσραήλ. καὶ οἱ υἱοὶ ἰούδα. μόνοι ποιοῦντες τὸ πονηρὸν κατ' ὀφθαλμούς μου ἐκ νεότητος αὐτῶν. ὅτι ἐπὶ τὴν ὀργήν μου, καὶ ἐπὶ τὸν θυμόν μου, ἦν ἡ πόλις αὕτη, ἀφ' ἧς ἡμέρας ᾠκοδόμησαν αὐτήν. καὶ ἕως τῆς ἡμέρας ταύτης ἀπαλλάξαι αὐτὴν ἀπὸ προσώπου μου. διὰ πάσας τὰς πονηρίας τῶν υἱῶν ἰσραήλ, καὶ ἰούδα ὅτι ἐποίησαν πικρᾶναι με. αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν, καὶ οἱ ἄρχοντες αὐτῶν καὶ οἱ μεγιστᾶνες αὐτῶν, καὶ οἱ ἱερεῖς αὐτῶν. καὶ οἱ προφῆται αὐτῶν. ἄνδρες ἰούδα, καὶ οἱ κατοικοῦντες ἐν ἱερουσαλήμ. καὶ ἔστρεψαν πρός με νῶτον. καὶ οὐ πρόσωπον αὐτῶν. καὶ ἐδίδαξα αὐτοὺς ὄρθρου. καὶ οὐκ ἤκουσαν ἔτι λαβεῖν παιδείαν. καὶ ἔθηκαν τὰ μιάσματα αὐτῶν ἐν τῷ οἴκῳ. οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ, ἐν ἀκαθαρσίαις αὐτῶν. καὶ ᾠκοδόμησαν τοὺς βωμοὺς ἐν τῇ βάαλ τοὺς ἐν φάραγγι υἱοῦ ἐννόμ. τοῦ ἀναφέρειν τοὺς υἱοὺς αὐτῶν. καὶ τὰς θυγατέρας αὐτῶν, τῷ μολόχ, βασιλεῖ. ἃ οὐ συνέταξα αὐτοῖς, καὶ οὐκ ἀνέβη ἐπὶ καρδίαν μου τοῦ ποιῆσαι τὸ βδέλυγμα τοῦτο, πρὸς τὸ ἐφαμαρτεῖν τὸν ἰούδαν. Καὶ νῦν οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραήλ, ἐπὶ τὴν πόλιν ἣν σὺ λέγεις παραδοθήσεται εἰς χεῖρας βασιλέως βαβυλῶνος ἐν μαχαίρᾳ, καὶ ἐν λιμῷ, καὶ ἐν ἀποστολῇ. ἰδοὺ ἐγὼ συνάγω αὐτοὺς ἐκ πάσης τῆς γῆς, οὗ διέσπειρα αὐτοὺς ἐκεῖ ἐν ὀργῇ μου καὶ τῷ θυμῷ μου. καὶ ἐν παροξυσμῷ μεγάλῳ. καὶ ἀποστρέψω αὐτοὺς εἰς τὸν τόπον αὐτῶν. καὶ καθιῶ αὐτοὺς πεποιθότας. καὶ ἔσονταί μοι εἰς λαόν. καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν. καὶ δώσω αὐτοῖς ὁδὸν ἑτέραν, καὶ καρδίαν ἑτέραν, φοβεῖσθαί με πάσας ἡμέρας. εἰς ἀγαθὸν αὐτοῖς, καὶ τοῖς τέκνοις αὐτῶν μετ' αὐτούς. καὶ δια-

θήσομαι αὐτοῖς διαθήκην αἰώνιον. ἣν οὐ μὴ ἀποστρέψω ἀπὸ ὄπισθεν αὐτῶν. καὶ τὸν φόβον μου δώσω εἰς τὴν καρδίαν αὐτῶν, πρὸς τὸ μὴ ἀποστῆναι αὐτοὺς τοὺς ἀπ' ἐμοῦ. καὶ ἐπισκέψομαι τοῦ ἀγαθῶσαι αὐτοὺς, καὶ φυτεύσω αὐτοὺς ἐν τῇ γῇ ταύτῃ ἐν πίστει. καὶ ἐν πάσῃ καρδίᾳ μου, καὶ ἐν πάσῃ ψυχῇ. ὅτι οὕτως εἶπε κύριος. καθὰ ἐπήγαγον ἐπὶ τὸν λαὸν τοῦτον πάντα τὰ κακὰ τὰ μεγάλα ταῦτα. οὕτως ἐγὼ ἐπάξω ἐπ' αὐτοὺς πάντα τὰ ἀγαθά. ἃ ἐλάλησα ἐπ' αὐτούς. καὶ κτηθήσονται ἔτι ἀγροὶ ἐν τῇ γῇ ἣν σὺ λέγεις. ἄβατος ἔσται ἀπὸ ἀνθρώπων καὶ κτήνους. καὶ παρεδόθησαν εἰς χεῖρας χαλδαίων. καὶ κτήσονται ἀγροὺς ἐν ἀργυρίῳ. καὶ γράψεις ἐν βιβλίῳ, καὶ σφραγιῇ, καὶ διαμαρτύρῃ μάρτυρας ἐν γῇ βενιαμίν. καὶ κύκλῳ τῆς ἱερουσαλὴμ καὶ ἐν πόλεσιν ἰούδα, καὶ ἐν πόλεσιν τοῦ ὄρους καὶ ἐν πόλεσι τῆς σεφιλά. καὶ ἐν πόλεσι τῆς ναγέβ. ὅτι ἀποστρέψω τὰς ἀποικίας αὐτῶν.

## Κεφ. λγ. 33.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν δεύτε-
κ ρον. καὶ αὐτὸς ἦν ἔτι δεδεμένος ἐν τῇ αὐλῇ
τῆς φυλακῆς. λέγων. οὕτως εἶπε κύριος ποιῶν γῆν, καὶ πλάσσων αὐτὴν, τοῦ ἀνορθῶσαι αὐτήν. κύριος ὄνομα αὐτῷ. καὶ κράξον πρός με, καὶ ἀποκριθήσομαί σοι. καὶ ἀπαγγελῶ σοι μεγάλα καὶ ἰσχυρά. ἃ οὐκ ἔγνως αὐτά, ὅτι οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ περὶ οἴκων τῆς πόλεως ταύτης. καὶ περὶ οἴκων βασιλέως ἰούδα τῶν καθημένων εἰς χάρακα. καὶ προμαχῶνας τοῦ μάχεσθαι πρὸς τοὺς χαλδαίους. καὶ πληρώσω αὐτὴν νεκρῶν τῶν ἀνθρώπων, οὓς ἐπάταξα ἐν ὀργῇ μου. καὶ ἐν θυμῷ μου. καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, περὶ πασῶν τῶν πονηρῶν αὐτῶν. ἰδοὺ

ἐγὼ ἀνάγω αὐτῇ συνούλωσιν καὶ ἴαμα καὶ ἰατρεύσω αὐτήν καὶ φανερώσω αὐτοῖς εἰσακούειν. καὶ ἰατρεύσω αὐτούς. καὶ ποιήσω εἰρήνην καὶ πίστιν. καὶ ἀποστρέψω τὴν ἀποικίαν ἰούδα καὶ ἀποικίαν ἰσραήλ. καὶ οἰκοδομήσω αὐτούς, καθὼς καὶ τὸ πρότερον. καὶ καθαριῶ αὐτούς, ἀπὸ πασῶν τῶν ἀδικιῶν αὐτῶν, ὧν ἥμαρτόν μοι, καὶ οὐ μὴ μνησθήσομαι ἁμαρτιῶν αὐτῶν ὧν ἥμαρτόν μοι, καὶ ἀπέστησαν ἀπ᾽ ἐμοῦ. καὶ ἔσται εἰς εὐφροσύνην, καὶ εἰς αἴνεσιν. καὶ εἰς μεγαλειότητα παντὶ τῷ λαῷ τῆς γῆς, οἵτινες ἀκούσονται πάντα τὰ ἀγαθὰ ἃ ἐγὼ ποιήσω. καὶ φοβηθήσονται καὶ πικρανθήσονται περὶ πάντων τῶν ἀγαθῶν, καὶ περὶ πάσης τῆς εἰρήνης ἧς ἐγὼ ποιήσω αὐτοῖς. οὕτως εἶπε κύριος. ἔτι ἀκουσθήσονται ἐν τῷ τόπῳ τούτῳ. ᾧ ὑμεῖς λέγετε. ἔρημός ἐστιν ἀπὸ ἀνθρώπων καὶ κτηνῶν ἐν πόλεσιν ἰούδα. καὶ ἔξωθεν ἱερουσαλὴμ ταῖς ἠρημωμέναις. παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη. φωνὴ εὐφροσύνης. καὶ φωνὴ χαρμοσύνης. φωνὴν νυμφίου. καὶ φωνὴ νύμφης. φωνὴ λεγόντων ἐξομολογεῖσθε κυρίῳ παντοκράτορι. ὅτι χρηστὸς κύριος. ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. καὶ εἰσοίσουσι δῶρα εἰς οἶκον κυρίου. ὅτι ἐπιστρέψω πᾶσαν τὴν ἀποικίαν τῆς γῆς ἐκείνης. κατὰ τὸ πρότερον εἶπε κύριος. οὕτως εἶπε κύριος τῶν δυνάμεων, ἔτι ἔσται ἐν τῷ τόπῳ τούτῳ τῷ ἐρήμῳ, παρὰ τὸ μὴ εἶναι ἄνθρωπον καὶ κτήνη ἐν πάσαις ταῖς πόλεσιν αὐτοῦ. καταλύματα ποιμένων κοιταζόντων πρόβατα ἐν πόλεσι τῆς ὀρεινῆς. καὶ ἐν πόλεσι τοῖς σεφηλᾶ, καὶ ἐν πόλεσι τῆς ναγέβ. καὶ ἐν γῇ βενιαμίν. καὶ ἐν τοῖς κύκλῳ ἱερουσαλήμ. καὶ ἐν πόλεσιν ἰούδα. ἔτι παρελεύσεται πρόβατα ἐπὶ χεῖρα ἀριθμοῦντος εἶπε κύριος.

Κεφάλαιον. λδ. 34.

Λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου.

δ Καὶ ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, καὶ πᾶν τὸ στρατόπεδον αὐτοῦ. καὶ πᾶσα ἡ γῆ ἀρχῆς αὐτοῦ ἐπολέμουν ἐπὶ ἱερουσαλήμ. καὶ ἐπὶ πάσας τὰς πόλεις ἰούδα. λέγων

οὕτως εἶπε κύριος. βάδιζον πρὸς σεδεκίαν βασιλέα ἰούδα. καὶ
ἐρεῖς αὐτῷ, οὕτως εἶπε κύριος. παραδόσει παραδοθήσεται ἡ πό
λις αὕτη, εἰς χεῖρας βασιλέως βαβυλῶνος. καὶ συλλήψεται αὐ
τήν, καὶ καύσει αὐτὴν ἐν πυρί. καὶ σὺ οὐ μὴ σωθῇς ἐκ χειρὸς αὐ
τοῦ. καὶ συλλήψει συλληφθήσῃ, καὶ εἰς χεῖρας αὐτοῦ δοθήσῃ, καὶ
ὀφθαλμοί σου τοὺς ὀφθαλμοὺς αὐτοῦ ὄψονται αὐτοῦ. καὶ τὸ στόμα
αὐτοῦ μετὰ τοῦ στόματός σου λαλήσει. καὶ εἰς βαβυλῶνα εἰσελεύ
σῃ. ἀλλὰ ἄκουσον τὸν λόγον κυρίου. σεδεκία βασιλεῦ ἰούδα. οὕ
τως λέγει κύριος. οὐκ ἀποθανῇ ἐν ῥομφαίᾳ. ἐν εἰρήνῃ ἀποθανῇ
καὶ ὡς ἔκλαυσαν τοὺς πατέρας σου τοὺς βασιλεύσαντας πρότε
ρόν σου, κλαύσονται καὶ σέ. οὐαὶ κύριε, καὶ ἕως ᾅδου κόψονταί
σε. ὅτι λόγον ἐγὼ ἐλάλησα εἶπε κύριος. καὶ ἐλάλησεν ἱερεμί
ας πρὸς τὸν βασιλέα σεδεκίαν πάντας τοὺς λόγους τούτους ἐν ἱε
ρουσαλήμ, καὶ ἡ δύναμις βασιλέως βαβυλῶνος ἐπολέμει ἐπὶ ἱε
ρουσαλήμ, καὶ ἐπὶ τὰς πόλεις ἰούδα. καὶ ἐπὶ λαχεῖς. καὶ ἐπὶ ἀ
ζηκά. ὅτι αὗται κατελείφθησαν ἐν πόλεσιν ἰούδα πόλεις ὀχυραί.
Ο λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου, μετὰ τὸ συν
τελέσαι τὸν βασιλέα σεδεκίαν διαθήκην πρὸς τὸν λαὸν τοῦ κα
λέσαι ἄφεσιν. τοῦ ἐξαποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ ἕ
καστον τὴν παιδίσκην αὐτοῦ. τὸν ἑβραῖον, καὶ τὴν ἑβραίαν, ἐλευ
θέρους πρὸς τὸ μὴ δουλεύειν ἄνδρα ἐξ ἰσραήλ. καὶ ἐπεστράφησαν
πάντες οἱ μεγιστᾶνες, καὶ πᾶς ὁ λαὸς οἱ εἰσελθόντες ἐν τῇ δι
αθήκῃ τοῦ ἀποστεῖλαι ἕκαστον τὸν παῖδα αὐτοῦ, καὶ ἕκαστος τὴν παι
δίσκην αὐτοῦ. καὶ ἔταξαν αὐτοὺς εἰς παῖδας καὶ παιδίσκας. καὶ
ἐγενήθη λόγος κυρίου πρὸς ἱερεμίαν λέγων. οὕτως εἶπε κύριος ὁ
θεὸς ἰσραήλ. ἐγὼ διεθέμην διαθήκην πρὸς τοὺς πατέρας ὑμῶν
ἐν τῇ ἡμέρᾳ ᾗ ἐξειλόμην αὐτοὺς, ἐκ γῆς αἰγύπτου ἐξ οἴκου δου
λείας. λέγων. ὅταν πληρωθῇ ἓξ ἔτη ἀποστελεῖς τὸν ἀδελφόν σου
τὸν ἑβραῖον ὃς παραθήσεταί σοι, καὶ ἐργᾶταί σοι ἓξ ἔτη. καὶ ἀ
ποστελεῖς αὐτὸν ἐλεύθερον. καὶ οὐκ ἤκουσάν μου, καὶ οὐκ ἔκλιναν τὸ

τοὺς αὐτῶν. καὶ ἐπέστρεψαν σήμερον τοῦ ποιῆσαι τὸ εὐθὲς πρὸ ὀφθαλμῶν μου. τοῦ καλέσαι ἄφεσιν ἕκαστον τοῦ πλησίον αὐτοῦ καὶ συνετέλεσαν διαθήκην. κατὰ πρόσωπόν μου, ἐν τῷ οἴκῳ οὗ ἐπεκλήθη τὸ ὄνομά μου ἐπ' αὐτῷ. καὶ ἐπεστρέψατε καὶ ἐβεβηλώσατε τὸ ὄνομά μου, τοῦ ἐπιστρέψαι ἕκαστον τὸν παῖδα αὐτοῦ καὶ ἕκαστον τὴν παιδίσκην αὐτοῦ οὓς ἐξαπεστείλατε ἐλευθέρους. τῇ ψυχῇ αὐτῶν τοῦ εἶναι ὑμῖν, εἰς παῖδας καὶ παιδίσκας. διὰ τοῦτο εἶπε κύριος. ὑμεῖς οὐκ ἠκούσατέ μου, τοῦ καλέσαι ἕκαστον ἄφεσιν πρὸς τὸν ἀδελφὸν αὐτοῦ. καὶ ἕκαστον πρὸς τὸν πλησίον αὐτοῦ. ἰδοὺ ἐγὼ καλῶ ἄφεσιν ὑμῖν εἰς μάχαιραν. καὶ εἰς τὸν θάνατον. καὶ εἰς τὸν λιμόν. καὶ δώσω ὑμᾶς εἰς διασπορὰν πάσαις ταῖς βασιλείαις τῆς γῆς. καὶ δώσω τοὺς ἄνδρας τοὺς παρεληλυθότας τὴν διαθήκην μου τοὺς μὴ στήσαντας τὴν διαθήκην μου, ἣν ἐποίησαν κατὰ πρόσωπόν μου. τὸν μόσχον ὃν ἐποίησαν κατὰ πρόσωπόν μου ἐργάζεσθαι αὐτῷ, τοὺς ἄρχοντας ἰούδα. καὶ τοὺς δυνάστας, καὶ τοὺς ἱερεῖς. καὶ τὸν λαόν. καὶ δώσω αὐτοὺς τοῖς ἐχθροῖς αὐτῶν. καὶ ἔσται τὰ θνησιμαῖα αὐτῶν, βρῶσις τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ τὸν σεδεκίαν βασιλέα τῆς ἰουδαίας καὶ τοὺς ἄρχοντας αὐτῶν δώσω εἰς χεῖρας ἐχθρῶν αὐτῶν, καὶ δύναμις βασιλέως βαβυλῶνος τοῖς ἀποτρέχουσιν ἀπ' αὐτῶν. ἰδοὺ ἐγὼ συντάσσω φησὶ κύριος. καὶ ἐπιστρέψω αὐτοὺς εἰς τὴν γῆν ταύτην, καὶ πολεμήσουσιν ἐπ' αὐτήν, καὶ λήψονται αὐτήν, καὶ κατακαύσουσιν αὐτὴν ἐν πυρί. καὶ τὰς πόλεις ἰούδα, καὶ δώσω αὐτὰς ἐρήμους ἀπὸ τῶν κατοικούντων.

Κεφάλαιον. λε. 35.

Λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν παρὰ κυρίου ἐν ἡ-
ὁ μέραις ἰωακεὶμ, βασιλέως ἰούδα, λέγων. βάδισον
εἰς οἶκον ἀρχαβὶν, καὶ ἄξεις αὐτοὺς, εἰς οἶκον κυρίου εἰς
μίαν τῶν αὐλῶν. καὶ ποτιεῖς αὐτοὺς οἶνον. καὶ ἐξήγαγον τὸν ἰε-
χονίαν υἱὸν ἱερεμίου υἱοῦ χαβασὶν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ

τοὺς υἱοὺς αὐτοῦ, καὶ πᾶσαν τὴν οἰκίαν ῥαχαβίν. καὶ εἰσήγαγον
αὐτοὺς εἰς οἶκον κυρίου εἰς τὸ παστοφόριον υἱῶν ἀνανίου, υἱοῦ ἀνανί-
ου υἱοῦ γοδολίου ἀνθρώπου τοῦ θεοῦ. ὅ ἐστιν ἐγγὺς τοῦ οἴκου τῶν ἀρ-
χόντων τῶν ἐπάνω τοῦ οἴκου μαασίου υἱοῦ σελλὼμ τοῦ φυλάσ-
σοντος τὴν ὁδόν. καὶ ἔδωκα κατὰ πρόσωπον αὐτῶν κεράμι-
ον οἴνου, καὶ ποτήρια. καὶ εἶπα πίετε οἶνον. καὶ εἶπον οὐ μὴ πί-
ωμεν οἶνον. ὅτι ἰωναδὰβ υἱὸς ῥηχὰβ ὁ πατὴρ ἡμῶν ἐνετείλατο
ἡμῖν λέγων. οὐ μὴ πίητε οἶνον ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν ἕως αἰῶνος
καὶ οἰκίας οὐ μὴ οἰκοδομήσητε, καὶ σπέρμα οὐ μὴ σπείρητε καὶ
ἀμπελὼν οὐκ ἔσται ὑμῖν, ὅτι ἐν σκηναῖς κατοικήσετε πάσας τὰς ἡ-
μέρας τῆς ζωῆς ὑμῶν, ὅπως ἂν ζήσητε ἡμέρας πολλὰς ἐπὶ τῆς
γῆς. ἐφ' ἧς διατρίβετε ὑμεῖς ἐπ' αὐτῆς. καὶ ἠκούσαμεν τῆς φω-
νῆς ἰωναδὰβ τοῦ πατρὸς ἡμῶν πρὸς τὸ μὴ πιεῖν οἶνον πάσας τὰς
ἡμέρας τῆς ζωῆς ἡμῶν. ὑμεῖς καὶ αἱ γυναῖκες ὑμῶν, καὶ οἱ υἱοὶ
ἡμῶν. καὶ αἱ θυγατέρες ἡμῶν. καὶ πρὸς τὸ μὴ οἰκοδομεῖν οἰκί-
ας τοῦ κατοικεῖν ἐκεῖ καὶ ἀμπελὼν καὶ ἀγρὸς, καὶ σπέρμα, οὐκ ἐγέ-
νετο ἡμῖν. καὶ ᾠκήσαμεν ἐν σκηναῖς. καὶ ἠκούσαμεν καὶ ἐποι-
ήσαμεν κατὰ πάντα ὅσα ἐνετείλατο ἡμῖν ἰωναδὰβ ὁ πατὴρ ἡ-
μῶν. καὶ ἐγενήθη ὅτε ἀνέβη ναβουχοδονόσορ ἐπὶ τὴν γῆν καὶ εἴ-
παμεν. ἀναβάντες εἰσελευσόμεθα εἰς ἱερουσαλήμ. ἀπὸ προσώ-
που τῶν χαλδαίων καὶ ἀπὸ προσώπου τῆς δυνάμεως τῶν ἀσ-
συρίων, καὶ ᾠκήσαμεν ἐκεῖ. καὶ ἐγένετο λόγος κυρίου πρός με,
λέγων. οὕτως λέγει κύριος πορεύου. καὶ εἶπον ἀνθρώπῳ ἰού-
δα, καὶ τοῖς κατοικοῦσιν ἱερουσαλήμ. οὐ μὴ λάβητε παιδείαν τοῦ
ἀκούειν τοὺς λόγους μου. ἔστησαν ῥήματα. υἱοὶ ἰωναδὰβ, υἱοῦ ῥη-
χάβ. ὃς ἐνετείλατο τοῖς τέκνοις αὐτοῦ πρὸς τὸ μὴ πιεῖν οἶνον. καὶ
οὐκ ἐπίεσαν. καὶ ἐγὼ ἐλάλησα πρὸς ὑμᾶς ὄρθρου. καὶ ἐλάλησα
καὶ οὐκ εἰσηκούσατέ μου. καὶ ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς
μου τοὺς προφήτας λέγων. ἀποστράφητε ἕκαστος ἀπὸ τῆς γῆς ὁ-
δοῦ αὐτοῦ τῆς πονηρᾶς. καὶ βελτίω ποιήσατε τὰ ἐπιτηδεύματα

ὑμῶν καὶ οὐ πορεύεσθε ὀπίσω θεῶν ἑτέρων τοῦ δουλεύειν αὐτοῖς
καὶ οἰκήσατε ἐπὶ τῆς γῆς ἧς ἔδωκα ὑμῖν, καὶ τοῖς πατράσιν ὑ-
μῶν. καὶ οὐκ ἐκλίνατε τὰ ὦτα ὑμῶν, καὶ οὐκ εἰσηκούσατε. καὶ ἔ-
στησαν υἱοὶ ἰωναδὰβ υἱοῦ ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς αὐτῶν. ὁ
δὲ λαὸς οὗτος οὐκ ἤκουσέ μου. διὰ τοῦτο οὕτως εἶπε κύριος. ἰδοὺ ἐ-
γὼ φέρω ἐπὶ ἰούδαν, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλὴμ πάν-
τα τὰ κακὰ, ἃ ἐλάλησα ἐπ᾽ αὐτούς. διὰ τοῦτο οὕτως εἶπε κύριος.
ἐπειδὴ ἤκουσαν υἱοὶ ἰωναδὰβ, υἱοῦ ῥηχὰβ τὴν ἐντολὴν τοῦ πατρὸς
αὐτῶν ποιεῖν, ὅσα ἐνετείλατο αὐτοῖς ὁ πατὴρ αὐτῶν οὐ μὴ ἐκλεί-
πῃ ἀνὴρ τῶν υἱῶν ἰωναδὰβ υἱοῦ ῥηχὰβ παρεστηκὼς κατὰ πρό-
σωπόν μου πάσας τὰς ἡμέρας τῆς γῆς.

## Κεφάλαιον. λϛ. 36.

Ν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ ἰωακεὶμ υἱοῦ ἰωσία
ε βασιλέως ἰούδα. ἐγενήθη λόγος κυρίου, πρός με λέ-
γων. λάβε σεαυτῷ χαρτίον βιβλίου. καὶ γράψον ἐπ᾽
αὐτοῦ πάντας τοὺς λόγους, οὓς ἐλάλησα πρὸς σὲ ἐπὶ ἱερουσαλὴμ,
καὶ ἐπὶ ἰούδα, καὶ ἐπὶ πάντα τὰ ἔθνη ἀφ᾽ ἧς ἡμέρας λαλήσαν-
τός μου πρὸς σὲ ἀφ᾽ ἡμερῶν ἰωσίου βασιλέως ἰούδα, καὶ ἕως τῆς
ἡμέρας ταύτης, ἴσως ἀκούσεται ὁ οἶκος ἰούδα, πάντα τὰ κακὰ
ἃ ἐγὼ λογίζομαι ποιῆσαι αὐτοῖς, ἵνα ἀποστρέψωσιν ἕκαστος ἀπὸ
ὁδοῦ τῆς πονηρᾶς αὐτῶν. καὶ ἵλεως ἔσομαι ταῖς ἀδικίαις αὐτῶν
καὶ ταῖς ἁμαρτίαις αὐτῶν. καὶ ἐκάλεσεν ἱερεμίας τὸν βαροὺχ
υἱὸν νηρίου, καὶ ἔγραψεν ἀπὸ στόματος ἱερεμίου, πάντας τοὺς
λόγους κυρίου οὓς ἐχρημάτισε πρὸς αὐτὸν εἰς χαρτίον βιβλίου.
καὶ ἐνετείλατο ἱερεμίας τῷ βαροὺχ λέγων. ἐγὼ φυλάσσομαι. καὶ
οὐ μὴ δύνωμαι εἰσελθεῖν εἰς οἶκον κυρίου, καὶ ἀναγνώσῃ ἐν τῷ
χαρτίῳ τούτῳ εἰς τὰ ὦτα τοῦ λαοῦ ἐν οἴκῳ κυρίου ἐν ἡμέρᾳ νη-
στείας. καὶ ἐν ὠσὶ παντὸς ἰούδα τῶν ἐρχομένων ἐκ πόλεων αὐ-
τῶν ἀναγνώσῃ αὐτοῖς. ἴσως πεσεῖται ἔλεος αὐτῶν, κατὰ πρόσω-
πον κυρίου, καὶ ἀποστρέψουσιν ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς

ὅτι μέγας

ὅτι μέγας ὁ θυμὸς καὶ ἡ ὀργὴ κυρίου ἣν ἐλάλησεν ἐπὶ τὸν λα-
ὸν τοῦτον, καὶ ἐποίησε βαροὺχ κατὰ πάντα ὅσα ἐνετείλατο
αὐτῷ ἱερεμίας, τοῦ ἀναγνῶναι ἐν τῷ βιβλίῳ τοὺς λόγους κυ-
ρίου ἐν οἴκῳ κυρίου. Καὶ ἐγενήθη ἐν τῷ ἔτει τῷ ὀγδόῳ
τῷ βασιλεῖ ἰωακεὶμ ἐν τῷ μηνὶ τῷ ἐννάτῳ, ἐξεκλησίασαν
νηστείαν κατὰ πρόσωπον κυρίου πᾶς ὁ λαὸς ἐν ἱερουσαλήμ.
καὶ οἶκος ἰούδα. καὶ ἀνεγίνωσκε βαροὺχ ἐν τῷ βιβλίῳ τοὺς
λόγους ἱερεμίου ἐν οἴκῳ κυρίου. ἐν οἴκῳ γαμαρίου. υἱοῦ σα-
φὰν τοῦ γραμματέως. ἐν τῇ αὐλῇ τῇ ἐπάνω ἐν προθύροις πύ-
λης τοῦ οἴκου κυρίου τῆς καινῆς ἐν ὠσὶ παντὸς τοῦ λαοῦ. καὶ ἤ-
κουσε μιχαίας υἱὸς γαμαρίου υἱοῦ σαφὰν. ἅπαντας τοὺς λό-
γους κυρίου ἐκ τοῦ βιβλίου. καὶ κατέβη εἰς οἶκον τοῦ βασιλέως,
εἰς τὸν οἶκον τοῦ γραμματέως. καὶ ἰδοὺ ἐκεῖ πάντες οἱ ἄρχον-
τες ἐκάθηντο. ἐλισαμὰ ὁ γραμματεύς. καὶ δαλαίας υἱὸς σε-
λεμίου. καὶ ἰωνάθαν υἱὸς ἀκχοβὼρ, καὶ γαμαρίας υἱὸς σαφάν. καὶ
σεδεκίας υἱὸς ἀνανίου. καὶ πάντες οἱ ἄρχοντες. καὶ ἀνήγγειλεν
αὐτοῖς μιχαίας πάντας τοὺς λόγους οὓς ἤκουσεν ἀναγινώσκον-
τος τοῦ βαροὺχ εἰς τὰ ὦτα τοῦ λαοῦ. καὶ ἀπέστειλαν πάντες
οἱ ἄρχοντες πρὸς βαροὺχ υἱὸν νηρίου τὸν ἰουδὶν υἱοῦ ναθανίου.
υἱοῦ σελεμίου. υἱοῦ χουσὶ λέγοντες, τὸ χαρτίον ἐν ᾧ σὺ ἀνα-
γινώσκεις ἐν αὐτῷ ἐν ὠσὶ τοῦ λαοῦ, λάβε αὐτὸ εἰς τὴν χεῖρά
σου. καὶ ἧκε. καὶ ἔλαβε βαροὺχ τὸ χαρτίον, καὶ κατέβη πρὸς
αὐτούς. καὶ εἶπον αὐτῷ. πάλιν ἀνάγνωθι εἰς τὰ ὦτα ὑμῶν. καὶ
ἀνέγνω βαροὺχ. καὶ ἐγενήθη ὡς ἤκουσαν πάντας τοὺς λόγους,
συνεβουλεύσαντο ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. καὶ εἶπον.
ἀναγγέλλοντες ἀναγγείλωμεν τῷ βασιλεῖ ἅπαντας τοὺς λό-
γους τούτους. καὶ τὸν βαροὺχ ἠρώτησαν λέγοντες πόθεν ἔγρα-
ψας πάντας τοὺς λόγους τούτους. καὶ εἶπε βαροὺχ ἀπὸ στόμα-
τος αὐτοῦ. ἀνήγγελέ μοι ἱερεμίας πάντας τοὺς λόγους τού-
τους. καὶ ἔγραφον ἐν βιβλίῳ. καὶ εἶπον τῷ βαροὺχ. βάδισον

καὶ κατακρύβηθι. σὺ καὶ ἱερεμίας. καὶ ἄνθρωπος μὴ γνώτω ποῦ
ὑμεῖς. καὶ εἰσῆλθον πρὸς τὸν βασιλέα εἰς τὴν αὐλήν. καὶ τὸ χαρ-
τίον ἔδωκαν φυλάσσειν ἐν οἴκῳ ἐλισαμὰ καὶ ἀνήγγειλαν τῷ
βασιλεῖ πάντας τοὺς λόγους τούτους. καὶ ἀπέστειλεν ὁ βασιλεὺς
τὸν ἰουδὶν λαβεῖν τὸ χαρτίον. καὶ ἔλαβεν αὐτὸ ἐξ οἴκου ἐλισα-
μά. καὶ ἀνέγνω ἰουδὶν εἰς τὰ ὦτα τοῦ βασιλέως, καὶ εἰς τὰ ὦτα
πάντων τῶν ἀρχόντων, τῶν ἑστηκότων περὶ τὸν βασιλέα. καὶ
ὁ βασιλεὺς ἐκάθητο ἐν οἴκῳ χειμερινῷ. καὶ ἐσχάρα πυρὸς
κατὰ πρόσωπον αὐτοῦ. καὶ ἐγενήθη ἀναγινώσκοντος ἰουδὶν
τρεῖς σελίδας καὶ τέσσαρας, ἀπέτεμεν αὐτὰς τῷ ξυρῷ τοῦ
γραμματέως. καὶ ἔρριπτεν εἰς τὸ πῦρ, τὸ ἐπὶ τῆς ἐσχάρας, ἕως ἐξ-
έλιπε πᾶς ὁ χάρτης εἰς τὸ πῦρ τὸ ἐπὶ τῆς ἐσχάρας, καὶ οὐκ ἐξε-
ζήτησαν. καὶ οὐ διέρρηξαν τὰ ἱμάτια αὐτῶν, ὁ βασιλεύς, καὶ
οἱ παῖδες αὐτοῦ οἱ ἀκούοντες πάντας τοὺς λόγους τούτους. καὶ
ἰωνάθαν καὶ γοδολίας καὶ δαλαίας. καὶ γαμαρίας ὑπέθεντο
τῷ βασιλεῖ, πρὸς τὸ μὴ κατακαῦσαι τὸ χαρτίον. καὶ ἤκουσεν
αὐτῶν. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ ἱερεμεὴλ υἱῷ τοῦ βασι-
λέως, καὶ τῷ σαραίᾳ υἱῷ ἐσδριὴλ συλλαβεῖν τὸν βαρούχ, καὶ
τὸν ἱερεμίαν, καὶ κατεκρύβησαν. Καὶ ἐγένετο λόγος κυρίου πρὸς
ἱερεμίαν μετὰ τὸ κατακαῦσαι τὸν βασιλέα τὸ χαρτίον πάντας
τοὺς λόγους, οὓς ἔγραψε βαροὺχ ἀπὸ στόματος ἱερεμίου. λέ-
γων, πάλιν λάβε σὺ χαρτίον ἕτερον. καὶ γράψον πάντας τοὺς
λόγους. τοὺς ὄντας ἐπὶ τοῦ χαρτίου, οὓς κατέκαυσεν ὁ βασι-
λεὺς ἰωακείμ. καὶ ἐρεῖς οὕτως εἶπε κύριος. σὺ κατέκαυσας τὸ
χαρτίον τοῦτο. λέγων διὰ τί ἔγραψας ἐπ' αὐτῷ λέγων εἰς
πορευόμενος εἰσελεύσεται βασιλεὺς βαβυλῶνος, καὶ ἐξολο-
θρεύσει τὴν γῆν ταύτην. καὶ ἐκλείψει ἐπ' αὐτῆς, ἄνθρωπος
καὶ κτήνη. διὰ τοῦτο οὕτως εἶπε κύριος ἐπὶ ἰωακεὶμ βασιλέως
ἰούδα οὐκ ἔσται αὐτῷ καθήμενος ἐπὶ θρόνου δαβίδ. καὶ τὸ θνη-
σιμαῖον αὐτοῦ, ἔσται ἐρριμμένον ἐν τῷ καύματι τῆς ἡμέρας

καὶ ἐν τῷ παγετῷ τῆς νυκτός. καὶ ἐπισκέψομαι ἐπ' αὐτὸν, καὶ ἐπὶ τὸ γένος αὐτοῦ. καὶ ἐπὶ τοὺς παῖδας αὐτοῦ. καὶ ἐπάξω ἐπ' αὐτὸν καὶ ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλήμ. καὶ ἐπὶ γῆν ἰούδα. πάντα τὰ κακά. ἃ ἐλάλησα πρὸς αὐτοὺς καὶ οὐκ ἤκουσαν. καὶ ἔλαβε βαρούχ χαρτίον ἕτερον καὶ ἔγραψεν ἐπ' αὐτῷ ἀπὸ στόματος ἱερεμίου, ἅπαντας τοὺς λόγους τοῦ βιβλίου οὓς κατέκαυσεν ἰωακείμ. καὶ ἔτι προσετέθησαν αὐτῷ λόγοι πλείονες ὡς οὗτοι.

Κεφάλαιον. λζ. 37.

Καὶ ἐβασίλευσε σεδεκίας υἱὸς ἰωσίας ἀντὶ ἰωα-
κ κείμ. ὃν ἐβασίλευσεν βασιλεὺς βαβυλῶνος ναβου-
χοδονόσορ βασιλεύειν τοῦ ἰούδα. καὶ οὐκ ἤκουσεν αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ. καὶ ὁ λαὸς τῆς γῆς. τοὺς λόγους κυρίου, οὓς ἐλάλησεν ἐν χειρὶ ἱερεμίου. καὶ ἀπέστειλεν ὁ βασιλεὺς σεδεκίας τὸν ἰωάχαλ. υἱὸν σελεμίου καὶ τὸν σοφονίαν υἱὸν μαασαίου τὸν ἱερέα, πρὸς ἱερεμίαν λέγων. πρόσευξαι δὴ περὶ ἡμῶν πρὸς κύριον, καὶ ἱερεμίας ἦλθε καὶ διῆλθε διὰ μέσου τῆς πόλεως. καὶ οὐκ ἔδωκαν αὐτὸν εἰς οἶκον τῆς φυλακῆς. καὶ δύναμις φαραὼ ἐξῆλθεν ἐξ αἰγύπτου. καὶ ἤκουσαν οἱ χαλδαῖοι τὴν ἀκοὴν αὐτῶν, καὶ ἀνέβησαν ἐπὶ ἱερουσαλήμ. Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν λέγων. οὕτως εἶπε κύριος. οὕτως ἐρεῖς πρὸς τὸν βασιλέα ἰούδα, τὸν ἀποστείλαντα πρὸς σὲ τοῦ ἐκζητῆσαί με. ἰδοὺ δύναμις φαραὼ ἐξελθοῦσα ὑμῖν εἰς βοήθειαν, ἀποστρέψουσιν εἰς γῆν αἰγύπτου, καὶ ἀναστρέψουσιν αὐτοὶ οἱ χαλδαῖοι, καὶ πολεμήσουσιν ἐπὶ τὴν γῆν ταύτην, καὶ συλλήψονται αὐτὴν. καὶ καύσουσιν αὐτὴν ἐν πυρί. ὅτι οὕτως εἶπε κύριος. μὴ ὑπολάβητε ταῖς ψυχαῖς ὑμῶν. λέγοντες ἀποτρέχοντες ἀπελεύσονται ἀφ' ὑμῶν οἱ χαλδαῖοι. ὅτι οὐ μὴ ἀπέλθωσι. καὶ ἐὰν πατάξητε πᾶσαν δύναμιν τῶν χαλδαίων τοὺς πολεμοῦντας ὑμᾶς. καὶ καταλειφθῶσί τι-

νες ἐκκεκεντημένοι. ἕκαστος ἐν τῷ τόπῳ αὐτοῦ. οὗτοι ἀναστήσονται, καὶ καύσουσιν τὴν πόλιν ταύτην ἐν πυρί.

Καὶ ἐγένετο ὅτε ἀνέβη ἡ δύναμις τῶν χαλδαίων ἀπὸ ἱερουσαλὴμ ἀπὸ προσώπου τῆς δυνάμεως φαραὼ, ἐξῆλθεν ἱερεμίας ἀπὸ ἱερουσαλὴμ τοῦ πορευθῆναι εἰς γῆν βενιαμὶν τοῦ ἀγοράσαι ἐκεῖθεν ἐν μέσῳ τοῦ λαοῦ. καὶ ἐγένετο αὐτὸς ἐν πύλῃ βενιαμὶν, καὶ ἐκεῖ ἄνθρωπος παρ' ᾧ κατέλυε σαρουΐας υἱὸς σελαμίου, υἱοῦ ἀνανίου. καὶ συνέλαβε τὸν ἱερεμίαν, λέγων πρὸς τοὺς χαλδαίους, σὺ φεύγεις; καὶ εἶπε, ψεῦδος. οὐχὶ πρὸς τοὺς χαλδαίους ἐγὼ φεύγω. καὶ οὐκ εἰσήκουσεν αὐτοῦ. καὶ συνέλαβε σαρουΐας τὸν ἱερεμίαν, καὶ εἰσήγαγεν αὐτὸν πρὸς τοὺς ἄρχοντας, καὶ ἐπικράνθησαν οἱ ἄρχοντες ἐπὶ ἱερεμίαν. καὶ ἐπάταξαν, καὶ ἀπέστειλαν αὐτὸν εἰς τὴν οἰκίαν ἰωνάθαμ τοῦ γραμματέως. ὅτι ταύτην ἐποίησαν εἰς οἰκίαν φυλακῆς. καὶ ἦλθεν ἱερεμίας εἰς οἰκίαν τοῦ λάκκου. καὶ εἰς τὴν χερέθ. καὶ ἐκάθισεν ἐκεῖ ἡμέρας πολλὰς, καὶ ἀπέστειλε σεδεκίας ὁ βασιλεὺς, καὶ ἐκάλεσεν αὐτὸν, καὶ ἠρώτα αὐτὸν ὁ βασιλεὺς κρυφαίως, καὶ εἶπεν αὐτῷ εἰ ἔστιν ὁ λόγος παρὰ κυρίου. καὶ εἶπεν, ἔστιν. εἰς χεῖρας βασιλέως βαβυλῶνος παραδοθήσῃ. καὶ εἶπεν ἱερεμίας τῷ βασιλεῖ. τί ἠδίκησά σε, καὶ τοὺς παῖδάς σου, καὶ τὸν λαὸν τοῦτον. ὅτι σὺ δίδως με εἰς οἰκίαν φυλακῆς; καὶ ποῦ εἰσὶν οἱ προφῆται ὑμῶν οἱ προφητεύσαντες ὑμῖν, λέγοντες, ὅτι οὐ μὴ ἔλθῃ βασιλεὺς βαβυλῶνος ἐπὶ τὴν γῆν ταύτην. καὶ νῦν κύριέ μου βασιλεῦ, πεσέτω τὸ ἔλεός μου, κατὰ πρόσωπόν σου. καὶ τί ἀποστρέφεις με εἰς οἰκίαν ἰωνάθαμ τοῦ γραμματέως, καὶ οὐ μὴ ἀποθάνω ἐκεῖ. καὶ συνέταξεν ὁ βασιλεὺς, καὶ ἐνεβάλοσαν αὐτὸν εἰς οἰκίαν τῆς φυλακῆς, καὶ ἐδίδοσαν αὐτῷ ἄρτον ἕνα τῆς ἡμέρας, ἔξωθεν οὗ πέσσουσιν, ἕως ἐξέλιπον οἱ ἄρτοι ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς.

Κεφάλαιον. κζ. 38.

Καὶ ἤκουσε σαφανίας υἱὸς νάθαν, καὶ γοδολίας υἱὸς πασχώρ. καὶ ἰωαχαλ υἱὸς σελίου, τοὺς λόγους οὓς ἱερεμίας ἐλάλει ἐπὶ τὸν λαὸν. λέγων, οὕτως εἶπε κύριος. ὁ κατοικῶν ἐν τῇ πόλει ταύτῃ, ἀποθανεῖται ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ. καὶ ὁ ἐκπορευόμενος πρὸς τοὺς χαλδαίους ζήσεται. καὶ ἔσται ἡ ψυχὴ αὐτοῦ εἰς εὕρημα. καὶ ζήσεται. ὅτι οὕτως εἶπε κύριος. παραδιδομένη παραδοθήσεται ἡ πόλις αὕτη, εἰς χεῖρας δυνάμεως βασιλέως βαβυλῶνος. καὶ συλλήψεται αὐτήν. καὶ εἶπον τῷ βασιλεῖ. ἀναιρεθήτω δὴ ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι αὐτὸς ἐκλύει τὰς χεῖρας τῶν ἀνθρώπων τῶν πολεμούντων τῶν καταλειπομένων ἐν τῇ πόλει. καὶ τὰς χεῖρας παντὸς τοῦ λαοῦ λαλῶν πρὸς αὐτοὺς κατὰ τοὺς λόγους τούτους. ὅτι ὁ ἄνθρωπος οὗτος, οὐ χρησιμολογεῖ εἰρήνην τῷ λαῷ τούτῳ. ἀλλ' ἢ πονηρά. καὶ εἶπεν ὁ βασιλεύς. ἰδοὺ αὐτὸς ἐν ταῖς χερσὶν ὑμῶν, ὅτι οὐκ ἠδύνατο ὁ βασιλεὺς πρὸς αὐτούς. καὶ ἔρριψαν αὐτὸν εἰς λάκκον μελχίου υἱοῦ τοῦ βασιλέως. ὃς ἦν ἐν τῇ αὐλῇ τῆς φυλακῆς. καὶ ἐχάλασαν αὐτὸν εἰς τὸν λάκκον καὶ ἐν τῷ λάκκῳ, οὐκ ἦν ὕδωρ. ἀλλ' ἢ βόρβορος. καὶ ἦν ἐν τῷ βορβόρῳ. Καὶ ἤκουσεν ἀβδεμέλεχ ὁ αἰθίοψ, καὶ αὐτὸς ἐν οἰκίᾳ τοῦ βασιλέως, ὅτι ἔδωκαν ἱερεμίαν εἰς τὸν λάκκον. καὶ ὁ βασιλεὺς ἦν ἐν τῇ πύλῃ βενιαμίν, καὶ ἐξῆλθε πρὸς αὐτὸν, καὶ ἐλάλησε πρὸς τὸν βασιλέα, καὶ εἶπεν. ἐπονηρεύσω ἃ ἐποίησας τοῦ ἀποκτεῖναι τὸν ἄνθρωπον τοῦτον ἀπὸ προσώπου τοῦ λιμοῦ, ὅτι οὐκ εἰσὶν ἔτι ἄρτοι ἐν τῇ πόλει. καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ ἀβδεμέλεχ. λέγων. λαβὲ εἰς τὰς χεῖράς σου ἐντεῦθεν τριάκοντα ἀνθρώπους, καὶ ἀνάγαγε αὐτὸν ἐκ τοῦ λάκκου, ἵνα μὴ ἀποθάνῃ. καὶ ἔλαβεν ἀβδεμέλεχ τοὺς ἀνθρώπους, καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ βασιλέως τὴν ὑπόγαιον, καὶ ἔλαβεν ἐκεῖθεν παλαιὰ ῥάκη. καὶ παλαιὰ σχοινία,

καὶ ἔρριψεν αὐτὰ πρὸς ἱερεμίαν εἰς τὸν λάκκον, καὶ εἶπε. πρὸς αὐτόν. ταῦτα θὲς ὑπὸ κάτω τῶν σχοινίων. καὶ ἐποίησεν ἱερεμίας οὕτως. καὶ εἵλκυσαν αὐτὸν τοῖς σχοινίοις. καὶ ἀνήγαγον αὐτὸν ἐκ τοῦ λάκκου. καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς, καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκάλεσεν αὐτὸν πρὸς ἑαυτὸν εἰς οἰκίαν ἀσαλισαήλ, τὴν ἐν οἴκῳ κυρίου. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. ἐρωτήσω σε λόγον, καὶ μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα. καὶ εἶπεν ἱερεμίας τῷ βασιλεῖ. ἐὰν ἀναγγείλω σοι. οὐχὶ θανάτῳ με θανατώσεις; καὶ ἐὰν συμβουλεύσω σοι, οὐ μὴ ἀκούσῃς μου; καὶ ὤμοσεν αὐτῷ ὁ βασιλεύς. λέγων, ζῇ κύριος ὃς ἐποίησεν ἡμῖν τὴν ψυχὴν ταύτην. εἰ ἀποκτενῶ σε, καὶ εἰ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων τούτων. καὶ εἶπεν αὐτῷ ἱερεμίας, οὕτως εἶπε κύριος. ἐὰν ἐξελθὼν ἐξέλθῃς πρὸς ἡγεμόνας βασιλέως βαβυλῶνος, ζήσεται ἡ ψυχή σου. καὶ ἡ πόλις αὕτη, οὐ μὴ κατακαυθῇ ἐν πυρί. καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σου. καὶ ἐὰν μὴ ἐξέλθῃς, δοθήσεται ἡ πόλις αὕτη, εἰς χεῖρας τῶν χαλδαίων. καὶ καύσουσιν αὐτὴν ἐν πυρί. καὶ σὺ οὐ μὴ σωθῇς. καὶ εἶπεν ὁ βασιλεὺς τῷ ἱερεμίᾳ. ἐγὼ λόγον ἔχω τῶν ἰουδαίων τῶν πεφευγότων πρὸς τοὺς χαλδαίους, μὴ δώσειν με εἰς χεῖρας αὐτῶν, καὶ καταμωκήσονταί μου. καὶ εἶπεν ἱερεμίας, οὐ μὴ παραδῶσι. ἄκουσον τὸν λόγον κυρίου ὃν ἐγὼ λέγω πρὸς σέ, καὶ βέλτιον ἔσται σοι, καὶ ζήσεται ἡ ψυχή σου. καὶ εἰ μὴ θέλῃς σὺ ἐξελθεῖν. οὗτος ὁ λόγος ὃν ἔδειξέ μοι κύριος, ἰδοὺ πᾶσαι αἱ γυναῖκες αἱ καταλειφθεῖσαι ἐν οἰκίᾳ βασιλέως ἰούδα, ἐξήγοντο πρὸς ἄρχοντας βασιλέως βαβυλῶνος. καὶ αὗται ἔλεγον ἠπάτησάν σε. καὶ δυνήσονταί σοι ἄνδρες εἰρηνικοί σοι. καὶ καταλύσουσιν ἐν ὀλισθήμασι πόδας σου. ἀπέστρεψαν ἀπὸ σοῦ. καὶ τὰς γυναῖκάς σου, καὶ τὰ τέκνα σου, ἐξάξουσιν πρὸς τοὺς χαλδαίους. καὶ σὺ οὐ μὴ σωθῇς. ὅτι ἐν χειρὶ βασιλέως βαβυλῶνος συλληφθήσῃ. καὶ ἡ πόλις αὕτη κατακαυθήσεται.

καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. μὴ γνώτω ἐκ τῶν λόγων τούτων, καὶ σὺ οὐ μὴ ἀποθάνῃς. καὶ οἱ ἄρχοντες ἐὰν ἀκούσωσιν ὅτι ἐλάλησά σοι. καὶ ἔλθωσι πρός σε, καὶ εἴπωσίν σοι, ἀνάγγειλον ἡμῖν τί ἐλάλησέ σοι ὁ βασιλεὺς, μὴ κρύψῃς ἀφ' ἡμῶν. καὶ οὐ μὴ ἀνέλωμέν σε. καὶ τί ἐλάλησε πρός σε ὁ βασιλεύς. καὶ ἐρεῖς. αὐτοῖς, ῥίπτω ἐγὼ τὸ ἔλεός μου κατ' ὀφθαλμοὺς τοῦ βασιλέως πρὸς τὸ μὴ ἀποστρέψαί με εἰς οἰκίαν ἰωνάθαν ἀποθανεῖν με ἐκεῖ. καὶ ἦλθοσαν πάντες οἱ ἄρχοντες πρὸς ἱερεμίαν καὶ ἠρώτησαν αὐτόν. καὶ ἀνήγγειλαν αὐτοῖς κατὰ πάντας τοὺς λόγους τούτους οὓς ἐνετείλατο αὐτῷ ὁ βασιλεύς, καὶ ἀπεσιώπησαν, ὅτι οὐκ ἠκούσθη ὁ λόγος κυρίου. καὶ ἐκάθισεν ἱερεμίας ἐν τῇ αὐλῇ τῆς φυλακῆς, ἕως χρόνου οὗ συνελήφθη ἱερουσαλήμ.

Κεφάλαιον. λθ 39.

Αἰ ἐγένετο τῷ μηνὶ τῷ ἔτει ἐννάτῳ τοῦ σεδεκίου βασιλέως ἰούδα παραγένετο ναβουχοδονόσορ βασιλεὺς
κ
βαβυλῶνος καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱερουσαλήμ. καὶ ἐπολιόρκουν αὐτήν. καὶ ἐν τῷ δεκάτῳ ἔτει ἐπὶ τοῦ σεδεκίου ἐν τῷ μηνὶ τῷ τετάρτῳ ἐννάτῃ τοῦ μηνὸς, ἐρράγη ἡ πόλις. καὶ εἰσῆλθον πάντες οἱ ἡγεμόνες βασιλέως βαβυλῶνος. καὶ ἐκάθισαν ἐν πύλῃ τῇ μέσῃ νηγὲρ σαρασάρ, καὶ σαμαγὼθ, καὶ ναβουσάχαρ. καὶ ναβουσαρὶς ναγαργὰς νασάρ, καὶ ῥαβαμὰθ, καὶ οἱ κατάλοιποι ἡγεμόνες βασιλέως βαβυλῶνος. καὶ ἀπέστειλαν καὶ ἔλαβον τὸν ἱερεμίαν ἐξ αὐλῆς τῆς βασιλικῆς φυλῆς. καὶ ἔδωκαν αὐτὸν πρὸς τὸν γοδολίαν υἱὸν ἀρχικὰν υἱοῦ σαφάν. καὶ ἐξήγαγον αὐτὸν, καὶ ἐκάθισεν αὐτὸν ἐν μέσῳ τοῦ λαοῦ. καὶ πρὸς ἱερεμίαν ἐγένετο λόγος κυρίου, ἐν τῇ αὐλῇ τῆς φυλακῆς λέγων, πορεύου καὶ εἰπὲ πρὸς ἀβδεμέλεχ τὸν αἰθίοπα. οὕτως εἶπε κύριος ὁ θεὸς ἰσραὴλ, ἰδοὺ ἐγὼ φέρω τοὺς λόγους μου ἐπὶ τὴν πόλιν ταύτην εἰς κακὰ, καὶ οὐκ εἰς ἀγαθά. καὶ σώσω σε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

καὶ οὐ μὴ δώσω σε εἰς χεῖρας τῶν ἀνθρώπων. ὧν σὺ φοβῇ
ἀπὸ προσώπου αὐτῶν, ὅτι σώζων σώσω σε, καὶ ἐν ῥομφαίᾳ
οὐ μὴ πέσῃς. καὶ ἔσαι ἡ ψυχή σου, εἰς εὕρημα, ὅτι ἐπεποίθεις
ἐπ᾽ ἐμοὶ φησὶ κύριος.

Κεφ. μ. 40.

Λόγος ὁ γενόμενος παρὰ κυρίου πρὸς ἱερεμίαν
ὁ μετὰ τὸ ἀποστεῖλαι αὐτὸν ναβουζαρδὰν τὸν ἀρχι
μάγειρον τὸν ἐκ ῥαδαμὰμ. ἐν τῷ λαβεῖν αὐτὸν
ἐν χειροπέδαις. ἐν μέσῳ ἀποικίας ἰούδα τῶν ἀγομένων εἰς
βαβυλῶνα. καὶ ἔλαβεν αὐτὸν ὁ ἀρχιμάγειρος καὶ εἶπεν αὐ
τῷ. κύριος ὁ θεός σου ἐλάλησε τὰ κακὰ ταῦτα ἐπὶ τὸν τόπον
τοῦτον, καὶ ἐποίησε κύριος. ὅτι ἡμάρτητε αὐτῷ, καὶ οὐκ ἠκού
σατε τῆς φωνῆς αὐτοῦ. ἰδοὺ ἔλυσά σε ἀπὸ τῶν χειροπέδων
τῶν ἐπὶ τὰς χεῖράς σου, εἰ καλὸν ἐναντίον σου ἐλθεῖν μετ᾽ ἐμοῦ
εἰς βαβυλῶνα. ἧκε. καὶ θήσω τοὺς ὀφθαλμούς σου ἐπὶ σέ. εἰ δὲ μὴ
ἀπότρεχε. καὶ ἀνάστρεψον πρὸς τὸν γοδολίαν υἱὸν ἀχικὰμ, υἱοῦ
σαφὰν. ὃν κατέστησε βασιλεὺς βαβυλῶνος, ἐν γῇ ἰούδα. καὶ
οἴκησον μετ᾽ αὐτοῦ ἐν μέσῳ τοῦ λαοῦ ἐν γῇ ἰούδα. ἅπαντα τὰ ἀ
γαθὰ ἐν ὀφθαλμοῖς σου τοῦ πορευθῆναι ἐκεῖ. καὶ πορεύου, καὶ ἔ
δωκεν αὐτῷ ὁ ἀρχιμάγειρος δῶρα, καὶ ἀπέστειλεν αὐτόν. καὶ
ἦλθε πρὸς γοδολίαν εἰς μασσηφά. καὶ ἐκάθισεν ἐν μέσῳ τοῦ λαοῦ
αὐτοῦ τοῦ καταλειφθέντος ἐν τῇ γῇ καὶ ἤκουσαν πάντες οἱ ἡγε
μόνες τῆς δυνάμεως οἱ ἐν ἀγρῷ. αὐτοὶ, καὶ ἡ δύναμις αὐτῶν.
ὅτι κατέστησε βασιλεὺς βαβυλῶνος τὸν γοδολίαν ἐν τῇ γῇ. καὶ
ὅτι παρακατέθετο αὐτῷ ἄνδρας καὶ γυναῖκας αὐτῶν, οὓς οὐ κα
τῴκισεν εἰς βαβυλῶνα. καὶ ἦλθε πρὸς γοδολίαν πρὸς μασση
φὰ ἰσμαήλ. υἱὸς ναθανίου. καὶ ἰωανὰν υἱὸς κάρηθ. καὶ σαραί
ας υἱὸς ναθαεμαίθ. καὶ υἱοὶ ἀφὲθ. τοῦ νετοφαθὶ καὶ ἐζονίας υἱὸς
τοῦ μαχαθί. αὐτοὶ, καὶ οἱ ἄνδρες αὐτῶν. καὶ ὤμοσεν αὐτοῖς γο
δολίας. καὶ τοῖς ἀνδράσιν αὐτῶν. λέγων, μὴ φοβηθῆτε ἀπὸ προ

προσώπου παίδων τῶν χαλδαίων. κατοικήσατε ἐν τῇ γῇ, καὶ ἐρ-
γάζεσθε τῷ βασιλεῖ βαβυλῶνος. καὶ βέλτιον ἔσαι ὑμῖν, καὶ
ἰδοὺ ἐγὼ κάθημαι ἐναντίον ὑμῶν ἐν μασσηφᾶ. στῆναι κατὰ
πρόσωπον τῶν χαλδαίων. ὅτε ἂν ἔλθωσιν ἐφ' ὑμᾶς. καὶ ὑ-
μεῖς συνάγετε οἶνον. καὶ ὀπώραν καὶ ἔλαιον. λάβετε εἰς
τὰ ἀγγεῖα ὑμῖν καὶ οἰκήσατε ἐν ταῖς πόλεσιν αἷς κατεκρατή-
σατε. καὶ πάντες οἱ ἰουδαῖοι ἐν γῇ μωὰβ, καὶ ἐν υἱοῖς ἀμμὼν,
καὶ οἱ ἐν τῇ ἰδουμαίᾳ, καὶ οἱ ἐν πάσῃ τῇ γῇ. ἤκουσαν ὅτι ἔδω-
κε βασιλεὺς βαβυλῶνος, κατάλειμμα τῷ ἰούδα. καὶ ὅτι κα-
τέστησεν ἐπ' αὐτοὺς τὸν γοδολίαν υἱὸν ἀχικὰμ, καὶ ἦλθον πρὸς
γοδολίαν, εἰς γῆν μασσηφά. εἰς γῆν ἰούδα καὶ συνήγαγον οἶνον
καὶ ὀπώραν πολλὴν σφόδρα καὶ ἔλαιον. καὶ ἰωάναν υἱὸς καρέε.
καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως, οἱ ἐν τοῖς ἀγροῖς, ἦλ-
θον πρὸς τὸν γοδολίαν καὶ εἰς μασσηφᾶ, καὶ εἶπον αὐτῷ. εἰ
γνώσει γνώσῃ, ὅτι βελεισὰ βασιλεὺς υἱὸς ἀμμὼν, ἀπέστειλε
πρὸς σὲ τὸν ἰσμαὴλ πατάξαι σου ψυχὴν, καὶ οὐκ ἐπίστευσεν αὐ-
τοῖς γοδολίας. καὶ εἶπε ἰωάναν τῷ γοδολίᾳ, κρυφαίως τῇ
μασσηφᾷ. πορεύσομαι δὴ καὶ πατάξω τὸν ἰσμαήλ.. καὶ μηδεὶς
γνώτω μὴ πατάξῃ σοι, τὴν ψυχήν. καὶ διασπαρήσονται πάν-
τες οἱ ἰουδαῖοι οἱ συνηγμένοι πρὸς σέ. καὶ ἀπολοῦνται οἱ κατά-
λοιποι ἰούδα. καὶ εἶπε γοδολίας πρὸς ἰωάναν. μὴ ποιήσῃς κα-
τὰ τὸ ῥῆμά σου. ὅτι ψευδῆ σὺ λέγεις κατὰ ἰσμαήλ.

Κεφάλαιον. μα. 41.

Αἰ ἐγένετο τῷ μηνὶ τῷ ἑβδόμῳ ἦλθεν ἰσμαὴλ υἱὸς
κ ναθανίου υἱοῦ ἐλεασὰ. ἀπὸ γένους τοῦ βασιλέως, καὶ δέ-
κα ἄνδρες μετ' αὐτοῦ πρὸς τὸν γοδολίαν εἰς μασσηφά
καὶ ἔφαγον ἐκεῖ ἄρτον, ἅμα. καὶ ἀνέστη ἰσμαήλ. καὶ οἱ δέκα ἄνδρες
οἱ ἦσαν μετ' αὐτοῦ, καὶ ἐπάταξαν τὸν γοδολίαν. ὃν κατέστησε βασι-
λεὺς βαβυλῶνος ἐπὶ τῆς γῆς. καὶ πάντας τοὺς ἰουδαίους τοὺς ὄντας
μετ' αὐτοῦ εἰς μασσηφά. καὶ πάντας τοὺς χαλδαίους τοὺς εὑρε-

θέντας ἐκεῖ. καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ δευτέρᾳ πατάξαντος αὐτοῦ τὸν γοδολίαν. καὶ ἄνθρωπος οὐκ ἔγνω. καὶ ἤλθοσαν ἄνδρες ἀπὸ συχὲμ, καὶ ἀπὸ σαλὴμ, καὶ ἀπὸ σαμαρείας, ὀγδοήκοντα ἄνδρες ἐξυρημένοι πώγωνας, καὶ διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν καὶ κοπτόμενοι. καὶ μασαναὶ, καὶ λίβανος ἐν χερσὶν αὐτῶν, τοῦ εἰσενεγκεῖν εἰς οἶκον κυρίου. καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτοῖς ἰσμαήλ. καὶ αὐτοὶ ἐπορεύοντο καὶ ἔκλαιον, καὶ εἶπεν αὐτοῖς. εἰσέλθετε πρὸς τὸν γοδολίαν. καὶ ἐγένετο εἰσελθόντων αὐτῶν εἰς τὸ μέσον τῆς πόλεως, ἔσφαξεν αὐτούς. καὶ ἐνέβαλεν, εἰς τὸ φρέαρ. καὶ δέκα ἄνδρες εὑρέθησαν ἐκεῖ. καὶ εἶπον τῷ ἰσμαὴλ μὴ ἀνέλῃς ἡμᾶς. ὅτι ἐστὶν ἡμῖν θησαυροὶ ἐν ἀγρῷ. πυροὶ, καὶ κριθαὶ, μέλι, καὶ ἔλαιον. καὶ παρῆλθε καὶ οὐκ ἀνεῖλεν αὐτοὺς ἐν τῷ μέσῳ τῶν ἀδελφῶν αὐτοῦ. καὶ τὸ φρέαρ εἰς ὃ ἔῤῥιψεν ἐκεῖ ἰσμαὴλ πάντας οὓς ἐπάταξε φρέαρ μέγα. τοῦτό ἐστιν, ὃ ἐποίησεν ὁ βασιλεὺς ἀσὰν, ἀπὸ προσώπου βαασὰ βασιλέως ἰσραήλ. τοῦτο ἐνέπλησεν ἰσμαὴλ τραυματιῶν. καὶ ἀπέστρεψεν ἰσμαήλ. πάντα τὸν λαὸν τὸν καταλειφθέντα εἰς μασηφά. καὶ τὰς θυγατέρας τοῦ βασιλέως ἃς παρακατέθετο ὁ ἀρχιμάγειρος τῷ γοδολίᾳ υἱῷ ἀχικάμ. καὶ ᾤχετο εἰς τὸ πέραν υἱῶν ἀμμών. καὶ ἤκουσεν ἰωάννην υἱὸς καρίε. καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ πάντα τὰ κακὰ ἃ ἐποίησεν ἰσμαὴλ, καὶ ἤγαγον ἅπαν τὸ στρατόπεδον αὐτῶν καὶ ᾤχοντο πολεμεῖν αὐτόν καὶ εὗρον αὐτὸν ἐπὶ ὕδατος πολλοῦ ἐν γαβαών. καὶ ἐγένετο ὅτε εἶδε πᾶς ὁ λαὸς ὁ μετὰ ἰσμαὴλ τὸν ἰωάναν καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως αὐτοῦ τῆς μετ' αὐτοῦ. καὶ ἀνέστρεψαν πρὸς ἰωάναν. καὶ ἰσμαὴλ ἐσώθη σὺν ὀκτὼ ἀνθρώποις. καὶ ᾤχετο πρὸς τοὺς υἱοὺς ἀμμὼν καὶ ἔλαβεν ἰωάναν. καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ μετ' αὐτοῦ. πάντας τοὺς καταλοίπους τοῦ λαοῦ οὓς ἀπέστρεψεν ἀπὸ ἰσμαὴλ, δυνατοὺς ἄνδρας ἐν πολέμῳ. καὶ τὰς γυναῖκας καὶ τὰ λοιπὰ, καὶ τοὺς εὐνούχους, οὓς ἀπέστρεψαν

ἀπὸ γαβαὼν, καὶ ὤχοντο. καὶ ἐκάθισαν ἐν γῇ βηρώθααμ· τῇ
πρὸς βηθλεὲμ, τοῦ πορευθῆναι εἰς αἴγυπτον, ἀπὸ προσώπου
τῶν χαλδαίων, ὅτι ἐφοβήθησαν ἀπὸ προσώπου αὐτῶν, ὅτι ἐ-
πάταξεν ἰσμαὴλ τὸν γοδολίαν, ὃν κατέστησεν ὁ βασιλεὺς βα-
βυλῶνος ἐν τῇ γῇ.

Κεφάλαιον. μβ. 42.

Αὶ προσῆλθον πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως
κ καὶ ἰωάναν. καὶ ἀζαρίας υἱὸς μαασαίου. καὶ πᾶς ὁ λα-
ὸς ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν. πρὸς ἱερεμίαν τὸν
προφήτην καὶ εἶπον αὐτῷ πεσέτω δὴ τὸ ἔλεος ἡμῶν κατὰ πρό-
σωπόν σου, καὶ πρόσευξαι πρὸς κύριον τὸν θεόν σου περὶ
τῶν καταλοίπων τούτων. ὅτι κατελείφθημεν ὀλίγοι ἀπὸ πολ-
λῶν καθὼς οἱ ὀφθαλμοί σου βλέπουσι. καὶ ἀναγγειλάτω ἡμῖν
κύριος ὁ θεός σου, τὴν ὁδὸν ἣ πορευσόμεθα ἐν αὐτῇ. καὶ λό-
γον ὃν ποιήσομεν. καὶ εἶπεν αὐτοῖς ἱερεμίας ἤκουσα. ἰδοὺ ἐγὼ
προσεύξομαι ὑπὲρ ὑμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν κατὰ τοὺς
λόγους ἡμῶν. καὶ ἔσται ὁ λόγος ὃν ἀποκριθήσεται κύριος ὁ θεὸς
ἀναγγελῶ ὑμῖν. οὐ μὴ κρύψω ἀφ' ὑμῶν ῥῆμα. καὶ αὐτοὶ εἶπον
τῷ ἱερεμίᾳ ἐγὼ κύριος ἐν ἡμῖν εἰς μάρτυρα δίκαιον καὶ
πιστόν. εἰ μὴ κατὰ πάντα τὸν λόγον, ὃν ἐὰν ἀποστείλῃ κύριος
πρὸς ἡμᾶς. οὕτως ποιήσωμεν. καὶ ἐὰν ἀγαθὸν καὶ ἐὰν κα-
κὸν τὴν φωνὴν κυρίου τοῦ θεοῦ ἡμῶν. οὗ ἡμεῖς ἀποστέλλομέν
σε πρὸς αὐτὸν, ἀκουσόμεθα, ἵνα βέλτιον ἡμῖν γένηται. ὅτι ἀ-
κουσόμεθα τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν, καὶ ἐγενήθη. μεθ'
ἡμέρας δέκα ἐγενήθη λόγος κυρίου πρὸς ἱερεμίαν. καὶ ἐκά-
λεσεν ἰωάναν, καὶ τοὺς ἡγεμόνας τῆς δυνάμεως, καὶ πάντα τὸν
λαὸν ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ εἶπεν αὐτοῖς. οὕτως εἶπε κύ-
ριος ὁ θεὸς ἐὰν καθίσαντες, καθίσητε ἐν τῇ γῇ ταύτῃ, οἰκοδο-
μήσω ὑμᾶς καὶ οὐ μὴ καθελῶ. καὶ φυτεύσω ὑμᾶς, καὶ οὐ μὴ ἐκ-
τίλω. ὅτι ἀναπέπαυμαι ἐν τοῖς κακοῖς οἷς ἐποίησα ὑμῖν, μὴ φο-

φοβηθῆτε ἀπὸ προσώπου βασιλέως Βαβυλῶνος, οὗ ὑμεῖς φοβεῖσθε ἀ-
πὸ προσώπου αὐτοῦ· μὴ φοβηθῆτε φησὶ κύριος· ὅτι μεθ' ὑμῶν
εἰμὶ τοῦ ἐξαιρεῖσθαι ὑμᾶς, καὶ σώζειν ὑμᾶς ἐκ χειρὸς αὐτῶν, καὶ
δώσω ὑμῖν ἔλεος καὶ ἐλεήσω ὑμᾶς, καὶ ἐπιστρέψω ὑμᾶς εἰς τὴν
γῆν ὑμῶν. καὶ εἰ λέγετε ὑμεῖς, οὐ μὴ καθήσωμεν ἐν τῇ γῇ ταύ-
τῃ, πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς κυρίου, ὅτι εἰς γῆν αἰγύπτου εἰσελευ-
σόμεθα· καὶ οὐ μὴ ἴδωμεν πόλεμον καὶ φωνὴν σάλπιγγος οὐ μὴ
ἀκούσωμεν· καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν, καὶ ἐκεῖ οἰκήσομεν
διὰ τοῦτο ἀκούσατε λόγον κυρίου· οὕτως εἶπε κύριος· ἐὰν ὑμεῖς
δῶτε τὸ πρόσωπον ὑμῶν εἰς αἴγυπτον, καὶ εἰσέλθητε ἐκεῖ κα-
τοικεῖν, καὶ ἔσται ἡ ῥομφαία ἣν ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐ-
τῆς, εὑρήσει ὑμᾶς ἐν γῇ αἰγύπτου· καὶ ὁ λιμὸς οὗ ὑμεῖς λόγον ἔχε-
τε, ἀπὸ προσώπου αὐτοῦ, καταλήψεται ὑμᾶς ὀπίσω ὑμῶν ἐν αἰ-
γύπτῳ· καὶ ἐκεῖ ἀποθανεῖσθε· καὶ ἔσονται πάντες οἱ ἄνθρωποι
καὶ πάντες οἱ ἀλλογενεῖς· οἱ θέντες τὸ πρόσωπον αὐτῶν εἰς
γῆν αἰγύπτου ἐνοικεῖν ἐκεῖ· ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ καὶ ἐν τῷ
λιμῷ· καὶ οὐκ ἔσται αὐτῶν οὐδεὶς, σωζόμενος ἀπὸ τῶν κακῶν, ὧν
ἐγὼ ἐπάγω ἐπ' αὐτούς. ὅτι οὕτως εἶπε κύριος· καθὼς ἔσταξεν ὁ
θυμός μου ἐπὶ τοὺς κατοικοῦντας ἱερουσαλὴμ, οὕτως στάξει ὁ θυμός
μου ἐφ' ὑμᾶς, εἰσελθόντων ὑμῶν εἰς αἴγυπτον· καὶ ἔσεσθε εἰς ἄ-
βατον· καὶ ὑποχείριοι· καὶ εἰς ἀρὰν, καὶ εἰς ὀνειδισμὸν., καὶ οὐ
μὴ ἴδητε οὐκέτι τὸν τόπον τοῦτον. ἃ ἐλάλησε κύριος ὁ θεὸς ἐφ'
ὑμᾶς τοὺς καταλοίπους ἰούδα. Μὴ εἰσέλθητε εἰς αἴγυπτον· καὶ
νῦν γνόντες γνώσεσθε, ὅτι ἐπονηρεύσασθε ἐν ψυχαῖς ὑμῶν ἀπο-
στείλαντές με λέγοντες, πρόσευξαι περὶ ἡμῶν πρὸς κύριον· καὶ
κατὰ πάντα ὅσα ἂν λαλήσῃ σοι κύριος ποιήσομεν· καὶ οὐκ ἠ-
κούσατε τῆς φωνῆς κυρίου, ἣν ἀπέστειλέ με πρὸς ὑμᾶς· καὶ νῦν
ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐκλείψετε. ἐν τῷ τόπῳ ᾧ ὑμεῖς εὔχε-
σθε εἰσελθεῖν κατοικεῖν ἐκεῖ.

## Κεφάλαιον. μγ. 43.

Καὶ ἐγενήθη, ὡς ἐπαύσατο ἱερεμίας λέγων πρὸς τὸν
κ λαὸν πάντας τοὺς λόγους κυρίου, οὓς ἀπέστειλεν κύρι-
ος πρὸς αὐτοὺς πάντας τοὺς λόγους τούτους. καὶ εἶπεν
ἀζαρίας υἱὸς μαασαίου, καὶ ἰωάναν υἱὸς καρηέ. καὶ πάντες οἱ
ἄνδρες ὑπερήφανοι οἱ εἰπόντες τῷ ἱερεμίᾳ λέγοντες, ψεῦδη
οὐκ ἀπέστειλέ σε κύριος πρὸς ἡμᾶς λέγων. μὴ εἰσέλθητε εἰς
αἴγυπτον οἰκεῖν ἐκεῖ. ἀλλ' ἢ βαρούχ υἱὸς νηρίου, συμβάλλει σε
πρὸς ἡμᾶς. ἵνα δῷς ἡμᾶς εἰς χεῖρας τῶν χαλδαίων, τοῦ θανα-
τῶσαι ἡμᾶς, καὶ τοῦ ἀποικισθῆναι ἡμᾶς εἰς βαβυλῶνα. καὶ οὐκ
ἤκουσεν ἰωάναν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυνάμεως οἱ
μετὰ αὐτοῦ, καὶ πᾶς ὁ λαὸς τῆς φωνῆς κυρίου, κατοικῆσαι ἐν γῇ
ἰούδα. καὶ ἔλαβεν ἰωάναν καὶ πάντες οἱ ἡγεμόνες τῆς δυ-
νάμεως, πάντας καταλοίπους ἰούδα τοὺς ἀποστρέψαντας κατοι-
κεῖν ἐν τῇ γῇ τοὺς δυνατοὺς ἄνδρας. καὶ τὰς γυναῖκας καὶ τὰ νή-
πια, καὶ τὰ λοιπά. καὶ τὰς θυγατέρας τοῦ βασιλέως, καὶ τὰς ψυ-
χὰς ἃς κατέλιπε ναβουζαρδὰν μετὰ γοδολίου, υἱοῦ ἀχικάμ. καὶ
ἱερεμίαν τὸν προφήτην καὶ βαροὺχ υἱὸν νηρίου. καὶ εἰσῆλθον εἰς
αἴγυπτον. ὅτι οὐκ ἤκουσαν τῆς φωνῆς κυρίου. καὶ εἰσῆλθον εἰς τάφνας.
Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἱερεμίαν, ἐν τάφναις λέγων. λά-
βε σεαυτῷ λίθους μεγάλους. καὶ κατάκρυψον αὐτοὺς ἐν προθύ-
ροις, ἐν πύλῃ τῆς οἰκίας φαραὼ ἐν τάφναις. κατ' ὀφθαλμοὺς ἀν-
δρῶν, ἰούδα. καὶ ἐρεῖς οὕτως εἶπε κύριος. ἰδοὺ ἐγὼ ἀποστέλλω
καὶ ἄξω ναβουχοδονόσορ βασιλέως βαβυλῶνος, καὶ θήσει αὐτοῦ
τὸν θρόνον ἐπάνω τῶν λίθων τούτων ὧν κατέκρυψας. καὶ ἀρεῖ τὰ
ὅπλα ἐπ' αὐτούς, καὶ ἐλεύσεται καὶ πατάξει γῆν αἰγύπτου. οὓς
εἰς θάνατον εἰς θάνατον καὶ οὓς εἰς ἀποικισμόν. εἰς ἀποικισμόν. καὶ
οὓς εἰς ῥομφαίαν, εἰς ῥομφαίαν. καὶ καύσει πῦρ ἐν οἰκίαις τῶν θε-
ῶν αὐτῶν, καὶ ἐμπυριεῖ αὐτάς, καὶ ἀποικιεῖ αὐτούς, καὶ φθειριεῖ
γῆν αἰγύπτου. ὥσπερ φθειρίζει ποιμὴν, τὸ ἱμάτιον αὐτοῦ, καὶ ἐξε-
λεύσεται ἐν εἰρήνῃ, καὶ συντρίψει τοὺς στύλους ἡλιουπόλεως τοὺς ἐν ὠ-
ὢμ, καὶ τὰς οἰκίας αὐτῶν κατακαύσει ἐν πυρί.

Κεφάλαιον. μδ. 44.

Λόγος ὁ γενόμενος πρὸς ἱερεμίαν ἅπασι τοῖς ἰου-
ὁ δαίοις τοῖς κατοικοῦσιν ἐν γῇ αἰγύπτου, καὶ τοῖς καθη-
μένοις ἐν μαγδωλῷ, καὶ ἐν ταφναις, καὶ ἐν γῇ πα-
θούρης λέγων. οὕτως εἶπε κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσρα-
ήλ. ὑμεῖς ἑωράκατε πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπὶ ἱερουσαλὴμ
καὶ ἐπὶ τὰς πόλεις ἰούδα. καὶ ἰδού εἰσιν ἔρημοι ἀπὸ ἐνοικούν-
των ἀπὸ προσώπου πονηρίας αὐτῶν. ἧς ἐποίησαν παραπικρᾶ-
ναί με πορευθέντες θυμιᾶν θεοῖς ἑτέροις, οἷς οὐκ ἔγνωτε. καὶ
ἀπέστειλα πρὸς ὑμᾶς τοὺς παῖδάς μου τοὺς προφήτας ὄρθρου, καὶ
ἀπέστειλα πρὸς ὑμᾶς λέγων μὴ ποιήσητε τὸ πρᾶγμα τῆς μο-
λύνσεως ταύτης, ἧς ἐμίσησα, καὶ οὐκ ἤκουσάν μου. καὶ οὐκ ἔκλι-
ναν τὸ οὖς αὐτῶν, ἀποστρέψαι ἀπὸ τῶν κακῶν αὐτῶν. τοῦ πρὸς τὸ
μὴ θύειν θεοῖς ἑτέροις. καὶ ἔσταξεν ὁ θυμός μου, καὶ ἡ ὀργή μου
καὶ ἐξεκαύθησαν ἐν πύλαις ἰούδα. καὶ ἔξωθεν ἱερουσαλήμ. καὶ
ἐγενήθησαν εἰς ἐρήμωσιν, καὶ εἰς ἄβατον ὡς ἡ ἡμέρα αὕτη, καὶ
νῦν οὕτως εἶπε κύριος παντοκράτωρ. ἱνατί, ὑμεῖς ποιεῖτε, κακὰ
μεγάλα ἐπὶ ψυχαῖς ὑμῶν. ἐκκόψαι ὑμῶν, ἄνδρα καὶ γυναῖ-
κα νήπιον, καὶ θηλάζοντα ἐκ μέσου ἰούδα, πρὸς τὸ μὴ καταλη-
φθῆναι ὑμῶν μηδένα παραπικρᾶναί με ἐν τοῖς ἔργοις τῶν χει-
ρῶν ὑμῶν. θυμιᾶν θεοῖς ἑτέροις ἐν γῇ αἰγύπτου εἰς ἣν εἰσήλθετε
κατοικεῖν ἐκεῖ. ἵνα ἐκκοπῆτε καὶ ἵνα γένησθε εἰς κατάραν. καὶ εἰς
ὀνειδισμὸν ἐν πᾶσι τοῖς ἔθνεσι τῆς γῆς. μὴ ἐπιλέλησθε ὑμεῖς τῶν
κακῶν τῶν πατέρων ὑμῶν, καὶ τῶν κακῶν τῶν βασιλέων ἰού-
δα. καὶ τῶν κακῶν τῶν ἀρχόντων ὑμῶν καὶ τῶν κακῶν τῶν γυ-
ναικῶν ὑμῶν, ὧν ἐποίησαν ἐν γῇ ἰούδα. καὶ ἔξωθεν ἱερουσαλήμ.
καὶ οὐκ ἐπαύσαντο ἕως τῆς ἡμέρας ταύτης καὶ οὐκ ἀντείχοντο τῶν
προσταγμάτων μου. ὧν ἔδωκα κατὰ πρόσωπον τῶν πατέρων αὐ-
τῶν. διὰ τοῦτο οὕτως εἶπε κύριος ἰδοὺ ἐγὼ ἀφίστημι τὸ πρόσωπόν
μου. τοῦ ἀπολέσαι πάντας τοὺς καταλοίπους τοὺς ἐν αἰγύπτῳ. καὶ

πεσοῦνται ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ· καὶ ἐκλείψουσιν ἀπὸ μι-
κροῦ ἕως μεγάλου αὐτῶν. καὶ ἔσονται εἰς ὀνειδισμὸν, καὶ εἰς ἀπώ-
λειαν, καὶ εἰς κατάραν. καὶ ἐπισκέψομαι ἐπὶ τοὺς καθοικοῦντας
ἐν γῇ αἰγύπτῳ ὡς ἐπεσκεψάμην ἐν ἱερουσαλὴμ ἐν ῥομφαίᾳ καὶ
ἐν λιμῷ, καὶ θανάτῳ καὶ οὐκ ἔσται σεσωσμένος. οὐδεὶς τῶν ἐπι-
λοίπων ἰούδα τῶν παροικούντων ἐν γῇ αἰγύπτῳ. τοῦ ἐπιστρέψαι
εἰς γῆν ἰούδα ἐφ' ἣν αὐτοὶ ἐλπίζουσιν ταῖς ψυχαῖς αὐτῶν τοῦ ἐπι-
στρέψαι ἐκεῖ. οὐ μὴ ἐπιστρέψωσιν, ἀλλ' ἢ οἱ ἀνασεσωσμένοι.
Καὶ ἀπεκρίθησαν τῷ ἱερεμίᾳ πάντες οἱ ἄνδρες οἱ γνόντες, ὅτι
θυμιῶσιν αἱ γυναῖκες αὐτῶν θεοῖς ἑτέροις. καὶ πᾶσαι αἱ γυναῖ-
κες συναγωγὴ μεγάλη. καὶ πᾶς ὁ λαὸς οἱ καθήμενοι ἐν γῇ αἰ-
γύπτῳ ἐν γῇ παθούρης λέγοντες. ὁ λόγος ὃν ἐλάλησε πρὸς ὑ-
μᾶς τῷ ὀνόματι κυρίου οὐκ ἀκουσόμεθά σου. ὅτι ποιοῦντες ποι-
ήσομεν πάντα τὸν λόγον ὃς ἐξελεύσεται ἐκ τοῦ στόματος ἡμῶν.
θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ, καὶ σπένδειν αὐτῇ σπονδὰς,
καθὰ ἐποιήσαμεν ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν. καὶ οἱ βασιλεῖς ἡ-
μῶν, καὶ οἱ ἄρχοντες ἡμῶν, ἐν πόλεσιν ἰούδα καὶ ἔξωθεν ἱερουσα-
λήμ. καὶ ἐπλήσθημεν ἄρτων καὶ ἐγινόμεθα χρηστοί. καὶ κακὰ οὐκ
εἴδομεν. καὶ ὡς διελίπομεν θυμιῶντες τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ
ἠλαττώθημεν ἄρτων πάντες. καὶ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ ἐξελεί-
πομεν καὶ ὅτι ἡμεῖς ἐθυμιῶμεν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ καὶ ἐσπεί-
σαμεν αὐτῇ σπονδάς. μὴ ἄνευ τῶν ἀνδρῶν ἡμῶν ἐποιήσαμεν
αὐτῇ χαυῶνας. καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς. καὶ εἶπεν ἱερεμί-
ας παντὶ τῷ λαῷ. τοῖς δυνατοῖς. καὶ ταῖς γυναιξὶ καὶ παντὶ τῷ
λαῷ τοῖς ἀποκριθεῖσιν αὐτῷ λόγους λέγων, οὐχὶ τοῦ θυμιάματος
οὗ ἐθυμιάσατε ἐν ταῖς πόλεσιν ἰούδα, καὶ ἔξωθεν ἱερουσαλήμ. ὑ-
μεῖς καὶ οἱ πατέρες ὑμῶν καὶ οἱ βασιλεῖς ὑμῶν, καὶ οἱ ἄρχοντες ὑ-
μῶν, καὶ ὁ λαὸς τῆς γῆς. ἐμνήσθη κύριος. καὶ ἀνέβη ἐπὶ τὴν καρδίαν αὐ-
τοῦ. καὶ οὐκ ἠδύνατο κύριος ἔτι φέρειν ἀπὸ προσώπου πονηρίας
πραγμάτων ὑμῶν. καὶ ἀπὸ τῶν βδελυγμάτων ὧν ἐποιήσατε.

καὶ ἐγενήθη ἡ γῆ ὑμῶν εἰς ἐρήμωσιν, καὶ εἰς ἄβατον· καὶ εἰς ἀ-
ρὰν· ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ ἀπὸ προσώπου ὧν ἐθυμιᾶτε καὶ ὧν
ἡμάρτητε τῷ κυρίῳ· καὶ οὐκ ἠκούσατε τῆς φωνῆς κυρίου· καὶ ἐν
τοῖς προστάγμασιν αὐτοῦ· καὶ ἐν τῷ νόμῳ αὐτοῦ· καὶ ἐν τοῖς μαρ-
τυρίοις αὐτοῦ οὐκ ἐπορεύθητε· καὶ ἐπελάβετο ὑμῶν τὰ κακὰ ταῦ-
τα. καὶ εἶπεν ἱερεμίας τῷ λαῷ, καὶ ταῖς γυναιξίν.
Ἀκούσατε τοὺς λόγους κυρίου· οὕτως εἶπε κύριος ὁ θεὸς τοῦ ἰσρα-
ὴλ· ὑμεῖς ὦ γυναῖκες τῷ στόματι ὑμῶν ἐλαλήσατε, καὶ ταῖς χερ-
σὶν ὑμῶν ἐπληρώσατε· λέγουσαι ποιοῦσαι ποιήσωμεν τὰς ὁμο-
λογίας ἃς ὡμολογήσαμεν, θυμιᾶν τῇ βασιλίσσῃ τοῦ οὐρανοῦ·
σπένδειν αὐτῇ σπονδὰς· ἐμμείνασαι ἐνεμείνατε ταῖς ὁμολογί-
αις ὑμῶν· καὶ ποιοῦσαι ἐποιήσατε· διὰ τοῦτο ἀκούσατε λόγον κυ-
ρίου· πᾶς ἰούδα οἱ καθήμενοι ἐν γῇ αἰγύπτῳ· ἰδοὺ ὡμολόγησα
τῷ ὀνόματί μου τῷ μεγάλῳ εἶπε κύριος· ἐὰν γένηται ἔτι ὄνο-
μά μου ἐν τῷ στόματι παντὸς ἰούδα εἰπεῖν· ζῇ κύριος ἐν πάσῃ γῇ
αἰγύπτῳ· ὅτι ἰδοὺ ἐγὼ ἐγρήγορα ἐπ' αὐτοὺς, τοῦ κακῶσαι αὐτούς·
καὶ οὐκ ἀγαθῶσαι· καὶ ἐκλείψουσι πᾶς ἰούδα· οἱ κατοικοῦν-
τες ἐν γῇ αἰγύπτου, ἐν ῥομφαίᾳ, καὶ ἐν λιμῷ, ἕως ἂν ἐκλείπωσιν·
καὶ οἱ σεσωσμένοι ἀπὸ ῥομφαίας, ἐπιστρέψουσιν ἐν γῇ ἰούδα ὀ-
λίγοι ἀριθμῷ· καὶ γνώσονται οἱ κατάλοιποι ἰούδα οἱ καταστάν-
τες ἐν γῇ αἰγύπτου κατοικῆσαι ἐκεῖ· λόγος τίνος ἐμμενεῖ· καὶ τοῦτο
τὸ σημεῖον ὑμῖν ὅτι ἐπισκέψομαι ἐγὼ ἐφ' ὑμᾶς εἰς πονηρά· οὕ-
τως εἶπε κύριος· ἰδοὺ ἐγὼ δίδωμι τὸν οὐαφρῆ βασιλέα αἰγύ-
πτου, εἰς χεῖρας ἐχθροῦ αὐτοῦ, καὶ εἰς χεῖρας ζητοῦντος τὴν ψυχὴν
αὐτοῦ· καθὰ δέδωκα τὸν σεδεκίαν βασιλέα ἰούδα, εἰς χεῖρας να-
βουχοδονόσορ βασιλέως βαβυλῶνος ἐχθροῦ αὐτοῦ, καὶ ζητοῦντος
τὴν ψυχὴν αὐτοῦ.

Κεφάλαιον. με. 45.

ὁ Λόγος ὃν ἐλάλησεν ἱερεμίας ὁ προφήτης πρὸς βα-
ροὺχ υἱὸν νηρίου· ὅτι ἔγραψε τοὺς λόγους τούτους ἐν τῷ
βιβλίῳ

βιβλίῳ ἀπὸ στόματος ἱερεμίου ἐν τῷ ἐνιαυτῷ τῷ τετάρτῳ ἰω-
ακεὶμ υἱοῦ ἰωσίου βασιλέως ἰούδα. οὕτως εἶπε κύριος ἐπὶ σοὶ βα
ρούχ. ὅτι εἶπας οἴμοι οἴμοι. ὅτι προσέθηκε κύριος κόπον ἐπὶ
πονόν μοι. ἐκοιμήθην ἐν στεναγμοῖς ἀνάπαυσιν οὐχ εὗρον εἰ-
πὼν αὐτῷ. οὕτως εἶπε κύριος. ἰδοὺ οὓς ἐγὼ ᾠκοδόμησα, ἐγὼ
καθελῶ, καὶ οὓς ἐγὼ ἐφύτευσα ἐγὼ ἐκτίλω. καὶ σὺ ζητήσεις σε-
αυτῷ μεγάλα. μὴ ζητήσῃς, ὅτι ἰδοὺ ἐγὼ ἐπάγω κακὰ ἐπὶ πᾶ-
σαν σάρκα λέγει κύριος. καὶ δώσω τὴν ψυχήν σου εἰς εὕρημα ἐν
παντὶ τόπῳ. οὗ ἐὰν βαδίσῃς ἐκεῖ.

Κεφ. μϛ. 46.

ΝΑ ἀρχῇ βασιλεύοντος σεδεκίου τοῦ βασιλέως ἐγέ-
νετο ὁ λόγος οὗτος περὶ αἰλὰμ τῆς αἰγύπτου ἐπὶ δύνα-
μιν φαραὼ νεχαὼ βασιλέως αἰγύπτου ὃς ἦν ἐπὶ τῷ
ποταμῷ εὐφράτῃ. ἐν χαρμῖς. ὃν ἐπάταξεν ναβουχοδονόσορ βα
σιλεὺς βαβυλῶνος, ἐν τῷ ἔτει τῷ τετάρτῳ ἰωακεὶμ βασιλέως
ἰούδα. ἀναλάβετε ὅπλα καὶ ἀσπίδας, καὶ προσαγάγετε εἰς πό
λεμον, καὶ ἐπισάξατε τοὺς ἵππους. ἐπίβητε οἱ ἱππεῖς. καὶ κατά-
στητε ἐν ταῖς περικεφαλαίαις ὑμῶν. προβάλλετε τὰ δόρατα, καὶ
ἐνδύσασθε τὰς θώρακας ὑμῶν διότι αὐτοὶ πτοοῦνται καὶ ἀπο
χωροῦσιν εἰς τὸ ὀπίσω. διότι οἱ ἰσχυροὶ αὐτῶν κοπήσονται. φυ-
γῇ ἔφυγον καὶ οὐκ ἀνέστρεψαν περιεχόμενοι κύκλῳ. λέγει κύρι
ος. μὴ φευγέτω ὁ κοῦφος, καὶ μὴ ἀνασωζέσθω ὁ ἰσχυρὸς ἐπὶ
βοῤῥᾶν. τὰ παρὰ τὸν εὐφράτην ἠσθένησε. καὶ πεπτώκασι. τίς οὗ-
τος ὡς ποταμὸς ἀναβήσεται. καὶ ὡς ποταμοὶ κυμαίνουσιν ὕ-
δωρ. ὕδατα αἰγύπτου, ὡς ποταμὸς ἀναβήσεται. καὶ εἶπεν. ἀνα-
βήσομαι καὶ κατακαλύψω τὴν γῆν, καὶ πόλιν, τοὺς κατοικοῦντας
ἐν αὐτῇ ἐπίβητε ἐπὶ τοὺς ἵππους. παρασκευάσατε τὰ ἅρματα.
ἐξέλθετε οἱ μαχηταὶ αἰθιόπων. καὶ λίβυες καθωπλισμένοι ὅ-
πλοις. καὶ λυδοὶ ἀναβῆτε ἐντείνατε τόξον καὶ ἡ ἡμέρα ἐκείνη
κυρίῳ τῷ θεῷ ἡμῶν ἡμέρα ἐκδικήσεως τοῦ ἐκδικῆσαι τοὺς

ἐχθροὺς αὐτοῦ· καὶ καταφάγεται ἡ μάχαιρα τοῦ κυρίου· καὶ ἐμ-
πλησθήσεται καὶ μεθυσθήσεται ἀπὸ τοῦ αἵματος αὐτῶν· ὅτι θυ-
σία τῷ κυρίῳ ἀπὸ γῆς βορρᾶ ἐπὶ ποταμῷ εὐφράτῃ. ἀνάβηθι
γαλαάδ, καὶ λαβὲ ῥητίνην τῇ παρθένῳ θυγατρὶ αἰγύπτου· εἰς τὸ
κενὸν ἐπλήθυνας ἰάματά σου· ὠφέλεια οὐκ ἔστιν ἐν σοί, ἤκουσαν
ἔθνη φωνήν σου, καὶ τῆς κραυγῆς σου ἐπλήσθη ἡ γῆ· ὅτι μαχητὴς
πρὸς μαχητὴν ἠσθένησαν· ἐπὶ τὸ αὐτὸ ἔπεσαν ἀμφότεροι· ἃ ἐλά-
λησε κύριος ἐν χειρὶ ἱερεμίου· τοῦ ἐλθεῖν τὸν βασιλέα βαβυλῶνος
τοῦ κόψαι τὴν γῆν αἰγύπτου· ἀναγγείλατε εἰς μαγδωλὸν καὶ πα-
ραγγείλατε εἰς μέμφιν· εἴπατε ἐπίστηθι καὶ ἑτοίμασον· ὅτι κατέ-
φαγε μάχαιρα τὴν σμίλακά σου· διότι ἔφυγεν ὁ ἆπις ὁ μό-
σχος ὁ ἐκλεκτός σου οὐκ ἔμεινεν· ὅτι κύριος παρέλυσεν αὐτόν·
καὶ τὸ πλῆθός σου ἠσθένησε καὶ ἔπεσε, καὶ ἕκαστος πρὸς τὸν πλη-
σίον αὐτοῦ ἐλάλει· ἀναστῶμεν καὶ ἀποστρέψωμεν πρὸς τὸν λαὸν
ἡμῶν εἰς τὴν πατρίδα ἡμῶν, ἀπὸ προσώπου μαχαίρας ἑλληνι-
κῆς· καλέσατε τὸ ὄνομα φαραὼ νεχαὼ βασιλέως αἰγύπτου· σαω-
νεεσβιεμωήδ· ζῶ ἐγὼ λέγει κύριος ὁ θεός· ὅτι ὡς τὸ ἰταβύρι-
ον ἐν τοῖς ὄρεσι· καὶ ὡς ὁ κάρμηλος ὁ ἐν τῇ θαλάσσῃ ἥξει· σκεύη
ἀποικισμοῦ ποίησον σεαυτῇ κατοικοῦσα θύγατερ αἰγύπτου· ὅτι
μέμφις εἰς ἀφανισμὸν ἔσται· καὶ κληθήσεται οὐαὶ διὰ τὸ μὴ ὑπάρ-
χειν κατοικοῦντας ἐν αὐτῇ, δάμαλις κεκαλλωπισμένη αἴγυπτος
ἀπόσπασμα ἀπὸ βορρᾶ ἦλθεν ἐπ' αὐτὴν καὶ οἱ μισθωτοὶ αὐτῆς
ἐν αὐτῇ· ὥσπερ μόσχοι σιτευτοὶ τρεφόμενοι εἰς σφαγήν· διότι
καὶ αὐτοὶ ἀπεστράφησαν καὶ ἔφυγον ὁμοθυμαδόν· οὐκ ἔστησαν·
ὅτι ἡμέρα ἀπωλείας ἦλθεν ἐπ' αὐτούς· καὶ καιρὸς ἐκδικήσεως
αὐτῶν· φωνὴ αὐτῶν ὡς ὄφεως συρίζοντος ὅτι ἐν ἄμμῳ πορεύ-
σονται· ἐν ἀξίναις ἥξουσιν ἐπ' αὐτήν· ὡς κόπτοντες ξύλα ἐκκό-
ψουσι τὸν δρυμὸν αὐτῆς λέγει κύριος· ὅτι οὐ μὴ εἰκασθῇ ὁ θεός·
ὅτι πληθύνει ὑπὲρ ἀκρίδα, καὶ οὐκ ἔστιν αὐτοῖς ἀριθμός· κατῃσχύν-
θη ἡ θυγάτηρ αἰγύπτου· παρεδόθη εἰς χεῖρας λαοῦ ἀπὸ βορρᾶ·

ἰδοὺ ἐγὼ ἐκδικῶ τὸν ἄμμων τὸν υἱὸν αὐτῆς ἐπ' αἴγυπτον. καὶ ἐπὶ
τοὺς θεοὺς αὐτῆς, καὶ ἐπὶ τοὺς βασιλεῖς αὐτῆς καὶ ἐπὶ φαραὼ, καὶ
ἐπὶ τοὺς πεποιθότας ἐπ' αὐτῷ. σὺ δὲ μὴ φοβηθῇς δοῦλός μου
ἰακὼβ μηδὲ πτοηθῇς ἰσραήλ. διότι ἐγὼ ἰδοὺ σώζω σε μακρό
θεν. καὶ τὸ σπέρμα σου ἐκ τῆς αἰχμαλωσίας αὐτῶν. καὶ ἀνα
στρέψει ἰακώβ. καὶ ἡσυχάσει καὶ ὑπνώσει. καὶ οὐκ ἔσται ὁ παρε
νοχλῶν αὐτόν. μὴ φοβοῦ παῖς μου ἰακὼβ λέγει κύριος. ὅτι με
τὰ σοῦ ἐγώ εἰμι ἡ ἀπτόητος καὶ τρυφερὰ παρεδόθη. ὅτι ποιή
σω ἔθνη συντέλειαν ἐν παντὶ εἰς οὓς ἐξάξω σε ἐκεῖ. σὲ δὲ οὐ μὴ
ποιήσω ἐκλιπεῖν. καὶ παιδεύσω σε εἰς κρίμα. καὶ ἀθῷον οὐκ ἀ
θωώσω σε.

Κεφ. μζ. 47.

Ἀ δὲ λέγει κύριος. ἰδοὺ ὕδατα ἀναβαίνει ἀπὸ βοῤ
τ ῥᾶ. καὶ ἔσται εἰς χειμάῤῥουν κατακλύζοντα. καὶ κατα
κλύσει γῆν. καὶ τὸ πλήρωμα αὐτῆς πόλιν, καὶ τοὺς κα
τοικοῦντας ἐν αὐτῇ καὶ κεκράξονται οἱ ἄνοι, καὶ ἀλαλάξουσιν ἅπαν
τες οἱ κατοικοῦντες τὴν γῆν ἀπὸ φωνῆς ὁρμῆς αὐτοῦ. τῆς ἀπὸ ὅ
πλων τῶν ποδῶν αὐτοῦ. καὶ ἀπὸ σεισμοῦ τῶν ἁρμάτων αὐτοῦ, καὶ ἤ
χου τροχῶν αὐτοῦ. οὐκ ἐπέστρεψαν πατέρες ἐφ' υἱοὺς αὐτῶν, ἀπὸ
ἐκλύσεως χειρῶν αὐτῶν. ἐν τῇ ἡμέρᾳ τῇ ἐπερχομένῃ, τοῦ ἀπολέ
σαι πάντας τοὺς ἀλλοφύλους. καὶ ἀφανιῶ τὴν τύρον καὶ τὴν σι
δῶνα, καὶ πάντας τοὺς καταλοίπους τῆς βοηθείας αὐτῶν. ὅτι ἐ
ξολοθρεύσει κύριος, τοὺς καταλοίπους τῶν νήσων. ἥκει φαλά
κρωμα ἐπὶ γάζαν. ἀπεῤῥίφη ἀσκάλων. καὶ οἱ κατάλοιποι ἐνα
κίμ. ἕως τίνος κόψει ἡ μάχαιρα τοῦ κυρίου, ἕως τίνος οὐχ ἡσυ
χάσεις. ἀποκατάστηθι εἰς τὸν κολεόν σου, καὶ ἀνάπαυσαι. καὶ ἐ
πάρθητι, πῶς ἡσυχάσει. καὶ κύριος ἐνετείλατο αὐτῇ ἐπὶ τὴν
ἀσκάλωνα καὶ ἐπὶ τὰς παραθαλασσίους. καὶ ἐπὶ τὰς καταλοίπους
ἐπεγερθῆναι.

Κεφ. μη. 48.

Ἡ μωάβ. οὕτως εἶπε κύριος. οὐαὶ ἐπὶ ναβαὺ ὅτι ὤλε
τ το. ἐλήφθη καριαθαίμ. ᾐσχύνθη μασιγάθ. καὶ ἡττήθη

οὐκ ἔστιν ἔτι ἰατρεία μωάβ. γαυρίαμα ἐν ἐσεβὼν ἐλογίσαντο ἐπ᾽
αὐτὴν κακά. δεῦτε ἐκκόψωμεν αὐτὴν ἀπὸ ἔθνους καὶ παῦσιν
παύσεται ὄπισθέν σου βαδιεῖται μάχαιρα. ὅτι φωνὴ κεκραγότων
ἐξ ὠρωναΐμ. ὄλεθρον, καὶ σύντριμμα μέγα συνετρίβη μωάβ.
ἀναγγείλατε εἰς ζογόρα ὅτι ἐπλήσθη. ἀλαὼθ ἐν κλαυθμῷ ἀνα-
βήσεται κλαίων. ἐν ὁδῷ ὠρωναΐμ κραυγὴ συντρίμματος ἠκού-
σατε φεύγετε. καὶ σώσατε τὰς ψυχὰς ὑμῶν, καὶ ἔσεσθε ὥσ-
περ ὄνος ἄγριος ἐν ἐρήμῳ. ἐπειδὴ ἐπεποίθεις ἐν ὀχυρώματί σου
καὶ συλληφθήσῃ. καὶ ἐξελεύσεται χαμὼς ἐν ἀποικίᾳ, καὶ οἱ
ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα καὶ ἥξει ὄλεθρος ἐπὶ πᾶ-
σαν πόλιν. οὐ μὴ σωθῇ καὶ ἀπολεῖται ὁ αὐλών, καὶ ἐξολοθρευ-
θήσεται ἡ πεδινὴ καθὼς εἶπε κύριος. δότε σημεῖα τῇ μωάβ.
ὅτι ἁφῇ ἀναφθήσεται. καὶ πᾶσαι αἱ πόλεις αὐτῆς εἰς ἄβατον ἔσον-
ται. πόθεν ἔνοικος αὐτῇ. ἐπικατάρατος ὁ ποιῶν τὰ ἔργα κυρίου
ἀμελῶς ἐξαίρων μάχαιραν αὐτοῦ ἀφ᾽ αἵματος. ἀνεπαύσατο
μωὰβ ἐκ παιδαρίου, καὶ πεποιθὼς ἦν ἐπὶ τῇ δόξῃ αὐτοῦ οὐκ ἐνέ-
χεεν ἐξ ἀγγείου, εἰς ἀγγεῖον, καὶ εἰς ἀποικισμὸν οὐκ ᾤχετο. διὰ
τοῦτο ἔστη γεῦμα αὐτοῦ ἐν αὐτῷ. καὶ ὀσμὴ αὐτοῦ οὐκ ἐξέλιπε.
διὰ τοῦτο ἰδοὺ ἡμέραι ἔρχονται φησὶ κύριος. καὶ ἀποστελῶ αὐ-
τῷ κλίνοντας. καὶ κλινοῦσιν αὐτόν, καὶ τὰ σκεύη αὐτοῦ λεπτώσου-
σι. καὶ τὰ κέρατα αὐτοῦ συγκόψουσι. καὶ καταισχυνθήσεται μω-
ὰβ ἀπὸ χαμώς, ὥσπερ κατῃσχύνθη οἶκος ἰσραήλ, ἀπὸ βαιθὴλ
ἐλπίδος αὐτῶν. Πεποιθότες ἐφ᾽ ἑαυτοῖς. πῶς ἐρεῖτε ἰσχυροί
ἐσμεν. καὶ ἄνθρωπος ἰσχύων εἰς τὰ πολεμικά. ὤλετο μωάβ. πό-
λις αὐτοῦ. καὶ ἐκλεκτοὶ νεανίσκοι αὐτοῦ. κατέβησαν εἰς σφαγήν.
ἐγγὺς ἡμέρα μωὰβ ἐλθεῖν. καὶ πονηρία αὐτοῦ ταχεῖα σφόδρα.
κινήσατε αὐτῷ, πάντες κυκλόθεν αὐτοῦ. πάντες εἰδότες ὄνομα
αὐτοῦ. εἴπατε πῶς συνετρίβη βακτηρία εὐκλεής. ῥάβδος μεγα-
λόμματος. κατάβηθι ἀπὸ δόξης, καὶ κάθισον ἐν ὑγρασίᾳ καθη-
μένη δαιδὼν ἐκτριβήσεται. ὅτι ὤλετο μωάβ. ἀνέβη εἰς σὲ λυμαί-

νόμενος ὀχύρωμά σου. ἐφ' ὁδοῦ στῆθι. καὶ ἔπιδε καθημένη ἐν ἀρο-
ήρ. καὶ ἐρώτησον φεύγοντα. καὶ σωζόμενον. καὶ εἶπον τί ἐγένε-
το. κατῃσχύνθη μωάβ. ὅτι συνετρίβη. ὀλόλυξον καὶ κέκραξον. ἀν-
άγγειλον ἐν ἀρνῶν, ὅτι ὤλετο μωάβ. καὶ κρίσις ἔρχεται εἰς γῆν
τοῦ μισώρ. ἐπὶ χελὼν, καὶ ῥεφὰς καὶ ἐπὶ μωφάς. καὶ ἐπὶ δαι-
βών. καὶ ἐπὶ δαδᾶν. καὶ ἐπ' οἶκον δαιβλαθαίμ. καὶ ἐπὶ καρια-
θαίμ. καὶ ἐπ' οἶκον γεμώλ. καὶ ἐπ' οἶκον μαών. καὶ ἐπὶ καρι-
ώθ. καὶ ἐπὶ βωσόρ. καὶ ἐπὶ πάσας τὰς πόλεις μωάβ. τὰς πόρρω,
καὶ τὰς ἐγγύς. κατεάχθη κέρας μωάβ, τὰς πόρρω καὶ τὰς ἐγγύς
καὶ τὸ ἐπίχειρον αὐτῶν συνετρίβη. μεθύσατε αὐτὸν, ὅτι ἐπὶ κύρι-
ον ἐμεγαλύνθη. καὶ ἐπικρούσει μωάβ, ἐν χειρὶ αὐτοῦ. καὶ ἔσται εἰς
γέλωτα καὶ αὐτὸς, καὶ μὴν εἰς γελοιασμὸν ἦν σοι ἰσραήλ, καὶ ἐν
κλοπαῖς σου εὑρέθη. ὅτι ἐπολέμεις αὐτὸν, κατέλιπον τὰς πόλεις
καὶ ᾤκισαν ἐν πέτραις οἱ κατοικοῦντες μωάβ. ἐγενήθησαν ὥσπερ
περιστεραὶ νοσσεύουσαι ἐν πέτραις στόματι βαθύνου.
Καὶ ἤκουσα ὕβριν μωάβ. καὶ ὕβρισε λίαν. ὕβριν αὐτοῦ, καὶ ὑπερη-
φανίαν αὐτοῦ. ὑψώθη ἡ καρδία αὐτοῦ. ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ
ἤκουσα ὕβριν μωάβ. ὕβρισε λίαν καὶ ὕβριν αὐτοῦ. καὶ ὑπερηφα-
νίαν αὐτοῦ. ὑψώθη ἡ καρδία αὐτοῦ ἐγὼ δὲ ἔγνων ἔργα αὐτοῦ.
οὐχὶ τὸ ἱκανὸν αὐτοῦ, οὐχ οὕτως ἐποίησε. διὰ τοῦτο ἐπὶ μωάβ, ὀλο-
λύζετε πάντοθεν. βοήσατε ἐπ' ἄνδρας κηράδας αὐχμοῦ ὡς
κλαυθμὸν ἰαζὴρ ἀποκλαύσομαί σοι. ἄμπελος ἀσερημά, κλήμα-
τά σου διῆλθε θάλασσαν. ἐπὶ τρυγητοῖς σου ὄλεθρος ἐπέπεσε
συνεψήφθη χαρμοσύνη, καὶ εὐφροσύνη ἐκ τῆς μωαβίτιδος. καὶ
οἶνος ἦν ἐπὶ ληνοῖς σου. πρωῒ οὐκ ἐπάτησαν. οὐ δὲ δείλης οὐκ ἐποί-
ησαν. αἱ δὲ ἀπὸ κραυγῆς ἐσεβὼν ἕως ἐλεαλή. καὶ ἕως ἰασσα
ἕως ἐτὰθ αἱ πόλεις αὐτῶν, ἔδωκαν φωνὴν αὐτῶν. ἀπὸ ζογορὰ
ἕως ὡρωναΐμ. καὶ ἀγγελίαν σαλισία. ὅτι καὶ τὸ ὕδωρ νεβειμᾶς
κατάκαυμα ἔσται. καὶ ἀπολῶ τὸν μωάβ φησὶ κύριος. ἀναβαί-
νοντα ἐπὶ τὸν βωμὸν, καὶ θυμιῶντα θεοῖς αὐτοῦ. διὰ τοῦτο ἡ καρδία

τοῦ μωάβ. ὥσπερ αὐλοὶ βομβήσουσι. καρδία μου ἐπ' ἀνθρώπους
κεράδας. ὥσπερ αὐλὸς βομβήσει. διὰ τοῦτο ἃ περιεποιήσατο, ἀ-
πώλετο ἀπὸ ἀνθρώπου. πᾶσαν κεφαλὴν ἐν παντὶ τόπῳ ξυρή-
σονται. καὶ πᾶς πώγων ξυρηθήσεται. καὶ πᾶσαι χεῖρες κόψον-
ται, καὶ ἐπὶ πάσης ὀσφύος σάκκος. καὶ ἐπὶ πάντων τῶν δωμά-
των μωάβ καὶ ἐπὶ ταῖς πλατείαις αὐτῆς ὅλαις κοπετός. ὅτι συνέ-
τριψα τὴν μωάβ φησὶ κύριος, καὶ ὡς ἀγγεῖον, οὗ οὐκ ἔστιν χρεία αὐτοῦ
πῶς κατήλλαξε. πῶς ἔστρεψε νῶτον μωάβ. ᾐσχύνθη, καὶ ἐγένετο
μωὰβ εἰς γέλωτα. καὶ ἐγκότημα πᾶσι τοῖς κύκλῳ αὐτοῦ. ὅτι οὕ-
τως εἶπε κύριος ἰδοὺ ὡς ἀετὸς ὁρμήσει. καὶ ἐκπετάσει χεῖρας
αὐτοῦ ἐπὶ μωὰβ ἐλήφθη καριώθ. καὶ τὰ ὀχυρώματα συνελήφθη
καὶ ἔσται ἡ καρδία μωὰβ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὡς καρδία γυναι-
κὸς ὠδινούσης καὶ ἀπολεῖται μωὰβ ἀπὸ ὄχλου, ὅτι ἐπὶ τὸν κύ-
ριον ἐμεγαλύνθη. παγὶς καὶ φόβος. καὶ βόθυνος ἐπί σε καθή-
μενος ἐπὶ μωάβ. ὁ φεύγων ἀπὸ προσώπου τοῦ φόβου, ἐμπεσεῖ-
ται εἰς τὸν βόθυνον. καὶ ὁ ἀναβαίνων ἐκ τοῦ βοθύνου, καὶ συλλη-
φθήσεται ἐν τῇ παγίδι. ὅτι ἐπάξω ταῦτα ἐπὶ μωάβ. ὡς ἐν ἐνι-
αυτῷ ἐπισκέψεως αὐτῆς.

## Κεφάλαιον. μθ. 49.

Ἡ ἰδουμαία, τάδε λέγει κύριος. οὐκ ἔστιν ἔτι σοφία
τ ἐν θαιμὰν, ἀπώλετο βουλὴ ἐκ συνετῶν. ᾤχετο σο-
φία αὐτῶν. ἠπατήθη ὁ τόπος αὐτῶν. βαθύνατε
αὐτοὺς εἰς κάθισιν, οἱ κατοικοῦντες ἐν δαιδάν. ὅτι δύσκολα ἐ-
ποίησεν. ἤγαγον ἐπ' αὐτὸν ἐν χρόνῳ ᾧ ἐπεσκεψάμην ἐπ' αὐ-
τόν. ὅτι τρυγηταὶ ἦλθον. οἳ καταλείψουσίν σοι κατάλειμμα. ὥσπερ
κλέπται ἐν νυκτὶ ἐπιθήσουσι χεῖρας αὐτῶν. ὅτι ἐγὼ κατέσυρα
τὸν ἡσαῦ. ἀνεκάλυψα τὰ κρυπτὰ αὐτῶν κρυβῆναι οὐ μὴ δύνων-
ται. ὤλοντο διὰ χεῖρα ἀδελφοῦ αὐτοῦ. καὶ γείτονός μου. καὶ οὐκ
ἔστιν ὑπολιπέσθαι ὀρφανόν σου, ἵνα ζήσηται. καὶ ἐγὼ ζήσομαι. καὶ
αἱ χῆραι ἐπ' ἐμὲ πεποίθασιν. ὅτι τάδε εἶπε κύριος. οἷς οὐκ ἦν

νόμος πιεῖν τὸ ποτήριον, ἔπιον, καὶ σὺ ἀθῳουμένη· οὐ μὴ ἀθωωθῇς
ὅτι πίνων πίεσαι. ὅτι κατ' ἐμαυτοῦ ὤμοσα λέγει κύριος. ὅτι εἰς
ἄβατον καὶ εἰς ὀνειδισμὸν, καὶ εἰς κατάρασιν ἔσῃ ἐν μέσῳ αὐτῆς·
καὶ πᾶσαι αἱ πόλεις αὐτῆς ἔσονται ἔρημοι εἰς τὸν αἰῶνα. ἀκοὴν
ἤκουσα παρὰ κυρίου, καὶ ἀγγέλους εἰς ἔθνη ἀπέστειλεν. συνάχθη-
τε, καὶ παραγένεσθε εἰς αὐτήν. ἀνέστη δὲ εἰς πόλεμον μικρὸν, ἔ-
δωκά σε ἐν ἔθνεσιν καὶ εὐκαταφρόνητον ἐν ἀνθρώποις. ἡ παι-
γνία σου ἐνεχείρησέ σοι, ἰταμία καρδίας σου κατέλυσε τρυμα-
λιὰς πετρῶν. συνέλαβεν ἰσχὺν βουνοῦ ὑψηλοῦ. ὅτι ὕψωσας ὥσ-
περ ἀετὸς νοσσιὰν αὐτοῦ. ἐκεῖθεν καθελῶ σε. καὶ ἔσται ἡ ἰδουμαία
εἰς ἄβατον, πᾶς ὁ παραπορευόμενος ἐπ' αὐτὴν συριεῖ. ἐκστήσεται
καὶ συριεῖ ὑπὲρ πάσῃ τῇ πληγῇ αὐτῆς. ὥσπερ κατεστράφη σόδομα καὶ
γόμορρα. καὶ αἱ πάροικοι αὐτῆς. εἶπε κύριος παντοκράτωρ. οὐ μὴ καθί-
σει ἐκεῖ ἄνθρωπος. καὶ οὐ μὴ κατοικήσει ἐκεῖ υἱὸς ἀνθρώπου. ἰδοὺ ὥσπερ
λέων ἀναβήσεται ἐκ μέσου τοῦ ἰορδάνου. εἰς τόπον ἐμάθ. ὅτι ταχὺ
ἐκδιώξω αὐτοὺς ἀπ' αὐτῆς. καὶ τοὺς νεανίσκους ἐπ' αὐτὴν, ἐπιστήσα-
τε. ὅτι τίς ὥσπερ ἐγώ. καὶ τίς ἀντιστήσεταί μοι, καὶ τίς οὗτος ποι-
μὴν. ὃς στήσεται κατὰ πρόσωπόν μου. διατοῦτο ἀκούσατε βουλὴν
κυρίου, ἣν ἐβουλεύσατο ἐπὶ τὴν ἰδουμαίαν. καὶ λογισμὸν αὐτοῦ. ὃν
ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας θαιμάν. ἐὰν μὴ συμψαθῶσι τὰ
ἐλάχιστα τῶν προβάτων ἐὰν μὴ ἀβατωθῇ ἐπ' αὐτοὺς, κατάλυσις
αὐτῶν. ὅτι ἀπὸ φωνῆς πτώσεως αὐτῶν ἐσείσθη ἡ γῆ. καὶ κραυγὴ θα-
λάσσης οὐκ ἠκούσθη. ἰδοὺ ὥσπερ ἀετὸς ὄψεται καὶ ἐκτενεῖ τὰς πτέ-
ρυγας αὐτοῦ ἐπ' ὀχυρώματα αὐτῆς. καὶ ἔσται ἡ καρδία τῶν ἰσχυρῶν
τῆς ἰδουμαίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς καρδία γυναικὸς ὠδινού-
σης, τοῖς υἱοῖς ἀμμὼν, οὕτως εἶπε κύριος. μὴ υἱοὶ οὐκ εἰσὶν ἐν ἰσραήλ;
ἢ παραληψόμενος οὐκ ἔστιν αὐτοῖς; διατί παρέλαβε μελχὸλ τὴν
γαλαάδ. καὶ ὁ λαὸς αὐτῶν ἐν πόλεσιν αὐτῶν ἐνοικήσει. διατοῦτο ἰδοὺ
ἡμέραι ἔρχονται φησὶ κύριος. καὶ ἀκουτιῶ ἐπὶ ῥαββὰθ θόρυ-
βον πολέμου, καὶ ἔσονται εἰς ἄβατον. καὶ εἰς ἀπώλειαν.

καὶ οἱ βωμοὶ αὐτῆς ἐν πυρὶ κατακαυθήσονται. καὶ παραλήψεται ἰσραὴλ τὴν ἀρχὴν αὐτοῦ. ἀλάλαξον ἐσεβὼν, ὅτι ὤλετο γαΐ. κεκράξατε θυγατέρες ῥαβάθ. περιζώσασθε ὅτι μελχὸλ βαδιεῖται ἐν ἀποικίᾳ. οἱ ἱερεῖς αὐτοῦ καὶ οἱ ἄρχοντες αὐτοῦ ἅμα. τί ἀγαλλιᾶσθε τοῖς πεδίοις ἐν ἀκείμ. θυγάτηρ ἰταμίας. ἡ πεποιθυῖα ἐπὶ θησαυροῖς αὐτῆς ἡ λέγουσα τίς ἐπελεύσεται ἐπ' ἐμέ. ἰδοὺ ἐγὼ φέρω φόβον ἐπί σε εἶπε κύριος. ἀπὸ πάσης τῆς περιοίκου σου, καὶ διασπαρήσεσθε ἕκαστος εἰς τὸ πρόσωπον αὐτοῦ, καὶ οὐκ ἔστιν ὁ συνάγων. τῇ κηδὰρ τῇ βασιλίσσῃ τῆς αὐλῆς. ἣν ἐπάταξε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος. οὕτως εἶπε κύριος ἀνάστητε καὶ ἀνάβητε ἐπὶ κηδὰρ, καὶ πλήσατε τοὺς υἱοὺς κεδέμ. σκηνὰς αὐτῶν. καὶ τὰ πρόβατα αὐτῶν λήψονται ἑαυτοῖς ἱμάτια καὶ πάντα τὰ σκεύη αὐτῶν, καὶ καμήλους αὐτῶν λήψονται ἑαυτοῖς. καὶ καλέσατε ἐπ' αὐτοὺς ἀπώλειαν. κυκλόθεν φεύγετε λίαν ἐμβαθύνατε εἰς κάθισιν καθήμενοι ἐν τῇ αὐλῇ. ὅτι ἐβουλεύσατο ἐφ' ὑμᾶς βασιλεὺς βαβυλῶνος βουλήν. καὶ ἐλογίσατο λογισμόν. ἀνάστηθι, καὶ ἀνάβηθι ἐπ' ἔθνος, εὐσταθοῦν καθήμενον εἰς ἀναψυχὴν οἷς οὐκ εἰσὶ θύραι. οὐ βάλανοι. οὐ μοχλοί. μόνοι καταλύουσι. καὶ ἔσονται κάμηλοι αὐτῶν εἰς προνομήν. καὶ πλῆθος κτηνῶν αὐτῶν εἰς ἀπώλειαν. καὶ λικμήσω αὐτοὺς παντὶ ἀνέμῳ κεκαρμένους πρὸ προσώπου αὐτῶν ἐκ παντὸς πέραν αὐτῶν. οἴσω τὴν τροπὴν αὐτῶν εἶπε κύριος. καὶ ἔσται ἡ αὐλὴ διατριβὴ στρουθῶν. καὶ ἄβατος ἕως αἰῶνος. οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος. καὶ οὐ μὴ καθίσῃ ἐκεῖ υἱὸς γηγενοῦς τῇ δαμασκῷ κατῃσχύνθη ἡμὰθ, καὶ ἀρφάθ. ὅτι ἤκουσαν ἀκοὴν πονηράν. ἐξέστησαν ἐθυμώθησαν, ἀναπαύσασθαι οὐ μὴ δύνανται. ἐξελύθη δαμασκὸς ἀπεστράφη εἰς φυγήν, τρόμος ἐπελάβετο αὐτῆς. πῶς οὐχὶ ἐγκατέλιπον πόλιν ἐμὴν κώμην ἠγάπησαν. διὰ τοῦτο πεσοῦνται νεανίσκοι ἐν πλατείαις σου, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου πεσοῦνται φησὶ κύριος, καὶ καύσω πῦρ ἐν τείχει δαμασκοῦ καὶ καταφάγεται ἄμφοδα υἱοῦ ἄδερ.

Κεφάλαιον. ν. 50.

Λόγος κυρίου ὃν ἐλάλησεν ἐπὶ βαβυλῶνα. ἀναγγείλα-
λ τε ἐν τοῖς ἔθνεσι καὶ ἀκουστὰ ποιήσατε, καὶ μὴ κρύ-
ψητε. εἴπατε ἑάλωκε βαβυλῶνα. κατῃσχύνθη βῆλος ὁ
ἀπτόητος ἡ τρυφερὰ παρεδόθη μαιωδὰχ, ὅτι ἀνέβη ἐπ' αὐτὴν
ἔθνος ἀπὸ βοῤῥᾶ, οὗτος θήσει τὴν γῆν αὐτῆς εἰς ἀφανισμὸν καὶ
οὐκ ἔσται ὁ κατοικῶν ἐν αὐτῇ ἀπὸ ἀνθρώπου ἕως κτήνους ἐν ταῖς
ἡμέραις ἐκείναις. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἥξουσιν οἱ υἱοὶ ἰσρα-
ὴλ αὐτοὶ καὶ οἱ υἱοὶ ἰούδα ἐπὶ τὸ αὐτὸ βαδίζοντες καὶ κλαίον-
τες πορεύσονται. τὸν κύριον θεὸν αὐτῆς ζητοῦντες. ἕως σιὼν ἐρω-
τήσουσι τὴν ὁδόν. ὧδε γὰρ τὸ πρόσωπον αὐτῶν δώσουσι. καὶ
ἥξουσι. καὶ καταφεύξονται πρὸς κύριον τὸν θεὸν αὐτῶν. διαθή-
κη γὰρ αἰώνιος. οὐκ ἐπιλησθήσεται. πρόβατα ἀπολωλότα. ἐγε-
νήθη ὁ λαός μου. οἱ ποιμένες αὐτῶν ἐξῶσαν αὐτούς. ἐπὶ τὰ ὄρη
ἀπεπλάνησαν αὐτούς. ἐξ ὄρους ἐπὶ βουνὸν ᾤχοντο. ἐπελάθοντο κοί-
της αὐτῶν. νομὴ δικαιοσύνης, τῷ συναγαγόντι τοὺς πατέρας
αὐτῶν. ἀλλοτριώθητε ἐκ μέσου βαβυλῶνος. καὶ ἀπὸ γῆς χαλ-
δαίων. καὶ ἐξέλθετε καὶ γένεσθε ὥσπερ δράκοντες κατὰ πρό-
σωπον προβάτων, ὅτι ἰδοὺ ἐγὼ ἐγείρω ἐπὶ βαβυλῶνα συναγω-
γὰς ἐθνῶν, ἐκ γῆς βοῤῥᾶ. καὶ παρατάξονται αὐτῇ. ἐκεῖθεν ἁλώ-
σονται. ὡς βολὶς μαχητοῦ συνετοῦ. οὐκ ἐπιστρέψει κενή. καὶ ἔσται
ἡ χαλδαία εἰς προνομήν. πάντες οἱ προνομεύοντες αὐτὴν ἐμ-
πλησθήσονται. ὅτι ηὐφραίνεσθε καὶ κατεκαυχᾶσθε, διαρπάζον-
τες τὴν κληρονομίαν μου. διότι ἐσκιρτήσατε, ὡς βοΐδια ἐν βο-
τάνῃ. καὶ ἐκερατίζετε ὡς ταῦροι. ᾐσχύνθη ἡ μήτηρ ὑμῶν σφόδρα
ἀνετράπη ἡ τεκοῦσα ὑμᾶς μήτηρ ἐπ' ἀγαθά, ἐσχάτη ἐθνῶν ἔρη-
μος ἀπὸ ὀργῆς κυρίου. οὐ κατοικηθήσεται. καὶ ἔσται εἰς ἀφανι-
σμὸν πᾶσα. καὶ πᾶς ὁ διοδεύων διὰ βαβυλῶνος, σκυθρωπά-
σει. καὶ συριοῦσιν ἐπὶ πᾶσαν τὴν πληγὴν αὐτῆς. παρατάξασθε ἐπὶ
βαβυλῶνα κύκλῳ. πάντες τείνοντες τόξον. τοξεύσατε ἐπ' αὐτὴν

μὴ φείσησθε ἐπὶ τοῖς τοξεύμασιν ὑμῶν τῆς ἔμπροσθεν. καὶ ἐπικρατήσατε αὐτὴν, παρελύθησαν αἱ χεῖρες αὐτῆς. ἔπεσον αἱ ἐπάλξεις αὐτῆς, καὶ κατεσκάφη τὸ τεῖχος αὐτῆς. ὅτι ἐκδίκησις παρὰ θεοῦ ἐστιν. ἐκδικεῖτε ἐπ' αὐτὴν καθὼς ἐποίησε ποιήσατε αὐτῇ. ἐξολοθρεύσατε σπέρμα ἐκ βαβυλῶνος πάντων οἱ εὑρίσκοντες αὐτοὺς, κατανήλισκον αὐτούς. οἱ ἐχθροὶ αὐτῶν εἶπον οὐ μὴ ἀνῶμεν αὐτούς. ἀνθ' ὧν ἥμαρτον τῷ κυρίῳ. κατέχοντα δρέπανον ἐν καιρῷ θερισμοῦ ἀπὸ προσώπου μαχαίρας ἑλληνικῆς ἕκαστος εἰς τὸν λαὸν αὐτοῦ ἐπιστρέψουσι. καὶ ἕκαστος εἰς τὴν γῆν αὐτῶν φεύξονται. πρόβατον πλανώμενον ἰσραὴλ, λέοντες ἐξῶσαν αὐτόν. ὁ πρῶτος ἔφαγεν αὐτόν. βασιλεὺς ἀσσούρ. καὶ οὗτος ὕστερον τὰ ὀστᾶ αὐτοῦ βασιλεὺς βαβυλῶνος. διὰ τοῦτο τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ ἐκδικῶ ἐπὶ τὸν βασιλέα βαβυλῶνος, καὶ ἐπὶ τὴν γῆν αὐτοῦ, καθὼς ἐξεδίκησα ἐπὶ τὸν βασιλέα ἀσσούρ. καὶ ἀποκαταστήσω τὸν ἰσραὴλ, εἰς τὴν νομὴν αὐτοῦ. καὶ νεμήσεται ἐν τῷ καρμήλῳ. καὶ ἐν ὄρει ἐφραὶμ καὶ ἐν τῷ γαλαάδ. καὶ πλησθήσεται ἡ ψυχὴ αὐτοῦ. ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, φησὶ κύριος. ζητήσουσι τὴν ἀδικίαν ἰσραὴλ, καὶ οὐχ ὑπάρξει, καὶ τὰς ἁμαρτίας ἰούδα. καὶ οὐ μὴ εὑρεθῶσιν. ὅτι ἵλεως ἔσομαι τοῖς καταλελειμμένοις ἐπὶ τῆς γῆς λέγει κύριος. πικρῶς ἐπίβηθι ἐπ' αὐτὴν, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐπ' αὐτήν. ἐκδίκησον μαχαίρᾳ καὶ ἀφάνισον λέγει κύριος. καὶ ποίει κατὰ πάντα ὅσα ἐντέλλομαί σοι. Φωνὴ πολέμου καὶ συντριβὴ μεγάλη ἐν γῇ χαλδαίων. πῶς συνεκλάσθη καὶ συνετρίβη, ἡ σφῦρα πάσης τῆς γῆς, πῶς ἐγενήθη εἰς ἀφανισμὸν βαβυλὼν ἐν ἔθνεσιν. ἐπιθήσονταί σοι. καὶ οὐ γνώσῃ, ὡς καὶ ἁλώσῃ βαβυλών. εὑρέθης, καὶ ἐλήφθης. ὅτι τῷ κυρίῳ ἀντέστης. ἤνοιξε κύριος τὸν θησαυρὸν αὐτοῦ, καὶ ἐξήνεγκε τὰ σκεύη ὀργῆς αὐτοῦ. ὅτι ἔργον τῷ κυρίῳ θεῷ ἐν γῇ χαλδαίων. ὅτι ἐληλύθασιν οἱ καιροὶ αὐτῆς. ἀνοίξατε τὰς ἀποθήκας αὐτῆς. ἐρευνήσατε αὐτὴν, ὡς σπήλαιον

ον, καὶ ἐξολοθρεύσατε αὐτήν. μὴ γενέσθω αὐτῆς κατάλειμμα. ἀναξηράνατε αὐτῆς πάντας τοὺς καρπούς, καὶ καταβήτωσαν εἰς σφαγήν. οὐαὶ αὐτοῖς, ὅτι ἥκει ἡ ἡμέρα αὐτῶν. καὶ καιρὸς ἐκδικήσεως αὐτῶν φωνὴ φευγόντων, καὶ ἀνασωζομένων ἐκ γῆς Βαβυλῶνος, τοῦ ἀναγγεῖλαι ἐν σιὼν τὴν ἐκδίκησιν παρὰ κυρίου θεοῦ ἡμῶν. παραγγείλατε ἐπὶ Βαβυλῶνα πολλοῖς. παντὶ ἐντείνοντι τόξον. παρεμβάλλετε ἐπ' αὐτὴν κυκλόθεν. μὴ ἔστω αὐτῆς ἀνασωζόμενος. ἀνταπόδοτε αὐτῇ κατὰ τὰ ἔργα αὐτῆς. κατὰ πάντα ὅσα ἐποίησε, ποιήσατε αὐτῇ. ὅτι πρὸς κύριον ἀντέστη θεὸν ἅγιον τοῦ ἰσραήλ. διὰ τοῦτο πεσοῦνται οἱ νεανίσκοι αὐτῆς ἐν ταῖς πλατείαις αὐτῆς. καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ αὐτῆς, ῥιφθήσονται εἶπε κύριος. ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν λέγει κύριος. ὅτι ἥκει ἡ ἡμέρα σου, καὶ ὁ καιρὸς ἐκδικήσεώς σου. καὶ ἀσθενήσει ἡ ὕβρις σου, καὶ πεσεῖται. καὶ οὐδεὶς ἔσται ὁ ἀνιστῶν αὐτήν. καὶ ἀνάψω πῦρ ἐν τῷ δρυμῷ αὐτῆς. Τάδε λέγει κύριος τῶν δυνάμεων καταδεδυνάστευνται οἱ υἱοὶ ἰσραήλ. καὶ οἱ υἱοὶ ἰούδα. ἅμα πάντες οἱ αἰχμαλωτεύσαντες αὐτούς, καὶ ἐδυνάστευσαν αὐτούς, ὅτι οὐκ ἠθέλησαν ἐξαποστεῖλαι αὐτούς. καὶ ὁ λυτρούμενος αὐτοὺς ἰσχυρὸς κύριος παντοκράτωρ, ὄνομα αὐτῷ. κρίσιν κρινεῖ πρὸς τοὺς ἀντιδίκους αὐτοῦ. ὅπως ἐξάρῃ τὴν γῆν. καὶ παροξυνεῖ τοῖς κατοικοῦσι βαβυλῶνα. μάχαιραν ἐπὶ τοὺς χαλδαίους, καὶ ἐπὶ τοὺς κατοικοῦντας βαβυλῶνα. καὶ ἐπὶ τοὺς μεγιστᾶνας αὐτῆς. καὶ ἐπὶ τοὺς συνετοὺς αὐτῆς. μάχαιρα ἐπὶ τοὺς μαχητὰς αὐτῆς. καὶ παραλυθήσονται μάχαιρα ἐπὶ τοὺς ἵππους αὐτῶν, καὶ ἐπὶ τὰ ἅρματα αὐτῶν. μάχαιρα ἐπὶ τοὺς μαχητὰς αὐτῶν, καὶ ἐπὶ τὸν σύμμικτον τὸν ἐν μέσῳ αὐτῆς. καὶ ἔσονται ὡσεὶ γυναῖκες μάχαιρα ἐπὶ τοὺς θησαυροὺς αὐτῆς. καὶ διασκορπισθήσονται ἐπὶ τῷ ὕδατι αὐτῆς. ᾧ ἐπεποίθει καὶ καταισχυνθήσονται ὅτι γῆ τῶν γλυπτῶν ἐστι, καὶ ἐν ταῖς νήσοις κατεκαυχῶντο. διὰ τοῦτο κατοικήσουσιν ἰνδάλματα ἐν ταῖς νήσοις. καὶ κατοικήσουσιν ἐν αὐτῇ θυγατέρες σειρήνων

οὐ μὴ κατοικηθῇ οὐκέτι εἰς τὸν αἰῶνα. καθὼς κατέστρεψεν ὁ θεὸς
σόδομα καὶ γόμορρα, καὶ τὰς ὁμορούσας αὐταῖς. εἶπε κύρι-
ος. οὐ μὴ κατοικήσει ἐκεῖ ἄνθρωπος. καὶ οὐ μὴ παροικήσει ἐκεῖ
υἱὸς ἀνθρώπου. ἰδοὺ λαὸς ἔρχεται ἀπὸ βορρᾶ. καὶ ἔθνος μέγα
καὶ βασιλεῖς πολλοὶ, ἐξεγερθήσονται ἀπ᾽ ἐσχάτου τῆς γῆς. τόξον
καὶ ἐγχειρίδιον ἔχοντες. ἰταμός ἐστι καὶ οὐ μὴ ἐλεήσῃ. ἡ φωνὴ
αὐτοῦ, ὡς θάλασσα ἠχήσει. ἐφ᾽ ἵπποις ἱππάσονται παρεσκευα-
σμένοι, ὥσπερ πῦρ εἰς πόλεμον. πρὸς σὲ θύγατερ βαβυλῶνος.
ἤκουσε βασιλεὺς βαβυλῶνος τὴν ἀκοὴν αὐτῶν, καὶ παρελύθη-
σαν αἱ χεῖρες αὐτοῦ. θλίψις κατεκράτησεν αὐτοῦ, ὠδῖνες ὡς
τικτούσης. ἰδοὺ ὥσπερ λέων ἀναβήσεται ἀπὸ τοῦ ἰορδάνου εἰς γα-
μάθ. ὅτι ταχέως ἐκδιώξω αὐτοὺς ἀπ᾽ αὐτῆς. καὶ πάντα νεανί-
σκον ἀπ᾽ αὐτῆς ἐπιστήσω. ὅτι τίς ὥσπερ ἐγὼ, καὶ τίς ἀντιστήσε-
ταί μοι. καὶ τίς οὗτος ποιμὴν ὃς στήσεται κατὰ πρόσωπόν μου.
διὰ τοῦτο ἀκούσατε τὴν βουλὴν κυρίου, ἣν βεβούλευται ἐπὶ βαβυ-
λῶνα. καὶ λογισμοὺς αὐτοῦ οὓς ἐλογίσατο ἐπὶ τοὺς κατοικοῦντας
χαλδαίους. ἐὰν μὴ διαφθαρῇ τὰ ἀρνία τῶν προβάτων αὐτῶν
ἐὰν μὴ ἀφανισθῇ νομὴ ἀπ᾽ αὐτῶν. ὅτι ἀπὸ φωνῆς ἁλώσεως βα-
βυλῶνος, σεισθήσεται ἡ γῆ. καὶ κραυγὴ ἐν ἔθνεσιν ἀκουσθήσεται.

Κεφάλαιον. να. 51.

Αδε λέγει κύριος. ἰδοὺ ἐγὼ ἐξεγείρω ἐπὶ βαβυλῶ-
τ να καὶ ἐπὶ τοὺς κατοικοῦντας χαλδαίους, ἄνεμον καὶ
καύσωνα διαφθείροντα. καὶ ἐξαποστελῶ εἰς βαβυ-
λῶνα ὑβριστὰς, καὶ καθυβρίσουσιν αὐτήν. καὶ λυμανοῦνται τὴν
γῆν αὐτῆς. οὐαὶ ἐπὶ βαβυλῶνα κυκλόθεν ἐν ἡμέρᾳ κακώσεως αὐ-
τῆς. ἐπ᾽ αὐτὴν τεινέτω ὁ τείνων τὸ τόξον αὐτοῦ, καὶ ἐπ᾽ αὐτὴν πε-
ριτιθέσθω ἅ ἐστιν ὅπλα αὐτῷ. καὶ μὴ φείσησθε ἐπὶ τοὺς νεανίσκους
αὐτῆς καὶ ἀφανίσατε πᾶσαν τὴν δύναμιν αὐτῆς. καὶ πεσοῦνται
τραυματίαι ἐν γῇ χαλδαίων. καὶ κατακεκεντημένοι ἔξωθεν αὐ-
τῆς. διότι οὐκ ἐχήρευσεν ἰσραὴλ. καὶ ἰούδας ἀπὸ κυρίου θεοῦ

αὐτῶν ἀπὸ κυρίου παντοκράτορος. ὅτι ἡ γῆ αὐτῶν, ἐπλήσθη ἀδι-
κίας ἀπὸ τῶν ἁγίων ἰσραήλ. φεύγετε ἐκ μέσου βαβυλῶνος, καὶ
ἀνασώζετε ἕκαστος τὴν ψυχὴν αὐτοῦ, καὶ μὴ ἀπορριφῆτε ἐν τῇ
ἀδικίᾳ αὐτῆς. ὅτι καιρὸς ἐκδικήσεως αὐτῆς ἐστὶ παρὰ κυρίου.
ἀνταπόδομα αὐτὸς ἀνταποδίδωσιν αὐτῇ. ποτήριον χρυσοῦν
βαβυλὼν ἐν χειρὶ κυρίου. μεθύσκον πᾶσαν τὴν γῆν ἀπὸ τοῦ οἴ-
νου αὐτῆς. καὶ ἐπίοσαν ἔθνη. διὰ τοῦτο ἐσαλεύθησαν. καὶ ἄφνω ἐπέ-
σε βαβυλὼν, καὶ συνετρίβη. θρηνεῖτε αὐτήν. λάβετε ῥητίνην τῇ
διαφθορᾷ αὐτῆς, ὅπως ἰαθήσεται. ἰατρεύσαμεν τὴν βαβυλῶνα
καὶ οὐκ ἰάθη. ἐγκαταλίπωμεν αὐτὴν, καὶ ἀπέλθωμεν ἕκαστος
εἰς τὴν γῆν αὐτοῦ, ὅτι ἤγγισεν εἰς οὐρανὸν τὸ κρίμα αὐτῆς. ἐξῆρεν
ἕως τῶν ἄστρων. ἐξήνεγκε κύριος τὸ κρίμα αὐτοῦ. δεῦτε, καὶ ἀν-
αγγείλωμεν εἰς σιὼν τὰ ἔργα κυρίου τοῦ θεοῦ ἡμῶν. παρασκευά-
ζετε τὰ τοξεύματα. πληροῦτε τὰς φαρέτρας. ἤγειρε κύριος τὸ πνεῦ-
μα βασιλέως μήδων. ὅτι εἰς βαβυλῶνα ἡ ὀργὴ αὐτοῦ τοῦ ἐξολο-
θρεῦσαι αὐτήν, ὅτι ἐκδίκησις κυρίου ἐστὶν, ἐκδίκησις λαοῦ αὐτοῦ
ἐστιν. ἐπὶ τειχέων βαβυλῶνος ἄρατε σημεῖον. ἐπιστήσατε φαρέ-
τρας. ἐγείρατε φυλακάς. ἑτοιμάσατε ὅπλα ὅτι ἐνεχείρησε. καὶ
ποιήσει κύριος ἃ ἐλάλησεν ἐπὶ τοὺς κατοικοῦντας βαβυλῶνα.
κατασκηνοῦντας ἐφ᾽ ὕδασι πολλοῖς. καὶ ἐπὶ πλήθει θησαυρῶν
αὐτῆς, ἥκει τὸ πέρας σου ἀληθῶς εἰς τὰ σπλάγχνα σου. ὅτι ὤμοσε
κύριος κατὰ τοῦ βραχίονος αὐτοῦ. διότι πληρώσω σε ἀνθρώπων
ὡσεὶ ἀκρίδων. καὶ φθέγγονται ἐπὶ σὲ οἱ καταβαίνοντες. κύριος
ποιῶν γῆν ἐν τῇ ἰσχύι αὐτοῦ. ἑτοιμάζων οἰκουμένην ἐν τῇ σοφίᾳ
αὐτοῦ. ἐν τῇ συνέσει αὐτοῦ ἐξέτεινε τὸν οὐρανὸν, εἰς φωνὴν ἔθετο
πλῆθος ἤχους ὕδατος ἐν οὐρανῷ. καὶ ἀνήγαγε νεφέλας ἐπ᾽ ἐ-
σχάτου τῆς γῆς. ἀστραπὰς εἰς ὑετὸν ἐποίησε. καὶ ἐξήγαγε φῶς ἐκ
τῶν θησαυρῶν αὐτοῦ. ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως.
κατησχύνθη πᾶς χρυσοχόος ἀπὸ τῶν γλυπτῶν αὐτοῦ, ὅτι ψευδῆ
ἐχώνευσαν. καὶ οὐκ ἔστι πνεῦμα ἐν αὐτοῖς. μάταιά ἐστιν ἔργα με-

μεμωκημένα. ἐν καιρῷ ἐπισκέψεως αὐτῶν ἀπολοῦνται. οὐ τοιαύτη μερὶς τοῦ ἰακώβ. ὅτι ὁ πλάσας τὰ πάντα, αὐτός ἐστι κληρονομία αὐτοῦ. κύριος ὄνομα αὐτῷ. διασκορπίζεις σύ μοι σκεύη πολέμου. καὶ διασκορπιῶ ἐν σοὶ ἔθνη καὶ ἐξαρῶ ἐκ σοῦ βασιλεῖς. καὶ διασκορπιῶ ἐν σοὶ ἵππον καὶ ἀναβάτην αὐτοῦ. καὶ διασκορπιῶ ἐν σοὶ ἅρματα καὶ ἀναβάτας αὐτῶν. καὶ διασκορπιῶ ἐν σοὶ νεανίσκον καὶ παρθένον, καὶ διασκορπιῶ ἐν σοὶ ποιμένας καὶ τὸ ποίμνιον αὐτοῦ, καὶ διασκορπιῶ ἐν σοὶ γεωργὸν, καὶ τὸ γεώργιον αὐτοῦ. καὶ διασκορπιῶ ἐν σοὶ ἡγεμόνας καὶ στρατηγούς σου. καὶ ἀνταποδώσω τῇ βαβυλῶνι. καὶ πᾶσι τοῖς κατοικοῦσι χαλδαίοις, καὶ πάσας τὰς κακίας αὐτῶν. ἃς ἐποίησαν ἐπὶ σιών. κατ' ὀφθαλμοὺς ὑμῶν λέγει κύριος. ἰδοὺ ἐγὼ πρὸς σὲ τὸ ὄρος τὸ διαφθαρμένον. τὸ διαφθεῖρον πᾶσαν τὴν γῆν. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σέ, καὶ κατακυλίσωσε ἀπὸ τῶν πετρῶν. καὶ δώσωσε ὡς ὄρος ἐμπυρισμένον, καὶ οὐ μὴ λάβωσιν ἀπὸ σοῦ λίθον εἰς γωνίαν καὶ λίθον εἰς θεμέλιον. ὅτι εἰς ἀφανισμὸν ἔσῃ εἰς τὸν αἰῶνα λέγει κύριος. Ἄρατε σημεῖον ἐπὶ τῆς γῆς. σαλπίσατε ἐν ἔθνεσι. σάλπιγγι ἁγιάσατε ἐπ' αὐτήν. ἔθνη παραγγείλατε ἐπ' αὐτήν. βασιλεῖς ἄρατε παρ' ἐμοῦ. καὶ τοῖς ἀχαναζέοις ἐπιστήσατε ἐπ' αὐτὴν βελοστάσεις. ἀναβιβάσατε ἐπ' αὐτὴν ἵππον, ὡς ἀκρίδων πλῆθος. ἀναβιβάσατε ἐπ' αὐτὴν ἔθνη, τὸν βασιλέα τῶν μήδων, καὶ πάσης τῆς γῆς τοὺς ἡγουμένους αὐτοῦ. καὶ πάντας τοὺς στρατηγοὺς αὐτοῦ. ἐσείσθη ἡ γῆ καὶ ἐπόνεσε. διότι ἐξανέστη ἐπὶ βαβυλῶνα λογισμὸς κυρίου. τοῦ θεῖναι τὴν γῆν βαβυλῶνος εἰς ἀφανισμόν. καὶ μὴ κατοικεῖσθαι αὐτήν. ἐξέλιπε μαχητὴς βαβυλῶνος τοῦ πολεμεῖν. καθήσονται ἐκεῖ ἐν περιοχῇ. ἐθραύσθη ἡ δυναστεία αὐτῶν. ἐγενήθησαν ὡσεὶ γυναῖκες. ἐνεπυρίσθη τὰ σκηνώματα αὐτῆς. συνετρίβησαν οἱ μοχλοὶ αὐτῆς, διώκων εἰς ἀπάντησιν διώκοντος διώξεται. καὶ ἀναγγέλλων εἰς ἀπάντησιν ἀναγγέλλοντος, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ βαβυλῶνος

ὅτι ἑάλωκεν ἡ πόλις αὐτοῦ ἐπ' ἐσχάτου τῶν διαβάσεων αὐτοῦ ἐλήφθησαν· καὶ τὰ συστήματα αὐτῶν ἐνέπρησαν ἐν πυρί. καὶ ἄνδρες αὐτοῦ οἱ πολεμισταὶ ἐξέρχονται. διότι τάδε λέγει κύριος· οἶκοι βασιλέως βαβυλῶνος· ὡς ἅλω ὥριμος ἀλοηθήσονται· ἔτι μικρόν· καὶ ἥξει ὁ ἀμητὸς αὐτῆς. κατέφαγέ με. ἐμερίσατό με. κατέλαβέ με σκότος λεπτὸν ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος. κατέπιέ με, ὡς δράκων, ἔπλησε τὴν κοιλίαν αὐτῆς ἀπὸ τῆς τρυφῆς μου. ἐξῶσάν με οἱ μόχθοι μου, καὶ αἱ ταλαιπωρίαι μου εἰς βαβυλῶνα ἐρεῖ κατοικοῦσα σιών. καὶ τὸ αἷμά μου ἐπὶ τοὺς κατοικοῦντας χαλδαίους ἐρεῖ ἱερουσαλήμ. διατοῦτο τάδε λέγει κύριος. ἰδοὺ ἐγὼ κρινῶ τὴν ἀντιδικίαν σου, καὶ ἐκδικήσω τὴν ἐκδίκησίν σου. καὶ ἐρημώσω τὴν θάλασσαν αὐτῆς. καὶ ξηρανῶ τὴν πηγὴν αὐτῆς. καὶ ἔσται βαβυλὼν εἰς ἀφανισμόν, καὶ οὐ κατοικηθήσεται. ὅτι ὡς λέοντες ἐξηγέρθησαν ἅμα. καὶ ὡς σκύμνοι λεόντων, ἐν τῇ θερμασίᾳ αὐτῶν. δώσω πότημα αὐτοῖς. καὶ μεθύσω αὐτούς, ὅπως καρωθῶσι, καὶ ὑπνώσωσιν ὕπνον αἰώνιον. καὶ οὐ μὴ ἐξεγερθῶσι λέγει κύριος. καὶ καταβίβασον αὐτούς, ὡς ἄρνας εἰς σφαγήν. καὶ ὡς κριοὺς μετ' ἐρίφων. πῶς ἑάλω, καὶ ἐθηρεύθη τὸ καύχημα πάσης τῆς γῆς. πῶς ἐγένετο βαβυλὼν, εἰς ἀφανισμὸν ἐν τοῖς ἔθνεσιν. ἀνέβη ἐπὶ βαβυλῶνα ἡ θάλασσα. ἐν ἤχῳ κυμάτων αὐτῆς, καὶ κατελήφθη. ἐγενήθησαν αἱ πόλεις αὐτῆς, ὡς γῆ ἄνυδρος καὶ ἄβατος. οὐ κατοικήσει ἐν αὐτῇ υἱὸς ἀνθρώπου οὐδὲ εἷς. οὐ δὲ μὴ καταλύσει ἐν αὐτῇ υἱὸς ἀνθρώπου. καὶ ἐκδικήσω ἐπὶ βαβυλῶνα. καὶ ἐξοίσω ἃ κατέπιεν ἐκ τοῦ στόματος αὐτῆς. καὶ οὐ μὴ συναχθῶσι πρὸς αὐτὴν ἔτι τὰ ἔθνη. καὶ ἐν βαβυλῶνι πεσοῦνται τραυματίαι πάσης τῆς γῆς. ἀνασωζόμενοι ἐκ γῆς πορεύεσθε καὶ μὴ ἵστασθε. οἱ μακρόθεν μνήσθητε τοῦ κυρίου. καὶ ἱερουσαλὴμ ἀναβήτω ἐπὶ τὴν καρδίαν ὑμῶν. ᾐσχύνθημεν, ὅτι ἠκούσαμεν ὀνειδισμὸν ἡμῶν. κατεκάλυψεν ἀτιμία τὸ πρόσωπον ἡμῶν. εἰσῆλθον ἀλλογενεῖς εἰς τὰ ἅγια ἡμῶν εἰς οἶκον κυρίου. διατοῦτο ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος. καὶ ἐκδικήσω ἐπὶ τὰ γλυπτὰ αὐτῆς

καὶ ἐν πάσῃ τῇ γῇ αὐτῆς, πεσοῦνται τραυματίαι. ὅτι ἐὰν ἀναβῇ βαβυλὼν, ὡς ὁ οὐρανός. καὶ ὅτι ἐὰν ὀχυρώσῃ ὕψος ἰσχύος αὐτῆς. παρ' ἐμοῦ ἥξουσιν ἐξολοθρεύοντες αὐτὴν λέγει κύριος. φωνὴ κραυγῆς ἐν βαβυλῶνι συντριβὴ μεγάλη. ἐν γῇ χαλδαίων. ὅτι ἐξωλόθρευσε κύριος τὴν βαβυλῶνα. καὶ ἀπώλεσεν ἀπ' αὐτῆς φωνὴν μεγάλην ὡς ἠχοῦσαν, ὡς ὕδατα πολλά. ἔδωκε εἰς ὄλεθρον φωνὴν αὐτῆς, ὅτι ἦλθεν ἐπὶ βαβυλῶνα ταλαιπωρία. ἑάλωσαν οἱ μαχηταὶ αὐτῆς. ἐπτόηται τὸ τόξον αὐτῶν ὅτι ὁ θεὸς ἀνταποδιδοὺς αὐτοῖς κύριος ἀνταποδίδωσιν. αὐτῇ τὴν ἀνταπόδοσιν. καὶ μεθύσει μέθῃ τοὺς ἡγουμένους αὐτῆς. καὶ τοὺς σοφοὺς αὐτῆς. καὶ τοὺς στρατηγοὺς αὐτῆς λέγει ὁ βασιλεὺς κύριος παντοκράτωρ ὄνομα αὐτῷ. τάδε λέγει κύριος τεῖχος βασιλέως βαβυλῶνος ἐπλατύνθη. κατασκαπτόμενον κατασκαφήσεται καὶ αἱ πύλαι αὐτῆς αἱ ὑψηλαὶ, ἐμπυρισθήσονται οὐ κοπιάσουσι λαοὶ εἰς κενόν. καὶ ἔθνη ἐν ἀρχῇ ἐκλείψουσιν. Ο λόγος ὃν ἐνετείλατο κύριος ἱερεμίᾳ τῷ προφήτῃ, εἰπεῖν τῷ σαραίᾳ υἱῷ, νηρείου υἱοῦ μαασαίου. ὅτε ἐπορεύετο παρὰ σεδεκίου βασιλέως ἰούδα εἰς βαβυλῶνα. Εν τῷ ἔτει τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ. καὶ σαραίας ἄρχων δώρων. καὶ ἔγραψεν ἱερεμίας ἅπαντα τὰ κακὰ ἃ ἥξει ἐπὶ βαβυλῶνα ἐν βιβλίῳ πάντας τοὺς λόγους τοὺς γεγραμμένους ἐπὶ βαβυλῶνα, καὶ εἶπεν ἱερεμίας πρὸς σαραίαν. ὅταν ἔλθῃς εἰς βαβυλῶνα, καὶ ὄψῃ καὶ ἀναγνώσῃ πάντας τοὺς λόγους τούτους. καὶ ἐρεῖς κύριε κύριε. σὺ ἐλάλησας ἐπὶ τὸν τόπον τοῦτον τοῦ ἐξολοθρεῦσαι αὐτὸν καὶ τοῦ μὴ εἶναι ἐν αὐτῷ κατοικοῦντας, ἀπὸ ἀνθρώπου ἕως κτήνους. ὅτι ἀφανισμὸς εἰς τὸν αἰῶνα ἔσται. καὶ ἔσται ὅταν παύσῃ τοῦ ἀναγινώσκειν τὸ βιβλίον τοῦτο. καὶ ἐπιδήσεις ἐπ' αὐτὸ λίθον. καὶ ῥίψεις αὐτὸ εἰς μέσον τοῦ εὐφράτου. καὶ ἐρεῖς. οὕτως καταλύσεται βαβυλὼν, καὶ οὐ μὴ ἀναστῇ ἀπὸ προσώπου τῶν χαλδαίων ὧν ἐγὼ ἐπάγω ἐπ' αὐτήν, ἐπὶ τοὺς ἀλλοφύλους.

Κεφάλαιον. νβ. 52.

Ος εἰκοσοῦ καὶ ἑνὸς ἔτους ἦν σεδεκίας. ἐν τῷ βα-
ἡ σιλεύειν αὐτόν. καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν ἱε-
ρουσαλήμ. καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ, ἀμεταὰλ θυγάτηρ ἱερεμίου, ἐκ λοβενά. καὶ ἐγένετο τῷ ἔτει τῷ ἐννάτῳ τῆς βασιλείας αὐτοῦ ἐν μηνὶ τῷ ἐννάτῳ, δεκάτῃ τοῦ μηνὸς ἦλθε ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος, καὶ πᾶσα ἡ δύναμις αὐτοῦ ἐπὶ ἱερουσαλήμ, καὶ περιεχαράκωσεν αὐτὴν, καὶ περιῳκοδόμησαν αὐτὴν τετραπόδοις λίθοις κύκλῳ. καὶ ἦλθεν ἡ πόλις εἰς συνοχὴν, ἕως ἐνδεκάτου ἔτους τῷ βασιλεῖ σεδεκίᾳ ἐν μηνὶ τῷ τετάρτῳ ἐν τῇ ἐννάτῃ τοῦ μηνὸς, καὶ ἐστερεώθη ὁ λιμὸς ἐν τῇ πόλει, καὶ οὐκ ἦσαν ἄρτοι τῷ λαῷ τῆς γῆς. καὶ διεκόπη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ, ἐξῆλθον νυκτὸς, κατὰ τὴν ὁδὸν τῆς πύλης, ἀνὰ μέσον τοῦ τείχους καὶ τοῦ προτειχίσματος. ὃ ἦν κατὰ τὸν κῆπον τοῦ βασιλέως. καὶ οἱ χαλδαῖοι ἐπὶ τῆς πόλεως κύκλῳ, καὶ ᾤχοντο εἰς ὁδὸν τὴν εἰς ἄραβα. καὶ κατεδίωξεν ἡ δύναμις τῶν χαλδαίων, ὀπίσω τοῦ βασιλέως, καὶ κατέλαβον αὐτὸν ἐν τῷ πέραν ἱεριχώ. καὶ πάντες οἱ παῖδες αὐτοῦ διεσπάρησαν ἀπ' αὐτοῦ. καὶ συνέλαβον τὸν βασιλέα, καὶ ἤγαγον αὐτὸν, πρὸς τὸν βασιλέα βαβυλῶνος, εἰς δεβλαθά. καὶ ἐλάλησεν αὐτῷ μετὰ κρίσεως. καὶ ἔσφαξε βασιλεὺς βαβυλῶνος τοὺς υἱοὺς σεδεκίου κατ' ὀφθαλμοὺς αὐτοῦ. καὶ πάντας τοὺς ἄρχοντας ἰούδα, ἔσφαξεν ἐν δεβλαθᾶ. καὶ τοὺς ὀφθαλμοὺς σεδεκίου ἐξετύφλωσε. καὶ ἔδησεν αὐτὸν ἐν πέδαις. καὶ ἤγαγεν αὐτὸν βασιλεὺς βαβυλῶνος εἰς βαβυλῶνα. καὶ ἔδωκεν αὐτὸν εἰς οἰκίαν μύλωνος, ἕως ἡμέρας ἧς ἀπέθανε. Καὶ ἐν μηνὶ πέμπτῳ δεκάτῃ τοῦ μηνὸς, ἦλθεν ναβουζαρδὰν ὁ ἀρχιμάγειρος ἑστηκὼς κατὰ πρόσωπον τοῦ βασιλέως βαβυλῶνος εἰς ἱερουσαλήμ. καὶ ἐνέπρησε τὸν οἶκον κυρίου. καὶ τὸν οἶκον τοῦ βασιλέως βαβυλῶνος. καὶ πάσας τὰς

οἰκίας πόλεως. καὶ πᾶσαν οἰκίαν μεγάλην, ἐνέπρησεν ἐν πυρί.
καὶ πᾶν τεῖχος ἱερουσαλὴμ, κύκλῳ καθεῖλεν ἡ δύναμις τῶν χαλ
δαίων. ἡ μετὰ τοῦ ἀρχιμαγείρου. καὶ τοὺς καταλοίπους τοῦ λαοῦ
κατέλιπεν ὁ ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς, καὶ εἰς γεωρ
γοὺς, καὶ τοὺς στύλους τοὺς χαλκοῦς τοὺς ἐν οἴκῳ κυρίου συνέ
τριψαν. καὶ τὰς βάσεις καὶ τὴν θάλασσαν τὴν χαλκῆν τὴν ἐν
οἴκῳ κυρίου, συνέτριψαν οἱ χαλδαῖοι. καὶ ἔλαβον τὸν χαλ
κὸν αὐτῶν. καὶ ἀπήνεγκαν εἰς βαβυλῶνα, καὶ τὴν στεφάνην. καὶ
τὰς φιάλας. καὶ πάντα τὰ σκεύη τὰ χαλκᾶ, ἐν οἷς ἐλειτούρ
γουν ἐν αὐτοῖς. καὶ τὰς ἀμφώθ. καὶ τὰς μασμαρώθ, καὶ τοὺς
ὑποχυτῆρας, καὶ τὰς λυχνίας. καὶ τὰς θυΐσκας. καὶ τοὺς κυά
θους, ἃ ἦν χρυσᾶ χρυσᾶ, καὶ ἃ ἦν ἀργυρᾶ ἀργυρᾶ. ἔλαβεν
ὁ ἀρχιμάγειρος. καὶ οἱ στύλοι δύο. καὶ ἡ θάλασσα μία. καὶ οἱ μό
σχοι δώδεκα χαλκοῖ ὑποκάτω τῆς θαλάσσης ἃ ἐποίησεν ὁ
βασιλεὺς σαλωμὼν, εἰς οἶκον κυρίου, οὗ οὐκ ἦν σταθμὸς τοῦ χαλ
κοῦ αὐτοῦ. καὶ οἱ στύλοι τριακονταπέντε πήχεων ὕψος τοῦ στύ
λου τοῦ ἑνός. καὶ σπαρτίον δωδεκάπηχυ, κύκλου αὐτοῦ. καὶ τὸ
πάχος αὐτοῦ, δακτύλων τεσσάρων κύκλῳ. καὶ γεῖσος ἐπ' αὐ
τοῖς χαλκοῦν. καὶ πέντε πήχεων τὸ μῆκος. ὑπεροχὴ τοῦ γεί
σους, τοῦ ἑνός. καὶ δίκτυον, καὶ ῥοαί. καὶ ἐπὶ τοῦ γεί
σους, κύκλῳ πάντα χαλκᾶ, καὶ κατὰ ταῦτα τῷ στύλῳ τῷ δευ
τέρῳ, ὀκτὼ ῥοαὶ τῷ πήχει τοῖς δώδεκα πήχεσι. καὶ ἦ
σαν αἱ ῥοαὶ, ἐννενηκονταὲξ τὸ ἓν μέρος. καὶ ἦσαν αἱ πᾶ
σαι ῥοαὶ, ἑκατὸν ἐπὶ τοῦ δικτύου κύκλῳ, καὶ ἔλαβεν ὁ ἀρ
χιμάγειρος, τὸν ἱερέα τὸν πρῶτον τὸν σοφονίαν. καὶ τὸν ἱερέα τὸν
δεύτερον. καὶ τοὺς τρεῖς τοὺς φυλάττοντας τὴν ὁδὸν καὶ ἐκ τῆς
πόλεως ἔλαβεν εὐνοῦχον ἕνα. ὃς ἦν ἐπιστάτης τῶν ἀνδρῶν τῶν
πολεμιστῶν. καὶ ἑπτὰ ἄνδρας ὀνομαστοὺς, τοὺς ἐν προσώπῳ τοῦ
βασιλέως, τοὺς εὑρεθέντας ἐν τῇ πόλει. καὶ τὸν γραμματέα
τῶν δυνάμεων. τὸν γραμματεύοντα τῷ λαῷ, πάσης τῆς γῆς.

καὶ ἑξήκοντα ἀνθρώπους ἐκ τοῦ λαοῦ τῆς γῆς, τοὺς εὑρεθέντας ἐν μέσῳ τῆς πόλεως. καὶ ἔλαβεν αὐτοὺς ναβουζαρδὰν τοῦ βασιλέως ὁ ἀρχιμάγειρος. καὶ ἤγαγεν αὐτοὺς πρὸς βασιλέα βαβυλῶνος εἰς δεβλαθά. ἐν γῇ ἡμάθ. καὶ ἐπάταξεν αὐτοὺς βασιλεὺς βαβυλῶνος ἐν δεβλαθᾶ, ἐν γῇ αἱμάθ. καὶ ἐγένετο ἐν τῷ τριακοστῷ, καὶ ἑβδόμῳ ἔτει ἀποικισθέντος τοῦ ἰωακεὶμ βασιλέως ἰούδα, ἐν τῷ δωδεκάτῳ μηνὶ ἐν τῇ τετράδι, καὶ εἰκάδι τοῦ μηνὸς, ἔλαβεν οὐαλεβαρδὰχ βασιλεὺς βαβυλῶνος, ἐν τῷ ἐνιαυτῷ. ᾧ ἐβασίλευσε τὴν κεφαλὴν ἰωακεὶμ βασιλέως ἰούδα. ἐν τῷ δεκάτῳ μηνὶ ἐν τῇ τετράδι καὶ εἰκάδι τοῦ μηνὸς. καὶ ἐξήγαγεν αὐτὸν ἐξ οἰκίας οὗ ἐφυλάττετο, καὶ ἐλάλησεν αὐτῷ χρηστὰ καὶ ἔδωκε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν βασιλέων τῶν μετ᾽ αὐτοῦ ἐν βαβυλῶνι. καὶ ἤλλαξε τὴν στολὴν τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον διαπαντὸς, κατὰ πρόσωπον αὐτοῦ πάσας τὰς ἡμέρας ἃς ἔζησε. καὶ ἡ σύνταξις αὐτῷ ἐδίδοτο διαπαντὸς παρὰ τοῦ βασιλέως βαβυλῶνος. ἐξ ἡμέρας εἰς ἡμέραν, ἕως ἡμέρας οὗ ἀπέθανεν.

## ΤΕΛΟΣ ΤΟΥ ΙΕΡΕΜΙΟΥ.

# ΘΡΗΝΟΙ ΙΕΡΕΜΙΟΥ.

Κεφ. α. 1.

Αὶ ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι
τὸν ἰσραὴλ, καὶ ἱερουσαλὴμ ἐρημωθῆ-
ναι, ἐκάθισεν ἱερεμίας κλαίων, καὶ
κ ἐθρήνησε τὸν θρῆνον τοῦτον ἐπὶ ἱερου-
σαλήμ. καὶ εἶπεν.

א Πῶς ἐκάθισε μόνη ἡ πόλις
ἡ πεπληθυσμένη λαῶν. ἐγενήθη ὡς χή-
ρα. πεπληθυσμένη ἐν ἔθνεσιν. ἄρχουσα ἐν χώραις ἐγενήθη
εἰς φόρον.

ב Κλαίουσα ἔκλαυσεν ἐν νυκτί. καὶ τὰ δάκρυα αὐτῆς
ἐπὶ τῶν σιαγόνων αὐτῆς, καὶ οὐχ ὑπῆρχεν ὁ παρακαλῶν αὐ-
τὴν, ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν. πάντες οἱ φιλοῦν-
τες αὐτὴν, ἠθέτησαν αὐτὴν ἐγένοντο αὐτῇ εἰς ἐχθρούς.

ג Μετῳκίσθη ἰουδαία, ἀπὸ ταπεινώσεως αὐτῆς, καὶ ἀ-
πὸ πλήθους δουλείας αὐτῆς. ἐκάθισεν ἐν ἔθνεσι. οὐχ εὗρεν
ἀνάπαυσιν. πάντες, οἱ καταδιώκοντες αὐτὴν. κατέλαβον
αὐτὴν ἀνὰ μέσον τῶν θλιβόντων.

ד Ὁδοὶ σιὼν πενθοῦσι, παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν
ἑορτῇ, πᾶσαι αἱ πύλαι αὐτῆς ἠφανισμέναι. ἱερεῖς αὐτῆς ἀνα-
στενάζουσιν. παρθένοι αὐτῆς ἀγόμεναι. καὶ αὕτη ἡ πικραινο-
μένη ἐν ἑαυτῇ.

ה Ἐγένοντο οἱ θλίβοντες αὐτὴν, εἰς κεφαλήν. καὶ οἱ ἐ-
χθροὶ αὐτῆς εὐθηνοῦσαν. ὅτι κύριος ἐταπείνωσεν αὐτὴν ἐπὶ τὸ

πλῆθος τῶν ἀσεβειῶν αὐτῆς. τὰ νήπια αὐτῆς ἐπορεύθησαν ἐν αἰ-
χμαλωσίᾳ κατὰ πρόσωπον θλίβοντος.

ו Καὶ ἐξήρθη ἐκ θυγατρὸς σιὼν πᾶσα ἡ εὐπρέπεια αὐ-
τῆς ἐγένοντο οἱ ἄρχοντες αὐτῆς, ὡς κριοὶ οὐχ εὑρίσκοντες νο-
μήν. καὶ ἐπορεύοντο ἐν οὐκ ἰσχύϊ κατὰ πρόσωπον διώκοντος.

ז Ἐμνήσθη ἱερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς, καὶ
ἀπωσμῶν αὐτῆς, πάντα τὰ ἐπιθυμήματα αὐτῆς, ὅσα ἦν ἐξ ἡ-
μερῶν ἀρχαίων. ἐν τῷ πεσεῖν τὸν λαὸν αὐτῆς εἰς χεῖρας θλί-
βοντος. καὶ οὐκ ἦν ὁ βοηθῶν αὐτῇ ἰδόντες οἱ ἐχθροὶ αὐτῆς,
ἐγέλασαν ἐπὶ τῇ μετοικεσίᾳ αὐτῆς.

ח Ἁμαρτίαν ἥμαρτεν ἱερουσαλήμ, διὰ τοῦτο εἰς σάλον
ἐγένετο. πάντες οἱ δοξάζοντες αὐτήν, ἐταπείνωσαν αὐτήν,
εἶδον γὰρ τὴν ἀσχημοσύνην αὐτῆς. καί γε αὐτὴ στενάζουσα,
καὶ ἀπεστράφη εἰς τὰ ὀπίσω.

ט Ἀκαθαρσία αὐτῆς πρὸς πυλῶν αὐτῆς οὐκ ἐμνήσθη ἔσχα-
τα αὐτῆς, κατεβίβασεν ὑπέρογκα. οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν.
ἴδε κύριε τὴν ταπείνωσίν μου, ὅτι ἐμεγαλύνθη ὁ ἐχθρός.

י Χεῖρα αὐτοῦ ἐξεπέτασεν ὁ θλίβων ἐπὶ πάντα τὰ ἐπιθυ-
μήματα αὐτῆς. εἶδε γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ ἁγίασμα αὐτῆς ἃ
ἐνετείλω αὐτὰ μὴ εἰσελθεῖν αὐτὰ εἰς ἐκκλησίαν σου.

כ Πᾶς ὁ λαὸς αὐτῆς καταστενάζοντες ζητοῦντες ἄρτον. ἔ-
δωκαν τὰ ἐπιθυμήματα αὐτῆς ἐν βρώσει, τοῦ ἐπιστρέψαι ψυ-
χήν. ἴδε κύριε καὶ ἐπίβλεψον. ὅτι ἐγενήθη ἠτιμωμένη.

ל Οἱ πρὸς ὑμᾶς πάντες παραπορευόμενοι ὁδὸν ἐπι-
στρέψατε καὶ ἴδετε εἰ ἔστιν ἄλγος κατὰ τὸ ἄλγος μου, ὃ ἐγενήθη
φθεγξάμενος ἐν ἐμοί. ἐταπείνωσέ με κύριος ἐν ἡμέρᾳ ὀργῆς
θυμοῦ αὐτοῦ.

מ Ἐξ ὕψους αὐτοῦ ἀπέστειλε πῦρ ἐν τοῖς ὀστέοις μου κατήγα-
γεν αὐτό. διεπέτασε δίκτυον τοῖς ποσί μου. ἀπέστρεψέ με εἰς
τὰ ὀπίσω. ἔδωκέ με κς ἠφανισμένην ὅλην τὴν ἡμέραν ὀδυ-
νωμένην.

נ Ἐγρηγορήθη ἐπὶ τὰ ἀσεβήματά μου. ἐν χερσί μου συνεπλάκησαν ἀνέβησαν ἐπὶ τὸν τράχηλόν μου, ἠσθένησε ἡ ἰσχύς μου ὅτι ἔδωκε κύριος ἐν χερσί μου ὀδύνας, οὐ δυνήσομαι στῆναι.

ס Ἐξῆρε πάντας τοὺς ἰσχυρούς μου ὁ κύριος ἐκ μέσου μου ἐκάλεσεν ἐπ᾽ ἐμὲ καιρὸν τοῦ συντρίψαι ἐκλεκτούς μου. ληνὸν ἐπάτησε κύριος παρθένῳ θυγατρὶ Ἰούδα. ἐπὶ τούτοις ἐγὼ κλαίω.

ע Ὁ ὀφθαλμός μου κατήγαγεν ὕδωρ, ὅτι ἐμακρύνθη ἀπ᾽ ἐμοῦ, ὁ παρακαλῶν με. ὁ ἐπιστρέφων ψυχήν μου. ἐγένοντο οἱ υἱοί μου ἠφανισμένοι. ὅτι ἐκραταιώθη ὁ ἐχθρός.

פ Διεπέτασε Σιὼν χεῖρα αὐτῆς. οὐκ ἔστιν ὁ παρακαλῶν αὐτήν. ἐνετείλατο κύριος τῷ Ἰακώβ. κύκλῳ αὐτοῦ οἱ θλίβοντες αὐτόν. ἐγενήθη Ἱερουσαλὴμ εἰς ἀποκαθημένην ἀνὰ μέσον αὐτῶν.

צ Δίκαιός ἐστι κύριος, καὶ τὸ στόμα αὐτοῦ παρεπίκρανα. ἀκούσατε δὴ πάντες οἱ λαοὶ καὶ ἴδετε τὸ ἄλγος μου. παρθένοι μου, καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ.

ק Ἐκάλεσα γὰρ τοὺς ἐραστάς μου. αὐτοὶ δὲ παρελογίσαντό με. οἱ ἱερεῖς μου, καὶ οἱ πρεσβύτεροί μου, ἐν τῇ πόλει ἐξέλιπον. ὅτι ἐζήτησαν βρῶσιν αὐτοῖς, ἵνα ἐπιστρέψωσι ψυχὰς αὐτῶν, καὶ οὐκ εὗρον.

ר Ἴδε κύριε, ὅτι θλίβομαι ἡ κοιλία μου ἐταράχθη. καὶ ἡ καρδία μου ἐστράφη ἐν ἐμοί. ὅτι παραπικραίνουσα, παρεπίκρανα ἔξωθεν. ἠτέκνωσέ με μάχαιρα, ὥσπερ θάνατος ἐν οἴκῳ.

ש Ἀκούσατε δὴ ὅτι στενάζω ἐγώ. οὐκ ἔστιν ὁ παρακαλῶν με. πάντες οἱ ἐχθροί μου ἤκουσαν τὰ κακά μου, καὶ ἐχάρησαν. ὅτι σὺ ἐποίησας. ἐπήγαγες ἡμέραν, ἐκάλεσας καιρόν. ἐγένοντό μοι οἴμοι, οἴμοι.

ת Εἰσέλθοι πᾶσα ἡ καρδία αὐτῶν, κατὰ πρόσωπόν σου. καὶ ἐπιφύλλισον αὐτοῖς, ὃν τρόπον ἐποίησαν ἐπιφυλλίδα

περὶ πάντων τῶν ἁμαρτημάτων μου. ὅτι πολλοὶ οἱ στεναγμοί
μου, καὶ καρδία μου λυπεῖται. Κεφ. β. 2,

א Πῶς ἐγνόφωσεν ἐν ὀργῇ αὐτοῦ κύριος τὴν θυγα-
τέρα σιὼν κατέῤῥιψεν ἐξ οὐρανοῦ εἰς γῆν δόξασμα ἰσραήλ.
καὶ οὐκ ἐμνήσθη ὑποποδίου ποδῶν αὐτοῦ.

ב Ἐν ἡμέρᾳ ὀργῆς θυμοῦ αὐτοῦ κατεπόντισε κύριος.
οὐ φεισάμενος. πάντα τὰ ὡραῖα ἰακώβ. καθεῖλεν ἐν θυ-
μῷ αὐτοῦ. τὰ ὀχυρώματα τῆς θυγατρὸς ἰούδα. ἐκολλή-
θη εἰς τὴν γῆν. ἐβεβήλωσεν βασιλείαν αὐτῆς καὶ ἄρχον-
τα αὐτῆς.

ג Συνέκλασεν ἐν ὀργῇ θυμοῦ αὐτοῦ, πᾶν κέρας ἰσρα-
ήλ. ἀπέστρεψεν εἰς τὰ ὀπίσω δεξιὰν αὐτοῦ ἀπὸ προσώπου ἐ-
χθροῦ. καὶ ἀνῆψεν ἐν ἰακὼβ ὡς πῦρ φλόγα, καὶ κατέφαγεν
αὐτῆς πάντα τὰ κύκλῳ.

ד Ἐνέτεινε τόξον αὐτοῦ, ὡς ἐχθρὸς ἐστερέωσε δεξιὰν αὐ-
τοῦ. ὡς ὑπεναντίος, καὶ ἀπέκτεινε πάντα τὰ ἐπιθυμήματα
τῶν ὀφθαλμῶν μου ἐν σκηνῇ θυγατρὸς σιών. ἐξέχεεν ὡς πῦρ
τὸν θυμὸν αὐτοῦ.

ה Ἐγενήθη κύριος ὡς ἐχθρός. κατεπόντισεν ἰσραήλ.
κατεπόντισε πάσας τὰς βάρεις αὐτοῦ. διέφθειρε τὰ ὀχυρώμα-
τα αὐτοῦ. καὶ ἐπλήθυνε τῇ θυγατρὶ ἰούδα ταπεινουμένην καὶ
τεταπεινωμένην.

ו Καὶ διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ διέ-
φθειρεν ἑορτὴν αὐτοῦ. ἐπελάθετο κύριος. ἃ ἐποίησεν ἐν σι-
ὼν ἑορτῆς, καὶ σαββάτου. καὶ παρώξυνεν ἐμβριμήματι ὀρ-
γῆς αὐτοῦ βασιλέα καὶ ἱερέα. καὶ ἄρχοντα.

ז Ἀπώσατο κύριος, θυσιαστήριον αὐτοῦ. ἀπετίναξεν ἁγία-
σμα αὐτοῦ. συνέτριψεν ἐν χειρὶ ἐχθροῦ, τεῖχος βάρεων αὐτῆς
φωνὴν ἔδωκαν πολέμου ἐν οἴκῳ κυρίου ὡς ἐν ἡμέρᾳ ἑορτῆς.

ח Ἐλογίσατο κύριος τοῦ διαφθεῖραι τεῖχος θυγατρὸς σιών.

τεῖχος θυγατρὸς σιὼν ἐξέτεινε μέτρον. οὐκ ἀπέστρεψε χεῖρα αὐτοῦ
ἀπὸ καταπατήματος. καὶ ἐπένθησε τὸ προτείχισμα. καὶ τὸ τεῖ-
χος ὁμοθυμαδὸν ἠσθένησε.
ט Ἐνεπάγησαν εἰς τὴν γῆν πύλαι αὐτῆς. ἀπώλεσε καὶ
συνέτριψαν αὐτῆς μοχλοὺς βασιλέα αὐτῆς, καὶ ἄρχοντα αὐτῆς
ἐν τοῖς ἔθνεσιν. οὐκ ἔστι νόμος καίγε προφήτης. οὐκ εἶδον ὅρασιν
παρὰ κυρίου.
י Ἐκάθισαν εἰς τὴν γῆν, ἐσιώπησαν πρεσβύτεροι θυγα-
τρὸς σιών. ἀνεβίβασαν χοῦν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. περιεζώ-
σαντο σάκκους. κατήγαγον εἰς γῆν ἀρχηγοὺς παρθένους ἐν ἱε-
ρουσαλήμ.
כ Ἐξέλιπον ἐν δάκρυσιν οἱ ὀφθαλμοί μου. ἐταράχθη ἡ
καρδία μου. ἐξεχύθη εἰς τὴν γῆν ἡ δόξα μου. ἐπὶ τὸ σύντριμμα
τῆς θυγατρὸς τοῦ λαοῦ μου. ἐν τῷ ἐκλείπειν νήπιον καὶ θηλάζοντα
ἐν πλατείαις πόλεως.
ל Ταῖς μητράσιν αὐτῶν εἶπον. ποῦ σῖτος καὶ οἶνος ἐν τῷ
ἐκλύεσθαι αὐτοὺς. ὡς τραυματίας ἐν πλατείαις πόλεως ἐν τῷ ἐκ-
χεῖσθαι τὰς ψυχὰς αὐτῶν. εἰς κόλπον μητέρων αὐτῶν.
מ Τί μαρτυρήσω σοι, ἢ τί ὁμοιώσω σοι θύγατερ ἱερουσα-
λήμ. τίς σώσει σε καὶ τίς παρακαλέσει σε παρθένος θύγατερ
σιών. ὅτι ἐμεγαλύνθη ποτήριον συντριβῆς σου, τίς ἰάσεταί σε.
נ Προφῆταί σου εἴδοσάν σοι μάταια καὶ ἀφροσύνην. καὶ
οὐκ ἀπεκάλυψαν ἐπὶ τὴν ἀδικίαν σου. τοῦ ἐπιστρέψαι αἰχμαλω-
σίαν σου. καὶ εἴδοσάν σοι λήμματα καὶ μάταια ἐξώσματα.
ס Ἐκρότησαν ἐπὶ σὲ χεῖρας πάντες οἱ παραπορευόμε-
νοι ὁδόν. ἐσύρισαν καὶ ἐκίνησαν τὴν κεφαλὴν αὐτῶν ἐπὶ τὴν
θυγατέρα ἱερουσαλήμ. εἰ αὕτη ἡ πόλις ἐροῦσι στέφανος δόξης εὐ-
φροσύνης πάσης τῆς γῆς.
ע Διήνοιξαν ἐπὶ σὲ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου.
ἐσύρισαν καὶ ἔβρυξαν ὀδόντας. καὶ εἶπον καταπίομεν αὐτόν.

πλὴν αὕτη ἡ ἡμέρα ἣν προσεδοκῶμεν· εὕρομεν αὐτὴν εἴδομεν.

פ Ἐποίησε κύριος ἃ ἐνεθυμήθη· συνετέλεσε ῥῆμα αὐτοῦ· ὃ ἐνετείλατο ἐξ ἡμερῶν ἀρχαίων· καθεῖλε, καὶ οὐκ ἐφείσατο· καὶ ηὔφρανεν ἐπὶ σὲ ἐχθρόν· ὕψωσε κέρας θλιβόντων σε.

צ Ἐβόησε καρδία αὐτῶν πρὸς κύριον· τείχη σιὼν, καταγαγέτω ὡς χειμάῤῥους· δάκρυα ἡμέρας, καὶ νυκτός· καὶ δῷς ἔκνηψιν σεαυτῇ μηδὲ σιωπησάτω κόρη ὀφθαλμῶν σου.

ק Ἀνάστηθι ἀγαλλίασαι ἐν νυκτὶ εἰς ἀρχὰς φυλακῆς σου· ἔκχεον ὡς ὕδωρ καρδίαν σου ἀπέναντι προσώπου κυρίου· ἆρον πρὸς αὐτὸν χεῖράς σου περὶ ψυχῶν νηπίων σου τῶν ἐκλυομένων λιμῷ ἀπ' ἀρχῆς πασῶν ἐξόδων.

ר Ἴδε κύριε καὶ ἐπίβλεψον· τίνι ἐπεφύλλισας οὕτως· εἰ φάγονται γυναῖκες καρπὸν κοιλίας αὐτῶν ἐπιφυλλίδα ἐποίησε μάγειρος· φονευθήσονται νήπια θηλάζοντα μαστούς· εἰ ἀποκτενεῖς ἐν ἁγιάσματι κυρίου ἱερέα, καὶ προφήτην.

ש Ἐκοιμήθησαν εἰς τὴν ἐξόδων, παιδάριον· καὶ πρεσβύτης· παρθένοι μου καὶ νεανίσκοι μου ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ, ἀπέκτεινας ἐν ἡμέρᾳ ὀργῆς σου ἐμαγείρευσας οὐκ ἐφείσω.

ת Ἐκάλεσας ὡς εἰς ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν· καὶ οὐκ ἐγένοντο ἐν ἡμέρᾳ ὀργῆς κυρίου ἀνασωζόμενος· καὶ καταλελειμμένος ὡς ἐπεκράτησα, καὶ ἐπλήθυνα ἐχθρούς μου πάντας.

Κεφ. γ. 3.

א Ἐγὼ ἀνὴρ ὁ βλέπων πτωχείαν τῇ ῥάβδῳ θυμοῦ αὐτοῦ ἐπ' ἐμέ. א Παρέλαβέ με καὶ ἀπήγαγέ με εἰς σκότος, καὶ οὐ φῶς. א Πλὴν ἐν ἐμοὶ ἐπέστρεψε χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν.

ב ἐπαλαίωσε σάρκα μου καὶ δέρμα μου· ὀστέα μου συνέ-

τριψεν. ב Ἐν ῳκοδόμησε κατ' ἐμοῦ. καὶ ἐκύκλωσε κεφα-
λήν μου. καὶ ἐμόχθησαν ἐν σκοτεινοῖς. ב Ἐκάθισέ με ἐν
νεκροῖς αἰῶνος.

ג Ἀνῳκοδόμησε κατ' ἐμοῦ, καὶ οὐκ ἐξελεύσομαι. ἐβά-
ρυνε χαλκόν μου. ג Καί γε ὅτι κεκράξομαι καὶ βοήσω.
ἀπέφραξε προσευχήν μου. ג Ἀνῳκοδόμησεν ὁδούς
μου. ἐνέφραξε τρίβους μου. ἐτάραξεν.

ד Ἄρκος ἐνεδρεύουσα. αὐτός μοι ὡς λέων ἐν κρυφαίοις.
ד Κατεδίωξεν ἀφεστηκότα, καὶ κατέπαυσέ με. ἔθετό με ἠ-
φανισμένην. ד Ἐνέτεινε τόξον αὐτοῦ καὶ ἐστήλωσέ με ὡς
σκοπὸν εἰς βέλος.

ה Εἰσήγαγεν ἐν τοῖς νεφροῖς μου. ἰοὺς φαρέτρας αὐτοῦ.
ה ἐγενήθη λόγος παντὶ λαῷ μου. ψαλμὸς αὐτῶν ὅλην τὴν
ἡμέραν. ה Ἐχόρτασέ με πικρίας. ἐμέθυσέ με χολῆς.
ו Καὶ ἐξέβαλε ψήφῳ ὀδόντας μου. ἐψώμισέ με σπο-
δόν. ו Καὶ ἀπώσατο ἐξ εἰρήνης ψυχήν μου, ἐπελαθόμην
ἀγαθά. ו Καὶ εἶπα ἀπώλετο νῖκος μου. καὶ ἡ ἐλπίς μου ἀ-
πὸ κυρίου.

ז Ἐμνήσθην ἀπὸ πτωχείας μου. καὶ ἐκ διωγμοῦ. πικρίας μου
καὶ χολῆς. ז Μνείᾳ μνησθήσομαι. καὶ καταδολεσχήσει
ἐπ' ἐμὲ ἡ ψυχή μου. ז Ταύτην τάξω εἰς τὴν καρδίαν μου
διὰ τοῦτο ὑπομενῶ.

ח Τὰ ἐλέη κυρίου. ὅτι οὐκ ἐξέλιπέ με. ὅτι οὐ συντελέ-
σθησαν οἱ οἰκτιρμοὶ αὐτοῦ. ח Μῆνας εἰς τὰς πρωΐας ἐλέη-
σον κύριε. ὅτι συντελέσθημεν ὅτι συντελέσθησαν οἱ οἰκτιρμοὶ
αὐτοῦ καινὰ εἰς τὰς πρωΐας. πολλὴ ἡ πίστις σου. ח Μερίς
μου καὶ εἶπεν ἡ ψυχή μου, διὰ τοῦτο ὑπομενῶ αὐτῷ.

ט Ἀγαθὸς κύριος τοῖς ὑπομένουσιν αὐτὸν, ψυχῇ ἣ ζητή-
σει αὐτὸν ἀγαθόν. ט Καὶ ὑπομενεῖ καὶ ἡσυχάσει εἰς τὸ
σωτήριον τοῦ θεοῦ. ט Ἀγαθὸν ἀνδρὶ. ὅταν ἄρῃ ζυγὸν, ἐκ
νεότητος αὐτοῦ.

י Καθήσεται κατὰ μόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ'
ἑαυτῷ. י Δώσει τῷ παίοντι αὐτὸν σιαγόνα· χορτασθήσε-
ται ὀνειδισμῶν. ὅτι εἰς τὸν αἰῶνα οὐκ ἀπώσεται κύριος.
כ Ὅτι ὁ ταπεινώσας οἰκτηρίσει· καὶ κατὰ τὸ πλῆθος τοῦ
ἐλέους αὐτοῦ. כ Καὶ οὐκ ἀπεκρίθη ἀπὸ καρδίας αὐτοῦ· καὶ
ἐταπείνωσεν υἱοὺς ἀνδρας.
ל Τοῦ ταπεινῶσαι ὑπὸ τοὺς πόδας αὐτοῦ πάντας δεσμί-
ους γῆς. ל Τοῦ ἐκκλῖναι κρίσιν ἀνδρός. κατέναντι προ-
σώπου ὑψίστου. ל καταδικάσαι ἄνθρωπον ἐν τῷ κρίνεσθαι
αὐτόν, κύριος οὐκ εἶπε.
מ Τίς οὕτως εἶπε, καὶ ἐγενήθη κύριος οὐκ ἐνετείλατο.
מ Ἐκ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.
מ Εἰ γογγίσει ἄνθρωπος ζῶν ἀνὴρ περὶ τῆς ἁμαρτίας αὐτοῦ.
נ Ἐξηρευνήθη ἡ ὁδὸς ἡμῶν καὶ ἠτάσθη· καὶ ἐπιστρέψω-
μεν ἕως κυρίου. נ Ἀναλάβωμεν καρδίας ἡμῶν ἐπὶ χειρῶν
ἡμῶν· ἐν οὐρανῷ. נ Ἡμαρτήσαμεν, ἠσεβήσαμεν καὶ οὐχ
ἱλάσθης.

ס Ἀπεσκέπασας ἐν θυμῷ, καὶ ἀπεδίωξας ἡμᾶς· ἀπέ-
κτεινας καὶ οὐκ ἐφείσω. ס Ἐπεσκέπασας νεφέλην ἐν σε-
αυτῷ ἕνεκεν προσευχῆς, καμμύσαι με, καὶ ἀποστῆναι. ס
ἔθηκας ἡμᾶς ἐν μέσῳ τῶν λαῶν.
פ Διήνοιξαν ἐφ' ἡμᾶς τὸ στόμα αὐτῶν πάντες οἱ ἐχθροὶ
ἡμῶν. פ Φόβος, καὶ θάμβος ἐγενήθη ἡμῖν· ἔπαρσις καὶ
συντριβή. פ Ἀφέσεις ὑδάτων κατ' ὀφθαλμούς μου· ἐπὶ τὸ
σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου.
ע Ὁ ὀφθαλμός μου κατεπόθη· καὶ οὐ σιγήσομαι τοῦ μὴ
εἶναι ἔκνηψιν. ע Ἕως οὗ διακύψει καὶ ἴδῃ κύριος ἐξ οὐρα-
νοῦ. ע Ὁ ὀφθαλμός μου ἐπιφυλλιεῖ ἐπὶ τὴν ψυχήν μου.
παρὰ πάσας θυγατέρας πόλεως.
צ Θηρεύοντες ἐθήρευσάν με ὡς στρουθίον· πάντες οἱ ἐ-

ἐχθροί μου δωρεάν. צ Ἐθανάτωσαν, ἐν λάκκῳ ζωήν μου·
καὶ ἐπέθηκαν λίθον ἐπ' ἐμοί. צ Ὑπερεχύθη ὕδωρ ἐπὶ τὴν
κεφαλήν μου. εἶπα ἀπῶσμαι.

ק Ἐπεκαλεσάμην τὸ ὄνομά μου. κύριε ἐκ λάκκου κατω-
τάτου. ק Φωνῆς μου εἰσήκουσας. μὴ κρύψῃς τὰ ὦτά σου εἰς
τὴν δέησίν μου. ק Εἰς τὴν βοήθειάν μου ἤγγισας. ἐν ἡμέ-
ρᾳ ᾗ ἐπεκαλεσάμην σε, εἶπάς μοι μὴ φοβοῦ.

ר Ἐδίκασας κύριε πάσας τὰς δίκας τῆς ψυχῆς μου. ἐλυ-
τρώσω τὴν ζωήν μου. ר Ἴδες κύριε τὰς ταραχάς μου ἔκρι-
νας τὴν κρίσιν μου. ר Εἶδες πᾶσαν τὴν ἐκδίκησιν αὐτῶν,
καὶ πάντας διαλογισμοὺς ἐν ἐμοί.

ש Ἤκουσας τὸν ὀνειδισμὸν αὐτῶν πάντας τοὺς διαλογι-
σμοὺς αὐτῶν κατ' ἐμοῦ. ש Χείλη ἐπανισταμένων μοι. καὶ
μελέτας αὐτῶν κατ' ἐμοῦ ὅλην τὴν ἡμέραν. ש Καθέ-
δραν αὐτῶν, καὶ ἀνάστασιν αὐτῶν. ἐπίβλεψον ἐπὶ ὀφθαλμοὺς
αὐτῶν.

ת Ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα κύριε κατὰ τὰ
ἔργα τῶν χειρῶν αὐτῶν. ת Ἀποδώσεις αὐτοῖς ὑπερα-
σπισμὸν καρδίας μου. μόχθον. ת Σὺ αὐτοὺς καταδιώ-
ξεις ἐν ὀργῇ καὶ ἐξαναλώσεις αὐτοὺς ὑπὸ κάτωθεν τοῦ οὐρανοῦ
κύριε.

Κεφάλαιον. δ. 4.

Ἀλέφ.

Πῶς ἀμαυρωθήσεται τὸ χρυσίον. ἀλλοιωθήσεται τὸ ἀργύριον τὸ
ἀγαθόν. ἐξεχύθησαν λίθοι ἅγιοι. ἐπ' ἀρχῆς πασῶν ἐξόδων.

Βήδ.

Οἱ υἱοὶ Σιὼν οἱ τίμιοι οἱ ἐπηρμένοι ἐν χρυσίῳ. πῶς ἐλογίσθη-
σαν εἰς ἀγγεῖα ὀστράκινα, ἔργα χειρῶν κεραμέως.

Γιμέλ.

Καί γε δρακόντες ἐξέδυσαν μαστούς. ἐθήλασαν σκύμνους αὐτῶν.

θυγατέρας λαοῦ μου εἰς ἀνίατον ὡς στρουθίον ἐν ἐρήμῳ.

Δαλὲθ.

Ἐκολλήθη ἡ γλῶσσα θηλάζοντος πρὸς τὸν φάρυγγα αὐτοῦ ἐν δίψει. νήπια ᾔτησαν ἄρτον. ὁ διώκων. οὐκ ἔστιν αὐτοῖς.

Η.

Οἱ ἔσθοντες τὰς τρυφὰς, ἠφανίσθησαν ἐν ταῖς ἐξόδοις οἱ τιθηνούμενοι ἐπὶ κόκκου περιεβάλλοντο κοπρίας.

Οὐαῦ.

Καὶ ἐμεγαλύνθη ἀνομία θυγατρὸς λαοῦ μου. ὑπὲρ ἀνομίας σοδόμων τῆς κατεστραμμένης. ὥσπερ σπουδῇ καὶ οὐκ ἐπόνεσαν ἐν αὐτῇ χεῖρας.

Ζαΐ.

Ἐκαθαριώθησαν ναζηραῖοι αὐτῆς. ὑπὲρ χιόνα ἔλαμψαν. ὑπὲρ γάλα ἐτυρώθησαν ὑπὲρ λίθου σαπφείρου τὸ ἀπόσπασμα αὐτῶν.

Ἠθ.

Ἐσκότασεν ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν. οὐκ ἐπεγνώσθησαν ἐν ταῖς ἐξόδοις αὐτῶν. ἐπάγη δέρμα αὐτῶν ἐπὶ τὰ ὀστέα αὐτῶν, ἐξηράνθησαν ἐγενήθησαν ὥσπερ ξύλον.

Τήθ.

Καλοὶ ἦσαν οἱ τραυματίαι ῥομφαίας. ἢ οἱ τραυματίαι λιμοῦ. ἐπορεύθησαν ἐκκεκεντημένοι ἀπὸ γεννημάτων ἀγρῶν.

Ἰώθ.

Χεῖρες γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν, ἐγενήθησαν εἰς βρῶσιν αὐταῖς ἐν τῷ συντρίμματι τῆς θυγατρὸς τοῦ λαοῦ μου.

Χάφ.

Συνετέλεσε κύριος θυμὸν αὐτοῦ. ἐξέχεε θυμὸν ὀργῆς αὐτοῦ. καὶ ἀνῆψε πῦρ ἐν σιὼν καὶ κατέφαγε τὰ θεμέλια αὐτῆς.

Λαμέδ.

Οὐκ ἐπίστευσαν βασιλεῖς γῆς, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. ὅτι εἰσελεύσεται ἐχθρὸς, καὶ ἐκθλίβων διὰ τῶν πυλῶν ἱερουσαλήμ.

Μέμ.

Ἐξ ἁμαρτιῶν προφητῶν αὐτῆς, ἀδικιῶν ἱερέων αὐτῆς· τῶν ἐκχεόντων αἷμα δίκαιον ἐν μέσῳ αὐτῆς.

Νοῦν.

Ἐσαλεύθησαν οἱ ἐγρήγοροι αὐτῆς ἐν ταῖς ἐξόδοις· ἐμολύνθησαν ἐν αἵματι ἐν τῷ μὴ δύνασθαι αὐτούς, ἥψατο ἐνδυμάτων αὐτῶν.

Σαμὲχ.

Ἀπόστητε ἀκαθάρτων· καλέσατε αὐτούς· ἀπόστητε ἀπόστητε μὴ ἅπτεσθε· ὅτι ἀνήφθησαν καίγε ἐσαλεύθησαν· εἴπατε ἐν τοῖς ἔθνεσιν· ὅτι οὐ μὴ προσθῶσι τοῦ παροικεῖν. Αἴν.

Πρόσωπον κυρίου μερὶς αὐτῶν· οὐ προσθήσει ἐπιβλέψαι αὐτοῖς· πρόσωπον ἱερέων οὐκ ἔλαβον· προφήτας οὐκ ἠλέησαν.

Φῆ.

Ἔτι ὄντων ἡμῶν ἐξέλιπον οἱ ὀφθαλμοὶ ἡμῶν, εἰς τὴν βοήθειαν ἡμῶν· μάταια ἀποσκοπευόντων ἡμῶν. Σαδὴ.

Ἀπεσκοπεύσαμεν εἰς ἔθνος, οὐ σῶζον· ἐθηρεύσαμεν μικροὺς ἡμῶν, τοῦ μὴ πορεύεσθαι ἐν ταῖς πλατείαις ἡμῶν.

Κὼφ.

Ἤγγικεν ὁ καιρὸς ἡμῶν· ἐπληρώθησαν αἱ ἡμέραι ἡμῶν, πάρεστιν τὸ πέρας ἡμῶν· κοῦφοι ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ αὐτοὺς οὐρανοῦ, ἐπὶ τῶν ὀρέων ἐξήφθησαν· ἐν ἐρήμῳ ἐνήδρευσαν ἡμᾶς.

Ῥῆς.

Πνεῦμα προσώπου ἡμῶν χρηστὸς κύριος συνελήφθη ἐν ταῖς διαφθοραῖς ἡμῶν, οὗ εἴπαμεν ἐν τῇ σκιᾷ αὐτοῦ ζησόμεθα ἐν τοῖς ἔθνεσι. Σεή.

Χαῖρε καὶ εὐφραίνου θύγατερ Ἰδουμαίας, ἡ κατοικοῦσα ἐπὶ γῆς· καίγε ἐπὶ σὲ διελεύσεται τὸ ποτήριον κυρίου μεθυσθήσῃ, καὶ ἀποχεεῖς. Θαῦ.

Ἐξέλιπεν ἡ ἀνομία σου θύγατερ σιών, οὐ προσθήσει ἐπὶ τοῦ ἀποικίσαι σε· ἐπεσκέψατο ἀνομίας σου θύγατερ σιών· ἀπεκάλυψεν ἐπὶ τὰ ἀσεβήματά σου.

## ΠΡΟΣΕΥΧΗ ΙΕΡΕμίου τοῦ προφήτου.

Μνήσθητι κύριε, ὅτι ἐγενήθη ἡμῖν. ἐπίβλεψον καὶ ἴδε τὸν ὀνειδισμὸν ἡμῶν. κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις. οἱ οἶκοι ἡμῶν ξένοις. Ορφανοὶ ἐγενήθημεν. οὐκ ὑπάρχει πατήρ. μητέρες ἡμῶν, ὡς αἱ χῆραι. ὕδωρ ἡμῶν ἐν ἀργυρίῳ ἐπίομεν. Ξύλα ἡμῶν ἐν ἀλλάγματι ἦλθον ἐπὶ τὸν τράχηλον ἡμῶν, ἐδιώχθημεν ἐκοπιάσαμεν οὐκ ἀνεπαύθημεν. Αἴγυπτος ἔδωκε χεῖρα ἀσσοὺρ εἰς πλησμονὴν αὐτῶν. οἱ πατέρες ἡμῶν ἥμαρτον. καὶ οὐχ ὑπάρχουσιν. ἡμεῖς τὰ ἀνομήματα αὐτῶν ὑπέσχομεν. δοῦλοι ἐκυρίευσαν ἡμῶν. λυτρούμενος οὐκ ἔστιν ἐκ τῆς χειρὸς αὐτῶν, ἐν ταῖς ψυχαῖς ἡμῶν, εἰσοίσομεν ἄρτον ἡμῶν, ἀπὸ προσώπου ῥομφαίας τῆς ἐρήμου. τὸ δέρμα ἡμῶν, ὡς κλίβανος ἐπελιώθη. συνεσπάσθησαν ἀπὸ προσώπου καταιγίδων λιμοῦ. γυναῖκες ἐν σιὼν ἐταπείνωσαν παρθένους ἐν πόλεσιν ἰούδα. ἄρχοντες ἐν χερσὶν αὐτῶν ἐκρεμάσθησαν. πρεσβύτεροι οὐκ ἐδοξάσθησαν, ἐκλεκτοὶ κλαυθμὸν ἀνέλαβον. καὶ νεανίσκοι ἐν ξύλῳ ἠσθένησαν. Καὶ πρεσβῦται ἀπὸ πύλης κατέπαυσαν. Κατέλυσε χαρὰ καρδίας ἡμῶν. ἐκλεκτοὶ ἐκ ψαλμῶν αὐτῶν κατέπαυσαν. ἐστράφη εἰς πένθος ὁ χορὸς ἡμῶν ἔπεσεν ὁ στέφανος ἡμῶν τῆς κεφαλῆς. Οὐαὶ δὲ ἡμῖν, ὅτι ἡμάρτομεν περὶ τούτου ἐγενήθη ὀδύνη ὀδυνηρὰ ἡ καρδία ἡμῶν. περὶ τούτου ἐσκότησαν οἱ ὀφθαλμοὶ ἡμῶν ἐπ' ὄρος σιών, ὅτι ἠφανίσθη. ἀλώπεκες διῆλθον ἐν αὐτῇ. σὺ δὲ κύριε εἰς αἰῶνα κατοικήσεις. ὁ θρόνος σου, εἰς γενεὰν καὶ γενεάν. ἵνα τί εἰς νῖκος ἐπιλήσῃ ἡμῶν. καταλείψῃ ἡμᾶς εἰς μακρότητα ἡμερῶν. ἐπίστρεψον ἡμᾶς κύριε πρὸς σέ, καὶ ἐπιστραφησόμεθα. Καὶ ἀνακαίνισον ἡμέρας ἡμῶν καθὼς ἔμπροσθεν, ὅτι ἀπωθούμενος ἀπώσω ἡμᾶς ὠργίσθης ἐφ' ἡμᾶς ἕως σφόδρα.

Τέλος θρήνων ἱερεμίου.

# ΙΕΖΕΚΙΗΛ.

Κεφάλαιον. α. ι.

Αἰ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τε
τάρτῳ μηνί. πέμπτῃ τοῦ μηνός. καὶ ἐγὼ ἤ
κ μην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ πο
ταμοῦ τοῦ χοβὰρ, καὶ ἠνοίχθησαν οἱ οὐρα
νοί. καὶ εἶδον ὁράσεις θεοῦ. πέμπτῃ τοῦ μη
νὸς τοῦτο τὸ ἔτος, τὸ πέμπτον τῆς αἰχμαλωσί
ας τοῦ βασιλέως ἰωακεὶμ. καὶ ἐγένετο λόγος κυρίου πρὸς ἰεζε
κιὴλ υἱὸν βουζεὶ τὸν ἱερέα. ἐν γῇ χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ
χοβάρ. καὶ ἐγένετο ἐπ᾽ ἐμὲ χεὶρ κυρίου. καὶ εἶδον. καὶ ἰδοὺ
πνεῦμα ἐξαῖρον, ἐξήρχετο ἀπὸ βορρᾶ. καὶ νεφέλη μεγάλη ἐν
αὐτῷ. καὶ φέγγος κύκλῳ αὐτοῦ. καὶ πῦρ ἐξαστράπτον. καὶ ἐν
τῷ μέσῳ αὐτοῦ, ὡς ὅρασις ἠλέκτρου. ἐν μέσῳ τοῦ πυρὸς, καὶ
φέγγος ἐν αὐτῷ. καὶ ἐν τῷ μέσῳ, ὡς ὁμοίωμα τεσσάρων ζώ
ων. καὶ αὕτη ἡ ὅρασις αὐτῶν, ὁμοίωμα ἀνθρώπου ἐπ᾽ αὐ
τοῖς. καὶ τέσσαρα πρόσωπα τῷ ἑνί, καὶ τέσσαρες πτέρυγες
τῷ ἑνί. καὶ τὰ σκέλη αὐτῶν, ὀρθία. καὶ πτερωτοὶ οἱ πόδες
αὐτῶν, καὶ σπινθῆρες, ὡς ἐξαστράπτων χαλκός. καὶ ἐλαφραὶ
αἱ πτέρυγες αὐτῶν, καὶ χεὶρ ἀνθρώπου, ὑποκάτωθεν τῶν πτε
ρύγων αὐτῶν. ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν καὶ τὰ πρόσωπα αὐτῶν
καὶ αἱ πτέρυγες αὐτῶν τῶν τεσσάρων ἐχόμεναι ἑτέρα τῆς ἑτέρας,
καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων, οὐκ ἐπέστρεφον ἐν τῷ βα
δίζειν αὐτά. ἕκαστον κατέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύον
το. καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώ
που. καὶ

που. καὶ πρόσωπον τοῦ λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι. καὶ
πρόσωπον μόσχου, ἐξ ἀριστερῶν τοῖς τέσσαρσι. καὶ πρόσωπον
ἀετοῦ τοῖς τέσσαρσι. καὶ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνω-
θεν τοῖς τέσσαρσιν. ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλή-
λας. καὶ δύο ἐπεκάλυπτον, ἐπάνω τοῦ σώματος αὐτῶν. καὶ
ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο. οὗ ἂν ἦ τὸ πνεῦμα
πορευόμενον ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον. καὶ ἐν μέσῳ τῶν
ζώων, ὅρασις ἀνθράκων πυρὸς καιομένων. ὡς ὄψις λαμπά-
δων συστρεφομένων, ἀνὰ μέσον τῶν ζώων. καὶ φέγγος τοῦ πυρὸς
καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή. καὶ τὰ ζῶα ἔτρεχον. καὶ ἀνέ-
καμπτον ὡς εἶδος τοῦ βεζέκ. καὶ εἶδον. καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς
γῆς. ἐχόμενος τῶν ζώων τοῖς τέσσαρσι, καὶ τὸ εἶδος τῶν τροχῶν
ὡς εἶδος θαρσεῖς. καὶ ὁμοίωμα ἐν τοῖς τέσσαρσι. καὶ τὸ ἔρ-
γον αὐτῶν ἦν, καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ. ἐπὶ τὰ τέσσα-
ρα μέρη αὐτῶν ἐπορεύοντο. οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι
αὐτά. οὐδ' οἱ νῶτοι αὐτῶν. καὶ ὕψος ἦν αὐτοῖς. καὶ εἶδον αὐ-
τά. καὶ οἱ νῶτοι αὐτῶν, πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς
τέσσαρσιν. καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῶα, ἐπορεύοντο οἱ τρο-
χοί. ἐχόμενοι αὐτῶν. καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῶα ἀπὸ τῆς
γῆς, ἐξήροντο οἱ τροχοί. οὗ ἂν ἦν ἡ νεφέλη, ἐκεῖ τὸ πνεῦμα τοῦ
πορεύεσθαι, ἐπορεύοντο τὰ ζῶα. καὶ οἱ τροχοὶ ἐξήροντο σὺν
αὐτοῖς. διότι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. ἐν τῷ πορεύεσθαι
αὐτά, ἐπορεύοντο. καὶ ἐν τῷ ἑστάναι αὐτά, εἱστήκεισαν. καὶ
ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς. ἐξήροντο σὺν αὐτοῖς. ὅτι
πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς. καὶ ὁμοίωμα, ὑπὲρ κεφαλῆς
αὐτοῖς τῶν ζώων, ὡσεὶ στερέωμα. ὡς ὅρασις κρυστάλλου. ἐκτε-
ταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν. καὶ ὑποκάτω-
θεν τοῦ στερεώματος, αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι. πτε-
ρυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ. ἑκάστῳ δύο συνεζευγμέναι. ἐπι-
καλύπτουσαι τὰ σώματα αὐτῶν. καὶ ἤκουον τὴν φωνὴν τῶν

πτερύγων αὐτῶν, ἐν τῷ πτερύσσεσθαι αὐτά. ὡς φωνὴν ὕδα-
τος ἱκανοῦ. ἐν τῷ πορεύεσθαι αὐτά. φωνὴ τοῦ λόγου. ὡς φωνὴ
παρεμβολῆς, καὶ ἐν τῷ ἑστάναι αὐτά, κατέπαυον αἱ πτέρυγες
αὐτῶν. καὶ ἰδοὺ φωνὴ, ὑπεράνωθεν τοῦ στερεώματος, τοῦ ὑπὲρ
κεφαλῆς αὐτῶν. ἐν τῷ ἑστάναι αὐτά, ἀνίεντο αἱ πτέρυγες αὐ-
τῶν. καὶ ὑπεράνω τοῦ στερεώματος τοῦ ὑπὲρ κεφαλῆς αὐτῶν,
ὡς ὅρασις λίθου σαπφείρου. ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ. καὶ
ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου, ὁμοίωμα,, ὡς εἶδος ἀνθρώ-
που ἄνωθεν. καὶ εἶδον ὡς ὅρασιν ἠλέκτρου. ὡς ὅρασιν πυρὸς
ἔσωθεν αὐτοῦ κύκλῳ. ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω. καὶ
ἀπὸ ὁράσεως ὀσφύος, καὶ ἕως κάτω, εἶδον ὅρασιν πυρός. καὶ
τὸ φέγγος αὐτοῦ κύκλῳ, ὡς ὅρασις τόξου· ὅταν ἦ ἐν τῇ νεφέ-
λῃ ἐν ἡμέρᾳ ὑετοῦ. οὕτως ἡ ὅρασις τοῦ φέγγους κυκλόθεν.

## Κεφ. β. 2.

Αὕτη ἡ ὅρασις, ὁμοιώματος δόξης κυρίου. καὶ εἶδον.
α καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ ἤκουσα φωνὴν
λαλοῦντος, καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου στῆθι ἐπὶ
τοὺς πόδας σου, καὶ λαλήσω πρὸς σέ. καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦ-
μα, καὶ ἀνέλαβέ με. καὶ ἐξήγειρέ με. καὶ ἔστησέ με, ἐπὶ τοὺς
πόδας μου. καὶ ἤκουον αὐτοῦ, λαλοῦντος πρός με. καὶ εἶπε
πρός με. υἱὲ ἀνθρώπου. ἐξαποστελῶ ἐγώ σε πρὸς τὸν οἶκον τοῦ
ἰσραήλ, τοὺς παραπικραίνοντάς με. οἳ παρεπίκρανάν
με, αὐτοὶ καὶ οἱ πατέρες αὐτῶν. ἠθέτησαν ἐν ἐμοί, ἕως τῆς σή-
μερον ἡμέρας. καὶ οἱ σκληροπρόσωποι καὶ στερεοκάρδιοι. ἐγὼ
ἀποστελῶ σε πρὸς αὐτούς. καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει
κύριος κύριος. ἐὰν ἄρα ἀκούσωσιν. ἢ πτοηθῶσι. διότι οἶκος
παραπικραίνων ἐστί. καὶ γνώσονται ὅτι προφήτης εἶ σύ, ἐν μέ-
σῳ αὐτῶν. καὶ σύ, υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτούς. μηδὲ
ἐκστῇς, ἀπὸ προσώπου αὐτῶν. διότι παροιστρήσουσι. καὶ ἐπι-
συστήσονται ἐπὶ σέ, κύκλῳ. καὶ ἐν μέσῳ σκορπίων σὺ κατοι-

χθῆς. τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς. καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς. διότι οἶκος παραπικραίνων ἐστί. καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτούς. ἐὰν ἄρα ἀκούσωσιν, ἢ πτοηθῶσιν ὅτι οἶκος παραπικραίνων ἐστί. καὶ σὺ υἱὲ τοῦ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σέ. καὶ μὴ γίνου παραπικραίνων, καθὼς ὁ οἶκος ὁ παραπικραίνων. χάνε τὸ στόμα σου. καὶ φάγε, ἃ ἐγὼ δίδωμί σοι. καὶ εἶδον. καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρός με. καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου. καὶ ἀνείλησεν αὐτὴν ἐνώπιόν μου. καὶ ἦν ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν, καὶ τὰ ὄπισθεν. καὶ ἐγέγραπτο ἐν αὐτῇ θρῆνος καὶ μέλος. καὶ οὐαί.

Κεφ. γ. 3.

Καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου κατάφαγε τὴν κεφαλίδα ταύτην. καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς ἰσραήλ. καὶ διήνοιξε τὸ στόμα μου, καὶ ἐψώμισέ με τὴν κεφαλίδα. καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου. τὸ στόμα σου φάγεται, καὶ ἡ κοιλία σου πλησθήσεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ. καὶ ἔφαγον αὐτήν, καὶ ἐγένετο ἐν τῷ στόματί μου, ὡς μέλι γλυκάζον. καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου. βάδιζε καὶ εἴσελθε εἰς τὸν οἶκον τοῦ ἰσραήλ. καὶ λάλησον τοὺς λόγους μου, πρὸς αὐτούς. διότι οὐ πρὸς λαὸν βαθύχειλον ἢ βαρύγλωσσον σὺ ἐξαποστέλλῃ πρὸς τὸν οἶκον τοῦ ἰσραήλ. οὐδὲ πρὸς λαοὺς πολλοὺς ἀλλοφώνους. ἢ ἀλλογλώσσους. οὐδὲ στιβαροὺς τῇ γλώσσῃ ὄντας, ὧν οὐκ ἀκούσῃ τοὺς λόγους αὐτῶν. καὶ εἰ πρὸς τοιούτους ἐξαπέστειλά σε, οὗτοι ἂν εἰσήκουσάν σου. ὁ δὲ οἶκος τοῦ ἰσραήλ, οὐ μὴ θελήσωσιν ἀκοῦσαί σου. διότι οὐ βούλονται εἰσακούειν μου. ὅτι πᾶς ὁ οἶκος ἰσραήλ, φιλόνεικοί εἰσι, καὶ σκληροκάρδιοι. ἰδοὺ δέδωκα τὸ πρόσωπόν σου δυνατόν. κατέναντι τῶν προσώπων αὐτῶν. καὶ τὸ νῖκός σου κατισχύσω, κατέναντι τοῦ νίκους αὐτῶν. καὶ ἔσται διαπαντός. κραταιότερον πέτρας δέδωκα τὸ νῖκός σου. μὴ φοβηθῇς ἀπ' αὐτῶν. μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν. διότι οἶκος

παραπικραίνων ἐστί. καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου πάντας τοὺς λόγους οὓς λελάληκα μετὰ σοῦ, λάβε εἰς τὴν καρδίαν σου καὶ τοῖς ὠσί σου ἄκουε. καὶ βάδιζε εἴσελθε εἰς τὴν αἰχμαλωσίαν πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου. καὶ λαλήσεις πρὸς αὐτοὺς, καὶ ἐρεῖς πρὸς αὐτούς. Τάδε λέγει κύριος κύριος. ἐὰν ἄρα ἀκούσωσιν ἄρα ἐνδῶσι, καὶ ἀνέλαβέ με πνεῦμα. καὶ ἤκουσα κατόπισθέν μου, φωνὴν σεισμοῦ μεγάλου λεγόντων. εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτοῦ. καὶ εἶδεν φωνὴν πτερύγων τῶν ζώων πτερυσσομένων ἑτέρα πρὸς τὴν ἑτέραν, καὶ φωνὴ τῶν τροχῶν, ἐχομένη αὐτῶν. καὶ φωνὴ τοῦ σεισμοῦ. καὶ τὸ πνεῦμα κυρίου ἐξῆρέ με. καὶ ἀνέλαβέ με. καὶ ἐπορεύθη μετέωρος ἐν ὁρμῇ τοῦ πνεύματός μου. καὶ χεὶρ κυρίου ἐγένετο ἐπ' ἐμὲ κραταιά. καὶ εἰσῆλθον εἰς τὴν αἰχμαλωσίαν μετέωρος. καὶ περιῆλθον τοὺς κατοικοῦντας ἐπὶ τοῦ ποταμοῦ τοῦ χοβάρ. τοὺς ὄντας ἐκεῖ. καὶ ἐκάθισα ἐκεῖ ἑπτὰ ἡμέρας. ἀναστρεφόμενος ἐν μέσῳ αὐτῶν. καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας, καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων, υἱὲ ἀνθρώπου. σκοπὸν δέδωκά σε τῷ οἴκῳ ἰσραήλ. καὶ ἀκούσῃ ἐκ τοῦ στόματός μου λόγον. καὶ διαπειλήσῃ αὐτοῖς παρ' ἐμοῦ. ἐν τῷ λέγειν με τῷ ἀνόμῳ θανάτῳ θανατωθήσῃ καὶ οὐ διαστείλω. οὐδὲ ἐλάλησας, τοῦ διαστείλασθαι τῷ ἀνόμῳ, τοῦ ἀποστρέψαι ἀπὸ τῶν ὁδῶν αὐτοῦ, τοῦ ζῆσαι αὐτόν. ὁ ἄνομος ἐκεῖνος τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ τὸ αἷμα αὐτοῦ, ἐκ τῆς χειρός σου ἐκζητήσω. σὺ δὲ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ. καὶ τῆς ὁδοῦ αὐτοῦ ὁ ἄνομος ἐκεῖνος, ἐν τῇ ἀδικίᾳ αὐτοῦ ἀποθανεῖται. καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ. καὶ ἐν τῷ ἀποστρέφειν δίκαιον ἀπὸ τῶν δικαιοσυνῶν αὐτοῦ. καὶ ποιήσῃ παράπτωμα. καὶ δώσω τὴν βάσανον εἰς πρόσωπον αὐτοῦ. αὐτὸς ἀποθανεῖται, ὅτι οὐ διεστείλω αὐτῷ, καὶ ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται. διότι οὐ μὴ μνησθῶσιν αἱ δικαιοσύναι αὐτοῦ ἃς ἐποίησε. καὶ τὸ αἷμα αὐτοῦ, ἐκ τῆς χειρὸς

σου ἐκζητήσω. σὺ δὲ ἐὰν διαστείλῃ τῷ δικαίῳ τοῦ μὴ ἁμαρτεῖν, καὶ αὐτὸς μὴ ἁμάρτῃ, ὁ δίκαιος ζωῇ ζήσεται. ὅτι διεστείλω αὐτῷ, καὶ σὺ τὴν ψυχήν σου ῥύσῃ. Καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου, καὶ εἶπε πρός με. ἀνάστηθι καὶ ἔξελθε πρὸς τὸ πεδίον, καὶ ἐκεῖ λαληθήσεται πρὸς σέ. καὶ ἀνέστην καὶ ἦλθον πρὸς τὸ πεδίον καὶ ἰδοὺ ἐκεῖ δόξα κυρίου εἱστήκει. καθὼς ἡ ὅρασις, καὶ καθὼς ἡ δόξα. ἣν εἶδον ἐπὶ τοῦ ποταμοῦ τοῦ χοβάρ. καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ ἦλθεν ἐπ' ἐμὲ πνεῦμα, καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας μου. καὶ ἐλάλησε πρός με, καὶ εἶπέ μοι. εἴσελθε καὶ ἐγκλείσθητι ἐν μέσῳ τοῦ οἴκου σου. καὶ σὺ υἱὲ ἀνθρώπου, ἰδοὺ δέδονται ἐπὶ σὲ δεσμοί. καὶ δήσουσί σε ἐν αὐτοῖς, καὶ οὐ μὴ ἐξέλθῃς ἐκ μέσου αὐτῶν. καὶ τὴν γλῶσσάν σου συνδήσω. καὶ ἀποκωφωθήσῃ. καὶ οὐκ ἔσῃ αὐτοῖς εἰς ἄνδρα ἐλέγχοντα. διότι οἶκος παραπικραίνων ἐστί. καὶ ἐν τῷ λαλεῖν με πρὸς σέ, ἀνοίξω τὸ στόμα σου, καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει κύριος κύριος. ὁ ἀκούων ἀκουέτω. καὶ ὁ ἀπειθῶν, ἀπειθείτω. διότι οἶκος παραπικραίνων ἐστί.

Κεφάλαιον. δ. 4.

Καὶ σὺ υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ πλίνθον. καὶ θή-
x σεις αὐτὴν πρὸ προσώπου σου. καὶ διαγράψεις ἐπ' αὐ-
τὴν, πόλιν τὴν ἱερουσαλήμ, καὶ δώσεις ἐπ' αὐτὴν περιοχήν. καὶ οἰκοδομήσεις ἐπ' αὐτὴν προμαχῶνας. καὶ περιβαλεῖς ἐπ' αὐτὴν χάρακα. καὶ δώσεις ἐπ' αὐτὴν παρεμβολάς. καὶ τάξεις τὰς βελοστάσεις, κύκλῳ, καὶ σὺ λάβε σεαυτῷ, τήγανον σιδηροῦν. ἀνὰ μέσον σου. καὶ ἀνὰ μέσον τῆς πόλεως. καὶ ἑτοιμάσεις τὸ πρόσωπόν σου, ἐπ' αὐτὴν, καὶ ἔσται ἐν συγκλεισμῷ, καὶ συγκλείσεις αὐτήν. σημεῖον ἔσται καὶ θήσεις τοῖς υἱοῖς ἰσλ. καὶ σὺ κοιμηθήσῃ, ἐπὶ τὸ πλευρόν σου τὸ ἀριστερὸν τῦρ. εἰς τὰς ἀδικίας τοῦ οἴκου ἰσραὴλ ἐπ' αὐτοῦ, κατὰ ἀριθμὸν ἡμερῶν. ἃς καὶ κοιμηθήσῃ ἐπ' αὐτοῦ. καὶ λήψῃ τὰς ἀδικίας αὐτῶν. καὶ ἐγὼ δέδωκά σοι τὰς δύο ἀδικίας αὐτῶν, εἰς ἀριθμὸν ἡμερῶν ἐνενήκοντα

καὶ τριακοσίας ἡμέρας. καὶ λήψῃ τὰς ἁμαρτίας τοῦ οἴκου ἰσρα-
ήλ. καὶ συντελέσεις ταῦτα πάντα. καὶ κοιμηθήσῃ ἐπὶ τὸ πλευ-
ρόν σου, τὸ δεξιόν. καὶ λήψῃ τὰς ἀδικίας τοῦ οἴκου ἰούδα τεσσα-
ράκοντα ἡμέρας. ἡμέραν εἰς ἐνιαυτὸν τέθεικά σε. καὶ εἰς τὸν συ-
γκλεισμὸν ἱερουσαλὴμ ἑτοιμάσεις τὸ πρόσωπόν σου. καὶ τὸν βρα-
χίονά σου στερεώσεις. καὶ προφητεύσεις ἐπ' αὐτήν. καὶ ἐγὼ ἰ-
δοὺ δέδωκα ἐπὶ σὲ δεσμούς. καὶ μὴ στραφῇς. ἀπὸ πλευροῦ σου
εἰς πλευρόν σου. ἕως οὗ συντελεσθῶσιν αἱ ἡμέραι τοῦ συγκλει-
σμοῦ. καὶ σὺ λάβε σεαυτῷ πυροὺς καὶ κριθάς. καὶ κύαμον, καὶ
φακὸν καὶ κέγχρον. καὶ ὄλυραν. καὶ ἐμβαλεῖς αὐτὰ εἰς ἄγγος ἓν
ὀστράκινον. καὶ ποιήσεις αὐτὰ σεαυτῷ εἰς ἄρτους. καὶ κατὰ ἀρι-
θμὸν ἡμερῶν, ἃς σὺ καθεύδεις ἐπὶ τὸ πλευρόν σου, ἐνενήκοντα
καὶ τριακοσίας ἡμέρας, φάγεσαι αὐτά. καὶ τὸ βρῶμά σου ὃ φά-
γεσαι ἐν σταθμῷ, εἴκοσι σίκλους τὴν ἡμέραν. ἀπὸ καιροῦ ἕως
καιροῦ φάγεσαι αὐτά. καὶ τὸ ὕδωρ ἐν μέτρῳ πίεσαι. καὶ τὸ ἕκτον
τοῦ οἴνου, ἀπὸ καιροῦ ἕως καιροῦ πίεσαι. καὶ ἐγκρυφίαν κρίθινον,
φάγεσαι αὐτά, ἐν βολβίτοις κόπρου ἀνθρωπίνου. ἐγκρύψεις αὐτὰ
κατ' ὀφθαλμοὺς αὐτῶν καὶ ἐρεῖς. τάδε λέγει κύριος ὁ θεὸς τοῦ ἰσ-
ραήλ. οὕτως φάγονται οἱ υἱοὶ τοῦ ἰσραὴλ ἀκάθαρτα ἐν τοῖς ἔθνε-
σιν. οὗ διασκορπιῶ αὐτοὺς ἐκεῖ, καὶ εἶπα. μηδαμῶς κύριε ὁ θε-
ὸς τοῦ ἰσραήλ. εἰ ἡ ψυχή μου μεμίανται ἐν ἀκαθαρσίᾳ. καὶ θνη-
σιμαῖον καὶ θηριάλωτον, οὐ βέβρωκα ἀπὸ γενέσεώς μου, ἕως νῦν.
οὐ δὲ εἰσελήλυθεν εἰς τὸ στόμα μου, πᾶν κρέας βέβηλον. καὶ εἶπε
πρός με. ἰδοὺ δέδωκά σοι βόλβιτα βοῶν, ἀντὶ τῶν βολβίτων τῶν
ἀνθρωπίνων. καὶ ποιήσεις τοὺς ἄρτους σου, ἐπ' αὐτῶν. καὶ εἶπε κύριος
πρός με. υἱὲ ἀνθρώπου. ἰδοὺ ἐγὼ συντρίβω στήριγμα ἄρτου ἐν
ἱερουσαλήμ. καὶ φάγονται ἄρτον ἐν σταθμῷ, καὶ ἐν ἐνδείᾳ. καὶ ὕ-
δωρ ἐν μέτρῳ, καὶ ἐν ἀφανισμῷ πίονται. ὅπως ἐνδεεῖς γένων-
ται ἄρτου, καὶ ὕδατος. καὶ ἀφανισθήσεται ἄνθρωπος, καὶ ἀδελ-
φὸς αὐτοῦ. καὶ ἐντακήσονται ἐν ταῖς ἀδικίαις αὐτῶν.

Κεφαλ. ε. 5.

Αὶ σὺ υἱὲ ἀνθρώπου, λάβε σεαυτῷ ῥομφαίαν ὀ-
κ ξεῖαν ὑπὲρ ξυρὸν κουρέως, κτήσῃ αὐτὴν σεαυτῷ
καὶ ἐπάξεις αὐτὴν ἐπὶ τὴν κεφαλήν σου, καὶ ἐπὶ τὸν
πώγωνά σου. καὶ λήψῃ ζυγὸν σταθμίων καὶ διαστήσεις αὐτούς. τὸ
τέταρτον ἐν πυρὶ ἀνακαύσεις, ἐν μέσῃ τῇ πόλει, κατὰ τὴν
πλήρωσιν τῶν ἡμερῶν τοῦ συγκλεισμοῦ. καὶ λήψῃ τὸ τέταρτον
καὶ κατακαύσεις αὐτό, ἐν μέσῳ αὐτῆς. καὶ τὸ τέταρτον κατα-
κόψεις ἐν ῥομφαίᾳ κύκλῳ αὐτῆς. καὶ τὸ τέταρτον διασκορπι-
εῖς τῷ πνεύματι. καὶ μάχαιραν ἐκκενώσω ὀπίσω αὐτῶν.
καὶ λήψῃ ἐκεῖθεν ὀλίγους ἐν ἀριθμῷ, καὶ συμπεριλήψῃ αὐτοὺς τῇ
ἀναβολῇ σου. καὶ ἐκ τούτων λήψῃ ἔτι. καὶ ῥίψεις αὐτοὺς εἰς μέ-
σον τοῦ πυρός. καὶ κατακαύσεις αὐτοὺς ἐν πυρί. ἐξ αὐτῆς ἐξε-
λεύσεται πῦρ, εἰς πάντα οἶκον ἰσραήλ. καὶ ἐρεῖς παντὶ οἴκῳ ἰσ-
ραήλ. τάδε λέγει ἀδωναῒ κύριος. αὕτη ἱερουσαλὴμ ἐν μέσῳ
τῶν ἐθνῶν τέθεικα αὐτήν, καὶ τὰς κύκλῳ αὐτῆς χώρας, καὶ
ἐρεῖς τὰ δικαιώματά μου, τῇ ἀνόμῳ ἐκ τῶν ἐθνῶν. καὶ τὰ νό-
μιμά μου, ἐκ τῶν χωρῶν τῶν κύκλῳ αὐτῆς. διότι τὰ δικαιώ-
ματά μου ἀπώσαντο. καὶ ἐν τοῖς νόμοις μου. οὐκ ἐπορεύθη-
σαν ἐν αὐτοῖς. διατοῦτο τάδε λέγει ἀδωναῒ κύριος, ἀνθ᾽ ὧν ἡ
ἀφορμὴ ὑμῶν. ἐκ τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν. καὶ τοῖς νομί-
μοις μου, οὐκ ἐπορεύθητε, καὶ τὰ δικαιώματά μου, οὐκ ἐποιή-
σατε. ἀλλ᾽ οὐδὲ κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν
οὐκ ἐποιήσατε, διατοῦτο τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ
ἐπὶ σέ. καὶ ποιήσω ἐν μέσῳ σου κρίματα ἐνώπιον τῶν ἐθνῶν.
καὶ ποιήσω ἐν σοί, ἃ οὐκ ἐποίησα, καὶ οὐ ποιήσω. ὅμοια αὐ-
τοῖς ἔτι κατὰ πάντα τὰ βδελύγματά σου. διατοῦτο πατέρες φά-
γονται τέκνα ἐν μέσῳ σου, καὶ τέκνα φάγονται πατέρας.
καὶ ποιήσω ἐν σοὶ κρίματα. καὶ διασκορπιῶ πάντας τοὺς
καταλοίπους σου, εἰς πάντα ἄνεμον. διατοῦτο ζῶ ἐγώ

λέγει ἀδωναῒ κύριος· ἦ μήν· ἀνθ' ὧν τὰ ἅγιά μου ἐμίανας ἐν
πᾶσι τοῖς προσοχθίσμασί σου, καὶ ἐν πᾶσι τοῖς βδελύγμασί
σου· κἀγὼ ἀπώσομαί σε, οὐ φείσεταί μου, ὁ ὀφθαλμός· καὶ ἐγὼ
οὐκ ἐλεήσω σε. τὸ τέταρτόν σου, ἐν θανάτῳ ἀναλωθήσεται· καὶ
τὸ τέταρτόν σου, ἐν λιμῷ συντελεσθήσεται ἐν μέσῳ σου· καὶ τὸ
τέταρτόν σου, εἰς πάντα ἄνεμον διασκορπιῶ αὐτούς· καὶ τέταρ
τόν σου, ἐν ῥομφαίᾳ πεσοῦνται κύκλῳ σου· καὶ μάχαιραν ἐκκε
νώσω ὀπίσω αὐτῶν· καὶ συντελεσθήσεται ὁ θυμός μου, καὶ ἡ
ὀργή μου, ἐπ' αὐτούς· καὶ παρακληθήσομαι, καὶ ἐπιγνώσῃ, διό
τι ἐγὼ κύριος λελάληκα ἐν ζήλῳ μου, ἐν τῷ συντελέσαι με τὴν
ὀργήν μου, ἐπ' αὐτούς· καὶ θήσομαί σε, εἰς ἔρημον, καὶ εἰς ὀνειδι
σμὸν τοῖς ἔθνεσι τοῖς κύκλῳ σου· καὶ τὰς θυγατέρας σου, κύκλῳ
σου, ἐνώπιον παντὸς διοδεύοντος· καὶ ἔσῃ, στενακτὴ καὶ δειλαία
ἐν τοῖς ἔθνεσι τοῖς κύκλῳ σου, ἐν τῷ ποιῆσαί με, ἐν σοὶ κρίματα,
ἐν ὀργῇ καὶ θυμῷ, καὶ ἐν ἐκδικήσει θυμοῦ μου· ἐγὼ κύριος λε
λάληκα, ἐν τῷ ἐξαποστεῖλαί με τὰς βολίδας μου τοῦ λιμοῦ ἐπ'
αὐτούς, καὶ ἔσονται εἰς ἔκλειψιν· καὶ συντρίψω στηρίγματα ἄρτου
σου· καὶ ἐξαποστελῶ ἐπὶ σέ, λιμὸν καὶ θηρία πονηρά, καὶ τιμω
ρήσομαί σε, καὶ θάνατος, καὶ αἷμα διελεύσεται ἐπὶ σέ· καὶ ῥομ
φαίαν ἐπάξω ἐπὶ σὲ κυκλόθεν· ἐγὼ κύριος λελάληκα.

## Κεφάλαιον. ς. 6.

Αὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώ
κ που στήρισον τὸ πρόσωπόν σου ἐπὶ τὰ ὄρη ἰσραήλ, καὶ
προφήτευσον ἐπ' αὐτά, καὶ ἐρεῖς τὰ ὄρη ἰσραήλ· ἀ
κούσατε τὸν λόγον ἀδωναῒ κυρίου· τάδε λέγει ἀδωναῒ κύριος·
τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς, καὶ ταῖς φάραγξι καὶ ταῖς νάπαις·
ἰδοὺ ἐγὼ ἐπάγω ἐφ' ὑμᾶς ῥομφαίαν, καὶ ἐξολοθρευθήσεται
τὰ ὑψηλὰ ὑμῶν· καὶ τὰ τεμένη ὑμῶν· καὶ καταβαλῶ τραυματί
ας ὑμῶν, ἐνώπιον τῶν εἰδώλων ὑμῶν· καὶ δώσω τὰ πτώματα
τῶν υἱῶν ἰσραήλ, κατὰ πρόσωπον τῶν εἰδώλων αὐτῶν· καὶ

διασκορπιῶ τὰ ὀστᾶ ὑμῶν, κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν. καὶ ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν. αἱ πόλεις ἐξερημωθήσονται. καὶ τὰ ὑψηλὰ ἀφανισθήσεται, ὅπως ἐξολοθρευθῇ τὰ θυσιαστήρια ὑμῶν καὶ συντριβήσονται τὰ εἴδωλα ὑμῶν. καὶ ἐξαρθῇ τὰ τεμένη ὑμῶν. καὶ ἐξαλειφθῶσι τὰ ἔργα ὑμῶν. καὶ πεσοῦνται τραυματίαι ἐν μέσῳ ὑμῶν. καὶ ἐπιγνώσεσθε, ὅτι ἐγὼ κύριος. καὶ ἐν τῷ γενέσθαι ἐξ ὑμῶν ἀνασωζομένους ἐκ ῥομφαίας ἐν τοῖς ἔθνεσι. καὶ ἐν τῷ διασκορπισμῷ ὑμῶν, ἐν ταῖς χώραις, καὶ μνησθήσονταί μου, οἱ ἀνασωζόμενοι ἐξ ἡμῶν ἐν τοῖς ἔθνεσιν. οὗ ᾐχμαλωτεύθησαν ἐκεῖ. ὀμώμοκα, τῇ καρδίᾳ αὐτῶν τῇ ἐκπορνευούσῃ ἀπ' ἐμοῦ. καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν, τοῖς ἐκπορνεύουσιν ὀπίσω τῶν ἐπιτηδευμάτων αὐτῶν. καὶ κόψονται πρόσωπα αὐτῶν περὶ τῶν κακιῶν ὧν ἐποίησαν ἐν πᾶσι τοῖς βδελύγμασιν αὐτῶν, καὶ ἐπιγνώσονται διότι ἐγὼ κύριος. οὐκ εἰς δωρεὰν λελάληκα τοῦ ποιῆσαι αὐτοῖς, ἅπαντα κακὰ ταῦτα. τάδε λέγει ἀδωναῒ κύριος. κρότησον τῇ χειρὶ καὶ ψόφησον τῷ ποδὶ καὶ εἶπον εὖγε εὖγε. ἐπὶ πᾶσι τοῖς βδελύγμασι οἴκου ἰσραήλ. ἐν ῥομφαίᾳ καὶ ἐν θανάτῳ, καὶ ἐν λιμῷ πεσοῦνται. ὁ ἐγγὺς ἐν ῥομφαίᾳ πεσεῖται. ὁ δὲ μακρὰν ἐν θανάτῳ τελευτήσει. καὶ ὁ περιεχόμενος ἐν λιμῷ, συντελεσθήσεται. καὶ συντελέσω τὴν ὀργήν μου ἐπ' αὐτούς. καὶ γνώσεσθε διότι ἐγὼ κύριος ἐν τῷ εἶναι τοὺς τραυματίας ἡμῶν ἐν μέσῳ τῶν εἰδώλων ὑμῶν, κύκλῳ τῶν θυσιαστηρίων ὑμῶν. ἐπὶ πάντα βουνὸν ὑψηλὸν, καὶ ἐν πάσαις κορυφαῖς τῶν ὀρέων καὶ ὑπὸ κάτω δρυὸς δασείας, οὗ ἔδωκαν ἐκεῖ ὀσμὴν εὐωδίας. πᾶσι τοῖς εἰδώλοις αὐτῶν, καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπ' αὐτούς. καὶ θήσομαι τὴν γῆν εἰς ἀφανισμὸν. καὶ εἰς ὄλεθρον ἀπὸ τῆς ἐρήμου δεβλαθᾶ. ἐκ πάσης τῆς κατοικίας αὐτῶν. ἐπιγνώσεσθε ὅτι ἐγὼ κύριος.

Κεφάλαιον. ζ. 7.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· καὶ σὺ υἱὲ
κ ἀνθρώπου εἶπον· τάδε λέγει ἀδωναὶ κύριος τῇ γῇ
ἰσραήλ· πέρας ἥκει· τὸ πέρας ἥκει ἐπὶ τὰς τέσσαρας
πτέρυγας τῆς γῆς· ἥκει τὸ πέρας· νῦν τὸ πέρας πρός σε· καὶ ἀπο-
στελῶ, ἐγὼ ἐπί σε· καὶ ἐκδικήσω σε· ἐν ταῖς ὁδοῖς σου, καὶ δώ-
σω ἐπί σε πάντα τὰ βδελύγματά σου· οὐ φείσεται ὁ ὀφθαλμός
μου ἐπί σε οὐδ' οὐ μὴ ἐλεήσω· διότι τὴν ὁδόν σου, ἐπὶ σὲ δώσω
καὶ τὰ βδελύγματά σου, ἐν μέσῳ ἔσται καὶ γνώσῃ διότι ἐγὼ κύ-
ριος· διότι τάδε λέγει κύριος· κακία μία κακία· ἰδοὺ πάρεστι τὸ
πέρας ἥκει· τὸ πέρας ἐξηγέρθη πρὸς σέ· ἰδοὺ ἥκει ἡ πλοκὴ ἐπὶ σὲ,
τῶν κατοικούντων τὴν γῆν· ἥκει ὁ καιρὸς ἤγγικεν ἡ ἡμέρα· οὐ
μετὰ θορύβων, οὐδὲ μετὰ ὠδίνων· νῦν ἐγγύθεν ἐκχεῶ τὴν ὀρ-
γήν μου, ἐπὶ σέ· καὶ συντελέσω τὸν θυμόν μου ἐν σοί· καὶ κρινῶ
σε ἐν ταῖς ὁδοῖς σου· καὶ δώσω ἐπὶ σὲ, πάντα τὰ βδελύγμα-
τά σου· οὐ φείσεται ὁ ὀφθαλμός μου· οὐδὲ μὴ ἐλεήσω· διότι τὴν
ὁδόν σου, ἐπὶ σὲ δώσω καὶ τὰ βδελύγματά σου, ἐν μέσῳ σου
ἔσται· καὶ ἐπιγνώσῃ· διότι ἐγὼ κύριος εἰμὶ ὁ τύπτων· ἰδοὺ ἡ ἡμέ-
ρα κυρίου ἥκει· ἰδοὺ τὸ πέρας ἥκει· ἐξῆλθεν ἡ πλοκὴ καὶ ἤνθησεν
ἡ ῥάβδος, ἐξανέστηκεν ἡ ὕβρις· καὶ συντρίψει στήριγμα ἀνόμου·
καὶ οὐ μετὰ θορύβου· οὐδὲ μετὰ σπουδῆς· ἰδοὺ ἡμέρα κυρίου κύ-
ριε, ἰδοὺ τὸ πέρας ἥκει· ἐξῆλθεν ἡ πλοκὴ καὶ ἤνθησεν ἡ ῥάβδος ἐξ-
ανέστηκεν, ἡ ὕβρις, καὶ στηρίξει στήριγμα ἀνόμου, καὶ οὐ μετὰ θο-
ρύβου, οὐδὲ μετὰ σπουδῆς· καὶ οὐκ ἐξ αὐτῶν εἰσὶν οὐδὲ ὡραϊ-
σμὸς ἐν αὐτοῖς· ἥκει ὁ καιρὸς, ἰδοὺ ἡ ἡμέρα· ὁ κτώμενος μὴ χαι-
ρέτω· καὶ ὁ πωλῶν, μὴ θρηνείτω· ὀργὴ εἰς πᾶν τὸ πλῆθος αὐτῆς·
διότι ὁ κτώμενος πρὸς τὸν πωλοῦντα, οὐκέτι οὐ μὴ ἐπιστρέψῃ·
καὶ οὐκέτι ἐν ζωῇ τὸ ζῆν αὐτῷ, ὅτι ὅρασις εἰς πᾶν τὸ πλῆθος αὐ-
τῆς οὐκ ἀνακάμψει· καὶ ἄνθρωπος ἐν ὀφθαλμοῖς ζωῆς αὐτοῦ οὐ
κρατήσει· σαλπίσατε ἐν σάλπιγγι· καὶ κρίνατε τὰ σύμπαντα·
καὶ οὐκ ἔσται πορευόμενος εἰς πόλεμον· ὅτι ὀργή μου ἐπὶ πᾶν

τὸ πλῆθος αὐτῆς. ὁ πόλεμος ἐν ῥομφαίᾳ ἔξωθεν καὶ ὁ λιμὸς καὶ ὁ θάνατος ἔσωθεν. οἱ ἐν τῷ πεδίῳ ἐν ῥομφαίᾳ τελευτήσουσι τοὺς δὲ ἐν τῇ πόλει, λιμὸς καὶ θάνατος συντελέσει. καὶ ἀνασωθήσονται οἱ ἀνασωζόμενοι ἐξ αὐτῶν, καὶ ἔσονται ἐπὶ τῶν ὀρέων περιστεραὶ μελετηταί. καὶ πάντας ἀποκτενῶ, ἕκαστον ἐν ταῖς ἀδικίαις αὐτοῦ. πᾶσαι χεῖρες ἐκλυθήσονται, καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ. καὶ περιζώσονται σάκκους. καὶ καλύψει αὐτοὺς θάμβος. καὶ ἐπὶ πᾶν πρόσωπον αἰσχύνη ἐπ' αὐτούς. καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα. τὸ ἀργύριον αὐτῶν, ῥιφήσεται ἐν ταῖς πλατείαις. καὶ τὸ χρυσίον αὐτῶν, ὑπεροφθήσεται. τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν, οὐ δυνήσεται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου. αἱ ψυχαὶ αὐτῶν, οὐ μὴ ἐμπλησθῶσι. καὶ αἱ κοιλίαι αὐτῶν, οὐ μὴ πληρωθῶσι. διότι βάσανος τῶν ἀδικιῶν αὐτῶν ἐγένετο. ἐκλεκτὰ κόσμου εἰς ὑπερηφανίαν ἔθεντο αὐτά. καὶ εἰκόνας τῶν βδελυγμάτων καὶ προσοχθίσματα αὐτῶν ἐποίησαν ἐξ αὐτῶν. ἕνεκεν τούτου δώσω αὐτὰ αὐτοῖς εἰς ἀκαθαρσίαν. καὶ παραδώσω αὐτὰ, εἰς χεῖρας ἀλλοτρίων αὐτῶν, τοῦ διαρπάσαι αὐτά. καὶ τοῖς λοιμοῖς τῆς γῆς. εἰς σκῦλα. καὶ βεβηλώσουσιν αὐτά. καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ' αὐτῶν. καὶ μιανοῦσι τὴν ἐπισκοπήν μου. καὶ εἰσελεύσονται ἐπ' αὐτὰ ἀφυλάκτως. καὶ βεβηλώσουσιν αὐτὰ, καὶ ποιήσουσι φυρμόν. διότι ἡ γῆ πλήρης λαῶν. καὶ ἡ πόλις πλήρης ἀνομίας. καὶ ἄξω πονηροὺς ἐθνῶν καὶ κληρονομήσουσιν τοὺς οἴκους αὐτῶν, καὶ ἀποστρέψω τὸ φρύαγμα τῆς ἰσχύος αὐτῶν. καὶ μιανθήσεται τὰ ἅγια αὐτῶν. καὶ ἐξιλασμὸς ἥξει. καὶ ζητήσει εἰρήνην, καὶ οὐκ ἔσται. οὐαὶ ἐπὶ οὐαί. καὶ ἐπαγγελία ἐπὶ ἀγγελίαν ἔσται. καὶ ζητηθήσεται ὅρασις ἐκ προφήτου. καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως. καὶ βουλὴ ἐκ πρεσβυτέρων. ὁ βασιλεὺς πενθήσει. καὶ ὁ ἄρχων ἐνδύσεται ἀφανισμόν. καὶ αἱ χεῖρες τοῦ λαοῦ τῆς γῆς παραλυθήσονται. κατὰ τὰς ὁδοὺς αὐτῶν ποιήσω αὐτοῖς.

καὶ ἐν τοῖς κρίμασιν αὐτῶν, ἐκδικήσω αὐτούς. καὶ γνώσονται
ὅτι ἐγὼ κύριος.

Κεφάλαιον. Η. S.

Αἰ ἐγένετο ἐν τῷ ἕκτῳ ἔτει ἐν τῷ πέμπτῳ μηνὶ
κ πέμπτῃ τοῦ μηνός, ἐγὼ ἐκαθήμην ἐν τῷ οἴκῳ. καὶ
οἱ πρεσβύτεροι ἰούδα, ἐκάθηντο ἐνώπιόν μου. καὶ
ἐγένετο ἐπ' ἐμὲ χεὶρ ἀδωναῒ κυρίου. καὶ εἶδον. καὶ ἰδοὺ ὁμοίω
μα ὡς εἶδος ἀνδρός. ἀπὸ τῆς ὀσφύος αὐτοῦ, καὶ ἕως κάτω, πῦρ
καὶ ἀπὸ τῆς ὀσφύος αὐτοῦ τὰ ὑπεράνω αὐτοῦ, ὡς ὅρασις αὔρας
ὡς εἶδος ἠλέκτρου. καὶ ἐξέτεινεν ὁμοίωμα χειρός. καὶ ἀνέλαβέ με
τοῦ κρασπέδου τῆς κορυφῆς μου. καὶ ἀνέλαβέ με πνεῦμα, ἀνὰ
μέσον τῆς γῆς. καὶ ἀνὰ μέσον τοῦ οὐρανοῦ. καὶ ἤγαγέ με εἰς ἱερου
σαλὴμ ἐν ὁράσει θεοῦ. ἐπὶ τὰ πρόθυρα τῆς πύλης τῆς ἐσωτέρας
τῆς βλεπούσης πρὸς βοῤῥᾶν. οὗ ἦν ἡ στήλη τοῦ κτωμένου. καὶ ἰδοὺ
ἦν ἐκεῖ δόξα κυρίου θεοῦ ἰσραήλ. κατὰ τὴν ὅρασιν ἣν εἶδον ἐν
τῷ πεδίῳ, καὶ εἶπε πρός με, υἱὲ ἀνθρώπου. ἀνάβλεψον τοὺς
ὀφθαλμούς σου πρὸς βοῤῥᾶν. καὶ ἀνέβλεψα τοὺς ὀφθαλμούς μου
πρὸς βοῤῥᾶν καὶ ἰδοὺ ἀπὸ βοῤῥᾶ ἐπὶ τὴν πύλην τὴν πρὸς ἀνα
τολὰς τοῦ θυσιαστηρίου, ἡ εἰκὼν τοῦ ζήλου τούτου. ἐν τῇ εἰσπορεύ
εσθαι αὐτὴν καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου. ἑώρακας τί οὗτοι
ποιοῦσιν; ἀνομίας μεγάλας, ἃς ὁ οἶκος ἰσραὴλ ποιοῦσιν ὧδε τοῦ
ἀπέχεσθαι ἀπὸ τῶν ἁγίων μου. καὶ ἔτι ὄψει ἀνομίας μείζονας.
καὶ εἴσαγέ με ἐπὶ τὰ πρόθυρα τῆς αὐλῆς, καὶ εἶδον. καὶ ἰδοὺ
ὀπὴ μία ἐν τῷ τοίχῳ. καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου ὄρυξον
δὴ ἐν τῷ τοίχῳ. καὶ ὤρυξα ἐν τῷ τοίχῳ, καὶ ἰδοὺ θύρα μία,
καὶ εἶπε πρός με. εἴσελθε καὶ ἴδε τὰς ἀνομίας τὰς πονηράς, ἃς
οὗτοι ποιοῦσιν ὧδε σήμερον. καὶ εἰσῆλθον, καὶ εἶδον. καὶ ἰδοὺ πᾶ
σα ὁμοίωσις ἑρπετοῦ, καὶ κτήνους μάταια βδελύγματα. καὶ εἴ
δον πάντα τὰ εἴδωλα οἴκου ἰσραήλ. διαγεγραμμένα ἐπ' αὐ
τοὺς κύκλῳ. καὶ ἑβδομήκοντα ἄνδρες ἐκ τῶν πρεσβυτέρων

οἴκου ἰσραὴλ. καὶ ἰεζονίας ὁ τοῦ σαφὰν. ἐν μέσῳ αὐτῶν εἱστή-
κει πρὸ προσώπου αὐτῶν. καὶ ἕκαστος αὐτῶν, θυμιατήριον αὐ-
τοῦ εἶχεν ἐν τῇ χειρί. καὶ ἡ ἀτμὶς τοῦ θυμιάματος ἀνέβαινε. καὶ
εἶπε πρός με. υἱὲ ἀνθρώπου ἑώρακας, ἃ οἱ πρεσβύτεροι οἴκου
ἰσραὴλ ποιοῦσιν ὧδε, ἕκαστος αὐτῶν ἐν τῷ κοιτῶνι τῷ κρυπτῷ
αὐτῶν. διότι εἶπον οὐχ ὁρᾷ ὁ κύριος. καταλέλοιπεν ὁ κύριος
τὴν γῆν. καὶ εἶπε πρός με. ὅτι ὄψει ἀνομίας μείζονας, ἃς
καὶ οὗτοι ποιοῦσι. εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου
κυρίου, τῆς βλεπούσης πρὸς βοῤῥᾶν. καὶ ἰδοὺ ἐκεῖ γυναῖκες κα-
θήμεναι θρηνοῦσαι τὸν θαμμούς. καὶ εἶπε πρός με. ἑώρακας υἱὲ ἀν-
θρώπου. ὅτι ἐπιτηδεύματα, μείζονα τούτων. καὶ εἰσήγαγέ με εἰς
τὴν αὐλὴν οἴκου κυρίου, τὴν ἐσωτέραν. καὶ ἰδοὺ ἐπὶ τῶν προ-
θύρων τοῦ ναοῦ κυρίου. ἀνὰ μέσον τῶν αἰλὰμ, καὶ ἀνὰ μέσον τοῦ θυ-
σιαστηρίου, ὡς εἴκοσι καὶ πέντε ἄνδρες τὰ ὀπίσθια αὐτῶν δεδω-
κότες πρὸς τὸν ναὸν κυρίου καὶ τὰ πρόσωπα αὐτῶν ἀπέναντι.
καὶ οὗτοι προσκυνοῦσι κατὰ ἀνατολὰς τῷ ἡλίῳ. καὶ εἶπε πρός
με. ἑώρακας υἱὲ ἀνθρώπου; μὴ μικρὰ τῷ οἴκῳ ἰσραὴλ τὸ
ποιεῖν τὰς ἀνομίας ἃς πεποιήκασιν ὧδε; διότι ἔπλησαν τὴν
γῆν ἀνομίας. καὶ ἐπέστρεψαν τοῦ παροργίσαι με. καὶ ἰδοὺ αὐ-
τοὶ ἐκτείνουσι, καὶ τὸ κλῆμα, ὡς μυκτηρίζοντες. καὶ ἐγὼ ποιή-
σω αὐτοῖς μετὰ θυμοῦ. οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐ-
λεήσω, καὶ καλέσουσιν ἐν τοῖς ὠσί μου φωνῇ μεγάλῃ, καὶ οὐκ
εἰσακούσομαι αὐτῶν.

Κεφάλαιον. θ. 9.

Αὶ ἀνέκραξεν εἰς τὰ ὦτά μου φωνὴν μεγάλην, λέ-
* γων ἤγγικεν ἡ ἐκδίκησις τῆς πόλεως. καὶ ἕκαστος εἶ-
χε τὰ σκεύη τῆς ἐξολοθρεύσεως, ἐν χειρὶ αὐτοῦ. καὶ
ἰδοὺ ἓξ ἄνδρες, ἤρχοντο ἀπὸ τῆς ὁδοῦ τῆς πύλης τῆς βλεπού-
σης κατὰ ἀνατολάς. καὶ ἑκάστου πέλυξ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ εἷς
ἀνὴρ ἐν μέσῳ αὐτῶν ἐνδεδυκὼς ποδήρη. καὶ ζώνη σαπφείρου

ἐπὶ τῆς ὀσφύος αὐτοῦ. καὶ εἰσήλθοσαν καὶ ἔστησαν. ἐχόμενοι τοῦ
θυσιαστηρίου τοῦ χαλκοῦ. καὶ δόξα τοῦ θεοῦ ἰσραήλ. ἀνέβη ἐπὶ τῶν
χερουβὶμ ἡ οὖσα ἐπ' αὐτοῦ εἰς τὸ αἴθριον τοῦ οἴκου. καὶ ἐκάλεσε τὸν
ἄνδρα τὸν ἐνδεδυκότα τὸν ποδήρη. ὃς εἶχεν ἐπὶ τῆς ὀσφύος αὐ-
τοῦ τὴν ζώνην. καὶ εἶπε κύριος πρὸς αὐτὸν διέλθε μέσην τὴν ἱε-
ρουσαλήμ. καὶ δὸς τὸ σημεῖον ἐπὶ τὰ μέτωπα τῶν ἀνδρῶν, τῶν
καταστεναζόντων, καὶ τῶν κατοδυνωμένων. ἐπὶ πάσαις ταῖς ἀνο-
μίαις ταῖς γινομέναις ἐν μέσῳ αὐτῶν, καὶ τούτοις εἶπεν ἀκούον-
τός μου. πορεύεσθε εἰς τὴν πόλιν ὀπίσω αὐτοῦ. καὶ κόπτετε. καὶ
μὴ φείδεσθε τοῖς ὀφθαλμοῖς ὑμῶν, καὶ μὴ ἐλεήσητε πρεσβύτε-
ρον, καὶ νεανίσκον καὶ παρθένον καὶ νήπια. καὶ γυναῖκας ἀπο-
κτείνατε εἰς ἐξάλειψιν. ἐπὶ δὲ πάντας ἐφ' οὓς ἐστὶ τὸ σημεῖον μὴ
ἐγγίσητε. καὶ ἀπὸ τῶν ἁγίων μου ἄρξασθε. καὶ ἤρξαντο ἀπὸ τῶν
ἀνδρῶν τῶν πρεσβυτέρων, οἳ ἦσαν ἔσω ἐν τῷ οἴκῳ. καὶ εἶπε
πρὸς αὐτούς. μιάνατε τὸν οἶκον καὶ πληρώσατε τὰς ὁδοὺς νεκρῶν
ἐκπορευόμενοι. καὶ κόπτετε. καὶ ἐγένετο ἐν τῷ κόπτειν αὐτούς.
καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα καὶ εἶπα. οἴμοι,
ἀδωναῒ κύριε ἐξαλείφεις τοὺς καταλοίπους τοῦ ἰσραήλ. ἐν τῷ ἐκ-
χέαι σε τὸν θυμόν σου ἐπὶ ἱερουσαλήμ. καὶ εἶπε πρός με. ἀδικία
τοῦ οἴκου ἰσραήλ, καὶ ἰούδα μεμεγάλυνται σφόδρα σφόδρα.
ὅτι ἐπλήσθη ἡ γῆ λαῶν πολλῶν, καὶ ἡ πόλις ἐπλήσθη ἀδικίας.
καὶ ἀκαθαρσίας. ὅτι εἶπαν ἐγκατέλιπε κύριος τὴν γῆν. οὐκ ἐφορᾷ
κύριος. καὶ ἐγώ εἰμι, οὐ φείσεται ὁ ὀφθαλμός μου. οὐ δὲ μὴ ἐλεή-
σω, τὰς ὁδοὺς αὐτῶν, εἰς κεφαλὰς αὐτῶν δέδωκα. Καὶ ἰδοὺ ὁ
ἀνὴρ ὁ ἐνδεδυκὼς τὸν ποδήρη, καὶ ἐζωσμένος τῇ ζώνῃ τὴν ὀ-
σφὺν αὐτοῦ. καὶ ἀπεκρίνατο λέγων. πεποίηκα καθὼς ἐνετείλατό
μοι.

Κεφ. ι. 10.

Αἰ εἶδον. καὶ ἰδοὺ ἐπάνω τοῦ στερεώματος τοῦ ὑπὲρ κε-
κ φαλῆς τῶν χερουβὶμ ὡς λίθος σαπφείρου. ὁμοίωμα
θρόνου ἐπ' αὐτῶν. καὶ εἶπε πρὸς τὸν ἄνδρα τὸν ἐνδεδυ-

κότα τὴν στολήν· εἴσελθε εἰς τὸ μέσον τῶν τροχῶν, τῶν ὑποκάτω-
τω τῶν χερουβίμ· καὶ πλῆσον τὰς χεῖρας σου ἀνθράκων πυρὸς ἐκ
μέσου τῶν χερουβίμ· καὶ διασκόρπισον ἐπὶ τὴν πόλιν, καὶ εἰσῆλ-
θεν ἐνώπιον ἐμοῦ. καὶ τὰ χερουβὶμ εἱστήκει ἐκ δεξιῶν τοῦ οἴκου, ἐν
τῷ εἰσπορεύεσθαι τὸν ἄνδρα. καὶ ἡ νεφέλη ἔπλησε τὴν αὐλὴν
τὴν ἐσωτέραν. καὶ ἀπῆρεν ἡ δόξα κυρίου ἀπὸ τῶν χερουβὶμ εἰς
τὸ αἴθριον τοῦ οἴκου. καὶ ἔπλησε τὸν οἶκον ἡ νεφέλη. καὶ ἡ αὐλὴ ἐν-
πλήσθη τοῦ φέγγους τῆς δόξης κυρίου καὶ φωνὴ τῶν πτερύγων τῶν
χερουβὶμ ἠκούετο, ὡς τῆς αὐλῆς τῆς ἐξωτέρας. ὡς φωνὴ θεοῦ σαδ-
δαὶ λαλοῦντος, καὶ ἐγένετο ἐν τῷ ἐντέλλεσθαι αὐτὸν τῷ ἀνδρὶ
ἐνδεδυκότι τὴν στολὴν τὴν ἁγίαν λέγων. λάβε πῦρ ἐκ μέσου
τῶν τροχῶν. καὶ ἐκ μέσου τῶν χερουβίμ, καὶ εἰσῆλθε, καὶ ἔστη ἐχό-
μενος τῶν τροχῶν. καὶ ἐξέτεινε τὸ χερουβὶμ τὴν χεῖρα αὐτοῦ. εἰς
μέσον τοῦ πυρὸς τοῦ ὄντος εἰς μέσον τῶν χερουβίμ, καὶ ἔλαβε καὶ ἔ-
δωκεν εἰς τὰς χεῖρας τοῦ ἐνδεδυκότος τὴν στολὴν τὴν ἁγίαν,
καὶ ἔλαβε καὶ ἐξῆλθε. καὶ εἶδον τὰ χερουβίμ, ὁμοίωμα χειρῶν ἀν-
θρώπων, ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. καὶ εἶδον. καὶ ἰδοὺ τρο-
χοὶ τέσσαρες εἱστήκεισαν, ἐχόμενοι τῶν χερουβίμ. τροχὸς εἷς,
ἐχόμενος χερουβὶμ ἑνός. καὶ ἡ ὄψις τῶν τροχῶν, ὡς ὄψις λίθου ἄν-
θρακος καὶ ἡ ὄψις αὐτῶν ἐν ταῖς τέσσαρσιν. ὃν τρόπον ὅταν ᾖ
τροχὸς ἐν μέσῳ τροχοῦ, ἐν τῷ πορεύεσθαι αὐτά, εἰς τὰ τέσσαρα
μέρη αὐτῶν ἐπορεύοντο, οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά,
ὅτι εἰς ὃν ἂν τόπον ἐπέβλεψεν ἡ ἀρχὴ ἡ μία ὀπίσω αὐτῆς ἐπο-
ρεύοντο. καὶ οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτά. καὶ οἱ νῶτοι αὐ-
τῶν, καὶ αἱ χεῖρες αὐτῶν, καὶ αἱ πτέρυγες αὐτῶν. καὶ οἱ τροχοὶ πλήρεις
ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσι τροχοῖς αὐτῶν. τοῖς δὲ τροχοῖς
τούτοις ἐπεκλήθη γελγέλ, ἀκούοντός μου. καὶ τέσσαρα πρόσωπα
τῷ ἑνί. τὸ πρόσωπον τοῦ ἑνὸς πρόσωπον τοῦ χερουβίμ. καὶ τὸ πρόσωπον
τοῦ δευτέρου, πρόσωπον ἀνθρώπου. καὶ τὸ τρίτον πρόσωπον λέοντος. καὶ τὸ τέ-
ταρτον πρόσωπον, ἀετοῦ. καὶ ἀπῆρε τὰ χερουβὶμ τοῦτο τὸ ζῶον

ὃ εἶδον ἐπὶ τοῦ ποταμοῦ τοῦ χοβάρ. καὶ ἐν τῷ πορεύεσθαι τὰ χερουβὶμ, ἐπορεύοντο οἱ τροχοί. καὶ οὗτοι ἐχόμενοι αὐτῶν. καὶ ἐν τῷ ἐξαίρειν τὰ χερουβὶμ, τὰς πτέρυγας αὐτῶν τοῦ μετεωρίζεσθαι ἀπὸ τῆς γῆς, καὶ οὐκ ἐπέστρεφον οἱ τροχοὶ αὐτῶν. καί γε αὐτὰ ἀπὸ τῶν ἐχομένων αὐτῶν. ἐν τῷ ἑστάναι αὐτὰ, εἱστήκεισαν. καὶ ἐν τῷ μετεωρίζεσθαι αὐτὰ, μετεωρίζοντο μετ' αὐτῶν. διότι πνεῦμα ζωῆς ἐν αὐτοῖς, καὶ ἐξῆλθε δόξα κυρίου ἀπὸ τοῦ αἰθρίου τοῦ οἴκου. καὶ ἐπέβη ἐπὶ τὰ χερουβὶμ, καὶ ἀνέλαβε τὰ χερουβὶμ, τὰς πτέρυγας αὐτῶν, καὶ ἐμετεωρίσθησαν ἀπὸ τῆς γῆς ἐνώπιον ἐμοῦ, ἐν τῷ ἐξελθεῖν αὐτά. καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν. καὶ ἔστησαν ἐπὶ τὰ πρόθυρα τῆς πύλης οἴκου κυρίου τῆς ἀπέναντι. καὶ δόξα θεοῦ ἰσραὴλ ἦν ἐπ' αὐτῶν ὑπεράνω. τοῦτο τὸ ζῶον ἐστὶν ὃ εἶδον ὑποκάτω θεοῦ ἰσραὴλ, ἐπὶ τοῦ ποταμοῦ τοῦ χοβάρ. καὶ ἔγνων ὅτι χερουβίμ ἐστι. τέσσαρα πρόσωπα τῷ ἑνί. καὶ τέσσαρες πτέρυγες τῷ ἑνί. καὶ ὁμοίωμα χειρῶν ἀνθρώπων, ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν. ταῦτα τὰ πρόσωπα ἐστὶν, ἃ εἶδον ὑποκάτω τῆς δόξης τοῦ θεοῦ ἱερουσαλὴμ ἐπὶ τοῦ ποταμοῦ τοῦ χοβάρ, τὴν ὅρασιν αὐτῶν, καὶ αὐτὰ ἕκαστον, κατὰ πρόσωπον αὐτῶν ἐπορεύετο.

Κεφάλαιον. ια. 11.

κ Αὶ ἀνέλαβέ με πνεῦμα, καὶ ἤγαγέ με ἐπὶ τὴν πύλην τοῦ οἴκου τὴν κατέναντι, τὴν βλέπουσαν κατὰ ἀνατολὰς, καὶ ἰδοὺ ἐπὶ τῶν προθύρων τῆς πύλης, ὡς εἴκοσι καὶ πέντε ἄνδρες. καὶ εἶδον ἐν μέσῳ αὐτῶν, τὸν ἰεζονίαν τὸν τοῦ ἰάζερ, καὶ βαλτίαν τὸν τοῦ βαναίου, τοὺς ἀφηγουμένους τοῦ λαοῦ. καὶ εἶπε κύριος πρός με υἱὲ ἀνθρώπου. οὗτοι οἱ ἄνδρες οἱ λογιζόμενοι μάταια. καὶ βουλευόμενοι βουλὴν πονηρὰν ἐν τῇ πόλει ταύτῃ. οἱ λέγοντες οὐχὶ προσφάτως ᾠκοδόμηνται αἱ οἰκίαι, αὕτη ἐστὶν ὁ λέβης. ἡμεῖς δὲ τὰ κρέα. διὰ τοῦτο προφήτευσον ἐπ' αὐτούς. προφήτευσον υἱὲ ἀνθρώπου

καὶ ἔπεσε

καὶ ἔπεσεν ἐπ' ἐμὲ πνεῦμα κυρίου καὶ εἶπε πρός με λέγε. τά-
δε λέγει ἀδωναῒ κύριος. οὕτως εἴπατε οἶκος ἰσραήλ, καὶ τὰ
διαβούλια τοῦ πνεύματος ὑμῶν, ἐγὼ ἐπίσταμαι. ἐπληθύνατε
νεκροὺς ὑμῶν, ἐν τῇ πόλει ταύτῃ καὶ ἐνεπλήσατε τὰς ὁδοὺς
αὐτῆς τραυμάτων. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος. τοὺς νε-
κροὺς ὑμῶν, οὓς ἐπατάξατε ἐν μέσῳ αὐτῆς, οὗτοί εἰσι τὰ κρέα.
αὕτη δὲ ἡ λέβης ἐστί. καὶ ὑμᾶς ἐξάξω, ἐκ μέσου αὐτῆς, ῥομφαί-
αν φοβεῖσθε. καὶ ῥομφαίαν ἐπάξω ἐφ' ὑμᾶς, λέγει ἀδωναῒ κύ-
ριος. καὶ ἐξάξω ὑμᾶς ἐκ μέσου αὐτῆς. καὶ παραδώσω ὑμᾶς εἰς
χεῖρας ἀλλοτρίων. καὶ ποιήσω, ἐν ὑμῖν κρίματα, ἐν ῥομφαίᾳ
πεσεῖσθε. καὶ ἐπὶ τῶν ὁρέων τοῦ ἰσραήλ, κρινῶ ὑμᾶς. καὶ ἐπιγνώ-
σεσθε ὅτι ἐγὼ κύριος. αὕτη ὑμῖν. οὐκ ἔσται εἰς λέβητα. καὶ ὑμεῖς
οὐ μὴ γένησθε ἐν μέσῳ αὐτῆς, εἰς κρέα ἐπὶ τῶν ὁρέων τοῦ ἰσρα-
ὴλ κρινῶ ὑμᾶς, καὶ ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. καὶ ἐγέ-
νετο ἐν τῷ προφητεύειν με, καὶ φαλτίας ὁ τοῦ ναβαίνου ἀπέθα-
νε. καὶ πίπτω ἐπὶ πρόσωπόν μου, καὶ ἀνεβόησα φωνῇ μεγάλῃ, καὶ
εἶπα. οἴμοι οἴμοι ἀδωναῒ κύριε. εἰς συντέλειαν ποιεῖς σὺ τοὺς
καταλοίπους τοῦ ἰσραήλ. Καὶ ἐγένετο λόγος κυρίου πρός με
λέγων, υἱὲ ἀνθρώπου. οἱ ἀδελφοί σου, καὶ οἱ ἄνδρες τῆς αἰχμα-
λωσίας σου. καὶ πᾶς ὁ οἶκος τοῦ ἰσραήλ, συντετέλεσται. οἷς εἶ-
πον αὐτοῖς οἱ κατοικοῦντες ἱερουσαλήμ, μακρὰν ἀπέχετε ἀ-
πὸ κυρίου. ἡμῖν δέδοται ἡ γῆ εἰς κληρονομίαν. διὰ τοῦτο εἰ-
πον. τάδε λέγει ἀδωναῒ κύριος. ὅτι ἀπώσομαι αὐτοὺς, εἰς τὰ
ἔθνη. καὶ διασκορπιῶ αὐτοὺς εἰς πᾶσαν τὴν γῆν. καὶ ἔσομαι
αὐτοῖς εἰς ἁγίασμα μικρὸν ἐν ταῖς χώραις. οὗ ἐὰν εἰσέλθωσιν
ἐκεῖ. διὰ τοῦτο εἶπον, τάδε λέγει κύριος. καὶ εἰσδέξομαι αὐ-
τοὺς ἐκ τῶν ἐθνῶν. καὶ συνάξω αὐτοὺς ἐκ τῶν χωρῶν, οὗ διέ-
σπειρα αὐτοὺς ἐν αὐταῖς. καὶ δώσω αὐτοῖς τὴν γῆν τοῦ ἰσ-
ραήλ. καὶ εἰσελεύσονται ἐκεῖ. καὶ ἐξαροῦσι πάντα τὰ βδελύ-
γματα αὐτῆς, καὶ πάσας τὰς ἀνομίας αὐτῆς, ἐξ αὐτῆς. καὶ

δώσω αὐτοῖς, καρδίαν ἑτέραν. καὶ πνεῦμα καινὸν δώσω αὐ-
τοῖς. καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην, ἐκ τῆς σαρ-
κὸς αὐτῶν. καὶ δώσω αὐτοῖς, καρδίαν σαρκίνην. ὅπως ἐν τοῖς
προστάγμασί μου, πορεύωνται. καὶ τὰ δικαιώματά μου φυλάσ-
σωνται. καὶ ποιήσωσιν αὐτά. καὶ ἔσονταί μοι εἰς λαόν. καὶ ἐγὼ
ἔσομαι αὐτοῖς εἰς θεόν, λέγει κύριος. καὶ κατὰ τὰς καρδίας τῶν
βδελυγμάτων αὐτῶν, καὶ τῶν ἀνομιῶν αὐτῶν ὧν ἐποίησαν.
ὡς ἡ καρδία αὐτῶν ἐπορεύετο τὰς ὁδοὺς αὐτῶν, εἰς κεφαλὰς αὐ-
τῶν δέδωκα λέγει κύριος. καὶ ἐξήγειρε τὰ χερουβὶμ τὰς πτέρυ-
γας αὐτῶν. καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν. καὶ ἡ δόξα θεοῦ ἰσρα-
ὴλ ἐπ' αὐτά, ὑπεράνω αὐτῶν. καὶ ἀνέβη ἡ δόξα κυρίου ἐκ μέ-
σης τῆς πόλεως. καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι τῆς πόλε-
ως, καὶ ἀνέλαβέ με πνεῦμα, καὶ ἤγαγέ με εἰς γῆν χαλδαίων,
εἰς τὴν αἰχμαλωσίαν. ἐν ὁράσει. ἐν πνεύματι θεοῦ. καὶ ἀνέ-
βην ἀπὸ τῆς ὁράσεως ἧς εἶδον. καὶ ἐλάλησα πρὸς τὴν αἰχμα-
λωσίαν. πάντας τοὺς λόγους κυρίου οὓς ἔδειξέ μοι.

Κεφάλαιον. ιβ. 12.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, υἱὲ ἀνθρώ-
κ που. ἐν μέσῳ τῶν ἀδικιῶν αὐτῶν, σὺ κατοικεῖς. οἳ
ἔχουσιν ὀφθαλμοὺς τοῦ ὁρᾶν, καὶ οὐ βλέπουσι, καὶ
ὦτα ἔχουσι τοῦ ἀκούειν, καὶ οὐκ ἀκούουσι. διότι οἶκος παρα-
πικραίνων ἐστί. καὶ σὺ υἱὲ ἀνθρώπου, ποίησον σεαυτῷ σκεύη
αἰχμαλωσίας. καὶ αἰχμαλωτίσθητι ἡμέρας ἐνώπιον αὐτῶν. καὶ
αἰχμαλωτισθήσῃ ἐκ τοῦ τόπου σου, εἰς ἕτερον τόπον, ἐνώπιον αὐ-
τῶν. ὅπως ἴδωσι, διότι οἶκος παραπικραίνων ἐστί. καὶ ἐξοίσεις
τὰ σκεύη σου σκεύη αἰχμαλωσίας, ἡμέρας κατ' ὀφθαλμοὺς αὐ-
τῶν. καὶ ἐξελεύσῃ ἑσπέρας ἐνώπιον αὐτῶν, ὡς ἐκπορεύεται αἰχμά-
λωτος. διόρυξον σεαυτῷ εἰς τὸν τοῖχον. καὶ διεξελεύσῃ δι' αὐτοῦ,
ἐνώπιον αὐτῶν. ἐπ' ὤμων ἀναληφθήσῃ. καὶ κεκρυμμένος ἐξε-
λεύσῃ. τὸ πρόσωπόν σου συγκαλύψεις, καὶ οὐ μὴ ἴδῃς τὴν γῆν.

διότι τέρας δέδωκά σε τῷ οἴκῳ ἰσραήλ. καὶ ἐποίησα
οὕτως, κατὰ πάντα ὅσα ἐνετείλατό μοι. καὶ ἐξήνεγκα ὡς σκεύη
αἰχμαλωσίας ἡμέρας. καὶ ἑσπέρας διώρυξα ἐμαυτῷ, τὸν τοῖ
χον τῇ χειρὶ, καὶ κεκρυμμένος ἐξῆλθον. ἐπ' ὤμων ἀνελήφθην ἐνώ
πιον αὐτῶν. καὶ ἐγένετο λόγος κυρίου τοπρωῒ πρός με λέγων.
υἱὲ ἀνθρώπου, οὐκ εἶπαν πρὸς σὲ ὁ οἶκος τοῦ ἰσραήλ. ὁ παρα
πικραίνων τί ποιεῖς, εἶπον πρὸς αὐτούς. τάδε λέγει κύριος κύρι
ος. τῷ ἄρχοντι καὶ τῷ ἀφηγουμένῳ ἐν ἱερουσαλήμ. καὶ παντὶ
τῷ οἴκῳ ἰσραήλ, οἵ εἰσιν ἐν μέσῳ αὐτῶν. εἶπον. ὅτι ἐγὼ τέ
ρατα ποιῶ ἐν μέσῳ αὐτῆς. ὃν τρόπον πεποίηκα, οὕτως ἔσται αὐ
τοῖς. ἐν μετοικεσίᾳ, καὶ ἐν αἰχμαλωσίᾳ πορεύσονται. καὶ ὁ
ἄρχων αὐτῶν ἐν μέσῳ αὐτῶν, ἐπ' ὤμων ἀρθήσεται. καὶ κε
κρυμμένος ἐξελεύσεται διὰ τοῦ τοίχου. διορύξει τοῦ ἐξελθεῖν αὐτὸν
δι' αὐτοῦ τὸ πρόσωπον αὐτοῦ συγκαλύψει. ὅπως μὴ ὁραθῇ ὀφθαλ
μῷ. καὶ αὐτὸς τὴν γῆν οὐκ ὄψεται. καὶ ἐκπετάσω τὸ δίκτυόν
μου ἐπ' αὐτόν. καὶ συλληφθήσεται ἐν τῇ περιοχῇ μου. καὶ ἄξω
αὐτὸν εἰς βαβυλῶνα εἰς γῆν χαλδαίων. καὶ αὐτὴν οὐκ ὄψεται
καὶ ἐκεῖ τελευτήσει. καὶ πάντας τοὺς ἀντιλαμβανομένους αὐτοῦ
διασπερῶ. εἰς πάντα ἄνεμον. καὶ ῥομφαίαν ἐκχεῶ ὀπίσω αὐ
τῶν. καὶ γνώσονται, ὅτι ἐγὼ κύριος. ἐν τῷ διασκορπίσαι με αὐ
τοὺς ἐν τοῖς ἔθνεσι. καὶ διασπερῶ αὐτοὺς ἐν ταῖς χώραις. καὶ ὑπο
λείψομαι ἐξ αὐτῶν ἄνδρας ἀριθμῷ. ἐκ ῥομφαίας καὶ ἐκ λιμοῦ, καὶ
ἐκ θανάτου, ὅπως ἐκδιηγῶνται πάσας τὰς ἀνομίας αὐτῶν ἐν τοῖς
ἔθνεσιν, οὗ ἤλθοσαν ἐκεῖ. καὶ γνώσονται ὅτι ἐγὼ κύριος. Καὶ
ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώπου. τὸν ἄρ
τον σου μετὰ ἐνδείας φάγεσαι. καὶ τὸ ὕδωρ σου, μετὰ βασά
νου καὶ θλίψεως πίεσαι. καὶ ἐρεῖς πρὸς τὸν λαὸν τῆς γῆς. τάδε
λέγει ἀδωναῒ κύριος τοῖς κατοικοῦσιν ἱερουσαλήμ, ἐπὶ τῆς γῆς
τοῦ ἰσραήλ. τοὺς ἄρτους αὐτῶν μετὰ ἐνδείας φάγονται. καὶ τὸ
ὕδωρ αὐτῶν, μετὰ ἀφανισμοῦ πίονται, ὅπως ἀφανισθῇ ἡ

γῆ σὺν τῷ πληρώματι αὐτῆς. ἐν ἀσεβείᾳ γὰρ, πάντες οἱ κατοι-
κοῦντες ἐν αὐτῇ. καὶ αἱ πόλεις αὐτῶν αἱ κατοικούμεναι, ἐξερη-
μωθήσονται. καὶ ἡ γῆ αὐτῶν, εἰς ἀφανισμὸν ἔσται. καὶ ἐπιγνώ-
σεσθε διότι ἐγὼ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με λέ-
γων. υἱὲ ἀνθρώπου τίς ὑμῖν ἡ παραβολὴ αὕτη. ἐπὶ τῆς γῆς τοῦ
ἰσραήλ. λέγοντες μακραὶ αἱ ἡμέραι, ἀπόλωλε πᾶσα ὅρασις
διὰ τοῦτο εἶπον πρὸς αὐτούς. τάδε λέγει ἀδωναὶ κύριος. ἀπο-
στρέψω τὴν παραβολὴν ταύτην καὶ οὐκέτι μὴ εἴπωσι τὴν πα-
ραβολὴν ταύτην, οἶκος ἰσραήλ. ὅτι λαλήσεις πρὸς αὐτούς. ἠγγί-
κασιν αἱ ἡμέραι, καὶ λόγος πάσης ὁράσεως, ὅτι οὐκ ἔσται πᾶσα
ὅρασις ψευδής. καὶ μαντευόμενοι τὰ πρὸς χάριν. ἐν μέσῳ τῶν
υἱῶν ἰσραήλ. διότι ἐγὼ κύριος. λαλήσω τοὺς λόγους μου. λα-
λήσω καὶ ποιήσω, καὶ οὐ μὴ μηκυνῶ ἔτι. ὅτι ἐν ταῖς ἡμέραις ὑ-
μῶν, οἶκος ὁ παραπικραίνων. λαλήσω λόγον. καὶ ποιήσω λέγει
ἀδωναὶ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώ-
που. ἰδοὺ ὁ οἶκος ἰσραὴλ ὁ παραπικραίνων, λέγοντες λέγουσιν
ἡ ὅρασις ἣν οὗτος ὁρᾷ, εἰς ἡμέρας πολλὰς καὶ εἰς καιροὺς μακροὺς
οὗτος προφητεύει. διὰ τοῦτο εἶπον πρὸς αὐτούς, τάδε λέγει κύρι-
ος. οὐ μὴ μηκύνωσιν οὐκέτι πάντες οἱ λόγοι μου, οὓς ἂν λαλή-
σω ὅτι λαλήσω λόγον καὶ ποιήσω λέγει ἀδωναὶ κύριος.

Κεφάλαιον. ιγ. 13.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώ-
κ που. προφήτευσον ἐπὶ τοὺς προφήτας τοῦ ἰσραὴλ τοὺς
προφητεύοντας τὰ ἰσραήλ. καὶ ἐρεῖς τοῖς προφήταις
τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν, καὶ προφητεύσεις, καὶ
ἐρεῖς πρὸς αὐτοὺς ἀκούσατε λόγον κυρίου. τάδε λέγει κύριος
ἀδωναί. οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν. καὶ τὸ
καθόλου μὴ βλέπουσιν. οἱ προφῆταί σου ἰσραήλ, ὡς ἀλώπε-
κες ἐν ταῖς ἐρήμοις. οὐκ ἔστησαν ἐν στερεώματι. καὶ συνήγαγον
ποίμνια, ἐπὶ τὸν οἶκον τοῦ ἰσραήλ. οὐκ ἀνέστησαν ἐν πολέμῳ οἱ λέ-

γοντες ἐν ἡμέρᾳ κυρίου. βλέποντες ψευδῆ. μαντευόμενοι μά-
ταια, οἱ λέγοντες λέγει κύριος. καὶ ἐγὼ οὐκ ἀπεστάλκα αὐτούς. καὶ
ἤρξαντο τοῦ ἀναστῆσαι λόγον. οὐχὶ ὅρασιν ψευδῆ ἑωράκατε, καὶ
μαντείας ματαίας ἑωράκατε, καὶ λέγετε φησὶ κύριος. καὶ
ἐγὼ οὐκ ἐλάλησα. διὰ τοῦτο εἶπεν, τάδε λέγει ἀδωναῒ κύριος. ἀνθ'
ὧν οἱ λόγοι ὑμῶν ψευδεῖς, καὶ αἱ μαντεῖαι ὑμῶν μάταιαι. διὰ
τοῦτο ἰδοὺ ἐγὼ ἐφ' ὑμᾶς, λέγει ἀδωναῒ κύριος. καὶ ἐκτενῶ τὴν
χεῖρά μου ἐπὶ τοὺς προφήτας τοὺς ὁρῶντας ψευδῆ. καὶ τοὺς ἀπο-
φθεγγομένους μάταια, ἐν παιδείᾳ τοῦ λαοῦ μου, οὐκ ἔσονται. οὐδὲ
ἐν γραφῇ οἴκου ἰσραὴλ οὐ γραφήσονται, καὶ εἰς τὴν γῆν τοῦ ἰσ-
ραὴλ οὐκ εἰσελεύσονται. καὶ γνώσονται διότι ἐγὼ ἀδωναῒ κύριος.
ἀνθ' ὧν ἐπλάνησαν τὸν λαόν μου λέγοντες. εἰρήνη εἰρήνη, καὶ οὐκ ἔ-
στιν εἰρήνη. καὶ οὗτος οἰκοδομεῖ τὸν τοῖχον. καὶ αὐτοὶ ἀλείφουσιν
αὐτόν. εἰ πεσεῖται εἶπε πρὸς τοὺς ἀλείφοντας αὐτόν. πεσεῖται
καὶ ἔσται ὑετὸς κατακλύζων. καὶ δώσω λίθους πετροβόλους εἰς τοὺς
ἐνδέσμους αὐτοῦ καὶ πεσοῦνται. καὶ πνεῦμα ἐξαῖρον καὶ ῥαγήσε-
ται. καὶ ἰδοὺ πέπτωκεν ὁ τοῖχος καὶ ἐροῦσι πρὸς ὑμᾶς. ποῦ ἐστὶ
ἡ ἀλειφὴ ὑμῶν ἣν ἠλείψατε. διὰ τοῦτο τάδε λέγει κύριος. καὶ ῥή-
ξω πνοὴν ἐξαίρουσαν μετὰ θυμοῦ. καὶ ὑετὸς κατακλύζων ἐν ὀρ-
γῇ μου ἔσται. καὶ τοὺς λίθους τοὺς περιβόλους, ἐν θυμῷ ἐπάξω εἰς τὴν
συντέλειαν. καὶ κατασκάψω τὸν τοῖχον ὃν ἠλείψατε, καὶ πεσεῖται.
καὶ θήσω αὐτὸν ἐπὶ τὴν γῆν. καὶ ἀνακαλυφθήσεται τὰ θεμέ-
λια αὐτοῦ καὶ πεσεῖται. καὶ συντελεσθήσεσθε μετ' ἐλέγχων, καὶ
ἐπιγνώσεσθε διότι ἐγὼ κύριος. καὶ συντελέσω τὸν θυμόν μου,
ἐπὶ τὸν τοῖχον, καὶ ἐπὶ τοὺς ἀλείφοντας αὐτόν, καὶ πεσεῖται. καὶ
εἶπα πρὸς ὑμᾶς. οὐκ ἔστιν ὁ τοῖχος, οὐδὲ οἱ ἀλείφοντες αὐ-
τὸν προφῆται τοῦ ἰσραήλ. οἱ προφητεύοντες ἐπὶ ἱερουσαλὴμ,
καὶ οἱ ὁρῶντες αὐτῇ εἰρήνην, καὶ οὐκ ἔστιν εἰρήνη λέγει ἀδωναῒ κύ-
ριος. καὶ σὺ υἱὲ ἀνθρώπου, στήρισον τὸ πρόσωπόν σου, ἐπὶ τὰς θυγα-
τέρας τοῦ λαοῦ σου, τὰς προφητευούσας ἀπὸ καρδίας αὐτῶν,

καὶ προφήτευσον ἐπ' αὐτὰς καὶ ἐρεῖς, τάδε λέγει ἀδωναῒ κύρ-
ιος. οὐαὶ ταῖς συῤῥαπτούσαις προσκεφάλαια, ὑπὸ πάντα ἀγ-
κῶνα χειρός. καὶ ποιούσαις ἐπιβόλαια ἐπὶ πᾶσαν κεφαλὴν πά-
σης ἡλικίας τοῦ διαστρέψαι ψυχάς. αἱ ψυχαὶ διεστράφησαν τοῦ
λαοῦ μου. καὶ ψυχὰς περιεποιοῦντο. καὶ ἐβεβήλουν με πρὸς τὸν
λαόν μου, ἕνεκεν δρακὸς κριθῶν, καὶ ἕνεκεν κλασμάτων ἄρτου,
ἀποκτεῖναι ψυχάς, ἃς οὐκ ἔδει ἀποθανεῖν. καὶ περιεποιοῦντο
ψυχάς, ἃς οὐκ ἔδει ζῆσαι. ἐν τῷ ἀποφθέγγεσθαι ὑμᾶς λαῷ εἰσ-
ακούοντι μάταια ἀποφθέγματα. διὰ τοῦτο τάδε λέγει κύριος
κύριος. ἰδοὺ ἐγὼ ἐπὶ τὰ προσκεφάλαια ὑμῶν, ἐφ' ἃ ὑμεῖς ἐκεῖ
συστρέφετε ψυχάς. καὶ διαῤῥήξω αὐτά, ἀπὸ τῶν βραχιόνων
ὑμῶν. καὶ ἐξαποστελῶ τὰς ψυχὰς ἃς ὑμεῖς ἐκστρέφετε τὰς ψυ-
χὰς αὐτῶν εἰς διασκορπισμόν. καὶ διαῤῥήξω τὰ ἐπιβόλαια
ὑμῶν. καὶ ῥύσομαι τὸν λαόν μου, ἐκ χειρὸς ὑμῶν, καὶ οὐκέτι ἔσον-
ται ἐν χερσὶν ὑμῶν εἰς συστροφήν. καὶ ἐπιγνώσεσθε. διότι ἐγὼ
κύριος. ἀνθ' ὧν διεστρέφετε καρδίαν δικαίου ἀδίκως. καὶ ἐ-
γὼ οὐ διέστρεφον αὐτόν. καὶ τοῦ κατισχῦσαι χεῖρας ἀνόμου.
τοῦ καθόλου μὴ ἀποστρέψαι αὐτὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ, καὶ
τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς.. καὶ ζῆσαι αὐτόν, διὰ τοῦτο ψευ-
δῆ οὐ μὴ ἴδητε. καὶ μαντείαν οὐ μὴ μαντεύσησθε ἔτι. καὶ ῥύ-
σομαι τὸν λαόν μου, ἐκ χειρὸς ὑμῶν, καὶ ἐπιγνώσεσθε διότι ἐ-
γὼ κύριος.

## Κεφάλαιον. ιδ. 14.

Αὶ ἦλθον πρός με ἄνδρες ἀπὸ τῶν πρεσβυτέρων τοῦ
κ λαοῦ ἰσραήλ, καὶ ἐκάθισαν πρὸ προσώπου μου. καὶ ἐ-
γένετο πρός με λόγος κυρίου λέγων. υἱὲ ἀνθρώπου.
οἱ ἄνδρες οὗτοι ἔθεντο τὰ διανοήματα αὐτῶν, ἐπὶ τὰς καρδίας
αὐτῶν. καὶ τὴν κόλασιν τῶν ἀδικιῶν αὐτῶν, ἔθηκαν πρὸ προσώ-
που αὐτῶν. εἰ ἀποκρινόμενος ἀποκριθῶ αὐτοῖς διὰ τοῦτο λάλησον
αὐτοῖς. καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει ἀδωναῒ κύριος ἄνθρω-

πος ἄνθρωπος ἐκ τοῦ οἴκου ἰσραὴλ ὃς ἂν θῇ τὰ διανοήματα αὐτοῦ ἐπὶ
τὴν καρδίαν αὐτοῦ. καὶ τὴν κόλασιν τῆς ἀδικίας αὐτοῦ. τάξῃ πρὸ
προσώπου αὐτοῦ. καὶ ἔλθῃ πρὸς τὸν προφήτην. ἐγὼ κύριος ἀπο-
κριθήσομαι αὐτῷ ἐν αὐτοῖς. ἐν οἷς ἐνέχεται ἡ διάνοια αὐτοῦ, ὅ-
πως ἂν μὴ πλαγιάσωσι τὸν οἶκον ἰσραὴλ, κατὰ τὰς καρδίας
αὐτῶν. τὰς ἀπηλλοτριωμένας ἀπ᾽ ἐμοῦ, ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν
διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον ἰσραήλ. τάδε λέγει κύριος ὁ
θεός. ἐπιστρέψατε, καὶ ἀποστράφητε ἀπὸ τῶν ἐπιτηδευμάτων
ὑμῶν. καὶ ἀπὸ πασῶν τῶν ἀσεβειῶν ὑμῶν. καὶ ἐπιστρέψατε
τὰ πρόσωπα ὑμῶν πρός με. διότι ἄνθρωπος, ἄνθρωπος ἐκ
τοῦ οἴκου ἰσραήλ. καὶ ἐκ τῶν προσηλύτων τῶν προσκειμένων
ἐν τῷ ἰσραήλ. ὃς ἂν ἀπαλλοτριωθῇ ἀπ᾽ ἐμοῦ, καὶ θῆται τὰ ἐν-
θυμήματα ἐπὶ τὴν καρδίαν αὐτοῦ. καὶ τὴν κόλασιν τῆς καρδί-
ας αὐτοῦ, τάξῃ πρὸ προσώπου αὐτοῦ. καὶ ἔλθῃ πρὸς τὸν προ-
φήτην τοῦ ἐπερωτῆσαι αὐτὸν ἐν ἐμοί, ἐγὼ κύριος ἀποκριθήσο-
μαι αὐτῷ. ἐν ᾧ ἐνέχεται ἐν αὐτῷ. καὶ στηριῶ τὸ πρόσωπόν μου
ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον. καὶ θήσομαι αὐτὸν εἰς σημεῖον, καὶ εἰς
ἀφανισμόν. καὶ ἐξαρῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου. ἐγὼ κύριος
πεπλάνηκα τὸν προφήτην ἐκεῖνον, καὶ ἐκτενῶ τὴν χεῖρά μου
ἐπ᾽ αὐτόν. καὶ ἀφανιῶ αὐτὸν ἐκ μέσου τοῦ λαοῦ μου ἰσραήλ. καὶ
λήψονται τὴν ἀδικίαν αὐτῶν, κατὰ τὸ ἀδίκημα τοῦ ἐπερωτῶν-
τος. καὶ κατὰ τὸ ἀδίκημα ὁμοίως τῷ προφήτῃ ἔσται. ὅπως μὴ
πλανᾶται ἔτι, οἶκος τοῦ ἰσραὴλ ἀπ᾽ ἐμοῦ. καὶ ἵνα μὴ μιαίνων-
ται ἐν πᾶσι τοῖς παραπτώμασιν αὐτῶν. καὶ ἔσονταί μοι εἰς λα-
όν. καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν ἐγὼ λέγει ἀδωναὶ κύριος. καὶ ἐγέ-
νετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώπου. γῆ ἐὰν ἁμάρ-
τῃ μοι τοῦ παραπεσεῖν παράπτωμα. καὶ ἐκτενῶ τὴν χεῖρά μου
ἐπ᾽ αὐτήν, καὶ συντρίψω αὐτῆς στήριγμα αὐτοῦ. καὶ ἐξαποστελῶ ἐπ᾽
αὐτὴν λιμόν, καὶ ἐξαρῶ ἀπ᾽ αὐτῆς, ἄνθρωπον καὶ κτήνη. καὶ ἐὰν ὦσιν οἱ
τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς. νῶε καὶ δανιὴλ καὶ ἰώβ. οὗτοι ἐν

τῇ δικαιοσύνῃ αὐτῶν σωθήσονται λέγει ἀδωναῒ κύριος. ἐὰν
δὲ καὶ θηρία πονηρὰ ἐπάγω ἐπὶ τὴν γῆν, καὶ τιμωρήσομαι αὐ-
τήν. καὶ ἔσται εἰς ἀφανισμὸν οὐκ ἔσται ὁ διοδεύων ἀπὸ προσώπου
τῶν θηρίων. καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς ὦσι. ζῶ ἐγὼ
λέγει ἀδωναῒ κύριος. εἰ υἱοὶ καὶ θυγατέρες σωθήσονται, ἀλλ'
ἢ αὐτοὶ μόνοι σωθήσονται. ἡ δὲ γῆ ἔσται εἰς ὄλεθρον. ἐὰν δὲ καὶ
ῥομφαίαν ἐπάγω ἐπὶ τὴν γῆν ἐκείνην. καὶ εἴπω. ῥομφαία δι-
ελθέτω διὰ τῆς γῆς καὶ ἐξαρῶ ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος.
καὶ οἱ τρεῖς ἄνδρες οὗτοι ἐν μέσῳ αὐτῆς ὦσι. ζῶ ἐγὼ λέγει κύριος.
οὐ μὴ ῥύσονται, υἱοὺς ἢ θυγατέρας. ἀλλ' ἢ αὐτοὶ μόνοι σωθήσονται.
ἐὰν δὲ, καὶ θάνατον ἐπαποστελῶ ἐπὶ τὴν γῆν ἐκείνην. καὶ ἐκ-
χεῶ τὸν θυμόν μου ἐπ' αὐτὴν ἐν αἵματι τοῦ ἐξολοθρεῦσαι ἐξ αὐ-
τῆς, ἄνθρωπον, καὶ κτῆνος, καὶ νῶε, καὶ δανιὴλ, καὶ ἰὼβ, ἐν μέ-
σῳ αὐτῆς ὦσι. ζῶ ἐγὼ λέγει κύριος. ἐὰν υἱοὶ ἢ θυγατέρες ὑπο-
λειφθῶσιν, αὐτοὶ ἐν δικαιοσύνῃ αὐτῶν, ῥύσονται τὰς ψυχὰς αὐ-
τῶν. τάδε λέγει ἀδωναῒ κύριος. ἐὰν δὲ καὶ τὰς τέσσαρας ἐκ-
δικήσεις μου τὰς πονηρὰς ῥομφαίαν, καὶ λιμὸν, καὶ θηρία πο-
νηρά. καὶ θάνατον ἀποστείλω ἐπὶ ἱερουσαλὴμ τοῦ ἐξολοθρεῦσαι ἐξ
αὐτῆς, ἄνθρωπον, καὶ κτῆνος. καὶ ἰδοὺ ὑπολελειμμένοι ἐν αὐ-
τῇ, οἱ ἀνασωζόμενοι ἐξ αὐτῆς. οὗτοι ἐξάξουσιν υἱοὺς καὶ θυγατέ-
ρας. ἰδοὺ αὐτοὶ ἐκπορεύονται πρὸς ὑμᾶς, καὶ ὄψεσθε τὰς ὁδοὺς
αὐτῶν. καὶ μεταμεληθήσεσθε ἐπὶ τοῖς κακοῖς, οἷς ἐπήγαγον ἐπὶ
ἱερουσαλήμ. πάντα τὰ κακὰ ἃ ἐπήγαγον ἐπ' αὐτήν. καὶ παρα-
καλέσουσιν ὑμᾶς. διότι ὄψεσθε τὰς ὁδοὺς αὐτῶν. καὶ τὰ ἐνθυμή-
ματα αὐτῶν. καὶ ἐπιγνώσεσθε, διότι οὐ μάτην ἐποίησα πάντα
ὅσα ἐποίησα ἐν αὐτῇ λέγει κύριος.

Κεφάλαιον. ιε. 15.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. καὶ σὺ υἱὲ
* ἀνθρώπου. τί ἂν γένοιτο τὸ ξύλον τῆς ἀμπέλου, ἐκ
πάντων τῶν ξύλων τῶν κλημάτων τῶν ὄντων ἐν τοῖς

ξύλοις τοῦ δρυμοῦ. εἰ λήψονται ἐξ αὐτοῦ ξύλον τοῦ ποιῆσαι εἰς ἐρ
γασίαν. εἰ λήψονται ἐξ αὐτῆς πάσσαλον τοῦ κρεμάσαι ἐπ' αὐτοῦ
σκεῦος. πάρεξ ὃ πυρὶ δέδοται εἰς ἀνάλωσιν. τὴν κατ' ἐνιαυ
τὸν κάθαρσιν αὐτῆς, ἀναλίσκει τὸ πῦρ. καὶ ἐκλείπει εἰς τέλος.
μὴ χρήσιμον ἔσται εἰς ἐργασίαν; οὐδὲ ἔτι αὐτοῦ ὄντος ὁλοκλήρου
οὐκ ἔσται εἰς ἐργασίαν. μὴ ὅτι καὶ ἐὰν πῦρ αὐτὸ ἀναλώσῃ εἰς τέ
λος. εἰ ἔτι ἔσται εἰς ἐργασίαν. διὰ τοῦτο εἰπὸν τάδε λέγει κύριος
ὃν τρόπον τὸ ξύλον τῆς ἀμπέλου ἐν τοῖς ξύλοις τοῦ δρυμοῦ. ὃ δέ
δωκα αὐτὸ τῷ πυρὶ εἰς ἀνάλωσιν, οὕτως δέδωκα τοὺς κατοι
κοῦντας ἱερουσαλήμ. καὶ στηριῶ τὸ πρόσωπόν μου ἐπ' αὐτούς. ἐκ τοῦ
πυρὸς ἐξελεύσονται. καὶ πῦρ αὐτοὺς καταφάγεται, καὶ γνώσον
ται, ὅτι ἐγὼ κύριος ἐν τῷ στηρίσαι τὸ πρόσωπόν μου ἐπ' αὐτούς.
καὶ δώσω τὴν γῆν εἰς ἀφανισμὸν, ἀνθ' ὧν παρέπεσον παρα
πτώματι, λέγει κύριος.

Κεφάλαιον. ις. 16.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς με λέγων. υἱὲ ἀνθρώ
x που. διαμάρτυραι τῇ ἱερουσαλὴμ τὰς ἀνομίας αὐτῆς
καὶ ἐρεῖς. τάδε λέγει κύριος τῇ ἱερουσαλήμ. ἡ ῥίζα
σου καὶ ἡ γένεσίς σου, ἐκ γῆς χαναάν. ὁ πατήρ σου ἀμοῤῥαῖος
καὶ ἡ μήτηρ σου χετταῖα. καὶ ἡ γένεσίς σου ἐν ᾗ ἡμέρᾳ ἐτέχθης
καὶ οὐκ ἔδησαν τοὺς μασούς σου. ὁ ὀμφαλός σου οὐ περιετμήθη.
καὶ ἐν ὕδατι οὐκ ἐλούσθης. οὐδὲ ἁλὶ ἡλίσθης. καὶ ἐν σπαργάνοις
οὐκ ἐσπαργανώθης. οὐδ' ἐφείσατο ὁ ὀφθαλμός σου ἐπὶ σοὶ, τοῦ ποι
ῆσαι σοι ἓν ἐκ πάντων τούτων. τὸ παθεῖν τι ἐπὶ σοί. καὶ ἀπεῤῥί
φης ἐπὶ πρόσωπον τοῦ πεδίου, τῇ σκολιότητι τῆς ψυχῆς σου, ἐν
ἡμέρᾳ ᾗ ἐτέχθης. καὶ διῆλθον ἐπὶ σέ. καὶ εἶδόν σε πεφυρμέ
νην τῷ αἵματί σου. καὶ εἶπά σοι ἐκ τοῦ αἵματός σου ζώσῃ πλη
θύνου. καθὼς ἡ ἀνατολὴ τοῦ ἀγροῦ δέδωκά σε, καὶ ἐπληθύνθης, καὶ
εἰσῆλθες εἰς πόλεις πόλεων. οἱ μασοί σου ἀνωρθώθησαν. καὶ ἡ θρίξ
σου ἀνέτειλε. σὺ δὲ ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα, καὶ διῆλθον διὰ

σου, καὶ εἶδόν σε. καὶ ἰδοὺ καιρός σου, καὶ καιρὸς καταλυόντων. καὶ
διεπέτασα τὰς πτέρυγάς μου ἐπὶ σέ. καὶ ἐκάλυψα τὴν ἀσχημο-
σύνην σου, καὶ ὤμοσά σοι. καὶ εἰσῆλθον ἐν διαθήκῃ μετὰ σοῦ λέγει
ἀδωναῒ κύριος. καὶ ἐγένου μοι. καὶ ἔλουσά σε ἐν ὕδατι. καὶ ἔπλυνα, τὸ
αἷμά σου, ἀπό σου. καὶ ἔχρισά σε ἐν ἐλαίῳ. καὶ ἐνέδυσά σε ποι-
κίλα. καὶ ὑπέδυσά σε ὑάκινθον. καὶ ἔζωσά σε βύσσῳ. καὶ πε-
ριέβαλόν σε τριχάπτῳ. καὶ ἐκόσμισά σε κόσμῳ, καὶ περιέθηκα
ψέλλια περὶ τὰς χεῖράς σου. καὶ κάθεμα περὶ τὸν τράχηλόν σου. καὶ
ἔδωκα ἐνώτιον περὶ τὸν μυκτῆρά σου. καὶ τροχίσκους περὶ τὰ ὦτά
σου. καὶ στέφανον καυχήσεως περὶ τὴν κεφαλήν σου. καὶ ἐκοσμήθης
κόσμῳ, χρυσῷ, καὶ ἀργυρῷ. καὶ τὰ περιβόλαιά σου βύσσινα. καὶ
τρίχαπτα, καὶ ποικίλα. σεμίδαλιν καὶ ἔλαιον καὶ μέλι ἔφαγες, καὶ
ἐγένου καλὴ σφόδρα. καὶ ἐξῆλθέ σου ὄνομα ἐν τοῖς ἔθνεσιν ἐν τῷ
κάλλει σου. διότι συντετελεσμένον ἦν ἐν εὐπρεπείᾳ, ἐν τῇ ὡραι-
ότητι, ᾗ ἔταξα ἐπὶ σὲ λέγει ἀδωναῒ κύριος. καὶ ἐπεποίθεις ἐπὶ τῷ
κάλλει σου. καὶ ἐπόρνευσας ἐπὶ τῷ ὀνόματί σου. καὶ ἐξέχεας τὴν
πορνείαν σου ἐπὶ πάντα πάροδον ὃ οὐκ ἔσται. καὶ ἔλαβες ἐκ τῶν
ἱματίων σου, καὶ ἐποίησας σεαυτῇ εἴδωλα ῥαπτά, καὶ ἐξεπόρνευ-
σας ἐπ' αὐτά. καὶ οὐ μὴ εἰσέλθῃς καὶ οὐ μὴ γένηται. καὶ ἔλαβες τὰ
σκεύη τῆς καυχήσεώς σου. καὶ ἐκ τοῦ χρυσίου μου. καὶ ἐκ τοῦ ἀργυρίου
μου. ἐξ ὧν ἔδωκά σοι. καὶ ἐποίησας σεαυτῇ. εἰκόνας ἀρσενικάς
καὶ ἐξεπόρνευσας ἐν αὐταῖς. καὶ ἔλαβες τὸν ἱματισμὸν τὸν ποικίλον
σου. καὶ περιέβαλες αὐτά, καὶ τὸ ἔλαιόν μου καὶ τὸ θυμίαμά μου, ἔθη-
κας πρὸ προσώπου αὐτῶν. καὶ τοὺς ἄρτους μου, οὓς ἔδωκά σοι. σεμί-
δαλιν καὶ ἔλαιον καὶ μέλι ἐψώμισά σε. καὶ ἔθηκας κατὰ πρόσωπον
αὐτῶν, εἰς ὀσμὴν εὐωδίας. ἐγένετο μετὰ ταῦτα, λέγει κύριος. καὶ ἔλα-
βες τοὺς υἱούς σου, καὶ τὰς θυγατέρας σου ἃς ἐγέννησας. καὶ ἔθυσας
αὐτὰ αὐτοῖς. ὡς μικρὰ ἐξεπόρνευσας. καὶ ἔσφαξας τὰ τέκνα σου
καὶ ἔδωκας αὐτά, ἐν τῷ ἀποτροπιάζεσθαι ἐν αὐτοῖς. τοῦτο παρὰ πᾶ-
σαν τὴν πορνείαν σου, καὶ τὰ βδελύγματά σου. καὶ οὐκ ἐμνήσθης
τὰς ἡμέρας τῆς νηπιότητός σου, ὅτε ἦσθα γυμνὴ καὶ ἀσχημονοῦσα.

καὶ πεφυρμένη ἐν τῷ αἵματί σου ἔζησας. καὶ ἐγένετο μετὰ πάσας
τὰς κακίας σου. οὐαὶ οὐαί σοι λέγει κ̄ς. καὶ ᾠκοδόμησας σεαυτῇ
οἴκημα πορνικόν. καὶ ἐποίησας σεαυτῇ ἔκθεμα ἐν πάσῃ πλα
τείᾳ, καὶ ἐν ἀρχῇ πάσης ὁδοῦ. ᾠκοδόμησας τὰ πορνεῖά σου. καὶ
ἐλυμήνω τὸ κάλλος σου. καὶ διήγαγες τὰ σκέλη σου. παντὶ παρό
δῳ. καὶ ἐπλήθυνας τὴν πορνείαν σου. καὶ ἐξεπόρνευσας ἐπὶ τοὺς
υἱοὺς αἰγύπτου τοὺς ὁμοροῦντάς σοι. τοὺς μεγαλοσάρκους. καὶ πολλα
χῶς ἐξεπόρνευσας τοῦ παροργίσαι με. ἐὰν δὲ ἐκτείνω τὴν χεῖρά
μου ἐπὶ σέ. καὶ ἐξαρῶ τὰ νόμιμά σου καὶ παραδώσω σε εἰς ψυχὰς
μισούντων σε. θυγατέρας ἀλλοφύλων τὰς ἐκκλινούσας σε ἀπὸ τῆς
ὁδοῦ σου, ἧς ἠσέβησας, καὶ ἐξεπόρνευσας, ἐπὶ τὰς θυγατέρας ἀσ
σούρ. καὶ οὐδ᾽ οὕτως ἐνεπλήσθης, καὶ ἐξεπόρνευσας καὶ οὐκ ἐνεπιμ
πλῶ. καὶ ἐπλήθυνας τὴν διαθήκην σου πρὸς γῆν χαναάν, καὶ χαλ
δαίων. καὶ οὐδὲ ἐν τούτοις ἐνεπλήσθης. τί διαθῶ τὰς θυγατέρας
σου λέγει κ̄ς. ἐν τῷ ποιῆσαι ταῦτα ἔργα γυναικὸς πόρνης. καὶ
ἐξεπόρνευσας τρισσῶς ἐν ταῖς θυγατράσι σου. καὶ τὸ πορνεῖόν σου ᾠ
κοδόμησας ἐπὶ πάσης ἀρχῆς ὁδοῦ. καὶ τὴν βάσιν σου ἐποίησας
ἐν πάσῃ πλατείᾳ. καὶ ἐγένου ὡς πόρνη συνάγουσα μισθώματα.
ἡ γυνὴ ἡ μοιχωμένη, ὁμοία σου. παρὰ τοῦ ἀνδρὸς αὐτῆς λαμβά
νουσα μισθώματα πᾶσι τοῖς ἐκπορνεύσασιν προσεδίδου μισθώμα
τα. καὶ σὺ δέδωκας μισθώματα πᾶσι τοῖς ἐρασταῖς σου, καὶ ἐφόρ
τιζες αὐτοὺς τοῦ ἔρχεσθαι πρὸς σέ, κυκλόθεν ἐν τῇ πορνείᾳ σου
καὶ ἐγένετο ἐν σοὶ διεστραμμένον παρὰ τὰς γυναῖκας, ἐν τῇ πορ
νείᾳ σου. καὶ μετὰ σὲ οὐ πεπορνεύκασιν ἐν τῷ προσδιδόναι σε μι
σθώματα. καί σοι μισθώματα οὐκ ἐδόθη. καὶ ἐγένετο, ἐν σοὶ δι
εστραμμένον. διὰ τοῦτο πόρνη ἄκουε λόγον κ̄υ. τάδε λέγει ἀδωναῒ
κύριος ἀνθ᾽ ὧν ἐξέχεας τὸν χαλκόν σου. καὶ ἀποκαλυφθήσεται ἡ
ἀσχημοσύνη σου ἐν τῇ πορνείᾳ σου πρὸς τοὺς ἐραστάς σου. εἰς πάν
τα τὰ ἐνθυμήματα τῶν ἀνομιῶν σου. καὶ ἐν τοῖς αἵμασι τῶν
τέκνων σου, ὧν δέδωκας αὐτοῖς. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ
συνάγω πάντας τοὺς ἐραστάς σου, ἐν οἷς ἐπεμίγεις ἐν αὐτοῖς.

καὶ πάντας οὓς ἠγάπησας, σὺν πᾶσιν οἷς ἐμίσεις. καὶ συνάξω αὐτοὺς ἐπὶ σὲ κυκλόθεν. καὶ ἀποκαλύψω τὰς κακίας σου πρὸς αὐτούς. καὶ ὄψονται πᾶσαν τὴν ἀσχημοσύνην σου. καὶ ἐκδικήσω σε ἐκδικήσει μοιχαλίδος. καὶ ἐκχεούσης αἷμα. καὶ θήσομαί σε ἐν τῷ αἵματι ἐν αἵματι θυμοῦ καὶ ζήλου. καὶ παραδώσω σε εἰς χεῖρας αὐτῶν. καὶ κατασκάψουσι τὸ πορνεῖόν σου. καὶ καθελοῦσι τὴν βάσιν σου. καὶ ἐκδύσουσί σε τὸν ἱματισμόν σου, καὶ λήψονται σκεύη τῆς καυχήσεώς σου. καὶ ἀφήσουσί σε γυμνήν, καὶ ἀσχημονοῦσαν. καὶ ἄξουσιν ἐπὶ σὲ ὄχλους. καὶ λιθοβολήσουσί σε ἐν λίθοις. καὶ κατασφάξουσί σε ἐν τοῖς ξίφεσιν αὐτῶν. καὶ ἐμπρήσουσι τοὺς οἴκους ἐν πυρί, καὶ ποιήσουσιν ἐν σοὶ ἐκδικήσεις, ἐνώπιον γυναικῶν πολλῶν. καὶ ἀποστρέψω ἐκ τῆς πορνείας σου. καὶ μισθώματα οὐ μὴ δώσω οὐκέτι. καὶ ἐπαφήσω τὸν θυμόν μου ἐπὶ σέ. καὶ ἐξαρθήσεται ὁ ζῆλός μου ἐκ σοῦ. καὶ ἀναπαύσομαι. καὶ οὐ μὴ μεριμνήσω οὐκ ἔτι. ἀνθ' ὧν οὐκ ἐμνήσθης τὴν ἡμέραν τῆς νηπιότητός σου. καὶ ἐλύπεις με ἐν πᾶσι τούτοις. καὶ ἰδοὺ ἐγὼ τὰς ὁδούς σου εἰς κεφαλήν σου δέδωκα. λέγει ἀδωναῒ κύριος. καὶ οὕτως ἐποίησας τὴν ἀσέβειαν, ἐν πάσαις ταῖς ἀνομίαις σου. ταῦτά ἐστι πάντα, ὅσα εἶπαν. κατὰ σοῦ ἐν παραβολῇ λέγοντες. καθὼς ἡ μήτηρ, καὶ ἡ θυγάτηρ θυγάτηρ τῆς μητρός σου, καὶ σὺ εἶ, ἡ ἀπωσαμένη τὸν ἄνδρα αὐτῆς καὶ τέκνα αὐτῆς. καὶ ἀδελφαὶ τῶν ἀδελφῶν σου. καὶ ἀπωσάμεναι τοὺς ἄνδρας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν. ἡ μήτηρ ὑμῶν χετταία, καὶ ὁ πατὴρ ἀμορραῖος. ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσβυτέρα, σαμάρεια. αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς, ἡ κατοικοῦσα ἐξ εὐωνύμων σου καὶ ἡ ἀδελφή σου ἡ νεωτέρα σου κατοικοῦσα ἐκ δεξιῶν σου. σόδομα, καὶ αἱ θυγατέρες αὐτῆς. καὶ οὐδ' ὡς ἐν ταῖς ὁδοῖς αὐτῆς ἐπορεύθης. οὐ δὲ κατὰ τὰς ἀνομίας αὐτῶν ἐποίησας. κατὰ μικρὸν ὑπέρκεισαι αὐτὰς ἐν πάσαις ταῖς ὁδοῖς σου. ζῶ ἐγὼ λέγει ἀδωναῒ κύριος. εἰ πεποίηκε σόδομα,

ἡ ἀδελφή σου. αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς, ὃν τρόπον ἐποίησας. σὺ καὶ αἱ θυγατέρες σου. πλὴν τοῦτο ἀνόμημα σοδόμων τῆς ἀδελφῆς σου. ὑπερηφανία ἐν πλησμονῇ ἄρτων καὶ ἐν εὐθηνίᾳ οἴνου ἐσπατάλων. αὐτὴ καὶ αἱ θυγατέρες αὐτῆς. τοῦτο ὑπῆρχεν αὐτῇ, καὶ ταῖς θυγατράσιν αὐτῆς. καὶ χεῖρα πτωχοῦ, καὶ πένητος, οὐκ ἀντελαμβάνοντο. καὶ ἐμεγαλαύχουν. καὶ ἐποίησαν ἀνομήματα ἐνώπιον ἐμοῦ. καὶ ἐξῆρα αὐτάς, καθὼς εἶδον. καὶ σαμάρεια κατὰ τὰς ἡμίσεις τῶν ἁμαρτιῶν σου οὐχ ἥμαρτε. ἐπλήθυνας τὰς ἀνομίας σου, ὑπὲρ αὐτάς, καὶ ἐδικαίωσας τὰς ἀδελφάς σου, ἐν πάσαις ταῖς ἀνομίαις σου αἷς ἐποίησας. καὶ σὺ κόμισαι βάσανον. ἐν ᾗ διέφθειρας τὰς ἀδελφάς σου ἐν ταῖς ἁμαρτίαις σου. καὶ ἐν πάσαις ταῖς ἀνομίαις σου, αἷς ἠνόμησας ὑπὲρ αὐτάς. καὶ ἐδικαίωσας αὐτὰς ὑπὸ σεαυτήν. καὶ σὺ αἰσχύνθητι. καὶ λάβε τὴν ἀνομίαν σου ἐν τῷ δικαιῶσαί σε τὰς ἀδελφάς σου. καὶ ἀποστρέψω τὰς ἀποστροφὰς αὐτῶν. τὴν ἀποστροφὴν σοδόμων, καὶ τῶν θυγατέρων αὐτῆς. Καὶ ἀποστρέψω τὴν ἀποστροφὴν σαμαρείας καὶ τῶν θυγατέρων αὐτῆς καὶ ἀποστρέψω τὴν ἀποστροφήν σου, ἐν μέσῳ αὐτῶν. ὅπως κομίσῃ τὴν βάσανόν σου. καὶ ἀτιμωθήσῃ ἐκ πάντων ὧν ἐποίησας: ἐν τῷ σε παροργίσαι με καὶ ἡ ἀδελφή σου σόδομα, καὶ αἱ θυγατέρες αὐτῆς. ἀποκατασταθήσονται. καθὼς ἦσαν ἀπ' ἀρχῆς. καὶ σαμάρεια. καὶ αἱ θυγατέρες αὐτῆς, ἀποκατασταθήσονται, καθὼς ἦσαν ἀπ' ἀρχῆς. καὶ σὺ καὶ αἱ θυγατέρες σου, ἀποκατασταθήσεσθε. καθὼς ἀπ' ἀρχῆς ἦτε. καὶ εἰ μὴ ἦν σόδομα ἡ ἀδελφή σου εἰς ἀκοήν, ἐν τῷ στόματί σου, ἐν ταῖς ἡμέραις ὑπερηφανίας σου πρὸ τοῦ ἀποκαλυφθῆναι τὰς κακίας σου. ὃν τρόπον, νῦν ὄνειδος εἶ θυγατέρων συρίας. καὶ πάντων τῶν κύκλῳ αὐτῆς, θυγατέρων ἀλλοφύλων, τῶν περιεχουσῶν σε κύκλῳ, ἐν ταῖς ἀσεβείαις σου. καὶ ἐν ταῖς ἀνομίαις σου, σὺ κεκόμισαι αὐτάς λέγει κύριος. Τάδε λέγει ἀδωναῒ κύριος. καὶ ποιήσω ἐν σοὶ καθὼς ἐποίησας.

ὡς ἠτίμωσας τὴν ἀράν· ταῦτα τοῦ παραβῆναι τὴν διαθήκην
μου. καὶ μνησθήσομαι ἐγώ, τῆς διαθήκης μου τῆς μετὰ σοῦ, ἐν ἡ-
μέραις νηπιότητός σου. καὶ ἀναστήσω ἐμαυτῷ διαθήκην αἰώνι-
ον. καὶ μνησθήσῃ τὴν ὁδόν σου. καὶ ἐξατιμωθήσῃ ἐν τῷ ἀνα-
λαβεῖν σε τὰς ἀδελφάς σου τὰς νεωτέρας σου, σὺν ταῖς πρεσβυ-
τέραις σου. καὶ δώσω αὐτάς σοι εἰς δοκιμήν, καὶ οὐκ ἐκ δια-
θήκης σου. καὶ ἀναστήσω ἐγὼ τὴν διαθήκην μου μετὰ σοῦ. καὶ
ἐπιγνώσῃ, ὅτι ἐγὼ κύριος. ὅπως μνησθῇς, καὶ αἰσχυνθῇς. καὶ μὴ
ᾖ σοι ἔτι ἀνοῖξαι τὸ στόμα σου ἀπὸ προσώπου τῆς ἀτιμίας σου. ἐν
τῷ ἐξιλάσκεσθαί με σοι. κατὰ πάντα ὅσα ἐποίησας λέγει ἀδω-
ναῒ κύριος. Κεφάλαιον. ιζ. 17.

Αὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώ-
κ που, διήγησαι διήγημα. καὶ εἰπὸν παραβολὴν πρὸς
τὸν οἶκον τοῦ ἰσραήλ, καὶ ἐρεῖς. τάδε λέγει ἀδωναῒ
κύριος. ὁ ἀετὸς ὁ μέγας ὁ μεγαλοπτέρυγος. ὁ μακρὸς τῇ ἐκτά-
σει. πλήρης ὀνύχων. ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν λίβανον. καὶ
ἔλαβε τὰ ἐπίλεκτα τῆς κέδρου. τὰ ἄκρα τῆς ἁπαλότητος ἀπέ-
κνισε. καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν χαναάν. εἰς πόλιν τετειχισμέ-
νην ἔθετο αὐτά. καὶ ἔλαβεν ἀπὸ τοῦ σπέρματος τῆς γῆς. καὶ ἔδω-
κεν αὐτὸ εἰς τὸ πεδίον, φυτὸν ἐφ᾽ ὕδατι πολλῷ, καὶ αἱ ῥίζαι αὐτοῦ
ὑπ᾽ αὐτῶν ὦσιν, ἐπιβλεπόμενον ἔταξεν αὐτό. καὶ ἀνέτειλε καὶ
ἐγένετο εἰς ἄμπελον ἀσθενοῦσαν. καὶ μικρὰν τῷ μεγέθει, τοῦ ἐπι-
φαίνεσθαι τὰ κλήματα αὐτῆς ἐπ᾽ αὐτήν. καὶ αἱ ῥίζαι αὐτῆς. ὑπο-
κάτω αὐτῆς ἦσαν. καὶ ἐγένετο εἰς ἄμπελον μεγάλην καὶ ἐποί-
ησεν ἀπορυγάς. καὶ ἐξέτεινε τὴν ἀναδενδράδα αὐτῆς. καὶ ἐγέ-
νετο ἀετὸς ἕτερος μέγας. μεγαλοπτέρυγος. πολὺς ὄνυξι καὶ ἰδοὺ
ἄμπελος αὕτη περιπεπλεγμένη πρὸς αὐτόν. καὶ αἱ ῥίζαι αὐτῆς
πρὸς αὐτόν. καὶ τὰ κλήματα αὐτῆς ὑποκάτω αὐτῆς ἐξαπέστει-
λεν αὐτῷ, τοῦ ποτίσαι αὐτὴν σὺν τῷ βώλῳ τῆς φυτείας αὐτῆς
εἰς πεδίον καλὸν. ἐφ᾽ ὕδατι πολλῷ αὕτη πιαίνεται, τοῦ ποιῆσαι

βλαστοὺς καὶ φέρειν καρπὸν, τοῦ εἶναι εἰς ἄμπελον μεγάλην. διὰ
τοῦτο εἰπόν· τάδε λέγει ἀδωναΐ κύριος· εἰ κατευθυνεῖ. οὐχὶ αἱ
ῥίζαι τῆς ἁπαλότητος αὐτῆς, καὶ ὁ καρπὸς σαπήσεται. καὶ ξη-
ρανθήσεται πάντα τὰ προανατέλλοντα αὐτῆς. καὶ οὐκ ἐν βρα-
χίονι μεγάλῳ. οὐδὲ ἐν λαῷ πολλῷ τοῦ ἐκσπάσαι αὐτὴν, ἐκ ῥι-
ζῶν αὐτῆς. καὶ ἰδοὺ πιαίνεται, μὴ κατευθυνεῖ. οὐχὶ ἅμα τῷ ἅψα-
σθαι αὐτῆς ἄνεμον, τὸν καύσωνα ξηρανθήσεται ξηρασίᾳ. σὺν τῷ
βόλῳ ἀνατολῆς αὐτῆς ξηρανθήσεται. Καὶ ἐγένετο λόγος κυρίου
πρός με λέγων. υἱὲ ἀνθρώπου. εἰπὸν δὴ πρὸς τὸν οἶκον ἰσραὴλ
τὸν παραπικραίνοντα. οὐκ ἐπίστασθε τί ἐστι ταῦτα ἃ εἶπον. ὅταν
ἔλθῃ βασιλεὺς βαβυλῶνος ἐπὶ ἱερουσαλὴμ, καὶ λήψεται αὐτὴν,
καὶ τὸν βασιλέα αὐτῆς. καὶ τοὺς ἄρχοντας αὐτῆς. καὶ ἐξάξει αὐ-
τοὺς πρὸς αὐτοὺς εἰς βαβυλῶνα, καὶ λήψεται ἐκ τοῦ σπέρματος
τῆς βασιλείας. καὶ διαθήσεται πρὸς αὐτὸν διαθήκην, καὶ εἰσά-
ξει αὐτὸν ἐν ἀρᾷ. καὶ τοὺς ἡγουμένους τῆς γῆς λήψεται. τοῦ γενέ-
σθαι εἰς βασιλείαν ἀσθενῆ. τὸ καθόλου μὴ ἐπαίρεσθαι τοῦ φυλάσ-
σειν τὴν διαθήκην αὐτοῦ. καὶ ἱστάνειν αὐτήν. καὶ ἀποστήσεται
ἀπ' αὐτοῦ, τοῦ ἐξαποστέλλειν ἀγγέλους εἰς αἴγυπτον. τοῦ δοῦναι αὐ-
τῷ ἵππους, καὶ λαὸν πολύν. εἰ κατευθυνεῖ. εἰ διασωθήσεται. ὁ
ποιῶν ἐναντία, καὶ παραβαίνων διαθήκην, εἰ σωθήσεται. ζῶ
ἐγὼ λέγει κύριος. ἐὰν μὴ ἐν τῷ τόπῳ οὗ ὁ βασιλεύσας αὐ-
τόν. ὃς ἠτίμωσε τὴν ἀράν μου. καὶ ὃς παρέβη τὴν διαθήκην μου
μετ' αὐτοῦ, ἐν μέσῳ βαβυλῶνος τελευτήσει. καὶ οὐκ ἐν δυνάμει
μεγάλῃ οὐδὲ ἐν ὄχλῳ ποιήσει πρὸς αὐτὸν φαραὼ πόλεμον. ἐν
χαρακοβολίᾳ. καὶ ἐν οἰκοδομῇ βελοστάσεων, τοῦ ἐξᾶραι ψυχάς
καὶ ἠτίμωσεν ὁρκωμοσίαν τοῦ παραβῆναι διαθήκην. καὶ ἰδοὺ δέ-
δωκε τὴν χεῖρα αὐτοῦ, καὶ πάντα ταῦτα ἐποίησεν αὐτῷ. μὴ σωθή-
σεται, διὰ τοῦτο εἰπόν· τάδε λέγει ἀδωναΐ κύριος. ζῶ ἐγώ. ἐὰν μὴ τὴν δια-
θήκην μου ἣν παρέβη. καὶ τὴν ὁρκωμοσίαν μου ἣν ἠτίμωσε. καὶ δώ-
σω αὐτὰ εἰς κεφαλὴν αὐτοῦ. καὶ ἐκπετάσω ἐπ' αὐτὸν τὸ δίκτυόν μου

καὶ ἁλώσεται ἐν τῇ περιοχῇ αὐτοῦ. καὶ ἄξω αὐτὸν εἰς βαβυλῶ-
να. καὶ διακριθήσομαι ἐκεῖ μετ' αὐτοῦ. τὴν ἀδικίαν αὐτοῦ. ἣν
ἠδίκησεν εἰς ἐμοί. καὶ πάσας φυγαδείας αὐτοῦ ἐν πάσῃ τῇ
παρατάξει αὐτοῦ, ἐν ῥομφαίᾳ πεσοῦνται. καὶ τοὺς καταλοίπους
αὐτοῦ, εἰς πάντα ἄνεμον διασπερῶ. καὶ γνώσεσθε διότι ἐγὼ
κύριος λελάληκα. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος. καὶ λή-
ψομαι ἐγὼ ἐκ τῶν ἐπιλέκτων τῆς κέδρου ἐκ κορυφῆς. καὶ δώσω
ἀπὸ κεφαλῆς παραφυάδων αὐτῆς. καρδίας αὐτῶν ἀποκνιῶ.
καὶ καταφυτεύσω ἐγὼ ἐπ' ὄρος ὑψηλόν. καὶ κρεμάσω αὐτὸν ἐν
ὄρει μετεώρῳ τοῦ ἰσραήλ. καὶ καταφυτεύσω, καὶ ἐξοίσει βλα-
στόν. καὶ ποιήσει καρπόν, καὶ ἔσται εἰς κέδρον μεγάλην. καὶ ἀ-
ναπαύσεται ὑποκάτω αὐτοῦ, πᾶν θηρίον. καὶ πᾶν πετεινόν, ὑ-
πὸ τὴν σκιὰν αὐτοῦ ἀναπαύσεται. καὶ τὰ κλήματα αὐτοῦ. ἀ-
ποκατασταθήσεται. καὶ γνώσεται πάντα τὰ ξύλα τοῦ πεδίου.
διότι ἐγὼ κύριος. ὁ ταπεινῶν ξύλον ὑψηλόν. καὶ ὑψῶν ξύλον
ταπεινόν. καὶ ξηραίνων ξύλον χλωρόν. καὶ ἀναθάλλων ξύλον ξη-
ρόν. ἐγὼ κύριος λελάληκα καὶ ποιήσω.

## Κεφάλαιον. ιη. 18.

Καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων. υἱὲ ἀνθρώ-
x που. τί ὑμῖν ἡ παραβολὴ αὕτη. ἐν τοῖς υἱοῖς ἰσραὴλ
λέγοντες, οἱ πατέρες ἔφαγον ὄμφακα. καὶ οἱ ὀδόν-
τες τῶν τέκνων ἐγομφίασαν. ζῶ ἐγὼ λέγει κύριος ἐὰν γένη-
ται ἔτι λεγομένη ἡ παραβολὴ αὕτη ἐν τῷ ἰσραὴλ ὅτι πᾶσαι
αἱ ψυχαὶ ἐμαί εἰσιν. ὃν τρόπον ἡ ψυχὴ τοῦ πατρός. οὕτως καὶ
ἡ ψυχὴ τοῦ υἱοῦ, ἐμαί εἰσιν. ἡ ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη ἀ-
ποθανεῖται. ὁ δὲ ἄνθρωπος ὃς ἔσται δίκαιος, ὁ ποιῶν κρίμα, καὶ
δικαιοσύνην ἐπὶ τῶν ὀρέων οὐ φάγεται. καὶ τοὺς ὀφθαλμοὺς
αὐτοῦ. οὐ μὴ ἐπάρῃ πρὸς τὰ εἴδωλα οἴκου ἰσραήλ. καὶ τὴν
γυναῖκα τοῦ πλησίον αὐτοῦ, οὐ μὴ μιάνῃ. καὶ πρὸς γυναῖκα
ἐν ἀφέδρῳ οὖσαν. οὐ προσεγγιεῖ. καὶ ἄνθρωπον οὐ μὴ κατα-

δυναστεύσῃ. ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει. καὶ ἅρπαγμα
οὐχ ἁρπᾶται. τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει. καὶ γυμνὸν πε
ριβαλεῖ ἱμάτιον, καὶ τὸ ἀργύριον αὐτοῦ. καὶ ἐπὶ τόκῳ οὐ δώσει, καὶ
πλεονασμὸν οὐ λήψεται. ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐ
τοῦ. κρίμα δίκαιον ποιήσει. ἀνὰ μέσον ἀνδρὸς, καὶ ἀνὰ μέσον
τοῦ πλησίον αὐτοῦ. καὶ τοῖς προστάγμασί μου πεπόρευται. καὶ
τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά. δίκαιος
οὗτός ἐστι. ζωῇ ζήσεται λέγει ἀδωναῒ κύριος. καὶ ἐὰν γεννήσῃ υἱὸν
λιμὸν, ἐκχέοντα αἷμα, καὶ ποιοῦντα ἁμαρτήματα τὴν ὁδὸν
τοῦ πατρὸς αὐτοῦ τοῦ δικαίου, οὐκ ἐπορεύθη. ἀλλὰ καὶ ἐπὶ τῶν
ὀρέων ἔφαγε. καὶ τὴν γυναῖκα. τοῦ πλησίον αὐτοῦ ἐμίανε. καὶ
πτωχὸν, καὶ πένητα κατεδυνάστευσε. καὶ ἅρπαγμα ἥρπαξε. καὶ
ἐνεχυρασμὸν οὐκ ἀπέδωκε. καὶ εἰς τὰ εἴδωλα ἔθετο τοὺς ὀφθαλ
μοὺς αὐτοῦ. ἀνομίαν ἐποίησε. μετὰ τόκου ἔδωκε. καὶ πλεο
νασμὸν ἔλαβεν οὗτος, ζωῇ οὐ ζήσεται. πάσας τὰς ἀνομίας ταύ
τας ἐποίησε, θανάτῳ θανατωθήσεται. τὸ αἷμα αὐτοῦ, ἐπ' αὐ
τὸν ἔσται, ἐὰν δὲ γεννήσῃ υἱὸν. καὶ ἴδῃ πάσας τὰς ἁμαρτίας τοῦ
πατρὸς αὐτοῦ ἃς ἐποίησε, καὶ φοβηθῇ καὶ μὴ ποιήσῃ κατ' αὐ
τάς, ἐπὶ τῶν ὀρέων οὐ βέβρωκε, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ
ἔθετο εἰς τὰ ἐπιθυμήματα οἴκου ἰσραήλ. καὶ τὴν γυναῖκα τοῦ
πλησίον αὐτοῦ οὐκ ἐμίανε. καὶ ἄνθρωπον οὐ κατεδυνάστευσε. καὶ
ἐνεχυρασμὸν οὐκ ἐνεχύρασε. καὶ ἅρπαγμα οὐκ ἥρπαξε. τὸν ἄρ
τον αὐτοῦ, τῷ πεινῶντι ἔδωκε, καὶ γυμνὸν περιέβαλεν ἱμάτι
ον, καὶ ἀπὸ ἀδικίας, ἀπέστρεψε τὴν χεῖρα αὐτοῦ. τόκον καὶ πλεο
νασμὸν οὐκ ἔλαβε. δικαιοσύνην ἐποίησε. καὶ ἐν τοῖς προστάγμα
σί μου ἐπορεύθη. οὐ τελευτήσει ἐν ἀδικίαις πατρὸς αὐτοῦ ζωῇ
ζήσεται ὁ δὲ πατὴρ αὐτοῦ, ἐὰν θλίψει θλίψῃ, καὶ ἁρπάσῃ ἅρ
παγμα, ἐναντία ἐποίησεν ἐν μέσῳ τοῦ λαοῦ μου. καὶ ἀποθα
νεῖται ἐν ταῖς ἀδικίαις αὐτοῦ. καὶ ἐρεῖτε. τί ὅτι οὐκ ἔλαβεν ὁ
υἱὸς ἀδικίαν πατρὸς αὐτοῦ. ὅτι ὁ υἱὸς δικαιοσύνην καὶ ἔλεος

ἐποίησε· πάντα τὰ νόμιμά μου συνετήρησε, καὶ ἐποίησεν αὐ-
τά· ζωῇ ζήσεται. ἡ δὲ ψυχὴ ἡ ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖ-
ται. ὁ δὲ υἱὸς οὐ λήψεται τὴν ἀδικίαν τοῦ πατρὸς αὐτοῦ. ὁ δὲ
πατὴρ λήψεται τὴν ἀδικίαν τοῦ υἱοῦ αὐτοῦ. δικαιοσύνη δι-
καίου, ἐπ' αὐτὸν ἔσται. καὶ ἀνομία ἀνόμου ἐπ' αὐτὸν ἔσται. καὶ
ὁ ἄνομος ἐὰν ἀποστρέψῃ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ ὧν ἐποίη-
σε. καὶ φυλάξῃ πάσας τὰς ἐντολάς μου. καὶ ποιήσῃ δικαιο-
σύνην, καὶ ἔλεος, ζωῇ ζήσεται. καὶ οὐ μὴ ἀποθάνῃ. πᾶσαι
αἱ ἀδικίαι αὐτοῦ ἃς ἐποίησεν, οὐ μὴ μνησθήσονται. ἀλλ' ἐν
τῇ δικαιοσύνῃ αὐτοῦ ᾗ ἐποίησε, ζήσεται. μὴ θελήσει θελή-
σω τὸν θάνατον τοῦ ἀνόμου, λέγει κύριος· ὡς τὸ ἀποστρέψαι αὐ-
τὸν ἐκ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτόν; ἐν δὲ τῷ ἀ-
ποστρέψαι δίκαιον ἐκ τῆς δικαιοσύνης αὐτοῦ. καὶ ποιῆ ἀδικί-
αν κατὰ πάσας τὰς ἀδικίας. ἃς ἐποίησεν ὁ ἄνομος, πᾶσαι
αἱ δικαιοσύναι αὐτοῦ. ἃς ἐποίησεν, οὐ μὴ μνησθῶσιν ἐν τῷ
παραπτώματι, αὐτοῦ. ᾧ παρέπεσε καὶ ἐν ταῖς ἁμαρτίαις αὐ-
τοῦ, αἷς ἥμαρτεν, ἐν αὐταῖς ἀποθανεῖται. καὶ εἴπατε. οὐ κατορθοῖ
ἡ ὁδὸς κυρίου. ἀκούσατε δὴ πᾶς ὁ οἶκος ἰσραήλ. μὴ ἡ ὁδός
μου οὐ κατορθοῖ; οὐχὶ ἡ ὁδὸς ὑμῶν κατορθοῖ. ἐν τῷ ἀποστρέ-
ψαι δίκαιον, ἐκ τῆς δικαιοσύνης αὐτοῦ. καὶ ποιήσῃ παράπτω-
μα. καὶ ἀποθάνῃ. ἐν τῷ παραπτώματι ᾧ ἐποίησεν, ἐν αὐτῷ ἀ-
ποθανεῖται. καὶ ἐν τῷ ἀποστρέψαι ἄνομον ἀπὸ τῆς ἀνομίας αὐ-
τοῦ ἧς ἐποίησε καὶ ποιήσει κρίμα, καὶ δικαιοσύνην, οὗτος τὴν
ψυχὴν αὐτοῦ ἐφύλαξε. καὶ εἶδε καὶ ἀπέστρεψεν ἐκ πασῶν τῶν
ἀσεβειῶν αὐτοῦ ὧν ἐποίησε. καὶ ζωῇ ζήσεται. καὶ οὐ μὴ ἀποθά-
νῃ. καὶ λέγουσιν ὁ οἶκος ἰσραήλ. οὐ κατορθοῖ ἡ ὁδὸς κυρίου. μὴ
ἡ ὁδός μου οὐ κατορθοῖ οἶκος ἰσραήλ. οὐχὶ ἡ ὁδὸς ὑμῶν οὐ κα-
τορθοῖ. ἕκαστον κατὰ τὴν ὁδὸν αὐτοῦ κρινῶ ὑμᾶς, οἶκος ἰσραήλ.
λέγει ἀδωναῒ κύριος. ἐπιστρέψατε. καὶ ἀποστράφητε ἀπὸ πασῶν
τῶν ἀσεβειῶν ὑμῶν. καὶ οὐκ ἔσονται ὑμῖν εἰς κόλασιν ἀδικίας. ἀ-

ἀποῤῥίψατε ἀφ' ἑαυτῶν, πάσας τὰς ἀσεβείας ὑμῶν, ἃς ἐποιήσα-
τε εἰς ἐμέ. καὶ ποιήσατε ἑαυτοῖς καρδίαν καινὴν, καὶ πνεῦμα
καινὸν, καὶ ποιήσατε πάσας τὰς ἐντολάς μου, καὶ ἵνα τί ἀποθνήσκε-
τε οἶκος ἰσραὴλ λέγει κύριος. διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀπο-
θνήσκοντος λέγει ἀδωναῒ κύριος. καὶ ἐπιστρέψατε, καὶ ζήσεσθε.

Κεφάλαιον. ιθ. 19.

κ Αἰ σὺ υἱὲ ἀνθρώπου, λάβε θρῆνον, ἐπὶ τὸν ἄρχοντα τοῦ
ἰσραὴλ, καὶ ἐρεῖς. τί ἡ μήτηρ σου σκύμνος. ἐν μέσῳ
λεόντων ἐγεννήθη. ἐν μέσῳ λεόντων, ἐπλήθυνε
σκύμνους αὐτῆς. καὶ ἀπεπήδησεν εἷς τῶν σκύμνων αὐτῆς. λέων ἐ-
γένετο. καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα. ἀνθρώπους ἔφαγε. καὶ
ἤκουσαν κατ' αὐτοῦ ἔθνη. ἐν τῇ διαφθορᾷ αὐτῶν συνελήφθη. καὶ
ἤγαγον αὐτὸν ἐν κημῷ, εἰς γῆν αἰγύπτου. καὶ εἶδεν ὅτι ἀπῶσται ἀπ'
αὐτῆς. καὶ ἀπώλετο. ἡ ὑπόστασις αὐτῆς. καὶ ἔλαβεν ἄλλον ἐκ τῶν σκύ-
μνων αὐτῆς. λέοντα ἔταξεν αὐτὸν, καὶ ἀνεστρέφετο ἐν μέσῳ λεόντων
λέων ἐγένετο καὶ ἔμαθεν ἁρπάζειν ἁρπάγματα. ἀνθρώπους ἔφα-
γε, καὶ ἐνέμετο τῷ θράσει αὐτοῦ. καὶ τὰς πόλεις αὐτῶν ἐξη-
ρήμωσε. καὶ ἠφάνισε γῆν. καὶ τὸ πλήρωμα αὐτῆς, ἀπὸ φωνῆς ὠρύ-
ματος αὐτοῦ, καὶ ἔδωκεν ἐπ' αὐτὸν ἔθνη ἐκ χωρῶν κυκλόθεν
καὶ ἐξεπέτασαν ἐπ' αὐτὸν, δίκτυον αὐτῶν. ἐν διαφθορᾷ αὐτῶν
συνελήφθη. καὶ ἔθεντο αὐτὸν ἐν κημῷ. καὶ ἐν γαλιάγρᾳ, ἦλθε
πρὸς βασιλέα βαβυλῶνος, καὶ εἰσήγαγεν αὐτὸν εἰς φυλακήν.
ὅπως μὴ ἀκουσθῇ ἡ φωνὴ αὐτοῦ, ἐπὶ τὰ ὄρη τοῦ ἰσραὴλ, ἡ μή-
τηρ σου, ὡς ἄμπελος. ὡς ἄνθος ἐν ῥοᾷ, ἐν ὕδατι πεφυτευμέ-
νη. ὁ καρπὸς αὐτῆς καὶ ὁ βλαστὸς αὐτῆς, ἐγένετο ἐξ ὕδατος πολ-
λοῦ. καὶ ἐγένετο αὐτῇ, ῥάβδος ἰσχύος ἐπὶ φυλὴν ἡγουμένων.
καὶ ὑψώθη ὑπὲρ μεγέθει αὐτῆς, ἐν μέσῳ στελεχῶν. καὶ εἶ-
δε τὸ μέγεθος αὐτῆς, ἐν πλήθει κλημάτων αὐτῆς. καὶ κα-
τεκλάσθη ἐν θυμῷ. ἐπὶ γῆν ἐῤῥίφη. καὶ ἄνεμος ὁ καύ-
σων, ἐξήρανε τὰ κλήματα αὐτῆς ἐξεδικήθη. καὶ ἐξηράνθη

ῥάβδος ἰσχύος αὐτῆς. πῦρ ἀνήλωσεν αὐτόν. καὶ νῦν πεφυτεύ-
κασιν αὐτὴν ἐν τῇ ἐρήμῳ. ἐν γῇ ἀνύδρῳ. καὶ ἐξῆλθε πῦρ ἐκ
ῥάβδου ἐκλεκτῶν αὐτῆς, καὶ κατέφαγεν αὐτὴν, καὶ οὐκ ἦν ἐν
αὐτῇ ῥάβδος ἰσχύος. φυλὴ, εἰς παραβολὴν θρήνου ἐστί. καὶ ἔσται
εἰς θρῆνον. Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἐν τῷ πέμ-
πτῳ μηνὶ, δεκάτῃ τοῦ μηνὸς, ἦλθον ἄνδρες ἐκ τῶν πρεσβυτέρων
τοῦ οἴκου ἰσραὴλ, ἐπερωτῆσαι τὸν κύριον. καὶ ἐκάθισαν πρὸ
προσώπου μου.

## Κεφάλαιον. κ. 20.

Καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων, υἱὲ ἀνθρώ-
κ που. λάλησον πρὸς τοὺς πρεσβυτέρους τοῦ οἴκου ἰσ-
ραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, τάδε λέγει ἀδωναῒ κύ-
ριος. εἰ ἐπερωτῆσαί με ὑμεῖς ἔρχεσθε. ζῶ ἐγὼ εἰ ἀποκριθήσο-
μαι ὑμῖν λέγει ἀδωναῒ κύριος. εἰ ἐκδικήσω αὐτοὺς ἐκδικήσει
υἱὲ ἀνθρώπου, τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν. διαμάρ-
τυραι αὐτοῖς, καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει κύριος. ἀφ'
ἧς ἡμέρας ᾑρέτισα τὸν οἶκον ἰσραήλ. καὶ ἐγνωρίσθην τῷ σπέρ-
ματι τοῦ οἴκου ἰακὼβ. καὶ ἐγνωρίσθην αὐτοῖς, ἐν γῇ αἰγύπτου,
καὶ ἀντελαβόμην τῇ χειρί μου αὐτῶν. λέγων. ἐγὼ κύριος ὁ θε-
ὸς ὑμῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀντελαβόμην τῇ χειρὶ αὐτῶν. τοῦ
ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς αἰγύπτου, ἣν ἡτοίμασα αὐτοῖς· γῆν
ῥέουσαν γάλα καὶ μέλι. κηρίον ἐστὶ παρὰ πᾶσαν τὴν γῆν, καὶ
εἶπα πρὸς αὐτοὺς ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν αὐτοῦ
ἀπορριψάτω. καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αἰγύπτου, μὴ μιαίνε-
σθε. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. καὶ ἀπέστησαν ἀπ' ἐμοῦ, καὶ οὐκ ἠ-
θέλησαν εἰσακοῦσαί μου. ἕκαστος τὰ βδελύγματα τῶν ὀφθαλμῶν
αὐτῶν, οὐκ ἀπέρριψαν. καὶ τὰ ἐπιτηδεύματα αἰγύπτου, οὐ
κατέλιπον. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ' αὐτοὺς, καὶ τοῦ
συντελέσαι τὴν ὀργήν μου ἐν αὐτοῖς, ἐν μέσῳ τῆς αἰγύπτου.
καὶ ποιήσω ὅπως τὸ ὄνομά μου τὸ παράπαν, μὴ βεβηλωθῇ ἐνώ-

πιον τῶν ἐθνῶν. ὧν αὐτοί ἐισιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώ-
σθην πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν. τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς
αἰγύπτου. καὶ ἐξήγαγον αὐτοὺς, ἐκ γῆς αἰγύπτου. καὶ ἤγαγον αὐ-
τοὺς εἰς τὴν ἔρημον. καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου.
καὶ τὰ δικαιώματά μου ἐγνώρισα αὐτοῖς. ὅσα ποιήσει αὐτὰ
ἄνθρωπος. καὶ ζήσεται ἐν αὐτοῖς. καὶ τὰ σάββατά μου ἔδωκα
αὐτοῖς, τοῦ εἶναι εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον αὐ-
τῶν, τοῦ γνῶναι αὐτοὺς. διότι ἐγὼ κύριος, ὁ ἁγιάζων αὐτούς.
καὶ εἶπα πρὸς τὸν οἶκον τοῦ ἰσραὴλ ἐν τῇ ἐρήμῳ. ἐν τοῖς προστά-
γμασί μου, πορεύεσθε. καὶ τὰ δικαιώματά μου φυλάσσεσθε τοῦ
ποιεῖν αὐτά. ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς
καὶ παρεπίκρανάν με ὁ οἶκος ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐν τοῖς προ-
στάγμασί μου, οὐκ ἐπορεύθησαν. καὶ τὰ δικαιώματά μου ἀ-
πώσαντο. ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐτοῖς.
καὶ τὰ σάββατά μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι
τὸν θυμόν μου ἐπ᾽ αὐτοὺς, ἐν τῇ ἐρήμῳ τοῦ ἐξαναλῶσαι αὐ-
τούς. καὶ ἐποίησα. ὅπως τὸ ὄνομά μου τὸ παράπαν, μὴ βεβηλω-
θῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν ἐξήγαγον αὐτοὺς κατ᾽ ὀφθαλμοὺς αὐ-
τῶν. καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά μου ἐπ᾽ αὐτοὺς, ἐν τῇ ἐρήμῳ
τὸ παράπαν. τοῦ μὴ εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν ἣν ἔδωκα
αὐτοῖς. γῆν ῥέουσαν γάλα καὶ μέλι. κηρίον ἐστὶ, παρὰ πᾶσαν τὴν
γῆν. ἀνθ᾽ ὧν τὰ δικαιώματά μου ἀπώσαντο. καὶ ἐν τοῖς προστά-
γμασί μου, οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς. καὶ τὰ σάββατά μου
ἐβεβήλουν. καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν καρδιῶν αὐ-
τῶν, ἐπορεύοντο. καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ᾽ αὐτούς,
τοῦ ἐξαλεῖψαι αὐτούς. καὶ οὐκ ἐποίησα αὐτοῖς εἰς συντέλειαν
ἐν τῇ ἐρήμῳ. καὶ εἶπα πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ.
ἐν τοῖς νομίμοις τῶν πατέρων ὑμῶν, μὴ πορεύεσθε. καὶ τὰ
δικαιώματα αὐτῶν, μὴ φυλάσσεσθε. καὶ ἐν τοῖς ἐπιτηδεύμα-
σιν αἰγύπτου, μὴ συναναμίγνυσθε, καὶ μὴ μιαίνεσθε. ἐγὼ κύ-

ριος ὁ θεὸς ὑμῶν· καὶ ἐν τοῖς προστάγμασί μου πορεύεσθε· καὶ
τὰ δικαιώματά μου φυλάσσετε καὶ ποιεῖτε αὐτά· καὶ τὰ σάβ-
βατά μου ἁγιάζετε· καὶ ἔστω εἰς σημεῖον, ἀνὰ μέσον ἐμοῦ, καὶ
ὑμῶν τοῦ γινώσκειν· διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, καὶ παρε-
πίκρανάν με· καὶ τὰ τέκνα αὐτῶν, ἐν τοῖς προστάγμασί μου,
οὐκ ἐπορεύθησαν· καὶ τὰ δικαιώματά μου, οὐκ ἐφυλάξαντο
τοῦ ποιεῖν αὐτά· ἃ ποιήσει αὐτὰ ἄνθρωπος, καὶ ζήσεται ἐν αὐ-
τοῖς· καὶ τὰ σάββατά μου ἐβεβήλουν σφόδρα· καὶ εἶπα τοῦ ἐκ-
χέαι τὸν θυμόν μου ἐπ᾽ αὐτοὺς, ἐν τῇ ἐρήμῳ τοῦ συντελέσαι τὴν
ὀργήν μου ἐπ᾽ αὐτούς· καὶ ἐποίησα, ὅπως τὸ ὄνομά μου τὸ πα-
ράπαν, μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν· ὧν ἐξήγαγον αὐτοὺς
κατ᾽ ὀφθαλμοὺς αὐτῶν· καὶ ἐγὼ ἐξῇρα τὴν χεῖρά μου ἐπ᾽ αὐτοὺς
ἐν τῇ ἐρήμῳ τοῦ διασκορπίσαι αὐτοὺς ἐν τοῖς ἔθνεσι, καὶ δια-
σπεῖραι αὐτοὺς ἐν ταῖς χώραις· ἀνθ᾽ ὧν τὰ δικαιώματά μου, οὐκ
ἐποίησαν, καὶ τὰ προστάγματά μου, ἀπώσαντο· καὶ ἐν τοῖς προ-
στάγμασί μου, οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς, καὶ τὰ σάββατά μου
ἐβεβήλουν· καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν πατέρων αὐτῶν,
ἦσαν οἱ ὀφθαλμοὶ αὐτῶν· καὶ ἐγὼ ἔδωκα αὐτοῖς, προστάγμα-
τα οὐ καλὰ καὶ δικαιώματα, ἐν οἷς οὐ ζήσονται ἐν αὐτοῖς· καὶ
μιανῶ αὐτοὺς, ἐν τοῖς δόγμασιν αὐτῶν, ἐν τῷ διαπορεύεσ-
θαί με· πᾶν διανοῖγον μήτραν· ὅπως ἀφανίσω αὐτοὺς· ἵνα
γνῶσιν, ὅτι ἐγὼ κύριος. Διατοῦτο λάλησον πρὸς τὸν οἶκον ἰσ-
ραήλ. υἱὲ ἀνθρώπου· καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει ἀδω-
ναῒ κύριος, ἕως τούτου παρώργισάν με, οἱ πατέρες ὑμῶν, ἐν
τοῖς παραπτώμασιν αὐτῶν· ἐν οἷς παρέπεσον εἰς ἐμέ· καὶ εἰσήγα-
γον αὐτοὺς εἰς τὴν γῆν· ἣν ἦρα τὴν χεῖρά μου, τοῦ δοῦναι αὐτὴν
αὐτοῖς· καὶ εἶδον πάντα βουνὸν ὑψηλόν· καὶ πᾶν ξύλον κατάσκιον
καὶ ἔθυσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν· καὶ ἔταξαν ἐκεῖ ὀσμὴν εὐωδίας
αὐτῶν· καὶ ἐποίησαν ἐκεῖ τὰς σπονδὰς αὐτῶν, καὶ εἶπα πρὸς
αὐτούς· τί ἐστιν ἡ ἀβανὰ, ὅτι ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ· καὶ ἐπικά-

λέσαντο τὸ ὄνομα αὐτοῦ ἀβανά, ἕως τῆς σήμερον ἡμέρας. διὰ τοῦτο εἰπὸν πρὸς τὸν οἶκον τοῦ ἰσραήλ. τάδε λέγει ἀδωναῒ κύριος ὁ θεός. εἰ ἐν ταῖς ἀνομίαις τῶν πατέρων ὑμῶν ὑμεῖς μιαίνεσθε, καὶ ὀπίσω τῶν βδελυγμάτων αὐτῶν, ὑμεῖς ἐκπορνεύετε. καὶ ἐν ταῖς ἀπαρχαῖς τῶν δογμάτων ὑμῶν, ἐν τοῖς ἀφορισμοῖς ἡμῶν ὑμῶν, ἐν πυρί. ὑμεῖς μιαίνεσθε ἐν πᾶσι τοῖς ἐνθυμήμασιν ὑμῶν. ἕως τῆς σήμερον ἡμέρας. καὶ ἐγὼ ἀποκριθῶ ὑμῖν οἶκος τοῦ ἰσραήλ. ζῶ ἐγὼ λέγει ἀδωναῒ κύριος. εἰ ἀποκριθήσομαι ὑμῖν. καὶ εἰ ἀναβήσεται τὸ πνεῦμα ὑμῶν τοῦτο. καὶ οὐκ ἔσται ὃν τρόπον ὑμεῖς λέγετε. ἐσόμεθα ὡς τὰ ἔθνη, καὶ ὡς αἱ φυλαὶ τῆς γῆς. λατρεύειν ξύλοις καὶ λίθοις. καὶ διὰ τοῦτο ζῶ ἐγὼ λέγει ἀδωναῒ κύριος. εἰ μὴν ἐν χειρὶ κραταιᾷ, καὶ ἐν βραχίονι ὑψηλῷ. καὶ ἐν θυμῷ κεχυμένῳ, βασιλεύσω ἐφ' ὑμᾶς καὶ ἐξάξω ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέξομαι ὑμᾶς ἐκ τῶν χωρῶν. οὗ διεσκορπίσθητε ἐν αὐταῖς, ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ. ἐν θυμῷ κεχυμένῳ. καὶ ἄξω ὑμᾶς εἰς τὴν ἔρημον τῶν λαῶν. καὶ διακριθήσομαι πρὸς ὑμᾶς ἐκεῖ. πρόσωπον κατὰ πρόσωπον. ὃν τρόπον διεκρίθην πρὸς τοὺς πατέρας ὑμῶν. ἐν τῇ ἐρήμῳ. ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς αἰγύπτου. οὕτως κρινῶ ὑμᾶς λέγει κύριος ὁ θεός. καὶ διάξω ὑμᾶς ὑπὸ τὴν ῥάβδον μου. καὶ εἰσάξω ὑμᾶς ἐν ἀριθμῷ. καὶ ἐκλέξω ἐξ ὑμῶν τοὺς ἀσεβεῖς, καὶ τοὺς ἀφεστηκότας. διότι ἐκ παροικεσίας αὐτῶν ἐξάξω αὐτούς. καὶ εἰς τὴν γῆν τοῦ ἰσραήλ, οὐκ εἰσελεύσονται. καὶ ἐπιγνώσεσθε. διότι ἐγὼ κύριος ὁ θεὸς καὶ ὑμεῖς οἶκος ἰσραήλ. τάδε λέγει κύριος κύριος ὁ θεός. ἕκαστος τὰ ἐπιτηδεύματα αὐτοῦ ἐξάρατε. καὶ μετὰ ταῦτα εἰ μὴ ὑμεῖς εἰσακούετε, καὶ τὸ ὄνομά μου τὸ ἅγιον οὐ βεβηλώσετε, οὐκέτι ἐν τοῖς δώροις ὑμῶν. καὶ ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν. διότι ἐπὶ τοῦ ὄρους τοῦ ἁγίου μου, ἐπ' ὄρους ὑψηλοῦ ἰσραήλ λέγει κύριος κύριος. ἐκεῖ δουλεύσουσί μοι. πᾶς οἶκος ἰσραήλ εἰς τέλος. καὶ ἐκεῖ προσδέξομαι καὶ ἐπισκέψομαι, τὰς ἀπαρχὰς

ὑμῶν, καὶ τὰς ἀπαρχὰς τῶν ἀφορισμῶν ὑμῶν, ἐν πᾶσι τοῖς ἁ-
γιάσμασιν ὑμῶν. ἐν ὀσμῇ εὐωδίας προσδέξομαι ὑμᾶς, ἐν τῷ
ἐξαγαγεῖν με ὑμᾶς ἐκ τῶν λαῶν, καὶ εἰσδέχεσθαι ὑμᾶς ἐκ τῶν
χωρῶν, ἐν αἷς διεσκορπίσθητε ἐν αὐταῖς. καὶ ἁγιασθήσο-
μαι ἐν ὑμῖν κατ' ὀφθαλμοὺς τῶν λαῶν. καὶ ἐπιγνώσεσθε.
διότι ἐγὼ κύριος. ἐν τῷ εἰσαγαγεῖν με ὑμᾶς, εἰς τὴν γῆν
τοῦ ἰσραήλ. εἰς τὴν γῆν ἣν ἦρα τὴν χεῖρά μου δοῦναι αὐτὴν,
τοῖς πατράσιν ὑμῶν. καὶ μνησθήσεσθε ἐκεῖ τὰς ὁδοὺς ὑμῶν,
ἐν οἷς ἐμιάνθητε ἐν αὐτοῖς. καὶ ὄψεσθε τὰ πρόσωπα ὑμῶν.
ἐν πάσαις ταῖς ἀδικίαις ὑμῶν. καὶ ἐπιγνώσεσθε. διότι ἐγὼ
κύριος. ἐν τῷ ποιῆσαί με, οὕτως ὑμῖν. ὅπως τὸ ὄνομά μου
μὴ βεβηλωθῇ, κατὰ τὰς ὁδοὺς ὑμῶν τὰς κακάς. καὶ κατὰ τὰ
ἐπιτηδεύματα ὑμῶν, τὰ διεφθαρμένα, λέγει ἀδωναῒ κύριος.
Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώπου. στήρι-
σον τὸ πρόσωπόν σου ἐπὶ θαιμάν. καὶ ἐπίβλεψον ἐπὶ δαγών.
καὶ προφήτευσον ἐπὶ δρυμὸν ἡγούμενον ναγέβ. καὶ ἐρεῖς τῷ
δρυμῷ, ναγέβ. Ἄκουε λόγον κυρίου. τάδε λέγει κύριος κύριος
ὁ θεός. ἰδοὺ ἐγὼ ἀνάπτω ἐν σοὶ πῦρ. καὶ καταφάγεται ἐν σοὶ
πᾶν ξύλον χλωρόν. οὐ σβεσθήσεται ἡ φλὸξ ἐξαφθεῖσα. καὶ κατα-
καυθήσεται ἐν αὐτῇ, πᾶν πρόσωπον. ἀπὸ ἀπηλιώτου, ἕως βοῤ-
ῥᾶ. καὶ ἐπιγνώσεται πᾶσα σὰρξ, ὅτι ἐγὼ κύριος ἐξέκαυσα αὐτό.
καὶ οὐ σβεσθήσεται, καὶ εἶπα μηδαμῶς κύριε κύριε. αὐτοὶ λέγου-
σι πρός με. οὐχὶ παραβολή ἐστι λεγομένη αὕτη.

## Κεφάλαιον. κα. 21.

Αἰ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώ-
κ που. στήρισον τὸ πρόσωπόν σου ἐπὶ ἱερουσαλὴμ, καὶ ἐπί-
βλεψον ἐπὶ τὰ ἅγια αὐτῶν. καὶ προφητεύσεις ἐπὶ τὴν
γῆν τοῦ ἰσραήλ. τάδε λέγει κύριος ὁ θεός. ἰδοὺ ἐγὼ πρὸς σέ.
καὶ ἐκσπάσω τὸ ἐγχειρίδιόν μου, ἐκ τοῦ κολεοῦ αὐτοῦ. καὶ ἐξολο-
θρεύσω ἐκ σοῦ ἄνομον καὶ ἄδικον. οὕτως ἐξελεύσεται τὸ ἐγχειρί-

διόν μου ἐκ τοῦ κολεοῦ αὐτοῦ, ἐπὶ πᾶσαν σάρκα. ἀπὸ ἀπηλιώτου
ἕως βορρᾶ. καὶ ἐπιγνώσεται πᾶσα σάρξ. διότι ἐγὼ κύριος, ἐξ-
έσπασα τὸ ἐγχειρίδιόν μου, ἐκ τοῦ κολεοῦ αὐτοῦ. καὶ οὐκ ἀποστρέ-
ψει οὐκέτι. καὶ σὺ υἱὲ ἀνθρώπου, καταστέναξον ἐν συντριβῇ ὀσφύ-
ος σου. καὶ ἐν ὀδύναις στενάξεις κατ' ὀφθαλμοὺς αὐτῶν. καὶ ἔσται
ἐὰν εἴπωσι πρὸς σὲ ἕνεκα τίνος σὺ στενάζεις. καὶ ἐρεῖς ἐπὶ τῇ ἀγγε-
λίᾳ, διότι ἔρχεται. καὶ θραυσθήσεται πᾶσα καρδία. καὶ πᾶσαι
χεῖρες παραλυθήσονται. καὶ ἐκψύξει πᾶσα σάρξ. καὶ πᾶν πνεῦ-
μα. καὶ πάντες μηροὶ μολυνθήσονται ὑγρασίᾳ. ἰδοὺ ἔρχεται.
καὶ ἔσται λέγει κύριος κύριος ὁ θεός. Καὶ ἐγένετο λόγος κυρίου
πρός με. λέγων, υἱὲ ἀνθρώπου. προφήτευσον καὶ ἐρεῖς. τάδε λέ-
γει ἀδωναῒ κύριος. εἶπον ῥομφαία ῥομφαία. ὀξύνου, καὶ θυμώ-
θητι, ὅπως σφάξῃς σφάγια. ὀξύνου. ὅπως γένῃ εἰς στίλβωσιν, ἑτοί-
μη εἰς παράλυσιν. σφάζε. ἐξουδένου. ἀπόθου πᾶν ξύλον. καὶ ἔδω-
κεν αὐτὴν ἑτοίμην τοῦ κρατεῖν εἰς χεῖρας αὐτοῦ. ἐξηκονήθη ῥομ-
φαία. ἔστιν ἑτοίμη τοῦ δοθῆναι αὐτὴν εἰς χεῖρας ἀποκεντοῦντος.
ἀνάκραγε. καὶ ὀλόλυξον. υἱὲ ἀνθρώπου. ὅτι αὕτη ἐγένετο ἐν τῷ
λαῷ μου. αὕτη ἐν πᾶσι τοῖς ἀφηγουμένοις τοῦ ἰσραὴλ παροική-
σουσιν ἐπὶ ῥομφαίᾳ. ἐγένετο τῷ λαῷ μου. διὰ τοῦτο κρότησον ἐπὶ
τὴν χεῖρά σου, ὅτι δεδικαίωται καὶ τί. εἰ καὶ φυλὴ ἀπωσθῇ. οὐκ
ἔσται λέγει κύριος κύριος. καὶ σὺ υἱὲ ἀνθρώπου, προφήτευσον
καὶ κρότησον χεῖρα ἐπὶ χεῖρα. καὶ διπλασίασον ῥομφαίαν ἡ τρί-
τη ῥομφαία τραυματιῶν ἐστι. ῥομφαία τραυματιῶν, ἡ μεγάλη
καὶ ἐκστήσεις αὐτοὺς ὅπως θραυσθῇ ἡ καρδία. καὶ πληθυνθῶσιν
οἱ ἀσθενοῦντες. ἐπὶ πᾶσαν πύλην αὐτῶν, παραδίδονται εἰς σφά-
για ῥομφαίας. εὖ γέγονεν εἰς στίλβωσιν. εὖ γέγονεν εἰς σφαγήν
καὶ διαπορεύου. ὀξύνου ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, οὗ ἂν τὸ πρό-
σωπόν σου ἐξεγείρηται. καὶ ἐγὼ δὲ κροτήσω, χεῖρά μου πρὸς
χεῖρά μου. καὶ ἐναφήσω τὸν θυμόν μου. ἐγὼ κύριος λελάληκα.
Καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων. καὶ σὺ υἱὲ ἀνθρώπου

διάταξον σεαυτῷ δύο ὁδοὺς. τοῦ εἰσελθεῖν ῥομφαίαν βασιλέως βαβυλῶνος. ἐκ χώρας μιᾶς ἐξελεύσονται ἀρχαὶ δύο. καὶ χάρα ἐπιμάσουσιν ἐν ἀρχῇ ὁδοῦ πόλεως. ἐπ' ἀρχῆς ὁδοῦ διατάξεις. καὶ σὺ ἑτοίμασον καὶ διάταξον ὁδὸν, τοῦ εἰσελθεῖν ῥομφαίαν ἐπὶ ῥαββὰθ. ἐπὶ υἱῶν ἀμμὼν, καὶ ἐπὶ τὴν ἰουδαίαν. καὶ τὴν ἱερουσαλὴμ, ἐν μέσῳ αὐτῆς. διότι στήσεται βασιλεὺς βαβυλῶνος ἐπὶ τὴν ἀρχαίαν ὁδόν. ἐπ' ἀρχῆς τῶν δύο ὁδῶν, τοῦ μαντεύσασθαι μαντείαν, τοῦ ἀναβράσαι ῥάβδον. καὶ ἐπερωτῆσαι ἐν τοῖς γλυπτοῖς. καὶ κατασκοπήσασθαι ἐκ δεξιῶν αὐτοῦ. ἐγένετο μαντεῖον ἐπὶ ἱερουσαλὴμ, τοῦ βαλεῖν χάρακα. καὶ τοῦ διανοῖξαι τὸ στόμα ἐν βοῇ ὑψῶσαι φωνὴν μετὰ κραυγῆς. τοῦ βαλεῖν χάρακα, ἐπὶ τὰς πύλας αὐτῆς. καὶ βαλεῖν χῶμα, καὶ οἰκοδομῆσαι βελοστάσεις. καὶ αὐτὸς αὐτοῖς ὡς μαντευόμενος μαντείαν ἐνώπιον αὐτῶν. καὶ αὐτὸς ἀναμιμνήσκων ἀδικίας αὐτοῦ μνησθῆναι. διὰ τοῦτο τάδε λέγει κύριος κύριος ὁ θεός. ἀνθ' ὧν ἀναμνήσατε τὰς ἀδικίας ὑμῶν, ἐν τῷ ἀποκαλυφθῆναι τὰς ἀσεβείας ὑμῶν, τοῦ ὁραθῆναι ἁμαρτίας ὑμῶν. ἐν πάσαις ταῖς ἀσεβείαις ὑμῶν. ἐν τοῖς ἐπιτηδεύμασιν ὑμῶν, ἀνθ' ὧν ἀνεμνήσατε, ἐν τούτοις ἁλώσεσθε. καὶ σὺ βέβηλε ἄνομε. ἀφηγούμενε τοῦ ἰσραήλ. οὗ ἥκει ἡ ἡμέρα ἐν καιρῷ ἀδικίας πέρας. τάδε λέγει κύριος κύριος. ἀφείλου τὴν κίδαριν, καὶ ἐπέθου τὸν στέφανον αὐτῇ. οὐ τοιαύτη ἔσται. ἐταπείνωσας τὸ ὑψηλὸν, καὶ ὕψωσας τὸ ταπεινόν. ἀδικίαν ἀδικίαν θήσομαι αὐτήν. οὐδ' αὐτὴ τοιαύτη ἔσται, ἕως οὗ ἔλθῃ ᾧ καθήκει. καὶ παραδώσω αὐτῷ. καὶ σὺ υἱὲ ἀνθρώπου, προφήτευσον καὶ ἐρεῖς. τάδε λέγει κύριος κύριος ὁ θεὸς πρὸς τοὺς υἱοὺς ἀμμὼν, καὶ πρὸς τὸν ὀνειδισμὸν αὐτῶν. καὶ ἐρεῖς ῥομφαία ῥομφαία ἐσπασμένη εἰς σφάγια. καὶ ἐσπασμένη εἰς συντέλειαν. ἐγείρου ὅπως στίλβῃς ἐν τῇ ὁράσει σου τῇ ματαίᾳ. καὶ ἐν τῷ μαντεύεσθαί σε ψευδῆ. τοῦ παραδοῦναί σε ἐπὶ τραχήλους τραυματιῶν ἀνόμων, ὧν ἥκει ἡ ἡμέρα, ἐν καιρῷ ἀδικίας πέρας. ἀπό

στρεφε, μὴ εἰς τὸν κολεόν σου, καὶ μὴ καταλύσῃς ἐν τῷ τόπῳ τού-
τῳ. ᾧ γεγένησαι. ἐν τῇ γῇ τῇ ἰδίᾳ σου κρινῶ σε. καὶ ἐκχεῶ ἐπὶ
σὲ τὴν ὀργήν μου. ἐν πυρὶ ὀργῆς μου ἐμφυτεύσω ἐπὶ σέ. καὶ παρα-
δώσω εἰς χεῖρας ἀνδρῶν βαρβάρων τεκταινόντων διαφθοράν
ἐν πυρὶ ἔσῃ κατάβρωμα. τὸ αἷμά σου ἔσται ἐν μέσῳ τῆς γῆς σου. οὐ
μὴ γένηταί σου μνεία. διότι ἐγὼ κύριος λελάληκα. Κεφ. κβ. 22.

Αἰ ἐγένετο λόγος κυρίου πρός με λέγων. καὶ σὺ υἱὲ
κ ἀνθρώπου, εἰ κρινεῖς τὴν πόλιν τῶν αἱμάτων. καὶ
παράδειξον αὐτῆς πάσας τὰς ἀνομίας αὐτῆς καὶ
ἐρεῖς. τάδε λέγει κύριος κύριος ὁ θεός. ὦ πόλις ἐκχέουσα αἵματα ἐν μέ-
σῳ αὐτῆς. τοῦ ἐλθεῖν καιρὸν αὐτῆς. καὶ ποιοῦσα ἐνθυμήματα καθ'
ἑαυτῆς, τοῦ μιαίνειν αὐτήν, ἐν τοῖς αἵμασιν αὐτῶν, οἷς ἐξέχεας πα-
ραπέπτωκας. καὶ ἐν τοῖς ἐνθυμήμασί σου οἷς ἐποίεις, ἐμιαίνου. καὶ
ἤγγισας τὰς ἡμέρας σου. καὶ ἤγαγες καιρὸν ἐτῶν σου. διὰ τοῦτο δέ-
δωκά σε, εἰς ὀνειδισμὸν τοῖς ἔθνεσι. καὶ εἰς ἐμπαιγμὸν, πάσαις
ταῖς χώραις ταῖς ἐγγιζούσαις πρὸς σέ. καὶ ταῖς μακρὰν ἀπεχού-
σαις ἀπὸ σοῦ. καὶ ἐμπαίζονται ἐν σοί, ἀκάθαρτος ἡ ὀνομαστὴ καὶ
πολλὴ ἐν ταῖς ἀνομίαις. ἰδοὺ οἱ ἀφηγούμενοι οἴκου ἰσραήλ. ἕκα-
στος πρὸς τοὺς συγγενεῖς αὐτοῦ. συναναφύρονταί σοι. ὅπως ἐκχέ-
ωσιν αἷμα. πατέρα καὶ μητέρα, ἐκακολόγουν ἐν σοί. καὶ πρὸς τὸν
προσήλυτον ἀνεστρέφοντο ἐν ἀδικίαις ἐν σοί. ὀρφανὸν καὶ χήραν
κατεδυνάστευον ἐν σοί. καὶ τὰ ἅγιά μου ἐξουδένουν. καὶ τὰ σάββατά
μου, ἐβεβήλουν ἐν σοί. ἄνδρες λῃσταὶ ἦσαν ἐν σοί. ὅπως ἐκχέωσιν ἐν
σοὶ αἷμα. καὶ ἐπὶ τῶν ὀρέων, ἤσθιον ἐπὶ σοί. ἀνόσια ἐποίουν ἐν σοί. αἰ-
σχύνην πατρὸς, ἀπεκάλυψαν ἐν σοί. καὶ ἐν ἀκαθαρσίαις ἀποκαθη-
μένην, ἐταπείνουν ἐν σοί. καὶ ἕκαστος τὴν γυναῖκα τοῦ πλη-
σίον αὐτοῦ ἠνόμησαν. καὶ ἕκαστος τὴν νύμφην αὐτοῦ ἐμίαινεν ἐν
ἀσεβείᾳ. Καὶ ἕκαστος τὴν ἀδελφὴν αὐτοῦ. καὶ θυγατέρα
τοῦ πατρὸς αὐτοῦ ἐταπείνουν ἐν σοί. δῶρα ἐλάμβανον ἐν σοί. ὅπως
ἐκχέωσιν αἷμα. τόκον καὶ πλεονασμὸν ἐλαμβάνοσαν ἐν σοί.

καὶ συνετελέσω συντέλειαν κακίας σου. τὴν ἐν καταδυναστείᾳ,
ἐμοῦ δὲ ἐπελάθου, λέγει κύριος κύριος. ἐὰν δὲ πατάξω, χεῖρά
μου πρὸς χεῖρά μου. ἐφ' οἷς συντετέλεσαι οἷς ἐποίησας, καὶ ἐπὶ τοῖς
αἵμασί σου. τοῖς γεγενημένοις ἐν μέσῳ σου, εἰ ὑποστήσεται ἡ καρ-
δία σου. εἰ κρατήσουσιν αἱ χεῖρές σου, ἐν ταῖς ἡμέραις αἷς ἐγὼ
ποιῶ ἐν σοί. ἐγὼ κύριος λελάληκα καὶ ποιήσω, καὶ διασκορ-
πιῶ σε ἐν τοῖς ἔθνεσι. καὶ διασπερῶ σε ἐν ταῖς χώραις. καὶ ἐκ-
λείψει ἡ ἀκαθαρσία σου ἐκ σοῦ. καὶ κατακληρονομήσω ἐν σοί,
κατ' ὀφθαλμοὺς τῶν ἐθνῶν. καὶ γνώσεσθε. διότι ἐγὼ κύριος.
Καὶ ἐγένετο λόγος κυρίου πρός με, λέγων, υἱὲ ἀνθρώπου. ἰδοὺ
γεγόνασί μοι οἶκος ἰσραήλ. ἀναμεμιγμένοι πάντες χαλκῷ
καὶ σιδήρῳ. καὶ κασσιτήρῳ καὶ μολίβδῳ. ἐν μέσῳ ἀργυρίου,
ἀναμεμιγμένον ἐστί. διὰ τοῦτο εἶπον, τάδε λέγει κύριος κύριος·
ἀνθ' ὧν ἐγένεσθε πάντες εἰς σύγκρασιν μίαν, διὰ τοῦτο ἰδοὺ ἐγὼ
εἰσδέχομαι ὑμᾶς, εἰς μέσον ἰερουσαλήμ. καθὼς εἰσδέχεται ἄρ-
γυρος καὶ χαλκός. καὶ σίδηρος καὶ κασσίτηρος. καὶ μόλιβδος
εἰς μέσον καμίνου. καὶ ἐκφυσῆσαι εἰς αὐτὸ πῦρ. τοῦ χωνευθῆναι,
οὕτως εἰσδέξομαι ἐν ὀργῇ μου. καὶ συνάξω καὶ χωνεύσω ὑμᾶς
καὶ ἐμφυσήσω ἐφ' ὑμᾶς, ἐν πυρὶ ὀργῆς μου. καὶ χωνευθήσεσθε
ἐν μέσῳ αὐτῆς. καὶ ἐπιγνώσεσθε, διότι ἐγὼ κύριος. ἐξέχεα τὸν
θυμόν μου ἐφ' ὑμᾶς. καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων,
υἱὲ ἀνθρώπου. εἰπὸν αὐτῇ. σὺ εἶ γῆ. ἡ μὴ βρεχομένη. οὐδὲ ὑετὸς
καταβήσεται ἐπὶ σέ, ἐν ἡμέρᾳ ὀργῆς. ἧς οἱ ἀφηγούμενοι ἐν μέ-
σῳ αὐτῆς. ὡς λέοντες ὠρυόμενοι ἁρπάζοντες ἁρπάγματα, ψυ-
χὰς κατεσθίοντες ἐν δυναστείᾳ. τιμὰς λαμβάνοντες ἐν ἀδικίᾳ
καὶ χῆραι σου, ἐπληθύνθησαν ἐν μέσῳ σου. καὶ οἱ ἱερεῖς αὐτῆς,
ἠθέτησαν νόμον μου. καὶ ἐβεβήλουν τὰ ἅγιά μου. ἀνὰ μέσον ἁγί-
ου καὶ βεβήλου, διέστελλον. καὶ ἀνὰ μέσον ἀκαθάρτου, καὶ τοῦ κα-
θαροῦ οὐ διέστελλον. καὶ ἀπὸ τῶν σαββάτων μου, παρεκάλυπτον
τοὺς ὀφθαλμοὺς αὐτῶν. καὶ τὰ σάββατά μου, ἐβεβήλουν ἐν μέσῳ

αὐτῶν. οἱ ἄρχοντες αὐτῆς ἐν μέσῳ αὐτῆς. ὡς λύκοι ἁρπάζον-
τες ἁρπάγματα, τοῦ ἐκχέαι αἷμα. ὅπως πλεονεξίᾳ πλεονεκτῶ-
σι. καὶ οἱ προφῆται αὐτῆς ἀλείφοντες αὐτοὺς, πεσοῦνται. ὁρῶν-
τες μάταια μαντευόμενοι ψευδῆ, λέγοντες. τάδε λέγει ἀδω-
ναῒ κύριος. καὶ κύριος οὐκ ἐλάλησε. λαὸς τῆς γῆς ἐκπιεζοῦντες
ἀδικίαν. καὶ ἁρπάζοντες ἁρπάγματα. πτωχὸν καὶ πένητα κα-
ταδυναστεύοντες. καὶ πρὸς τὸν προσήλυτον οὐκ ἀναστρεφόμενοι με-
τὰ κρίματος. καὶ ἐζήτουν ἐξ αὐτῶν ἄνδρα. ἀναστρεφόμενον ὀρ-
θῶς. καὶ ἑστῶτα κατὰ πρόσωπόν μου, ὁλοσχερῶς, ἐν τῷ καιρῷ
τῆς ὀργῆς. τοῦ μὴ εἰς τέλος ἐξαλεῖψαι αὐτήν. καὶ οὐχ εὗρον. καὶ
ἐξέχεα ἐπ᾽ αὐτὴν τὸν θυμόν μου, ἐν πυρὶ ὀργῆς μου. τοῦ συντε-
λέσαι τὰς ὁδοὺς αὐτῶν, εἰς κεφαλὰς αὐτῶν δέδωκα. λέγει κύ-
ριος κύριος. Κεφάλαιον. κγ. 23:

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώ-
κ που. δύο γυναῖκες ἦσαν θυγατέρες μητρὸς μιᾶς, καὶ
ἐξεπόρνευσαν ἐν αἰγύπτῳ. ἐν τῇ νεότητι αὐτῶν ἐπόρ-
νευσαν. ἐκεῖ ἔπεσον οἱ μαστοὶ αὐτῶν. ἐκεῖ διεπαρθενεύθησαν. τὰ
δὲ ὀνόματα αὐτῶν ἡ ὀολὰ ἡ πρεσβυτέρα, καὶ ὀλιβὰ ἡ ἀδελ-
φὴ αὐτῆς; καὶ ἐγένοντό μοι. καὶ ἔτεκον υἱοὺς καὶ θυγατέρας.
καὶ τὰ ὀνόματα αὐτῶν, σαμάρεια ἡ ὀολά. καὶ ἱερουσαλὴμ ἡ ὀ-
λιβά. καὶ ἐξεπόρνευσεν ἡ ὀολὰ ἀπ᾽ ἐμοῦ, καὶ ἐπέθετο ἐπὶ τοὺς
ἐραστὰς αὐτῆς. ἐπὶ τοὺς ἀσσυρίους τοὺς ἐγγίζοντας αὐτῇ, ἐνδεδυ-
κότας ὑακίνθινα. ἡγουμένους καὶ στρατηγούς. νεανίσκοι ἐπίλεκτοι
πάντες. ἱππεῖς ἱππαζόμενοι ἐφ᾽ ἵππων. καὶ ἔδωκε τὴν πορνεί-
αν αὐτῆς ἐπ᾽ αὐτούς. ἐπίλεκτοι οἱ ἀσσυρίων πάντες. καὶ ἐπὶ πάν-
τας ἐφ᾽ οὓς ἐπέθετο. ἐνθυμήμασιν αὐτῆς ἐμιαίνετο. καὶ τὴν
πορνείαν αὐτῆς ἐξ αἰγύπτου, οὐκ ἐγκατέλιπεν, ὅτι μετ᾽ αὐτῆς
ἐκοιμῶντο ἐν τῇ νεότητι αὐτῆς. καὶ αὐτοὶ διεπαρθένευσαν αὐτήν.
καὶ ἐξέχεαν τὴν πορνείαν αὐτῶν, ἐπ᾽ αὐτήν. διὰ τοῦτο παρέ-
δωκα αὐτὴν, εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς. εἰς χεῖρας υἱῶν ἀσ-

κυρίων. ἐφ᾽ οὓς ἐπετίθετο, αὐτοὶ ἀπεκάλυψαν τὴν αἰσχύνην αὐ-
τῆς. υἱοὺς καὶ θυγατέρας αὐτῆς ἔλαβον. καὶ αὐτὴν ἐν ῥομφαίᾳ
ἀπέκτειναν, καὶ ἐγένετο λάλημα εἰς γυναῖκας. καὶ ἐποίησαν ἐκδική-
σεις ἐν αὐτῇ, εἰς τὰς θυγατέρας αὐτῆς. καὶ εἶδεν ἡ ἀδελφὴ αὐτῆς ἡ
ὀλιβά, καὶ διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς, ὑπὲρ αὐτῆς, καὶ τὴν πορνεί-
αν αὐτῆς ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς. καὶ ἐπὶ τοὺς υἱοὺς τῶν
ἀσσυρίων, ἐπέθετο ἡγουμένους, καὶ στρατηγοὺς ἐγγὺς αὐτῆς ἐνδε-
δυκότας εὐπάρυφα. ἱππεῖς ἱππαζομένους ἐφ᾽ ἵππων. νεανίσκοι
ἐπίλεκτοι πάντες. καὶ εἶδον ὅτι μεμίανται ὁδὸς μία τῶν δύο.
καὶ προσέθετο πρὸς τὴν πορνείαν αὐτῆς. καὶ εἶδεν ἄνδρας ἐζω-
γραφημένους ἐπὶ τοῦ τοίχου. εἰκόνας χαλδαίων ἐζωγραφημένους,
ἐν γραφίδι διεζωσμένους. ποικίλματα ἐπὶ τὰς ὀσφύας αὐτῶν
καὶ τιάρας βαπτὰς ἐπὶ τῶν κεφαλῶν αὐτῶν. ὄψις τριαστὴ πάντων.
ὁμοίωμα υἱῶν χαλδαίων. γῆς πατρίδος αὐτῶν. καὶ ἐπέθετο ἐπ᾽
αὐτοὺς ἐν ὁράσει ὀφθαλμῶν αὐτῆς. καὶ ἐξαπέστειλεν ἀγγέλους
πρὸς αὐτοὺς, εἰς γῆν χαλδαίων. καὶ ἦλθον πρὸς αὐτὴν οἱ υἱοὶ
βαβυλῶνος. εἰς κοίτην καταλυόντων. καὶ ἐμίαινον αὐτὴν ἐν τῇ
πορνείᾳ αὐτῆς. καὶ ἐμιάνθη ἐν αὐτοῖς. καὶ ἀπέστη ἡ ψυχὴ αὐτῆς
ἀπ᾽ αὐτῶν. καὶ ἀπεκάλυψε τὴν πορνείαν αὐτῆς. καὶ ἀπεκάλυ-
ψεν αἰσχύνην αὐτῆς καὶ ἀπέστη ἡ ψυχή μου ἀπ᾽ αὐτῆς. ὃν τρόπον
ἀπέστη ἡ ψυχή μου ἀπὸ τῆς ἀδελφῆς αὐτῆς. καὶ ἐπλήθυνας τὴν
πορνείαν σου. τοῦ ἀναμνῆσαι ἡμέρας νεότητός σου. ἐν αἷς ἐπόρ-
νευσας ἐν αἰγύπτῳ. καὶ ἐπέθου ἐπὶ τοὺς χαλδαίους. ὧν ἦσαν ὡς ὄ-
νων αἱ σάρκες αὐτῶν. καὶ αἰδοῖα ἵππων, τὰ αἰδοῖα αὐτῶν. καὶ
ἐπεσκέψω τὴν ἀνομίαν νεότητός σου, ἃ ἐποίησας ἐν αἰγύπτῳ.
ἐν τῷ καταλύματί σου, οὗ οἱ μαστοὶ ἔπεσαν νεότητός σου. διὰ τοῦ-
το ὀλιβά, τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς
ἐραστάς σου ἐπὶ σὲ, ἀφ᾽ ὧν ἀπέστη ἡ ψυχή σου ἀπ᾽ αὐτῶν. καὶ ἐπά-
ξω αὐτοὺς ἐπὶ σὲ, κυκλόθεν υἱοὺς βαβυλῶνος. καὶ πάντας τοὺς
χαλδαίους. φακούθ. καὶ σουέ. καὶ κούθ. καὶ πάντας υἱοὺς ἀσσυρ-

ὧν μετ' αὐτῶν, νεανίσκους ἐπιλέκτους, ἡγουμένους. καὶ στρατη-
γοὺς πάντας, τριστάτας καὶ ὀνομαστούς. ἱππεύοντας ἐφ' ἵππων πάν-
τες ἥξουσιν ἐπὶ σὲ, ἀπὸ βοῤῥᾶ. ἅρματα καὶ τροχοὶ μετ' ὄχλου
λαῶν. θυρεοὶ καὶ πέλται. καὶ βαλοῦσι φυλακὴν ἐπὶ σὲ κύκλῳ
καὶ δώσω πρὸ προσώπου αὐτῶν κρίμα. καὶ ἐκδικήσουσί σε
ἐν τοῖς κρίμασιν αὐτῶν. καὶ δώσω τὸν ζῆλόν μου ἐν σοί. καὶ ποιήσου-
σι μετὰ σοῦ, ἐν ὀργῇ θυμοῦ. μυκτῆρά σου καὶ τὰ ὦτά σου ἀφελοῦ-
σι. καὶ τοὺς καταλοίπους σου, ἐν ῥομφαίᾳ βαλοῦσιν. αὐτοὶ οἱ υἱοί
σου, καὶ αἱ θυγατέρες σου, λήψονται. καὶ τοὺς καταλοίπους σου,
ἐν πυρὶ ἀναλώσουσι. καὶ ἐκδύσουσί σε τὸν ἱματισμόν σου, καὶ
λήψονται τὰ σκεύη τῆς καυχήσεώς σου. καὶ ἀποστρέψω τὰς ἀσε-
βείας σου ἐκ σοῦ. καὶ τὴν πορνείαν σου ἐκ γῆς αἰγύπτου, καὶ οὐ
μὴ ἄρῃς τοὺς ὀφθαλμούς σου, ἐπ' αὐτούς. καὶ αἰγύπτου, οὐ μὴ μνη-
σθῇς ἔτι. διότι τάδε λέγει κύριος κύριος. ἰδοὺ παραδίδωμί σε, εἰς χεῖ-
ρας ὧν μισεῖς. ἀφ' ὧν ἀπέστη ἡ ψυχή σου ἀπ' αὐτῶν. καὶ ποιήσου-
σιν ἐν σοὶ ἐν μίσει καὶ λήψονται πάντας τοὺς πόνους σου, καὶ τοὺς
μόχθους σου. καὶ ἔσῃ γυμνὴ καὶ ἀσχημονοῦσα. καὶ ἀποκαλυφθήσε-
ται αἰσχύνη πορνείας σου, ἐν ἀσεβείᾳ σου. καὶ ἡ πορνεία σου ἐποί-
ησε ταῦτά σοι, ἐν τῷ ἐκπορνεῦσαί σε ὀπίσω ἐθνῶν. καὶ ἐμιαί-
νου ἐν τοῖς ἐνθυμήμασιν αὐτῶν, ἐν τῇ ὁδῷ τῆς ἀδελφῆς σου ἐπορεύ-
θης. καὶ δώσω τὸ ποτήριον αὐτῆς, εἰς χεῖράς σου. τάδε λέγει κύριος
κύριος. τὸ ποτήριον τῆς ἀδελφῆς σου πίεσαι. τὸ βαθὺ καὶ τὸ πλα-
τὺ, ἔσται εἰς γέλωτα, καὶ εἰς μυκτηρισμόν. τὸ πλεονάζον τοῦ συντε-
λέσαι μέθην. καὶ ἐκλύσεως πλησθήσῃ. ποτήριον ἀφανισμοῦ. πο-
τήριον ἀδελφῆς σου σαμαρείας. καὶ πίεσαι αὐτὸ, καὶ ἐκστραγγιεῖς.
καὶ τὰς ἑορτὰς, καὶ τὰς νουμηνίας αὐτῆς ἀποστρέψω. διότι λελάλη-
κα. λέγει ἀδωναὶ κύριος. ἀνθ' ὧν ἐπελάθου μου, καὶ ἀπέῤῥιψάς με ὀ-
πίσω τοῦ σώματός σου, καὶ σὺ, λάβε τὴν ἀσέβειάν σου, καὶ τὴν
πορνείαν σου, καὶ εἶπε κύριος πρός με, υἱὲ ἀνθρώπου, εἰ κρινεῖς τὴν ὀολὰν
καὶ τὴν ὀλιβάν. καὶ ἀπαγγελεῖς αὐταῖς τὰς ἀνομίας αὐτῶν.

ὅτι ἐμοιχῶντο. καὶ αἷμα ἐν ταῖς χερσὶν αὐτῶν. τὰ ἐνθυμήμα-
τα αὐτῶν ἐμοιχῶντο. καὶ αἷμα ἐν ταῖς χερσὶν αὐτῶν τὰ ἐνθυ-
μήματα αὐτῶν. καὶ τὰ τέκνα αὐτῶν ἃ ἐγέννησάν μοι, διήγαγον
αὐτοῖς, διὰ πυρώσεως, καὶ ταῦτα ἐποίησάν μοι. τὰ ἅγιά μου
ἐμίαινον. καὶ τὰ σάββατά μου ἐβεβήλουν. καὶ ἐν τῷ σφάζειν
τὰ τέκνα αὐτῶν τοῖς εἰδώλοις αὐτῶν. καὶ εἰσεπορεύοντο εἰς τὰ
ἅγιά μου. τοῦ βεβηλοῦν αὐτά. καὶ ὅτι οὕτως ἐποίουν ἐν μέσῳ
τοῦ οἴκου μου, καὶ ὅτι τοῖς ἀνδράσι τοῖς ἐρχομένοις μακρόθεν.
οἷς ἀγγέλους ἐξαπέστελλον πρὸς αὐτούς, καὶ ἅμα τῷ ἔρχεσθαι αὐ-
τούς, εὐθὺς ἐλούου. καὶ ἐστιβίζου τοὺς ὀφθαλμούς σου. καὶ ἐκό-
σμου κόσμῳ. καὶ ἐκάθου ἐπὶ κλίνης ἐστρωμένης. καὶ τράπεζα
κεκοσμημένη, προσώπου αὐτῆς. καὶ τὸ θυμίαμά μου. καὶ τὸ
ἔλαιόν μου εὐφραίνοντο ἐν αὐτοῖς. καὶ φωνὴν ἁρμονίας ἀνε-
κρούοντο. καὶ πρὸς ἄνδρας ἐκ πλήθους ἀνθρώπων, ἥκοντας οἰνω-
μένους ἐκ τῆς ἐρήμου. καὶ ἐδίδοσαν ψέλλια εἰς τὰς χεῖρας αὐ-
τῶν. καὶ στέφανον καυχήσεως ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ εἶπα,
οὐκ ἐν τούτοις μοιχεύουσι. καὶ ἔργα πόρνης. καὶ αὐτὴ ἐξεπόρ-
νευσε. καὶ εἰσεπορεύοντο πρὸς αὐτήν. ὃν τρόπον εἰσπορεύον-
ται πρὸς γυναῖκα πόρνην. οὕτως εἰσεπορεύοντο πρὸς ὀολάν.
καὶ πρὸς ὀλιβὰν τοῦ ποιῆσαι ἀνομίαν. καὶ ἄνδρες δίκαιοι αὐ-
τοί. καὶ ἐκδικήσουσιν αὐτὰς ἐκδικήσει μοιχαλίδων. καὶ ἐκ-
δικήσει αἵματος, ὅτι μοιχαλίδες εἰσί. καὶ αἷμα ἐν χερσὶν
αὐτῶν. ὅτι τάδε λέγει κύριος κύριος. ἀνάγαγε ἐπ' αὐτοὺς ὄ-
χλον. καὶ δὸς ἐπ' αὐτάς, ταραχὴν καὶ διαρπαγήν. καὶ λιθο-
βόλησον ἐπ' αὐτάς, λίθοις ὄπλων. καὶ κατακεντήσουσιν αὐτὰς
ἐν τοῖς ξίφεσιν αὐτῶν. υἱοὺς αὐτῶν καὶ θυγατέρας αὐτῶν ἀ-
ποκτενοῦσιν, καὶ οἴκους αὐτῶν ἐν πυρὶ ἐμπρήσουσιν. καὶ ἀ-
ποστρέψω ἀσέβειαν ἐκ τῆς γῆς. καὶ παιδευθήσονται πᾶσαι
αἱ γυναῖκες. καὶ οὐ μὴ ποιήσωσι, κατὰ τὰς ἀσεβείας αὐτῶν.
καὶ δοθήσεται ἡ ἀσέβεια ὑμῶν ἐφ' ὑμᾶς. καὶ τὰς ἁμαρτίας

τῶν ἐνθυμημάτων ὑμῶν, λήψεσθε. καὶ γνώσεσθε, ὅτι ἐγὼ
κύριος κύριος.

Κεφάλαιον κδ. 24.

ΑΙ ἐγένετο λόγος κυρίου πρός με. ἐν τῷ ἔτει τῷ
κ ἐννάτῳ. ἐν τῷ μηνὶ τῷ δεκάτῳ, δεκάτῃ τοῦ μηνὸς
λέγων. υἱὲ ἀνθρώπου. γράψον σεαυτῷ. εἰς ἡμέ-
ραν ἀπὸ τῆς ἡμέρας ταύτης, ἀφ᾽ ἧς ἀπηρείσατο βασιλεὺς βαβυ-
λῶνος ἐπὶ ἱερουσαλὴμ, ἀπὸ τῆς ἡμέρας τῆς σήμερον. καὶ εἶπον
πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα παραβολήν. καὶ ἐρεῖς πρὸς
αὐτούς. τάδε λέγει κύριος κύριος. ἐπίστησον τὸν λέβητα, καὶ ἔκ-
χεε εἰς αὐτὸν ὕδωρ. καὶ ἔμβαλε εἰς αὐτὸν, τὰ διχοτομήμα-
τα. πᾶν διχοτόμημα καλὸν σκέλος καὶ ὦμον. ἐκσεσαρκι-
σμένα ἀπὸ τῶν ὀστῶν. ἐξ ἐπιλέκτων κτηνῶν εἰλημμένων. καὶ ὑ-
πόκαιε τὰ ὀστᾶ. ὑποκάτω αὐτῶν ἐξέζεσε. καὶ ἥψηθη τὰ ὀστᾶ
αὐτῆς ἐν μέσῳ αὐτῆς. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος ὦ πό-
λις αἱμάτων λέβης. ἐν ᾧ ἐστιν ἰὸς ἐν αὐτῇ. καὶ ὁ ἰὸς, οὐκ ἐξῆλ-
θεν ἐξ αὐτῆς. κατὰ μέλος αὐτῆς ἐξήνεγκεν. οὐκ ἔπεσεν ἐπ᾽ αὐτὴν
κλῆρος. ὅτι ἦν αἷμα αὐτῆς ἐν μέσῳ αὐτῆς ἐστιν ἐπὶ λεωπετρίαν
τέταχα αὐτό, οὐκ ἐκκέχυκα αὐτὸ ἐπὶ τὴν γῆν. τοῦ καλύψαι αὐ-
τὸ γῆν. τοῦ ἀναβῆναι θυμὸν, εἰς ἐκδίκησιν. ἐκδικηθῆναι δέδω-
κα τὸ αἷμα αὐτῆς ἐπὶ λεωπετρίαν τοῦ μὴ καλύψαι αὐτό, διὰ τοῦτο τά-
δε λέγει ἀδωναῒ κύριος. οὐαὶ πόλις τῶν αἱμάτων. καὶ ἐγὼ μεγα-
λυνῶ τὸν δαλόν. καὶ πληθυνῶ τὰ ξύλα. καὶ ἀνακαύσω τὸ πῦρ,
ὅπως τακῇ τὰ κρέα. καὶ ἐλαττωθῇ ὁ ζωμός. καὶ τὰ ὀστᾶ συν-
τριβήσονται. καὶ στῇ ἐπὶ τοὺς ἄνθρακας αὐτῆς, ἐξήφθη. ὅπως προ-
σκαυθῇ καὶ θερμανθῇ. ὅπως συμφρυγῇ ὁ χαλκὸς αὐτῆς. καὶ
τακῇ ἐν μέσῳ αὐτῆς ἀκαθαρσία αὐτῆς. καὶ ἐκλίπῃ ὁ ἰὸς αὐ-
τῆς. καὶ οὐ μὴ ἐξέλθῃ ἐξ αὐτῆς. πολὺς ὁ ἰὸς αὐτῆς. καὶ καταισχυν-
θήσεται ὁ ἰὸς αὐτῆς, ἐν τῇ ἀκαθαρσίᾳ σου, ζῆμα. ἀνθ᾽ ὧν ἐμιαί-
νου. σὺ καὶ οὐκ ἐκαθαρίσθης ἀπὸ ἀκαθαρσίας σου. καὶ τί ἔσται

μὴ καθαρισθῇς ἕως οὗ ἐμπλήσω τὸν θυμόν μου ἐν σοί. ἐγὼ κύρι
ος λελάληκα, καὶ ἥξει καὶ ποιήσω. οὐ διαστελῶ. οὐδὲ μὴ ἐλεή
σω. κατὰ τὰς ὁδούς σου, καὶ κατὰ τὰ ἐπιτηδεύματά σου κρι
νῶ σε. λέγει ἀδωναῒ κύριος. διὰ τοῦτο ἐγὼ κρινῶ σε, κατὰ τὰ αἵ
ματά σου, καὶ κατὰ τὰ ἐνθυμήματά σου, κρινῶ σε. ἡ ἀκάθαρτος,
ἡ ὀνομαστὴ καὶ πολλὴ, τοῦ παραπικραίνειν. Καὶ ἐγένετο λόγος
κυρίου πρός με. λέγων. υἱὲ ἀνθρώπου ἰδοὺ ἐγὼ λαμβάνω ἐκ σοῦ
τὰ ἐπιθυμήματα ὀφθαλμῶν ἐν παρατάξει. οὐ μὴ κοπῇς. οὐδὲ
οὐ μὴ κλαυσθῇς. στεναγμὸς αἵματος. ὀσφύος πένθος ἐστίν. οὐκ
ἔσται τὸ τρίχωμά σου, συμπεπλεγμένον ἐπὶ σέ. καὶ τὰ ὑποδή
ματά σου, ἐν τοῖς ποσί σου. οὐ μὴ παρακληθῇς ἐν χείλεσιν αὐ
τῶν. καὶ ἄρτον ἀνδρῶν, οὐ μὴ φάγῃς. ἐλάλησα πρὸς τὸν λαὸν
τοπρωΐ. ὃν τρόπον ἐνετείλατό μοι. καὶ ἀπέθανεν ἡ γυνή μου
ἑσπέρας. καὶ ἐποίησα τοπρωΐ. ὃν τρόπον ἐπετάγη μοι. καὶ εἶπε
πρός με ὁ λαός. οὐκ ἀπαγγελεῖς ἡμῖν, τί ἐστι ταῦτα ἃ σὺ ποιεῖς,
καὶ εἶπα πρὸς αὐτούς. λόγος κυρίου ἐγένετο πρός με. λέγων,
πρὸς τὸν οἶκον ἰσραήλ. τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ
βεβηλῶ τὰ ἅγιά μου, φρύαγμα ἰσχύος ὑμῶν. ἐπιθυμήματα ὀ
φθαλμῶν ὑμῶν, καὶ ὑπὲρ ὧν φείδονται αἱ ψυχαὶ ὑμῶν. καὶ οἱ υἱοὶ
ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, οὓς ἐγκατελίπετε, ἐν ῥομφαίᾳ
πεσοῦνται, καὶ ποιήσετε ὃν τρόπον πεποίηκα. ἀπὸ στόματος
αὐτῶν, οὐ μὴ παρακληθήσεσθε. καὶ ἄρτον ἀνδρῶν, οὐ μὴ φά
γεσθε. καὶ αἱ κόμαι ὑμῶν, ἐπὶ τῆς κεφαλῆς ὑμῶν. καὶ τὰ ὑπο
δήματα ὑμῶν, ἐν τοῖς ποσὶν ὑμῶν. οὔτε μὴ κόψησθε, οὔτε μὴ
κλαύσητε. καὶ ἐντακήσεσθε. ἐν ταῖς ἀδικίαις ὑμῶν. καὶ οὐ παρα
καλέσετε ἕκαστος, τὸν ἀδελφὸν αὐτοῦ. καὶ ἔσται ἰεζεκιὴλ ὑμῖν,
εἰς τέρας. καὶ πάντα ὅσα ἐποίησε ποιήσετε ὅταν ἔλθῃ ταῦτα
καὶ ἐπιγνώσεσθε. διότι ἐγὼ ἀδωναῒ κύριος. Καὶ σὺ υἱὲ ἀν
θρώπου. οὐκ ἐν τῇ ἡμέρᾳ ὅταν λαμβάνω τὴν ἰσχὺν αὐτῶν παρ'
αὐτῶν. τὴν ἔπαρσιν τῆς καυχήσεως αὐτῶν τὰ ἐπιθυμήματα

τῶν ὀφθαλμῶν αὐτῶν. καὶ τὴν ἔπαρσιν ψυχῆς αὐτῶν. υἱοὺς
αὐτῶν. καὶ θυγατέρας αὐτῶν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἥξει ὁ ἀνα
σωζόμενος πρὸς σὲ. τοῦ ἀναγγεῖλαί σοι, εἰς τὰ ὦτα, ἐν τῇ ἡ-
μέρᾳ ἐκείνῃ, διανοιχθήσεται τὸ στόμα σου πρὸς τὸν ἀνασωζόμε-
νον, καὶ λαλήσεις. καὶ οὐ μὴ ἀποκωφωθήσῃ, οὐκέτι. καὶ ἔσῃ αὐ-
τοῖς εἰς τέρας. καὶ ἐπιγνώσονται. διότι ἐγὼ κύριος.

Κεφάλαιον. κε. 25.

Αὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων, υἱὲ ἀν-
κ θρώπου. στήρισον τὸ πρόσωπόν σου, ἐπὶ τοὺς υἱοὺς
ἀμμών. καὶ προφήτευσον ἐπ᾽ αὐτοὺς, καὶ ἐρεῖς
τοῖς υἱοῖς ἀμμών. ἀκούσατε λόγον ἀδωναΐ κυρίου. τάδε λέ-
γει ἀδωναΐ κύριος. ἀνθ᾽ ὧν ἐπεχάρητε ἐπὶ τὰ ἅγιά μου, ὅτε
ἐβεβηλώθη. καὶ ἐπὶ τὴν γῆν τοῦ ἰσραὴλ ὅτι ἠφανίσθη, καὶ ἐπὶ
τὸν οἶκον ἰούδα, ὅτι ἐπορεύθησαν ἐν αἰχμαλωσίᾳ. διὰ τοῦτο
ἰδοὺ ἐγὼ παραδίδωμι ὑμᾶς τοῖς υἱοῖς κεδὲμ, εἰς κληρονομί-
αν, καὶ κατασκηνώσουσιν ἐν τῇ ἀπαρτίᾳ αὐτῶν, ἐν σοί. τὰ σκη-
νώματα αὐτῶν. αὐτοὶ φάγονται τοὺς καρπούς σου. καὶ αὐτοὶ
πίονται τὴν πιότητά σου. καὶ δώσω τὴν πόλιν τοῦ ἀμμὼν,
εἰς νομὰς καμήλων. καὶ τοὺς υἱοὺς ἀμμὼν, εἰς νομὴν προβάτων.
καὶ ἐπιγνώσεσθε. ὅτι ἐγὼ κύριος. διότι τάδε λέγει κύριος κύ-
ριος. ἀνθ᾽ ὧν ἐκρότησας τῇ χειρί σου, καὶ ἐψόφησας τῷ πο-
δί σου. καὶ ἐπεχάρης ἐκ ψυχῆς σου, ἐπὶ τὴν γῆν τοῦ ἰσραήλ.
διὰ τοῦτο ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σέ. καὶ δώσω σε εἰς διαρ-
παγὴν ἐν τοῖς ἔθνεσι. καὶ ἐξολοθρεύσω ἐκ τῶν λαῶν. καὶ ἀπο-
λέσω σε ἐκ τῶν χωρῶν ἀπωλείᾳ. καὶ ἐπιγνώσῃ διότι ἐγὼ κύ-
ριος. τάδε λέγει ἀδωναΐ κύριος. ἀνθ᾽ ὧν εἶπε μωάβ, καὶ σηείρ.
ἰδοὺ ὃν τρόπον πάντα τὰ ἔθνη, οἶκος ἰσραὴλ καὶ ἰούδα. διατοῦτο
ἰδοὺ ἐγὼ παραλύω τὸν ὦμον μωάβ. ἀπὸ τῶν πόλεων ἀκρωτηρίων
αὐτοῦ. ἐκλεκτὴν γῆν. οἶκον βαιθ. ἰασιμοὺθ. ἐπάνω πηγῆς πόλεως
καὶ παραθαλασσίας. τοὺς υἱοὺς κεδὲμ, ἐπὶ τοὺς υἱοὺς ἀμμών.

δέδωκα αὐτὴν εἰς κληρονομίαν. ὅπως μὴ μνεία γένηται τῶν
υἱῶν ἀμμών. ἐν τοῖς ἔθνεσι. καὶ ἐν μωὰβ ποιήσω ἐκδίκησιν.
καὶ ἐπιγνώσονται, διότι ἐγὼ κύριος. τάδε λέγει ἀδωναῒ κύρι-
ος. ἀνθ' ὧν ἐποίησεν ἡ ἰδουμαία, ἐν τῷ ἐκδικῆσαι αὐτοὺς, εἰς
τὸν οἶκον ἰούδα. καὶ ἐμνησικάκησαν. καὶ ἐξεδίκησαν δίκην, διατοῦ-
το λέγει ἀδωναῒ κύριος. καὶ ἐκτενῶ τὴν χεῖρά μου, ἐπὶ τὴν ἰδου-
μαίαν. καὶ ἐξολοθρεύσω ἐξ αὐτῆς ἄνθρωπον καὶ κτῆνος. καὶ θήσο-
μαι αὐτὴν ἔρημον. καὶ ἐκ θαιμὰν διωκόμενοι. ἐν ῥομφαίᾳ
πεσοῦνται, καὶ δώσω τὴν ἐκδίκησίν μου ἐπὶ τὴν ἰδουμαίαν, ἐν
χειρὶ λαοῦ μου ἰσραήλ. καὶ ποιήσουσιν ἐπὶ τῇ ἰδουμαίᾳ, κατὰ
τὴν ὀργήν μου, καὶ κατὰ τὸν θυμόν μου. καὶ ἐπιγνώσονται τὴν
ἐκδίκησίν μου, λέγει ἀδωναῒ κύριος. διὰ τοῦτο τάδε λέγει ἀ-
δωναῒ κύριος. ἀνθ' ὧν ἐποίησαν οἱ ἀλλόφυλοι ἐκδικήσει, καὶ
ἐξανέστησαν ἐκδίκησιν. ἐπιχαίροντες ἐκ ψυχῆς τοῦ ἐξαλεῖψαι,
ἕως αἰῶνος. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ ἐκ-
τείνω τὴν χεῖρά μου ἐπὶ τοὺς ἀλλοφύλους, καὶ ἐξολοθρεύσω κρῆ-
τας. καὶ ἀπολῶ τοὺς καταλοίπους τοὺς κατοικοῦντας τὴν παρα-
θαλασσίαν. καὶ ποιήσω ἐν αὐτοῖς, ἐκδικήσεις μεγάλας. καὶ
ἐπιγνώσονται, διότι ἐγὼ ἀδωναῒ κύριος. ἐν τῷ δοῦναι τὴν
ἐκδίκησίν μου ἐπ' αὐτούς.

Κεφ. κϛ. 26.

Αἰ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει μιᾷ τοῦ μηνὸς, ἐ-
κ γένετο λόγος κυρίου πρός με. λέγων, υἱὲ ἀνθρώ-
που. ἀνθ' ὧν εἶπε σὸρ, ἐπὶ ἱερουσαλὴμ, εὖγε συνετρίβη.
ἀπόλωλε τὰ ἔθνη. ἐπεστράφη πρός με. ἡ πλήρης ἠρήμωται.
διατοῦτο τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ ἐπὶ σὲ σόρ. καὶ
ἀνάξω ἐπὶ σὲ ἔθνη πολλά. ὡς ἀναβαίνει ἡ θάλασσα ἐν τοῖς κύμα-
σιν αὐτῆς. καὶ καταβαλοῦσι τὰ τείχη σόρ. καὶ καταβαλοῦσι τοὺς
πύργους σου, καὶ λικμήσω τὸν χοῦν αὐτῆς ἐπ' αὐτῆς. καὶ δώ-
σω αὐτὴν, εἰς λεωπετρίαν. ψυγμὸς σαγηνῶν ἔσται, ἐν μέσῳ

θαλάσσης· ὅτι ἐγὼ κύριος λελάληκα λέγει κύριος κύριος. καὶ ἔ-
σαι εἰς προνομὴν τοῖς ἔθνεσιν. καὶ αἱ θυγατέρες αὐτῆς ἐν τῷ
πεδίῳ μαχαίρᾳ ἀναιρεθήσονται. καὶ γνώσονται, ὅτι ἐγὼ κύρι-
ος. ὅτι τάδε λέγει ἀδωναῒ κύριος. ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ σόρ.
τὸν ναβουχοδονόσορ βασιλέα βαβυλῶνος ἀπὸ βοῤῥᾶ. βασιλεὺς
βασιλέων ἐστὶ μεθ' ἵππων, καὶ ἁρμάτων καὶ ἱππέων. καὶ συνα-
γωγῆς ἐθνῶν πολλῆς σφόδρα. οὗτος τὰς θυγατέρας σου τὰς ἐν
τῷ πεδίῳ, μαχαίρᾳ ἀνελεῖ. καὶ δώσει ἐπὶ σὲ πρὸς φυλακὴν.
καὶ περιοικοδομήσει. καὶ ποιήσει ἐπὶ σὲ χάρακα. καὶ περίστασιν
ὅπλων. καὶ τὰς λόγχας, ἀπέναντί σου δώσει. τὰ τείχη σου καὶ
τοὺς πύργους σου, καταβαλεῖ ἐν ταῖς μαχαίραις αὐτοῦ. ἀπὸ τοῦ
πλήθους τῶν ἵππων αὐτοῦ. κατακαλύψει δέ σε ὁ κονιορτὸς αὐτῶν, ἀ-
πὸ φωνῆς τῶν ἱππέων. καὶ τὸν τροχὸν τῶν ἁρμάτων αὐτοῦ. σει-
σθήσεται τὰ τείχη σου, εἰσπορευομένου αὐτοῦ. τὰς πύλας σου,
ὡς εἰσπορευόμενος εἰς πόλιν ἐκ πεδίου ἐν ταῖς ὁπλαῖς τῶν
ἵππων αὐτοῦ, καταπατήσουσι πάσας τὰς πλατείας σου. τὸν λα-
όν σου, μαχαίρᾳ ἀνελεῖ, καὶ τὴν ὑπόστασιν τῆς ἰσχύος σου, ἐπὶ τὴν
γῆν κατάξει. καὶ προνομεύσει τὴν δύναμίν σου. καὶ σκυλεύσει τὰ
ὑπάρχοντά σου. καὶ καταβαλεῖ τὰ τείχη σου. καὶ τοὺς οἴκους σου
τοὺς ἐπιθυμητούς. καὶ τοὺς λίθους σου, καὶ τὰ ξύλα, καὶ τὸν χοῦν σου
εἰς μέσον τῆς θαλάσσης ἐμβαλεῖ. καὶ καταλύσει τὸ πλῆθος τῶν
μουσικῶν σου. καὶ ἡ φωνὴ τῶν ψαλτηρίων σου, οὐ μὴ ἀκουσθῇ
ἐν σοὶ ἔτι. καὶ δώσω σε εἰς λεωπετρίαν. ψυγμὸς σαγηνῶν ἔσῃ. οὐ
μὴ οἰκοδομηθῇς ἔτι. ὅτι ἐγὼ λελάληκα, λέγει ἀδωναῒ κύριος.
διότι τάδε λέγει κύριος κύριος τῇ σόρ. οὐχὶ ἀπὸ τῆς φωνῆς τῆς
πτώσεώς σου. ἐν τῷ ἀνασπᾶσαι μάχαιραν ἐν μέσῳ σου, σεισθή-
σονται αἱ νῆσοι. καὶ καταβήσονται, ἐκ τῶν θρόνων αὐτῶν, πάν-
τες οἱ ἄρχοντες, ἐκ τῶν ἐθνῶν τῆς θαλάσσης. καὶ ἀφελοῦνται τὰς
μίτρας, ἀπὸ τῶν κεφαλῶν αὐτῶν, καὶ τὸν ἱματισμὸν τὸν ποικί-
λον αὐτῶν ἐκδύσονται, ἐκστάσει ἐκστήσονται. ἐπὶ τὴν γῆν καθε-

θουνται, καὶ φοβηθήσονται, τὴν ἀπώλειαν αὐτῶν. καὶ στενάξουσιν ἐπὶ σέ. καὶ λήψονται ἐπὶ σὲ θρῆνον. καὶ ἐροῦσι. πῶς ἀπώλου. καὶ κατελύθης, ἐκ θαλάσσης ἡ πόλις ἡ ἐπαινετή. ἥτις ἐγενήθη ἰσχυρὰ ἐν θαλάσσῃ. αὐτή, καὶ οἱ κατοικοῦντες αὐτήν. ἡ δοῦσα τὸν φόβον αὐτῆς, πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. καὶ φοβηθήσονται αἱ νῆσοι, ἀπὸ ἡμέρας πτώσεώς σου. καὶ ταραχθήσονται νῆσοι ἐν τῇ θαλάσσῃ, ἀπὸ τῆς ἐξόδου σου. ὅτι τάδε λέγει κύριος κύριος. ὅταν δώσω πόλιν ἠρημωμένην, ὡς τὰς πόλεις τὰς μὴ κατοικισθησομένας, ἐν τῷ ἀναγαγεῖν με ἐπὶ σέ, τὴν ἄβυσσον. καὶ καταψύξει σε ὕδωρ πολύ, καὶ καταβιβάσω σε, πρὸς τοὺς καταβαίνοντας εἰς βόθρον πρὸς λαὸν αἰῶνος, καὶ κατοικιῶ σε εἰς τὰ βάθη τῆς γῆς, ὡς ἔρημον αἰώνιον μετὰ καταβαινόντων εἰς βόθρον. ὅπως μὴ κατοικηθῇς. μηδὲ ἀναστῇς, ἐπὶ γῆς ζωῆς. ἀπώλειάν σε δώσω, καὶ οὐχ ὑπάρξεις ἔτι. καὶ ζητηθήσῃ καὶ οὐχ εὑρεθήσῃ εἰς τὸν αἰῶνα, λέγει κύριος κύριος.

Κεφάλαιον. κζ. 27.

ΚΑΙ ἐγένετο λόγος κυρίου πρός με, λέγων. καὶ σὺ υἱὲ
κ ἀνθρώπου, λάβε ἐπὶ Σόρ, θρῆνον. καὶ ἐρεῖς τῇ Σόρ
τῇ κατοικούσῃ, ἐπὶ τῆς εἰσόδου τῆς θαλάσσης, τὸ ἐμπορίῳ τῶν λαῶν, ἀπὸ νήσων πολλῶν. τάδε λέγει κύριος κύριος τῇ Σόρ, εἶπας ἐγὼ περιέθηκα ἐμαυτῇ κάλλος μου. ἐν καρδίᾳ θαλάσσης τοῖς Βεελεὶμ υἱῶν σου. περιέθηκέ σοι κάλλος κέδρος ἐξ ἀνείρ. ᾠκοδομήθη σοι. ταινίαι σανίδων. κυπάρισσοι ἐκ τοῦ Λιβάνου ἐλήφθησαν τοῦ ποιῆσαι ἱστοὺς ἐλατίνους, ἐκ τῆς Βασανίτιδος ἐποίησαν ἐξ ἐλέφαντος, οἴκους ἀλσώδεις. ἀπὸ νήσων τῶν Χεττιείμ. βύσσος μετὰ ποικιλίας ἐξ Αἰγύπτου. ἐγένετό σοι στρωμνὴ τοῦ περιθεῖναί σοι δόξαν. καὶ περιβαλεῖν σε ὑάκινθος καὶ πορφύρα ἐλασαί, ἐγένετο περιβόλαιά σοι. καὶ οἱ ἄρχοντές σου, οἱ κατοικοῦντες Σιδῶνα. καὶ Ἀράδιοι ἐγένοντο κωπηλάται σου. οἱ πρεσβύτεροι Βιβλίων, καὶ οἱ σοφοὶ αὐτῶν. οἳ ἦσαν ἐν σοί, αὐτοὶ ἐνίσχυον

τὴν βουλήν σου. καὶ πάντα τὰ πλοῖα τῆς θαλάσσης. καὶ οἱ κωπη-
λάται αὐτῶν, ἐγένοντό σοι ἐπὶ δυσμὰς δυσμῶν. πέρσαι καὶ λυ
δοὶ καὶ λίβυες, ἦσαν ἐν τῇ δυνάμει σου. ἄνδρες πολεμισταί σου
πέλτας καὶ περικεφαλαίας ἐκρέμασαν ἐν σοί. οὗτοι ἔδωκαν τὴν
δόξαν σου, υἱοὶ ἀραδίων. καὶ ἡ δύναμίς σου, ἐπὶ τῶν τειχέων σου
κύκλῳ φύλακες ἐν τοῖς πύργοις σου ἦσαν. τὰς φαρέτρας αὐτῶν, ἐκ
ρέμασαν ἐπὶ τῶν ὅρμων σου, κύκλῳ. οὗτοι, ἐτελείωσάν σου τὸ κάλ
λος. καρχηδόνιοι ἔμποροί σου. ἀπὸ πλήθους, πάσης ἰσχύος
σου, ἀργύριον. καὶ χρυσίον. καὶ χαλκόν. καὶ σίδηρον. καὶ κασσί
τηρον, καὶ μόλιβδον, ἔδωκαν τὴν ἀγοράν σου. ἡ ἑλλὰς, καὶ ἡ σύμ
πασα. καὶ τὰ παρατείνοντα, αὐτοὶ ἐνεπορεύοντό σοι, ἐν ψυχαῖς
ἀνθρώπων. καὶ σκεύη χαλκᾶ, ἔδωκαν τὴν ἐμπορίαν σου. ἐξ οἴκου
θοργαβά. ἵπποι καὶ ἱππεῖς. καὶ ἡμιόνους, ἔδωκαν τὴν ἀγοράν
σου. υἱοὶ ῥοδίων, ἔμποροί σου, ἀπὸ νήσων. ἐπλήθυναν τὴν ἐμπο
ρίαν σου. ὀδόντας ἐλεφαντίνους, καὶ τοῖς εἰσαγομένοις. ἀντεδίδου
τοὺς μισθούς σου. ἀνθρώπους ἐμπορίαν σου, ἀπὸ πλήθους τοῦ
συμμίκτου σου. στακτὴν καὶ ποικίλματα ἐκ θαρσεῖς. καὶ δαμώθ.
καὶ χὸρ ἔδωκαν τὴν ἀγοράν σου. ἰούδας καὶ οἱ υἱοὶ τοῦ ἰσραήλ. οὗ
τοι ἔμποροί σου. ἐν πράσει σίτου. καὶ μύρων καὶ κασσίας. καὶ πρῶ
τον μέλι, καὶ ἔλαιον. καὶ ῥητίνην ἔδωκαν εἰς τὸν σύμμικτόν σου.
δαμασκὸς ἔμποροί σου, ἐκ πλήθους πάσης δυνάμεώς σου. οἶ
νος ἐκ χελβών. καὶ ἔρια σιλβά, ἐκ μιλήτου. καὶ οἶνον δεδάν. καὶ ἰω
νάν. καὶ μοζέλ, εἰς τὴν ἀγοράν σου ἔδωκαν. ἐξ ἀσήλ σίδηρος
εἰργασμένος. καὶ τροχός. ἐν τῷ συμμίκτῳ σού ἐστι. δεδὰν
ἔμποροί σου. μετὰ κτηνῶν ἐκλεκτῶν, εἰς ἅρματα. ἡ ἀραβία καὶ
πάντες οἱ ἄρχοντες κηδάρ, οὗτοι ἔμποροι διὰ χειρῶν σου, καμή-
λους καὶ ἀμνοὺς, καὶ κριοὺς ἐν οἷς ἐνεπορεύοντό σε. ἔμποροι σαβ-
βά, καὶ ῥαμμά. οὗτοι ἔμποροί σου, μετὰ πρώτων ἡδυσμάτων.
καὶ λίθων χρυσῶν, καὶ χρυσὸν ἔδωκαν τὴν ἀγοράν σου, χαῤῥὰν καὶ
χαννάν. καὶ δεδὰν, οὗτοι ἔμποροί σου. καὶ σαββὰ καὶ ἀσσούρ.

καὶ χαλμὰν, ἔμποροί σου. φέροντες ἐμπορίαν ὑάκινθον, καὶ πορφύραν, καὶ θησαυροὺς ἐκλεκτοὺς, δεδεμένους σχοινίοις, καὶ κυπαρίσσινα πλοῖα ἐν αὐτοῖς. καρχηδόνιοι ἔμποροί σου, ἐν τῷ πλήθει ἐν τῷ συμμίκτῳ σου. καὶ ἐνεπλήσθης καὶ ἐβαρύνθης σφόδρα ἐν καρδίᾳ θαλάσσης ἐν ὕδατι πολλῷ. ἦγόν σε οἱ κωπηλάταί σου. τὸ πνεῦμα τοῦ νότου συνέτριψέ σε. ἐν καρδίᾳ θαλάσσης, ἦσαν δυνάμεις σου. καὶ ὁ μισθός σου. καὶ τῶν συμμίκτων σου. καὶ οἱ κωπηλάταί σου, καὶ οἱ κυβερνῆταί σου. καὶ οἱ σύμβουλοί σου. καὶ οἱ σύμμικτοί σου. ἐκ τῶν συμμίκτων σου. καὶ πάντες οἱ ἄνδρες οἱ πολεμισταί σου, ἐν σοί. καὶ πᾶσα ἡ συναγωγή σου ἐν μέσῳ σου πεσοῦνται, ἐν καρδίᾳ θαλάσσης. ἐν τῇ ἡμέρᾳ τῆς πτώσεώς σου. πρὸς τὴν φωνὴν τῆς κραυγῆς σου οἱ κυβερνῆταί σου, φόβῳ φοβηθήσονται. καὶ καταβήσονται ἀπὸ τῶν πλοίων αὐτῶν, πάντες οἱ κωπηλάταί σου. καὶ οἱ ἐπιβάται. καὶ οἱ πρωρεῖς τῆς θαλάσσης. ἐπὶ τὴν γῆν στήσονται. καὶ ἀλαλάξουσιν ἐπὶ σὲ τῇ φωνῇ αὐτῶν. κεκράξονται πικρόν. καὶ ἐπιθήσουσι γῆν ἐπὶ τὴν κεφαλὴν αὐτῶν. καὶ σποδὸν ἐπιστρώσονται. καὶ φαλακρώσουσιν ἐπὶ σὲ, φαλακρώματα. καὶ περιζώσονται σάκκον. καὶ κλαύσονται περὶ σοῦ ἐν πικρασμῷ ψυχῆς. καὶ κοπετὸν πικρὸν λήψονται, οἱ υἱοὶ αὐτῶν ἐπὶ σὲ. θρῆνον, καὶ θρήνημά σοι. τίς ὥσπερ τύρος, κατασιγηθεῖσα ἐν μέσῳ θαλάσσης. πόσον τινὰ εὗρες μισθὸν ἀπὸ θαλάσσης. ἐνέπλησας ἔθνη, ἀπὸ τοῦ πλήθους σου. καὶ ἀπὸ τοῦ συμμίκτου σου ἐπλούτησας πάντας βασιλεῖς τῆς γῆς. νῦν συνετρίβης ἐν θαλάσσῃ. ἐν βάθει ὕδατος, ὁ σύμμικτός σου. καὶ πᾶσα ἡ συναγωγή σου, ἐν μέσῳ σου. ἔπεσον πάντες οἱ κωπηλάταί σου. πάντες οἱ κατοικοῦντες τὰς νήσους, ἐστύγνασαν ἐπὶ σέ. καὶ οἱ βασιλεῖς αὐτῶν, ἐκστάσει ἐξέστησαν, καὶ ἐδάκρυσαν τὸ πρόσωπον αὐτῶν, ἐπὶ σοί. ἔμποροι ἐθνῶν ἐσύρισάν σε. ἀπώλεια, ἐγένου, καὶ οὐκέτι ἔσῃ εἰς τὸν αἰῶνα λέγει κύριος ὁ θεός.

Κεφάλαιον. κη. 28.

Καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων, καὶ σὺ υἱὲ
κ ἀνθρώπου, εἶπον τῷ ἄρχοντι τύρου. τάδε λέγει κύ-
ριος κύριος. ἀνθ᾽ ὧν ὑψώθη σου ἡ καρδία. καὶ εἶπας
θεὸς εἰμὶ ἐγώ. κατοικίαν θεοῦ κατῴκησαν, ἐν καρδίᾳ θαλάσσης,
σὺ δὲ εἶ ἄνθρωπος, καὶ οὐ θεός. καὶ ἔδωκας τὴν καρδίαν σου,
ὡς καρδίαν θεοῦ. μὴ σοφώτερος εἶ σὺ τοῦ δανιήλ; ἢ σοφοὶ οὐκ ἐ-
παίδευσάν σε ἐν τῇ ἐπιστήμῃ αὐτῶν. μὴ ἐν τῇ ἐπιστήμῃ σου, ἢ
ἐν τῇ φρονήσει σου ἐποίησας σεαυτῷ δύναμιν; καὶ ἐποίησας
χρυσίον καὶ ἀργύριον, ἐν τοῖς θησαυροῖς σου, ἢ ἐν τῇ πολλῇ ἐπι-
στήμῃ σου, καὶ ἐμπορίᾳ σου ἐπλήθυνας δύναμίν σου. ὑψώθη ἡ
καρδία σου, ἐν τῇ δυνάμει σου. διὰ τοῦτο τάδε λέγει κύριος κύ-
ριος. ἐπειδὴ ἔδωκας τὴν καρδίαν σου, ὡς καρδίαν θεοῦ. ἀντὶ
τούτου ἰδοὺ ἐπὶ σέ, ἀλλοτρίους λοιμοὺς ἀπὸ ἐθνῶν. καὶ ἐκκενώσου-
σι, τὰς μαχαίρας αὐτῶν ἐπὶ σέ. καὶ ἐπὶ τὸ κάλλος τῆς ἐπιστήμης
σου. καὶ στρώσουσι τὸ κάλλος σου, εἰς ἀπώλειαν. καὶ καταβιβάσου-
σί σε, καὶ ἀποθανῇ. θανάτῳ τραυματιῶν ἐν καρδίᾳ θαλάσσης
μὴ λέγων. ἐρεῖς θεός εἰμι ἐνώπιον τῶν ἀναιρούντων σε; σὺ δὲ εἶ
ἄνθρωπος καὶ οὐ θεός. ἐν πλήθει τραυματιζόντων σε. ἐν θανάτῳ
ἀπεριτμήτων ἀποθανῇ. ἐν χερσὶν ἀλλοτρίων. ὅτι ἐγὼ λελάληκα
λέγει ἀδωναῒ κύριος. καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων.
υἱὲ ἀνθρώπου. λάβε θρῆνον ἐπὶ τὸν ἄρχοντα τύρου, καὶ εἶπον αὐ-
τῷ. τάδε λέγει κύριος κύριος. σὺ ἀποσφράγισμα ὁμοιώσεως
πλήρης σοφίας. καὶ στέφανος κάλλους ἐν τῇ τρυφῇ τοῦ παραδεί-
σου τοῦ θεοῦ ἐγενήθης. πάντα λίθον χρηστὸν ἐνδέδεσαι, σάρδι-
ον καὶ τοπάζιον. καὶ σμάραγδον καὶ ἄνθρακα. καὶ σάπφειρον
καὶ ἴασπιν. καὶ ἀργύριον. καὶ χρυσίον. καὶ λιγύριον. καὶ ἀχά-
την. ἀμέθυστον, καὶ χρυσόλιθον. καὶ βηρύλλιον. καὶ ὀνύχιον. καὶ
χρυσίον ἐνέπλησας τοὺς θησαυρούς σου. καὶ τὰς ἀποθήκας σου ἐν
σοί. ἀφ᾽ ἧς ἡμέρας ἐκτίσθης. μετὰ τοῦ χερουβίμ, ἔδωκά σε ἐν
ὄρει ἁγίῳ θεοῦ. ἐγενήθης σὺ ἐν μέσῳ λίθων πυρίνων. ἐγενήθης

σὺ ἄμωμος ἐν ταῖς ἡμέραις σου· ἀφ' ἧς ἡμέρας σὺ ἐκτίσθης· ἕως εὑρέθη τὰ ἀδικήματα ἐν σοί· ἀπὸ πλήθους τῆς ἐμπορίας σου· ἔπλησας τὰ ταμιεῖά σου ἀνομίας σου· καὶ ἥμαρτες καὶ ἐτραυματίσθης ἀπὸ ὄρους τοῦ θεοῦ· καὶ ἤγαγέ σε τὸ χερουβίμ, ἐκ μέσου λίθων πυρίνων· ὑψώθη ἡ καρδία σου ἐπὶ τῷ κάλλει σου· διεφθάρη ἐπιστήμη σου μετὰ τοῦ κάλλους σου· διὰ πλῆθος τῶν ἁμαρτιῶν σου, ἐπὶ τὴν γῆν ἔρριψά σε· ἐναντίον βασιλέων, ἔδωκά σε παραδειγματισθῆναι· διὰ τὸ πλῆθος τῶν ἁμαρτιῶν σου· καὶ ἀδικιῶν τῆς ἐμπορίας σου, ἐβεβήλωσας τὰ ἱερά σου· καὶ ἐξάξω πῦρ ἐκ μέσου σου· τοῦτο καταφάγεταί σε· καὶ δώσω σε εἰς σποδὸν ἐπὶ τῆς γῆς σου, ἐναντίον πάντων τῶν ὁρώντων σε· καὶ πάντες οἱ ἐπιστάμενοί σε, ἐν τοῖς ἔθνεσι· συγνάσουσιν ἐπὶ σέ· ἀπώλεια ἐγένου· καὶ οὐχ ὑπάρξεις ἔτι εἰς τὸν αἰῶνα· καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων, υἱὲ ἀνθρώπου, στήριξον τὸ πρόσωπόν σου, ἐπὶ σιδῶνα· καὶ προφήτευσον ἐπ' αὐτὴν καὶ εἰπόν· τάδε λέγει ἀδωναῒ κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ σιδών· καὶ ἐνδοξασθήσομαι ἐν σοί· καὶ γνώσῃ, ὅτι ἐγώ εἰμι κύριος· καὶ ἐν τῷ ποιῆσαί με ἐν σοὶ κρίματα· καὶ ἁγιασθήσομαι ἐν σοί· καὶ ἐξαποστελῶ εἰς σὲ θάνατον· καὶ αἷμα ἐν ταῖς πλατείαις σου ἔσται, πεσοῦνται τετραυματισμένοι ἐν μαχαίραις· ἐν σοὶ περικύκλῳ σου· καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος· καὶ οὐκ ἔσονται ἔτι τῷ οἴκῳ ἰσραήλ, σκόλοψ πικρίας· καὶ ἄκανθα ὀδύνης· ἀπὸ πάντων τῶν περικύκλῳ αὐτῶν, τῶν ἀτιμασάντων αὐτούς· καὶ γνώσονται, ὅτι ἐγώ εἰμι ἀδωναῒ κύριος· τάδε λέγει ἀδωναῒ κύριος· καὶ συνάξω τὸν οἶκον τοῦ ἰσραήλ, ἐκ τῶν ἐθνῶν· οὗ διεσκορπίσθησαν ἐκεῖ· καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς, ἐνώπιον τῶν λαῶν, καὶ τῶν ἐθνῶν· καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἧς ἔδωκα τῷ δούλῳ μου ἰακώβ· καὶ κατοικήσουσιν ἐπ' αὐτῆς, ἐν ἐλπίδι· καὶ οἰκοδομήσουσιν οἰκίας· καὶ φυτεύσουσιν ἀμπελῶνας· καὶ κατοικήσουσιν ἐν ἐλπίδι· ὅταν ποιήσω κρίσιν, ἐν πᾶσι τοῖς ἀτιμάσασιν αὐ-

τοὺς ἐν τοῖς κύκλῳ αὐτῶν· καὶ γνώσονται, ὅτι ἐγὼ εἰμὶ κύριος ὁ θε-
ὸς αὐτῶν· καὶ ὁ θεὸς τῶν πατέρων αὐτῶν. Κεφ. κθ. 21.
Ν τῷ ἔτει τῷ δεκάτῳ. ἐν τῷ δεκάτῳ μηνὶ, μιᾷ
ε τοῦ μηνός. ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ
ἀνθρώπου. στήρισον τὸ πρόσωπόν σου, ἐπὶ φαραὼ βα-
σιλέα αἰγύπτου. καὶ προφήτευσον ἐπ' αὐτὸν. ἐπ' αἴγυπτον ὅ-
λην, λάλησον καὶ εἰπόν. τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐπὶ
σὲ φαραὼ βασιλέα αἰγύπτου. τὸν δράκοντα τὸν μέγαν τὸν ἐγκα-
θήμενον ἐν μέσῳ ποταμῶν αἰγύπτου. τὸν λέγοντα ἐμοί εἰσιν
οἱ ποταμοί. καὶ ἐγὼ ἐποίησα αὐτούς. καὶ ἐγὼ δώσω παγίδας,
εἰς τὰς σιαγόνας σου. καὶ προσκολλήσω, τοὺς ἰχθύας τοῦ ποτα-
μοῦ σου. καὶ πρὸς τὰς πτέρυγάς σου. καὶ ἀνάξω σε ἐκ μέσου τοῦ
ποταμοῦ σου. καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ. καὶ καταβα-
λῶ σε ἐν τάχει, καὶ πάντας τοὺς ἰχθύας τοῦ ποταμοῦ σου. ἐπὶ πρό-
σωπον τοῦ πεδίου πεσῇ. καὶ οὐ μὴ συναχθῇς. καὶ οὐ μὴ περιστα-
λῇς τοῖς θηρίοις τῆς γῆς. καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, δέδωκά σε
εἰς βρῶμα. καὶ γνώσονται πάντες οἱ κατοικοῦντες εἰς αἴγυπτον
ὅτι ἐγὼ εἰμὶ κύριος. ἀνθ' ὧν ἐγεννήθης ῥάβδος καλαμίνη τῷ
οἴκῳ ἰσραήλ. ὅτε ἐπελάβοντό σου τῇ χειρὶ αὐτῶν ἐθλάσθης. καὶ
ὅτε ἐπεκράτησαν ἐπ' αὐτοὺς, πᾶσα χείρ. καὶ ὅτε ἐπανεπαύσαν-
το ἐπὶ σὲ συνετρίβης. καὶ συνέθλασας αὐτῶν πᾶσαν ὀσφύν. ἰδοὺ
ἐγὼ τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐπάγω ἐπὶ σὲ ῥομ-
φαίαν. καὶ ἀπολῶ ἀπὸ σοῦ, ἀνθρώπους καὶ κτήνη. καὶ ἔσται ἡ γῆ
αἰγύπτου, ἀπώλεια καὶ ἔρημος. καὶ γνώσονται, ὅτι ἐγὼ εἰμὶ κύ-
ριος. ἀντὶ τοῦ λέγειν σε οἱ ποταμοὶ, ἐμοί εἰσι. καὶ ἐγὼ ἐποίησα
αὐτούς. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἐπὶ σὲ, καὶ ἐπὶ πάντας τοὺς ποταμούς
σου. καὶ δώσω γῆν αἰγύπτου, εἰς ἔρημον. καὶ ῥομφαίαν καὶ ἀπώ-
λειαν, ἀπὸ μαγδώλου καὶ συήνης. καὶ ἕως ὁρίων αἰθιόπων. οὐ
μὴ διέλθῃ δι' αὐτῆς, ποὺς ἀνθρώπου. καὶ ποὺς κτήνους, οὐ
μὴ διέλθῃ αὐτήν. καὶ οὐ μὴ κατοικηθήσεται τεσσαράκοντα ἔτη

καὶ δώσω τὴν γῆν αὐτῆς εἰς ἀπώλειαν ἐν μέσῳ γῆς ἠρημωμέ
νης· καὶ αἱ πόλεις αὐτῆς, ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσον]-
τεσσαράκοντα ἔτη ἀφανισμὸς ἔσαι· καὶ διασπερῶ αἴγυπτον ἐν
τοῖς ἔθνεσι· καὶ λικμήσω αὐτοὺς, εἰς τὰς χώρας· διότι τάδε λέγει
κύριος κύριος· μετὰ τεσσαράκοντα ἔτη συνάξω τοὺς αἰγυπτίους
ἀπὸ τῶν ἐθνῶν, οὗ διεσκορπίσθησαν ἐκεῖ· καὶ ἀποστρέψω τὴν
αἰχμαλωσίαν τῶν αἰγυπτίων· καὶ κατοικιῶ αὐτοὺς ἐν γῇ παθού
ρης· ἐν γῇ ὅθεν ἐλήφθησαν· καὶ ἔσαι ἡ ἀρχὴ ταπεινὴ, παρὰ πά
σας τὰς ἀρχάς· οὐ μὴ ὑψωθῇ ἔτι ἐπὶ τὰ ἔθνη· καὶ ὀλιγοσοὺς αὐ
τοὺς ποιήσω· τοῦ μὴ εἶναι αὐτοὺς πλείονας, ἐν τοῖς ἔθνεσι· καὶ οὐ
κέτι ἔσονται ἐν τῷ ἰσραὴλ· εἰς ἐλπίδα ἀναμιμνήσκουσαν ἀνο
μίαν· ἐν τῷ ἀκολουθῆσαι αὐτοὺς ὀπίσω τῶν καρδιῶν αὐτῶν·
καὶ γνώσονται, ὅτι ἐγώ εἰμι ἀδωναὶ κύριος· Καὶ ἐγένετο ἐν τῷ
ἑβδόμῳ, καὶ εἰκοστῷ ἔτει· μιᾷ τοῦ μηνὸς τοῦ πρώτου, ἐγένετο λό
γος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώπου ναβουχοδονόσορ βασι
λεὺς βαβυλῶνος, κατεδουλώσατο τὴν δύναμιν αὐτοῦ, δουλείαν
μεγάλην ἐπὶ τύρου· πᾶσα κεφαλὴ φαλάκρωμα· καὶ πᾶς ὦμος
μαδῶν· καὶ μισθὸς οὐκ ἐγενήθη αὐτῷ· καὶ τῇ δυνάμει αὐτοῦ,
ἐπὶ τύρου, καὶ τῆς δουλείας, ἧς ἐδούλευσαν ἐπ' αὐτήν· διὰ τοῦτο
τάδε λέγει κύριος κύριος· ἰδοὺ δίδωμι τῷ ναβουχοδονόσορ
βασιλεῖ βαβυλῶνος, γῆν αἰγύπτου· καὶ λήψεται τὸ πλῆθος αὐτοῦ
καὶ προνομεύσει τὴν προνομὴν αὐτοῦ· καὶ ἔσαι μισθὸς τῇ δυνά
μει αὐτοῦ· ἀντὶ τῆς λειτουργίας αὐτοῦ ἧς ἐδούλευσεν ἐπὶ τύ
ρον, δέδωκα αὐτῷ, εἰς γῆν αἰγύπτου· ὅσα ἐποίησάν μοι· τάδε λέ
γει κύριος κύριος· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀνατελεῖ κέρας, παντὶ
τῷ οἴκῳ ἰσραήλ· καὶ σοὶ δώσω σόμα ἀνεῳγμένον, ἐν μέσῳ
αὐτῶν· καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος.

Κεφ. λ. 30.

α Αἰ ἐγένετο λόγος κυρίου πρός με· λέγων· υἱὲ ἀνθρώ
που προφήτευσον καὶ εἶπον· τάδε λέγει ἀδωναὶ κύ

ριος. ὦ ὦ ἡμέρα ὀλολύξατε. ὅτι ἐγγὺς ἡμέρα τοῦ κυρίου ἡμέρα νεφέλης πέρας ἐθνῶν ἔσται. καὶ ἥξει ἡ μάχαιρα, ἐπ᾽ αἰγυπτίους. καὶ ἔσται ταραχὴ ἐν τῇ αἰθιοπίᾳ. καὶ πεσοῦνται τετραυματισμένοι ἐν αἰγύπτῳ. καὶ λήψονται τὸ πλῆθος αὐτῆς. καὶ συμπεσεῖται τὰ θεμέλια αὐτῆς. πέρσαι καὶ κρῆτες. καὶ λυδοί. καὶ λίβυες. καὶ πάντες ἐπίμικτοι. καὶ τῶν υἱῶν τῆς διαθήκης μου, ἐν αὐτῇ μαχαίρᾳ πεσοῦνται. καὶ πεσοῦνται τὰ ἀντιστηρίγματα αἰγύπτου. καὶ καταβήσεται ἡ ὕβρις τῆς ἰσχύος αὐτῆς, ἀπὸ μαγδώλου ἕως συήνης, μαχαίρᾳ πεσοῦνται ἐν αὐτῇ λέγει ἀδωναὶ κύριος. καὶ ἐρημωθήσεται ἐν μέσῳ χωρῶν ἠφανισμένων. καὶ αἱ πόλεις αὐτῶν, ἐν μέσῳ πόλεων ἠρημωμένων ἔσονται. καὶ γνώσονται. ὅτι ἐγώ εἰμι κύριος. ὅταν δῶ πῦρ ἐπ᾽ αἴγυπτον. καὶ συντριβῶσι πάντες οἱ βοηθοῦντες αὐτῇ. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσονται ἄγγελοι σπεύδοντες ἀφανίσαι τὴν αἰθιοπίαν. καὶ ἔσται ταραχὴ ἐν αὐτοῖς, ἐν τῇ ἡμέρᾳ αἰγύπτου. ὅτι ἰδοὺ ἥκει. τάδε λέγει κύριος κύριος. καὶ ἀπολῶ πλῆθος αἰγυπτίων, διὰ χειρὸς ναβουχοδονόσορ βασιλέως βαβυλῶνος. αὐτοῦ, καὶ τοῦ λαοῦ αὐτοῦ. λοιμοὶ ἀπὸ ἐθνῶν, ἀπεσταλμένοι ἀπολέσαι τὴν γῆν. καὶ ἐκκενώσουσι πάντες τὰς μαχαίρας αὐτῶν, ἐπ᾽ αἴγυπτον. καὶ πλησθήσεται ἡ γῆ τραυματιῶν. καὶ δώσω τοὺς ποταμοὺς αὐτῶν ἐρήμους. καὶ ἀποδώσομαι τὴν γῆν, ἐν χερσὶ πονηρῶν. καὶ ἀπολῶ τὴν γῆν καὶ τὸ πλήρωμα αὐτῶν. σὺν τῷ πληρώματι αὐτῆς. ἐν χερσὶν ἀλλοτρίων. ὅτι ἐγὼ κύριος ἐλάλησα. ὅτι τάδε λέγει κύριος κύριος. καὶ ἀπολῶ βδελύγματα, καὶ καταπαύσω μεγιστᾶνας, ἀπὸ μέμφεως. καὶ ἄρχοντας ἐκ γῆς αἰγύπτου, καὶ οὐκ ἔσονται ἔτι, καὶ ἀπολῶ γῆν παθούρης, καὶ δώσω πῦρ ἐπὶ τάνιν, καὶ ποιήσω ἐκδίκησιν ἐν διοσπόλει, καὶ ἐκχεῶ τὸν θυμόν μου, ἐπὶ σαΐν τὴν ἰσχὺν αἰγύπτου, καὶ ἀπολῶ τὸ πλῆθος μέμφεως, καὶ δώσω πῦρ ἐπ᾽ αἴγυπτον, καὶ ταραχῇ ταραχθήσεται ἡ συήνη, καὶ ἐν διοσπόλει ἔσται ἔκρηγμα, καὶ διαχυθήσεται ὕδατα, νεανίσκοι ἡλι-

ου πόλεως· καὶ βυβάσου· ἐν μαχαίρα πεσοῦνται· καὶ αἱ γυναῖ/
κες ἐν αἰχμαλωσία πορεύσονται· καὶ ἐν τάφνας συσκοτάσει ἡ
ἡμέρα· ἐν τῷ συντρῖψαι ἐκεῖ τὰ σκῆπτρα αἰγύπτου· καὶ ἀπο/
λεῖται ἐκεῖ ὕβρις, τῆς ἰσχύος αὐτῆς· καὶ αὐτὴν νεφέλη καλύ/
ψει, καὶ αἱ θυγατέρες αὐτῆς αἰχμάλωτοι ἀρθήσονται· καὶ
ποιήσω κρίμα ἐν αἰγύπτῳ· καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύρι/
ος. Καὶ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ πρώτῳ μηνὶ·
ἑβδόμῃ τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου πρός με· λέγων, υἱὲ ἀν/
θρώπου· τοὺς βραχίονας φαραὼ βασιλέως αἰγύπτου συνέτριψα·
καὶ ἰδοὺ οὐ κατεδέθη τοῦ δοθῆναι ἴασιν· τοῦ δοθῆναι ἰσχὺν ἐπι/
λαβέσθαι μαχαίρας· διὰ τοῦτο τάδε λέγει κύριος κύριος· ἰδοὺ
ἐγὼ ἐπὶ φαραὼ βασιλέα αἰγύπτου· καὶ συντρίψω τοὺς βραχίο/
νας αὐτοῦ τοὺς ἰσχυροὺς καὶ τεταμένους· καὶ τοὺς συντριβομένους·
καὶ καταβαλῶ τὴν μάχαιραν αὐτοῦ, ἐκ τῆς χειρὸς αὐτοῦ· καὶ
διασπερῶ αἴγυπτον· εἰς τὰ ἔθνη· καὶ λικμήσω αὐτοὺς εἰς τὰς
χώρας· καὶ κατισχύσω τοὺς βραχίονας βασιλέως βαβυλῶνος·
καὶ δώσω τὴν ῥομφαίαν μου, εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἐπάξει
αὐτὴν ἐπ' αἴγυπτον· καὶ προνομεύσει τὴν προνομὴν αὐτῆς·
καὶ σκυλεύσει τὰ σκῦλα αὐτῆς, καὶ ἐνισχύσω τοὺς βραχίονας,
βασιλέως βαβυλῶνος· οἱ δὲ βραχίονες φαραὼ πεσοῦνται· καὶ
γνώσονται ὅτι ἐγώ εἰμι κύριος· ἐν τῷ δοῦναί με τὴν ῥομφαίαν,
εἰς χεῖρας βασιλέως βαβυλῶνος· καὶ ἐκτενεῖ αὐτὴν ἐπὶ γῆν αἰ/
γύπτου· καὶ διασπερῶ αἴγυπτον εἰς τὰ ἔθνη· καὶ λικμήσω αὐ/
τοὺς, εἰς τὰς χώρας· καὶ γνώσονται πάντες οἱ αἰγύπτιοι· ὅτι ἐγώ
εἰμι κύριος.

Κεφάλαιον. λα. 31.

Αἰ ἐγένετο ἐν τῷ ἑνδεκάτῳ ἔτει ἐν τῷ τρίτῳ μηνὶ
κ μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου πρός με λέγων
υἱὲ ἀνθρώπου· εἶπον πρὸς φαραὼ βασιλέα αἰγύ/
πτου· καὶ τῷ πλήθει αὐτοῦ· τίνι ὡμοίωσας σεαυτὸν ἐν τῷ ὕψει
σου· ἰδοὺ ἀσσοὺρ κυπάρισσος ἐν τῷ λιβάνῳ· καὶ καλὸς ταῖς πα/

ραφυάσι. καὶ πυκνὸς ἐν τῇ σκέπῃ. καὶ ὑψηλὸς τῷ μεγέθει
εἰς μέσον νεφελῶν ἐγένετο ἡ ἀρχὴ αὐτοῦ. ὕδωρ ἔθρεψεν αὐτὴν
ἡ ἄβυσσος, ὕψωσεν αὐτόν, τοὺς ποταμοὺς αὐτοῦ, ἤγαγε κύκλῳ
τῶν φυτῶν αὐτοῦ. καὶ τὰ συστήματα αὐτῆς ἐξαπέστειλεν εἰς
πάντα τὰ ξύλα τοῦ πεδίου. ἕνεκεν τούτου, ὑψώθη τὸ μέγεθος αὐ-
τοῦ, παρὰ πάντα τὰ ξύλα, τοῦ πεδίου. καὶ ἐπλατύνθησαν οἱ κλά-
δοι αὐτοῦ. καὶ ὑψώθησαν αἱ παραφυάδες αὐτοῦ. ἐφ᾽ ὕδατος
πολλοῦ, ἐν ταῖς παραφυάσιν αὐτοῦ. ἐνόσσευσαν πάντα τὰ πε-
τεινὰ τοῦ οὐρανοῦ, καὶ ὑπὸ κάτω τῶν κλάδων αὐτοῦ. ἐγεν-
νῶσαν, πάντα τὰ θηρία τοῦ πεδίου. ἐν τῇ σκιᾷ αὐτοῦ κατῴ-
κησε πᾶν πλῆθος ἐθνῶν. καὶ ἐγένετο καλλος τῷ ὕψει αὐτοῦ.
διὰ τὸ μῆκος τῶν κλάδων αὐτοῦ. ὅτι ἐγεννήθησαν αἱ ῥίζαι
αὐτοῦ, εἰς ὕδωρ πολύ. κυπάρισσοι τοιαῦται, ἐν τῷ παραδεί-
σῳ τοῦ θεοῦ. καὶ πίτυες, οὐχ ὅμοιαι ταῖς παραφυάσιν αὐτοῦ.
καὶ ἐλάται οὐκ ἐγένοντο. ὅμοιοι τοῖς κλάδοις αὐτοῦ. πᾶν ξύ-
λον ἐν τῷ παραδείσῳ τοῦ θεοῦ. οὐχ ὡμοιώθη αὐτῷ. ἐν τῷ
κάλλει αὐτοῦ διὰ τὸ πλῆθος τῶν κλάδων αὐτοῦ. καὶ ἐζήλωσαν
αὐτόν, τὰ ξύλα τοῦ παραδείσου. τῆς τρυφῆς τοῦ θεοῦ. διὰ τοῦτο
τάδε λέγει κύριος κύριος. ἀνθ᾽ ὧν ἐγένου μέγας τῷ μεγέ-
θει, καὶ ἔδωκας τὴν ἀρχήν σου, εἰς μέσον νεφελῶν, καὶ εἶδον ἐν
τῷ ὑψωθῆναι αὐτόν, καὶ παρέδωκα αὐτὸν, εἰς χεῖρας ἀρχόν-
των ἐθνῶν, καὶ ἐποίησαν τὴν ἀπώλειαν αὐτοῦ, καὶ ἐξωλό-
θρευσαν αὐτὸν, ἀλλότριοι λοιμοὶ, ἀπὸ ἐθνῶν. καὶ κατέβαλον
αὐτὸν ἐπὶ τῶν ὀρέων, ἐν πάσαις ταῖς φάραγξιν, ἔπεσον οἱ
κλάδοι αὐτοῦ, καὶ συνετρίβη τὰ στελέχη αὐτοῦ. ἐν παντὶ
πεδίῳ τῆς γῆς, καὶ κατέβησαν ἀπὸ τῆς σκέπης αὐτῶν. πάν-
τες οἱ λαοὶ τῶν ἐθνῶν. καὶ ἠδάφισαν αὐτόν. καὶ ἀνεπαύ-
σατο πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἐπὶ τὰ στελέχη
αὐτοῦ, πάντα τὰ θηρία τοῦ ἀγροῦ. ὅπως μὴ ὑψωθῶσιν
ἐν τῷ μεγέθει αὐτῶν, πάντα τὰ ξύλα τὰ ἐν τῷ ὕδατι.

οὐκ ἔδωκαν τὴν ἀρχὴν αὐτῶν εἰς μέσον νεφελῶν. καὶ οὐκ ἔστη
σαν ἐν τῷ ὕψει αὐτῶν πρὸς αὐτὰ, πάντες οἱ πίνοντες ὕδωρ·
πάντες ἐδόθησαν εἰς θάνατον. εἰς γῆς βάθος. ἐν μέσῳ υἱῶν
ἀνθρώπων· προσκαταβαίνοντας εἰς βόθρον. τάδε λέγει κύριος
κύριος· ἐν ᾗ ἡμέρᾳ κατέβη εἰς ᾅδου, ἐπένθησεν αὐτὴν ἡ ἄ
βυσσος. καὶ ἐπέστησα τοὺς ποταμοὺς αὐτῆς. καὶ ἐκώλυσα, πλῆ
θος ὕδατος. καὶ ἐσκότασεν ἐπ᾽ αὐτὴν ὁ λίβανος. πάντα τὰ
ξύλα τοῦ πεδίου ἐπ᾽ αὐτῷ ἐξελύθησαν. ἀπὸ τῆς φωνῆς τῆς πτώ
σεως αὐτοῦ, ἐσείσθησαν τὰ ἔθνη. ὅτε κατεβίβαζον αὐτὸν εἰς ᾅ
δου, μετὰ τῶν καταβαινόντων εἰς λάκκον. καὶ παρεκάλουν αὐ
τόν. ἐν γῇ κάτω πάντα τὰ ξύλα τῆς τρυφῆς. καὶ τὰ ἐκλεκτὰ
τοῦ λιβάνου πάντα τὰ πίνοντα ὕδωρ, καὶ γὰρ αὐτοὶ κατέβησαν
μετ᾽ αὐτοῦ εἰς ᾅδου ἐν τοῖς τραυματίαις, ἀπὸ μαχαίρας. καὶ
τὸ σπέρμα αὐτοῦ. οἱ κατοικοῦντες ὑπὸ τὴν σκέπην αὐτοῦ ἐν μέ
σῳ τῆς ζωῆς αὐτῶν ἀπώλοντο τίνι ὡμοιώθης κατάβηθι, καὶ κα
ταβιβάσθητι, μετὰ τῶν ξύλων τῆς τρυφῆς, εἰς γῆς βάθος. ἐν μέ
σῳ ἀπεριτμήτων κοιμηθήσῃ. μετὰ τραυματιῶν μαχαίρας·
οὕτως φαραὼ, καὶ πᾶν πλῆθος τῆς ἰσχύος αὐτοῦ, λέγει κύριος
κύριος.

## Κεφάλ. λβ. 32.

Αἱ ἐγένετο, ἐν τῷ δεκάτῳ ἔτει ἐν τῷ δωδεκάτῳ
x μηνὶ, μιᾷ τοῦ μηνὸς, ἐγένετο λόγος κυρίου πρὸς με
λέγων, υἱὲ ἀνθρώπου, λάβε θρῆνον ἐπὶ φαραὼ, βα
σιλέα αἰγύπτου. καὶ ἐρεῖς αὐτῷ, λέοντι ἐθνῶν ὡμοιώθης σὺ καὶ
ὡς δράκων ὁ ἐν τῇ θαλάσσῃ. καὶ ἐκεράτιζες τοῖς ποταμοῖς σου
καὶ ἐτάρασσες ὕδωρ τοῖς ποσί σου. καὶ κατεπάτεις τοὺς ποτα
μούς σου. τάδε λέγει κύριος κύριος. καὶ περιβαλῶ ἐπὶ σὲ, τὰ
δίκτυά μου. καὶ ἐν ἐκκλησίᾳ λαῶν πολλῶν, καὶ ἀνάξω σε
ἐν τῷ ἀγγίστρῳ μου. καὶ ἐκτενῶ σε ἐπὶ τὴν γῆν. πεδία πλη
σθήσεται καὶ ἐπικαθιῶ ἐπὶ σὲ, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ.
καὶ ἐμπλήσω ἐκ σοῦ πάντα τὰ θηρία πάσης τῆς γῆς. καὶ δώ

σω τὰς σάρκας σου, ἐπὶ τὰ ὄρη. καὶ ἐμπλήσω ἀπὸ τοῦ αἵμα-
τός σου, πᾶσαν τὴν γῆν. καὶ ποτισθήσεται ἡ γῆ, ἀπὸ τῶν προ-
χωρημάτων σου. ἀπὸ τοῦ πλήθους σου, ἐπὶ τῶν ὀρέων. φάραγ-
γας ἐμπλήσω ἀπὸ σοῦ. καὶ καλύψω ἐν τῷ σβεσθῆναί σε, οὐ-
ρανόν. καὶ συσκοτάσω τὰ ἄστρα αὐτοῦ. ἥλιον ἐν νεφέλῃ καλύ-
ψω. καὶ σελήνη οὐ μὴ φάνῃ τὸ φῶς αὐτῆς πάντας τοὺς ἀστέρας
τοῦ οὐρανοῦ. πάντα φαίνοντα φῶς ἐκ τοῦ οὐρανοῦ, συσκοτάσου-
σιν ἐπὶ σέ. καὶ δώσω σκότος ἐπὶ σὲ λέγει κύριος κύριος. καὶ
παροργιῶ καρδίαν λαῶν, ἡνίκα ἀνάγει αἰχμαλωσίαν σου
εἰς τὰ ἔθνη. εἰς γῆν, ἣν οὐκ ἔγνως. καὶ στυγνάσουσιν ἐπὶ σέ, ἔθνη
πολλά. καὶ οἱ βασιλεῖς αὐτῶν, ἐκστάσει ἐκστήσονται. ἐν τῷ πε-
τασθῆναι τὴν ῥομφαίαν μου ἐπὶ τὰ πρόσωπα αὐτῶν προσδε-
χόμενοι τὴν πτῶσιν αὐτῶν. ἀφ' ἡμέρας πτώσεώς σου, ὅτι τά-
δε λέγει κύριος κύριος. ῥομφαία βασιλέως βαβυλῶνος ἥξει σοι
ἐν μαχαίραις γιγάντων. καὶ καταβαλῶ τὴν ἰσχύν σου. λοιμοὶ
ἀπὸ ἐθνῶν πάντες. καὶ ἀπολοῦσι τὴν ὕβριν αἰγύπτου. καὶ συν-
τριβήσεται πᾶσα ἡ ἰσχύς. καὶ ἀπολῶ πάντα τὰ κτήνη αὐτῆς,
ἐφ' ὕδατος πολλοῦ. καὶ οὐ μὴ ταράξῃ αὐτό. ποῦς ἀνθρώπου.
καὶ ἴχνος κτήνους. οὐ μὴ καταπατήσῃ αὐτό. οὕτως, τότε ἡσυ-
χάσει τὰ ὕδατα αὐτῶν. καὶ οἱ ποταμοὶ αὐτῶν, ὡς ἔλαιον πο-
ρεύσονται. λέγει ἀδωναῒ κύριος. ὅταν δῶ τὴν αἴγυπτον εἰς ἀ-
πώλειαν. καὶ ἐρημωθῇ ἡ γῆ. σὺν τῷ πληρώματι αὐτῆς, ὅταν
διασπερῶ πάντας τοὺς κατοικοῦντας ἐν αὐτῇ. καὶ γνώσον-
ται, ὅτι ἐγώ εἰμι κύριος. θρῆνός ἐστι καὶ θρηνήσεις αὐτὸν θυγα-
τέρες τῶν ἐθνῶν θρηνήσουσιν αὐτὸν ἐπ' αἴγυπτον. καὶ ἐπὶ πᾶ-
σαν τὴν ἰσχὺν αὐτῆς. θρηνήσουσιν αὐτόν, λέγει κύριος κύρι-
ος. καὶ ἐγένετο ἐν τῷ δωδεκάτῳ ἔτει τοῦ πρώτου μηνός. πεν-
τεκαιδεκάτῳ τοῦ πρώτου μηνὸς, ἐγένετο λόγος κυρίου πρός
με λέγων, υἱὲ ἀνθρώπου. θρήνησον ἐπὶ τὴν ἰσχὺν αἰγύπτου. καὶ
καταβιβάσουσιν αὐτῆς τὰς θυγατέρας. τὰ ἔθνη νεκρὰς εἰς τὸ

βάθος τῆς γῆς. πρὸς τοὺς καταβαίνοντας εἰς βόθρον. ἐξ ὕδα-
των εὐπρεπῶς κατάβηθι. καὶ κοιμήθητι μετὰ ἀπεριτμήτων.
ἐν μέσῳ τραυματιῶν μαχαίρᾳ πεσοῦνται μετ' αὐτοῦ. καὶ κοι-
μηθήσεται πᾶσα ἡ ἰσχὺς αὐτοῦ, καὶ ἐροῦσιν οἱ γίγαντες. ἐν βά-
θει βόθρου γίνου. τίνος κρείττων εἶ, κατάβηθι καὶ κοιμήθητι μετὰ
ἀπεριτμήτων, ἐν μέσῳ τραυματιῶν μαχαίρας. ἐκεῖ ἀσσοὺρ
καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ. πάντες τραυματίαι ἐκεῖ ἐδόθη ἡ
ταφὴ αὐτῶν, ἐν βάθει βόθρου. καὶ ἐγενήθη ἡ συναγωγὴ αὐτοῦ.
περικύκλῳ τοῦ μνήματος αὐτοῦ. πάντες οἱ τραυματίαι οἱ πεπτω-
κότες μαχαίρᾳ. οἳ ἔδωκαν τὰς ταφὰς αὐτῆς ἐν μηροῖς λάκ-
κου. καὶ ἐγενήθη ἐκκλησία περικύκλῳ τῆς ταφῆς αὐτοῦ. πάν-
τες αὐτοὶ τραυματίαι. οἱ πίπτοντες μαχαίρᾳ. οἱ δόντες τὸν φό-
βον αὐτῶν ἐπὶ γῆς ζωῆς. ἐκεῖ ἐλὰμ. πᾶσα ἡ δύναμις αὐτοῦ, περι-
κύκλῳ τοῦ μνήματος αὐτοῦ. πάντες οἱ τραυματίαι οἱ πεπτωκό-
τες μαχαίραις. καὶ οἱ καταβαίνοντες ἀπερίτμητοι, εἰς γῆς βά-
θος. οἱ δεδωκότες αὐτῶν φόβον, ἐπὶ γῆς ζωῆς. καὶ ἐλάβοσαν
τὴν βάσανον αὐτῶν. μετὰ τῶν καταβαινόντων εἰς βόθρον, ἐν
μέσῳ τραυματιῶν. ἐκεῖ ἐδόθησαν μοσὸχ. καὶ θοβέλ. καὶ πᾶσα
ἡ ἰσχὺς αὐτοῦ, περικύκλῳ τοῦ μνήματος αὐτοῦ. πάντες ἀπερί-
τμητοι τραυματίαι ἀπὸ μαχαίρας. οἱ δεδωκότες τὸν φόβον
αὐτῶν, ἐπὶ γῆς ζωῆς. καὶ ἐκοιμήθησαν μετὰ τῶν γιγάντων τῶν πε-
πτωκότων ἀπ' αἰῶνος. οἳ κατέβησαν εἰς ᾅδου ἐν ὅπλοις πο-
λεμικοῖς αὐτῶν. καὶ ἔθηκαν τὰς μαχαίρας αὐτῶν, ὑπὸ τὰς κε-
φαλὰς αὐτῶν. καὶ ἐγενήθησαν αἱ ἀνομίαι αὐτῶν, ἐπὶ τῶν ὀστέ-
ων αὐτῶν. ὅτι ἐξεφόβησαν γίγαντες ἐν τῇ ζωῇ αὐτῶν. καὶ ἐν
μέσῳ ἀπεριτμήτων, συντριβήσῃ. καὶ κοιμηθήσῃ. μετὰ τε-
τραυματισμένων μαχαίρᾳ. ἐκεῖ ἐδὼμ καὶ οἱ βασιλεῖς αὐ-
τῆς. καὶ πάντες οἱ ἄρχοντες αὐτῆς. οἱ δόντες τὴν ἰσχὺν αὐτῶν.
εἰς τραῦμα μαχαίρας. οὗτοι μετὰ τραυματιῶν ἐκοιμήθησαν.
μετὰ καταβαινόντων εἰς βόθρον. ἐκεῖ οἱ ἄρχοντες τοῦ βορρᾶ.

πάντες οὗτοι. πάντες στρατηγοὶ ἀσσούρ. οἱ καταβαίνοντες
τραυματίαι, σὺν τῷ φόβῳ αὐτῶν. καὶ τῇ ἰσχύϊ αὐτῶν ἐκοι-
μήθησαν ἀπερίτμητοι. μετὰ τραυματιῶν μαχαίρας. καὶ ἀ-
πήνεγκαν τὴν βάσανον αὐτῶν, μετὰ τῶν καταβαινόντων εἰς βό-
θρον. ἐκείνους ὄψεται, φαραώ. καὶ παρακληθήσεται ἐπὶ πᾶσαν
τὴν ἰσχὺν αὐτῶν. τραυματίαι μαχαίρας φαραώ. καὶ πᾶσα ἡ
δύναμις αὐτοῦ. λέγει κύριος κύριος. ὅτι δέδωκα τὸν φόβον
αὐτοῦ ἐπὶ γῆς ζωῆς, καὶ κοιμηθήσεται ἐν μέσῳ ἀπεριτμήτων.
μετὰ τραυματιῶν μαχαίρας φαραώ, καὶ πᾶν τὸ πλῆθος αὐ-
τοῦ λέγει κύριος κύριος.

Κεφάλαιον. λγ. 33.

Αἰ ἐγένετο λόγος κυρίου πρὸς με. λέγων υἱὲ ἀνθρώ-
κ που, λάλησον τοῖς υἱοῖς τοῦ λαοῦ σου. καὶ ἐρεῖς πρὸς αὐ-
τούς. γῆ ἐφ' ἣν ἂν ἐπάγω ῥομφαίαν. καὶ λάβῃ ὁ λαὸς
τῆς γῆς, ἄνθρωπον ἕνα ἐξ αὐτῶν. καὶ δώσει αὐτὸν ἑαυτοῖς εἰς
σκοπόν. καὶ ἴδῃ τὴν ῥομφαίαν ἐρχομένην ἐπὶ τὴν γῆν. καὶ
σαλπίσῃ τῇ σάλπιγγι, καὶ σημάνῃ τῷ λαῷ. καὶ ἀκούσῃ ὁ ἀκού-
σας τῆς φωνῆς τῆς σάλπιγγος μὴ φυλάξηται. καὶ ἐπέλθῃ ἡ ῥομ-
φαία. καὶ καταλάβῃ αὐτὸν, τὸ αἷμα αὐτοῦ ἐπὶ τῆς κεφαλῆς αὐ-
τοῦ ἔσται. ὅτι τὴν φωνὴν τῆς σάλπιγγος ἀκούσας. οὐκ ἐφυλάξα-
το αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἔσται. καὶ οὗτος ὅτι ἐφυλάξατο τὴν ψυ-
χὴν αὐτοῦ ἐξείλατο. καὶ ὁ σκοπὸς, ἐὰν ἴδῃ τὴν ῥομφαίαν ἐρ-
χομένην. καὶ μὴ σημάνῃ τῇ σάλπιγγι, καὶ ὁ λαὸς μὴ φυλάξηται
καὶ ἐλθοῦσα ἡ ῥομφαία λάβῃ ἐξ αὐτῶν ψυχὴν, αὐτὴ διὰ
τὴν αὐτῆς ἀνομίαν, ἐλήφθη. καὶ τὸ αἷμα ἐκ τῆς χειρὸς τοῦ σκο-
ποῦ ἐκζητήσω. καὶ σὺ υἱὲ ἀνθρώπου σκοπὸν δέδωκά σε τῷ
οἴκῳ ἰσραήλ. καὶ ἀκούσῃ ἐκ στόματός μου λόγον ἐν τῷ εἰπεῖν
με τῷ ἁμαρτωλῷ θανάτῳ θανατωθήσῃ. καὶ μὴ λαλήσῃς τοῦ φυ-
λάξαι τὸν ἀσεβῆ. ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, αὐτὸς ὁ ἄνομος τῇ ἀνομίᾳ
αὐτοῦ ἀποθανεῖται. τὸ δὲ αἷμα αὐτοῦ, ἐκ τῆς χειρός σου ἐκζητήσω.

σὺ δὲ ἐὰν πρὸ ἀπαγγείλης τῷ ἀσεβεῖ τὴν ὁδὸν αὐτοῦ, τοῦ ἀποστρέψαι ἀπ' αὐτῆς, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ αὐτὸς, τῇ ἀσεβείᾳ αὐτοῦ ἀποθανεῖται. καὶ σὺ τὴν ψυχὴν σου τοῦ ἐξήρησαι. καὶ σὺ υἱὲ ἀνθρώπου, εἶπον τῷ οἴκῳ ἰσραήλ, οὕτως λαλήσατε λέγοντες. αἱ πλάναι ἡμῶν. καὶ αἱ ἀνομίαι ἡμῶν, ἐφ' ἡμῖν εἰσι. καὶ ἐν αὐταῖς ἡμεῖς τηκόμεθα. καὶ πῶς ζησόμεθα, εἶπον αὐτοῖς. ζῶ ἐγὼ λέγει ἀδωναῒ κύριος. οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ. ὡς τὸ ἐπιστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ, καὶ ζῆν αὐτόν. ἀποστροφῇ ἀποστρέψατε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς. καὶ ἵνα τί ἀποθνήσκετε οἶκος ἰσραήλ. καὶ σὺ υἱὲ ἀνθρώπου. εἶπον πρὸς τοὺς υἱοὺς τοῦ λαοῦ σου. δικαιοσύνη δικαίου οὐ μὴ ἐξέληται αὐτόν. ἐν ᾗ ἂν ἡμέρᾳ πλανηθῇ. καὶ ἀνομία ἀνόμου, οὐ μὴ κακώσῃ αὐτόν. ἐν ᾗ ἂν ἡμέρᾳ, ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ. καὶ δίκαιος. οὐ μὴ δύνηται σωθῆναι. ἐν ἡμέρᾳ ἁμαρτίας αὐτοῦ. ἐν τῷ εἶπαί με τῷ δικαίῳ ζωῇ ζήσῃ. καὶ οὗτος πέποιθεν ἐπὶ τῇ δικαιοσύνῃ αὐτοῦ. καὶ ποιήσει ἀνομίαν, καὶ πᾶσαι αἱ δικαιοσύναι αὐτοῦ. οὐ μὴ μνησθῶσιν ἐν τῇ ἀδικίᾳ αὐτοῦ ᾗ ἐποίησεν, ἐν αὐτῇ ἀποθανεῖται. καὶ ἐν τῷ εἶπαί με τῷ ἀσεβεῖ θανάτῳ θανατωθήσῃ. καὶ ἀποστρέψει ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ. καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην. καὶ ἐνεχύρασμα ἀποδῷ. καὶ ἅρπαγμα ἀποτίσει. ἐν προστάγμασι ζωῆς διαπορεύηται, τοῦ μὴ ποιῆσαι ἄδικον. ζωῇ ζήσεται, καὶ οὐ μὴ ἀποθάνῃ. πᾶσαι ἁμαρτίαι αὐτοῦ ἃς ἥμαρτεν, οὐ μὴ μνησθῶσιν. ὅτι κρίμα καὶ δικαιοσύνην ἐποίησεν, ἐν αὐτοῖς ζήσεται. καὶ ἐροῦσιν οἱ υἱοὶ τοῦ λαοῦ σου. οὐκ εὐθεῖα ἡ ὁδὸς κυρίου. καὶ αὕτη ἡ ὁδὸς αὐτοῦ, οὐκ εὐθεῖα, ἐν τῷ ἀποστρέψαι δίκαιον ἀπὸ τῆς δικαιοσύνης αὐτοῦ. καὶ ποιήσει ἀνομίας. καὶ ἀποθανεῖται ἐν αὐταῖς. καὶ ἐν τῷ ἀποστρέψαι τὸν ἁμαρτωλὸν ἀπὸ τῆς ἀνομίας αὐτοῦ. καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐν αὐτοῖς. αὐτὸς ζήσεται. καὶ τοῦτό ἐστιν ὃ εἴπατε. οὐκ εὐθεῖα ἡ ὁδὸς κυρίου. ἕκαστον ἐν ταῖς ὁδοῖς ὑμῶν κρινῶ ὑμᾶς, οἶκος ἰσραήλ.

Καὶ ἐγενήθη ἐν τῷ δεκάτῳ ἔτει. ἐν τῷ δεκάτῳ μηνὶ πέμπτῃ,
τοῦ μηνὸς τῆς αἰχμαλωσίας ἡμῶν, ἦλθε πρός με ὁ ἀνασωθεὶς
ἀπὸ ἱερουσαλὴμ, λέγων. ἑάλω ἡ πόλις. καὶ χεὶρ κυρίου ἐγε-
νήθη ἐπ᾽ ἐμὲ ἑσπέρας πρὶν ἐλθεῖν αὐτόν. καὶ ἤνοιξέ μου τὸ στόμα
ἕως ἦλθε πρός με τὸ πρωΐ. καὶ ἀνοιχθέντος τοῦ στόματός μου, οὐ
συνεσχέθη ἔτι. καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων. υἱὲ ἀν-
θρώπου. οἱ κατοικοῦντες τὰς ἠρημωμένας ἐπὶ τῆς γῆς τοῦ ἰσρα-
ὴλ, λέγουσιν. εἷς ἦν ἀβραάμ. καὶ κατέσχε τὴν γῆν. καὶ ἡμεῖς
πλείους ἐσμέν. ἡμῖν δέδοται ἡ γῆ εἰς κατάσχεσιν. διατοῦτο εἰπὲ
πρὸς αὐτούς. οὕτως εἶπεν ἀδωναῒ κύριος. καὶ ἐπὶ τῷ αἵματι φά-
γεσθε. καὶ ὀφθαλμοὺς ὑμῶν λήψεσθε πρὸς εἴδωλα ὑμῶν. καὶ αἷ-
μα ἐκχεῖτε. καὶ τὴν γῆν κληρονομήσητε. ἔστητε ἐπὶ τῇ ῥομ-
φαίᾳ ὑμῶν ἐποιήσατε βδέλυγμα. καὶ ἕκαστος τὴν πλησίον αὐ-
τοῦ ἐμιάνατε. καὶ τὴν γῆν κληρονομήσετε οὕτως. διατοῦτο εἶ-
πον αὐτοῖς. τάδε λέγει κύριος κύριος. ζῶ ἐγώ. εἰ μὴ οἱ ἐν ταῖς
ἠρημωμέναις μαχαίρᾳ πεσοῦνται. καὶ οἱ ἐπὶ προσώπου τοῦ πε-
δίου. τοῖς θηρίοις τοῦ ἀγροῦ, δοθήσονται εἰς κατάβρωμα. καὶ τοὺς
ἐν ταῖς τετειχισμέναις. καὶ τοὺς ἐν τοῖς σπηλαίοις, θανάτῳ ἀ-
ποκτενῶ. καὶ δώσω τὴν γῆν ἔρημον. καὶ ἀπολεῖται ἡ ὕβρις τῆς
ἰσχύος αὐτῆς. καὶ ἐρημωθήσεται, τὰ ὄρη τοῦ ἰσραὴλ, διὰ τὸ μὴ
εἶναι διαπορευόμενον. καὶ γνώσονται. ὅτι ἐγώ εἰμι κύριος. καὶ
ποιήσω τὴν γῆν αὐτῶν ἔρημον. καὶ ἐρημωθήσεται διὰ πάν-
τα τὰ βδελύγματα αὐτῶν, ἃ ἐποίησαν. καὶ σὺ υἱὲ ἀνθρώπου.
οἱ υἱοὶ τοῦ λαοῦ σου. οἱ λαλοῦντες περὶ σοῦ παρὰ τὰ τείχη. καὶ ἐν
τοῖς πυλῶσι τῶν οἴκων. καὶ ἐλάλουν, ἄνθρωπος τῷ ἀδελφῷ
αὐτῶν. λέγοντες. συνέλθωμεν, καὶ ἀκούσωμεν τὰ ἐκπορευό-
μενα παρὰ κυρίου. καὶ ἔρχονται πρὸς σὲ ὡς συμπορεύεται λαός.
καὶ κάθηνται ἐναντίον σου ὁ λαός μου. καὶ ἀκούουσι τὰ ῥήματα
τά σου καὶ αὐτὰ οὐ μὴ ποιήσωσιν. ὅτι ψεῦδος ἐν τῷ στόματι
αὐτῶν. καὶ ὀπίσω τῶν μιασμάτων αὐτῶν ἡ καρδία αὐτῶν. καὶ

ζινη αὐτοῖς, ὡς φωνὴ ψαλτηρίου ἡδυφώνου, εὐαρμόστου. καὶ
ἀκούσονταί σου τὰ ῥήματα, καὶ οὐ μὴ ποιήσωσιν αὐτά. ἡνί
κα ἐὰν ἔλθῃ ἐροῦσιν· ἰδοὺ ἥκει. καὶ γνώσονται, ὅτι προφήτης
ἦν ἐν μέσῳ αὐτῶν.

## Κεφάλαιον λδ. 34.

αὶ ἐγένετο λόγος κυρίου, πρός με λέγων· υἱὲ ἀνθρώ
κ που προφήτευσον ἐπὶ τοὺς ποιμένας τοῦ ἰσραήλ· προ
φήτευσον, καὶ εἰπὸν τοῖς ποιμέσι. τάδε λέγει κύ
ριος κύριος· ὦ οἱ ποιμένες ἰσραήλ. μὴ βόσκουσιν οἱ ποιμένες
ἑαυτούς· οὐ τὰ πρόβατά μου βόσκουσιν οἱ ποιμένες. ἰδοὺ τὸ γά
λα κατεσθίετε. καὶ τὰ ἔρια περιβάλλεσθε. καὶ τὸ παχὺ σφάζετε. καὶ
τὰ πρόβατά μου οὐ βόσκετε. τό τε ἠσθενηκὸς, οὐκ ἐνισχύσατε.
καὶ τὸ κακῶς ἔχον, οὐκ ἐσωματοποιήσατε. καὶ τὸ συντετριμμέ
νον, οὐ κατεδήσατε. καὶ τὸ πλανώμενον, οὐκ ἐπεστρέψατε. καὶ τὸ
ἀπολωλὸς οὐκ ἐζητήσατε. καὶ τὸ ἰσχυρὸν, κατειργάσασθε μόχθῳ.
καὶ διεσπάρη τὰ πρόβατά μου, διὰ τὸ μὴ εἶναι ποιμένας. καὶ
ἐγενήθη εἰς κατάβρωμα, πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ. καὶ διε
σπάρη τὰ πρόβατά μου, ἐν παντὶ ὄρει. καὶ ἐπὶ πάντα βουνὸν
ὑψηλὸν, καὶ ἐπὶ προσώπου πάσης τῆς γῆς, διεσπάρη. καὶ οὐκ
ἦν ὁ ἐκζητῶν. οὐδὲ ὁ ἐπιστρέφων. διὰ τοῦτο ποιμένες ἀκούσα
τε λόγον κυρίου. ζῶ ἐγὼ λέγει κύριος κύριος· εἰ μὴν ἀντὶ τοῦ γε
νέσθαι. καὶ τὰ πρόβατά μου εἰς προνομήν. καὶ γενέσθαι τὰ πρόβα
τά μου εἰς κατάβρωμα, πᾶσι τοῖς θηρίοις τοῦ πεδίου. παρὰ τὸ μὴ
εἶναι ποιμένας. καὶ οὐκ ἐξεζήτησαν οἱ ποιμένες, τὰ πρόβατα
μου, καὶ ἐβόσκησαν, οἱ ποιμένες ἑαυτούς. τὰ δὲ πρόβατά μου
οὐκ ἐβόσκησαν. ἀντὶ τούτου, ποιμένες ἀκούσατε λόγον κυρίου.
τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας. καὶ ἐκζη
τήσω τὰ πρόβατά μου ἐκ τῶν χειρῶν αὐτῶν. καὶ ἀποστρέψω
αὐτοὺς, τοῦ μὴ ποιμαίνειν τὰ πρόβατά μου. καὶ οὐ βοσκήσουσιν
ἔτι οἱ ποιμένες αὐτά. ἐξελοῦ τὰ πρόβατά μου, ἐκ τοῦ στόματος

αὐτῶν. καὶ οὐκ ἔσονται αὐτοῖς εἰς κατάβρωμα. διότι τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐκζητήσω τὰ πρόβατά μου. καὶ ἐπισκέψομαι αὐτά, ὥσπερ ζητεῖ ὁ ποιμὴν τὸ ποίμνιον αὐτοῦ. ἐν ἡμέρᾳ πλάνης, γνόφος καὶ νεφέλη ἐν μέσῳ προβάτων αὐτοῦ διακεχωρισμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά μου. καὶ ἀπελάσω αὐτὰ ἀπὸ παντὸς τόπου, οὗ διεσπάρησαν ἐκεῖ, ἐν ἡμέρᾳ νεφέλης καὶ γνόφου. καὶ ἐξάξω αὐτούς, ἐκ τῶν ἐθνῶν καὶ συνάξω αὐτούς, εἰς τὴν γῆν αὐτῶν. καὶ βοσκήσω αὐτοὺς ἐπὶ τὰ ὄρη τοῦ ἰσραήλ. καὶ ἐν ταῖς φάραγξι. καὶ ἐν πάσῃ κατοικίᾳ τῆς γῆς. καὶ ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτούς. ἐν τῷ ὄρει τῷ ὑψηλῷ ἰσραήλ. καὶ ἔσονται αἱ μάνδραι αὐτῶν ἐκεῖ. καὶ κοιμηθήσονται. καὶ ἀναπαύσονται ἐν τρυφῇ ἀγαθῇ. καὶ νομῇ πίονι βοσκηθήσονται, ἐπὶ τῶν ὀρέων ἰσραήλ. ἐγὼ βοσκήσω τὰ πρόβατά μου, καὶ ἐγὼ ἀναπαύσω αὐτά. καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος. τάδε λέγει κύριος. τὸ ἀπολωλὸς ζητήσω. καὶ τὸ πλανώμενον ἐπιστρέψω. καὶ τὸ συντετριμμένον καταδήσω. καὶ τὸ ἐκλεῖπον ἐνισχύσω, καὶ τὸ ἰσχυρὸν φυλάξω. καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος. καὶ ὑμεῖς πρόβατα τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ διακρινῶ, ἀνὰ μέσον προβάτου, καὶ προβάτου κριῶν καὶ τράγων. καὶ οὐχ ἱκανὸν ὑμῖν. ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε. καὶ τὰ κατάλοιπα τῆς νομῆς. κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν. καὶ τὸ καθεστηκὸς ὕδωρ, ἐπίνετε. καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν, ἐταράσσετε. καὶ τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν, ἐνέμοντο. καὶ τὸ τεταραγμένον ὕδωρ, ὑπὸ τῶν ποδῶν ὑμῶν, ἔπινον, διὰ τοῦτο, τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ διακρινῶ ἀνὰ μέσον προβάτου ἰσχυροῦ. καὶ ἀνὰ μέσον προβάτου ἀσθενοῦς. ἐπὶ ταῖς πλευραῖς καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε. καὶ τοῖς κέρασιν ὑμῶν, ἐκερατίζετε πᾶν τὸ ἐκλεῖπον. καὶ σώσω τὰ πρόβατά μου. καὶ οὐ μὴ ὦσιν ἔτι εἰς προνομήν. καὶ κρινῶ ἀνὰ μέσον κριοῦ πρὸς κριόν.

καὶ ἀναστήσω ἐπ' αὐτοὺς ποιμένα ἕνα. καὶ ποιμανεῖ αὐτούς. τὸν δοῦλόν μου δαβίδ. καὶ ἔσται αὐτῶν ποιμήν. καὶ ἐγὼ κύριος, ἔσομαι αὐτοῖς θεός. καὶ δαβὶδ ἄρχων ἐν μέσῳ αὐτῶν. ἐγὼ κύριος ἐλάλησα. καὶ διαθήσομαι αὐτῷ δαβὶδ διαθήκην εἰρήνης. καὶ ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς. καὶ κατοικήσουσιν ἐν τῇ ἐρήμῳ καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς. καὶ δώσω αὐτοῖς, περὶ κύκλῳ τοῦ ὄρους μου. καὶ δώσω τὸν ὑετὸν ὑμῖν, ὑετὸν εὐλογίας. καὶ τὰ ξύλα τοῦ πεδίου δώσει τὸν καρπὸν αὐτῶν. καὶ ἡ γῆ δώσει τὴν ἰσχὺν αὐτῆς. καὶ κατοικήσουσιν ἐπὶ τῆς γῆς αὐτῶν, ἐν ἐλπίδι εἰρήνης. καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος. ἐν τῷ συντρίψαι τὸν ζυγὸν τοῦ κλοιοῦ αὐτῶν. καὶ ἐξελῶ αὐτούς, ἐκ χειρὸς τῶν καταδουλωσαμένων αὐτούς. καὶ οὐκ ἔσονται ἔτι ἐν προνομῇ τοῖς ἔθνεσι, καὶ τὰ θηρία τῆς γῆς. οὐκέτι οὐ μὴ φάγωσιν αὐτούς. καὶ κατοικήσουσιν, ἐν ἐλπίδι. καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς. καὶ ἀναστήσω αὐτοῖς φυτὸν εἰρήνης. καὶ οὐκέτι ἔσονται, ὀλίγοι ἐν ἀριθμῷ ἐν τῇ γῇ. καὶ οὐκέτι ἔσονται ἀπολλύμενοι λιμῷ. ἐπὶ τῆς γῆς, καὶ ὀνειδισμῶν ἐθνῶν οὐ μὴ ἐνέγκωσιν ἔτι. καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν. καὶ αὐτοὶ λαός μου, οἶκος ἰσραήλ, λέγει κύριος κύριος. καὶ ὑμεῖς πρόβατά μου. καὶ πρόβατα ποιμνίου ἐστέ καὶ ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, λέγει κύριος κύριος.

Κεφ. λε. 35.

Αἰ ἐγένετο λόγος κυρίου πρός με λέγων. υἱὲ ἀνθρώπου
κ ἐπίστρεψον τὸ πρόσωπόν σου ἐπ' ὄρος σηείρ. καὶ προφήτευσον ἐπ' αὐτῷ. καὶ εἶπον αὐτῷ τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐπὶ σὲ ὄρος σηείρ. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ σέ. καὶ δώσω σε ἔρημον, καὶ ἐρημωθήσῃ. καὶ ἐν ταῖς πόλεσί σου, ἐρημίαν ποιήσω. καὶ σὺ ἔρημος ἔσῃ. καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος. ἀντὶ τοῦ γενέσθαι σε ἐχθρὰν αἰώνιον. καὶ ἐνεκάθισας τῷ οἴκῳ ἰσραὴλ δόλῳ. ἐν χερσὶ ἐχθρῶν μαχαίρας ἐν καιρῷ ἀδικίας ἐπ' ἐσχάτων. διὰ τοῦτο ζῶ ἐγὼ λέγει κύριος

κύριος. εἰ μὴν εἰς αἷμα ἥμαρτες, καὶ αἷμα διώξεταί σε. καὶ
δώσω τὸ ὄρος σηεὶρ εἰς ἔρημον, καὶ ἠρημωμένον. καὶ ἀπολῶ ἀπ'
αὐτοῦ, ἀνθρώπους καὶ κτήνη, καὶ ἐμπλήσω τῶν τραυματιῶν σου
τοὺς βουνούς σου καὶ τὰς φάραγγάς σου. καὶ ἐν πᾶσι τοῖς πεδί-
οις σου τετραυματισμένοι μαχαίρᾳ πεσοῦνται ἐν σοί. ἐρημίαν αἰ-
ώνιον θήσομαί σε. καὶ αἱ πόλεις σου, οὐ μὴ κατοικηθῶσιν ἔτι. καὶ
γνώσονται ὅτι ἐγώ εἰμι κύριος. διὰ τὸ εἰπεῖν σε τὰ δύο ἔθνη,
καὶ αἱ δύο χῶραι ἐμαὶ ἔσονται. καὶ κληρονομήσω αὐτάς. καὶ
κύριος ἐκεῖ ἐστι. διατοῦτο ζῶ ἐγὼ λέγει κύριος κύριος. καὶ ποι-
ήσω σοι κατὰ τὴν ἔχθραν σου. καὶ γνωσθήσομαί σοι ἡνίκα ἂν κρι-
νῶ σε, καὶ γνώσῃ ὅτι ἐγώ εἰμι κύριος. ἤκουσα τῆς φωνῆς τῶν
βλασφημιῶν σου. ὅτι εἶπας, τὰ ὄρη ἰσραὴλ ἔρημα. ἡμῖν δέδω-
ται εἰς κατάβρωμα. καὶ ἐμεγαλορημόνησας ἐπ' ἐμὲ τῷ στόμα-
τί σου. καὶ ἐγὼ ἤκουσα. διατοῦτο τάδε λέγει κύριος κύριος. ἐν
τῇ εὐφροσύνῃ τῆς γῆς ἔρημον ποιήσω σε. καθὼς ηὐφράνθης εἰς
κληρονομίαν οἴκου ἰσραήλ. ὅτι ἠφανίσθη. οὕτως ποιήσω σε.
ἔρημος ἔσῃ ὄρος σηείρ. καὶ πᾶσα ἰδουμαία ἐξολοθρευθήσεται.
καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν.

Κεφάλαιον. λϛ. 36.

Δὶ σὺ υἱὲ ἀνθρώπου, προφήτευσον ἐπὶ τὰ ὄρη τοῦ
x ἰσραήλ. καὶ εἰπὸν τοῖς ὄρεσι τοῦ ἰσραήλ. ἀκούσατε λό-
γον κυρίου, τάδε λέγει κύριος κύριος. ἀνθ' οὗ εἶπεν
ἐφ' ὑμᾶς ὁ ἐχθρός. εὖγε ἔρημα αἰώνια. εἰς κατάσχεσιν ἡμῖν ἐ-
γενήθη. διατοῦτο προφήτευσον καὶ εἰπὸν τάδε λέγει κύριος κύ-
ριος. ἀντὶ τοῦ ἀτιμασθῆναι ὑμᾶς. καὶ μισηθῆναι ὑμᾶς, ἀπὸ τῶν
ἐθνῶν τῶν περικύκλῳ ὑμῶν. τοῦ εἶναι ὑμᾶς εἰς κατάσχεσιν τοῖς
καταλοίποις ἔθνεσι. καὶ ἀνέβητε καὶ ἐγένεσθε λάλημα γλώσ-
σῃ. καὶ ὀνείδισμα ἔθνεσι. διατοῦτο ὄρη ἰσραήλ. ἀκούσατε λόγον
κυρίου κυρίου. τάδε λέγει κύριος κύριος. τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς
καὶ τοῖς χειμάρροις. καὶ ταῖς φάραγξι. καὶ τοῖς ἠρημωμένοις καὶ

ἠφανισμένοις. καὶ ταῖς πόλεσι ταῖς ἐγκαταλελειμμέναις, αἳ ἐγένοντο εἰς προνομὴν. καὶ εἰς καταπάτημα, τοῖς καταλειφθεῖσιν ἔθνεσιν περικύκλῳ. διὰ τοῦτο τάδε λέγει κύριος κύριος. εἰ μὴ ἐν πυρὶ θυμοῦ μου ἐλάλησα ἐπὶ τὰ λοιπὰ ἔθνη. καὶ ἐπὶ τὴν ἰδουμαίαν πᾶσαν. ὅτι ἔδωκαν τὴν γῆν μου ἑαυτοῖς, εἰς κατάσχεσιν μετ' εὐφροσύνης. ἀτιμάσαντες ψυχὰς, τοῦ ἀφανίσαι ἐν προνομῇ. διὰ τοῦτο προφήτευσον ἐπὶ τὴν γῆν τοῦ ἰσραήλ. καὶ εἰπὸν τοῖς ὄρεσι καὶ τοῖς βουνοῖς. καὶ ταῖς φάραγξι, καὶ ταῖς νάπαις. τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἐν τῷ ζήλῳ μου. καὶ ἐν τῷ θυμῷ μου, ἐλάλησα ἀντὶ τοῦ ὀνειδισμοὺς ἐθνῶν ἐνέγκαι ὑμᾶς. διὰ τοῦτο ἰδοὺ ἐγὼ ἀρῶ τὴν χεῖρά μου, ἐπὶ τὰ ἔθνη τὰ περικύκλῳ ὑμῶν. οὗτοι τὴν ἀτιμίαν. αὐτῶν λήψονται. ὑμῶν δὲ ὄρη ἰσραήλ. τὴν σταφυλὴν, καὶ τὸν καρπὸν ὑμῶν, καταφάγεται ὁ λαός μου. ὅτι ἐλπίζουσι τοῦ ἐλθεῖν. ὅτι ἰδοὺ ἐγὼ ἐπιβλέψω ἐφ' ὑμᾶς. καὶ κατεργασθήσεσθε. καὶ σπαρήσεσθε. καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους. καὶ πάντα οἶκον ἰσραὴλ εἰς τέλος. καὶ κατοικισθήσονται αἱ πόλεις ὑμῶν. καὶ αἱ ἠρημωμέναι, οἰκοδομηθήσονται καὶ πληθυνῶ ἐφ' ὑμᾶς ἀνθρώπους. καὶ κτήνη. καὶ κατοικιῶ ὑμᾶς ὡς τὸ ἐν ἀρχῇ ὑμῶν. καὶ εὖ ποιήσω ὑμᾶς, ὥσπερ τὰ ἔμπροσθεν ὑμῶν. καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι κύριος. καὶ γεννήσω ἐφ' ὑμᾶς ἀνθρώπους τὸν λαόν μου ἰσραήλ. καὶ κληρονομήσουσιν ὑμᾶς. καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν. καὶ οὐ μὴ προστεθῆτε ἔτι, ἀτεκνωθῆναι ἐξ αὐτῶν. τάδε λέγει κύριος κύριος. ἀνθ' ὧν εἶπάν σοι κατεσθίουσα ἀνθρώπους, εἶ σύ. καὶ ἠτεκνωμένη ὑπὸ τοῦ ἔθνους σου ἐγένου. διὰ τοῦτο ἀνθρώπους οὐκέτι φάγεσαι. καὶ τὸ ἔθνος σου οὐκ ἀτεκνώσεις, λέγει κύριος κύριος. καὶ οὐκ ἀκουσθήσεται οὐκέτι ἐφ' ὑμᾶς, ἀτιμία ἐθνῶν. καὶ ὀνειδισμὸν λαῶν, οὐ μὴ ἐνέγκητε ἔτι λέγει κύριος κύριος. Καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων. υἱὲ ἀνθρώπου. οἶκος ἰσραήλ, κατῴκησεν ἐπὶ τῆς γῆς αὐτῶν, καὶ ἐμίαναν αὐτὴν, ἐν τῇ ὁδῷ αὐτῶν. καὶ ἐν τοῖς εἰδώλοις αὐ-

τῶν· καὶ ἐν ταῖς ἀκαθαρσίαις αὐτῶν. κατὰ τὴν ἀκαθαρσίαν τῆς
ἀποκαθημένης, ἐγενήθη ἡ ὁδὸς αὐτῶν πρὸ προσώπου μου. καὶ
ἐξέχεα τὸν θυμόν μου ἐπ' αὐτοὺς, περὶ τοῦ αἵματος, οὗ ἐξέχεον ἐπὶ
τῆς γῆς· καὶ ἐν τοῖς εἰδώλοις αὐτῶν ἐμίαναν αὐτήν. καὶ διέ-
σπειρα αὐτοὺς εἰς τὰ ἔθνη· καὶ ἐλίκμησα αὐτοὺς, εἰς τὰς χώρας.
κατὰ τὴν ὁδὸν αὐτῶν, καὶ κατὰ τὴν ἁμαρτίαν αὐτῶν, ἔκρινα
αὐτούς. καὶ εἰσῆλθον εἰς τὰ ἔθνη, οὗ εἰσῆλθον ἐκεῖ. καὶ ἐβεβήλω-
σαν τὸ ὄνομα τὸ ἅγιον ἐν τῷ λέγεσθαι αὐτοὺς λαὸς κυρίου. οὗτοι
καὶ ἐκ τῆς γῆς αὐτοῦ ἐξεληλύθασιν· καὶ ἐφεισάμην αὐτῶν διὰ τὸ
ὄνομά μου τὸ ἅγιον· ὃ ἐβεβήλωσαν, οἶκος ἰσραήλ· ἐν τοῖς ἔθνεσιν,
οὗ εἰσῆλθον ἐκεῖ. διὰ τοῦτο εἶπον τῷ οἴκῳ ἰσραήλ· τάδε λέγει κύ-
ριος κύριος, οὐχ ὑμῖν ἐγὼ ποιῶ οἶκος ἰσραήλ· ἀλλὰ διὰ τὸ ὄνομά
μου τὸ ἅγιον· ὃ ἐβεβηλώσατε, ἐν τοῖς ἔθνεσιν οὗ εἰσήλθετε ἐκεῖ. καὶ
ἁγιάσω τὸ ὄνομά μου τὸ μέγα, τὸ βεβηλωθὲν ἐν τοῖς ἔθνεσιν ὃ ἐβε-
βηλώσατε ἐν μέσῳ αὐτῶν· καὶ γνώσονται τὰ ἔθνη, ὅτι ἐγώ εἰμι
κύριος· λέγει ἀδωναῒ κύριος, ἐν τῷ ἁγιασθῆναί με ἐν ὑμῖν, κατ' ὀφθαλ-
μοὺς αὐτῶν. καὶ λήψομαι ὑμᾶς, ἐκ τῶν ἐθνῶν· καὶ ἀθροίσω ὑμᾶς, ἐκ
πασῶν τῶν γαιῶν· καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν ὑμῶν· καὶ ῥανῶ ἐφ'
ὑμᾶς, καθαρὸν ὕδωρ· καὶ καθαρισθήσεσθε, ἀπὸ πασῶν τῶν ἀκα-
θαρσιῶν ὑμῶν· καὶ ἀπὸ πάντων τῶν εἰδώλων ὑμῶν· καὶ καθαριῶ
ὑμᾶς· καὶ δώσω ὑμῖν καρδίαν καινήν· καὶ πνεῦμα καινὸν δώσω
ἐν ὑμῖν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην, ἐκ τῆς σαρκὸς ὑμῶν
καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην. καὶ τὸ πνεῦμά μου δώσω ἐν
ὑμῖν· καὶ ποιήσω ἵνα ἐν τοῖς δικαιώμασί μου πορεύησθε· καὶ τὰ
κρίματά μου φυλάξησθε, καὶ ποιήσητε. καὶ κατοικήσετε ἐπὶ τῆς γῆς
ἧς ἔδωκα τοῖς πατράσιν ὑμῶν· καὶ ἔσεσθέ μοι εἰς λαόν· καὶ ἐγὼ ἔ-
σομαι ὑμῖν, εἰς θεόν· καὶ σώσω ὑμᾶς ἀπὸ πασῶν τῶν ἀκαθαρσιῶν
ὑμῶν, καὶ καλέσω τὸν σῖτον, καὶ πληθυνῶ αὐτόν· καὶ οὐ μὴ δώσω ἐφ'
ὑμᾶς λιμόν· καὶ πληθυνῶ τὸν καρπὸν τοῦ ξύλου· καὶ τὰ γενήματα
τοῦ ἀγροῦ. ὅπως ἂν μὴ λάβητε ὀνειδισμὸν λιμοῦ, ἐν τοῖς ἔθνεσι. καὶ

μνησθήσεσθε τὰς ὁδοὺς ὑμῶν τὰς πονηράς. καὶ τὰ ἐπιτηδεύμα-
τα ὑμῶν, τὰ μὴ ἀγαθά. καὶ προσοχθιεῖτε κατὰ πρόσωπον αὐ-
τῶν, ἐν ταῖς ἀνομίαις ὑμῶν. καὶ ἐν τοῖς βδελύγμασιν ὑμῶν.
οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ λέγει κύριος. γνωστὸν ἔσω ὑμῖν, αἰσχύνθη-
τε καὶ ἐντράπητε ἐκ τῶν ὁδῶν ὑμῶν οἶκος ἰσραήλ. τάδε λέ-
γει κύριος κύριος. ἐν ἡμέρᾳ ᾗ καθαρίσω ὑμᾶς, ἐκ πασῶν τῶν
ἀνομιῶν ὑμῶν. καὶ κατοικιῶ τὰς πόλεις. καὶ οἰκοδομηθήσον-
ται, αἱ ἔρημοι. καὶ ἡ γῆ ἡ ἀφανισμένη ἐργασθήσεται. ἀνθ' ὧν
ὅτι ἠφανισμένη ἐγενήθη. κατ' ὀφθαλμοὺς. παντὸς παροδεύον-
τος. καὶ ἐροῦσιν ἡ γῆ ἐκείνη ἡ ἠφανισμένη ἐγενήθη, ὡς κῆπος τρυ-
φῆς. καὶ αἱ πόλεις αἱ ἔρημοι καὶ ἠφανισμέναι, καὶ κατεσκαμ-
μέναι, ὀχυραὶ ἐκάθισαν. καὶ γνώσονται τὰ ἔθνη, ὅσα ἂν κατα-
λειφθῶσι κύκλῳ ὑμῶν, ὅτι ἐγὼ κύριος ᾠκοδόμησα τὰς καθῃρη-
μένας κατεφύτευσα τὰς ἠφανισμένας. ἐγὼ κύριος ἐλάλησα
καὶ ἐποίησα. τάδε λέγει κύριος κύριος. ἔτι τοῦτο ζήτημα θήσο-
μαι τῷ οἴκῳ ἰσραὴλ τοῦ ποιῆσαι αὐτοῖς. πληθυνῶ αὐτοὺς, ὡς
πρόβατα ἀνθρώπους. ὡς πρόβατα ἅγια ὡς πρόβατα ἱερουσα-
λὴμ, ἐν ταῖς ἑορταῖς αὐτῆς. οὕτως ἔσονται αἱ πόλεις ἔρημοι.
πλήρεις προβάτων ἀνθρώπων. καὶ γνώσονται ὅτι ἐγὼ κύριος.

Κεφ. λζ. 37.

Αἰ ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου. καὶ ἔθηκέ με ἐν μέ-
κ σῳ τοῦ πεδίου. τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων, καὶ
προσήγαγέ με ἐπ' αὐτὰ, κυκλόθεν κύκλῳ. καὶ ἰδοὺ
πολλὰ σφόδρα. ἐπὶ προσώπου τοῦ πεδίου, καὶ ἰδοὺ ξη-
ρὰ σφόδρα εἶπε πρός με, υἱὲ ἀνθρώπου. εἰ ζήσεται τὰ ὀ-
στέα ταῦτα. καὶ εἶπα κύριε κύριε σὺ ἐπίστασαι ταῦτα καὶ εἶπε
πρός με. υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα. καὶ ἐ-
ρεῖς αὐτοῖς. τὰ ὀστᾶ τὰ ξηρά. ἀκούσατε λόγον κυρίου. τάδε
λέγει κύριος. τοῖς ὀστέοις τούτοις. ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς
πνεῦμα ζωῆς. καὶ δώσω ἐφ' ὑμᾶς, νεῦρα καὶ ἀνάξω ἐφ' ὑμᾶς

σάρκα καὶ ἐκτενῶ ἐφ' ὑμᾶς, δέρμα. καὶ δώσω πνεῦμά μου
ἐφ' ὑμᾶς καὶ ζήσεσθε. καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι κύριος. καὶ
προεφήτευσα, καθὼς ἐνετείλατό μοι κύριος. καὶ ἐγένετο φω-
νή. ἐν τῷ με προφητεῦσαι. καὶ ἰδοὺ σεισμὸς, καὶ προσήγα-
γε τὰ ὀστᾶ. ὀστέον πρὸς τὴν ἁρμονίαν αὐτοῦ. καὶ εἶδον. καὶ ἰδοὺ
ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο. καὶ ἀνέβαινεν ἐπ' αὐτὰ
δέρμα ἐπάνω, καὶ πνεῦμα οὐκ ἦν ἐπ' αὐτοῖς. καὶ εἶπε πρός με
προφήτευσον υἱὲ ἀνθρώπου. προφήτευσον ἐπὶ τὸ πνεῦμα καὶ εἶ-
πον τῷ πνεύματι. τάδε λέγει κύριος κύριος. ἐκ τεσσάρων πνευ-
μάτων ἐλθέ. καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους. καὶ ζησάτω-
σαν. καὶ προεφήτευσα. καθότι ἐνετείλατό μοι. καὶ εἰσῆλθεν
εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν. καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐ-
τῶν. καὶ συναγωγὴ πολλὴ σφόδρα. καὶ ἐλάλησε κύριος πρὸς
με. λέγων. υἱὲ ἀνθρώπου. τὰ ὀστᾶ ταῦτα, πᾶς οἶκος ἰσραὴλ ἐστὶν
αὐτοὶ λέγουσι. ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν. ἀπόλωλεν ἡ ἐλπὶς
ἡμῶν. διαπεφωνήκαμεν. διὰ τοῦτο προφήτευσον καὶ εἶπον πρὸς
αὐτούς, τάδε λέγει κύριος κύριος. ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνή-
ματα ὑμῶν. καὶ ἀνάξω ὑμᾶς, εἰς τὴν γῆν τοῦ ἰσραήλ, καὶ γνώ-
σεσθε ὅτι ἐγώ εἰμι κύριος. ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν
τοῦ ἀναγαγεῖν με ὑμᾶς ἐκ τῶν τάφων ὑμῶν, λαός μου. καὶ
δώσω πνεῦμα μου. εἰς ὑμᾶς, καὶ ζήσεσθε. καὶ θήσομαι ὑμᾶς,
ἐπὶ τὴν γῆν ὑμῶν. καὶ γνώσεσθε ὅτι κύριος. ἐλάλησα καὶ
ποιήσω, λέγει κύριος κύριος. Καὶ ἐγένετο λόγος κυρίου πρὸς
με, λέγων υἱὲ ἀνθρώπου. λάβε σεαυτῷ ῥάβδον, καὶ γράψον
ἐπ' αὐτὴν τὸν ἰούδαν, καὶ τοὺς υἱοὺς ἰσραὴλ τοὺς προσκειμέ-
νους πρὸς αὐτόν. καὶ ῥάβδον δευτέραν, λήψῃ σεαυτῷ. καὶ γρά-
ψεις ἐπ' αὐτὴν τὸν ἰωσήφ, ῥάβδον ἐφραίμ. καὶ πάντας τοὺς υἱοὺς
ἰσραὴλ τοὺς προστεθέντας πρὸς αὐτόν. καὶ συνάψεις αὐτὰς πρὸς
ἀλλήλας σεαυτῷ. εἰς ῥάβδον μίαν τοῦ δῆσαι αὐτάς. καὶ ἔ-
σονται ἐν τῇ χειρί σου. καὶ ἔσται ὅταν λέγωσι πρὸς σὲ οἱ υἱοὶ

τοῦ λαοῦ σου οὐκ ἀπαγγελεῖς ἡμῖν, τί ἐστι ταῦτα σοί; καὶ ἐρεῖς
πρὸς αὐτούς· τάδε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ λήψομαι τὴν
φυλὴν ἰωσὴφ τὴν διὰ χειρὸς ἐφραίμ· καὶ τὰς φυλὰς ἰσραὴλ
τὰς προσκειμένας πρὸς αὐτόν· καὶ δώσω αὐτούς, ἐπὶ τὴν φυ-
λὴν ἰούδα· καὶ ἔσονται εἰς ῥάβδον μίαν, ἐν τῇ χειρὶ ἰούδα· καὶ
ἔσονται αἱ ῥάβδοι ἐφ᾽ αἷς σὺ ἔγραψας ἐπ᾽ αὐταῖς ἐν τῇ χειρί
σου ἐνώπιον αὐτῶν· καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει κύριος κύ-
ριος· ἰδοὺ ἐγὼ λαμβάνω πάντα οἶκον ἰσραήλ· ἐκ μέσου τῶν ἐθνῶν·
οὗ εἰσῆλθον ἐκεῖ· καὶ συνάξω αὐτοὺς ἀπὸ πάντων τῶν περικύκλῳ
αὐτῶν· καὶ εἰσάξω αὐτούς, εἰς τὴν γῆν τοῦ ἰσραήλ· καὶ δώσω
αὐτοὺς εἰς ἔθνος ἐν τῇ γῇ μου· καὶ ἐν τοῖς ὄρεσιν ἰσραήλ· καὶ ἄρ-
χων εἷς ἔσται αὐτῶν· καὶ οὐκ ἔσονται ἔτι εἰς δύο ἔθνη· οὐδὲ μὴ δι-
αιρεθῶσιν ἔτι εἰς δύο βασιλείας· ἵνα μὴ μιαίνωνται ἔτι ἐν τοῖς εἰ-
δώλοις αὐτῶν· καὶ ἐν τοῖς προσοχθίσμασιν αὐτῶν· καὶ ἐν πά-
σαις ταῖς ἀσεβείαις αὐτῶν· καὶ ῥύσομαι αὐτούς, ἀπὸ πασῶν τῶν
ἀνομιῶν αὐτῶν, ὧν ἥμαρτον ἐν αὐταῖς· καὶ καθαριῶ αὐτούς, καὶ
ἔσονταί μοι εἰς λαόν· καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς θεόν· καὶ ὁ δοῦ-
λός μου δαβίδ, ἄρχων ἐν μέσῳ αὐτῶν· καὶ ποιμὴν εἷς ἔσται πάν-
των, ὅτι ἐν τοῖς προστάγμασί μου πορεύσονται καὶ τὰ κρίματά
μου φυλάξονται· καὶ ποιήσουσιν αὐτά· καὶ κατοικήσουσιν ἐπὶ τῆς
γῆς αὐτῶν· ἣν δέδωκα τῷ δούλῳ μου τῷ ἰακώβ· οὗ κατῴκησαν
ἐκεῖ οἱ πατέρες αὐτῶν, κατοικήσουσιν ἐπ᾽ αὐτῆς· αὐτοὶ καὶ οἱ υἱοὶ
αὐτῶν· καὶ οἱ υἱοὶ τῶν υἱῶν αὐτῶν, ἕως τοῦ αἰῶνος· καὶ δαβὶδ
ὁ δοῦλός μου, ἄρχων αὐτῶν ἔσται εἰς τὸν αἰῶνα· καὶ διαθήσομαι
αὐτοῖς διαθήκην εἰρήνης· καὶ διαθήκη αἰωνία, ἔσται μετ᾽ αὐτῶν
καὶ θήσω τὰ ἅγιά μου ἐν μέσῳ αὐτῶν εἰς τὸν αἰῶνα· καὶ
ἔσται ἡ κατασκήνωσίς μου, ἐν αὐτοῖς· καὶ ἔσομαι αὐτοῖς θεός· καὶ
αὐτοὶ ἔσονταί μοι λαός· καὶ γνώσονται τὰ ἔθνη, ὅτι ἐγώ εἰμι κύ-
ριος ὁ ἁγιάζων αὐτούς, ἐν τῷ εἶναι τὰ ἅγιά μου, ἐν μέσῳ αὐτῶν
εἰς τὸν αἰῶνα.

Κεφάλαιον. λη. 38.

Καὶ ἐγένετο λόγος κυρίου πρός με λέγων· υἱὲ ἀνθρώ-
κ που· στήριζον τὸ πρόσωπόν σου, ἐπὶ γὼγ, καὶ ἐπὶ τὴν γῆν
τοῦ μαγὼγ ἄρχοντα ῥώς· μοσὸχ, καὶ θοβέλ· καὶ προφή-
τευσον ἐπ' αὐτόν· καὶ εἶπον αὐτῷ· τάδε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ
ἐπὶ σὲ μαγώγ· καὶ ἐπὶ τὴν γῆν τοῦ μαγὼγ· ἄρχοντα ῥώς· μοσὸχ·
καὶ θοβέλ· καὶ συνάξω σε, καὶ πᾶσαν τὴν δύναμίν σου· ἵππους καὶ
ἱππεῖς ἐνδεδυμένους θώρακας πάντας συναγωγὴ πολλή, πέλται
καὶ αἰθίοπες· καὶ λίβυες· καὶ λυδοὶ πάντες περικεφαλαίαις καὶ
πέλταις· γομέρ· καὶ πάντες οἱ περὶ αὐτόν· οἶκος τοῦ θοργαμά, ἀπ'
ἐσχάτου βοῤῥᾶ· καὶ πάντες οἱ περὶ αὐτοῦ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ.
ἑτοιμάσθητι· ἑτοίμασον σεαυτὸν σύ· καὶ πᾶσα ἡ συναγωγή σου, ἡ
συνηγμένη μετὰ σοῦ, καὶ ἔσῃ μοι εἰς προφυλακήν· ἀφ' ἡμερῶν
πλειόνων ἑτοιμασθήσεται, καὶ ἀπ' ἐσχάτου ἐτῶν, ἐλεύσεται· καὶ ἥξει εἰς
τὴν γῆν τὴν ἀπεστραμμένην, ἀπὸ μαχαίρας, συνηγμένων ἀπὸ
ἐθνῶν πολλῶν, ἐπὶ γῆν ἰσραήλ, ἣ ἐγενήθη ἔρημος δι' ὅλου, καὶ
οὗτος ἐξ ἐθνῶν ἐξελήλυθε, καὶ κατοικήσουσιν ἐπ' εἰρήνης ἅπαντες
καὶ ἀναβήσῃ, ὡς ὑετός, καὶ ἥξεις ὡς νεφέλη, καὶ καλύψεις γῆν, καὶ πέ-
σῃ σὺ καὶ πάντες οἱ περὶ σέ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ, τάδε λέ-
γει κύριος κύριος, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναβήσεται ῥῆμα ἐπὶ τὴν
καρδίαν σου, καὶ λογιεῖ λογισμοὺς πονηρούς, καὶ ἐρεῖς, ἀναβήσο-
μαι ἐπὶ γῆν ἀπεῤῥιμμένην, ἥξω ἐπὶ ἡσυχάζοντας ἐν ἡσυχίᾳ, καὶ
οἰκοῦντας ἐπ' εἰρήνης, πάντας κατοικοῦντας γῆν, ἐν ᾗ οὐχ ὑπάρ-
χει τεῖχος οὐδὲ μοχλοί, καὶ θύραι οὐκ εἰσὶν ἐν αὐτοῖς, προνομεῦ-
σαι προνομὴν καὶ σκῦλα σκυλεῦσαι αὐτῶν, τοῦ ἐπιστρέψαι χεῖράς
μου, εἰς τὴν ἠρημωμένην, ἣ κατῳκίσθη καὶ ἐπὶ ἔθνη συνηγμένον
ἀπὸ ἐθνῶν πολλῶν, πεποιηκότας κτήσεις, καὶ κατοικοῦντας ἐπὶ τὸν
ὀμφαλὸν τῆς γῆς σαβὰ καὶ δαιδὰν, καὶ ἔμποροι καρχηδόνιοι, καὶ
πᾶσαι αἱ κῶμαι αὐτῶν, ἐροῦσί σοι, εἰς προνομὴν τοῦ προνομεῦσαι
σὺ ἔρχῃ, καὶ σκυλεῦσαι σκῦλα, καὶ συνήγαγες συναγωγήν σου

λαβεῖν ἀργύριον καὶ χρυσίον, ἀπενέγκασθαι κτῆσιν τοῦ σκυλεῦσαι σκῦλα. διὰ τοῦτο προφήτευσον. υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ γώγ. τάδε λέγει κύριος κύριος. οὐχὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐν τῷ κατοικισθῆναι τὸν λαόν μου, ἰσραὴλ ἐπ' εἰρήνης. ἐγερθήσῃ. καὶ ἥξεις ἐκ τοῦ τόπου σου ἀπ' ἐσχάτου βοῤῥᾶ, καὶ ἔθνη πολλὰ μετὰ σοῦ, ἀναβάται ἵππων πάντες. συναγωγὴ μεγάλη καὶ δύναμις πολλή. καὶ ἀναβήσῃ ἐπὶ τὸν λαόν μου ἰσραήλ. ὡς νεφέλη καλύψαι τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἔσται. καὶ ἀνάξω ἐπὶ σὲ τὴν γῆν μου. ἵνα γνῶσι πάντα τὰ ἔθνη ἐμέ. ἐν τῷ ἁγιασθῆναί με ἐν σοὶ ἐνώπιον αὐτῶν. τάδε λέγει κύριος κύριος τῷ γώγ. σὺ εἶ περὶ οὗ ἐλάλησα πρὸ ἡμερῶν τῶν ἔμπροσθεν. διὰ χειρὸς τῶν δούλων μου, τῶν προφητῶν τοῦ ἰσραήλ. ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἔτεσι τοῦ ἀναγαγεῖν σε ἐπ' αὐτούς, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν ἡμέρᾳ, ᾗ ἐὰν ἔλθῃ γὼγ ἐπὶ τὴν γῆν ἰσραήλ, λέγει κύριος κύριος ἀναβήσεται ὁ θυμός μου, καὶ ὁ ζῆλός μου. ἐν πυρὶ τῆς ὀργῆς μου ἐλάλησα. εἰ μὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔσται σεισμὸς μέγας ἐπὶ γῆς ἰσραήλ. καὶ σεισθήσονται ἀπὸ προσώπου κυρίου, οἱ ἰχθύες τῆς θαλάσσης. καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ τὰ θηρία τοῦ πεδίου καὶ πάντα τὰ ἑρπετά, τὰ ἕρποντα ἐπὶ τῆς γῆς. καὶ πάντες οἱ ἄνθρωποι, οἱ ἐπὶ προσώπου τῆς γῆς. καὶ ῥαγήσονται τὰ ὄρη, καὶ πεσοῦνται αἱ φάραγγες. καὶ πᾶν τεῖχος ἐπὶ τὴν γῆν πεσεῖται, καὶ καλέσω ἐπ' αὐτόν, πάντα φόβον μαχαίρας λέγει κύριος κύριος. μάχαιρα ἀνθρώπου, ἐπὶ τὸν ἀδελφὸν αὐτοῦ ἔσται. καὶ κρινῶ αὐτὸν θανάτῳ. καὶ αἵματι καὶ ὑετῷ κατακλύζοντι, καὶ λίθοις χαλάζης. καὶ πῦρ καὶ θεῖον βρέξω ἐπ' αὐτόν. καὶ ἐπὶ πάντας τοὺς μετ' αὐτοῦ, μεγαλυνθήσομαι. καὶ ἁγιασθήσομαι. καὶ ἐνδοξασθήσομαι, καὶ γνωσθήσομαι ἐνώπιον ἐθνῶν πολλῶν. καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος.

## Κεφάλαιον λθ. 39.

Αἰ σὺ υἱὲ ἀνθρώπου προφήτευσον ἐπὶ γὼγ· καὶ εἰπὸν
* τάδε λέγει κύριος κύριος· ἰδοὺ ἐγὼ ἐπὶ σὲ γὼγ· ἄρ
χοντα ῥώς· μοσόχ· καὶ θοβέλ· καὶ συνάξω σε· καὶ κα
θοδηγήσω σε· καὶ ἀναβιβάσω σε ἐπ' ἐσχάτου τοῦ βοῤῥᾶ· καὶ ἄξω
σε ἐπὶ τὰ ὄρη τοῦ ἰσραήλ· καὶ ἀπολῶ τὸ τόξον σου, ἀπὸ τῆς χειρὸς
τῆς ἀριστερᾶς σου· καὶ τὰ τοξεύματά σου, ἀπὸ τῆς χειρὸς τῆς δεξιᾶς
σου· καὶ καταβαλῶ σε ἐπὶ τὰ ὄρη ἰσραήλ· καὶ πέσῃ, σὺ καὶ πάντες
οἱ περὶ σέ· καὶ τὰ ἔθνη τὰ μετὰ σοῦ, δοξαθήσεται, εἰς πλῆθος ὀρ
νέων· καὶ παντὶ πετεινῷ, καὶ πᾶσι τοῖς θηρίοις τοῦ πεδίου· δέδω
κά σε καταβρωθῆναι, ἐπὶ προσώπου τοῦ πεδίου πέσῃ, ὅτι ἐγὼ
ἐλάλησα λέγει κύριος κύριος· καὶ ἀποστελῶ πῦρ ἐπὶ μαγώγ· καὶ κα
τοικηθήσονται αἱ νῆσοι ἐπ' εἰρήνης· καὶ γνώσονται ὅτι ἐγώ εἰμι
κύριος· καὶ τὸ ὄνομά μου τὸ ἅγιον γνωσθήσεται ἐν μέσῳ λαοῦ
μου, ἰσραήλ· καὶ οὐ βεβηλωθήσεται τὸ ὄνομά μου τὸ ἅγιον, οὐκέ
τι· καὶ γνώσονται πάντα τὰ ἔθνη ὅτι ἐγώ εἰμι κύριος, ὁ ἅγιος ἰσ
ραήλ· ἰδοὺ ἥκει, καὶ γνώσῃ ὅτι ἔσται λέγει κύριος κύριος· αὕτη
ἐστὶν ἡ ἡμέρα ἐν ᾗ ἐλάλησα· καὶ ἐξελεύσονται, οἱ κατοικοῦντες
τὰς πόλεις ἰσραήλ· καὶ ἐκκαύσουσιν ἐν τοῖς ὅπλοις, πέλταις· καὶ
κοντοῖς· καὶ τόξοις, καὶ τοξεύμασι· καὶ ῥάβδοις χειρῶν· καὶ λόγ
χαις καὶ καύσουσιν ἐν αὐτοῖς πῦρ, ἑπτὰ ἔτη· καὶ οὐ μὴ λάβωσι ξύ
λον ἐκ τοῦ πεδίου· οὐδὲ μὴ κόψωσιν ἐκ τῶν δρυμῶν· ἀλλὰ τὰ ὅ
πλα, καύσουσιν ἐν πυρὶ καὶ προνομεύσουσιν, ἐν πυρὶ τοὺς προνο
μεύσαντας αὐτούς· καὶ σκυλεύσουσι τοὺς σκυλεύσαντας αὐτούς·
λέγει κύριος κύριος· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· δώσω τῷ
γώγ, τόπον ὀνομαστόν· μνημεῖον ἐν ἰσραὴλ τὸ πολυάνδριον τῶν
ἐπελθόντων πρὸς τῇ θαλάσσῃ· καὶ περιοικοδομήσουσι τὸ περιστό
μιον τῆς φάραγγος· καὶ κατορύξουσιν ἐκεῖ, τὸν γώγ· καὶ πᾶν τὸ πλῆ
θος αὐτοῦ· καὶ κληθήσεται τό γαι πολυάνδριον τοῦ γώγ· καὶ
κατορύξουσιν αὐτοὺς, οἶκος ἰσραήλ· ἵνα καθαρισθῇ ἡ γῆ· ἑπτὰ μη
νῶν· καὶ κατορύξουσιν αὐτοὺς πᾶς ὁ λαὸς τῆς γῆς· καὶ ἔσται αὐ

τοῖς εἰς ὀνομαστὸν λέγει κύριος κύριος. καὶ ἄνδρας διαπαντὸς
ἀποστελοῦσιν ἐπὶ πορευομένους πᾶσαν τὴν γῆν, θάψαι τοὺς
καταλελειμμένους ἐπὶ προσώπου τῆς γῆς. καὶ καθαρίσαι αὐ-
τήν. μετὰ τὴν ἑπτάμηνον. καὶ ἐκζητήσουσι πᾶς ὁ διαπορευ-
όμενος τὴν γῆν. Καὶ ἰδὼν ὀστοῦν ἀνθρώπου. οἰκοδομή-
σει παρ' αὐτὸ σημεῖον. ἕως ὅτου θάψωσιν αὐτὸ οἱ θάπτον-
τες εἰς τὸ γαί. τὸ πολυάνδριον τοῦ γώγ. καὶ γὰρ τὸ ὄνομα τῆς
πόλεως πολυάνδριον. καὶ καθαρισθήσεται ἡ γῆ. καὶ σὺ υἱὲ
ἀνθρώπου. τάδε λέγει κύριος κύριος. εἶπον παντὶ ὀρνέῳ
πετεινῷ. καὶ πρὸς πάντα τὰ θηρία τοῦ πεδίου, συνάχθητε καὶ
ἔρχεσθε συνάχθητε ἀπὸ πάντων τῶν περικύκλῳ, ἐπὶ τὴν θυσί-
αν μου. ἣν τέθυκα ὑμῖν θυσίαν μεγάλην, ἐπὶ τὰ ὄρη ἰσραήλ.
καὶ φάγεσθε κρέα. καὶ πίεσθε αἷμα. κρέα γιγάντων φάγεσθε.
καὶ αἷμα ἀρχόντων τῆς γῆς, πίεσθε. κριοὺς, καὶ μόσχους. καὶ
τράγους. καὶ οἱ μόσχοι ἐστεατωμένοι πάντες. καὶ φάγεσθε στέ-
αρ εἰς πλησμονήν. καὶ πίεσθε αἷμα εἰς μέθην. ἀπὸ τῆς θυσίας
μου, ἧς ἔθυσα ὑμῖν. καὶ ἐμπλησθήσεσθε ἐπὶ τῆς τραπέζης μου,
ἵππον καὶ ἀναβάτην. γίγαντα, καὶ πάντα ἄνδρα πολεμιστήν.
λέγει κύριος κύριος. καὶ δώσω τὴν δόξαν μου ἐν ὑμῖν. καὶ ὄψον-
ται πάντα τὰ ἔθνη τὴν κρίσιν μου. ἣν ἐποίησα. καὶ τὴν χεῖ-
ρά μου ἣν ἐπήγαγον ἐπ' αὐτούς. καὶ γνώσονται οἶκος ἰσραήλ, ὅ-
τι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν. ἀπὸ τῆς ἡμέρας ταύτης, καὶ
ἐπέκεινα. καὶ γνώσονται πάντα τὰ ἔθνη, ὅτι διὰ τὰς ἁμαρτίας
αὐτῶν ᾐχμαλωτεύθησαν. οἶκος ἰσραήλ, ἀνθ' ὧν ἠθέτησαν εἰς ἐ-
μέ. καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ' αὐτῶν. καὶ παρέδω-
κα αὐτοὺς, εἰς χεῖρας τῶν ἐχθρῶν αὐτῶν, καὶ ἔπεσον πάντες,
μαχαίρᾳ κατὰ τὰς ἀκαθαρσίας αὐτῶν. καὶ κατὰ τὰ ἀνομήμα-
τα αὐτῶν, ἐποίησα αὐτούς. καὶ ἀπέστρεψα τὸ πρόσωπόν μου ἀπ'
αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος κύριος. νῦν ἀναστρέψω αἰ-
χμαλωσίαν ἰακώβ, καὶ ἐλεήσω τὸν οἶκον ἰσραήλ. καὶ ζηλώσω.

διὰ τὸ ὄνομα τὸ ἅγιόν μου, καὶ λήψονται τὴν ἀτιμίαν αὐτῶν, καὶ τὴν ἀδικίαν, ἣν ἠδίκησαν ἐν τῷ κατοικισθῆναι αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν, ἐπ' εἰρήνης. καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. ἐν τῷ ἀποστρέψαι αὐτοὺς, ἐκ τῶν ἐθνῶν καὶ συναγαγεῖν με αὐτοὺς, ἐκ τῶν χωρῶν τῶν ἐθνῶν καὶ ἁγιασθήσομαι ἐν αὐτοῖς ἐνώπιον τῶν ἐθνῶν. καὶ γνώσονται, ὅτι ἐγώ εἰμι κύριος ὁ θεὸς αὐτῶν ἐν τῷ ἐπιφανῆναί με, ἐν τοῖς ἔθνεσι. καὶ συνάξω αὐτοὺς ἐπὶ τὴν γῆν αὐτῶν. καὶ οὐ καταλείψω ἀπ' αὐτῶν οὐκέτι. καὶ οὐκ ἀποστρέψω οὐκέτι τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, ἀνθ' ὧν ἐξέχεα τὸν θυμόν μου, ἐπὶ τὸν οἶκον ἰσραήλ. λέγει κύριος κύριος.

## Κεφ. μ. 40.

Καὶ ἐγένετο ἐν τῷ πέμπτῳ, καὶ εἰκοστῷ ἔτει τῆς αἰχμαλωσίας ἡμῶν, ἐν τῷ πρώτῳ μηνὶ, δεκάτῃ τοῦ μηνὸς ἐν τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει. μετὰ τὸ ἁλῶσαι τὴν πόλιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἐγένετο ἐπ' ἐμὲ χεὶρ κυρίου. καὶ ἤγαγέ με ἐκεῖ. ἐν ὁράσει θεοῦ εἰς τὴν γῆν τοῦ ἰσραήλ, καὶ ἔθηκέ με ἐπ' ὄρους ὑψηλοῦ σφόδρα. καὶ ἐπ' αὐτοῦ ὡς οἰκοδομὴ πόλεως ἀπέναντι. καὶ εἰσήγαγέ με ἐκεῖ. καὶ ἰδοὺ ἀνήρ. καὶ ὅρασις χαλκοῦ στίλβοντος. καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἦν σπαρτίον οἰκοδόμων. καὶ κάλαμος μέτρον. καὶ αὐτὸς εἱστήκει ἐπὶ τῆς πύλης. καὶ εἶπε πρός με ὁ ἀνήρ, ἑώρακας υἱὲ ἀνθρώπου; ἴδε ἐν τοῖς ὀφθαλμοῖς σου, καὶ ἐν τοῖς ὠσί σου, ἄκουε. καὶ τάξον ἐν τῇ καρδίᾳ σου, πάντα ὅσα ἐγὼ δεικνύω σοι, διότι ἕνεκα τοῦ δεῖξαί σοι εἰσελήλυθας ὧδε. καὶ δεῖξον πάντα ὅσα σὺ ὁρᾷς τῷ οἴκῳ ἰσραήλ. καὶ ἰδοὺ περίβολος ἔξω τοῦ οἴκου κύκλῳ. καὶ ἐν τῇ χειρὶ τοῦ ἀνδρὸς κάλαμος. τὸ μέτρον πηχῶν ἕξ. ἐν πήχει, καὶ παλαιστῇ. καὶ διεμέτρησε τὸ προτείχισμα. πλάτος, ἴσον τῷ καλάμῳ. καὶ τὸ ὕψος αὐτοῦ, ἴσον τῷ καλάμῳ. καὶ εἰσῆλθεν εἰς τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολὰς, ἐν ἑπτὰ ἀναβαθμοῖς. καὶ διεμέτρησε τὸ θεὲ, ἓξ ἕξ. τὸ

αὐλὰμ τῆς πύλης, ἴσον τῷ καλάμῳ. καὶ τὸ θεὲ, ἴσον τῷ καλάμῳ, τὸ
μῆκος. καὶ ἴσον τῷ καλάμῳ τὸ πλάτος. καὶ τὸ αὐλὰμ, ἀνὰ μέ-
σον τοῦ θεηλὰθ, πηχῶν ἕξ. καὶ τὸ θεὲ τὸ δεύτερον, ἴσον τῷ καλά-
μῳ τὸ πλάτος. καὶ ἴσον τῷ καλάμῳ τὸ μῆκος. καὶ τὸ αἴλι, πηχέ-
ων πέντε. καὶ τὸ θεὲ τὸ τρίτον, ἴσον τῷ καλάμῳ, μῆκος. καὶ ἴσον
τῷ καλάμῳ πλάτος. καὶ τὸ αἴλ. τοῦ πυλῶνος, πλησίον τοῦ αὐλὰμ
τῆς πύλης, πηχέων ὀκτὼ, καὶ ἔλευ πηχέων δύο. καὶ τὸ αὐλὰμ τῆς
πύλης ἔσωθεν. καὶ τὰ θεὲ τῆς πύλης τοῦ θεὲ κατέναντι, τρεῖς ἔνθεν
καὶ τρεῖς ἔνθεν. καὶ μέτρον ἓν τοῖς τρισίν. καὶ μέτρον ἓν τοῖς αὐλὰμ
ἔνθεν καὶ ἔνθεν. καὶ διεμέτρησε τὸ πλάτος τῆς θύρας τοῦ πυλῶνος,
πηχέων δέκα. καὶ τὸ εὖρος τοῦ πυλῶνος, πηχέων δεκατριῶν. καὶ
πῆχυς ἐπισυναγόμενος. καὶ κατὰ πρόσωπον τῶν ναβὶν πήχεως
ἑνὸς, καὶ πήχεως ἑνὸς, ὅριον ἔνθεν καὶ ἔνθεν. καὶ τὸ θαῦ, πηχέων ἕξ.
ἔνθεν καὶ πηχέων ἔνθεν ἕξ. καὶ διεμέτρησε τὴν πύλην ἀπὸ τοῦ
τείχους τοῦ θεὲ, ἐπὶ ἐν τεῖχον, τοῦ θεὲ. πλάτος εἴκοσι καὶ πέντε. αὐ-
τῇ πύλῃ ἐπὶ πύλην. καὶ τὸ αἴθριον τοῦ αὐλὰμ, τῆς πύλης, ἑξήκοντα
πήχεις ἔξωθεν. καὶ εἴκοσι πέντε πήχεις θεὲ τῆς πύλης κύκλῳ.
καὶ τὸ αἴθριον τῆς αὐλῆς ἔξωθεν. εἰς τὸ αἴθριον αὐλὰμ τῆς πύλης
ἔσωθεν πηχέων πεντήκοντα. καὶ θυρίδες κρυπταὶ ἐπὶ τὰ θεεὶμ.
καὶ ἐπὶ τὰ αὐλὰμ ἔσωθεν τῆς πύλης τῆς αὐλῆς κυκλόθεν. καὶ ὡ-
σαύτως τοῖς αἰλαμμὼθ, θυρίδες κύκλῳ ἔσωθεν. καὶ ἐπὶ τὸ αὐ-
λὰμ φοινικοῦ ἔνθεν καὶ ἔνθεν. καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν
τὴν ἐσωτέραν. καὶ ἰδοὺ παστοφόρια, καὶ περίστυλα. κύκλῳ τῆς
αὐλῆς, τριάκοντα παστοφόρια. καὶ ἐν τοῖς περιστύλοις. καὶ αἱ στοαὶ,
κατὰ νώτου τῶν στύλων. κατὰ τὸ μῆκος τῶν στύλων, τὸ περί-
στυλον τὸ ὑποκάτω. καὶ διεμέτρησε τὸ πλάτος τῆς αὐλῆς,
ἀπὸ τοῦ αἰθρίου τῆς πύλης τῆς ἐξωτέρας. ἔσωθεν ἐπὶ τὸ αἴθριον
τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ εἰσήγαγέ με,
ἐπὶ βορρᾶν. καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς βορρᾶν, τῇ αὐλῇ
τῇ ἐξωτέρᾳ. καὶ διεμέτρησαν αὐτήν. τὸ μῆκος αὐτῆς καὶ

τὸ πλάτος. καὶ τὸ θεὲ τρεῖς ἔνθεν. καὶ τρεῖς ἔνθεν. καὶ τὸ ἐλευ. καὶ τὸ αἰλαμμώθ. καὶ τοὺς φοίνικας αὐτῆς. καὶ ἐγένετο κατὰ τὰ μέτρα τῆς πύλης, τῆς βλεπούσης κατὰ ἀνατολάς. πήχεων πεντήκοντα, τὸ μῆκος, αὐτῆς. καὶ πήχεων εἰκοσιπέντε τὸ εὖρος αὐτῆς. καὶ αἱ θυρίδες αὐτῆς. καὶ τὰ αἰλαμμώθ. καὶ αἱ φοίνικες αὐτῆς καθὼς ἡ πύλη ἡ βλέπουσα κατὰ ἀνατολάς. καὶ ἐν ἑπτὰ κλιμακτῆρσιν, ἀνέβαινον ἐπ᾽ αὐτήν. καὶ τὸ αἰλαμμὼθ ἔσωθεν. καὶ πύλη τῇ αὐλῇ τῇ ἐσωτέρᾳ, βλέπουσα ἐπὶ πύλην τοῦ βορρᾶ. ὃν τρόπον τῆς πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ διεμέτρησε τὴν αὐλὴν, ἀπὸ πύλης ἐπὶ πύλην, πήχεις ἑκατόν. καὶ ἤγαγέ με κατὰ νότον. καὶ ἰδοὺ πύλη βλέπουσα πρὸς νότον. καὶ διεμέτρησεν, αὐτὴν, καὶ τὰ θεὲ, καὶ τὰ ἐλευ. καὶ τὰ αἰλαμμώθ. κατὰ τὰ μέτρα ταῦτα. καὶ αἱ θυρίδες αὐτῆς. καὶ τὰ αἰλαμμώθ. κύκλοθεν καθὼς αἱ θυρίδες τοῦ αἰλὰμ, πήχεων πεντήκοντα τὸ μῆκος αὐτοῦ. καὶ πήχεων εἰκοσιπέντε τὸ εὖρος αὐτοῦ. καὶ ἑπτὰ κλιμακτῆρες αὐτῇ, καὶ αἰλαμμὼθ ἔσωθεν καὶ φοίνικες αὐτῇ, καὶ εἷς ἔνθεν, καὶ εἷς ἔνθεν ἐπὶ τὰ ἐλευ. καὶ πύλη κατέναντι τῆς πύλης τῆς αὐλῆς τῆς ἐσωτέρας. πρὸς νότον. καὶ διεμέτρησε τὴν αὐλὴν, ἀπὸ πύλης ἐπὶ πύλην. τὸ εὖρος πήχεις ἑκατὸν πρὸς νότον. καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. τῆς πύλης τῆς πρὸς νότον. καὶ διεμέτρησε τὴν πύλην, κατὰ τὰ μέτρα αὐτῆς καὶ τὰ θεέ. καὶ τὰ αἰλαμμώθ. κατὰ τὰ μέτρα ταῦτα καὶ θυρίδες αὐτῆς, καὶ τὰ αἰλαμμὼθ, κύκλῳ πήχεις πεντήκοντα μῆκος αὐτῆς. καὶ τὸ εὖρος, πήχεις εἰκοσιπέντε, καὶ αἰλαμμὼθ, κύκλῳ, μῆκος πέντε καὶ εἰκοσιπήχεων, καὶ πλάτος πέντε πήχεων. καὶ αἰλαμμὼθ, εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν. καὶ φοίνικες τὸ ἐλευ. καὶ ὀκτὼ κλιμακτῆρες. καὶ εἰσήγαγέ με εἰς τὴν πύλην τὴν βλέπουσαν, κατὰ ἀνατολάς. καὶ διεμέτρησεν αὐτὴν, κατὰ τὰ μέτρα τὰ αὐτά. καὶ τὰ θεὲ, καὶ τὰ ἐλευ. καὶ τὰ αἰλαμμὼθ κατὰ τὰ μέτρα ταῦτα αἰλαμμὼθ. καὶ αἱ θυρίδες αὐτῇ κύκλῳ. πήχεις πεντή

κοντα, μῆκος αὐτῆς, καὶ τὸ εὖρος αὐτῆς, πήχεις εἰκοσιπέντε.
καὶ αιλαμμὼθ εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ φοίνικες ἐπὶ
τοῦ ἐλεῦ, ἔνθεν καὶ ἔνθεν καὶ ὀκτὼ κλιματῆρες αὐτῇ, καὶ εἰ-
σήγαγέ με, πρὸς τὴν πύλην τὴν πρὸς βοῤῥᾶν. καὶ διεμέτρη-
σε, κατὰ τὰ μέτρα ταῦτα. καὶ τὰ θεὲ καὶ τὰ ἐλεῦ. καὶ τὰ αι-
λαμμὼθ. καὶ θυρίδες αὐτῇ κύκλῳ. καὶ τὸ αιλαμμὼθ αὐτῆς. πή-
χεις πεντήκοντα μῆκος αὐτῆς. καὶ εὖρος, πήχεις εἴκοσι πέντε,
καὶ τὰ αιλαμμὼθ, εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν. καὶ φοίνικες
αὐτῷ ἐλεῦ. ἔνθεν καὶ ἔνθεν. καὶ ὀκτὼ κλιματῆρες αὐτῇ. καὶ τὰ
παστοφόρια αὐτῆς, καὶ τὰ θυρώματα αὐτῆς. καὶ τὰ αιλαμμὼθ αὐ-
τῆς ἐπὶ τῆς πύλης τῆς δευτέρας. ἔκρυψις ἐκεῖ πλύνουσι τὴν ὁλο-
καύτωσιν. ἐν δὲ τῷ αιλὰμ τῆς πύλης, δύο τράπεζαι, ἔνθεν ὅ-
πως σφάξωσιν ἐν αὐτῇ τὴν ὁλοκαύτωσιν, καὶ τὰ περὶ ἁμαρ-
τίας. καὶ τὰ περὶ ἀγνοίας. καὶ κατὰ νώτου τοῦ ῥύακος τῶν ὁ-
λοκαυτωμάτων. τῆς βλεπούσης πρὸς βοῤῥᾶν. δύο τράπεζαι
πρὸς ἀνατολὰς κατὰ νώτου τῆς δευτέρας. καὶ τοῦ αιλὰμ τῆς πύ-
λης κατὰ ἀνατολὰς, ὀκτὼ τράπεζαι. τέσσαρες τράπεζαι ἔνθεν.
καὶ τέσσαρες τράπεζαι ἔνθεν κατὰ νώτου τῆς πύλης ἐπ' αὐτοῖς σφά-
ζουσι τὰ θύματα. καὶ τὰ ὁλοκαυτώματα κατέναντι τῶν ὀκτὼ τρα-
πεζῶν τῶν θυμάτων. καὶ τέσσαρες τράπεζαι τῶν ὁλοκαυτωμά-
των λίθιναι. λελαξευμέναι. τὸ μῆκος, πήχεως ἑνὸς καὶ ἡμίσεος
καὶ ἐπὶ πήχεως τὸ ὕψος. ἐπ' αὐτὰς ἐπιθήσουσι τὰ σκεύη ἐν οἷς
σφάζουσιν ἐκεῖ τὰ ὁλοκαυτώματα, καὶ τὰ θύματα. καὶ παι-
λαισὴν ἕξουσι. γεῖσος λελαξευμένον, ἔσωθεν κύκλῳ. καὶ ἐπὶ
τὰς τραπέζας ἐπάνωθεν στέγας. τοῦ καλύπτεσθαι ἀπὸ τοῦ ὑετοῦ.
καὶ ἀπὸ τῆς ξηρασίας καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐ-
σωτέραν. καὶ ἰδοὺ δύο ἐξέδραι ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ. μία
κατὰ νώτου τῆς πύλης τῆς βλεπούσης πρὸς βοῤῥᾶν. καὶ φερούσης
πρὸς νότον. καὶ μία κατὰ νώτου τῆς πύλης τῆς πρὸς νότον. βλε-
πούσης δὲ πρὸς βοῤῥᾶν. καὶ εἶπε πρὸς με. ἡ ἐξέδρα αὕτη ἡ βλέ-

βλέπουσα πρὸς νότον, τοῖς ἱερεῦσι τοῖς φυλάσσουσι τὴν φυλα-
κὴν τοῦ οἴκου. καὶ ἡ ἐξέδρα ἡ βλέπουσα πρὸς βορρᾶν. τοῖς ἱε-
ρεῦσι τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ οἴκου, καὶ ἡ ἐξέδρα ἡ
βλέπουσα πρὸς βορρᾶν τοῖς φυλάσσουσι τὴν φυλακὴν τοῦ θυ-
σιαστηρίου. ἐκεῖνοί εἰσιν οἱ υἱοὶ Σαδδούκ. οἱ ἐγγίζοντες ἐκ τοῦ Λευὶ
πρὸς κύριον, λειτουργεῖν αὐτῷ. καὶ διεμέτρησε τὴν πύλην μῆ-
κος πηχῶν ἑκατόν. καὶ εὖρος πηχῶν ἑκατὸν, ἐπὶ τὰ τέσσα-
ρα μέρη αὐτῆς. καὶ τὸ θυσιαστήριον. ἀπέναντι, τοῦ οἴκου, καὶ εἰ-
σήγαγέ με, εἰς τὸ αιλὰμ τοῦ οἴκου. καὶ διεμέτρησε τὸ αιλὰμ, πή-
χεων πέντε τὸ πλάτος τὸ ἔνθεν. καὶ πηχῶν πέντε τὸ ἔνθεν. καὶ
εὖρος τοῦ θυρώματος, πηχῶν δεκατεσσάρων. καὶ ἐπωμίδες
τῆς θύρας τοῦ αιλὰμ, πηχῶν τριῶν ἔνθεν, καὶ πηχῶν τριῶν
ἔνθεν. καὶ τὸ μῆκος τοῦ αιλὰμ, πηχῶν εἴκοσι. καὶ τὸ εὖρος, πη-
χῶν δέκα καὶ ἐπὶ δέκα ἀναβαθμῶν, ἀνέβαινον ἐπ' αὐτόν. καὶ
στῦλοι ἦσαν, καὶ ἐπὶ τὸ αιλὰμ εἷς ἔνθεν. καὶ εἷς ἔνθεν.

## Κεφάλαιον. μα. 41.

Αὶ εἰσήγαγέ με εἰς τὸν ναὸν. ᾧ διεμέτρησε τὸ αιλάμ
κ πηχῶν ἓξ τὸ πλάτος ἔνθεν. καὶ πηχῶν ἓξ τὸ εὖρος
τοῦ αιλὰμ ἔνθεν. καὶ τὸ εὖρος τοῦ πυλῶνος, πηχῶν
δέκα. καὶ ἐπωμίδες τοῦ πυλῶνος, πηχῶν πέντε ἔνθεν, καὶ διε-
μέτρησε τὸ μῆκος αὐτοῦ πηχῶν τεσσαράκοντα. καὶ εὖρος πη-
χῶν εἴκοσι. καὶ εἰσῆλθεν εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ
διεμέτρησε τὸ αιλὰμ τοῦ θυρώματος, πηχῶν δύο. καὶ τὸ θύρωμα
πηχῶν ἓξ καὶ τὰς ἐπωμίδας τοῦ θυρώματος, πηχῶν ἑπτὰ
ἔνθεν. καὶ πηχῶν ἑπτὰ ἔνθεν. καὶ διεμέτρησε τὸ μῆκος τῶν θυ-
ρῶν, πηχῶν τεσσαράκοντα, καὶ τὸ εὖρος, πηχῶν εἴκοσι, κα-
τὰ πρόσωπον τοῦ ναοῦ καὶ εἶπε τοῦτο τὸ ἅγιον τῶν ἁγίων, καὶ διε-
μέτρησε τὸν τοῖχον, τοῦ οἴκου, πηχῶν ἓξ. καὶ διεμέτρησε τὸ εὖρος
τῆς πλευρᾶς πηχῶν τεσσάρων, κυκλόθεν καὶ τὰ πλευρὰ ἐπὶ πλευ-
ρὸν τριάκοντα, καὶ τρία δίς. καὶ διάστημα, ἐν τῷ τοίχῳ τοῦ οἴκου ἐν

τοῖς πλευροῖς· κύκλῳ τοῦ οἴκου τοῖς ἐπιλαμβανομένοις ὁρᾶν. ὅπως
τὸ παράπαν μὴ ἅπτωνται τῶν τοίχων τοῦ οἴκου. καὶ τὸ εὖρος τῆς
ἀνωτέρας κατὰ τὸ πρόσθεμα τῶν πλευρῶν ἐκ τοῦ τοίχου. πρὸς
τὴν ἀνωτέραν, κύκλῳ τοῦ οἴκου. ὅπως διαπλατύνηται ἄνωθεν.
καὶ ἐκ τῶν κάτωθεν ἀναβαίνωσιν ἐπὶ τὰ ὑπερῷα. καὶ ἐκ τῶν
μέσων ἐπὶ τὰ τριώροφα. καὶ τὸ θραὲλ τοῦ οἴκου ὕψος κύκλῳ δι-
άστημα τῶν πλευρῶν, ἴσον τῷ καλάμῳ. πήχεων ἕξ. διάστημα
καὶ εὖρος τοῦ τοίχου τῆς πλευρᾶς ἔξωθεν, πήχεων πέντε καὶ τὰ
ὑπόλοιπα ἀνὰ μέσον τῶν πλευρῶν τοῦ οἴκου. καὶ ἀνὰ μέσον τῶν
ἐξεδρῶν εὖρος πήχεων εἴκοσι, τὸ περίφερες τῷ οἴκῳ, κύκλῳ. καὶ
αἱ θύραι τῶν ἐξεδρῶν ἐπὶ τὸ ἀπόλοιπον τῆς θύρας. τῆς μιᾶς τῆς
πρὸς βορρᾶν. καὶ ἡ θύρα ἡ μία, πρὸς νότον. καὶ τὸ εὖρος τοῦ φω-
τὸς τοῦ ἀπολοίπου. πήχεων πέντε πλάτος κυκλόθεν. καὶ τὸ δι-
ορίζον, κατὰ πρόσωπον τοῦ ἀπολοίπου, ὡς πρὸς θάλασσαν. πή-
χεων ἑβδομήκοντα. πλάτος τοῦ τοίχου τοῦ διορίζοντος, πήχε-
ων πέντε. εὖρος κυκλόθεν καὶ μῆκος πήχεων, ἐνενήκοντα. καὶ
διεμέτρησε κατέναντι τοῦ οἴκου, μῆκος πήχεων ἑκατόν. καὶ τὰ
ἀπόλοιπα καὶ τὰ διορίζοντα. καὶ οἱ τοῖχοι αὐτῶν μῆκος πή-
χεων ἑκατόν. καὶ τὸ εὖρος κατὰ πρόσωπον, τοῦ οἴκου καὶ τὰ ἀπό-
λοιπα κατέναντι πήχεων ἑκατόν. καὶ διεμέτρισε μῆκος τοῦ δι-
ορίζοντος καὶ πρόσωπον τοῦ ἀπολοίπου τῶν κατόπισθεν τοῦ
οἴκου ἐκείνου. καὶ τὰ ἀπόλοιπα ἔνθεν καὶ ἔνθεν. πήχεων ἑκατὸν
τὸ μῆκος. καὶ ὁ ναὸς καὶ αἱ γωνίαι, καὶ τὸ αἰλὰμ τὸ ἐξώτερον.
πεφατνωμένα. καὶ αἱ θυρίδες, δικτυωταί. ὑποφαύσεις κύκλῳ
τοῖς τρισίν. ὥστε διακύπτειν. καὶ ὁ οἶκος καὶ τὰ πλησίον ἐξυλω-
μένα πάντα κύκλῳ. καὶ τὸ ἔδαφος ἐκ τοῦ ἐδάφους ἕως τῶν θυ-
ρίδων. καὶ θυρίδες ἀναπτυσσόμεναι τρισσῶς εἰς τὸ διακύπτειν.
καὶ ἕως τῆς ἐξωτέρας. καὶ ἐφ' ὅλον τὸν οἶκον. κύκλῳ ἐν τῷ ἔσω-
θεν καὶ ἐν τῷ ἔξωθεν. γεγλυμμένα χερουβίμ. καὶ φοίνικες. φοῖ-
νιξ ἀνὰ μέσον χερούβ, καὶ χερούβ. δύο πρόσωπα τῷ χερούβ.

πρόσωπον ἀνθρώπου πρὸς τὸν φοίνικα· καὶ πρόσωπον λέοντος
πρὸς τὸν φοίνικα, ἔνθεν καὶ ἔνθεν· διαγεγλυμμένος ὅλος ὁ οἶ-
κος, κυκλόθεν. καὶ ἐκ τοῦ ἐδάφους ἕως τοῦ φατνώματος, τὰ χε-
ρουβὶμ καὶ οἱ φοίνικες διαγεγλυμμένοι. καὶ τὸ ἅγιον καὶ ὁ να-
ὸς ἀναπτυσσόμενος τετράγωνα. κατὰ πρόσωπον τῶν ἁγίων,
ὡς ὄψις θυσιαστηρίου ξυλίνου. πηχῶν τριῶν τὸ ὕψος αὐτοῦ. καὶ τὸ μῆ-
κος, πηχῶν δύο. καὶ τὸ εὖρος, πηχῶν δύο. καὶ κέρατα εἶχε.
καὶ ἡ βάσις αὐτοῦ. καὶ οἱ τοῖχοι αὐτοῦ ξύλινοι. καὶ εἶπε πρός με
αὕτη ἡ τράπεζα ἡ πρόσωπου κυρίου. καὶ δύο θυρώματα τῷ ναῷ
καὶ τῷ ἁγίῳ, δύο θυρώματα, τοῖς δυσὶ θυρώμασι τοῖς στροφω-
τοῖς. δύο θυρώματα τῷ ἑνὶ, καὶ δύο θυρώματα τῇ θύρᾳ τῇ
δευτέρᾳ. γλυφὴ ἐπ᾽ αὐτῶν. καὶ ἐπὶ τὰ θυρώματα τοῦ ναοῦ χε-
ρουβὶμ. καὶ φοίνικες κατὰ τὴν γλυφὴν τῶν ἁγίων. καὶ σπον-
δαῖα ξύλα κατὰ πρόσωπον τοῦ αἰλὰμ, ἔξωθεν. καὶ θυρίδες κρυ-
πταί. καὶ διεμέτρησεν ἔνθεν καὶ ἔνθεν. εἰς τὰ ὀροφώματα τοῦ
αἰλὰμ, καὶ τὰ πλευρὰ τοῦ οἴκου ἐζυγωμένα.

Κεφάλαιον. μβ. 42.

Καὶ εἰσήγαγέ με εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν, κα-
τὰ ἀνατολὰς, κατέναντι τῆς πύλης τῆς πρὸς βοῤῥᾶν.
καὶ εἰσήγαγέ με. καὶ ἰδοὺ ἐξέδραι πέντε, ἐχόμεναι
τοῦ ἀπολοίπου. καὶ ἐχόμεναι τοῦ διορίζοντος πρὸς βοῤῥᾶν, κα-
τὰ πρόσωπον, ἐπὶ πήχεις ἑκατὸν, μῆκος πρὸς βοῤῥᾶν καὶ πλά-
τος, πεντήκοντα πηχέων. διαγεγραμμέναι, ὃν τρόπον αἱ πύλαι
τῆς αὐλῆς τῆς ἐσωτέρας, καὶ ὃν τρόπον, τὰ περίστυλα τῆς
αὐλῆς ἐξωτέρας. ἐστιχισμένοι. ἀντὶ πρόσωπον στοαὶ τριπλαῖ. καὶ
κατέναντι τῶν ἐξεδρῶν, περίπατος. πήχεων δέκα τὸ πλάτος. ἐπὶ
πήχεις ἑκατὸν, μῆκος. ὁδὸς πήχεων ἑνός. καὶ τὰ θυρώματα αὐ-
τῶν, πρὸς βοῤῥᾶν. καὶ οἱ περίπατοι οἱ ὑπερῷοι, ὡσαύτως. ὅτι ἐξ-
εῖχε τὸ περίστυλον ἐξ αὐτοῦ, ἐκ τοῦ ὑποκάτωθεν περιστύλου. καὶ τὸ
διάστημα, οὕτως περίστυλον καὶ διάστημα καὶ οὕτως στοαί. διότι

τριπλαῖ ἦσαν. καὶ στύλους οὐκ εἶχον. καθὼς οἱ στῦλοι τῶν ἐξεδρῶν.
διὰ τοῦτο ἐξεῖχοντα τῶν ὑποκάτωθεν. καὶ τῶν μέσων ἀπὸ τῆς
γῆς, καὶ φῶς ἔξωθεν, ὃν τρόπον αἱ ἐξέδραι τῆς αὐλῆς τῆς ἐξωτέ
ρας αἱ βλέπουσαι ἀπέναντι τῶν ἐξεδρῶν τῶν πρὸς βοῤῥᾶν. μῆ
κος πήχεων πεντήκοντα. ὅτι τὸ μῆκος τῶν ἐξεδρῶν, τῶν βλε
πουσῶν εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν ἦν πήχεων πεντήκοντα.
καὶ αὗται εἰσὶν αἱ ἀντιπρόσωποι ταύταις. τὸ πᾶν πήχεων ἑκα
τὸν, καὶ αἱ θύραι τῶν ἐξεδρῶν τούτων, τῆς εἰσόδου τῆς πρὸς ἀνα
τολὰς τοῦ εἰσπορεύεσθαι δι᾽ αὐτῶν. ἐκ τῆς αὐλῆς τῆς ἐξωτέρας
κατὰ τὸ φῶς τοῦ ἐν ἀρχῇ περιπάτου. καὶ πρὸς νότον κατὰ πρόσω
πον τοῦ νότου. καὶ κατὰ πρόσωπον τοῦ ἀπολοίπου. καὶ κατὰ πρό
σωπον τοῦ διορίζοντος. καὶ ἐξέδραι καὶ ὁ περίπατος. καὶ κατὰ
πρόσωπον αὐτῶν, κατὰ τὰ μέτρα τῶν ἐξεδρῶν τῶν πρὸς βοῤ
ῥᾶν. κατὰ τὸ μῆκος αὐτῶν, καὶ κατὰ τὸ εὖρος αὐτῶν. καὶ κατὰ
πάσας ἐξόδους αὐτῶν. καὶ κατὰ πάσας τὰς ἐπιστροφὰς αὐτῶν.
καὶ κατὰ τὰ φῶτα αὐτῶν. καὶ κατὰ θυρώματα αὐτῶν, τῶν
ἐξεδρῶν τῶν πρὸς νότον. καὶ κατὰ θυρώματα ἀπ᾽ ἀρχῆς τοῦ πε
ριπάτου. ὡς ἐπὶ φῶς, διαστήματος καλάμου. καὶ κατὰ ἀνατολὰς
τοῦ εἰσπορεύεσθαι δι᾽ αὐτοῦ. καὶ εἶπε πρός με. αἱ ἐξέδραι αἱ πρὸς
βοῤῥᾶν. καὶ αἱ ἐξέδραι αἱ πρὸς νότον, αἱ οὖσαι κατὰ πρόσωπον
τῶν διαστημάτων, αὗταί εἰσιν αἱ ἐξέδραι τοῦ ἁγίου, ἐν αἷς φάγον
ται ἐκεῖ οἱ ἱερεῖς. οἱ υἱοὶ Σαδδούκ. οἱ ἐγγίζοντες πρὸς κύριον, τὰ
ἅγια τῶν ἁγίων, καὶ ἐκεῖ θήσουσι τὰ ἅγια τῶν ἁγίων. καὶ τὴν
θυσίαν καὶ τὰ περὶ ἁμαρτίας, καὶ τὰ ὑπὲρ ἀγνοίας. διότι ὁ τό
πος ἅγιος, οὐκ εἰσελεύσονται ἐκεῖ πάρεξ τῶν ἱερέων. οὐκ ἐξελεύ
σονται ἐκ τοῦ ἁγίου, εἰς τὴν αὐλὴν τὴν ἐξωτέραν. ὅπως διὰ
παντὸς, ἅγιοι ὦσιν οἱ προσάγοντες. καὶ μὴ ἅπτωνται τοῦ στολι
σμοῦ αὐτῶν. ἐν οἷς λειτουργοῦσιν ἐν αὐτοῖς. διότι ἅγιά ἐστι. καὶ ἐν
δύσονται ἱμάτια ἕτερα, ὅταν ἅπτωνται τοῦ λαοῦ, καὶ συνετελέ
σθη ἡ διαμέτρησις τοῦ οἴκου, ἔσωθεν. καὶ ἐξήγαγέ με καθ᾽ ὁδὸν

τῆς πύλης, τῆς βλεπούσης πρὸς ἀνατολάς. καὶ διεμέτρησε τὸ ὑπό-
δειγμα τοῦ οἴκου κυκλόθεν, ἐν διατάξει. καὶ ἔστησε κατὰ νώτου τῆς
πύλης τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ διεμέτρησε πεντα-
κοσίους ἐν τῷ καλάμῳ τοῦ μέτρου, καὶ ἐπέστρεψε πρὸς βορρᾶν
καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον τοῦ βορρᾶ, πήχεις πεντακο-
σίους ἐν τῷ καλάμῳ τοῦ μέτρου. καὶ ἐπέστρεψε πρὸς θάλασσαν.
καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον τῆς θαλάσσης, πήχεις πεν-
τακοσίους, ἐν τῷ καλάμῳ τοῦ μέτρου. καὶ ἐπέστρεψε πρὸς νότον.
καὶ διεμέτρησε τὸ κατὰ πρόσωπον τοῦ νότου, πεντακοσίους ἐν τῷ
καλάμῳ τοῦ μέτρου. τέσσαρα μέρη τοῦ αὐτοῦ καλάμου. καὶ διέτα-
ξεν αὐτόν. καὶ περίβολον αὐτοῦ κύκλῳ, πεντακοσίων, κατὰ ἀνα-
τολάς. καὶ πεντακοσίων πηχῶν εὖρος τοῦ διαστέλλειν ἀνὰ μέσον
τῶν ἁγίων, καὶ ἀνὰ μέσον τοῦ προτειχίσματος, τοῦ ἐν διατάξει
τοῦ οἴκου.

## Κεφ. μγ. 43.

Αἰ ἤγαγέ με, ἐπὶ τὴν πύλην τὴν βλέπουσαν κατὰ
κ ἀνατολάς, καὶ ἐξήγαγέ με. καὶ ἰδοὺ δόξα θεοῦ ἰσρα-
ὴλ, ἤρχετο κατὰ τὴν ὁδὸν τῆς πύλης. τῆς βλεπού-
σης πρὸς ἀνατολάς. καὶ φωνὴ τῆς παρεμβολῆς, ὡς φωνὴ διπλα-
σιαζόντων πολλῶν. καὶ ἡ γῆ ἐξέλαμπεν ὡς φέγγος, ἀπὸ τῆς
δόξης κυκλόθεν. καὶ ἡ ὅρασις ἣν εἶδον ὅτε εἰσεπορευόμην χρῖ-
σαι τὴν πόλιν. καὶ ἡ ὅρασις τοῦ ἅρματος οὗ εἶδον κατὰ τὴν ὅρα-
σιν, ἣν εἶδον ἐπὶ τοῦ ποταμοῦ χοβάρ. καὶ πίπτω ἐπὶ πρόσωπόν
μου. καὶ δόξα κυρίου εἰσῆλθεν εἰς τὸν οἶκον. κατὰ τὴν ὁδὸν τῆς
πύλης, τῆς βλεπούσης κατὰ ἀνατολάς. καὶ ἀνέλαβέ με πνεῦμα,
καὶ εἰσήγαγέ με, εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ ἰδοὺ πλή-
ρης δόξης ὁ οἶκος κυρίου. καὶ ἔστην. καὶ ἰδοὺ φωνὴ ἐκ τοῦ οἴκου λα-
λοῦντος πρός με. καὶ ὁ ἀνὴρ εἱστήκει ἐχόμενός μου, καὶ εἶπε πρός
με. υἱὲ ἀνθρώπου. ἑώρακας τὸν τόπον τοῦ θρόνου μου, καὶ τὸν τόπον τῶν
ἰχνῶν τῶν ποδῶν μου ἐν οἷς κατασκηνώσει τὸ ὄνομά μου ἐν μέσῳ
τοῦ οἴκου ἰσραὴλ εἰς τὸν αἰῶνα, καὶ οὐ βεβηλώσουσιν οὐκέτι οἶκος ἰσλ,

τὸ ὄνομα τὸ ἅγιόν μου. αὐτοὶ, καὶ οἱ ἡγούμενοι αὐτῶν, ἐν τῇ πορ-
νείᾳ αὐτῶν, καὶ ἐν τοῖς φόνοις τῶν ἡγουμένων, ἐν μέσῳ αὐτῶν.
ἐν τῷ τιθέναι αὐτοὺς, τὸ πρόθυρόν μου, ἐν τοῖς προθύροις αὐτῶν
καὶ τὰς φλιάς μου. ἐχομένας τῶν φλιῶν αὐτῶν. καὶ ἔδωκαν
τὸν τοῖχόν μου, ὡς συνεχόμενον ἐμοῦ καὶ αὐτῶν. καὶ ἐβεβήλω-
σαν τὸ ὄνομα τὸ ἅγιόν μου, ἐν ταῖς ἀνομίαις αὐτῶν, αἷς ἐποίουν.
καὶ ἐξέτριψα αὐτοὺς, ἐν θυμῷ μου, καὶ ἐν φόνῳ. καὶ νῦν ἀπωσά-
σθωσαν τὴν πορνείαν αὐτῶν. καὶ τοὺς φόνους τῶν ἡγουμένων αὐ-
τῶν, ἀπ' ἐμοῦ. καὶ κατασκηνώσω ἐν μέσῳ αὐτῶν, εἰς τὸν αἰῶνα.
καὶ σὺ υἱὲ ἀνθρώπου. δεῖξον οἴκῳ ἰσραὴλ, τὸν οἶκον, καὶ κοπά-
σουσιν ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. καὶ τὴν ὅρασιν αὐτοῦ, καὶ τὴν
διάταξιν αὐτοῦ. καὶ αὐτοὶ, λήψονται τὴν κόλασιν αὐτῶν, περὶ
πάντων ὧν ἐποίησαν. καὶ διαγράψεις τὸν οἶκον. καὶ τὴν ἑτοιμα-
σίαν αὐτοῦ. καὶ τὰς ἐξόδους αὐτοῦ, καὶ τὴν ὑπόστασιν αὐτοῦ. καὶ
πάντα τὰ προστάγματα αὐτοῦ. καὶ πάντα τὰ νόμιμα αὐτοῦ.
γνωριεῖς αὐτοῖς. καὶ διαγράψεις ἐνώπιον αὐτῶν. καὶ φυλάξον-
ται πάντα τὰ δικαιώματά μου. καὶ ποιήσουσιν αὐτά. καὶ τὴν
διαγραφὴν τοῦ οἴκου ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. πάντα τὰ ὅρια
αὐτοῦ κυκλόθεν, ἅγια ἁγίων ἐστίν. οὗτος ὁ νόμος τοῦ οἴκου.
καὶ ταῦτα τὰ μέτρα τοῦ θυσιαστηρίου, ἐν πήχει τοῦ πήχεως. καὶ
παλαιστῆς κόλπωμα βάθος. ἐπὶ τὸν πῆχυν. καὶ πῆχυς τὸ εὖρος
καὶ γεῖσος ἐπὶ τοῦ χείλους αὐτοῦ κυκλόθεν, σπιθαμῆς. καὶ τοῦ-
το, ὕψος τοῦ θυσιαστηρίου. καὶ βάθος τῆς ἀρχῆς τοῦ κοιλώματος
αὐτοῦ, πρὸς τὸ ἱλαστήριον τὸ μέγα. ὑπὸ κάτωθεν πήχεων δύο. καὶ
τὸ εὖρος πήχεως. καὶ τὸ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ, ἐπὶ τὸ ἱλα-
στήριον τὸ μέγα. ὑπὸ κάτωθεν πήχεων δύο. καὶ τὸ εὖρος πήχε-
ως. καὶ τὸ ἀπὸ τοῦ ἱλαστηρίου τοῦ μικροῦ, ἐπὶ τὸ ἱλαστήριον τὸ μέγα.
πήχεις τέσσαρες. καὶ τὸ εὖρος πῆχυς. καὶ τὸ ἀριήλ, πήχεων τεσ-
σάρων. καὶ ἀπὸ τοῦ ἀριήλ, καὶ ὑπεράνω τῶν κεράτων, πῆχυς. καὶ
τὸ ἀριήλ, πήχεων δώδεκα μήκους. ἐπὶ πήχεις δώδεκα πλάτος.

τετράγωνον ἐπὶ τὰ τέσσαρα μέρη αὐτοῦ. καὶ τὸ ἱλαστήριον, πηχῶν
δεκατεσσάρων τὸ μῆκος. ἐπὶ πήχεις δεκατέσσαρας. τὸ εὖρος τε-
τράγωνον, ἐπὶ τέσσαρα μέρη αὐτοῦ. καὶ τὸ γεῖσος αὐτοῦ, κυκλό-
θεν κυκλούμενον αὐτῷ ἥμισυ πήχεως. καὶ κύκλῳ αὐτοῦ, πῆχυς
κυκλόθεν. καὶ οἱ κλιμακτῆρες αὐτοῦ, βλέποντες κατὰ ἀνατο-
λάς. καὶ εἶπε πρός με. υἱὲ ἀνθρώπου. τάδε λέγει ἀδωναῒ κύρι-
ος ὁ θεὸς τοῦ ἰσραήλ. ταῦτα τὰ προστάγματα τοῦ θυσιαστηρίου,
ἐν ἡμέρᾳ ποιήσεως αὐτοῦ. τοῦ ἀναφέρειν ἐπ' αὐτοῦ ὁλοκαυτώ-
ματα. καὶ προσχέειν πρὸς αὐτὸ αἷμα. καὶ δώσεις τοῖς ἱερεῦσι
τοῖς λευίταις τοῖς ἐκ τοῦ σπέρματος σαδδούκ. τοῖς ἐγγίζουσι
πρός με, λέγει κύριος κύριος. τοῦ λειτουργεῖν μοι μόσχον ἐκ βο-
ῶν περὶ ἁμαρτίας. καὶ λήψονται ἐκ τοῦ αἵματος αὐτοῦ. καὶ ἐπι-
θήσουσιν ἐπὶ τὰ τέσσαρα κέρατα τοῦ θυσιαστηρίου, καὶ ἐπὶ τὰς
τέσσαρας γωνίας τοῦ ἱλαστηρίου. καὶ ἐπὶ τὴν βάσιν κύκλῳ πε-
ριρρανοῦσιν αὐτὸ, καὶ ἐξιλάσονται αὐτό. καὶ λήψονται τὸν μόσχον,
τὸν ὑπὲρ ἁμαρτίας. καὶ κατακαυθήσεται, ἐν τῷ ἀποκεχωρισμέ-
νῳ τοῦ οἴκου, ἔξωθεν τῶν ἁγίων. καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ λή-
ψονται ἐρίφους δύο αἰγῶν ἀμώμους ὑπὲρ ἁμαρτίας. καὶ ἐξιλά-
σονται τὸ θυσιαστήριον, καθότι ἐξιλάσαντο ἐν τῷ μόσχῳ. καὶ με-
τὰ τὸ συντελέσαι τὸν ἐξιλασμὸν, προσοίσουσι μόσχον, ἐκ βοῶν ἄ-
μωμον. καὶ κριὸν ἐκ προβάτων ἄμωμον. καὶ προσοίσετε ἐναν-
τίον κυρίου. καὶ ἐπιρρίψουσιν ἐπ' αὐτὸν, οἱ ἱερεῖς, ἅλας. καὶ ἀνοί-
σουσιν αὐτὰ ὁλοκαυτώματα κυρίῳ. ἑπτὰ ἡμέρας ποιήσεις ὑπὲρ
ἁμαρτίας καθ' ἡμέραν. καὶ μόσχον ἐκ βοῶν. καὶ κριὸν ἐκ τῶν
προβάτων. ἄμωμα ποιήσεις τὰς ἑπτὰ ἡμέρας. καὶ ἐξιλάσονται
τὸ θυσιαστήριον καὶ καθαριοῦσιν αὐτό. καὶ πλήσουσι τὰς χεῖρας
αὐτῶν, καὶ συντελέσουσι τὰς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα,
ποιήσουσιν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον, τὰ ὁλοκαυτώματα ὑμῶν
καὶ τὰ τοῦ σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει κύρι-
ος κύριος.

Κεφάλαιον. μδ. 44.

Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν ἁ-
κ γίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς·
καὶ αὕτη ἦν κεκλεισμένη. καὶ εἶπε κύριος πρός με·
ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται. καὶ οὐδεὶς οὐ
μὴ διέλθῃ δι' αὐτῆς. ὅτι κύριος ὁ θεὸς τοῦ ἰσραὴλ εἰσελεύσεται
δι' αὐτῆς. καὶ ἔσται κεκλεισμένη. διότι ὁ ἡγούμενος οὗτος καθή-
σεται ἐν αὐτῇ. τοῦ φαγεῖν ἄρτον ἐνώπιον κυρίου. κατὰ τὴν ὁδὸν
αἰλὰμ τῆς πύλης εἰσελεύσεται. καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξε-
λεύσεται. καὶ εἰσήγαγέ με, κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς
βορρᾶν, κατέναντι τοῦ οἴκου καὶ εἶδον. καὶ ἰδοὺ πλήρης δόξης ὁ
οἶκος κυρίου. καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ εἶπε κύριος πρὸς
με. υἱὲ ἀνθρώπου τάξον εἰς τὴν καρδίαν σου. καὶ ἴδε τοῖς ὀφθαλ-
μοῖς. καὶ τοῖς ὠσί σου, ἄκουε πάντα ὅσα ἐγὼ λαλῶ μετὰ σοῦ. κα-
τὰ πάντα τὰ προστάγματα τοῦ οἴκου κυρίου. καὶ πάντα τὰ νό-
μιμα αὐτοῦ. καὶ τάξεις τὴν καρδίαν σου, εἰς τὴν εἴσοδον τοῦ οἴ-
κου, κατὰ πάσας τὰς ἐξόδους αὐτοῦ. καὶ ἐν πᾶσι τοῖς ἁγίοις. καὶ
ἐρεῖς πρὸς τὸν οἶκον τὸν παραπικραίνοντα, πρὸς τὸν οἶκον ἰσρα-
ήλ. τάδε λέγει κύριος κύριος. ἱκανούσθω ὑμῖν, ἀπὸ πασῶν τῶν
ἀνομιῶν ὑμῶν, οἶκος ἰσραήλ. τοῦ εἰσαγαγεῖν ὑμᾶς, υἱοὺς ἀλλο-
γενεῖς. ἀπεριτμήτους καρδίᾳ. καὶ ἀπεριτμήτους σαρκί, τοῦ γίνεσθαι
ἐν τοῖς ἁγίοις μου. τοῦ βεβηλοῦν αὐτά, ἐν τῷ προσφέρειν ὑμᾶς
ἄρτος. στέαρ καὶ αἷμα. καὶ παρεβαίνετε τὴν διαθήκην μου, ἐν
πάσαις ταῖς ἀνομίαις ὑμῶν. καὶ οὐκ ἐπεφυλάξατε, τοῦ φυλάσ-
σειν φυλακάς, ἐν τοῖς ἁγίοις μου. διὰ τοῦτο τάδε λέγει ἀδωναῒ
κύριος ὁ θεός. πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ. καὶ ἀπε-
ρίτμητος σαρκί, οὐκ εἰσελεύσεται εἰς τὰ ἅγιά μου, ἐν πᾶσιν υἱοῖς
ἀλλογενῶν. τῶν ὄντων ἐν μέσῳ οἴκου ἰσραήλ. ἀλλ' ἢ οἱ λευῖ-
ται. οἵτινες ἀφήλαντο ἀπ' ἐμοῦ ἐν τῷ πλανᾶσθαι τὸν ἰσραήλ.
οἳ ἐπλανήθησαν ἀπ' ἐμοῦ, κατόπισθεν τῶν ἐνθυμημάτων αὐτῶν.

καὶ λήψονται ἀδικίαν αὐτῶν. καὶ ἔσονται ἐν τοῖς ἁγίοις μου
λειτουργοῦντες, θυρωροὶ ἐπὶ τῶν πυλῶν τοῦ οἴκου. καὶ λειτουρ-
γοῦντες ἐν τῷ οἴκῳ. οὗτοι σφάξουσι τὰς θυσίας. καὶ τὰ ὁλο-
καυτώματα τῷ λαῷ, καὶ οὗτοι στήσονται ἐνώπιον τοῦ λαοῦ τοῦ
λειτουργεῖν αὐτοῖς· ἀνθ' ὧν ἐλειτούργουν αὐτοῖς, πρὸ προσώπου
τῶν εἰδώλων αὐτῶν. καὶ ἐγένετο τῷ οἴκῳ ἰσραὴλ, εἰς κόλα-
σιν ἀδικίας. ἕνεκα τούτου, ἦρα τὴν χεῖρά μου ἐπ' αὐτοὺς, λέ-
γει κύριος ὁ θεὸς. καὶ λήψονται τὴν ἀνομίαν αὐτῶν. καὶ οὐκ
ἐγγιοῦσι πρός με τοῦ ἱερατεύειν μοι. οὐδὲ τοῦ προσάγειν πρὸς τὰ
ἅγια υἱῶν τοῦ ἰσραήλ. οὐδὲ πρὸς τὰ ἅγια τῶν ἁγίων μου.
καὶ λήψονται ἀτιμίαν ἐπ' αὐτῶν, ἐν τῇ πλανήσει ᾗ ἐπλανή-
θησαν. καὶ τάξουσιν αὐτοὺς φυλάσσειν φυλακὰς τοῦ οἴκου,
εἰς πάντα τὰ ἔργα αὐτοῦ. καὶ εἰς πάντα ὅσα ἂν ποιήσωσιν οἱ
ἱερεῖς λευῖται, οἱ υἱοὶ σαδδούκ. οἵτινες ἐφυλάξαντο τὰς φυλα-
κὰς τῶν ἁγίων μου, ἐν τῷ πλανᾶσθαι τὸν οἶκον ἰσραὴλ ἀπ'
ἐμοῦ. οὗτοι προσάξουσι πρός με τοῦ λειτουργεῖν μοι. καὶ στή-
σονται πρὸ προσώπου μου τοῦ προσφέρειν μοι θυσίαν. στέαρ
καὶ αἷμα λέγει κύριος ὁ θεός. οὗτοι εἰσελεύσονται εἰς τὰ ἅ-
γιά μου. καὶ οὗτοι προσελεύσονται πρὸς τὴν τράπεζάν μου,
τοῦ λειτουργεῖν μοι. καὶ φυλάξουσι τὰς φυλακάς μου. καὶ ἔσται
ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς τὰς πύλας τῆς αὐλῆς τῆς ἐσω-
τέρας, στολὰς λινᾶς ἐνδύσονται. καὶ οὐκ ἐνδύσονται ἔρια, ἐν τῷ
λειτουργεῖν αὐτούς. ἀπὸ τῆς πύλης τῆς ἐσωτέρας αὐλῆς. καὶ
κιδάρεις λινᾶς ἕξουσιν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ περισκε-
λῆ λινᾶ ἕξουσιν ἐπὶ ταῖς ὀσφύσιν αὐτῶν. καὶ οὐ περι-
ζώσονται βίᾳ. καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐ-
λὴν τὴν ἐξωτέραν πρὸς τὸν λαὸν, ἐκδύσονται τὰς στολὰς αὐ-
τῶν. ἐν αἷς αὐτοὶ λειτουργοῦσιν ἐν αὐταῖς. καὶ θήσουσιν αὐ-
τὰς. ἐν ταῖς ἐξέδραις τῶν ἁγίων. καὶ ἐνδύσονται στολὰς ἑτέ-
ρας. καὶ οὐ μὴ ἁγιάσωσι τὸν λαὸν. ἐν ταῖς στολαῖς αὐτῶν.

καὶ τὰς κεφαλὰς αὐτῶν οὐ ξυρήσονται. καὶ τὰς κόμας αὐτῶν οὐ ψιλώσουσι. καλύπτοντες καλύψουσι τὰς κεφαλὰς αὐτῶν. καὶ οἶνον οὐ μὴ πίωσι πᾶς ἱερεὺς, ἐν τῷ εἰσπορεύεσθαι αὐτοὺς εἰς τὴν αὐλὴν τὴν ἐσωτέραν. καὶ χήραν καὶ ἐκβεβλημένην, οὐ μὴ λήψονται ἑαυτοῖς εἰς γυναῖκα. ἀλλ᾽ ἢ παρθένον, ἐκ τοῦ σπέρματος οἴκου ἰσραήλ. καὶ χήρα ἐὰν γένηται ἐξ ἱερέως λήψονται. καὶ τὸν λαόν μου διδάξουσιν ἀνὰ μέσον ἁγίου. καὶ βεβήλου. καὶ ἀνὰ μέσον ἀκαθάρτου, καὶ καθαροῦ, γνωριοῦσιν αὐτοῖς. καὶ περὶ κρίσιν αἵματος, οὗτοι ἐπιστήσονται τοῦ διακρίνειν. καὶ τὰ δικαιώματά μου δικαιώσουσι. καὶ τὰ κρίματά μου κρινοῦσι. καὶ τὰ νόμιμά μου, καὶ τὰ προστάγματά μου, ἐν πάσαις ταῖς ἑορταῖς μου φυλάξονται. καὶ τὰ σάββατά μου ἁγιάσουσι. καὶ ἐπὶ ψυχὴν ἀνθρώπου, οὐκ εἰσελεύσονται τοῦ μιανθῆναι. ἀλλ᾽ ἢ ἐπὶ πατρὶ καὶ ἐπὶ μητρί. καὶ ἐπὶ υἱῷ, καὶ ἐπὶ θυγατρί. καὶ ἐπὶ ἀδελφῷ, καὶ ἐπὶ ἀδελφῇ αὐτοῦ. ἣ οὐ γέγονεν ἀνδρί, μιανθήσεται. καὶ μετὰ τὸ καθαρισθῆναι αὐτὸν ἑπτὰ ἡμέρας, ἐξαριθμήσει αὐτῷ. καὶ ᾗ ἂν ἡμέρᾳ εἰσπορεύωνται εἰς τὴν πύλην τὴν ἐσωτέραν τοῦ λειτουργεῖν ἐν τῷ ἁγίῳ, προσοίσουσιν ἱλασμὸν, λέγει κύριος ὁ θεός, καὶ ἔσονται αὐτοῖς εἰς κληρονομίαν. ἐγὼ κληρονομία αὐτοῖς, καὶ κατάσχεσις αὐτοῖς οὐ δοθήσεται ἐν τοῖς υἱοῖς ἰσραήλ. ὅτι ἐγὼ κατάσχεσις αὐτῶν. καὶ τὰς θυσίας. καὶ τὰ ὑπὲρ ἁμαρτίας. καὶ τὰ ὑπὲρ ἀγνοίας, οὗτοι φάγονται. καὶ πᾶν ἀφόρισμα ἐν τῷ ἰσραὴλ αὐτοῖς ἔσται. ἀπαρχαὶ πάντων. καὶ πρωτότοκα πάντων. καὶ τὰ ἀφαιρέματα πάντα. ἐκ πάντων τῶν ἀπαρχῶν ὑμῶν, τοῖς ἱερεῦσιν ἔσται. καὶ τὰ πρωτογεννήματα ὑμῶν, δώσετε τῷ ἱερεῖ. τοῦ θεῖναι εὐλογίαν ὑμῶν, ἐπὶ τοὺς οἴκους ὑμῶν. καὶ πᾶν θνησιμαῖον καὶ θηριάλωτον, ἐκ τῶν πετεινῶν, καὶ ἐκ τῶν κτηνῶν. οὐ φάγονται οἱ ἱερεῖς.

## Κεφάλαιον. με. 45.

κ Καὶ ἐν τῷ καταμετρεῖσθαι ὑμᾶς, τὴν γῆν ἐν κλη-
ρονομίᾳ, ἀφοριεῖτε ἀπαρχὴν τῷ κυρίῳ, ἅγιον ἀ-
πὸ τῆς γῆς, πέντε καὶ εἴκοσι χιλιάδας μῆκος. καὶ εὖ-
ρος δέκα χιλιάδας. ἅγιον ἔσται ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ, κυκλό-
θεν. καὶ ἔσται ἐκ τούτου ἁγίασμα, πεντακόσιοι, ἐπὶ πεντακοσίους
τετράγωνον κυκλόθεν. καὶ πεντήκοντα πήχεις διάστημα αὐτῶν,
κυκλόθεν. καὶ ἐκ ταύτης τῆς διαμετρήσεως διαμετρήσεις μῆκος
πέντε καὶ εἴκοσι χιλιάδας. εὖρος εἴκοσι χιλιάδας. καὶ ἐν αὐτῇ
ἔσται τὸ ἁγίασμα, ἅγιον τῶν ἁγίων. ἀπὸ τῆς γῆς ἔσται τοῖς ἱερεῦ-
σι τοῖς λειτουργοῦσιν ἐν τῷ ἁγίῳ. καὶ ἔσται τοῖς ἐγγίζουσι λειτουρ-
γεῖν τῷ κυρίῳ. καὶ ἔσται αὐτοῖς τόπος εἰς οἴκους, ἀφωρισμένος
τῷ ἁγιασμῷ αὐτῶν, εἴκοσι καὶ πέντε χιλιάδας μῆκος. καὶ εὖ-
ρος, εἴκοσι χιλιάδας ἔσται, καὶ τοῖς λευίταις τοῖς λειτουργοῦσι
τῷ οἴκῳ αὐτοῖς, εἰς κατάσχεσιν πόλεις τοῦ κατοικεῖν. καὶ τὴν κα-
τάσχεσιν τῆς πόλεως δώσεις. πέντε χιλιάδας εὖρος. καὶ μῆκος,
πέντε καὶ εἴκοσι χιλιάδας. ὃν τρόπον ἡ ἀπαρχὴ τῶν ἁγίων, παντὶ
οἴκῳ ἰσραὴλ ἔσονται. καὶ τῷ ἡγουμένῳ ἐκ τούτου. καὶ ἀπὸ τούτου,
εἰς τὰς ἀπαρχὰς τῶν ἁγίων, εἰς κατάσχεσιν τῆς πόλεως. κατὰ πρό-
σωπον τῶν ἀπαρχῶν τῶν ἁγίων, καὶ κατὰ πρόσωπον τῆς κατασχέ-
σεως τῆς πόλεως τὰ πρὸς θάλασσαν. καὶ ἀπὸ τῶν πρὸς θάλασσαν τῶν
πρὸς ἀνατολάς. καὶ τὸ μῆκος ὡς μία τῶν μερίδων, ἀπὸ τῶν ὁρίων
τῶν πρὸς θάλασσαν. καὶ τὸ μῆκος, ἐπὶ τὰ ὅρια τὰς πρὸς ἀνατολὰς
τῆς γῆς, καὶ ἔσται αὐτῷ εἰς κατάσχεσιν τῷ ἰσραήλ. καὶ οὐ καταδυ-
ναστεύσουσιν οὐκέτι. οἱ ἀφηγούμενοι τῷ ἰσραὴλ τὸν λαόν μου. καὶ
τὴν γῆν κατακληρονομήσουσιν οἶκος ἰσραήλ. κατὰ φυλὰς αὐτῶν.
Τάδε λέγει ἀδωναῒ κύριος. ἱκανούσθω ὑμῖν οἱ ἀφηγούμενοι τοῦ
ἰσραήλ. ἀδικίαν καὶ ταλαιπωρίαν ἀφέλεσθε. καὶ κρίμα καὶ δι-
καιοσύνην ποιήσατε. ἐξάρατε καταδυναστείαν ἀπὸ τοῦ λαοῦ
μου, λέγει κύριος ὁ θεός. ζυγὸς δίκαιος. καὶ μέτρον δίκαιον. καὶ χοῖ-
νιξ δικαία ἔσω ὑμῖν τοῦ μέτρου. καὶ χοῖνιξ ὁμοίως. καὶ ἔσται τοῦ λημ-

βάνειν τὸ δέκατον τοῦ γομόρ, χοῖνιξ· καὶ τὸ δέκατον τοῦ γομόρ, τὸ μέτρον· πρὸς τὸ γομὸρ ἔσται ἴσον. καὶ στάθμιον εἴκοσι ὀβολοί· εἴκοσι σίκλοι· πέντε καὶ εἴκοσι σίκλοι· δέκα καὶ πέντε σίκλοι ἔσται ὑμῖν. καὶ αὕτη ἡ ἀπαρχὴ ἣν ἀφοριεῖτε ἕκτον τοῦ οἰφι· ἀπὸ τοῦ κόρου τοῦ πυροῦ· καὶ τὸ ἕκτον τοῦ οἰφι ἀπὸ τοῦ κόρου τῶν κριθῶν· καὶ τὸ πρόσταγμα τοῦ ἐλαίου, ἀπὸ δέκα κοτυλῶν, ὅτι αἱ δέκα κοτύλαι, εἰσὶ γομόρ· καὶ πρόβατον ἕν, ἀπὸ τῶν δέκα προβάτων ἀφαίρεμα ἐκ πασῶν τῶν πατριῶν Ἰσραήλ. εἰς θυσίας, καὶ εἰς ὁλοκαυτώματα· καὶ εἰς σωτήριον τοῦ ἐξιλάσασθαι περὶ ὑμῶν, λέγει κύριος ὁ θεός· καὶ πᾶς ὁ λαὸς δώσει τὴν ἀπαρχὴν ταύτην, τῷ ἀφηγουμένῳ τῶν Ἰσραήλ· καὶ διὰ τοῦ ἀφηγουμένου ἔσται τὰ ὁλοκαυτώματα· καὶ θυσίαι καὶ σπονδαὶ ἔσονται, ἐν ταῖς ἑορταῖς, καὶ ἐν ταῖς νουμηνίαις· καὶ ἐν τοῖς σαββάτοις· καὶ ἐν πάσαις ταῖς ἑορταῖς οἴκου Ἰσραήλ. οὕτως ποιήσει τὰ ὑπὲρ ἁμαρτίας· καὶ τὴν θυσίαν, καὶ τὰ ὁλοκαυτώματα· καὶ τὰ τοῦ σωτηρίου τοῦ ἐξιλάσασθαι ὑπὲρ τοῦ οἴκου Ἰσραήλ. τάδε λέγει ἀδωναῒ κύριος ὁ θεός· ἐν τῷ πρώτῳ μηνὶ μιᾷ τοῦ μηνός, λήψεσθε μόσχον, ἐκ βοῶν ἄμωμον· τοῦ ἐξιλάσασθαι τὸ ἅγιον· καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ ἐξιλασμοῦ· καὶ δώσει ἐπὶ τὰς φλιὰς τοῦ οἴκου· καὶ ἐπὶ τὰς τέσσαρας γωνίας τοῦ ἱεροῦ· καὶ ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐπὶ τὰς φλιὰς τῆς πύλης· τῆς αὐλῆς τῆς ἐσωτέρας· καὶ οὕτως ποιήσεις ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ· μιᾷ τοῦ μηνός· λήψῃ παρ' ἑκάστου ἀγνοοῦντος· καὶ ἀπὸ νηπίου· καὶ ἐξιλάσεσθε τὸν οἶκον· καὶ ἐν τῷ πρώτῳ μηνὶ τεσσαρεσκαιδεκάτῃ τοῦ μηνός, ἔσται ὑμῖν τὸ πάσχα ἑορτή· ἑπτὰ ἡμέρας ἔδεσθε, καὶ ποιήσει ὁ ἀφηγούμενος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ὑπὲρ αὐτοῦ καὶ τοῦ οἴκου, καὶ ὑπὲρ παντὸς τοῦ λαοῦ τῆς γῆς· μόσχον ἐκ βοῶν ὑπὲρ ἁμαρτίας τὰς ἑπτὰ ἡμέρας τῆς ἑορτῆς· καὶ πέμματα τῷ μόσχῳ, καὶ πέμματα τῷ κριῷ ποιήσεις· καὶ ἐλαίου τὸ ἓν τῷ πέμματι· καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ πέντε καὶ δεκάτῃ τοῦ μηνός, ἐν τῇ ἑορτῇ, ποιή-

σεις κατὰ τὰ αὐτὰ ἑπτὰ ἡμέρας. καθὼς τὰ ὑπὲρ τῆς ἁμαρτίας. καὶ καθὼς τὰ ὁλοκαυτώματα. καὶ καθὼς τὰ μαναά. καὶ καθὼς τὸ ἔλαιον.

Κεφ. μς. 46.

Τάδε λέγει κύριος ὁ θεός. ἡ πύλη ἡ ἐν τῇ αὐλῇ τῇ ἐσωτέρᾳ. ἡ βλέπουσα πρὸς ἀνατολάς, ἔσται κεκλεισμένη ἓξ ἡμέρας τὰς ἐνεργούς, ἐν δὲ τῇ ἡμέρᾳ τῶν σαββάτων ἀνοιχθήσεται. καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας, ἀνοιχθήσεται, καὶ εἰσελεύσεται ὁ ἀφηγούμενος. καὶ τὴν ὁδὸν τοῦ αὐλὰμ τῆς πύλης τῆς ἔξωθεν, καὶ στήσεται ἐπὶ τὰ πρόθυρα τῆς πύλης. καὶ ποιήσουσιν οἱ ἱερεῖς τὰ ὁλοκαυτώματα αὐτοῦ. καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ. καὶ προσκυνήσει ἐπὶ τοῦ προθύρου τῆς πύλης, καὶ ἐξελεύσεται, καὶ ἡ πύλη οὐ μὴ κλεισθῇ, ἕως ἑσπέρας. καὶ προσκυνήσει ὁ λαὸς τῆς γῆς κατὰ τὰ πρόθυρα τῆς πύλης ἐκείνης. ἐν τοῖς σαββάτοις, καὶ ἐν ταῖς νουμηνίαις, ἐναντίον κυρίου. καὶ τὰ ὁλοκαυτώματα προσοίσει ὁ ἀφηγούμενος τῷ κυρίῳ ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. ἓξ ἀμνοὺς ἀμώμους, κριὸν ἄμωμον. καὶ μαναά. καὶ πέμμα τῷ κριῷ. καὶ τοῖς ἀμνοῖς θυσία δόμα χειρὸς αὐτοῦ. καὶ ἐλαίου εἶν, τῷ πέμματι. καὶ ἐν τῇ ἡμέρᾳ τῆς νουμηνίας μόσχον ἐκ βουκολίου ἄμωμον. καὶ ἓξ ἀμνούς. καὶ κριὸν ἄμωμον ἔσται. καὶ πέμμα τῷ κριῷ. καὶ πέμμα τῷ μόσχῳ ἔσται μαναά, καὶ τοῖς ἀμνοῖς, καθὼς ἂν ἐκποιῇ, ἡ χεὶρ αὐτοῦ. καὶ ἐλαίου τὸ εἶν τῷ πέμματι. καὶ ἐν τῷ εἰσπορεύεσθαι τὸν ἀφηγούμενον. κατὰ τὴν ὁδὸν τοῦ αὐλὰμ τῆς πύλης ἐξελεύσεται. καὶ ὅταν εἰσπορεύηται ὁ λαὸς τῆς γῆς. ἐναντίον κυρίου ἐν ταῖς ἑορταῖς. ὁ εἰσπορευόμενος κατὰ τὴν ὁδὸν τῆς πύλης, τῆς πρὸς βορρᾶν προσκυνεῖν, ἐξελεύσεται, κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς νότον. ὁ εἰσπορευόμενος κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βορρᾶν, οὐκ ἀναστρέψει κατὰ τὴν ὁδὸν τῆς πύλης, ἣν εἰσελήλυθεν. ἀλλ' ἢ

κατ᾽ εὐθὺ αὐτῆς, ἐξελεύσεται, καὶ ὁ ἀφηγούμενος ἐν μέσῳ
αὐτῶν ἐν τῷ εἰσπορεύεσθαι αὐτούς. εἰσελεύσεται μετ᾽ αὐ-
τῶν. καὶ ἐν τῷ ἐκπορεύεσθαι αὐτοὺς ἐξελεύσεται. καὶ ἐν ταῖς
ἑορταῖς καὶ ἐν ταῖς πανηγύρεσιν, ἔσται τὰ μαναὰ πέμμα τῷ
μόσχῳ. καὶ πέμμα τῷ κριῷ, καὶ τοῖς ἀμνοῖς. καθὼς ἂν ἐκποιῇ
ἡ χεὶρ αὐτοῦ. καὶ ἐλαίου εἶν τῷ πέμματι. ἐὰν δὲ ποιήσῃ ὁ ἀ-
φηγούμενος. ὁμολογίαν ὁλοκαύτωμα σωτηρίου τῷ κυρίῳ. καὶ
ἀνοίξῃ ἑαυτῷ τὴν πύλην τὴν βλέπουσαν κατὰ ἀνατολάς. καὶ ποι-
ήσῃ τὸ ὁλοκαύτωμα αὐτοῦ. καὶ τὰ τοῦ σωτηρίου αὐτοῦ. ὃν τρόπον
ποιήσει ἐν τῇ ἡμέρᾳ τῶν σαββάτων. καὶ ἐξελεύσεται καὶ κλεί-
σει τὰς θύρας μετὰ τὸ ἐξελθεῖν αὐτόν. καὶ ἀμνὸν ἐνιαύσιον ἄ-
μωμον. καὶ ποιήσει εἰς ὁλοκαύτωμα, καθ᾽ ἡμέραν τῷ κυρίῳ.
πρωῒ πρωῒ ποιήσει αὐτόν, καὶ μαναά, ποιήσει ἐπ᾽ αὐτῷ. πρωῒ
πρωῒ ἕκτον τοῦ μέτρου. καὶ ἐλαίου τὸ τρίτον τοῦ εἶν. τοῦ ἀναμίξαι τὴν
σεμίδαλιν μαναὰ τῷ κυρίῳ. πρόσταγμα αἰώνιον, διαπαντὸς
ποιήσετε τὸν ἀμνόν. καὶ τὸ μαναά, καὶ τὸ ἔλαιον ποιήσετε τὸ πρωῒ
ὁλοκαύτωμα διαπαντός. τάδε λέγει κύριος κύριος. ἐὰν δῷ ὁ
ἀφηγούμενος δόμα ἑνὶ ἐκ τῶν υἱῶν αὐτοῦ, ἐκ τῆς κληρονομίας
αὐτοῦ. τοῦτο τοῖς υἱοῖς αὐτοῦ ἔσται κατάσχεσις αὐτῶν. αὕτη ἐν
κληρονομίᾳ. ἐὰν δὲ δῷ δόμα ἐκ τῆς κληρονομίας αὐτοῦ, ἑνὶ
τῶν παίδων αὐτοῦ. καὶ ἔσται αὐτῷ ἕως τοῦ ἔτους τῆς ἀφέσεως
καὶ ἀποδοθήσεται τῷ ἀφηγουμένῳ. πλὴν τῆς κληρονομίας, τῶν
υἱῶν αὐτοῦ ἑαυτοῖς ἔσται. καὶ οὐ μὴ λάβῃ ὁ ἀφηγούμενος, ἐκ τῆς
κληρονομμίας τοῦ αὐτοῦ καταδυναστεῦσαι τοὺς ἐκ τῆς κατασχέ-
σεως αὐτοῦ ἀπὸ τῆς κληρονομίας αὐτοῦ. κατακληρονομῆσαι
τοῖς υἱοῖς αὐτοῦ, ὅπως μὴ διασκορπίζηται ὁ λαός μου. ἕκαστος ἀ-
πὸ τῆς κατασχέσεως αὐτοῦ. καὶ εἰσήγαγέ με, εἰς τὴν ὁδὸν
κατὰ νώτου τῆς πύλης. εἰς τὴν ἐξέδραν τῶν ἁγίων τῶν ἱερέων
τὴν βλέπουσαν πρὸς βορρᾶν. καὶ ἰδοὺ ἐκεῖ τόπος κεχωρισμένος
καὶ εἶπε πρὸς με. οὗτος ὁ τόπος ἐστὶν οὗ ἑψήσουσιν ἐκεῖ οἱ ἱερεῖς

τὰ ὑπὲρ τῆς ἀνομίας, καὶ τὰ ὑπὲρ τῆς ἁμαρτίας καὶ ἐκεῖ πέμψου-
σι τὸ μαναὰ τὸ παράπαν τοῦ μὴ ἐκφέρειν εἰς τὴν αὐλὴν τὴν ἐξ-
ωτέραν, τοῦ ἁγιάζειν τὸν λαόν. καὶ ἐξήγαγέ με εἰς τὴν αὐλὴν
τὴν ἐξωτέραν. καὶ περιήγαγέ με ἐπὶ τὰ τέσαρα μέρη τῆς αὐ-
λῆς. καὶ ἰδοὺ αὐλὴ, κατὰ τὰ κλίτη τῆς αὐλῆς. αὐλὴ μικρὰ μή-
κους, πηχῶν τεσσαράκοντα. καὶ εὖρος πηχῶν τριάκοντα. μέ-
τρον ἐν ταῖς τέσαρσι. καὶ ἐξέδραι κύκλῳ ἐν αὐταῖς. κύκλῳ
ταῖς τέσαρσι. καὶ μαγειρεῖα γεγονότα ὑπὸ κάτω τῶν ἐξεδρῶν
κύκλῳ. καὶ εἶπε πρός με. οὗτοι οἱ οἶκοι τῶν μαγείρων. οὗ ἑψή-
σουσιν ἐκεῖ οἱ λειτουργοῦντες τῷ οἴκῳ τὰ θύματα τοῦ λαοῦ.

Κεφάλαιον μζ. 47.

Καὶ εἰσήγαγέ με ἐπὶ τὰ πρόθυρα τοῦ οἴκου. καὶ ἰδοὺ
ὕδωρ ἐξεπορεύετο ὑπὸ κάτωθεν τοῦ αἰθρίου τοῦ οἴ-
κου. κατὰ ἀνατολάς. ὅτι τὸ πρόσωπον τοῦ οἴκου ἔβλε-
πε κατὰ ἀνατολάς. καὶ τὸ ὕδωρ κατέβαινεν ἀπὸ τοῦ κλίτους τοῦ
δεξιοῦ: ἀπὸ νότου ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐξήγαγέ με. κατὰ
τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς βοῤῥᾶν. καὶ περιήγαγέ με τὴν ὁδὸν
τῆς πύλης. ἔξωθεν πρὸς τὴν πόλιν τῆς αὐλῆς τῆς βλεπούσης κατὰ ἀ-
νατολάς. καὶ ἰδοὺ τὸ ὕδωρ κατεφέρετο ἀπὸ τοῦ κλίτους τοῦ δεξιοῦ.
καθὼς ἔξοδος ἀνδρὸς ἐξεναντίας. καὶ μέτρον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ
διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ. καὶ διῆλθεν ἐν τῷ ὕδατι ὕδωρ
ἀφέσεως. καὶ διεμέτρησε χιλίους ἐν τῷ μέτρῳ, καὶ διῆλθεν ἐν τῷ
ὕδατι ὕδωρ, ἕως τῶν μηρῶν. καὶ διεμέτρησε χιλίους, καὶ διῆλθεν ὕ-
δωρ, ἕως ὀσφύος. καὶ διεμέτρησε χιλίους. καὶ οὐκ ἠδύνατο διελ-
θεῖν. ὅτι ἐξύβριζε τὸ ὕδωρ. ὡς ῥοῖζος χειμάῤῥου ὃ οὐ διαβήσονται.
καὶ εἶπε πρός με. εἰ ἑώρακας υἱὲ ἀνθρώπου, καὶ ἀπήγαγέ με. καὶ ἐ-
πέστρεψέ με ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ. ἐν τῇ ἐπιστροφῇ μου. καὶ
ἰδοὺ ἐπὶ τοῦ χείλους τοῦ ποταμοῦ δένδρα πολλὰ σφόδρα ἔνθεν.
καὶ εἶπε πρός με. τὸ ὕδωρ τοῦτο τὸ ἐκπορευόμενον εἰς τὴν γαλι-
λαίαν τὴν πρὸς ἀνατολάς. καὶ κατέβαινεν ἐπὶ τὴν ἀραβίαν. καὶ

ἔρχετο ἕως ἐπὶ τὴν θάλασσαν. ἐπὶ τὸ ὕδωρ τῆς διεκβολῆς. καὶ ὑγιά-
σει τὰ ὕδατα. καὶ ἔσται πᾶσα ψυχὴ τῶν ζώντων, ἐκζεόντων, ἐπὶ πάν-
τα ἐφ᾽ ἃ ἂν ἐπέλθῃ ὁ ποταμός, ἐκεῖ ζήσεται. καὶ ἔσται ἐκεῖ ἰχθὺς
πολὺς σφόδρα, ὅτι ἥκει ἐκεῖ τὸ ὕδωρ τοῦτο καὶ ὑγιάσει καὶ ζήσεται
πᾶν ἐφ᾽ ὃν ἂν ἐπέλθῃ ὁ ποταμός. καὶ ζήσεται. καὶ στήσονται ἐπ᾽ αὐτοὺς
ἐκεῖ ἁλιεῖς, ἀπὸ ἀγαδδίν. ἕως ἀναγαλλείμ. ψυγμὸς σαγήνης ἔ-
σται. κατ᾽ ἑαυτὴν ἔσται. καὶ οἱ ἰχθύες αὐτῆς, ὡς ἰχθύες τῆς θαλάσσης
τῆς μεγάλης, πλῆθος πολὺ σφόδρα. καὶ ἐν τῇ διεκβολῇ αὐτοῦ,
καὶ ἐν τῇ ἀποστροφῇ αὐτοῦ. καὶ ἐν τῇ ὑπεράρσει αὐτοῦ. τὰ τε-
νάγη αὐτοῦ οὐ μὴν ἁγιάσωσιν εἰς ἅλας δέδονται, καὶ ἐπὶ τοῦ πο-
ταμοῦ ἀναβήσεται. καὶ ἐπὶ τοῦ χείλους αὐτοῦ, ἔνθεν καὶ ἔνθεν,
πᾶν ξύλον βρώσιμον, οὐ μὴ παλαιωθῇ ἐπ᾽ αὐτοῦ. οὐδὲ μὴν ἐ-
κλείπῃ ὁ καρπὸς τῆς καινότητος αὐτοῦ. πρωτοβολήσει. διότι τὰ
ὕδατα αὐτῶν ἐκ τῶν ἁγίων ἐκπορεύεται. καὶ ἔσται ὁ καρπὸς
αὐτῶν. εἰς βρῶσιν καὶ ἀνάβασις αὐτῶν εἰς ὑγίειαν. τάδε λέγει
κύριος ὁ θεός. ταῦτα τὰ ὅρια κατακληρονομήσετε τῆς γῆς. ταῖς
δώδεκα φυλαῖς τῶν υἱῶν ἰσραήλ. πρόσθεσις σχοινίσματος καὶ
κατακληρονομήσετε αὐτὴν ἕκαστος καθὼς ὁ ἀδελφὸς αὐτοῦ.
εἰς ἣν ἦρα τὴν χεῖρά μου. τοῦ δοῦναι αὐτὴν τοῖς πατράσιν αὐτῶν.
καὶ πεσεῖται ἡ γῆ αὕτη ὑμῖν ἐν κληρονομίᾳ. καὶ ταῦτα τὰ ὅ-
ρια τῆς γῆς πρὸς βορρᾶν ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης τῆς κα-
ταβαινούσης, καὶ περισχιζούσης τῆς εἰσόδου σεδδαδά. αἰμάθ.
βηρωθάμ. σαμαρείμ. τὴν ἀνὰ μέσον ὁρίων δαμασκοῦ. καὶ ἀ-
νὰ μέσον ὁρίων ἠμάθ. αὐλαὶ τοῦ σαυνάν. αἵ εἰσιν ἐπάνω τῶν ὁ-
ρίων αὐρανίτιδος. ταῦτα τὰ ὅρια ἀπὸ τῆς θαλάσσης. ἀπὸ τῆς
αὐλῆς τοῦ αἰνάν. ὅρια δαμασκοῦ. καὶ τὰ πρὸς βορρᾶν κατὰ βορ-
ρᾶν. καὶ τὸ ὅριον ἠμάθ. τὸ ὅριον βορρᾶ. κατὰ πρόσωπον ἀνατολῶν
ἀνὰ μέσον τῆς αὐρανίτιδος. καὶ ἀνὰ μέσον δαμασκοῦ. καὶ ἀνὰ μέ-
σον τῆς γαλααδίτιδος. καὶ ἀνὰ μέσον τῆς γῆς τοῦ ἰσραήλ, ὁ ἰορδά-
νης διορίζει, ἐπὶ τὴν θάλασσαν τὴν πρὸς ἀνατολὰς φοινικῶνος.

ταῦτα τὰ πρὸς ἀνατολάς, καὶ τὰ πρὸς νότον, καὶ λίβα ἀπὸ θαι-
μὰν. καὶ φοινικῶνος, ἕως ὕδατος μαειμὼθ, κάδδης. παρεκτεί-
νον ἐπὶ τὴν θάλασσαν τὴν μεγάλην. τοῦτο τὸ μέρος νότος καὶ λίψ.
τοῦτο τὸ μέρος τῆς θαλάσσης τῆς μεγάλης διορίζει, ἕως κατέναντι τῆς
εἰσόδου ἡμάθ. ἕως εἰσόδου αὐτοῦ. ταῦτά ἐστι τὰ πρὸς θαλασ-
σαν ἡμάθ, καὶ διαμερίσατε τὴν γῆν ταύτην, αὐτοῖς ταῖς φυλαῖς
τοῦ ἰσραὴλ βαλεῖτε αὐτὴν ἐν κλήρῳ ὑμῖν. καὶ τοῖς προσηλύτοις
τοῖς παροικοῦσιν ἐν μέσῳ ὑμῶν. οἵτινες ἐγέννησαν υἱοὺς ἐν μέ-
σῳ ὑμῶν καὶ ἔσονται ὑμῖν ὡς αὐτόχθονες ἐν τοῖς υἱοῖς ἰσρα-
ήλ. μεθ᾽ ὑμῶν φάγονται ἐν κληρονομίᾳ. ἐν μέσῳ τῶν φυλῶν τοῦ ἰσ-
ραήλ. καὶ ἔσονται ἐν φυλῇ προσηλύτων ἐν τοῖς προσηλύτοις τοῖς
μετ᾽ αὐτῶν. ἐκεῖ δώσετε κληρονομίαν αὐτοῖς λέγει κύριος ὁ θεός.

### Κεφάλαιον. μη. 42.

Καὶ ταῦτα τὰ ὀνόματα τῶν φυλῶν ἀπὸ τῆς ἀρχῆς τῆς
κ πρὸς βορρᾶν. καὶ τὸ μέρος τῆς καταβάσεως τοῦ περισχί-
ζοντος ἐπὶ τὴν εἴσοδον τῆς ἡμὰθ αὐλῆς τοῦ αἰλάμ. ὅ-
ριον δαμασκοῦ πρὸς βορρᾶν κατὰ μέρος ἡμὰθ αὐλῆς. καὶ ἔσται
αὐτοῖς τὰ πρὸς ἀνατολάς, ἕως πρὸς θάλασσαν. δὰν μία. καὶ ἀπὸ
ὁρίων τοῦ δὰν τὰ πρὸς ἀνατολάς, ἕως πρὸς θάλασσαν, ἀσὴρ μία
καὶ ἀπὸ τῶν ὁρίων ἀσὴρ ἀπὸ τῶν πρὸς ἀνατολάς, ἕως τῶν πρὸς
θάλασσαν ἀσὴρ μία, καὶ ἀπὸ τῶν ὁρίων ἀσὴρ ἀπὸ τῶν πρὸς
ἀνατολάς ἕως τῶν πρὸς θάλασσαν νεφθαλεὶμ, μία. καὶ ἀπὸ τῶν
νεφθαλεὶμ ἀπὸ τῶν ὁρίων πρὸς ἀνατολὰς τῶν πρὸς θάλασσαν
μανασσῆ. μία. καὶ ἀπὸ τῶν ὁρίων μανασσῆ τῶν πρὸς ἀνατολάς, ἕως
τῶν πρὸς θάλασσαν ἐφραὶμ, μία. καὶ ἀπὸ τῶν ὁρίων ἐφραὶμ ἀπὸ τῶν
πρὸς ἀνατολάς, ἕως τῶν πρὸς θάλασσαν ῥουβὶν μία, καὶ ἀπὸ τῶν
ὁρίων ῥουβίν. ἀπὸ τῶν πρὸς ἀνατολάς, ἕως τῶν πρὸς θάλασσαν
ἰούδα μία. καὶ ἀπὸ τῶν ὁρίων ἰούδα ἀπὸ τῶν πρὸς ἀνατολάς, ἕως τῶν
πρὸς θάλασσαν, ἔσται ἡ ἀπαρχὴ τοῦ ἀφορισμοῦ πέντε, καὶ εἴ-
κοσι χιλιάδες εὖρος, καὶ μῆκος, καθὼς μία τῶν μερίδων ἀπὸ

τῶν πρὸς ἀνατολὰς, καὶ ἕως τῶν πρὸς θάλασσαν. καὶ ἔσται τὸ ἅγιον ἐν μέσῳ αὐτῶν ἀπαρχή. ἣν ἀφοριοῦσι τῷ κυρίῳ. μῆκος πέντε καὶ εἴκοσι χιλιάδες. καὶ εὖρος εἴκοσι πέντε χιλιάδες. τούτων ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων τοῖς ἱερεῦσι πρὸς βορρᾶν πέντε, καὶ εἴκοσι χιλιάδες. καὶ πρὸς θάλασσαν, εὖρος, δέκα χιλιάδες. καὶ πρὸς ἀνατολὰς πλάτος, δέκα χιλιάδες. καὶ πρὸς νότον, μῆκος εἴκοσι καὶ πέντε χιλιάδες. καὶ τὸ ὄρος τῶν ἁγίων ἔσται ἐν μέσῳ αὐτοῦ τοῖς ἱερεῦσι τοῖς ἡγιασμένοις υἱοῖς σαδδούκ. καὶ τοῖς φυλάσσουσι τὰς φυλακὰς τοῦ οἴκου. οἵτινες οὐκ ἐπλανήθησαν ἐν τῇ πλανήσει τῶν υἱῶν ἰσραήλ. ὃν τρόπον ἐπλανήθησαν οἱ λευῖται. καὶ ἔσται αὐτοῖς ἡ ἀπαρχὴ δεδομένη ἐκ τῶν ἀπαρχῶν τῆς γῆς. ἅγιον τῶν ἁγίων ἀπὸ τῶν ὁρίων τῶν λευιτῶν. τοῖς λευίταις τὰ ἐχόμενα τῶν ὁρίων τῶν ἱερέων. μῆκος πέντε καὶ εἴκοσι χιλιάδες. καὶ εὖρος δέκα χιλιάδες. πᾶν τὸ μῆκος πέντε καὶ εἴκοσι χιλιάδες. οὐ πραθήσεται ἐξ αὐτῶν. οὐδὲ καταμετρηθήσεται, οὐδὲ ἀφαιρεθήσεται τὰ πρωτογεννήματα τῆς γῆς. ὅτι ἅγιον ἔσται τῷ κυρίῳ. τὰς πέντε χιλιάδας τὰς περισσὰς ἐπὶ τῷ πλάτει ἐπὶ ταῖς πέντε καὶ εἴκοσι χιλιάσι. προτείχισμα ἔσται τῇ πόλει εἰς κατοικίαν καὶ διάστημα αὐτοῦ. καὶ ἔσται ἡ πόλις ἐν μέσῳ αὐτοῦ. καὶ ταῦτα τὰ μέτρα αὐτῆς ἀπὸ τῶν πρὸς βορρᾶν, πεντακόσιοι καὶ τετρακισχίλιοι. καὶ ἀπὸ τῶν πρὸς νότον πεντακόσιοι καὶ τέσσαρες χιλιάδες. καὶ ἀπὸ τῶν πρὸς ἀνατολὰς, πεντακόσιοι καὶ τέσσαρες χιλιάδες. καὶ ἀπὸ τῶν πρὸς θάλασσαν, τετρακισχίλιοι πεντακόσιοι. καὶ ἔσται διάστημα, τῇ πόλει πρὸς βορρᾶν διακόσιοι πεντήκοντα. καὶ πρὸς ἀνατολὰς διακόσιοι πεντήκοντα. καὶ πρὸς θάλασσαν. διακόσιοι. πεντήκοντα. καὶ τὸ περισσὸν τοῦ μήκους τὸ ἐχόμενον ἀπὸ τῶν ἀπαρχῶν τῶν ἁγίων. δέκα χιλιάδες. πρὸς ἀνατολάς. καὶ δέκα χιλιάδες πρὸς θάλασσαν καὶ ἔσονται ἀπαρχαὶ τοῦ ἁγίου. καὶ ἔσται τὰ γεννήματα αὐτῆς εἰς ἄρτους τοῖς ἐργαζομένοις τὴν πόλιν.

οἱ δὲ ἐργαζόμενοι τὴν πόλιν ἐργῶνται αὐτὴν, ἐκ πασῶν φυ-
λῶν τοῦ ἰσραήλ. πᾶσα ἡ ἀπαρχὴ, πέντε καὶ εἴκοσι χιλιάδες ἐπὶ
πέντε καὶ εἴκοσι χιλιάδες. τετράγωνον ἀφοριεῖτε αὐτοῦ τὴν ἀπαρ-
χὴν τοῦ ἁγίου, ἀπὸ τῆς κατασχέσεως τῆς πόλεως. τὸ δὲ περισσὸν
τῷ ἀφηγουμένῳ, ἐκ τούτου, καὶ ἐκ τούτου ἀπὸ τῶν ἀπαρχῶν τοῦ
ἁγίου. καὶ εἰς τὴν κατάσχεσιν τῆς πόλεως κατὰ πρόσωπον, ἐπὶ
πέντε καὶ εἴκοσι χιλιάδες μήκους, ἕως τῶν ὁρίων τῶν πρὸς ἀνα-
τολὴν, καὶ πρὸς θάλασσαν. ἐπὶ πρόσωπον πέντε, καὶ εἴκοσι χι-
λιάδες. ἕως τῶν ὁρίων, τῶν πρὸς θάλασσαν. ἐχόμενα τῶν με-
ρίδων τοῦ ἀφηγουμένου. καὶ ἔσται ἡ ἀπαρχὴ τῶν ἁγίων. καὶ τὸ
ἁγίασμα οἴκου, ἐν μέσῳ αὐτῆς. καὶ ἀπὸ τῆς κατασχέσεως τῶν
λευιτῶν. ἀπὸ τῆς κατασχέσεως ἐν μέσῳ τῶν ἀφηγουμένων ἔσται
ἀνὰ μέσον τῶν ὁρίων ἰούδα. καὶ ἀνὰ μέσον τῶν ὁρίων βενιαμὶν.
τῷ ἀφηγουμένῳ ἔσται. καὶ τὸ περισσὸν τῶν φυλῶν, ἀπὸ τῶν πρὸς
ἀνατολὰς, ἕως τοῦ πρὸς θάλασσαν βενιαμὶν, μία. καὶ ἀπὸ τῶν
ὁρίων τῶν βενιαμὶν ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν πρὸς
θάλασσαν συμεὼν, μία. καὶ ἀπὸ τῶν ὁρίων συμεὼν, μία. καὶ
ἀπὸ τῶν ὁρίων τῶν συμεὼν ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῶν
πρὸς θάλασσαν ἰσάχαρ, μία, καὶ ἀπὸ τῶν ὁρίων τῶν ἰσά-
χαρ, ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως τῆς πρὸς θάλασσαν ζαβουλὼν,
μία. καὶ ἀπὸ τῶν ὁρίων τῶν ζαβουλὼν ἀπὸ τῶν πρὸς ἀνατολὰς
ἕως τῶν πρὸς θάλασσαν γὰδ, μία. καὶ ἀπὸ τῶν ὁρίων τοῦ γὰδ
ἀπὸ τῶν πρὸς ἀνατολὰς, ἕως λίβα. καὶ ἔσται τὰ ὅρια αὐτοῦ ἀπὸ
θαιμὰν. καὶ ὕδατος μαριμὼθ κάδδης, κληρονομίας, ἕως τῆς θα-
λάσσης τῆς μεγάλης. αὕτη ἡ γῆ. ἣν βαλεῖτε ἐν κλήρῳ. ταῖς φυ-
λαῖς τοῦ ἰσραήλ. οὗτοι οἱ διαμερισμοὶ αὐτῶν, λέγει κύριος ὁ θε-
ός. καὶ αὗται αἱ διεκβολαὶ τῆς πόλεως αἱ πρὸς βορρᾶν τετρακι-
χίλιοι. καὶ πεντακόσιοι μέτρῳ. καὶ αἱ πύλαι τῆς πόλεως, ἐπ'
ὀνόμασι φυλῶν τοῦ ἰσραήλ. πύλαι τρεῖς πρὸς βορρᾶν. πύλη ῥουβ-
εὶμ, μία. πύλη ἰούδα, μία. πύλη λευὶ, μία, καὶ τὰ πρὸς ἀνατο-

λάς· τετρακισχίλιοι πεντακόσιοι· καὶ πύλαι τρεῖς· πύλη ἰωσὴφ μία· καὶ τὰ πρὸς νότον τετρακισχίλιοι, καὶ πεντακόσιοι μέτρῳ· καὶ πύλαι τρεῖς· πύλη συμεὼν, μία· πύλη ἰσσάχαρ, μία· πύλη ζαβουλὼν, μία· καὶ τὰ πρὸς θάλασσαν· τετρακισχίλιοι καὶ πεντακόσιοι μέτρῳ· πύλαι τρεῖς· πύλη γὰδ, μία· πύλη ἀσὴρ, μία· πύλη νεφθαλεὶμ, μία· κύκλωμα, δέκα καὶ ὀκτὼ χιλιάδες· καὶ τὸ ὄνομα τῆς πόλεως ἀφ᾽ ἧς ἂν ἡμέρας γένηται κύριος· ἐκεῖ ἔσται τὸ ὄνομα αὐτῆς.

Τέλος τοῦ Ἰεζεκιήλ.

# ΔΑΝΙΗΛ.

## Κεφάλαιον. α. ι.

ΕΝ ἔτει τρίτῳ βασιλείας ἰωακεὶμ· βασιλέως ἰούδα, ἦλθε ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος εἰς ἱερουσαλὴμ, καὶ ἐπολιόρκει αὐτήν· καὶ ἔδωκε κύριος ἐν χειρὶ αὐτοῦ τὸν ἰωακεὶμ βασιλέα ἰούδα καὶ ἀπὸ μέρους τῶν σκευῶν οἴκου κυρίου· καὶ ἤνεγκεν αὐτὰ εἰς γῆν σενναὰρ οἶκον τοῦ θεοῦ αὐτοῦ· καὶ τὰ σκεύη εἰσήνεγκεν εἰς τὸν οἶκον θησαυροῦ τοῦ θεοῦ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς τῷ ἀφανὲζ τῷ ἀρχιευνούχῳ αὐτοῦ, εἰσαγαγεῖν ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας ἱερουσαλὴμ· καὶ ἀπὸ τοῦ σπέρματος τῆς βασιλείας· καὶ ἀπὸ τῶν φορθομμὶν, νεανίσκους

οἷς οὐκ ἔστιν ἐν αὐτοῖς μῶμος· καλοὺς τῇ ὄψει.
Καὶ συνιέντας ἐν πάσῃ σοφίᾳ· καὶ γινώσκοντας γνῶσιν, καὶ
διανοουμένους φρόνησιν· καὶ οἷς ἐστιν ἰσχὺς ἐν αὐτοῖς ἑστάναι ἐν τῷ
οἴκῳ ἐνώπιον τοῦ βασιλέως· καὶ διδάξαι αὐτοὺς γράμματα καὶ
γλῶσσαν χαλδαίων· καὶ διέταξεν αὐτοῖς ὁ βασιλεὺς τὸ τῆς ἡ-
μέρας καθημέραν, ἀπὸ τῆς τραπέζης τοῦ βασιλέως· καὶ ἀπὸ τοῦ
οἴνου τοῦ πότου αὐτοῦ· καὶ θρέψαι αὐτοὺς ἔτη τρία· καὶ μετὰ ταῦτα
στῆναι ἐνώπιον τοῦ βασιλέως καὶ ἐγένετο ἐν αὐτοῖς ἐκ τῶν υἱῶν
ἰούδα δανιήλ· καὶ ἀνανίας· καὶ ἀζαρίας· καὶ μισαήλ· καὶ ἐπέ-
θηκεν αὐτοῖς ὁ ἀρχιευνοῦχος ὀνόματα. τῷ δανιήλ· βαλτάσαρ·
καὶ τῷ ἀνανίᾳ, σιδράχ, καὶ τῷ μισαήλ, μισάκ, καὶ τῷ ἀζα-
ρίᾳ, ἀβδεναγώ· καὶ ἔθετο δανιήλ· ἐν τῇ καρδίᾳ αὐτοῦ ὡς οὐ μὴ
ἀλισγηθῇ ἐν τῇ τραπέζῃ τοῦ βασιλέως, καὶ ἐν τῷ οἴνῳ τοῦ πότου
αὐτοῦ· καὶ ἠξίωσε τὸν ἀρχιευνοῦχον, ὡς οὐ μὴ ἀλισγηθῇ· καὶ ἔδω-
κεν ὁ θεὸς τὸν δανιήλ, εἰς ἔλεον καὶ οἰκτιρμοὺς, ἐνώπιον τοῦ ἀρχι-
ευνούχου, καὶ εἶπεν ὁ ἀρχιευνοῦχος τῷ δανιήλ· φοβοῦμαι ἐγὼ τὸν
κύριόν μου τὸν βασιλέα, τὸν ἐκτάξαντα τὴν βρῶσιν, καὶ τὴν πό-
σιν ὑμῶν, μήποτε ἴδῃ τὰ πρόσωπα ὑμῶν παρὰ τὰ παιδάρια
τὰ συνήλικα ὑμῶν· καὶ καταδικάσητε τὴν κεφαλήν μου, τῷ
βασιλεῖ· καὶ εἶπε δανιήλ πρὸς ἀμελσάδ· ὃν κατέστησεν ὁ ἀρχι-
ευνοῦχος ἐπὶ δανιήλ· καὶ ἀνανίαν· καὶ μισαήλ· καὶ ἀζαρίαν· πεί-
ρασον δὴ παῖδάς σου, ἡμέρας δέκα· καὶ δότωσαν ἡμῖν ἀπὸ τῶν
σπερμάτων τῆς γῆς, καὶ φαγώμεθα· καὶ ὕδωρ πιώμεθα· καὶ
ὀφθήτωσαν ἐνώπιόν σου αἱ ἰδέαι ἡμῶν· καὶ αἱ ἰδέαι τῶν παιδα-
ρίων τῶν ἐσθιόντων τὴν τράπεζαν τοῦ βασιλέως· καὶ καθὼς, ἐὰν
ἴδῃς, ποίησον μετὰ τῶν παίδων σου· καὶ εἰσήκουσεν αὐτῶν, καὶ
ἐπείρασεν αὐτοὺς ἡμέρας δέκα· καὶ μετὰ τὸ τέλος τῶν δέκα ἡμε-
ρῶν, ὤφθησαν αἱ ἰδέαι αὐτῶν ἀγαθαὶ, καὶ ἰσχυραὶ πᾶσι σαρξὶν, ὑ-
πὲρ τὰ παιδάρια τὰ ἐσθίοντα τὴν τράπεζαν τοῦ βασιλέως καὶ ἐγένετο
ἀμελσὰδ ἀναιρούμενος τὸ δεῖπνον αὐτῶν καὶ τὸν οἶνον τοῦ πόματος αὐτῶν

καὶ ἐδίδου αὐτοῖς σπέρματα. καὶ ἔδωκεν αὐτοῖς ὁ θεὸς, σύνε-
σιν καὶ φρόνησιν, ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ. καὶ δανιὴλ
συνῆκεν, ἐν πάσῃ ὁράσει, καὶ ἐνυπνίοις, καὶ μετὰ τὸ τέλος τῶν
ἡμερῶν. ὧν εἶπεν ὁ βασιλεὺς εἰσαγαγεῖν αὐτούς. καὶ εἰσήγαγεν
αὐτοὺς ὁ ἀρχιευνοῦχος, ἐναντίον ναβουχοδονόσορ. καὶ ἐλάλησε
μετ᾽ αὐτῶν ὁ βασιλεύς. καὶ οὐχ εὑρέθησαν ἐκ πάντων αὐτῶν,
ὅμοιοι δανιήλ. καὶ ἀνανίᾳ. καὶ μισαὴλ, καὶ ἀζαρίᾳ. καὶ ἔστησαν
ἐνώπιον τοῦ βασιλέως, καὶ ἐν παντὶ ῥήματι σοφίας, καὶ ἐπιστή-
μης. ὅσα ἐζήτησε παρ᾽ αὐτῶν ὁ βασιλεὺς, εὗρεν αὐτοὺς δεκαπλα-
σίονας, παρὰ πάντας τοὺς ἐπαοιδοὺς καὶ τοὺς μάγους τοὺς ὄντας
ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐγένετο δανιὴλ, ἕως ἔτους ἑνὸς
κύρου τοῦ βασιλέως.

Κεφάλαιον. β. 2.

Ν τῷ ἔτει τῷ δευτέρῳ τῆς βασιλείας ναβουχοδο-
a νόσορ, ἐνυπνιάσθη ναβουχοδονόσορ ἐνύπνιον, καὶ ἐξέ-
στη τὸ πνεῦμα αὐτοῦ. καὶ ὁ ὕπνος αὐτοῦ, ἐγένετο ἀπ᾽
αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς. καλέσατε τοὺς ἐπαοιδούς. καὶ τοὺς
μάγους καὶ τοὺς φαρμακούς. καὶ τοὺς χαλδαίους τοῦ ἀναγγεῖλαι
τῷ βασιλεῖ, τὸ ἐνύπνιον αὐτοῦ. καὶ ἦλθον καὶ ἔστησαν ἐνώπιον τοῦ
βασιλέως. καὶ εἶπεν αὐτοῖς ὁ βασιλεύς. ἐνυπνιάσθην καὶ ἐξέστη
τὸ πνεῦμά μου, τοῦ γνῶναι τὸ ἐνύπνιον. καὶ ἐλάλησαν οἱ χαλδαῖοι
τῷ βασιλεῖ, συριστί. βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι. σὺ εἶπον τὸ
ἐνύπνιον τοῖς παισί σου. καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελοῦμεν.
ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε τοῖς χαλδαίοις. ὁ λόγος ἀπ᾽ ἐμοῦ
ἀπέστη. ἐὰν οὖν μὴ γνωρίσητέ μοι τὸ ἐνύπνιον. καὶ τὴν σύγκρι-
σιν αὐτοῦ, εἰς ἀπώλειαν ἔσεσθε. καὶ οἱ οἶκοι ἡμῶν διαρπαγή-
σονται. ἐὰν δὲ τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν αὐτοῦ γνωρίση-
τέ μοι. δόματα καὶ δωρεὰς καὶ τιμὴν πολλὴν λήψεσθε παρ᾽
ἐμοῦ. πλὴν τὸ ἐνύπνιον καὶ τὴν σύγκρισιν ἀπαγγείλατέ μοι. ἀπε-
κρίθησαν δεύτερον, καὶ εἶπον. ὁ βασιλεὺς εἰπάτω τὸ ἐνύπνιον

τοῖς παισὶν αὐτοῦ, καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγελοῦμεν. καὶ
ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν· ἐπ' ἀληθείας οἶδα ἐγώ· ὅτι και-
ρὸν ὑμεῖς ἐξαγοράζετε. καὶ ὅτι εἴδετε, ὅτι ἀπέστη ἀπ' ἐμοῦ τὸ ῥῆμα.
ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγείλητέ μοι, οἶδα, ὅτι ῥῆμα ψευδὲς
καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν, ἐνώπιόν μου ἕως οὗ ὁ καιρὸς
παρέλθῃ. τὸ ἐνύπνιόν μου εἴπατέ μοι. καὶ γνώσομαι ὅτι καὶ τὴν
σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι. καὶ ἀπεκρίθησαν πάλιν οἱ χαλ-
δαῖοι ἐνώπιον τοῦ βασιλέως καὶ λέγουσιν. οὐκ ἔστιν ἄνθρωπος ἐπὶ
τῆς ξηρᾶς. ὃς τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται γνωρίσαι. καθό-
τι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων. ῥῆμα τοιοῦτον οὐκ ἐπερωτᾷ
ἐπαοιδὸν χαλδαῖον. ὅτι ὁ λόγος ὃν ὁ βασιλεὺς ἐπερωτᾷ. βα-
ρύς. καὶ ἕτερος οὐκ ἔστιν ὃς ἐπαγγελεῖ αὐτὸν ἐνώπιον τοῦ βασιλέ-
ως. ἀλλ' οἱ θεοὶ. ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης σαρκός. τότε
ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ εἶπεν ἀπολέσαι πάντας
τοὺς σοφοὺς βαβυλῶνος. καὶ τὸ δόγμα ἐξῆλθε. καὶ οἱ σοφοὶ ἀπε-
κτέννοντο. καὶ ἐζήτησαν δανιὴλ. καὶ τοὺς φίλους ἀνελεῖν. τότε ὁ δα-
νιὴλ ἀπεκρίθη βουλὴν. καὶ γνώμην τῷ ἀριὼχ τῷ ἀρχιμαγεί-
ρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀνελεῖν τοὺς σοφοὺς βαβυλῶνος. καὶ
ἐπυνθάνετο αὐτοῦ. λέγων. ἄρχων τοῦ βασιλέως. περὶ τίνος ἐξῆλ-
θεν ἡ γνώμη ἡ ἀναιδὴς. ἐκ προσώπου τοῦ βασιλέως. ἐγνώρισε
δὲ ὁ ἀριὼχ τὸ ῥῆμα τῷ δανιὴλ. καὶ δανιὴλ εἰσῆλθε, καὶ ἠξίω-
σεν ὅπως χρόνον δῷ αὐτῷ. καὶ τὴν σύγκρισιν αὐτοῦ ἀπαγγεί-
λῃ τῷ βασιλεῖ. καὶ εἰσῆλθε δανιὴλ εἰς τὸν οἶκον αὐτοῦ. καὶ τῷ
ἀνανίᾳ. καὶ τῷ ἀζαρίᾳ. καὶ τῷ μισαὴλ, τοῖς φίλοις αὐτοῦ, τὸ
ῥῆμα ἐγνώρισε. καὶ οἰκτιρμοὺς ἐζήτουν παρὰ τοῦ θεοῦ τοῦ οὐρανοῦ
ὑπὲρ τοῦ μυστηρίου τούτου. ὅπως μὴ ἀπόλωνται δανιὴλ. καὶ οἱ φί-
λοι αὐτοῦ, μετὰ τῶν ἐπιλοίπων σοφῶν βαβυλῶνος. τότε τῷ δα-
νιὴλ, ἐν ὁράματι τῆς νυκτὸς, μυστήριον ἀπεκαλύφθη. καὶ εὐλόγη-
σε τὸν θεὸν τοῦ οὐρανοῦ δανιὴλ, καὶ εἶπεν, εἴη τὸ ὄνομα τοῦ θεοῦ εὐ-
λογημένον, ἀπὸ τοῦ αἰῶνος. καὶ ἕως τοῦ αἰῶνος. ὅτι ἡ σοφία, καὶ

ἡ σύνεσις αὐτοῦ ἐστί. καὶ αὐτὸς ἀλλοιοῖ καιροὺς καὶ χρόνους.
καθιστᾷ βασιλεῖς. καὶ μεθιστᾷ. διδοὺς σοφίαν τοῖς σοφοῖς
καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν. καὶ αὐτὸς ἀποκαλύπτει βα-
θέα καὶ ἀπόκρυφα. γινώσκων τὰ ἐν τῷ σκότει. καὶ τὸ φῶς μετ'
αὐτοῦ ἐστι. σὺ ὁ θεὸς τῶν πατέρων ἡμῶν, ἐξομολογοῦμαι καὶ αἰ-
νῶ. ὅτι σοφίαν καὶ δύναμιν ἔδωκάς μοι. καὶ ἐγνώρισάς μοι, ἃ
ἠξιώσαμεν παρὰ σοῦ. Καὶ τὸ ῥῆμα τοῦ βασιλέως, ἐγνώρισάς
μοι. καὶ ἦλθε δανιὴλ πρὸς ἀριὼχ. ὃν κατέστησεν ὁ βασιλεὺς ἀπο-
λέσαι τοὺς σοφοὺς βαβυλῶνος. καὶ εἶπεν αὐτῷ. τοὺς σοφοὺς βαβυ-
λῶνος μὴ ἀπολέσῃς. εἰσάγαγε δέ με ἐνώπιον τοῦ βασιλέως·
καὶ τὴν σύγκρισιν τῷ βασιλεῖ ἀναγγελῶ. τότε ἀριὼχ ἐν σπου-
δῇ εἰσήγαγε τὸν δανιὴλ ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ
εὕρηκα ἄνδρα ἐκ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, ὅσ-
τις τὸ σύγκριμα τῷ βασιλεῖ, ἀναγγελεῖ. καὶ ἀπεκρίθη ὁ βασιλεὺς
καὶ εἶπε τῷ δανιὴλ οὗ τὸ ὄνομα βαλτάσαρ. εἰ δύνασαί μοι ἀναγγεῖ-
λαι τὸ ἐνύπνιον ὃ εἶδον καὶ τὴν σύγκρισιν αὐτοῦ. καὶ ἀπεκρίθη
δανιὴλ ἐνώπιον τοῦ βασιλέως καὶ εἶπε. τὸ μυστήριον ὃ ὁ βασιλεὺς
ἐπερωτᾷ οὐκ ἔστι, σοφῶν μάγων ἐπαοιδῶν γαζαρηνῶν ἀναγγεῖ-
λαι τῷ βασιλεῖ, ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ ὁ ἀποκαλύπτων μυστή-
ρια. καὶ ἐγνώρισε τῷ βασιλεῖ ναβουχοδονόσορ, ἃ δεῖ γενέσθαι
ἐπ' ἐσχάτων τῶν ἡμερῶν. τὸ ἐνύπνιόν σου, καὶ ἡ ὅρασις τῆς κε-
φαλῆς σου ἐπὶ τῆς κοίτης σου, τοῦτό ἐστι σὺ βασιλεῦ οἱ διαλογι-
σμοί σου ἐπὶ τῆς κοίτης σου ἀνέβησαν τί δεῖ γενέσθαι μετὰ ταῦ-
τα. καὶ ἀποκαλύπτων μυστήρια. ἐγνώρισέ σοι ἃ δεῖ γενέσθαι.
καὶ ἐμοὶ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ παρὰ πάντας τοὺς ζῶντας
τὸ μυστήριον τοῦτο ἀπεκαλύφθη. ἀλλ' ἕνεκεν τοῦ τὴν σύγκρισιν
τῷ βασιλεῖ γνωρίσαι, ἵνα τοὺς διαλογισμοὺς τῆς καρδίας σου
γνῷς. σὺ βασιλεῦ ἐθεώρεις καὶ ἰδοὺ εἰκὼν μία μεγάλη. καὶ ἡ
εἰκὼν ἐκείνη καὶ ἡ ὄψις αὐτῆς ὑπερφερής. ἑστῶσα πρὸ προσώ-
πού σου, καὶ ἡ ὅρασις αὐτῆς φοβερά. εἰκὼν ἧς ἡ κεφαλὴ χρυσίου

καθαροῦ· αἱ χεῖρες, καὶ τὸ στῆθος, καὶ οἱ βραχίονες αὐτῆς, ἀργυ-
ροῖ· ἡ κοιλία καὶ οἱ μηροὶ χαλκοῖ· αἱ κνῆμαι, σιδηραῖ· οἱ πό-
δες μέρος μέν τι σιδηροῦν, καὶ μέρος δέ τι ὀστράκινον. ἐθεώρεις
ἕως οὗ ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκό-
να ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς, καὶ τοὺς ὀστρακίνους· καὶ ἐλέπτυνεν
αὐτοὺς εἰς τέλος. τότε ἐλεπτύνθησαν εἰσάπαξ τὸ ὄστρακον· ὁ σίδη-
ρος· ὁ χαλκός· ὁ ἄργυρος· ὁ χρυσός· καὶ ἐγένοντο ὡς εἰ κονιορτὸς
ἀπὸ ἅλωνος θερινῆς· καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ πνεύματος, καὶ
τόπος οὐχ εὑρέθη αὐτοῖς, καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα, ἐγε-
νήθη ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. τοῦτό ἐστι τὸ ἐνύ-
πνιον, καὶ τὴν σύγκρισιν αὐτοῦ, ἐροῦμεν ἐνώπιον τοῦ βασιλέως. σὺ
βασιλεῦ βασιλεὺς βασιλέων· ᾧ ὁ θεὸς τὴν βασιλείαν ἰσχυρὰν
καὶ κραταιὰν καὶ ἔντιμον, ἔδωκεν ἐν παντὶ τόπῳ ὅπου κατοικοῦ-
σιν οἱ υἱοὶ τῶν ἀνθρώπων· θηρία τε ἀγροῦ καὶ πετεινὰ οὐρανοῦ καὶ ἰχθύ-
ας τῆς θαλάσσης ἔδωκεν ἐν τῇ χειρί σου· καὶ κατέστησέ σε κύριον πάντων
σὺ εἶ ἡ κεφαλὴ ἡ χρυσῆ· καὶ ὀπίσω σου ἀναστήσεται βασιλεία ἑτέρα
ἥττων σου, καὶ βασιλεία τρίτη, ἥτις ἐστὶν ὁ χαλκός· ἣ κυριεύσει
πάσης τῆς γῆς· καὶ βασιλεία τετάρτη, ἥτις ἔσται ἰσχυρὰ ὡς σίδη-
ρος ὃν τρόπον ὁ σίδηρος λεπτύνει, καὶ δαμάζει πάντα, οὕτω πάν-
τα λεπτυνεῖ καὶ δαμάσει· καὶ ὅτι εἶδες τοὺς πόδας· καὶ τοὺς δακτύ-
λους· μέρος μέν τι ὀστράκινον· μέρος δέ τι σιδηροῦν, βασιλεία δι-
ῃρημένη ἔσται· καὶ ἀπὸ τῆς ῥίζης τῆς σιδηρᾶς, ἔσται ἐν αὐτῇ· ὃν τρόπον
εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ· καὶ οἱ δάκτυλοι τῶν
ποδῶν, μέρος μέν τι σιδηροῦν, μέρος δέ τι ὀστράκινον· μέρος δέ
τι τῆς βασιλείας ἔσται ἰσχυρόν· καὶ ἀπ᾽ αὐτῆς ἔσται συντριβόμενον
ὅτι εἶδες τὸν σίδηρον ἀναμεμιγμένον τῷ ὀστράκῳ · συμμιγεῖς
ἔσονται ἐν σπέρματι ἀνθρώπων, καὶ οὐκ ἔσονται προσκολλώμενοι οὗτος
μετὰ τούτου· καθὼς ὁ σίδηρος οὐκ ἀναμίγνυται μετὰ ὀστράκου· καὶ ἐν
ταῖς ἡμέραις τῶν βασιλέων ἐκείνων, ἀναστήσει ὁ θεὸς τοῦ οὐρανοῦ βασι-
λείαν· ἥτις εἰς τοὺς αἰῶνας, οὐ διαφθαρήσεται καὶ ἡ βασιλεία αὐτοῦ,

λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται λεπτυνεῖ καὶ λικμήσει πάσας τὰς βασιλείας· καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας· ὃν τρόπον εἶδες, ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος· ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸ ὄστρακον· τὸν σίδηρον· τὸν χαλκόν· τὸν ἄργυρον τὸν χρυσόν· ὁ θεὸς ὁ μέγας, ἐγνώρισε τῷ βασιλεῖ ἃ δεῖ γενέσθαι μετὰ ταῦτα· καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ. τότε ὁ βασιλεὺς ναβουχοδονόσορ ἔπεσεν ἐπὶ πρόσωπον· καὶ τῷ δανιὴλ προσεκύνησε· καὶ μαναὰ καὶ εὐωδίας· καὶ εἶπε σπεῖσαι αὐτῷ· καὶ ἀποκριθεὶς ὁ βασιλεὺς, εἶπε τῷ δανιήλ· ἐπ' ἀληθείας ὁ θεὸς ὑμῶν, αὐτός ἐστι θεὸς θεῶν· καὶ κύριος τῶν βασιλέων ὁ ἀποκαλύπτων μυστήρια· ὅτι ἠδυνήθης ἀποκαλύψαι τὸ μυστήριον τοῦτο· καὶ ἐμεγάλυνε, ὁ βασιλεὺς τὸν δανιήλ· καὶ δόματα μεγάλα, καὶ πολλὰ ἔδωκεν αὐτῷ· καὶ κατέστησεν αὐτὸν, ἐπὶ πάσης χώρας βαβυλῶνος, καὶ ἄρχοντα σατραπῶν καὶ πάντας τοὺς σοφοὺς βαβυλῶνος· καὶ δανιὴλ ᾐτήσατο παρὰ τοῦ βασιλέως καὶ κατέστησεν ἐπὶ τὰ ἔργα τῆς χώρας βαβυλῶνος τὸν σιδρὰχ μισὰχ ἀβδεναγώ· καὶ δανιὴλ ἦν ἐν τῇ αὐλῇ τοῦ βασιλέως.

Κεφ. γ. 3.

α Τους ὀκτοκαιδεκάτου ναβουχοδονόσορ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν· ὕψος αὐτῆς πήχεων ἑξήκοντα· εὖρος αὐτῆς, πήχεων ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ δεηρᾶ· ἐν χώρᾳ βαβυλῶνος· καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς, καὶ τοὺς τοπάρχας· ἡγουμένους, καὶ τυράννους, καὶ τοὺς ἐπ' ἐξουσιῶν· καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος· ἧς ἔστησε ναβουχοδονόσορ ὁ βασιλεὺς, καὶ συνήχθησαν οἱ τοπάρχαι ὕπατοι στρατηγοί· ἡγούμενοι τύραννοι μεγάλοι οἱ ἐπ' ἐξουσιῶν· καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἧς ἔστησε ναβουχοδονόσορ ὁ βασιλεὺς καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος· ἔστησεν ναβουχοδονόσορ ὁ βασιλεὺς καὶ

ὁ κῆρυξ

ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ. Ὑμῖν λέγεται ἔθνη λαοὶ φυλαὶ γλῶσσαι ἣ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος. σύριγγός τε, καὶ κιθάρας. σαμβύκης τε, καὶ ψαλτηρίου, καὶ παντὸς συμφωνίας γένους μουσικῶν πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησε ναβουχοδονόσορ ὁ βασιλεύς. καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ ἐγένετο ὅτε ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος σύριγγός τε καὶ κιθάρας σαμβύκης τε, καὶ ψαλτηρίου καὶ παντὸς γένους μουσικῶν πίπτοντες οἱ λαοί. φυλαί. γλῶσσαι προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησεν ναβουχοδονόσορ ὁ βασιλεύς. τότε προσῆλθον ἄνδρες χαλδαῖοι, καὶ διέβαλον τοὺς ἰουδαίους. καὶ ὑπολαβόντες εἶπον. Ναβουχοδονόσορ τῷ βασιλεῖ. Βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι. σὺ βασιλεῦ ἔθηκας δόγμα πάντα ἄνθρωπον. ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος. σύριγγός τε καὶ κιθάρας σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας. καὶ παντὸς γένους μουσικῶν. καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. εἰσὶν οὖν ἄνδρες ἰουδαῖοι οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας βαβυλῶνος σιδρὰχ μισάχ, ἀβδεναγώ. οἱ ἄνδρες ἐκεῖνοι. οὐχ ὑπήκουσαν βασιλεῦ τῷ δόγματί σου. καὶ τοῖς θεοῖς σου, οὐ λατρεύουσι. καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησας οὐ προσκυνοῦσι. τότε ὁ ναβουχοδονόσορ ἐν θυμῷ, καὶ ὀργῇ. εἶπεν ἀγαγεῖν τὸν σιδρὰχ, μισὰχ, καὶ ἀβδεναγώ. καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπεκρίθη ναβουχοδονόσορ, καὶ εἶπεν αὐτοῖς. εἰ ἀληθῶς σιδρὰχ, μισὰχ, ἀβδεναγὼ. τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησα οὐ προσκυνεῖτε; νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγός τε, καὶ κιθάρας σαμβύκης τε καὶ ψαλτηρίου, καὶ συμφωνίας. καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ ἣν ἔστησα. ἐὰν

δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κά-
μινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστι θεὸς ὃς ἐξελεῖται ὑ-
μᾶς ἐκ τῶν χειρῶν μου. καὶ ἀπεκρίθησαν σιδρὰχ, μισὰχ, ἀβδενα-
γώ. λέγοντες τῷ βασιλεῖ ναβουχοδονόσορ. οὐ χρείαν ἔχομεν
ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι. ἐστὶ γὰρ θεὸς ἡ-
μῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν. δυνατὸς ἐξελέσθαι ἡμᾶς,
ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης. καὶ ἐκ τῶν χειρῶν σου
βασιλεῦ, ῥύσεται ἡμᾶς. καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι βα-
σιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυ-
σῇ ᾗ ἔστησας οὐ προσκυνοῦμεν. τότε ὁ ναβουχοδονόσορ, ἐπλή-
σθη θυμοῦ. καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ, ἠλλοιώθη, ἐπὶ σιδρὰχ
μισὰχ, καὶ ἀβδεναγώ, καὶ εἶπεν. ἐκκαῦσαι τὴν κάμινον ἑπτα-
πλασίως, ἕως τοῦ εἰς τέλος ἐκκαῇ, καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶ-
πε. πεδήσαντες τὸν σιδρὰχ, μισὰχ, καὶ ἀβδεναγώ, ἐμβαλεῖν
εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. τότε οἱ ἄνδρες ἐκεῖνοι
ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις. καὶ περι-
κνημήσι, καὶ ἐνδύμασιν αὐτῶν. καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς
καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑ-
περίσχυσεν. καὶ ἡ κάμινος. ἐξεκαύθη ὑπὲρ ἐκ περισσοῦ, ἑπτα-
πλασίως καὶ οἱ τρεῖς οὗτοι σιδρὰχ, μισὰχ, καὶ ἀβδεναγώ. ἔπε-
σον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι.
καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογός. ὑμνοῦντες τὸν θεόν.
Καὶ ναβουχοδονόσορ ἤκουσεν ὑμνούντων αὐτῶν. καὶ ἐθαύμα-
σε. καὶ ἐξανέστη ἐν σπουδῇ καὶ εἶπε τοῖς μεγιστᾶσιν αὐτοῦ. οὐχὶ ἄν-
δρες τρεῖς ἐβάλομεν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς πεπεδημέ-
νους; καὶ εἶπεν τῷ βασιλεῖ. ἀληθῶς βασιλεῦ. καὶ εἶπεν ὁ βασιλεὺς
ὧδε ἐγὼ ὁρῶ ἄνδρας τέσσαρας λελυμένους, καὶ περιπατοῦντας
ἐν μέσῳ τοῦ πυρὸς καὶ διαφθορὰ οὐκ ἔστιν ἐν αὐτοῖς. καὶ ἡ ὅρασις
τοῦ τετάρτου, ὁμοία υἱῷ θεοῦ. τότε προσῆλθεν ναβουχοδονόσορ
πρὸς τὴν θύραν τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης. καὶ εἶπε σι-

σιδρὰχ, μισὰχ καὶ ἀβδεναγὼ οἱ δοῦλοι τοῦ θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε. καὶ ἐξῆλθε σιδρὰχ μισὰχ καὶ ἀβδεναγὼ ἐκ μέσου τοῦ πυρός. καὶ συνάγονται, οἱ σατράπαι, καὶ οἱ στρατηγοί. καὶ οἱ τοπάρχαι. καὶ οἱ δυνατοὶ τοῦ βασιλέως. καὶ ἐθεώρουν τοὺς ἄνδρας ὅτι οὐκ ἐκυρίευσε τὸ πῦρ τοῦ σώματος αὐτῶν. καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτῶν, οὐκ ἐφλογίσθη. καὶ τὰ σαράβαρα αὐτῶν οὐκ ἠλλοιώθη. καὶ ὀσμὴ πυρὸς, οὐκ ἦν ἐν αὐτοῖς. καὶ προσεκύνησεν ἐνώπιον αὐτῶν ὁ βασιλεὺς τῷ κυρίῳ. καὶ ἀπεκρίθη ναβουχοδονόσορ ὁ βασιλεὺς, καὶ εἶπεν εὐλογητὸς ὁ θεὸς τοῦ σιδρὰχ, μισὰχ καὶ ἀβδεναγὼ ὃς ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ. καὶ ἐξείλετο τοὺς παῖδας αὐτοῦ. ὅτι ἐπεποίθεισαν ἐπ' αὐτῷ, καὶ τὸ ῥῆμα τοῦ βασιλέως ἠλλοίωσαν. καὶ παρέδωκαν τὰ σώματα αὐτῶν εἰς πῦρ, ὅπως μὴ λατρεύσωσι μηδὲ προσκυνήσωσι παντὶ θεῷ, ἀλλ' ἢ τῷ θεῷ αὐτῶν. καὶ ἐγὼ ἐκτίθεμαι δόγμα. πᾶς λαὸς, φυλὴ, γλῶσσα. ἣ ἂν εἴπῃ βλασφημίαν κατὰ τοῦ θεοῦ σιδρὰχ, μισὰχ, καὶ ἀβδεναγώ. εἰς ἀπώλειαν ἔσονται. καὶ οἱ οἶκοι αὐτῶν εἰς διαρπαγήν. καθότι οὐκ ἔστι θεὸς ἕτερος ὅστις δυνήσεται ῥύσασθαι, οὕτως. τότε ὁ βασιλεὺς κατηύθυνε τὸν σιδρὰχ μισὰχ, καὶ ἀβδεναγὼ, ἐν τῇ χώρᾳ βαβυλῶνος καὶ ηὔξησεν αὐτούς. καὶ ἠξίωσεν αὐτοὺς ἡγεῖσθαι πάντων τῶν ἰουδαίων, τῶν ὄντων ἐν τῇ βασιλείᾳ αὐτοῦ. ναβουχοδονόσορ ὁ βασιλεὺς πᾶσι τοῖς λαοῖς. φυλαῖς. γλώσσαις. τοῖς κατοικοῦσιν ἐν πάσῃ τῇ γῇ. εἰρήνη ὑμῖν. Πληθυνθείη τὰ σημεῖα καὶ τὰ τέρατα ἃ ἐποίησε μετ' ἐμοῦ ὁ θεὸς ὁ ὕψιστος, ἤρεσεν ἐναντίον ἐμοῦ ἀναγγεῖλαι ὑμῖν. ὡς μεγάλα, καὶ ἰσχυρὰ, ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος. καὶ ἡ ἐξουσία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν.

Κεφ. δ. 4.

Γὼ ναβουχοδονόσορ, εὐθηνῶν ἤμην ἐν τῷ οἴκῳ μου,
ε καὶ εὐθαλῶν ἐπὶ τοῦ θρόνου μου. ἐνύπνιον εἶδον καὶ
ἐφοβέρισέ με. καὶ ἐταράχθην ἐπὶ τῆς κοίτης μου.

καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου, συνετάραξάν με. καὶ δι' ἐμοῦ ἐτέθη δόγμα τοῦ εἰσαγαγεῖν ἐνώπιόν μου, πάντας τοὺς σοφοὺς βαβυλῶνος. ὅπως τὴν σύγκρισιν τοῦ ἐνυπνίου γνωρίσωσί μοι. καὶ εἰσεπορεύοντο οἱ ἐπαοιδοὶ μάγοι, γαζαρηνοί. χαλδαῖοι. καὶ τὸ ἐνύπνιον ἐγὼ εἶπα ἐνύπνιον αὐτῶν. καὶ τὴν σύγκρισιν αὐτῶν οὐκ ἐγνώρισάν μοι ἕως ἦλθε δανιὴλ οὗ τὸ ὄνομα βαλτάσαρ κατὰ τὸ ὄνομα τοῦ θεοῦ μου, ὃς πνεῦμα θεοῦ ἅγιον ἐν ἑαυτῷ ἔχει. καὶ τὸ ἐνύπνιον ἐνώπιον αὐτοῦ εἶπα. βαλτάσαρ ὁ ἄρχων τῶν ἐπαοιδῶν. ὃν ἐγὼ ἔγνων. ὅτι πνεῦμα θεοῦ ἅγιον, ἐν σοί. καὶ μυστήριον οὐκ ἀδυνατεῖ σε. ἄκουσον τὴν ὅρασιν τοῦ ἐνυπνίου μου, οὗ εἶδον. καὶ τὴν σύγκρισιν αὐτοῦ εἰπόν μοι. καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου, ἐπὶ τῆς κοίτης μου. ἐθεώρουν. καὶ ἰδοὺ δένδρον ἐν μέσῳ τῆς γῆς καὶ τὸ ὕψος αὐτοῦ. πολύ. καὶ ἐμεγαλύνθη τὸ δένδρον. καὶ ἴσχυσε. καὶ τὸ ὕψος αὐτοῦ ἔφθασεν ἕως τοῦ οὐρανοῦ. καὶ τὸ κύτος αὐτοῦ εἰς τὰ πέρατα πάσης τῆς γῆς. τὰ φύλλα αὐτοῦ ὡραῖα, καὶ ὁ καρπὸς αὐτοῦ πολὺς καὶ τροφὴ πάντων ἐν αὐτῷ. καὶ ὑποκάτω αὐτοῦ κατεσκήνουν τὰ θηρία τὰ ἄγρια. καὶ ἐν τοῖς κλάδοις αὐτοῦ, κατῴκουν τὰ ὄρνεα τοῦ οὐρανοῦ. ἐξ αὐτοῦ ἐτρέφετο πᾶσα σάρξ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτὸς ἐπὶ τῆς κοίτης μου. καὶ ἰδού, εἲρ. καὶ ἅγιος ἀπ' οὐρανοῦ κατέβη, καὶ ἐφώνησεν ἐν ἰσχύϊ, καὶ οὕτως εἶπεν ἐκκόψατε τὸ δένδρον, καὶ ἐκτίλατε τοὺς κλάδους αὐτοῦ. καὶ ἐκτινάξατε τὰ φύλλα αὐτοῦ. καὶ διασκορπίσατε τὸν καρπὸν αὐτοῦ. σαλευθήτωσαν τὰ θηρία ὑποκάτωθεν αὐτοῦ, καὶ τὰ ὄρνεα ἀπὸ τῶν κλάδων αὐτοῦ. πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ, ἐν τῇ γῇ. ἐάσατε. καὶ ἐν δεσμῷ σιδηρῷ. καὶ χαλκῷ. καὶ ἐν τῇ χλόῃ τῇ ἔξω καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται. καὶ μετὰ τῶν θηρίων ἡ μερὶς αὐτοῦ. ἐν τῷ χόρτῳ τῆς γῆς, ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀνθρώπων ἀλλοιωθήσεται. καὶ καρδία θηρίου δοθήσεται αὐτῷ. καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπ' αὐτόν. διὰ συγκρίματος εἲρ. ὁ λόγος καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα ἵνα γνῶσιν οἱ ζῶν-

τες. ὅτι κύριός ἐστιν ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων. καὶ
ᾧ ἐὰν δόξῃ, δοθήσεται αὐτήν. καὶ ἐξουδένωμα ἀνθρώπων ἀ-
ναστήσει ἐπ' αὐτήν. τοῦτο τὸ ἐνύπνιον ὃ εἶδον ἐγὼ ὁ βασιλεὺς να-
βουχοδονόσορ, καὶ σὺ βαλτάσαρ τὸ σύγκριμα εἰπόν. ὅτι πάντες οἱ
σοφοὶ τῆς βασιλείας μου, οὐ δύνανται τὸ σύγκριμα αὐτοῦ δη-
λῶσαι. σὺ δὲ δανιὴλ δύνασαι. ὅτι πνεῦμα θεοῦ ἅγιον ἐν σοί.
τότε δανιήλ. οὗ τὸ ὄνομα βαλτάσαρ, ἀπηνεώθη ὡσεὶ ὥραν μί-
αν. καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. καὶ ἀπεκρί-
θη ὁ βασιλεὺς, καὶ εἶπε. βαλτάσαρ. τὸ ἐνύπνιον καὶ ἡ σύγκρισις,
μὴ κατασπευσάτω σε. ἀπεκρίθη βαλτάσαρ καὶ εἶπε κύριε. ἔστω
τὸ ἐνύπνιον τοῦτο τοῖς μισοῦσί σε, καὶ ἡ σύγκρισις αὐτοῦ τοῖς ἐ-
χθροῖς σου. τὸ δένδρον ὃ εἶδες τὸ μεγαλυνθὲν, καὶ τὸ ἰσχυκός. οὗ
τὸ ὕψος ἔφθασεν εἰς τὸν οὐρανόν. καὶ τὸ κύτος αὐτοῦ εἰς πᾶσαν τὴν
γῆν, καὶ τὰ φύλλα αὐτοῦ, εὐθαλῆ, καὶ ὁ καρπὸς αὐτοῦ πολύς. καὶ
τροφὴ πᾶσιν ἐν αὐτῷ. ὑπὸ κάτω αὐτοῦ, κατῴκουν τὰ θηρία τὰ
ἄγρια. καὶ ἐν τοῖς κλάδοις αὐτοῦ κατεσκήνουν τὰ ὄρνεα τοῦ οὐρα-
νοῦ. σὺ εἶ βασιλεῦ. ὅτι ἐμεγαλύνθης. καὶ ἴσχυσας. καὶ ἡ με-
γαλωσύνη σου ἐμεγαλύνθη. καὶ ἔφθασεν εἰς τὸν οὐρανὸν, καὶ ἡ κυ-
ρεία σου, εἰς τὰ πέρατα τῆς γῆς. καὶ ὅτι εἶδεν ὁ βασιλεὺς εἶρ, τὸν
ἅγιον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ. καὶ εἶπεν. ἐκτίλατε τὸ δένδρον,
καὶ διαφθείρατε αὐτό. πλὴν τὴν φυὴν τῶν ῥιζῶν αὐτοῦ ἐν τῇ
γῇ, ἐάσατε ἐν δεσμῷ σιδηρῷ καὶ χαλκῷ, καὶ ἐν τῇ χλόῃ τῇ ἔξω
καὶ ἐν τῇ δρόσῳ τοῦ οὐρανοῦ αὐλισθήσεται. καὶ μετὰ θηρίων ἀ-
γρίων ἡ μερὶς αὐτοῦ. ἕως οὗ ἑπτὰ καιροὶ ἀλλοιωθῶσιν ἐπ' αὐτόν.
τοῦτο ἡ σύγκρισις αὐτοῦ βασιλεῦ, καὶ σύγκριμα ὑψίστου τοῦτ' ἔ-
στιν. ὃ ἔφθασεν ἐπὶ τὸν κύριόν μου τὸν βασιλέα, καὶ σὲ ἐκδιώξου-
σιν ἀπὸ τῶν ἀνθρώπων, καὶ μετὰ θηρίων ἀγρίων ἔσται ἡ κατοικία
σου. καὶ χόρτον ὡς βοῦν ψωμιοῦσί σε. καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐ-
ρανοῦ αὐλισθήσῃ. καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σέ. ἕως οὗ
γνῷς, ὅτι κυριεύσει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων. καὶ

ᾧ ἐὰν δόξῃ δώσει αὐτήν. καὶ ὅτι εἶπον ἐάσατε τὴν φυὴν τῶν ῥιζῶν τοῦ δένδρου ἐν τῇ γῇ, ἡ βασιλεία σου σοὶ μενεῖ, ἀφ᾽ ἧς ἂν γνῷς τὴν ἐξουσίαν τὴν ἐπουράνιον. διατοῦτο βασιλεῦ ἡ βουλή μου ἀρεσάτω σοι, καὶ τὰς ἁμαρτίας σου, ἐν ἐλεημοσύναις λύτρωσαι. καὶ τὰς ἀδικίας σου, ἐν οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται μακρόθυμος τοῖς παραπτώμασί σου, ὁ θεός. ταῦτα πάντα ἐφθάρησαν ἐπὶ Ναβουχοδονόσορ τὸν βασιλέα. μετὰ δωδεκάμηνον, ἐπὶ τῷ ναῷ τῆς βασιλείας αὐτοῦ. ἐν Βαβυλῶνι περιπατῶν. ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπεν. οὐχ αὕτη ἐστὶ Βαβυλὼν ἡ μεγάλη, ἣν ἐγὼ ᾠκοδόμησα, εἰς οἶκον βασιλείας. ἐν τῷ κράτει τῆς ἰσχύος μου. εἰς τιμὴν τῆς δόξης μου. ἔτι τοῦ λόγου ἐν τῷ στόματι τοῦ βασιλέως ὄντος, φωνὴ ἀπ᾽ οὐρανοῦ ἐγένετο. σοὶ λέγεται Ναβουχοδονόσορ βασιλεῦ. ἡ βασιλεία σου, παρῆλθεν ἀπὸ σοῦ. καὶ ἀπὸ τῶν ἀνθρώπων, σε ἐκδιώξουσι, καὶ μετὰ θηρίων ἀγρίων ἡ κατοικία σου. καὶ χόρτον ὡς βοῦν, ψωμιοῦσί σε, καὶ ἑπτὰ καιροὶ ἀλλαγήσονται ἐπὶ σε, ἕως οὗ γνῷς, ὅτι κυριεύει ὁ ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων καὶ ᾧ ἂν δόξῃ, δώσει αὐτήν. αὐτῇ τῇ ὥρᾳ ὁ λόγος συνετελέσθη ἐπὶ Ναβουχοδονόσορ. καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη. καὶ χόρτον ὡς βοῦς ἤσθιε καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, τὸ σῶμα αὐτοῦ ἐβάφη. ἕως οὗ αἱ τρίχες αὐτοῦ, ὡς λεόντων ἐμεγαλύνθησαν, καὶ οἱ ὄνυχες αὐτοῦ, ὡς ὀρνέων. καὶ μετὰ τὸ τέλος τῶν ἡμερῶν, ἐγὼ Ναβουχοδονόσορ, τοὺς ὀφθαλμούς εἰς τὸν οὐρανὸν ἀνέλαβον, καὶ αἱ φρένες μου ἐπ᾽ ἐμὲ ἐπεστράφησαν. καὶ τῷ ὑψίστῳ ηὐλόγησα. καὶ τὸν ζῶντα εἰς τοὺς αἰῶνας. ᾔνεσα, καὶ ἐδόξασα. ὅτι ἐξουσία αὐτοῦ, ἐξουσία αἰώνιος. καὶ ἡ βασιλεία αὐτοῦ εἰς γενεὰν καὶ γενεάν. καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν, εἰς οὐδὲν ἐλογίσθησαν. καὶ κατὰ τὸ θέλημα αὐτοῦ ποιεῖ. ἐν τῇ δυναστείᾳ τοῦ οὐρανοῦ, καὶ ἐν τῇ κατοικίᾳ τῆς γῆς. καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ χειρὶ αὐτοῦ. καὶ ἐρεῖ αὐτῷ τί ἐποίησας. αὐτῷ τῷ καιρῷ, αἱ φρένες μου ἐπεστράφησαν ἐπ᾽ ἐμέ. καὶ εἰς τὴν τιμὴν τῆς βασιλείας μου ἦλθον. καὶ ἡ μορφή μου

ἐπέστρεψαν ἐπ' ἐμέ. καὶ οἱ τύραννοί μου. καὶ οἱ μεγιστᾶνές μου
ἐζήτουν με, καὶ ἐπὶ τὴν βασιλείαν μου, ἐκραταιώθη. καὶ μεγαλωσύνη
περισσοτέρα προσετέθη μοι. νῦν οὖν ἐγὼ ναβουχοδονόσορ, αἰ-
νῶ καὶ ὑπερυψῶ. καὶ δοξάζω τὸν βασιλέα τοῦ οὐρανοῦ. ὅτι πάντα
τὰ ἔργα αὐτοῦ ἀληθινά. καὶ αἱ τρίβοι αὐτοῦ, κρίσεις. καὶ πάντας
τοὺς πορευομένους ἐν ὑπερηφανίᾳ, δύναται ταπεινῶσαι.

## Κεφάλαιον ε 5.

B Αλτάσαρ ὁ βασιλεὺς, ἐποίησε δεῖπνον μέγα τοῖς
μεγιστᾶσιν αὐτοῦ ἀνδράσι χιλίοις, καὶ κατέναντι τῶν
χιλίων. ὁ οἶνος, καὶ πίνων βαλτάσαρ, εἶπεν ἐν τῇ
γεύσει τοῦ οἴνου τοῦ ἐνεγκεῖν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυ-
ρᾶ, ἃ ἐξήνεγκεν ναβουχοδονόσορ ὁ πατὴρ αὐτοῦ, ἐκ τοῦ ναοῦ
τοῦ ἐν ἱερουσαλήμ. καὶ πιέτωσαν ἐν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ
μεγιστᾶνες αὐτοῦ. καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παράκοιτοι αὐτοῦ.
καὶ ἠνέχθησαν τὰ σκεύη τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ ἃ ἐξήνεγκεν
ἐκ τοῦ ναοῦ τοῦ θεοῦ ἐν ἱερουσαλήμ, καὶ ἔπινον ἐν αὐτοῖς ὁ βασι-
λεὺς, καὶ οἱ μεγιστᾶνες αὐτοῦ. καὶ αἱ παλλακαὶ αὐτοῦ, καὶ αἱ παρά-
κοιτοι αὐτοῦ ἔπινον οἶνον. καὶ ᾔνεσαν τοὺς θεοὺς τοὺς χρυσοῦς καὶ ἀρ-
γυροῦς. καὶ χαλκοῦς, καὶ σιδηροῦς, καὶ ξυλίνους, καὶ λιθίνους, καὶ
τὸν θεὸν τὸν αἰώνιον, οὐκ εὐλόγησαν τὸν ἔχοντα τὴν ἐξουσίαν τοῦ
πνεύματος αὐτῶν. ἐν αὐτῇ τῇ ὥρᾳ ἐξῆλθον δάκτυλοι χειρὸς ἀν-
θρώπου. καὶ ἔγραφον κατέναντι τῆς λαμπάδος ἐπὶ τὸ κονίαμα τοῦ
τοίχου τοῦ οἴκου τοῦ βασιλέως. καὶ ὁ βασιλεὺς ἐθεώρει τοὺς ἀστρα-
γάλους τῆς χειρὸς τῆς γραφούσης. τότε τοῦ βασιλέως ἡ μορφὴ
ἠλλοιώθη καὶ οἱ διαλογισμοὶ αὐτοῦ συνετάρασσον αὐτόν. καὶ οἱ
σύνδεσμοι τῆς ὀσφύος αὐτοῦ διελύοντο, καὶ τὰ γόνατα αὐτοῦ συν-
εκροτοῦντο. καὶ ἐβόησεν ὁ βασιλεὺς ἐν ἰσχύϊ τοῦ εἰσαγαγεῖν μά-
γους, χαλδαίους, γαζαρηνούς. καὶ ἀπεκρίθη ὁ βασιλεὺς καὶ εἶπε
τοῖς σοφοῖς βαβυλῶνος ὃς ἂν ἀναγνῷ τὴν γραφὴν ταύτην. καὶ τὴν
σύγκρισιν αὐτῆς γνωρίσῃ μοι, πορφύραν ἐνδύσεται. καὶ ὁ μανιάκης

ὁ χρυσοῦς περὶ τὸν τράχηλον αὐτοῦ. καὶ τρίτος ἐν τῇ βασιλείᾳ μου ἄρξει
καὶ εἰσεπορεύοντο πάντες οἱ σοφοὶ τοῦ βασιλέως. καὶ οὐκ ἠδύναν
το τὴν γραφὴν ἀναγνῶναι. οὐδὲ τὴν σύγκρισιν γνωρίσαι τῷ
βασιλεῖ. καὶ ὁ βασιλεὺς βαλτάσαρ ἐταράχθη. καὶ ἡ μορφὴ αὐ
τοῦ, ἠλλοιώθη ἐπ' αὐτῷ. καὶ οἱ μεγιστᾶνες αὐτοῦ συνεταράσσοντο.
καὶ εἰσῆλθεν ἡ βασίλισσα εἰς τὸν οἶκον τοῦ πότου καὶ ἀπεκρίθη
ἡ βασίλισσα καὶ εἶπε, βασιλεῦ εἰς τὸν αἰῶνα ζῆθι. μὴ ταρασσέ
τωσάν σε οἱ διαλογισμοί σου. καὶ ἡ μορφή σου μὴ ἀλλοιούσθω.
ἔστιν ἀνὴρ ἐν τῇ βασιλείᾳ σου ἐν ᾧ πνεῦμα θεοῦ. καὶ ἐν ταῖς ἡ
μέραις τοῦ πατρός σου, γρηγόρησις, καὶ σύνεσις εὑρέθη ἐν αὐτῷ.
καὶ ὁ βασιλεὺς ναβουχοδονόσορ ὁ πατήρ σου ἄρχοντα ἐπαοιδῶν
μάγων χαλδαίων γαζαρηνῶν κατέστησεν αὐτόν. ὅτι πνεῦμα πε
ρισσὸν ἐν αὐτῷ. καὶ φρόνησις, καὶ σύνεσις, συγκρίνων ἐνύπνια,
καὶ ἀναγγέλλων κρατούμενα. καὶ λύων συνδέσμους δανιήλ. καὶ
ὁ βασιλεὺς ἐπέθηκεν ὄνομα αὐτῷ. βαλτάσαρ. νῦν οὖν κληθήτω
καὶ τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖ σοι. τότε δανιήλ. εἰσήχθη
ἐνώπιον τοῦ βασιλέως, καὶ εἶπεν ὁ βασιλεὺς τῷ δανιήλ, σὺ εἶ ὁ
δανιήλ. ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας ἧς ἤγα
γεν ὁ βασιλεὺς ὁ πατήρ μου; ἤκουσα περὶ σοῦ ὅτι πνεῦμα θεοῦ ἐν
σοί. καὶ γρηγόρησις, καὶ σύνεσις, καὶ σοφία περισσὴ εὑρέθη ἐν
σοί. καὶ νῦν εἰσῆλθον ἐνώπιόν μου οἱ σοφοὶ μάγοι. γαζαρηνοί. ἵνα
τὴν γραφὴν ταύτην ἀναγνῶσί μοι καὶ οὐκ ἠδυνήθησαν ἀναγγεῖ
λαί μοι καὶ ἐγὼ ἤκουσα περί σου ὅτι δύνασαι κρίματα συγκρῖ
ναι νῦν οὖν ἐὰν δυνηθῇς τὴν γραφὴν ταύτην ἀναγνῶναι. καὶ τὴν
σύγκρισιν αὐτῆς γνωρίσαι μοι. πορφύραν ἐνδύσῃ. καὶ ὁ μανι
άκης ὁ χρυσοῦς ἔσαι ἐπὶ τὸν τράχηλόν σου. καὶ τρίτος ἐν τῇ βασι
λείᾳ μου ἄρξεις. καὶ εἶπε δανιὴλ ἐνώπιον τοῦ βασιλέως τὰ δόμα
τά σου σοὶ ἔσω. καὶ τὴν δωρεὰν τῆς οἰκίας σου ἑτέρῳ δός. ἐγὼ
δὲ τὴν γραφὴν ἀναγνώσομαι τῷ βασιλεῖ. καὶ τὴν σύγκρισιν
αὐτῆς γνωρίσω σοι βασιλεῦ. ὁ θεὸς ὁ ὕψιστος τὴν βασιλείαν καὶ

καὶ τὴν μεγαλωσύνην καὶ τὴν τιμὴν καὶ τὴν δόξαν ἔδωκεν ναβουχοδονόσορ τῷ πατρί σου, καὶ ἀπὸ τῆς μεγαλωσύνης ἧς ἔδωκεν αὐτῷ πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, ἦσαν τρέμοντες καὶ φοβούμενοι ἀπὸ προσώπου αὐτοῦ, οὓς ἐβούλετο αὐτὸς ἀνῄρει· καὶ οὓς ἐβούλετο αὐτὸς ἔτυπτεν, καὶ οὓς ἐβούλετο αὐτὸς ὕψου καὶ οὓς ἐβούλετο αὐτὸς ἐταπείνου· καὶ ὅτε ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ τὸ πνεῦμα αὐτοῦ ἐκραταιώθη τοῦ ὑπερηφανεύσασθαι, κατηνέχθη ἀπὸ τοῦ θρόνου τῆς βασιλείας· καὶ ἡ τιμὴ ἀφῃρέθη ἀπ᾽ αὐτοῦ καὶ ἀπὸ τῶν ἀνθρώπων ἐξεδιώχθη· καὶ ἡ καρδία αὐτοῦ μετὰ τῶν θηρίων ἐδόθη· καὶ μετὰ τῶν ὀνάγρων ἡ κατοικία αὐτοῦ, καὶ χόρτον ὡς βοῦν, ἐψώμιζον αὐτόν· καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ, τὸ σῶμα αὐτοῦ ἐβάφη· ἕως οὗ ἔγνω, ὅτι κυριεύει κύριος ὁ θεὸς ὕψιστος τῆς βασιλείας τῶν ἀνθρώπων· καὶ ᾧ ἐὰν δόξῃ, δώσει αὐτήν, καὶ σὺ οὖν ὁ υἱὸς αὐτοῦ βαλτάσαρ οὐκ ἐταπείνωσας τὴν καρδίαν σου· κατενώπιον τοῦ θεοῦ, οὗ πάντα ταῦτα ἔγνως· καὶ ἐπὶ τὸν κύριον θεὸν τοῦ οὐρανοῦ ὑψώθης· καὶ τὰ σκεύη τοῦ οἴκου αὐτοῦ ἤνεγκας ἐνώπιόν σου· καὶ σὺ καὶ οἱ μεγιστᾶνές σου· καὶ αἱ παλλακαί σου· καὶ αἱ παράκοιτοί σου, οἶνον ἐπίνετε ἐν αὐτοῖς καὶ τοὺς θεοὺς τοὺς χρυσοῦς, καὶ ἀργυροῦς· καὶ σιδηροῦς· καὶ ξυλίνους· καὶ λιθίνους οἳ οὐ βλέπουσι· καὶ οἳ οὐκ ἀκούουσι καὶ οὐ γινώσκουσιν, ᾔνεσας, καὶ τὸν θεὸν οὗ ἡ πνοή σου ἐν χειρὶ αὐτοῦ καὶ πᾶσαι αἱ ὁδοί σου· αὐτὸν οὐκ ἐδόξασας· διὰ τοῦτο ἐκ προσώπου αὐτοῦ ἀπεστάλη ἀστράγαλος χειρὸς· καὶ τὴν γραφὴν ταύτην ἐνέταξε· καὶ αὕτη ἡ γραφὴ ἡ ἐντεταγμένη· μανή· θεκέλ· φαρές· τοῦτο τὸ σύγκριμα τοῦ ῥήματος· μανή· ἐμέτρησεν ὁ θεὸς τὴν βασιλείαν σου, καὶ ἐπλήρωσεν αὐτήν· θεκέλ· ἐστάθη ἐν ζυγῷ, καὶ εὑρέθη ὑστεροῦσα φαρές· διῄρηται ἡ βασιλεία σου καὶ ἐδόθη μήδοις καὶ πέρσαις· καὶ εἶπε βαλτάσαρ· καὶ ἐνέδυσαν τὸν δανιὴλ πορφύραν· καὶ τὸν μανιάκην τὸν χρυσοῦν· περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ· καὶ ἐκήρυξε περὶ αὐτοῦ εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν

τῆς βασιλείας. ἐν αὐτῇ τῇ νυκτὶ ἀνῃρέθη βαλτάσαρ ὁ βασιλεὺς ὁ
χαλδαῖος καὶ δαρεῖος ὁ μῆδος παρέλαβε τὴν βασιλείαν. ὢν
ἐτῶν ἑξήκοντα δύο.

Κεφάλαιον. ς. 6.

Αἰ ἤρεσεν ἐνώπιον δαρείου, καὶ κατέστησεν ἐπὶ τῆς
κ βασιλείας σατράπας ἑκατὸν εἴκοσι τοῦ εἶναι αὐτοὺς, ἐν
ὅλῃ τῇ βασιλείᾳ αὐτοῦ, καὶ ἐπάνω αὐτῶν, τακτικοὺς
τρεῖς, ὧν ἦν δανιὴλ εἷς ἐξ αὐτῶν. τοῦ ἀποδιδόναι αὐτοῖς τοὺς σα-
τράπας λόγον. ὅπως ὁ βασιλεὺς μὴ ἐνοχλῆται. καὶ ἦν δανιὴλ ὑπὲρ
αὐτούς. ὅτι πνεῦμα περισσὸν ἐν αὐτῷ. καὶ ὁ βασιλεὺς κατέστη-
σεν αὐτὸν, ἐφ' ὅλης τῆς βασιλείας αὐτοῦ. καὶ οἱ τακτικοὶ καὶ οἱ σα-
τράπαι, ἐζήτουν πρόφασιν εὑρεῖν κατὰ δανιήλ. καὶ πᾶσα πρόφα-
σις καὶ παράπτωμα, καὶ ἀμπλάκημα οὐκ εὑρέθη κατ' αὐτοῦ. ὅτι πι-
στὸς ἦν, καὶ εἶπον οἱ τακτικοί. οὐκ εὑρήσομεν κατὰ δανιὴλ πρό-
φασιν εἰ μὴ ἐν νομίμοις θεοῦ αὐτοῦ. τότε οἱ τακτικοὶ καὶ οἱ σα-
τράπαι, παρέστησαν τῷ βασιλεῖ καὶ εἶπαν αὐτῷ. δαρεῖε βασιλεῦ
εἰς τοὺς αἰῶνας ζῆθι. συνεβουλεύσαντο πάντες οἱ ἐπὶ τῆς βασιλεί-
ας σου. στρατηγοί. καὶ σατράπαι. ὕπαρχοι, καὶ τοπάρχαι. τοῦ στῆσαι
στάσει βασιλικῇ. καὶ ἐνισχῦσαι ὁρισμόν. ὅπως αἰτήσηται αἴτη-
μα παρὰ παντὸς τοῦ θεοῦ καὶ ἀνθρώπου. ἕως ἡμερῶν τριάκοντα
ἀλλ' ἢ παρὰ σοῦ βασιλεῦ, ἐμβληθήσεται εἰς τὸν λάκκον τῶν λε-
όντων. νῦν οὖν βασιλεῦ στῆσον τὸν ὁρισμὸν ὅπως μὴ ἀλλοιωθῇ τὸ
δόγμα περσῶν καὶ μήδων. τότε ὁ βασιλεὺς δαρεῖος, ἐπέταξε
γραφῆναι τὸ δόγμα. καὶ δανιὴλ ἡνίκα ἔγνω ὅτι ἐνετάγη τὸ δό-
γμα, εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. καὶ αἱ θυρίδες ἀνεωγμέναι αὐ-
τῷ ἐν τοῖς ὑπερῴοις κατέναντι ἱερουσαλήμ. καὶ καιροὺς τρεῖς τῆς
ἡμέρας ἦν κάμπτων ἐπὶ τὰ γόνατα αὐτοῦ. καὶ προσευχόμενος
καὶ ἐξομολογούμενος ἐναντίον τοῦ θεοῦ αὐτοῦ. καθὼς ἦν ποιῶν ἔμ-
προσθεν. τότε οἱ ἄνδρες ἐκεῖνοι παρετήρησαν. καὶ εὗρον τὸν δα-
νιὴλ ἀξιοῦντα καὶ δεόμενον τοῦ θεοῦ αὐτοῦ. καὶ προσελθόντες λέ-

γουσι τῷ βασιλεῖ· βασιλεῦ· οὐχ ὁρισμὸν ἔταξας· ὅπως πᾶς ἄν-
θρωπος ὃς ἂν αἰτήσῃ παρὰ παντὸς τοῦ θεοῦ καὶ ἀνθρώπου αἴτη-
μα ἕως ἡμερῶν τριάκοντα ἀλλ᾽ ἢ παρὰ σοῦ βασιλεῦ, ἐμβληθή-
σεται εἰς τὸν λάκκον τῶν λεόντων· καὶ εἶπεν ὁ βασιλεύς· ἀληθι-
νὸς ὁ λόγος· καὶ τὸ δόγμα μήδων, καὶ περσῶν οὐ παρελεύσεται,
καὶ τότε ἀπεκρίθησαν καὶ λέγουσιν ἐνώπιον τοῦ βασιλέως· δα-
νιὴλ ὁ ἀπὸ τῶν υἱῶν τῆς αἰχμαλωσίας τῆς ἰουδαίας, οὐχ ὑπετάγη
τῷ δόγματί σου· καὶ καιροὺς τρεῖς τῆς ἡμέρας αἰτεῖται παρὰ τοῦ θεοῦ
αὐτοῦ τὰ αἰτήματα αὐτοῦ. τότε ὁ βασιλεὺς ὡς τὸ ῥῆμα ἤκουσε, πο-
λὺ ἐλυπήθη ἐπ᾽ αὐτῷ καὶ περὶ τοῦ δανιὴλ ἠγωνίσατο τοῦ ἐξελέσθαι αὐ-
τόν, καὶ ἕως ἑσπέρας ἦν ἀγωνιζόμενος τοῦ ἐξελέσθαι αὐτόν. τότε οἱ
ἄνδρες ἐκεῖνοι λέγουσι τῷ βασιλεῖ· γνῶθι βασιλεῦ ὅτι τὸ δό-
γμα μήδοις καὶ πέρσαις· τοῦ πᾶν ὁρισμὸν, καὶ στάσιν, ἣν ἂν ὁ βα-
σιλεὺς στήσῃ οὐ δεῖ παραλλάξαι. τότε ὁ βασιλεὺς εἶπε, καὶ ἤγα-
γον τὸν δανιὴλ. καὶ ἐνέβαλον αὐτὸν εἰς τὸν λάκκον τῶν λεόντων, καὶ εἶπεν
ὁ βασιλεὺς τῷ δανιὴλ. ὁ θεός σου ᾧ σὺ λατρεύεις ἐνδελεχῶς αὐ-
τὸς ἐξελεῖταί σε. καὶ ἤνεγκαν λίθον ἕνα καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ
λάκκου. καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ, καὶ
ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ. ὅπως μὴ ἀλλοιωθῇ πρᾶ-
γμα ἐν τῷ δανιὴλ, καὶ ἀπῆλθεν ὁ βασιλεὺς εἰς τὸν οἶκον αὐτοῦ, καὶ
ἐκοιμήθη ἄδειπνος· καὶ ἐδέσματα οὐκ εἰσήνεγκαν αὐτῷ· καὶ ὁ
ὕπνος ἀπέστη ἀπ᾽ αὐτοῦ. καὶ ὑπέκλεισεν ὁ θεὸς τὰ στόματα τῶν λε-
όντων, καὶ οὐ παρηνώχλησαν τῷ δανιὴλ. τότε ὁ βασιλεὺς ἀνέστη
τὸ πρωῒ ἐν τῷ φωτὶ, καὶ ἐν σπουδῇ ἦλθεν ἐπὶ τὸν λάκκον τῶν
λεόντων. καὶ ἐν τῷ ἐγγίζειν αὐτὸν τῷ λάκκῳ τῷ δανιὴλ. φωνῇ
ἰσχυρᾷ ἐβόησε δανιὴλ. ὁ δοῦλος τοῦ θεοῦ τοῦ ζῶντος, ὁ θεὸς ᾧ σὺ λα-
τρεύεις ἐνδελεχῶς. εἰ ἠδυνάσθη ἐξελέσθαι σε ἐκ στόματος λεόντων;
καὶ εἶπε δανιὴλ. τῷ βασιλεῖ, βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι. ὁ θε-
ός μου ἐξαπέστειλεν τὸν ἄγγελον αὐτοῦ, καὶ ἐνέφραξεν τὰ στόμα-
τα τῶν λεόντων, καὶ οὐκ ἐλυμήναντό με, ὅτι κατέναντι αὐτοῦ,

εὐθύτης εὑρέθη ἐν ἐμοί· καὶ ἐνώπιον δὲ σοῦ βασιλεῦ, παράπτω-
μα οὐκ ἐποίησα. τότε ὁ βασιλεὺς πολὺ ἠγαθύνθη ἐπ' αὐτῷ. καὶ
τὸν Δανιὴλ εἶπον, ἀνενέγκαι ἐκ τοῦ λάκκου. καὶ ἀνηνέχθη Δα-
νιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα διαφθορὰ, οὐχ εὑρέθη ἐν αὐτῷ,
ὅτι ἐπίστευσε τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς, καὶ ἤγαγ-
ον τοὺς ἄνδρας τοὺς διαβάλλοντας τὸν Δανιὴλ, καὶ εἰς τὸν λάκκον τῶν
λεόντων ἐνεβλήθησαν αὐτοί. καὶ οἱ υἱοὶ αὐτῶν, καὶ αἱ γυναῖκες
αὐτῶν. καὶ οὐκ ἔφθασαν εἰς τὸ ἔδαφος τοῦ λάκκου, ἕως οὗ ἐκυρί-
ευσαν αὐτῶν οἱ λέοντες καὶ πάντα τὰ ὀστᾶ αὐτῶν ἐλέπτυναν.
τότε Δαρεῖος ὁ βασιλεὺς, ἔγραψε πᾶσι τοῖς λαοῖς φυλαῖς γλώσ-
σαις τοῖς οἰκοῦσιν ἐν πάσῃ τῇ γῇ. εἰρήνη ὑμῖν πληθυνθείη. ἐκ
προσώπου μου, ἐτέθη δόγμα τοῦ ἐν πάσῃ ἀρχῇ τῆς βασιλείας
μου, εἶναι τρέμοντας καὶ φοβουμένους, ἀπὸ προσώπου τοῦ θεοῦ Δα-
νιήλ. ὅτι αὐτός ἐστι θεὸς ζῶν, καὶ μένων εἰς τοὺς αἰῶνας, καὶ ὁ βα-
σιλεὺς αὐτοῦ οὐ διαφθαρήσεται. καὶ ἡ κυρεία αὐτοῦ, ἕως τέλους
ἀντιλαμβάνεται, καὶ ῥύεται. καὶ ποιεῖ σημεῖα, τέρατα, ἐν τῷ
οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. ὅστις ἐξείλετο τὸν Δανιὴλ. ἐκ στόματος
τῶν λεόντων. καὶ Δανιὴλ, κατηύθυνεν, ἐν τῇ βασιλείᾳ Δαρείου,
καὶ ἐν τῇ βασιλείᾳ Κύρου τοῦ πέρσου.

Κεφ. ζ. 7.

Ν τῷ πρώτῳ ἔτει Βαλτάσαρ βασιλέως Χαλδαί-
ε ων, Δανιὴλ ἐνύπνιον εἶδε. καὶ αἱ ὁράσεις τῆς κεφα-
λῆς αὐτοῦ ἐπὶ τῆς κοίτης αὐτοῦ, καὶ τὸ ἐνύπνιον αὐτοῦ
ἔγραψεν ἀρχὴν λόγων αὐτοῦ. ἐγὼ Δανιὴλ, ἐθεώρουν ἐν ὁράμα-
τί μου τῆς νυκτός. καὶ ἰδοὺ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ, προσέ-
βαλον εἰς τὴν θάλασσαν τὴν μεγάλην, καὶ τέσσαρα θηρία με-
γάλα ἀνέβαινον ἐκ τῆς θαλάσσης. διαφέροντα ἀλλήλων τὸ πρῶ-
τον. ὡσεὶ λέαινα. καὶ πτερὰ αὐτῆς ὡς ἀετοῦ, ἐθεώρουν ἕως οὗ ἐξε-
τίλη τὰ πτερὰ αὐτῆς. καὶ ἐξήρθη ἀπὸ τῆς γῆς. καὶ ἐπὶ ποδῶν
ἀνθρώπου ἐστάθη. καὶ καρδία ἀνθρώπου ἐδόθη αὐτῇ. καὶ ἰδοὺ

θηρίον ἕτερον ὅμοιον ἄρκτῳ καὶ εἰς μέρος ἓν ἐστάθη. καὶ τρία πλευρὰ ἐν τῷ στόματι αὐτῆς. ἀνὰ μέσον τῶν ὀδόντων αὐτῆς. καὶ οὕτως ἔλεγον αὐτῇ. ἀνάστηθι, φάγε σάρκας πολλάς. ὀπίσω αὐτοῦ ἐθεώρουν. καὶ ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις. καὶ αὐτῇ πτερὰ τέσσαρα πετεινοῦ ὑπεράνω αὐτῆς. καὶ τέσσαρες κεφαλαὶ τῷ θηρίῳ. καὶ ἐξουσία ἐδόθη αὐτῇ. ὀπίσω τούτου ἐθεώρουν. καὶ ἰδοὺ θηρίον τέταρτον. καὶ φοβερὸν καὶ ἔκθαμβον. καὶ ἰσχυρὸν περισσῶς. καὶ οἱ ὀδόντες αὐτοῦ σιδηροῖ μεγάλοι, ἐσθίον, καὶ λεπτῦνον. καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συνεπάτει. καὶ αὐτὸ διαφέρον περισσῶς παρὰ πάντα τὰ θηρία τὰ ἔμπροσθεν αὐτοῦ. καὶ κέρατα δέκα αὐτῷ, προσενόουν τοῖς κέρασιν αὐτοῦ. καὶ ἰδοὺ κέρας ἕτερον μικρὸν, ἀνέβη ἐν μέσῳ αὐτῶν καὶ τρία κέρατα τῶν ἔμπροσθεν αὐτοῦ ἐξεῤῥιζώθη ἀπὸ προσώπου αὐτοῦ. καὶ ἰδοὺ ὀφθαλμοὶ, ὡσεὶ ὀφθαλμοὶ ἀνθρώπου. ἐν τῷ κέρατι τούτῳ. καὶ στόμα λαλοῦν μεγάλα. καὶ ἐποίει πόλεμον πρὸς τοὺς ἁγίους. ἐθεώρουν ἕως οἱ θρόνοι ἐτέθησαν. καὶ παλαιὸς ἡμερῶν ἐκάθητο καὶ τὸ ἔνδυμα αὐτοῦ, λευκὸν ὡσεὶ χιών. καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ, ὡσεὶ ἔριον καθαρόν. ὁ θρόνος αὐτοῦ φλὸξ πυρός. οἱ τροχοὶ αὐτοῦ, πῦρ φλέγον. ποταμὸς, πυρὸς εἷλκεν ἐκπορευόμενος ἔμπροσθεν αὐτοῦ. χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μύριαι μυριάδες, παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. κριτήριον ἐκάθισε, καὶ βίβλοι ἀνεῴχθησαν, ἐθεώρουν τότε ἀπὸ φωνῆς τῶν λόγων τῶν μεγάλων. ὧν τὸ κέρας ἐκεῖνο ἐλάλει, ἕως ἀνῃρέθη τὸ θηρίον καὶ ἀπώλετο. καὶ τὸ σῶμα αὐτοῦ ἐδόθη εἰς καῦσιν πυρός. καὶ τῶν λοιπῶν θηρίων, μετεστάθη ἡ ἀρχή. καὶ μακρότης ζωῆς ἐδόθη αὐτοῖς, ἕως χρόνου καὶ καιροῦ. ἐθεώρουν ἐν ὁράματι τῆς νυκτός. καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ, καὶ ὡς υἱὸς ἀνθρώπου ἐρχόμενος ἦν. καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ ἐνώπιον αὐτοῦ προσηνέχθη. καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ καὶ ἡ τιμὴ καὶ ἡ βασιλεία. καὶ πάντες οἱ λαοὶ φυλαὶ γλῶσσαι. αὐτῷ δουλεύ-

σουσιν. ἡ ἐξουσία αὐτοῦ ἐξουσία αἰώνιος ἥτις οὐ παρελεύσεται. καὶ ἡ
βασιλεία αὐτοῦ, οὐ διαφθαρήσεται. ἔφριξε τὸ πνεῦμά μου ἐγὼ Δα-
νιὴλ, ἐν τῇ ἕξει μου. καὶ αἱ ὁράσεις τῆς κεφαλῆς μου συνετάρασ-
σόν με. καὶ προσῆλθον ἑνὶ τῶν ἑστηκότων. καὶ τὴν ἀκρίβειαν ἐζήτουν
παρ' αὐτοῦ περὶ πάντων τούτων. καὶ εἶπέ μοι τὴν ἀκρίβειαν, καὶ τὴν
σύγκρισιν τῶν λόγων, ἐγνώρισέ μοι. ταῦτα τὰ θηρία τὰ μεγά-
λα τὰ τέσσαρα, τέσσαρες βασιλεῖαι, ἀναστήσονται ἐπὶ τῆς γῆς. αἳ
ἀρθήσονται καὶ παραλήψονται τὴν βασιλείαν, ἅγιοι ὑψίστου καὶ καθέ-
ξουσιν αὐτὴν ἕως αἰῶνος. καὶ ἕως αἰῶνος τῶν αἰώνων. καὶ ἐζήτουν ἀκρι-
βῶς, περὶ τοῦ θηρίου τοῦ τετάρτου. ὅτι ἦν διάφορον, περὶ πᾶν θηρίον
θηρίον φοβερὸν περισσῶς. οἱ ὀδόντες αὐτοῦ σιδηροῖ καὶ οἱ ὄνυχες αὐτοῦ
χαλκοῖ ἐσθίον. καὶ λεπτῦνον, καὶ τὰ ἐπίλοιπα τοῖς ποσὶν αὐτοῦ συ-
νεπάτει. καὶ περὶ τῶν κεράτων αὐτοῦ τῶν δέκα, ἐν τῇ κεφαλῇ αὐτοῦ. καὶ τοῦ
ἑτέρου τοῦ ἀναβαίνοντος καὶ ἐκτινάξαντος τῶν προτέρων, τρία. κέρας
ἐκεῖνο ᾧ οἱ ὀφθαλμοὶ καὶ τὸ στόμα λαλοῦν μεγάλα. καὶ ἡ ὅρασις
αὐτοῦ, μείζων τῶν λοιπῶν ἐθεώρουν. καὶ τὸ κέρας ἐκεῖνο, ἐποίει πόλε-
μον μετὰ τῶν ἁγίων. καὶ ἴσχυσε πρὸς αὐτοὺς, ἕως οὗ ἦλθεν ὁ παλαι-
ὸς τῶν ἡμερῶν. καὶ τὸ κρίμα ἔδωκεν ἁγίοις ὑψίστου. καὶ ὁ καιρὸς ἔφ-
θασε. καὶ τὴν βασιλείαν κατέσχον οἱ ἅγιοι. καὶ εἶπε τὸ θηρίον τὸ τέ-
ταρτον βασιλεία τετάρτη ἔσται ἐν τῇ γῇ. ἥτις ὑπερέξει πάσας τὰς
βασιλείας. καὶ καταφάγεται πᾶσαν τὴν γῆν. καὶ συμπατήσει αὐ-
τὴν, καὶ κατακόψει. καὶ τὰ δέκα κέρατα αὐτοῦ δέκα βασιλεῖς ἀνα-
στήσονται. καὶ ὀπίσω αὐτῶν, ἀναστήσεται ἕτερος ὃς ὑπεροίσει κακοῖς
πάντας τοὺς ἔμπροσθεν. καὶ τρεῖς βασιλεῖς ταπεινώσει. καὶ λόγους
πρὸς τὸν ὕψιστον λαλήσει, καὶ τοὺς ἁγίους ὑψίστου πλανήσει, καὶ ὑπο-
νοήσει τοῦ ἀλλοιῶσαι καιροὺς καὶ νόμον καὶ δοθήσεται ἐν χειρὶ αὐτοῦ
ἕως καιροῦ, καὶ καιρῶν. καὶ ἥμισυ καιροῦ, καὶ τὸ κριτήριον. καθίσει
καὶ τὴν ἀρχὴν μεταστήσουσι τοῦ ἀφανίσαι, καὶ τοῦ ἀπολέσαι ἕως τέ-
λους καὶ ἡ βασιλεία, καὶ ἡ ἐξουσία καὶ ἡ μεγαλωσύνη τῶν βασιλειῶν
τῶν ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, ἐδόθη ἁγίοις ὑψίστου. καὶ ἡ βασι-

λεία αὐτῷ, βασιλεία αἰώνιος, καὶ πᾶσαι αἱ ἀρχαὶ αὐτῷ δουλεύ-
σουσι καὶ ὑπακούσονται. ἕως ὧδε τὸ πέρας τοῦ λόγου. ἐγὼ δανιὴλ,
οἱ διαλογισμοί μου συνετάρασσόν με, καὶ ἡ μορφή μου ἠλλοι-
ώθη ἐπ' ἐμοί καὶ τὸ ῥῆμα ἐν τῇ καρδίᾳ μου συνετήρησα.

Κεφάλαιον. η. S.

Ν ἔτει τρίτῳ τῆς βασιλείας βαλτάσαρ, τοῦ βασιλέως
ὅρασις ὤφθη πρός με. ἐγὼ δανιὴλ μετὰ τὴν ὀφθεῖ-
σάν μοι τὴν ἀρχὴν καὶ ἤμην ἐν σούσοις τῇ βάρει ἥ ἐστιν χώρα
αἰλὰμ. καὶ εἶδον ἐν ὁράματι, καὶ ἤμην ἐπὶ τοῦ οὐβάλ. καὶ ἦρα τοὺς
ὀφθαλμούς μου, καὶ εἶδον. καὶ ἰδοὺ κριὸς εἷς ἑστηκὼς πρὸ τοῦ οὐβάλ
καὶ αὐτῷ κέρατα. καὶ τὰ κέρατα ὑψηλά. καὶ τὸ ἓν ὑψηλότερον τοῦ
ἑτέρου. καὶ τὸ ὑψηλότερον ἀνέβαινεν ἐπ' ἐσχάτων. καὶ εἶδον τὸν κρι-
ὸν κερατίζοντα κατὰ θάλασσαν, καὶ βορρᾶν, καὶ νότον καὶ πάντα τὰ
θηρία. οὐ στήσονται ἐνώπιον αὐτοῦ. καὶ οὐκ ἦν ὁ ἐξαιρούμενος ἐκ χει-
ρὸς αὐτοῦ, καὶ ἐποίησε κατὰ τὸ θέλημα αὐτοῦ, καὶ ἐμεγαλύνθη. καὶ
ἐγὼ ἤμην συνιὼν καὶ ἰδοὺ τράγος αἰγῶν ἤρχετο ἀπὸ λιβὸς ἐπὶ
προσώπου πάσης τῆς γῆς. καὶ τῷ τράγῳ κέρας θεωρητὸν ἀνὰ μέσον
τῶν ὀφθαλμῶν καὶ ἦλθεν ἕως τοῦ κριοῦ τοῦ τὰ κέρατα ἔχοντος. οὗ εἶδον
ἑστῶτος ἐνώπιον τοῦ οὐβάλ. καὶ ἔδραμε πρὸς αὐτὸν ἐν ὁρμῇ τῆς ἰσχύος
αὐτοῦ καὶ εἶδον αὐτὸν φθάνοντα ἕως τοῦ κριοῦ. καὶ ἐξηγριώθη πρὸς
αὐτόν. καὶ ἔπαισε τὸν κριὸν καὶ συνέτριψεν ἀμφότερα τὰ κέρατα
αὐτοῦ. καὶ οὐκ ἦν ἰσχὺς τῷ κριῷ τοῦ στῆναι ἐνώπιον αὐτοῦ. καὶ ἔρρι-
ψεν αὐτὸν ἐπὶ τὴν γῆν, καὶ συνεπάτησεν αὐτὸν καὶ οὐκ ἦν ὁ ἐξαιρού-
μενος τὸν κριὸν ἐκ χειρὸς αὐτοῦ. καὶ ὁ τράγος τῶν αἰγῶν ἐμεγαλύνθη
ἕως σφόδρα. καὶ ἐν τῷ ἰσχῦσαι αὐτὸν, συνετρίβη τὸ κέρας αὐτοῦ τὸ
μέγα. καὶ ἀνέβη ἕτερα κέρατα τέσσαρα ὑποκάτω αὐτοῦ εἰς τοὺς
τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ. καὶ ἐκ τοῦ ἑνὸς αὐτῶν, ἐξῆλθε κέρας
ἓν ἰσχυρόν. καὶ ἐμεγαλύνθη, περισσῶς πρὸς τὸν νότον καὶ τὴν ἀνατο-
λήν, καὶ ἐμεγαλύνθη, ἕως τῆς δυνάμεως τοῦ οὐρανοῦ. καὶ ἔπεσεν
ἐπὶ τὴν γῆν ἀπὸ τῆς δυνάμεως τοῦ οὐρανοῦ, καὶ ἀπὸ τῶν ἄστρων

καὶ συνεπάτησαν αὐτά. καὶ ἕως οὗ ὁ ἀρχιστράτηγος ῥύσηται τὴν αἰχμαλωσίαν. καὶ δι' αὐτὸν θυσία ἐταράχθη. καὶ ἐγενήθη, καὶ κατευωδώθη αὐτῷ. καὶ τὸ ἅγιον ἐρημωθήσεται. καὶ ἐδόθη ἐπὶ τὴν θυσίαν ἁμαρτία. καὶ ἐρρίφη χαμαὶ ἡ δικαιοσύνη. καὶ ἐποίησε καὶ εὐωδώθη. καὶ ἤκουσα ἑνὸς ἁγίου λαλοῦντος. καὶ εἶπεν εἷς ἅγιος τῷ φελμουνί. ἐπὶ λαλοῦντι. ἕως πότε ἡ ὅρασις στήσεται ἡ θυσία ἡ ἀρθεῖσα καὶ ἡ ἁμαρτία ἐρημώσεως ἡ δοθεῖσα. καὶ τὸ ἅγιον καὶ ἡ δύναμις συμπατηθήσεται καὶ εἶπεν αὐτῷ, ἕως ἑσπέρας καὶ πρωῒ ἡμέραι δισχίλιαι τριακόσιαι. καὶ καθαρισθήσεται τὸ ἅγιον. καὶ ἐγένετο ἐν τῷ ἰδεῖν με ἐγὼ δανιὴλ τὴν ὅρασιν, καὶ ἐζήτουν σύνεσιν, καὶ ἰδοὺ ἔστη ἐνώπιον ἐμοῦ, ὡς ὅρασις ἀνδρός. καὶ ἤκουσα φωνὴν ἀνδρὸς ἀνὰ μέσον τοῦ οὐβάλ, καὶ ἐκάλεσε, καὶ εἶπε γαβριήλ. συνέτισον ἐκεῖνον τὴν ὅρασιν. καὶ ἦλθε καὶ ἔστη ἐχόμενος τῆς στάσεώς μου, καὶ ἐν τῷ ἐλθεῖν αὐτὸν ἐθαμβήθην. καὶ πίπτω ἐπὶ πρόσωπόν μου. καὶ εἶπε πρός με. σύνες, υἱὲ ἀνθρώπου ἔτι γὰρ εἰς καιροῦ πέρας ἡ ὅρασις. καὶ ἐν τῷ λαλεῖν αὐτὸν μετ' ἐμοῦ, πίπτω ἐπὶ πρόσωπόν μου ἐπὶ τὴν γῆν, καὶ ἥψατό μου. καὶ ἔστησέ με ἐπὶ τοὺς πόδας καὶ εἶπεν. ἰδοὺ ἐγὼ γνωρίζω σοι τὰ ἐσόμενα ἐπ' ἐσχάτων τῆς ὀργῆς. ἔτι γὰρ εἰς καιροῦ πέρας ὁ κριὸς ὃν εἶδες ὁ ἔχων τὰ κέρατα βασιλεὺς μήδων καὶ περσῶν ὁ τράγος τῶν αἰγῶν, βασιλεὺς ἑλλήνων. καὶ τὸ κέρας τὸ μέγα ὃ ἦν ἀνὰ μέσον τῶν ὀφθαλμῶν αὐτοῦ, αὐτός ἐστιν ὁ βασιλεὺς ὁ πρῶτος, καὶ τοῦ συντριβέντος οὗ ἔστησαν τέσσαρα κέρατα ὑποκάτω τέσσαρες βασιλεῖς ἐκ τοῦ ἔθνους αὐτοῦ ἀναστήσονται. καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. καὶ ἐπ' ἐσχάτων τῆς βασιλείας αὐτῶν. πληρουμένων τῶν ἁμαρτιῶν αὐτῶν ἀναστήσεται βασιλεὺς ἀναιδὴς προσώπῳ, καὶ συνιῶν προβλήματα, καὶ κραταιὰ ἡ ἰσχὺς αὐτοῦ. καὶ οὐκ ἐν τῇ ἰσχύϊ αὐτοῦ. καὶ θαυμαστὰ διαφθερεῖ καὶ κατευθυνεῖ, καὶ διαποιήσει. καὶ φθερεῖ ἰσχυρούς, καὶ λαὸν ἅγιον.

ὁ ζυγὸς

ὁ ζυγὸς τοῦ κλοιοῦ αὐτοῦ κατευθυνεῖ· δόλος ἐν χειρὶ αὐτοῦ· καὶ ἐν καρδίᾳ αὐτοῦ μεγαλυνθήσεται, καὶ δόλῳ διαφθερεῖ πολλοὺς καὶ ἐπὶ ἀπωλείας πολλῶν στήσεται· καὶ ἐπ᾽ ἄρχοντα ἀρχόντων στήσεται, καὶ ὡς ᾠὰ ἐν χειρὶ συντρίψει. καὶ ἡ ὅρασις τῆς ἑσπέρας καὶ τῆς πρωΐας τῆς ῥηθείσης, καὶ ἀληθής ἐστι. καὶ σὺ σφράγισον τὴν ὅρασιν, ὅτι εἰς ἡμέρας πολλάς. καὶ ἐγὼ δανιὴλ ἐκοιμήθην καὶ ἐμαλακίσθην ἡμέρας· καὶ ἀνέστην, καὶ ἐποίουν τὰ ἔργα τοῦ βασιλέως. καὶ ἐθαύμαζον τὴν ὅρασιν, καὶ οὐκ ἦν ὁ συνιῶν.

Κεφάλαιον. θ. 9.

Ἐν τῷ πρώτῳ ἔτει δαρείου τοῦ υἱοῦ ἀσουήρου, ἀπὸ τοῦ σπέρματος τῶν μήδων, ὃς ἐβασίλευσεν ἐπὶ τὴν βασιλείαν χαλδαίων. ἐν ἔτει ἑνὶ τῆς βασιλείας αὐτοῦ, ἐγὼ δανιὴλ, συνῆκα ἐν ταῖς βίβλοις, τῶν ἀριθμῶν τῶν ἐτῶν. ὃς ἐγενήθη λόγος κυρίου πρὸς ἱερεμίαν τὸν προφήτην. εἰς συμπλήρωσιν ἐρημώσεως ἱερουσαλὴμ, ἑβδομήκοντα ἔτη. καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς κύριον τὸν θεὸν, τοῦ ἐκζητῆσαι προσευχὴν καὶ δέησιν. ἐν νηστείαις καὶ σάκκῳ καὶ σποδῷ, προσηυξάμην πρὸς κύριον τὸν θεόν μου, καὶ ἐξωμολογησάμην, καὶ εἶπα, κύριε ὁ θεὸς ὁ μέγας καὶ θαυμαστός. ὁ φυλάσσων τὴν διαθήκην σου, καὶ τὸ ἔλεος τοῖς ἀγαπῶσί σε, καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς σου. ἡμάρτομεν, ἠδικήσαμεν, ἠσεβήσαμεν, ἀπὸ τῶν ἐντολῶν σου, καὶ ἀπὸ τῶν κριμάτων σου, καὶ οὐκ ἠκούσαμεν τῶν δούλων σου τῶν προφητῶν. οἳ ἐλάλουν ἐν τῷ ὀνόματί σου πρὸς τοὺς βασιλεῖς ἡμῶν καὶ ἄρχοντας ἡμῶν, καὶ πατέρας ἡμῶν καὶ πρὸς πάντα τὸν λαὸν τῆς γῆς. σοὶ κύριε ἡ δικαιοσύνη σου, καὶ ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου. ὡς ἡ ἡμέρα αὕτη. ἀνδρὶ ἰούδα, καὶ τοῖς ἐνοικοῦσιν ἱερουσαλὴμ, καὶ παντὶ ἰσραὴλ, τοῖς ἐγγὺς καὶ τοῖς μακρὰν ἐν πάσῃ τῇ γῇ οὗ διέσπειρας αὐτοὺς ἐκεῖ. ἐν ἀθεσίᾳ αὐτῶν ᾗ ἠθέτησάν σε κύριε.

ἡμῖν ἡ αἰσχύνη τοῦ προσώπου, καὶ τοῖς βασιλεῦσιν ἡμῶν, καὶ τοῖς
ἄρχουσιν ἡμῶν, οἵτινες ἡμάρτομέν σοι κυρίῳ τῷ θεῷ ἡμῶν.
οἱ οἰκτιρμοὶ, καὶ οἱ ἱλασμοὶ, ὅτι ἀπέστημεν ἀπὸ κυρίου, καὶ οὐκ
εἰσηκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν, πορεύεσθαι ἐν τοῖς
νόμοις αὐτοῦ. οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν ἐν χερσὶ τῶν
δούλων αὐτοῦ τῶν προφητῶν. καὶ πᾶς ἰσραὴλ, παρέβησαν τὸν νόμον
σου, καὶ ἐξέκλιναν τοῦ μὴ ἀκοῦσαι τῆς φωνῆς σου. καὶ ἐπῆλθεν ἐφ'
ἡμᾶς ἡ κατάρα. καὶ ὁ ὅρκος ὁ γεγραμμένος ἐν νόμῳ μωϋσέως
δούλου τοῦ θεοῦ, ὅτι ἡμάρτομεν αὐτῷ. καὶ ἔστησε τοὺς λόγους αὐτοῦ
οὓς ἐλάλησεν ἐφ' ἡμᾶς, καὶ ἐπὶ τοὺς κριτὰς ἡμῶν. οἳ ἔκρινον ἡ-
μᾶς ἐπάγειν ἐφ' ἡμᾶς κακὰ μεγάλα, οἷα οὐ γέγονεν ὑποκάτω
παντὸς τοῦ οὐρανοῦ, κατὰ τὰ γενόμενα ἐν ἱερουσαλήμ. καθὼς γέ-
γραπται ἐν νόμῳ μωϋσῆ πάντα τὰ κακὰ ταῦτα, ἦλθεν ἐφ' ἡ-
μᾶς καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου τοῦ θεοῦ ὑμῶν,
ἀποστρέψαι ἀπὸ τῶν ἀδικιῶν ἡμῶν, καὶ τοῦ συνιέναι ἐν πά-
σῃ ἀληθείᾳ. καὶ ἐγρηγόρησε κύριος ὁ θεὸς ἡμῶν ἐπὶ τὴν κακίαν
καὶ ἐπήγαγεν αὐτοὺς ἐφ' ἡμᾶς, ὅτι δίκαιος, ὁ θεὸς ἡμῶν, ἐπὶ πᾶ-
σαν τὴν ποίησιν αὐτοῦ ἣν ἐποίησε. καὶ οὐκ εἰσηκούσαμεν τῆς φω-
νῆς αὐτοῦ. καὶ νῦν κύριε ὁ θεὸς ἡμῶν ὃς ἐξήγαγες τὸν λαόν σου,
ἐκ γῆς αἰγύπτου ἐν χειρὶ κραταιᾷ. καὶ ἐποίησας σεαυτῷ ὄνο-
μα ὡς ἡ ἡμέρα αὕτη ἡμάρτομεν. ἠνομήσαμεν. ἠδικήσαμεν. κύ-
ριε ἐν πᾶσι, ἡ ἐλεημοσύνη σου. ἀποστραφήτω δὴ ὁ θυμός σου,
καὶ ἡ ὀργή σου ἀπὸ τῆς πόλεώς σου ἱερουσαλὴμ ὄρους ἁγίου σου
ὅτι ἡμάρτομεν ἐν ταῖς ἀδικίαις ἡμῶν καὶ τῶν πατέρων ἡμῶν ἱε-
ρουσαλὴμ, καὶ ὁ λαός σου εἰς ὀνειδισμὸν ἐγένετο. καὶ ἐν πᾶσι
τοῖς περικύκλῳ ἡμῶν. καὶ νῦν εἰσάκουσον κύριε ὁ θεὸς ἡμῶν τῆς
προσευχῆς τοῦ δούλου σου, καὶ τῶν δεήσεων αὐτοῦ. καὶ ἐπίφανον τὸ
πρόσωπόν σου, ἐπὶ τὸ ἁγίασμά σου, τὸ ἔρημον, ἕνεκεν σου. κλῖνον
ὁ θεός μου τὸ οὖς σου καὶ ἄκουσον. ἄνοιξον τοὺς ὀφθαλμούς σου, καὶ
ἴδε τὸν ἀφανισμὸν ἡμῶν, καὶ τῆς πόλεώς σου ἐφ' ἧς ἐπικέκληται τὸ

ὄνομά σου ἐπ᾽ αὐτῆς. ὅτι οὐκ ἐπὶ ταῖς δικαιοσύναις ἡμῶν ἡμεῖς ῥι-
πτοῦμεν τὸν οἰκτιρμὸν ἡμῶν ἐνώπιόν σου, ἀλλ᾽ ἐπὶ τοὺς οἰκτιρμούς
σου τοὺς πολλοὺς κύριε. εἰσάκουσον κύριε ἱλάσθητι κύριε πρόσχες κύριε. ποί-
ησον, καὶ μὴ χρονίσῃς ἕνεκεν σου. κύριε ὁ θεός μου. ὅτι τὸ ὄνομά
σου ἐπικέκληται ἐπὶ τὴν πόλιν σου, καὶ ἐπὶ τὸν λαόν σου. καὶ ἔτι μου
λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγορεύοντος τὰς ἁμαρτίας
μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου ἰσραήλ. καὶ ῥιπτοῦντος τὸν ἔλε-
όν μου ἐναντίον κυρίου τοῦ θεοῦ μου περὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ θεοῦ
μου. καὶ ἔτι μου λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ὁ ἀνὴρ γα-
βριὴλ ὃν εἶδον, ἐν τῇ ὁράσει ἐν τῇ ἀρχῇ, πετόμενος, καὶ ἥψατό
μου, ὡσεὶ ὥραν θυσίας ἑσπερινῆς. καὶ συνέτισέ με, καὶ ἐλάλησε
μετ᾽ ἐμοῦ. καὶ εἶπε δανιήλ. νῦν ἐξῆλθον συμβιβάσαι σε ἐν ἀρ-
χῇ τῆς δεήσεώς σου. ἐξῆλθεν ὁ λόγος καὶ ἐγὼ ἦλθον ἀναγγεῖλαί
σοι. ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ. καὶ ἐννοήθητι ἐν τῷ ῥήματι. καὶ σύ-
νες ἐν τῇ ὀπτασίᾳ. ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ
τὸν λαόν σου. καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ συντελεσθῆναι ἁμαρτί-
αν. καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ
τοῦ ἐξιλάσασθαι ἀδικίας. καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον. καὶ
τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην. καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων
καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου. τοῦ ἀποκριθῆναι. καὶ
τοῦ οἰκοδομῆσαι ἱερουσαλήμ. ἕως χριστοῦ ἡγουμένου, ἑβδομάδες
ἑπτὰ, καὶ ἑβδομάδες ξβ´. καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται
πλατεῖα, καὶ περίτειχος. καὶ ἐκκενωθήσονται οἱ καιροί. καὶ μετὰ
τὰς ἑβδομάδας τὰς ξβ´. ἐξολοθρευθήσεται χρῖσμα. καὶ κρίμα
οὐκ ἔστιν ἐν αὐτῷ. τὴν δὲ πόλιν, καὶ τὸ ἅγιον διαφθερεῖ. σὺν τῷ
ἡγουμένῳ τῷ ἐρχομένῳ. καὶ ἐκκοπήσονται, ἐν κατακλυσμῷ.
καὶ ἕως τέλους πολέμου συντετμημένου τάξει ἀφανισμοῖς. καὶ
δυναμώσει διαθήκην πολλοῖς. ἑβδομὰς μία, καὶ ἥμισυ τῆς
ἑβδομάδος καταπαύσει θυσιαστήριον καὶ θυσίας. καὶ πτε-
ρυγίου ἀπὸ ἀφανισμοῦ, καὶ ἕως συντελείας, καὶ σπουδῆς

τάξει τοῦ ἀφανισμοῦ, καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδο-
μὰς μία. καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος, ἀρθήσεταί μου θυσία
καὶ σπονδή. καὶ ἐπὶ τὸ ἱερὸν, βδέλυγμα τῶν ἐρημώσεων ἔσται. καὶ
ἕως συντελείας καιροῦ, συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

## Κεφάλαιον. ι. 10.

Ν ἔτει πρώτῳ κύρου τοῦ βασιλέως περσῶν λόγος
ἀπεκαλύφθη τῷ δανιήλ. οὗ τὸ ὄνομα ἐπεκλήθη
βαλτάσαρ, καὶ ἀληθινὸς ὁ λόγος, καὶ δύναμις μεγά-
λη, καὶ σύνεσις ἐδόθη αὐτῷ. ἐν τῇ ὀπτασίᾳ. ἐν ταῖς ἡμέραις ἐκεί-
ναις. ἐγὼ δανιὴλ ἤμην πενθῶν, τρεῖς ἑβδομάδας ἡμερῶν. ἄρτον
ἐπιθυμιῶν οὐκ ἔφαγον. καὶ κρέας καὶ οἶνος, οὐκ εἰσῆλθεν εἰς τὸ στόμα
μου καὶ ἄλειμμα οὐκ ἠλειψάμην, ἕως πληρώσεως τριῶν ἑβδομά-
δων ἡμερῶν. ἐν ἡμέρᾳ εἰκοστῇ τετάρτῃ τοῦ μηνὸς τοῦ πρώτου καὶ
ἐγὼ ἤμην ἐχόμενος. τοῦ ποταμοῦ τοῦ μεγάλου, αὐτός ἐστιν ἐδ-
δεκέλ. καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον, καὶ ἰδοὺ ἀνὴρ εἷς
ἐνδεδυμένος βαδδίν, καὶ ἡ ὀσφῦς αὐτοῦ περιεζωσμένη χρυσίῳ
ὠφάζ. καὶ τὸ σῶμα αὐτοῦ, ὡσεὶ θαρσεῖς. καὶ τὸ πρόσωπον αὐτοῦ,
ὡς ἡ ὅρασις ἀστραπῆς. καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡσεὶ λαμπάδες
πυρός. καὶ οἱ βραχίονες αὐτοῦ, καὶ τὰ σκέλη αὐτοῦ, ὡς ὅρασις χαλ-
κοῦ στίλβοντος. καὶ ἡ φωνὴ τῶν λόγων αὐτοῦ, ὡς φωνὴ ὄχλου. καὶ
εἶδον ἐγὼ δανιήλ. μόνος τὴν ὀπτασίαν, καὶ οἱ ἄνδρες οἱ μετ' ἐ-
μοῦ, οὐκ εἶδον τὴν ὀπτασίαν, ἀλλ' ἢ ἔκστασις μεγάλη ἐπέπεσεν
ἐπ' αὐτούς. καὶ ἔφυγον ἐν φόβῳ. καὶ ἐγὼ ὑπελείφθην μόνος, καὶ εἶ-
δον τὴν ὀπτασίαν τὴν μεγάλην ταύτην. καὶ οὐχ ὑπελείφθη ἐν ἐ-
μοὶ ἰσχύς. καὶ ἡ δόξα μου μετεστράφη εἰς διαφθοράν. καὶ οὐκ ἐ-
κράτησα ἰσχυρός, καὶ ἤκουσα τὴν φωνὴν τῶν λόγων αὐτοῦ, καὶ ἐν
τῷ ἀκοῦσαί μου φωνὴν ῥημάτων αὐτοῦ, ἤμην κατανενυγμέ-
νος. καὶ τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν. καὶ ἰδοὺ χεὶρ ἁπτομένη
μου. ἤγειρέ με ἐπὶ τὰ γόνατά μου, καὶ ταρσοὺς χειρῶν μου. καὶ εἶ-
πε πρός με δανιήλ. ἀνὴρ ἐπιθυμιῶν, σύνες ἐν τοῖς λόγοις οἷς

ἐγὼ λαλῶ πρὸς σέ. καὶ στῆθι ἐπὶ τῇ στάσει σου. ὅτι νῦν ἀπεστάλ-
λην πρὸς σέ. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν πρός με τὸν λόγον τοῦτον
ἀνέστην ἔντρομος. καὶ εἶπε πρός με. μὴ φοβοῦ δανιήλ. ὅτι ἀπὸ τῆς
ἡμέρας τῆς πρώτης ἧς ἔδωκας τὴν καρδίαν σου συνιέναι, καὶ
κακωθῆναι ἐναντίον κυρίου τοῦ θεοῦ σου, ἠκούσθησαν οἱ λόγοι σου
καὶ ἐγὼ ἦλθον ἐν τοῖς λόγοις σου. καὶ ὁ ἄρχων βασιλείας περ-
σῶν εἱστήκει ἐξεναντίας μου εἴκοσι, καὶ μίαν ἡμέραν. καὶ ἰδοὺ μι-
χαὴλ εἷς τῶν ἀρχόντων τῶν πρώτων, ἦλθε βοηθῆσαί μοι. καὶ αὐ-
τὸν κατέλιπον ἐκεῖ μετὰ τοῦ ἄρχοντος βασιλείας περσῶν, καὶ ἦλ-
θον συνετίσαι σε ὅσα ἀπαντήσει τῷ λαῷ σου ἐπ' ἐσχάτων
τῶν ἡμερῶν. ὅτι ἔτι ἡ ὅρασις εἰς ἡμέρας. καὶ ἐν τῷ λαλῆσαι αὐ-
τὸν μετ' ἐμοῦ κατὰ τοὺς λόγους τούτους, ἔδωκα τὸ πρόσωπόν μου
ἐπὶ τὴν γῆν, καὶ κατενύγην. καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου
ἥψατο τῶν χειλέων μου. καὶ ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα. καὶ εἶ-
πα πρὸς τὸν ἑστῶτα ἐναντίον μου. κύριε ἐν τῇ ὀπτασίᾳ σου ἐστρά-
φη τὰ ἐντός μου ἐν ἐμοί. καὶ οὐκ ἔσχον ἰσχύν. καὶ πῶς δυνήσεται
ὁ παῖς σου κύριε λαλῆσαι μετὰ τοῦ κυρίου μου τούτου. καὶ ἐγὼ ἀπὸ
τοῦ νῦν. οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς. καὶ πνοὴ οὐχ ὑπελείφθη ἐν ἐμοί,
καὶ προσέθετο. καὶ ἥψατό μου, ὡς ὅρασις ἀνθρώπου. καὶ ἐνίσχυ-
σέ με, καὶ εἶπέ μοι. μὴ φοβοῦ. ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη σοι. ἀν-
δρίζου καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ' ἐμοῦ, ἴσχυσα. καὶ
εἶπα λαλείτω ὁ κύριός μου ὅτι ἐνίσχυσάς με. καὶ εἶπεν εἰ οἶδας,
ἱνατί ἦλθον πρὸς σέ, καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆσαι μετὰ τοῦ
ἄρχοντος περσῶν. καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων τῶν
ἑλλήνων ἤρχετο. ἀλλ' ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν γραφῇ
ἀληθείας. καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ' ἐμοῦ περὶ τούτων
ἀλλ' ἢ μιχαὴλ, ὁ ἄρχων ὑμῶν. Κεφ. ια. 11.

Αἱ ἐγὼ ἐν ἔτει πρώτῳ κύρου, ἔστην εἰς ἰσχὺν, καὶ κρά-
x τος. καὶ νῦν ἀλήθειαν ἀναγγελῶ σοι, ἰδοὺ ἔτι τρεῖς βασι-
λεῖς, ἀναστήσονται ἐν τῇ περσίδι. καὶ ὁ τέταρτος, πλου

τήσει πλοῦτον μέγαν παρὰ πάντας, καὶ μετὰ τὸ κρατῆσαι αὐτὸν
τοῦ πλούτου αὐτοῦ ἐπαναστήσεται πάσαις βασιλείαις ἑλλήνων, καὶ ἀ
ναστήσεται βασιλεὺς δυνατὸς, καὶ κυριεύσει κυρίας πολλῆς. καὶ
ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ. καὶ ὡς ἂν στῇ ἡ βασιλεία αὐτοῦ, συν
τριβήσεται, καὶ διαιρεθήσεται εἰς τοὺς τέσσαρας ἀνέμους τοῦ οὐρανοῦ
καὶ οὐκ εἰς τὰ ἔσχατα αὐτοῦ. οὐδὲ κατὰ τὴν κυρείαν αὐτοῦ, ἣν ἐκυρί
ευσεν. ὅτι ἐκτιλήσεται, ἡ βασιλεία αὐτοῦ. καὶ δοθήσεται ἑτέροις
ἐκτὸς τούτων. καὶ ἐνισχύσει ὁ βασιλεὺς τοῦ νότου. καὶ εἷς τῶν ἀρχόντων
αὐτοῦ ἐπ᾽ αὐτόν. καὶ κυριεύσει κυρείαν πολλὴν, ἐπ᾽ ἐξουσίας αὐτοῦ.
καὶ μετὰ τὰ ἔτη αὐτοῦ, συμμιγήσονται. καὶ θυγάτηρ βασιλέως τοῦ
νότου, εἰσελεύσεται πρὸς βασιλέα τοῦ βορρᾶ. τοῦ ποιῆσαι συνθή
κας μετ᾽ αὐτοῦ. καὶ οὐ κρατήσει ἰσχύος βραχίονος. καὶ οὐ στήσεται τὸ
σπέρμα αὐτοῦ, καὶ παραδοθήσεται αὐτή. καὶ οἱ φέροντες αὐ
τὴν, καὶ ἡ νεάνις. καὶ ὁ κατισχύων αὐτὴν ἐν τοῖς καιροῖς. καὶ ἀνα
στήσεται ἐκ τοῦ ἄνθους τῆς ῥίζης αὐτῆς, τῆς ἑτοιμασίας αὐτοῦ. καὶ
ἥξει πρὸς τὴν δύναμιν. καὶ εἰσελεύσεται πρὸς τὰ ὑποστηρίγμα
τα τοῦ βασιλέως τοῦ βορρᾶ. καὶ ποιήσει ἐν αὐτοῖς, καὶ κατισχύ
σει. καί γε τοὺς θεοὺς αὐτῶν, μετὰ τῶν χωνευτῶν αὐτῶν. πᾶν
σκεῦος ἐπιθυμητὸν αὐτῶν, ἀργυρίου καὶ χρυσίου. μετὰ αἰχμαλωσί
ας, οἴσει εἰς αἴγυπτον, καὶ αὐτὸς στήσεται ὑπὲρ βασιλέα τοῦ βορρᾶ.
καὶ εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ βασιλέως τοῦ νότου. καὶ ἀ
ναστρέψει εἰς τὴν γῆν αὐτοῦ. καὶ οἱ υἱοὶ αὐτοῦ, συνάξουσιν ὄχλον
δυνάμεων πολλῶν. καὶ ἐλεύσεται ἐρχόμενος καὶ κατακλύζων. καὶ
παρελεύσεται, καὶ καθεδεῖται. καὶ συμπροπλακήσεται, ἕως τῆς
ἰσχύος αὐτοῦ. καὶ ἀγριανθήσεται βασιλεὺς τοῦ νότου, καὶ ἐξελεύσε
ται, καὶ πολεμήσει. μετὰ τοῦ βασιλέως τοῦ βορρᾶ. καὶ στήσει
ὄχλον πολύν. καὶ παραδοθήσεται ὄχλος ἐν χειρὶ αὐτοῦ. καὶ λή
ψεται ὄχλον. καὶ ὑψωθήσεται ἡ καρδία αὐτοῦ. καὶ καταβαλεῖ
μυριάδας, καὶ οὐ κατισχύσει. καὶ ἐπιστρέψει βασιλεὺς τοῦ βορρᾶ.
καὶ ἄξει ὄχλον πολλὴν, ὑπὲρ ὃν πρότερον. καὶ εἰς τὸ τέλος τῶν

καιρῶν ἐπελεύσεται εἰσόδια ἐν δυνάμει μεγάλῃ. καὶ ἐν ὑπάρ-
ξει πολλῇ. καὶ ἐν τοῖς καιροῖς ἐκείνοις, πολλοὶ ἐπαναστήσονται ἐπὶ
βασιλέα τοῦ νότου. καὶ οἱ υἱοὶ τῶν λοιμῶν τοῦ λαοῦ σου ἐπαρθή-
σονται. τοῦ στῆσαι ὅρασιν. καὶ ἀσθενήσουσι. καὶ εἰσελεύσεται βασι-
λεὺς τοῦ βορρᾶ. καὶ ἐκχέει πρὸς χῶμα. καὶ συλλήψεται πόλεις ὀ-
χυράς. καὶ οἱ βραχίονες τοῦ βασιλέως τοῦ νότου οὐ στήσονται. καὶ
ἀναστήσονται οἱ ἐκλεκτοὶ αὐτοῦ. καὶ οὐκ ἔσται ἰσχὺς τοῦ στῆναι. καὶ ποι-
ήσει ὁ εἰσπορευόμενος πρὸς αὐτὸν, κατὰ τὸ θέλημα αὐτοῦ. καὶ
οὐκ ἔστιν ἑστὼς κατὰ πρόσωπον αὐτοῦ. καὶ στήσεται ἐν γῇ τοῦ σα-
βείρ. καὶ συντελεσθήσεται, ἐν τῇ χειρὶ αὐτοῦ. καὶ τάξει τὸ πρό-
σωπον αὐτοῦ εἰσελθεῖν, ἐν ἰσχύι πάσης τῆς βασιλείας αὐτοῦ. καὶ
εὐθεῖα πάντα τὰ μετ' αὐτοῦ ποιήσει. καὶ θυγατέρα τῶν γυναι-
κῶν δώσει αὐτῷ διαφθεῖραι αὐτήν. καὶ οὐ μὴ μείνῃ. καὶ οὐκ αὐ-
τῷ ἔσται, καὶ ἐπιστρέψει τὸ πρόσωπον αὐτοῦ εἰς τὰς νήσους. καὶ συλ-
λήψεται πολλάς. καὶ καταπαύσει ἄρχοντας ὀνειδισμοῦ αὐτῶν.
πλὴν ὁ ὀνειδισμὸς αὐτοῦ, ἐπιστρέψει αὐτῷ. καὶ ἐπιστρέψει τὸ πρό-
σωπον αὐτοῦ, εἰς τὴν ἰσχὺν τῆς γῆς αὐτοῦ. καὶ ἀσθενήσει. καὶ πεσεῖται
καὶ οὐχ εὑρεθήσεται. καὶ ἀναστήσεται ἐκ τῆς ῥίζης αὐτοῦ φυτὸν βασιλείας
ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ. παραβιβάζων πράσσων δόξαν βα-
σιλείας. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις, συντριβήσεται. καὶ οὐκ
ἐν προσώποις οὐδὲ ἐν πολέμῳ στήσεται, ἐπὶ τὴν ἑτοιμασίαν
αὐτοῦ, ἐξουδενώθη. καὶ οὐκ ἔδωκαν ἐπ' αὐτὸν, δόξαν βασιλείας.
καὶ ἥξει ἐν εὐθηνίᾳ καὶ κατισχύσει βασιλείας, ἐν ὀλισθήμασι, καὶ
βραχίονες τοῦ κατακλύζοντος, κατακλυσθήσονται ἀπὸ προσώ-
που αὐτοῦ. καὶ συντριβήσονται. καὶ ἡγούμενος διαθήκης. καὶ ἀπὸ
τῶν συναναμίξεων πρὸς αὐτὸν, ποιήσει δόλον καὶ ἀναβήσε-
ται. καὶ ὑπερισχύσει αὐτοῦ ἐν ὀλίγῳ ἔθνει. καὶ ἐν εὐθηνίᾳ. καὶ ἐν πλη-
σιοχώραις ἥξει. καὶ ποιήσει ἃ οὐκ ἐποίησαν οἱ πατέρες αὐτοῦ.
καὶ οἱ πατέρες τῶν πατέρων αὐτοῦ. προνομὴν καὶ σκῦλα, καὶ
ὕπαρξιν, αὐτοῖς διασκορπιεῖ. καὶ ἐπ' Αἴγυπτον λογιεῖται λο-

γισμοὺς αὐτοῦ, ἕως καιροῦ. καὶ ἐξεγερθήσεται ἡ ἰσχὺς αὐτοῦ, καὶ
ἡ καρδία αὐτοῦ ἐπὶ βασιλέα τοῦ νότου, ἐν δυνάμει μεγάλῃ. ὁ βα-
σιλεὺς τοῦ νότου, συνάψει πόλεμον. καὶ ἐν δυνάμει μεγάλῃ καὶ
ἰσχυρᾷ σφόδρα. καὶ οὐ στήσεται. ὅτι λογιοῦνται ἐπ' αὐτὸν λογι-
σμούς. καὶ φάγωνται τὰ δέοντα αὐτοῦ, καὶ συντρίψουσιν αὐ-
τόν. καὶ δυνάμεις καταλύσει. καὶ πεσοῦνται τραυματίαι πολλοί.
καὶ ἀμφότεροι οἱ βασιλεῖς. καὶ αἱ καρδίαι αὐτῶν εἰς πονηρίαν. καὶ
ἐπὶ τραπέζῃ μιᾷ ψευδῆ λαλήσουσι. καὶ οὐ κατευθυνεῖ. ὅτι πέρας
εἰς καιρόν. καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ, ἐν ὑπάρξει πολλῇ
καὶ ἡ καρδία αὐτοῦ, ἐπὶ διαθήκην ἁγίου. καὶ ποιήσει καὶ ἐπι-
στρέψει εἰς τὴν γῆν αὐτοῦ, εἰς τὸν καιρὸν ἐπιστρέψει. καὶ ἥξει ἐν τῷ
νότῳ. καὶ οὐκ ἔσται ὡς ἡ πρώτη καὶ ἡ ἐσχάτη. καὶ εἰσελεύσον-
ται οἱ ἐν αὐτῷ. καὶ οἱ ἐκπορευόμενοι κίτιοι. καὶ ταπεινωθή-
σεται. καὶ ἐπιστρέψει, καὶ θυμωθήσεται ἐπὶ διαθήκην ἁγίου. καὶ
ποιήσει καὶ ἐπιστρέψει, καὶ συνήσει ἐπὶ τοὺς καταλείποντας δι-
αθήκην ἁγίου. καὶ βραχίονες, καὶ σπέρματα ἐξ αὐτοῦ ἀναστή-
σονται, καὶ βεβηλώσουσι τὸ ἁγίασμα τῆς δυναστείας. καὶ μετα-
στήσουσι τὸν ἐνδελεχισμόν. καὶ δώσουσι βδελύγματα ἠφανισμέ-
νων καὶ οἱ ἀνομοῦντες διαθήκην ἐπάξουσιν ἐν ὀλισθήμασι. καὶ
λαὸς γινώσκοντες θεὸν αὐτοῦ. καὶ κατισχύσουσι, καὶ ποιήσουσι
καὶ οἱ συνετοὶ τοῦ λαοῦ συνήσουσιν εἰς πολλά. καὶ ἀσθενήσουσιν
ἐν ῥομφαίᾳ καὶ ἐν φλογὶ καὶ ἐν αἰχμαλωσίᾳ. καὶ ἐν διαρπαγῇ
ἡμερῶν. καὶ ἐν τῷ ἀσθενῆσαι αὐτούς, βοηθήσονται βοήθειαν
μικράν. καὶ προστεθήσονται ἐπ' αὐτοὺς πολλοὶ ἐν ὀλισθήμασι.
καὶ ἀπὸ τῶν συνιέντων ἀσθενήσουσι, τοῦ πυρῶσαι αὐτούς. καὶ τοῦ
ἐκλέξασθαι. καὶ τοῦ ἐκλευκᾶναι ἕως καιροῦ πέρας, ὅτι εἰς καιρόν
καὶ ποιήσει κατὰ τὸ θέλημα αὐτοῦ. καὶ ὁ βασιλεὺς ὑψωθήσεται
καὶ μεγαλυνθήσεται ἐπὶ πάντα θεόν. καὶ ἐπὶ τὸν θεὸν τῶν θε-
ῶν. καὶ λαλήσει ὑπέρογκα. καὶ κατευθυνεῖ μέχρις οὗ συντελε-
σθῇ ἡ ὀργή. εἰς γὰρ συντέλειαν, καὶ σπουδὴν γίνεται. καὶ ἐπὶ πάρ-

τας τοὺς θεοὺς τῶν πατέρων αὐτοῦ, οὐ συνήσει· καὶ ἐπιθυμίαν γυ
ναικῶν· καὶ ἐπὶ πάντα θεὸν οὐ συνήσει· ὅτι ἐπὶ πάντας μεγα-
λυνθήσεται· καὶ θεὸν μαωζεὶν, ἐπὶ τοῦ τόπου αὐτοῦ δοξάσει· καὶ
θεὸν ὃν οὐκ ἐπέγνωσαν οἱ πατέρες αὐτοῦ δοξάσει· ἐν χρυσίῳ καὶ
ἐν ἀργυρίῳ, καὶ λίθῳ τιμίῳ· καὶ ἐν ἐπιθυμήμασι· καὶ ποιήσει
τοῖς ὀχυρώμασι τῶν καταφυγῶν, μετὰ θεοῦ ἀλλοτρίου, οὗ ἐὰν ἐπι
γνῷ· καὶ πληθυνεῖ δόξαν, καὶ ὑποτάξει αὐτοῖς πολλούς· καὶ γῆν
διελεῖ ἐν δώροις· καὶ ἐν καιροῦ πέρατι· καὶ συγκερατισθήσεται,
μετὰ τοῦ βασιλέως τοῦ νότου· καὶ συναχθήσεται πρὸς αὐτὸν βα
σιλεὺς τοῦ βορρᾶ, ἐν ἅρμασι, καὶ ἐν ἱππεῦσι, καὶ ἐν ναυσὶ πολ
λαῖς, καὶ εἰσελεύσεται εἰς τὴν γῆν· καὶ συντρίψει καὶ παρελεύ-
σεται, καὶ εἰσελεύσεται, εἰς τὴν γῆν τοῦ σαβαεὶν. καὶ πολλοὶ
ἀσθενήσουσι· καὶ οὗτοι διασωθήσονται ἐκ χειρὸς αὐτοῦ, ἐδὼμ,
καὶ μωάβ· καὶ ἀρχὴ υἱῶν ἀμμὼν καὶ ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ ἐπὶ
τὴν γῆν· καὶ γῆ αἰγύπτου, οὐκ ἔσται εἰς σωτηρίαν· καὶ κυριεύσει
ἐν τοῖς ἀποκρύφοις τοῦ χρυσίου, καὶ ἀργυρίου· καὶ ἐν πᾶσιν ἐπι-
θυμητοῖς αἰγύπτου· καὶ λιβύων, καὶ αἰθιόπων τοῖς ὀχυρώμασιν
αὐτῶν· καὶ ἀκοαὶ καὶ σπουδαὶ ταράξουσιν αὐτόν· ἐξ ἀνατολῶν
καὶ βορρᾶ· καὶ ἥξει ἐν θυμῷ πολλῷ τοῦ ἀφανίσαι· καὶ ἀναθε-
ματίσαι πολλούς· καὶ πήξει τὴν σκηνὴν αὐτοῦ ἀφαδανῷ· ἀνὰ
μέσον τῶν θαλασσῶν, εἰς ὄρος σαβαεὶν ἅγιον· καὶ ἥξει ἕως μέρους
αὐτοῦ· καὶ οὐκ ἔσται ὁ ῥυόμενος αὐτόν.

Κεφάλαιον. ιβ. 12.

κ Αἰ ἐν τῷ καιρῷ ἐκείνῳ ἀναστήσεται μιχαὴλ ὁ ἄρ
χων ὁ μέγας, ὁ ἑστηκὼς ἐπὶ τοὺς υἱοὺς τοῦ λαοῦ σου· καὶ
ἔσται καιρὸς θλίψεως· οἵα οὐ γέγονεν ἀφ᾽ οὗ γέγονεν
ἔθνος ἐπὶ τῆς γῆς, ἕως τοῦ καιροῦ ἐκείνου, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ σω
θήσεται ὁ λαός σου πᾶς ὁ εὑρεθεὶς γεγραμμένος ἐν τῇ βίβλῳ.
καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται.
οὗτοι εἰς ζωὴν αἰώνιον· καὶ οὗτοι εἰς ὀνειδισμὸν, καὶ εἰς αἰσχύνην αἰ

ώνιον, καὶ οἱ συνιέντες ἐκλάμψουσιν ὡς ἡ λαμπρότης τοῦ στερε-
ώματος. καὶ ἀπὸ τῶν δικαίων τῶν πολλῶν, ὡς οἱ ἀστέρες εἰς τοὺς
αἰῶνας, καὶ ἔτι. καὶ σὺ δανιὴλ ἔμφραξον τοὺς λόγους. καὶ σφρά-
γισον τὸ βιβλίον ἕως καιροῦ συντελείας. ἕως διδαχθῶσι πολλοὶ
καὶ πληθυνθῇ ἡ γνῶσις. καὶ εἶδον ἐγὼ δανιὴλ, καὶ ἰδοὺ ἕτεροι δύο
εἱστήκεισαν εἷς ἐντεῦθεν τοῦ χείλους τοῦ ποταμοῦ. καὶ εἷς ἐντεῦ-
θεν τοῦ χείλους τοῦ ποταμοῦ. καὶ εἶπον τῷ ἀνδρὶ τῷ ἐνδεδυ-
μένῳ τὰ βαδδίν. ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ ἕως πότε
τὸ πέρας ὧν εἴρηκας τῶν θαυμασίων. καὶ ἤκουσα τοῦ ἀνδρὸς ἐνδε-
δυμένου τὰ βαδδὶν, ὃς ἦν ἐπάνω τοῦ ὕδατος τοῦ ποταμοῦ. καὶ ὕ-
ψωσε τὴν δεξιὰν αὐτοῦ καὶ τὴν ἀριστερὰν αὐτοῦ, εἰς τὸν οὐρανὸν
καὶ ὤμοσεν ἐν τῷ ζῶντι εἰς τὸν αἰῶνα. ὅτι εἰς καιρὸν. καὶ καιροὺς
καὶ ἥμισυ καιροῦ. ἐν τῷ συντελεσθῆναι διασκορπισμὸν χει-
ρὸς λαοῦ ἡγιασμένου. γνώσονται τὰ πάντα. καὶ ἐγὼ ἤκουσα, καὶ
συνῆκα. καὶ εἶπα. κύριε τί τὰ ἔσχατα τούτων. καὶ εἶπεν δεῦρο
δανιὴλ, ὅτι ἐμπεφραγμένοι, καὶ ἐσφραγισμένοι οἱ λόγοι, ἕως
καιροῦ πέρας ἐκλεγῶσι. καὶ ἐκλευκανθῶσι, καὶ πυρωθῶσι. καὶ
ἁγιασθῶσι πολλοί. καὶ ἀνομήσουσιν ἄνομοι. καὶ οὐ συνήσουσι
πάντες ἄνομοι. καὶ οἱ νοήμονες συνήσουσι. καὶ ἀπὸ καιροῦ πα-
ραλλάξεως τοῦ ἐνδελεχισμοῦ καὶ τοῦ δοθῆναι τὸ βδέλυγμα τῆς
ἐρημώσεως. ἡμέραι χίλιαι διακόσιαι ἐνενήκοντα. μακάριος
ὁ ὑπομένων καὶ φθάσας ἡμέρας χιλίας τριακοσίας τριά-
κοντα πέντε, καὶ σὺ δεῦρο, καὶ ἀναπαύου. ἔτι γὰρ
ἡμέραι καὶ ὧραι εἰς ἀναπλήρωσιν συν-
τελείας. καὶ ἀναπαύσῃ καὶ ἀνα-
στήσῃ ὡς τὸν κλῆρόν σου
εἰς συντέλειαν.
ἡμερῶν.

Τέλος τοῦ δανιήλ.

# ΩΣΗΕ.

Κεφάλαιον. α. 1.

Λόγος κυρίου ὃς ἐγενήθη πρὸς ὠσηὲ τὸν τοῦ βεηρεί. ἐν ἡμέραις ὀζίου, καὶ ἰωάθαμ καὶ ἄχαζ, καὶ ἐζεκίου βασιλέων ἰούδα. καὶ ἐν ἡμέραις ἱεροβοὰμ υἱοῦ ἰωὰς βασιλέως ἰσραήλ. Ἀρχὴ λόγου κυρίου ἐν ὠσηέ. καὶ εἶπε κύριος πρὸς ὠσηέ. Βάδιζε λάβε σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας. διότι ἐκπορνεύουσα, ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου. Καὶ ἐπορεύθη καὶ ἔλαβε τὴν γόμηρ θυγατέρα, δεβηλαείμ. καὶ συνέλαβε καὶ ἔτεκεν αὐτῷ υἱόν. καὶ εἶπε κύριος πρὸς αὐτόν. κάλεσον τὸ ὄνομα αὐτοῦ ἰεζραέλ. διότι ἔτι μικρόν. καὶ ἐκδικήσω τὸ αἷμα τοῦ ἰεζραέλ, ἐπὶ τὸν οἶκον ἰούδα. καὶ καταπαύσω βασιλείαν οἴκου ἰσραήλ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, συντρίψω τὸ τόξον τοῦ ἰσραὴλ ἐν τῇ κοιλάδι τοῦ ἰεζραέλ. καὶ συνέλαβεν ἔτι, καὶ ἔτεκε θυγατέρα. καὶ εἶπεν αὐτῷ. κάλεσον τὸ ὄνομα αὐτῆς οὐκ ἠλεημένη. διότι οὐ μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον ἰσραήλ. ἀλλ' ἢ ἀντιτασσόμενος ἀντιτάξομαι αὐτοῖς. τοὺς δὲ υἱοὺς ἰούδα ἐλεήσω. καὶ σώσω αὐτούς, ἐν κυρίῳ θεῷ αὐτῶν, καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ ἐν ῥομφαίᾳ, οὐδὲ ἐν πολέμῳ. οὐδὲ ἐν ἅρμασιν. οὐδὲ ἐν ἵπποις. οὐδὲ ἐν ἱππεῦσι. καὶ ἀπεγαλάκτισε τὴν οὐκ ἠλεημένην. καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱόν. καὶ εἶπε.

καλέσεν τὸ ὄνομα αὐτοῦ, οὐ λαός μου· καὶ ὑμεῖς, οὐ λαός μου· καὶ
ἐγὼ οὐκ εἰμὶ θεὸς ὑμῶν. καὶ ἦν ὁ ἀριθμὸς, τῶν υἱῶν ἰσραὴλ,
ὡς ἡ ἄμμος τῆς θαλάσσης. ἢ οὐκ ἐκμετρηθήσεται. οὐ δὲ ἐξαρι-
θμηθήσεται. καὶ ἔσται ἐν τῷ τόπῳ. οὗ ἐῤῥέθη αὐτοῖς. οὐ λαός μου
ὑμεῖς. κληθήσονται, καὶ αὐτοὶ υἱοὶ θεοῦ ζῶντος. καὶ συναχθήσον-
ται υἱοὶ ἰούδα, καὶ υἱοὶ ἰσραὴλ ἐπὶ τὸ αὐτό. καὶ θήσονται ἐν αὐ-
τοῖς ἀρχὴν μίαν. καὶ ἀναβήσονται ἐκ τῆς γῆς. ὅτι μεγάλη ἡ
ἡμέρα τοῦ ἰεζραέλ.

Κεφάλαιον. β. 2.

Εἴπατε τῷ ἀδελφῷ ὑμῶν, λαός μου· καὶ τῇ ἀδελφῇ
ε ὑμῶν ἠλεημένη. κρίθητε πρὸς τὴν μητέρα ὑμῶν, κρί-
θητε, ὅτι αὐτὴ οὐ γυνή μου. καὶ ἐγὼ οὐκ ἀνὴρ αὐτῆς.
καὶ ἐξαρῶ τὴν πορνείαν αὐτῆς ἐκ προσώπου μου, καὶ τὴν μοι-
χείαν αὐτῆς ἐκ μέσου μαστῶν αὐτῆς. ὅπως ἂν ἐκδύσω αὐτὴν γυ-
μνήν. καὶ ἀποκαταστήσω αὐτὴν καθὼς ἡμέρα γεννήσεως αὐτῆς
καὶ θήσω αὐτὴν, ὡς ἔρημον, καὶ τάξω αὐτὴν ὡς γῆν ἄνυδρον.
καὶ ἀποκτενῶ αὐτὴν ἐν δίψει. καὶ τὰ τέκνα αὐτῆς, οὐ μὴ ἐλε-
ήσω, ὅτι τέκνα πορνείας ἐστίν. ὅτι ἐξεπόρνευσεν ἡ μήτηρ αὐτῶν.
κατῄσχυνεν ἡ τεκοῦσα αὐτά. ὅτι εἶπε πορεύσομαι ὀπίσω τῶν
ἐραστῶν μου. τῶν διδόντων μοι τοὺς ἄρτους μου, καὶ τὸ ὕδωρ μου,
καὶ τὰ ἱμάτιά μου. καὶ τὰ ὀθόνιά μου. ὁ οἶνός μου, καὶ τὸ ἔλαιόν
μου. καὶ πάντα. ὅσα μοι καθήκει. διὰ τοῦτο ἰδοὺ ἐγὼ φράσσω τὴν
ὁδὸν αὐτῆς, ἐν σκόλοψι. καὶ ἀνοικοδομήσω τὰς ὁδοὺς αὐτῆς.
καὶ τὴν τρίβον αὐτῆς οὐ μὴ εὕρῃ. καὶ διώξεται τοὺς ἐραστάς. καὶ
οὐ μὴ καταλάβῃ αὐτούς. καὶ ζητήσει αὐτούς. καὶ οὐ μὴ εὕρῃ αὐ-
τούς. καὶ ἐρεῖ. πορεύσομαι, καὶ ἐπιστρέψω πρὸς τὸν ἄνδρα μου τὸν
πρότερον, ὅτι καλῶς μοι ἦν τότε, ἢ νῦν. καὶ αὐτὴ οὐκ ἔγνω. ὅτι
ἐγὼ δέδωκα αὐτῇ τὸν σῖτον. καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. καὶ ἀρ-
γύριον ἐπλήθυνα αὐτῇ. αὐτὴ δὲ ἀργυρᾶ, καὶ χρυσᾶ, ἐποίησε
τῇ βαάλ. διὰ τοῦτο ἐπιστρέψω, καὶ κομιοῦμαι τὸν σῖτόν μου, καθ'

ὥραν αὐτοῦ. καὶ τὸν οἶκόν μου ἐν καιρῷ αὐτοῦ. καὶ ἀφελοῦμαι τὰ
ἱμάτιά μου, καὶ τὰ ὀθόνιά μου, τοῦ μὴ καλύπτειν τὴν ἀσχημο-
σύνην αὐτῆς, καὶ νῦν ἀποκαλύψω τὴν ἀκαθαρσίαν αὐτῆς ἐναν-
τι τῶν ἐραστῶν αὐτῆς. καὶ οὐδεὶς οὐ μὴ ἐξέληται αὐτὴν ἐκ χει-
ρός μου. καὶ ἀποστρέψω πάσας τὰς εὐφροσύνας αὐτῆς. ἑορτὰς
αὐτῆς. καὶ τὰς νουμηνίας αὐτῆς. καὶ τὰ σάββατα, καὶ πάσας
τὰς πανηγύρεις αὐτῆς. καὶ ἀφανιῶ ἄμπελον αὐτῆς. καὶ τὰς συ-
κᾶς αὐτῆς. ὅσα εἶπε μισθώματά μου, ταῦτά ἐστιν ἃ ἔδωκάν μοι
οἱ ἐρασταί μου. καὶ θήσομαι αὐτὰ εἰς μαρτύριον. καὶ καταφάγε-
ται αὐτὰ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ τὰ ἑρ-
πετὰ τῆς γῆς. καὶ ἐκδικήσω ἐπ' αὐτὴν. τὰς ἡμέρας τῶν βα-
αλεὶμ, ἐν αἷς ἐπέθυσεν αὐτοῖς. καὶ περιετίθετο τὰ ἐνώτια αὐ-
τῆς, καὶ τὰ καθόρμια αὐτῆς. καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν
αὐτῆς. ἐμοῦ δὲ ἐπελάθετο λέγει κύριος. διὰ τοῦτο ἰδοὺ ἐγὼ πλα-
νῶ αὐτὴν, καὶ τάξω αὐτὴν εἰς ἔρημον, καὶ λαλήσω ἐπὶ τὴν
καρδίαν αὐτῆς. καὶ δώσω αὐτῇ τὰ κτήματα αὐτῆς ἐκεῖθεν. καὶ
τὴν κοιλάδα ἀχὼρ, διανοῖξαι σύνεσιν αὐτῆς. καὶ ταπεινωθή-
σεται ἐκεῖ κατὰ τὰς ἡμέρας νηπιότητος αὐτῆς, καὶ κατὰ τὰς ἡ-
μέρας ἀναβάσεως αὐτῆς ἐκ γῆς αἰγύπτου. καὶ ἔσται ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ λέγει κύριος. καλέσει ὁ ἀνήρ μου. καὶ οὐ καλέσει με
ἔτι βααλείμ. καὶ ἐξαρῶ τὰ ὀνόματα τῶν βααλεὶμ ἐκ στόματος
αὐτῆς. καὶ οὐ μὴ μνησθῶσιν οὐκ ἔτι τὰ ὀνόματα αὐτῶν. καὶ
διαθήσομαι αὐτοῖς διαθήκην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μετὰ τῶν θη-
ρίων τοῦ ἀγροῦ. καὶ μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ. καὶ μετὰ τῶν
ἑρπετῶν τῆς γῆς. καὶ τόξον, καὶ ῥομφαίαν. καὶ πόλεμον συντρί-
ψω ἀπὸ τῆς γῆς. καὶ κατοικιῶ ἐπ' ἐλπίδι. καὶ μνηστεύσομαί σε
ἐμαυτῷ ἐν δικαιοσύνῃ, καὶ ἐν κρίματι. καὶ ἐν ἐλέει καὶ ἐν οἰ-
κτιρμοῖς. καὶ μνηστεύσομαί σε ἐμαυτῷ ἐν πίστει. καὶ ἐπιγνώσῃ
τὸν κύριον. καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κύριος. ἐπακού-
σομαι τῷ οὐρανῷ. καὶ ὁ οὐρανὸς ἐπακούσεται τῇ γῇ. καὶ ἡ γῆ

ἐπακούσεται τὸ σῖτον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. καὶ ταῦτα ἐπακούσεται τῷ ἰεζραέλ. καὶ σπερῶ αὐτὴν ἐμαυτῷ ἐπὶ τῆς γῆς· καὶ ἐλεήσω τὴν οὐκ ἠλεημένην. καὶ ἐρῶ τῷ οὐ λαῷ μου. λαός μου εἶ σύ. καὶ αὐτὸς ἐρεῖ. κύριος ὁ θεός μου εἶ σύ.

Κεφ. γ. 3.

Αἰ εἶπε κύριος πρός με, ἔτι πορεύθητι, καὶ ἀγάπη-
κ σον γυναῖκα ἀγαπῶσαν πονηρὰ καὶ μοιχαλίν. καθὼς ἀγαπᾷ ὁ θεὸς τοὺς υἱοὺς ἰσραήλ. καὶ αὐτοὶ ἀποβλέπουσιν ἐπὶ θεοὺς ἀλλοτρίους. καὶ φιλοῦσι πέμματα μετὰ σταφίδος. καὶ ἐμισθωσάμην ἐμαυτῷ πεντεκαίδεκα ἀργυρίου. καὶ γομὸρ κριθῶν. καὶ νέβελ οἴνου. καὶ εἶπα πρὸς αὐτήν. ἡμέρας πολλὰς καθίσῃ ἐπ' ἐμοί, καὶ οὐ μὴ πορνεύσῃς οὐδὲ μὴ γένῃ ἀνδρὶ ἑτέρῳ, καὶ ἐγὼ ἐπὶ σοί. διότι ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ ἰσραήλ. οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος. οὐδὲ οὔσης θυσίας. οὐδὲ ὄντος θυσιαστηρίου. οὐδὲ ἱερατείας, οὐδὲ δήλων. καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν οἱ υἱοὶ ἰσραήλ, καὶ ζητήσουσιν κύριον τὸν θεὸν αὐτῶν, καὶ δαβὶδ τὸν βασιλέα αὐτῶν. καὶ ἐκστήσονται ἐπὶ τῷ κυρίῳ. καὶ ἐπὶ τοῖς ἀγαθοῖς αὐτοῦ ἐπ' ἐσχάτων τῶν ἡμερῶν.

Κεφάλαιον. δ. 4.

Κούσατε λόγον κυρίου υἱοὶ ἰσραήλ, ὅτι κρίσις τῷ
ά κυρίῳ πρὸς τοὺς κατοικοῦντας τὴν γῆν. διότι οὐκ ἔστιν ἀλήθεια οὐδὲ ἔλεος οὐδὲ ἐπίγνωσις θεοῦ ἐπὶ τῆς γῆς. ἀρὰ καὶ ψεῦδος. καὶ φόνος καὶ κλοπή, καὶ μοιχεία κέχυται ἐπὶ τῆς γῆς. καὶ αἵματα ἐφ' αἵμασι μίσγουσι. διὰ τοῦτο πενθήσει ἡ γῆ. καὶ σμικρυνθήσεται σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. σὺν τοῖς θηρίοις τοῦ ἀγροῦ. καὶ σὺν τοῖς ἑρπετοῖς τῆς γῆς. καὶ σὺν τοῖς πετεινοῖς τοῦ οὐρανοῦ. καὶ οἱ ἰχθύες τῆς θαλάσσης ἐκλείψουσιν. ὅπως μηδεὶς, μήτε δικάζηται μήτε ἐλέγχῃ μηδείς. ὁ δὲ λαός μου, ὡς ἀντιλεγόμενος ἱερεύς. καὶ ἀσθενήσει ἡμέρας. καὶ

ἀσθενήσει καὶ προφήτης μετ' αὐτοῦ. νυκτὶ ὡμοίωσα τὴν μητέ-
ρα σου. ὡμοιώθη ὁ λαός μου, ὡς οὐκ ἔχων γνῶσιν. ὅτι ἐπίγνωσιν
ἀπώσω σύ, ἀπώσομαι σε κἀγὼ τοῦ μὴ ἱερατεύειν μοι, καὶ ἐπε-
λάθου νόμον θεοῦ σου, ἐπιλήσομαι τέκνων σου. κἀγὼ κατὰ τὸ
πλῆθος αὐτῶν, οὕτως ἥμαρτόν μοι. τὴν δόξαν αὐτῶν, εἰς ἀτιμί-
αν θήσομαι. ἁμαρτίας λαοῦ μου φάγονται. καὶ ἐν ταῖς ἀδικίαις
αὐτῶν λήψονται ἄλλοι ψυχὰς αὐτῶν. καὶ ἔσται καθὼς ὁ λαός,
οὕτως καὶ ὁ ἱερεύς. καὶ ἐκδικήσω ἐπ' αὐτοὺς τὰς ὁδοὺς αὐτῶν.
καὶ τὰ διαβούλια αὐτοῦ ἀνταποδώσω αὐτοῖς. καὶ φάγονται,
καὶ οὐ μὴ, ἐμπλησθῶσιν. ἐπόρνευσαν, καὶ οὐ μὴ, κατευθυνθῶσι.
διότι τὸν κύριον ἐγκατέλιπον τοῦ φυλάξαι. πορνείαν. καὶ οἶνον.
καὶ μέθυσμα, ἐδέξατο καρδία λαοῦ μου. ἐν συμβόλοις ἐπηρώτων,
καὶ ἐν ῥάβδοις αὐτοῦ, ἀπήγγελλον αὐτῷ. ὅτι πνεύματι πορνεί-
ας ἐπλανήθησαν. καὶ ἐξεπόρνευσαν ἀπὸ τοῦ θεοῦ αὐτῶν, ἐπὶ τὰς
κορυφὰς τῶν ὀρέων ἐθυσίαζον. καὶ ἐπὶ τοὺς βουνοὺς ἔθυον ὑπὸ κά-
τω δρυὸς, καὶ λεύκης. καὶ δένδρου συσκιάζοντος. ὅτι καλὸν σκέ-
πη. διὰ τοῦτο ἐκπορνεύσουσιν αἱ θυγατέρες ὑμῶν. καὶ αἱ νύμ-
φαι ὑμῶν μοιχεύσουσι. καὶ οὐ μὴ, ἐπισκέψωμαι ἐπὶ τὰς θυ-
γατέρας ὑμῶν, ὅταν πορνεύσωσι. καὶ ἐπὶ τὰς νύμφας ὑμῶν
ὅταν μοιχεύσωσι. διότι αὐτοὶ μετὰ πορνῶν, συνεφύροντο. καὶ
μετὰ τῶν τετελεσμένων ἔθυον. καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέ-
κετο μετὰ πόρνης. σὺ δὲ ἰσραὴλ μὴ ἀγνόει. καὶ ἰούδα μὴ εἰσπο-
ρεύεσθε εἰς γάλγαλα. καὶ μὴ ἀναβαίνετε εἰς τὸν οἶκον τῆς ἀδι-
κίας. καὶ μὴ ὀμνύετε ζῶντα κύριον. ὅτι ὡς δάμαλις παροιστρῶ-
σα παροίστρησεν ἰσραήλ. νῦν νεμήσει αὐτοὺς κύριος. ὡς ἀμνὸν
ἐν εὐρυχώρῳ. μέτοχος εἰδώλων ἐφραίμ. ἔθηκεν αὐτῷ σκάν-
δαλα. ᾑρέτισε χαναναίους. πορνεύοντες, ἐξεπόρνευσαν ἠγά-
πησαν ἀτιμίαν ἐκ φρυάγματος αὐτῆς. συστροφὴ πνεῦμά τις συ-
νιᾷ, ἐν ταῖς πτέρυξιν αὐτῆς. καὶ καταισχυνθήσονται ἐκ τῶν θυ-
σιῶν αὐτῶν.

Κεφ. ε. ς.

Κούσατε ταῦτα οἱ ἱερεῖς. καὶ προσέχετε οἶκος τοῦ
α ἰσραήλ. καὶ οἶκος τοῦ βασιλέως ἐνωτίζεσθε. διότι
πρὸς ὑμᾶς ἐστι τὸ κρίμα. ὅτι παγὶς ἐγενήθη τῇ σκο
πιᾷ, καὶ ὡς δίκτυον ἐκτεταμένον ἐπὶ τὸ ἰταβύριον. ὃ, οἱ ἀγρεύ
οντες τὴν θήραν, κατέπηξαν, ἐγὼ δὲ παιδευτὴς ὑμῶν. ἐγὼ
ἔγνων τὸν ἐφραὶμ καὶ τὸν ἰσραήλ. οὐκ ἄπεστιν ἀπ' ἐμοῦ. διό
τι νῦν ἐξεπόρνευσεν ἐφραίμ. ἐμιάνθη ἰσραήλ. οὐκ ἔδωκαν τὰ
διαβούλια αὐτῶν τοῦ ἐπιστρέψαι πρὸς θεὸν αὐτῶν. ὅτι πνεῦμα
πορνείας ἐν αὐτοῖς ἐστι. τὸν δὲ κύριον, οὐκ ἐπέγνωσαν, καὶ τα
πεινωθήσεται ἡ ὕβρις τοῦ ἰσραήλ, εἰς πρόσωπον αὐτοῦ. καὶ ἰσ
ραὴλ καὶ ἐφραὶμ, ἀσθενήσουσιν ἐν ταῖς ἀδικίαις αὐτῶν. καὶ
ἀσθενήσει ἰούδας μετ' αὐτῶν, μετὰ προβάτων, καὶ μόσχων
πορεύσονται τοῦ ἐκζητῆσαι κύριον. καὶ οὐ μὴ εὕρωσιν αὐτόν.
ἐξέκλινεν ἀπ' αὐτῶν, ὅτι κύριον ἐγκατέλιπον, ὅτι τέκνα ἀλ
λότρια ἐγεννήθησαν αὐτοῖς. καὶ νῦν καταφάγεται αὐτοὺς ἡ ἐρυ
σίβη. καὶ τοὺς κλήρους αὐτῶν. σαλπίσατε σάλπιγγι ἐπὶ τοὺς βου
νούς. ἠχήσατε ἐπὶ τῶν ὑψηλῶν. κηρύξατε ἐν τῷ οἴκῳ ὢν ἐξέ
στη βενιαμίν. ἐφραὶμ εἰς ἀφανισμὸν, ἐγένετο ἐν ἡμέραις ἐλέγ
χου. ἐν ταῖς φυλαῖς τοῦ ἰσραήλ. ἔδειξα πιστά. ἐγένοντο οἱ ἄρ
χοντες ἰούδα, ὡς μετατιθέντες ὅρια. ἐπ' αὐτοὺς ἐκχεῶ, ὡς ὕ
δωρ τὸ ὅρμημά μου. κατεδυνάστευσεν ἐφραὶμ τὸν ἀντίδικον
αὐτοῦ. κατεπάτησε τὸ κρίμα, ὅτι ἤρξατο πορεύεσθαι ὀπίσω τῶν
ματαίων. καὶ ἐγὼ ὡς ταραχὴ τῷ ἐφραὶμ καὶ ὡς κέντρον τῷ
οἴκῳ ἰούδα, καὶ εἶδεν ἐφραὶμ τὴν νόσον αὐτοῦ, καὶ ἰούδας
τὴν ὀδύνην αὐτοῦ. καὶ ἐπορεύθη ἐφραὶμ πρὸς ἀσσυρίους,
καὶ ἀπέστειλε πρέσβεις πρὸς βασιλέα ἰαρείμ. καὶ αὐτὸς οὐκ
ἠδυνήθη ῥύσασθαι, καὶ οὐ μὴ διαπαύσῃ ἐξ ὑμῶν ὀδύνη. ἐγέ
νετο γὰρ ἐφραὶμ, ὡς περιστερὰ ἄνους. οὐκ ἔχουσα καρδίαν. αἴ
γυπτον ἐπεκαλεῖτο, καὶ εἰς ἀσσυρίους ἐπορεύετο. διότι ἐ
γώ εἰμι ὡς πάνθηρ τῷ ἐφραίμ. καὶ ὡς λέων ἐν τῷ ἰούδα, καὶ
ἐγὼ ἁρ

ἐγὼ ἁρπῶμαι. καὶ πορεύσομαι, καὶ λήψομαι, καὶ οὐκ ἔστι ὁ ἐξαιρούμενος. πορεύσομαι καὶ ἐπιστρέψω εἰς τὸν τόπον μου, ἕως οὗ ἀφανισθῶσι. καὶ ζητήσουσι τὸ πρόσωπόν μου.

Κεφάλαιον ς 6.

Ἐν θλίψει αὐτῶν ὀρθριοῦσι πρός με λέγοντες. πορευθῶμεν, καὶ ἐπιστρέψωμεν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι αὐτὸς πέπαικε, καὶ ἰάσεται ἡμᾶς. πατάξει καὶ μοτώσει ἡμᾶς. ὑγιάσει ἡμᾶς, μετὰ δύο ἡμέρας. ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστησόμεθα. καὶ ζησόμεθα ἐναντίον αὐτοῦ, καὶ γνωσόμεθα. διώξωμεν τοῦ γνῶναι τὸν κύριον. ὡς ὄρθρον ἕτοιμον, εὑρήσομεν αὐτόν. καὶ ἥξει ἡμῖν, ὡς ὑετὸς πρώϊμος, καὶ ὄψιμος τῇ γῇ. τί ποιήσω σοι ἐφραίμ. τί ποιήσω σοι ἰούδα. τὸ δὲ ἔλεος ὑμῶν, ὡς νεφέλη πρωϊνή. καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη. διὰ τοῦτο ἀπεθέρισα τοὺς προφήτας ὑμῶν. ἀπέκτεινα αὐτοὺς ἐν ῥήματι στόματός μου, καὶ τὸ κρίμα μου, ὡς φῶς ἐξελεύσεται. διότι ἔλεος θέλω καὶ οὐ θυσίαν. ἐπίγνωσιν θεοῦ, ἢ ὁλοκαυτώματα. αὐτοὶ δέ εἰσιν ὡς ἄνθρωπος παραβαίνων διαθήκην. ἐκεῖ κατεφρόνησέ μου γαλαάδ. πόλις ἐργαζομένη μάταια ταράσσουσα ὕδωρ. καὶ ἡ ἰσχύς σου ἀνδρὸς πειρατοῦ. ἔκρυψαν ἱερεῖς ὁδὸν κυρίου. ἐφόνευσαν σίκιμα, ὅτι ἀνομίαν ἐποίησαν ἐν τῷ οἴκῳ τοῦ ἰσραήλ. εἶδον φρικώδη ἐκεῖ πορνείαν τοῦ ἐφραίμ. ἐμιάνθη ἰσραὴλ καὶ ἰούδας. ἄφηκε θερισμὸν αὐτῷ. ἄρχου τρυγᾶν σεαυτῷ ἐν τῷ ἐπιστρέφειν με τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου.

Κεφ. ζ. 7.

Ἐν τῷ ἰάσασθαί με τὸν ἰσραήλ. καὶ ἀποκαλυφθήσεται ἡ ἀδικία ἐφραίμ. καὶ ἡ κακία σαμαρείας, ὅτι εἰργάσαντο ψευδῆ. καὶ κλέπτης πρὸς αὐτὸν εἰσελεύσεται. ἐκδιδύσκων λῃστὴς ἐν τῇ ὁδῷ αὐτοῦ ὅπως συνᾴδωσιν, ὡς ᾄδοντες ἐν τῇ καρδίᾳ αὐτῶν πασῶν τῶν κακιῶν αὐτῶν ἐμνήσθην νῦν. ἐκύκλωσεν αὐτοὺς τὰ διαβούλια αὐτῶν ἀπέναντι

τοῦ προσώπου μου ἐγένοντο ἐν ταῖς κακίαις αὐτῶν, εὔφραναν βα-
σιλεῖς. καὶ ἐν τοῖς ψεύδεσιν αὐτῶν ἄρχοντας. πάντες μοιχεύοντες
ὡς κλίβανος καιόμενος εἰς πέψιν κατακαύματος ἀπὸ τῆς φλογὸς
ἀπὸ φυράσεως στέατος, ἕως τοῦ ζυμωθῆναι αὐτὸ ὅλον ἡμέραι τῶν
βασιλέων ὑμῶν. ἤρξαντο οἱ ἄρχοντες, θυμοῦσθαι ἐξ οἴνου. ἐξέτεινε
τὴν χεῖρα αὐτοῦ μετὰ λοιμῶν. διότι ἀνεκαύθησαν, ὡς κλίβανος
αἱ καρδίαι αὐτῶν. ἐν τῷ καταράσσειν αὐτοὺς, ὅλην τὴν νύκτα, ὕ-
πνου ἐφραὶμ ἐνεπλήσθη. πρωῒ ἐγενήθη, ἀνεκαύθη ὡς πυρὸς φέγ-
γος. πάντες ἐθερμάνθησαν, ὡς κλίβανος καιόμενος. καὶ πῦρ κα-
τέφαγε τοὺς κριτὰς αὐτῶν. πάντες οἱ βασιλεῖς αὐτῶν ἔπεσαν. οὐκ
ἦν ἐν αὐτοῖς ὁ ἐπικαλούμενος πρός με. ἐφραὶμ τοῖς λαοῖς αὐτοῦ
συνανεμίγνυτο. ἐφραὶμ ἐγένετο ἐγκρυφίας οὐ μεταστρεφόμενος.
καὶ κατέφαγον ἀλλότριοι τὴν ἰσχὺν αὐτοῦ. αὐτὸς δὲ οὐκ ἐπέγνω.
καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐτὸς οὐκ ἔγνω. καὶ ταπεινωθήσε-
ται ὕβρις ἰσραήλ. εἰς πρόσωπον αὐτοῦ. καὶ οὐκ ἐπέστρεψαν πρὸς
κύριον τὸν θεὸν αὐτῶν, καὶ οὐκ ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τού-
τοις. καὶ ἦν ἐφραίμ. ὡς περιστερὰ ἄνους οὐκ ἔχουσα καρδίαν. αἴ-
γυπτον ἐπεκαλεῖτο καὶ εἰς ἀσσυρίους ἐπορεύθησαν. καθὼς ἂν πο-
ρεύωνται, ἐπιβαλῶ ἐπ' αὐτοὺς τὸ δίκτυόν μου. καθὼς τὰ πετει-
νὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς. παιδεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ
τῆς θλίψεως αὐτῶν. οὐαὶ αὐτοῖς, ὅτι ἀπεπήδησαν ἀπ' ἐμοῦ
δείλαιοί εἰσιν. ὅτι ἠσέβησαν εἰς ἐμέ. ἐγὼ δὲ ἐλυτρωσάμην αὐ-
τούς. αὐτοὶ δὲ κατελάλησαν κατ' ἐμοῦ ψευδῆ. καὶ οὐκ ἐβόησαν πρός
με, αἱ καρδίαι αὐτῶν. ἀλλ' ἢ ὠλόλυζον ἐν ταῖς κοίταις αὐτῶν
ἐπὶ σίτῳ, καὶ οἴνῳ κατετέμνοντο. ἐπαιδεύθησαν ἐν ἐμοί, καὶ ἐγὼ
κατίσχυσα τοὺς βραχίονας αὐτῶν. καὶ εἰς ἐμὲ ἐλογίσαντο πονηρά.
ἀπεστράφησαν εἰς οὐδέν. ἐγένοντο ὡς τόξον ἐντεταμένον. πεσοῦν-
ται ἐν ῥομφαίᾳ, οἱ ἄρχοντες αὐτῶν δι' ἀπαιδευσίαν γλώσσης
αὐτῶν. οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ αἰγύπτῳ.

Κεφάλαιον. κ. 8.

Ις κόλπον αὐτῶν· ὡς γῆ ἄβατος ὡς ἀλώπηξ· ὡς ἀετὸς
ἐπ' οἶκον κυρίου· ἀνθ' ὧν παρέβησαν, ἐμὲ κεκράξονται·
ὁ θεὸς ἐγνώκαμέν σε· ὅτι ἰσραὴλ ἀπεστρέψατο ἀγα-
θά· ἐχθρὸν κατεδίωξαν· ἑαυτοῖς ἐβασίλευσαν, καὶ οὐ δι' ἐμοῦ·
ἦρξαν οὐκ ἐγνώρισάν μοι· τὸ ἀργύριον αὐτῶν, καὶ τὸ χρυσίον αὐτῶν,
ἐποίησαν ἑαυτοῖς εἴδωλα· ὅπως ἂν ἐξολοθρευθῶσιν. ἀπόριψαι
τὸν μόσχον σου, σαμάρεια παρωξύνθη ὁ θυμός μου ἐπ' αὐτούς· ἕ-
ως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι ἐν τῷ ἰσραήλ· καὶ αὐτὸ
τέκτων ἐποίησε, καὶ οὐ θεός ἐστι· διότι πλανῶν ἦν ὁ μόσχος σου σα-
μάρεια. ὅτι ἀνεμόφθορα ἔσπειραν· καὶ ἡ καταστροφὴ αὐτῶν, ἐκδέ-
ξεται αὐτά. δράγμα, οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον. ἐὰν δὲ
καὶ ποιήσῃ, ἀλλότριοι καταφάγωνται αὐτό. κατεπόθη ἰσραήλ. νῦν ἐ-
γένετο ἐν τοῖς ἔθνεσιν, ὡς σκεῦος ἄχρηστον. ὅτι αὐτοὶ ἀνέβησαν εἰς
ἀσσυρίους ἀνέβαλλε κατ' αὐτὸν, ἐφραίμ. δῶρα ἠγάπησε. διὰ τοῦ-
το παραδοθήσονται ἐν τοῖς ἔθνεσι. νῦν εἰσδέξομαι αὐτοὺς, καὶ κο-
πάσουσι μικρὸν τοῦ χρίειν βασιλέα, καὶ ἄρχοντας. ὅτι ἐπλήθυνεν
ἐφραὶμ θυσιαστήρια εἰς ἁμαρτίας ἐγένοντο αὐτῷ θυσιαστήρια ἠ-
γαπημένα. καταγράψω αὐτῷ πλῆθος, καὶ τὰ νόμιμα αὐτοῦ εἰς ἀλ-
λότρια ἐλογίσθησαν θυσιαστήρια. διότι ἐὰν θύσωσι θυσίαν, καὶ
φάγωσι κρέα, κύριος οὐ προσδέξεται αὐτά. νῦν μνησθήσεται τῶν
ἀδικιῶν αὐτῶν, καὶ ἐκδικήσει τὰς ἀνομίας αὐτῶν. αὐτοὶ δὲ εἰς
αἴγυπτον ἀπέστρεψαν. καὶ ἐπελάθετο ἰσραὴλ τοῦ ποιήσαντος αὐ-
τὸν, καὶ ᾠκοδόμησε, τεμένη. καὶ ἰούδας ἐπλήθυνε πόλεις τετει-
χισμένας. καὶ ἐξαποστελῶ πῦρ εἰς τὰς πόλεις αὐτοῦ. καὶ κατα-
φάγεται τὰ θεμέλια αὐτοῦ.

Κεφ. θ. 9.

Η χαῖρε ἰσραήλ. μηδὲ εὐφραίνου καθὼς οἱ λαοί. ὅτι
μ ἐπόρνευσας ἀπὸ κυρίου θεοῦ σου. ἠγάπησας δόματα ἐπὶ
πάντα ἅλωνα σίτου. ἅλων καὶ ληνὸς, οὐκ ἔγνω αὐτούς.
καὶ ὁ οἶνος ἐψεύσατο αὐτούς. οὐ κατῴκησαν ἐν τῇ γῇ τοῦ κυρίου. κατῴ-
κησεν ἐφραὶμ αἴγυπτον. καὶ ἐν ἀσσυρίοις ἀκάθαρτα φάγονται.

οὐκ ἔσπεισαν τῷ κυρίῳ οἶνον, καὶ οὐκ ἥδυναν αὐτῷ αἱ θυσίαι αὐτῶν,
ὡς ἄρτος πένθους αὐτοῖς· πάντες οἱ ἐσθίοντες αὐτὰ μιανθήσονται·
διότι οἱ ἄρτοι αὐτῶν ταῖς ψυχαῖς αὐτῶν, οὐκ εἰσελεύσονται εἰς τὸν οἶ-
κον κυρίου. τί ποιήσετε ἐν ἡμέρᾳ πανηγύρεως, καὶ ἐν ἡμέρᾳ ἑορ-
τῆς τοῦ κυρίου. διὰ τοῦτο ἰδοὺ πορεύσονται ἐκ ταλαιπωρίας αἰγύπτου. καὶ
ἐκδέξεται αὐτοὺς μέμφις. καὶ θάψει αὐτοὺς μαχμάς. τὸ ἀργύ-
ριον αὐτῶν· ὄλεθρος κληρονομήσει αὐτό. ἄκανθαι ἐν τοῖς σκηνώ-
μασιν αὐτῶν. ἥκασιν αἱ ἡμέραι τῆς ἐκδικήσεως ἥκασιν αἱ ἡμέ-
ραι τῆς ἀνταποδόσεώς σου. καὶ κακωθήσεται ἰσραήλ. ὥσπερ ὁ
προφήτης ὁ παρεξεστηκώς. ἄνθρωπος πνευματοφόρος. ὑπὸ τοῦ
πλήθους τῶν ἀδικιῶν σου ἐπληθύνθη μανία σου. σκοπὸς ἐ-
φραίμ. μετὰ θεοῦ προφήτης. παγὶς σκολιά, ἐπὶ πάσας τὰς ὁ-
δοὺς αὐτοῦ. μανίαν ἐν οἴκῳ θεοῦ κατέπηξαν. ἐφθάρησαν κατὰ
τὰς ἡμέρας τοῦ βουνοῦ. μνησθήσεται ἀδικιῶν αὐτῶν. ἐκδικήσει
ἁμαρτίας αὐτῶν. ὡς σταφυλὴν ἐν ἐρήμῳ εὗρον τὸν ἰσραήλ. καὶ ὡς
σύκον ἐν συκῇ πρώϊμον, πατέρας αὐτῶν εἶδον. αὐτοὶ εἰσῆλθον
πρὸς βεελφεγὼρ, καὶ ἀπηλλοτριώθησαν εἰς αἰσχύνην. καὶ ἐγένοντο
οἱ ἐβδελυγμένοι, ὡς οἱ ἠγαπημένοι. ἐφραὶμ. ὡς ὄρνεον ἐξεπε-
τάσθη. αἱ δόξαι αὐτῶν, ἐκ τόκων, καὶ ὠδίνων καὶ συλλήψεων.
διότι καὶ ἐὰν ἐκθρέψωσι τὰ τέκνα αὐτῶν ἀτεκνωθήσονται ἐξ
ἀνθρώπων. διότι καὶ οὐαὶ αὐτοῖς ἐστι σάρξ μου ἐξ αὐτῶν. ἐφραὶμ
ὃν τρόπον εἶδον εἰς θήραν παρέστη τὰ τέκνα αὐτῶν. καὶ ἐφραὶμ
τοῦ ἐξαγαγεῖν εἰς ἀποκέντησιν τὰ τέκνα αὐτοῦ. δὸς αὐτοῖς κύριε·
τί δώσεις αὐτοῖς. δὸς αὐτοῖς μήτραν ἀτεκνοῦσαν. καὶ μαστοὺς ξηρούς.
πᾶσαι αἱ κακίαι αὐτῶν ἐν γαλγάλοις. ὅτι ἐκεῖ ἐμίσησα αὐτούς.
διὰ τὰς κακίας τῶν ἐπιτηδευμάτων αὐτῶν. ἐκ τοῦ οἴκου μου ἐκ-
βαλῶ αὐτούς. οὐ μὴ προσθήσω τοῦ ἀγαπῆσαι αὐτούς. πάντες οἱ
ἄρχοντες αὐτῶν ἀπειθοῦντες. ἐπόνεσεν ἐφραὶμ τὰς ῥίζας αὐτοῦ.
ἐξηράνθη. καρπὸν οὐκ ἔτι οὐ μὴ ἐνέγκῃ. διότι καὶ ἐὰν γεννήσω-
σιν, ἀποκτενῶ τὰ ἐπιθυμήματα τῆς κοιλίας αὐτῶν. ἀπώσεται

αὐτοὺς ὁ θεός. ὅτι οὐκ εἰσήκουσαν αὐτοῦ. Καὶ ἔσονται πλα-
νῆται ἐν τοῖς ἔθνεσι.

Κεφάλαιον. ι. 10.

α Μπελος ἐγκληματοῦσα ἰσραήλ. ὁ καρπὸς εὐθηνῶν
αὐτῆς. κατὰ τὸ πλῆθος τῶν καρπῶν αὐτοῦ, ἐπλήθυ-
νε θυσιαστήρια. κατὰ τὰ ἀγαθὰ τῆς γῆς αὐτοῦ, ᾠκο-
δόμησε στήλας. ἐμέρισαν καρδίας αὐτῶν. νῦν ἀφανισθήσονται.
αὐτὸς κατασκάψει τὰ θυσιαστήρια αὐτῶν. ταλαιπωρήσουσιν αἱ
στῆλαι αὐτῶν. διότι νῦν ἐροῦσιν οὐκ ἔστι βασιλεὺς ἡμῖν. ὅτι οὐκ
ἐφοβήθημεν τὸν κύριον, ὁ δὲ βασιλεὺς τί ποιήσει ἡμῖν; λαλῶν
ῥήματα προφάσεις ψευδεῖς. διαθήσεται διαθήκην. ἀνατελεῖ
ὡς ἄγρωστις. κρίμα ἐπὶ χέρσον ἀγροῦ. τῷ μόσχῳ τοῦ οἴκου. ὧν
ἀδικίας παροικήσουσιν οἱ κατοικοῦντες σαμάρειαν. ὅτι ἐπένθη-
σεν ὁ λαὸς αὐτοῦ ἐπ' αὐτόν. καὶ καθὼς παρεπίκραναν αὐτόν,
ἐπιχαροῦνται ἐπὶ τὴν δόξαν αὐτοῦ, ὅτι μετῳκίσθη ἀπ' αὐτοῦ. καὶ
αὐτὸν εἰς ἀσσυρίους δήσαντες, ἀπήνεγκαν ξένια τῷ βασιλεῖ,
ἰαρείμ ἐν δόματι. ἐφραὶμ δέξεται αἰσχύνην. αἰσχυνθήσεται
ἰσραὴλ ἐν τῇ βουλῇ αὐτοῦ. ἀπέρριψε σαμάρεια βασιλέα αὐ-
τῆς. ὡς φρύγανον ἐπὶ προσώπου ὕδατος. καὶ ἐξαρθήσονται βω-
μοὶ ὧν ἀδικίας ἁμαρτήματα τοῦ ἰσραήλ. ἄκανθαι, καὶ τρίβο-
λοι ἀναβήσονται ἐπὶ τὰ θυσιαστήρια αὐτῶν. καὶ ἐροῦσι τοῖς ὄρε-
σι καλύψατε ἡμᾶς. καὶ τοῖς βουνοῖς πέσετε ἐφ' ἡμᾶς. ἀφ' οὗ
οἱ βουνοὶ ἥμαρτεν ἰσραὴλ ἐκεῖ ἔστησαν. οὐ μὴ καταλάβῃ αὐ-
τοὺς ἐν τῷ βουνῷ. πόλεμος ἐπὶ τὰ τέκνα ἀδικίας ἦλθε παι-
δεῦσαι αὐτοὺς κατὰ τὴν ἐπιθυμίαν μου. καὶ συναχθήσονται
ἐπ' αὐτοὺς λαοί. ἐν τῷ παιδεύεσθαι αὐτοὺς ἐν ταῖς δυσὶν ἀ-
δικίαις αὐτῶν. ἐφραὶμ δάμαλις δεδιδαγμένη ἀγαπᾶν νῖκος.
ἐγὼ δὲ ἐπελεύσομαι ἐπὶ τὸ κάλλιστον τοῦ τραχήλου αὐτῆς. ἐπι-
βιβῶ ἐφραίμ. παρασιωπήσομαι ἰούδαν. ἐνισχύσει αὐτῷ ἰα-
κώβ. σπείρατε ἑαυτοῖς εἰς δικαιοσύνην. τρυγήσατε εἰς καρπὸν

ζωῆς. φωτίσατε ἑαυτοῖς φῶς γνώσεως, ὡς ἔτι καιρός. ἐκζητήσα-
τε τὸν κύριον, ἕως τοῦ ἐλθεῖν γενήματα δικαιοσύνης ὑμῖν. ἵνα τί
παρεσιωπήσατε ἀσέβειαν. καὶ τὰς ἀδικίας αὐτῆς ἐτρυγήσατε.
ἐφάγετε καρπὸν ψευδῆ, ὅτι ἤλπισας ἐν τοῖς ἅρμασί σου. ἐν
πλήθει δυνάμεώς σου. καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ
σου. καὶ πάντα τὰ περιτετειχισμένα σου οἰχήσεται. ὡς ἄρ-
χων σαλαμὰ, ἐκ τοῦ οἴκου τοῦ ἱεροβοὰμ ἐν ἡμέραις πολέμου.
μητέρα ἐπὶ τέκνοις ἠδάφισαν. οὕτως ποιήσω ὑμῖν οἶκος τοῦ ἰσ-
ραὴλ ἀπὸ προσώπου κακιῶν ὑμῶν. Κεφ. ια. 11.

Ρθρου ἀπερρίφησαν. ἀπερρίφη βασιλεὺς ἰσραήλ.
ὄ διότι νήπιος ἰσραήλ. καὶ ἐγὼ ἠγάπησα αὐτόν. καὶ
ἐξ αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ. καθὼς με-
τεκάλεσα αὐτούς. οὕτως ἀπῴχοντο ἐκ προσώπου μου αὐτοὶ τοῖς
βααλεὶμ ἔθυον, καὶ τοῖς γλυπτοῖς ἐθυμίων. καὶ ἐγὼ συνεπόδισα
τὸν ἐφραίμ. ἀνέλαβον αὐτὸν ἐπὶ τὸν βραχίονά μου. καὶ οὐκ ἔγνω-
σαν, ὅτι ἴασομαι αὐτοὺς ἐν διαφθορᾷ ἀνθρώπων. ἐξέτεινα αὐτοὺς
ἐν δεσμοῖς ἀγαπήσεώς μου. καὶ ἔσομαι αὐτοῖς ὡς ῥαπίζων ἄνθρω-
πος ἐπὶ τὰς σιαγόνας αὐτοῦ. ἐπιβλέψομαι πρὸς αὐτὸν, καὶ δυνή-
σομαι αὐτῷ. κατῴκησεν ἐφραὶμ ἐν αἰγύπτῳ καὶ ἀσσοὺρ αὐτὸς
βασιλεὺς αὐτοῦ. ὅτι οὐκ ἠθέλησεν ἐπιστρέψαι. καὶ ἠσθένησεν ἐν
ῥομφαίᾳ ἐν ταῖς πόλεσιν αὐτοῦ. καὶ κατέπαυσεν ἐν ταῖς χερ-
σὶν αὐτοῦ. καὶ φάγονται ἐκ τῶν διαβουλίων αὐτῶν. καὶ ὁ λαὸς αὐ-
τοῦ ἐπικρεμάμενος ἐκ τῆς παροικίας αὐτοῦ. καὶ ὁ θεὸς ἐπὶ τὰ τίμια
αὐτοῦ θυμωθήσεται. καὶ οὐ μὴ ὑψώσῃ αὐτόν. τί, σε διαθῶ ἐφραίμ.
ὑπερασπιῶ σου ἰσραήλ. τί διαθῶ σε. ὡς ἀδαμὰ θήσομαί σε. καὶ
ὡς σεβοείμ, μετεστράφη ἡ καρδία μου, ἐν τῷ αὐτῷ. συνεταρά-
χθη. ἡ μεταμέλειά μου. οὐ μὴ ποιήσω κατὰ τὴν ὀργὴν τοῦ θυ-
μοῦ μου, οὐ μὴ ἐγκαταλίπω τοῦ ἐξαλειφθῆναι τὸν ἐφραίμ. διότι
ὁ θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος. καὶ οὐκ εἰσελεύ-
σομαι εἰς πόλιν, ὀπίσω κυρίου πορεύσομαι. ὡς λέων ἐρεύξεται.

ὅτι αὐτὸς ὠρύσεται. καὶ ἐκστήσονται τέκνα ὑδάτων. ἐκπτήσονται,
ὡς ὄρνεον ἐξ αἰγύπτου, καὶ ὡς περιστερὰ ἐκ τῆς ἀσσυρίων καὶ ἀποκα-
ταστήσω αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν λέγει κύριος ἐκύκλωσέ με ἐν
ψεύδει ἐφραίμ. καὶ ἐν ἀσεβείαις οἶκος ἰσραήλ. καὶ ἰούδα. νῦν ἔγνω αὐ-
τοὺς ὁ θεὸς, καὶ λαὸς ἅγιος κεκλήσεται θεοῦ. Κεφ. ιβ. 12.

Δὲ ἐφραὶμ πονηρὸν πνεῦμα ἐδίωξε. καύσωνα ὅ-
λην ἡμέραν. κενὰ καὶ μάταια ἐπλήθυνε. καὶ δια-
θήκην μετὰ ἀσσυρίων διέθετο. καὶ ἔλαιον εἰς αἴγυπτον
ἐνεπορεύετο. καὶ κρίσις τῷ κυρίῳ πρὸς ἰούδαν τοῦ ἐκδικῆσαι αὐ-
τὸν ἰακώβ. κατὰ τὰς ὁδοὺς αὐτοῦ, καὶ κατὰ τὰ ἐπιτηδεύματα αὐ-
τοῦ, ἀνταποδώσει αὐτῷ. ἐν τῇ κοιλίᾳ ἐπτέρνισε τὸν ἀδελφὸν
αὐτοῦ, καὶ ἐν κόποις αὐτοῦ ἐνίσχυσε πρὸς θεόν. καὶ ἐνίσχυσε με-
τὰ ἀγγέλου, καὶ ἠδυνάσθη. ἔκλαυσαν καὶ ἐδεήθησάν μου. ἐν τῷ
οἴκῳ ὢν, εὕροσάν με. ἐκεῖ ἐλαλήθη πρὸς αὐτούς. ὁ δὲ κύριος ὁ θε-
ὸς ὁ παντοκράτωρ, ἔσται μνημόσυνον αὐτοῦ. καὶ σὺ ἐν θεῷ σου ἐ-
πιστρέψεις. ἔλεον, καὶ κρίμα φυλάσσου. καὶ ἔγγιζε πρὸς τὸν θε-
όν σου διαπαντός. χαναὰν ἐν χειρὶ αὐτοῦ. ζυγὸς ἀδικίας. κα-
ταδυναστεύειν ἠγάπησε. καὶ εἶπεν ἐφραίμ. πλὴν πεπλούτηκα.
εὕρηκα ἀναψυχὴν ἐμαυτῷ. πάντες οἱ πόνοι αὐτοῦ οὐχ εὑρεθή-
σονται αὐτῷ δι' ἀδικίας ἥμαρτεν. ἐγὼ δὲ κύριος ὁ θεός σου ἀνή-
γαγόν σε ἐκ γῆς αἰγύπτου. ἔτι κατοικιῶ σε ἐν σκηναῖς, καθὼς ἐν
ἡμέραις ἑορτῆς. καὶ λαλήσω πρὸς προφήτας. καὶ ἐγὼ ὁράσεις ἐ-
πλήθυνα. καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. εἰ μὴ γαλαάδ ἐστιν.
ἄρα ψευδεῖς ἦσαν ἐν γαλγάλοις. ἄρχοντες θυσιάζοντες. καὶ τὰ
θυσιαστήρια αὐτῶν, ὡς χελῶναι ἐπὶ χέρσον ἀγροῦ. καὶ ἀνεχώρησεν
ἰακὼβ εἰς πεδίον συρίας. καὶ ἐδούλευσεν ἰσραήλ, ἐν γυναικί, καὶ
ἐν γυναικὶ διεφυλάξατο, καὶ ἐν προφήτῃ ἀνήγαγε κύριος τὸν ἰσ-
ραήλ, ἐκ γῆς αἰγύπτου, καὶ ἐν προφήτῃ διεφυλάχθη. ἐθύμωσεν
ἐφραὶμ καὶ παρώργισε. καὶ τὸ αἷμα αὐτοῦ ἐπ' αὐτὸν ἐκχυθήσεται.
καὶ τὸν ὀνειδισμὸν αὐτοῦ ἀνταποδώσει κύριος αὐτῷ.

Κεφάλαιον. ιγ. 13.

Κατὰ τὸν λόγον ἐφραὶμ. δικαιώματα ἔλαβεν αὐτὸς
κ ἐν τῷ ἰσραὴλ, καὶ ἔθετο τῇ βάαλ, καὶ ἀπέθανε. καὶ
νῦν προσέθετο τοῦ ἁμαρτάνειν ἔτι. καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα ἐκ χρυσίου. καὶ τοῦ ἀργυρίου αὐτῶν, κατ' εἰκόνα τῶν εἰδώλων, ἔργα τεκτόνων, συντετελεσμένα αὐτοῖς. αὐτοὶ λέγουσι θύσατε ἀνθρώπους. μόσχοι γὰρ ἐκλελοίπασι. διὰ τοῦτο ἔσονται, ὡς νεφέλη πρωϊνή. καὶ ὡς δρόσος ὀρθρινὴ πορευομένη ὡς χνοῦς φυσώμενος ἀπὸ ἅλωνος. καὶ ὡς ἀτμὶς ἀπὸ δακρύων, καπνώδης. ἐγὼ δὲ κύριος ὁ θεός σου. ὁ στερεῶν οὐρανὸν, καὶ κτίζων γῆν. οὗ αἱ χεῖρες ἔπλασαν τὴν στρατιὰν αὐτοῦ. καὶ οὐ παρέδειξά σοι αὐτὰ τοῦ πορεύεσθαί σε ὀπίσω αὐτῶν, καὶ ἐγὼ ἀνήγαγόν σε ἐκ γῆς αἰγύπτου. καὶ θεὸς, πλὴν ἐμοῦ οὐκ ἔστι. καὶ σώζων οὐκ ἔστι πάρεξ ἐμοῦ. ἐγὼ ἐποίμαινόν σε ἐν τῇ ἐρήμῳ. ἐν γῇ ἀοικήτῳ κατὰ τὰς νομὰς αὐτῶν. καὶ ἐνεπλήσθησαν εἰς πλησμονήν. καὶ ὑψώθησαν αἱ καρδίαι αὐτῶν. ἕνεκα τούτου ἐπελάθοντό μου. καὶ ἔσομαι αὐτοῖς ὡς πάνθηρ καὶ ὡς πάρδαλις. κατὰ τὴν ὁδὸν ἀσσυρίων ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκος ἡ ἀπορουμένη. καὶ διαρρήξω συγκλεισμὸν καρδίας αὐτῶν. καὶ καταφάγονται αὐτοὺς ἐκεῖ σκύμνοι δρυμοῦ, καὶ θηρία ἀγροῦ διασπάσει αὐτούς. τῇ διαφθορᾷ σου ἰσραὴλ, τίς βοηθήσει. ποῦ ὁ βασιλεύς σου οὗτος, καὶ διασωσάτω σε ἐν πάσαις ταῖς πόλεσί σου. κρινάτω σε ὃν εἶπας δός μοι βασιλέα. καὶ ἄρχοντα. καὶ ἔδωκά σοι βασιλέα, ἐν ὀργῇ μου, καὶ ἔσχον ἐν τῷ θυμῷ μου. συστροφὴ ἀδικίας ἐφραὶμ. ἐγκεκρυμμένη ἡ ἁμαρτία αὐτοῦ. ὠδῖνες ὡς τικτούσης ἥξουσιν αὐτῷ. οὗτος ὁ υἱός σου ὁ φρόνιμος. διότι νῦν οὐ μὴ ὑποστῇ ἐν συντριβῇ τέκνων. ἐκ χειρὸς ᾅδου ῥύσομαι αὐτούς. καὶ ἐκ θανάτου λυτρώσομαι αὐτούς. ποῦ ἡ δίκη σου θάνατε. ποῦ τὸ κέντρον σου ᾅδη. παράκλησις κέκρυπται ἀπὸ ὀφθαλμῶν μου. διότι οὗτος ἀνὰ μέσον ἀδελφῶν σου διαστελεῖ. ἐπάξει καύσωνα ἄνεμον κύριος ἐκ τῆς

ἐρήμου ἐπ' αὐτόν. καὶ ἀναξηρανεῖ τὰς φλέβας αὐτοῦ. καὶ ἐξερη-
μώσει τὰς πηγὰς αὐτοῦ. αὐτὸς ξηρανεῖ τὴν γῆν αὐτοῦ, καὶ πάν-
τα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτοῦ.

Κεφάλαιον. ιδ. 14.

Φανισθήσεται σαμάρεια, ὅτι ἀντέστη πρὸς τὸν θεὸν
ά αὐτῆς. ἐν ῥομφαίᾳ πεσοῦνται. καὶ τὰ ὑποτίτθια αὐ-
τῶν ἐδαφισθήσεται. Καὶ αἱ ἐν γαστρὶ ἔχουσαι αὐτῶν
διαῤῥαγήσονται. ἐπιστράφηθι ἱερουσαλὴμ πρὸς κύριον τὸν θεόν σου
διότι ἠσθένησας ἐν ταῖς ἀδικίαις σου. λάβετε μεθ' ἑαυτῶν λόγους,
καὶ ἐπιστράφητε πρὸς κύριον. εἴπατε αὐτῷ ὅπως μὴ λάβητε
ἀδικίαν, καὶ λάβητε ἀγαθά. καὶ ἀνταποδώσομεν καρπὸν χει-
λέων ἡμῶν. ἀσσοὺρ, οὐ μὴ σώσῃ ἡμᾶς ἐφ' ἵππον οὐκ ἀναβησόμε-
θα. οὐκ ἔτι οὐ μὴ εἴπωμεν θεοὶ ἡμῶν τοῖς ἔργοις τῶν χειρῶν ἡμῶν,
ὁ ἐν σοὶ ἐλεήσει ὀρφανόν. ἰάσομαι τὰς κατοικίας αὐτῶν. ἀγαπή-
σω αὐτοὺς ὁμολόγως. διότι ἀπέστρεψεν ἡ ὀργή μου ἀπ' αὐτῶν.
καὶ ἔσομαι ὡς δρόσος τῷ ἰσραήλ. ἀνθήσει ὡς κρίνον. καὶ βαλεῖ
τὰς ῥίζας αὐτοῦ ὡς λίβανος. πορεύσονται οἱ κλάδοι αὐτοῦ.
καὶ ἔσται ὡς ἐλαία κατάκαρπος. καὶ ἡ ὀσφρασία αὐτοῦ, ὡς λιβά-
νου. ἐπιστρέψουσι καὶ καθιοῦνται ὑπὸ τὴν σκέπην αὐτοῦ ζήσονται.
καὶ στεριχθήσονται σίτῳ. καὶ ἐξανθήσει ὡς ἄμπελος τὸ μνημό-
συνον αὐτοῦ. ὡς οἶνος λιβάνου τοῦ ἐφραίμ. τί αὐτῷ ἔτι καὶ εἰδώ-
λοις, ἐγὼ ἐταπείνωσα αὐτὸν, καὶ κατισχύσω αὐτόν. ἐγὼ ὡς ἄρ-
κευθος πυκάζουσα ἐξ ἐμοῦ ὁ καρπός σου εὕρηται. τίς σο-
φὸς καὶ συνήσει ταῦτα. συνετὸς καὶ γνώσεται
αὐτά. διότι εὐθεῖαι αἱ ὁδοὶ τοῦ κυρίου καὶ
δίκαιοι πορεύσονται ἐν αὐταῖς
οἱ δὲ ἀσεβεῖς ἀσθενήσου-
σιν ἐν αὐταῖς.

Τέλος ὠσηέ.

# ΙΩΗΛ.

Κεφάλαιον. α. 1.

Λόγος κυρίου ὃς ἐγενήθη πρὸς ἰωὴλ τὸν
τοῦ βαθουήλ. Ἀκούσατε ταῦτα οἱ πρε
σβύτεροι καὶ ἐνωτίσασθε πάντες οἱ κα
τοικοῦντες τὴν γῆν, εἰ γέγονε τοιαῦτα
ἐν ταῖς ἡμέραις ὑμῶν. ἢ ἐν ταῖς ἡμέ-
ραις τῶν πατέρων ὑμῶν ὑπὲρ αὐτῶν
τοῖς τέκνοις ὑμῶν διηγήσασθε καὶ τὰ τέ
κνα ὑμῶν τοῖς τέκνοις αὐτῶν. καὶ τὰ τέκνα αὐτῶν εἰς γενεὰν
ἑτέραν. τὰ κατάλοιπα τῆς κάμπης κατέφαγεν ἡ ἀκρὶς καὶ τὰ
κατάλοιπα τῆς ἀκρίδος κατέφαγεν ὁ βροῦχος. καὶ τὰ κατάλοι
πα τοῦ βρούχου κατέφαγεν ἡ ἐρυσίβη. ἐκνήψατε οἱ μεθύοντες
ἐξ οἴνου αὐτῶν. καὶ κλαύσατε θρηνήσατε πάντες οἱ πίνοντες
οἶνον εἰς μέθην. ὅτι ἐξῆρται ἐκ στόματος ὑμῶν εὐφροσύνη καὶ χα
ρά. ὅτι ἔθνος ἀνέβη ἐπὶ τὴν γῆν μου ἰσχυρὸν καὶ ἀναρίθμητον
οἱ ὀδόντες αὐτοῦ ὀδόντες λέοντος. καὶ αἱ μύλαι, ὡς σκύμνου αὐ
τοῦ. ἔθετο τὴν ἄμπελόν μου εἰς ἀφανισμόν. καὶ τὰς συκάς μου
εἰς γλυκασμόν. ἐρευνῶν ἐξηρεύνησεν αὐτὴν καὶ ἔρριψεν. ἐλεύ
κανε τὰ κλήματα αὐτῆς. θρήνησον πρός με ὑπὲρ νύμφην πε-
ριεζωσμένην σάκκον ἐπὶ τὸν ἄνδρα αὐτῆς τὸν παρθενικόν. ἐξῆρ
ται θυσία καὶ σπονδὴ ἐξ οἴκου κυρίου. πενθεῖτε οἱ ἱερεῖς οἱ λειτουρ
γοῦντες θυσιαστηρίῳ κυρίου. ὅτι τεταλαιπώρηται τὰ πεδία. πεν
θείτω ἡ γῆ, ὅτι τεταλαιπώρηκε σῖτος. ἐξηράνθη οἶνος ὠλιγώθη
ἔλαιον. ἐξηράνθησαν γεωργοί. θρηνεῖτε κτήματα ὑπὲρ πυροῦ καὶ
κριθῆς. ὅτι ἀπόλωλε τρυγητὸς ἐξ ἀγροῦ. ἡ ἄμπελος ἐξηράνθη καὶ

αἱ συκαῖ ὠλιγώθησαν. ῥοὰ καὶ φοῖνιξ. καὶ μῆλον καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐξηράνθη. ὅτι ᾔσχυναν χαρὰν οἱ υἱοὶ τῶν ἀνθρώπων περιζώσασθε καὶ κόπτεσθε οἱ ἱερεῖς. θρηνεῖτε οἱ λειτουργοῦντες θυσιαστηρίῳ. εἰσέλθετε ὑπνώσατε ἐν σάκκοις λειτουργοῦντες θεῷ. ὅτι ἀπέσχηκεν ἐξ οἴκου ὑμῶν θυσία, καὶ σπονδή. ἁγιάσατε νηστείαν. κηρύξατε θεραπείαν συναγάγετε πρεσβυτέρους. πάντας κατοικοῦντας τὴν γῆν, εἰς οἶκον κυρίου θεοῦ ὑμῶν. καὶ κεκράξατε πρὸς κύριον ἐκτενῶς εἰς ἡμέραν. ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου καὶ ταλαιπωρία ἐκ ταλαιπωρίας ἥξει. ὅτι κατέναντι τῶν ὀφθαλμῶν ὑμῶν βρώματα ἐξωλοθρεύθη ἐξ οἴκου θεοῦ ὑμῶν εὐφροσύνη. καὶ χαρά. ἐσκίρτησαν δαμάλεις ἐπὶ ταῖς φάτναις αὐτῶν. ἠφανίσθησαν ταυροί. κατεσκάφησαν ληνοί. ὅτι ἐξηράνθη σῖτος. τί ἀποθήσομεν ἑαυτοῖς. ἔκλαυσαν βουκόλια βοῶν. ὅτι τὰ ποίμνια τῶν προβάτων ἠφανίσθησαν. πρὸς σὲ κύριε βοήσομαι ὅτι πῦρ ἀνήλωσε τὰ ὡραῖα τῆς ἐρήμου. καὶ φλὸξ ἀνῆψε πάντα τὰ ξύλα τοῦ ἀγροῦ. καὶ τὰ κτήνη τοῦ πεδίου ἀνέβλεψαν πρὸς σέ. ὅτι ἐξηράνθησαν ἀφέσεις ὑδάτων. καὶ πῦρ κατέφαγε τὰ ὡραῖα τῆς ἐρήμου.

## Κεφάλαιον. β. 2.

Αἰ σαλπίσατε σάλπιγγι ἐν σιών. κηρύξατε ἐν ὄρει ἁ-
κ γίῳ μου. καὶ συγχυθήτωσαν πάντες οἱ κατοικοῦντες
τὴν γῆν. ὅτι πάρεστιν ἡ ἡμέρα κυρίου. ὅτι ἐγγὺς ἡμέρα σκότους καὶ γνόφου. ἡμέρα νεφέλης καὶ ὁμίχλης. ὡς ὄρθρος χυθήσεται ἐπὶ τὰ ὄρη. λαὸς πολὺς καὶ ἰσχυρὸς ὅμοιος αὐτῷ, οὐ γέγονεν ἀπὸ τοῦ αἰῶνος καὶ μετ' αὐτὸν οὐ προστεθήσεται ἕως ἐτῶν. εἰς γενεὰς γενεῶν. τὰ ἔμπροσθεν αὐτοῦ πῦρ ἀναλίσκον. καὶ τὰ ὀπίσω αὐτοῦ ἀναπτομένη φλόξ. ὡς παράδεισος τρυφῆς ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ. καὶ τὰ ὀπίσω αὐτοῦ πεδίον ἀφανισμοῦ. καὶ ἀνασωζόμενος οὐκ ἔσται αὐτῷ. ὡς ὅρασις ἵππων ἡ ὅρασις αὐτῶν. καὶ οἱ ἱππεῖς. οὕτως καταδιώξονται. ὡς φωνὴ ἁρμάτων ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων ἐξαλοῦνται, καὶ ὡς φωνὴ φλογὸς κατεσθιούσης καλάμην.

καὶ ὡς λαὸς πολὺς καὶ ἰσχυρὸς παρατασσόμενος εἰς πόλεμον.
ἀπὸ προσώπου αὐτοῦ, συντριβήσονται λαοί· πᾶν πρόσωπον, ὡς
πρόκαυμα χύτρας, ὡς μαχηταὶ δραμοῦνται, καὶ ὡς ἄνδρες πο-
λεμισταὶ ἀναβήσονται ἐπὶ τὰ τείχη· καὶ ἕκαστος ἐν τῇ ὁδῷ αὐ-
τοῦ πορεύσεται· καὶ οὐ μὴ ἐκκλίνωσι τὰς τρίβους αὐτῶν, καὶ ἕκα-
στος ἀπὸ τοῦ πλησίον αὐτοῦ οὐκ ἀφέξεται· καταβαρυνόμενοι ἐν τοῖς
ὅπλοις αὐτῶν πορεύσονται· καὶ ἐν τοῖς βέλεσιν αὐτῶν πεσοῦν-
ται· καὶ οὐ μὴ συντελέσωσι· τῆς πόλεως ἐπιλήψονται, καὶ ἐπὶ
τῶν τειχέων δραμοῦνται· ἐπὶ τὰς οἰκίας ἀναβήσονται· καὶ διὰ
θυρίδων εἰσελεύσονται ὡς κλέπται· πρὸ προσώπου αὐτοῦ, συγ-
χυθήσεται ἡ γῆ· καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἄστρα δύσουσιν
τὸ φέγγος αὐτῶν· καὶ κύριος δώσει φωνὴν αὐτοῦ, πρὸ προσώ-
που δυνάμεως αὐτοῦ· ὅτι ἰσχυρὰ ἔργα λόγων αὐτοῦ· διότι μεγά-
λη ἡ ἡμέρα κυρίου ἐπιφανὴς σφόδρα· καὶ τίς ἔσται ἱκανὸς αὐτῇ·
Καὶ νῦν λέγει κύριος ὁ θεὸς ἡμῶν ἐπιστράφητε πρός με ἐξ ὅλης
τῆς καρδίας ὑμῶν· καὶ ἐν νηστείᾳ· καὶ ἐν σάκκῳ, καὶ ἐν κλαυθμῷ
καὶ ἐν κοπετῷ· καὶ διαῤῥήξατε τὰς καρδίας ὑμῶν καὶ μὴ τὰ
ἱμάτια ὑμῶν· ὅτι ἐλεήμων καὶ οἰκτίρμων ἐστὶ μακρόθυμος καὶ
πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις· τίς οἶδεν εἰ ἐπιστρέ-
ψει, καὶ μετανοήσει καὶ ὑπολείψεται ὀπίσω αὐτοῦ εὐλογίαν, καὶ
θυσίαν, καὶ σπονδὴν κυρίῳ τῷ θεῷ ἡμῶν· σαλπίσατε σάλπιγγι
ἐν σιών· ἁγιάσατε νηστείαν· κηρύξατε θεραπείαν· συναγάγετε
λαόν· ἁγιάσατε ἐκκλησίαν· ἐκλέξασθε πρεσβυτέρους· συναγά-
γετε νήπια θηλάζοντα μαστούς· ἐξελθέτω νυμφίος ἐκ τοῦ κοιτῶ-
νος αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ παστοῦ αὐτῆς· ἀνὰ μέσον τῆς κρηπῖ-
δος τοῦ θυσιαστηρίου κλαύσονται οἱ ἱερεῖς οἱ λειτουργοῦντες τῷ
κυρίῳ· καὶ ἐροῦσι· φεῖσαι κύριε τοῦ λαοῦ σου καὶ μὴ δῷς τὴν κλη-
ρονομίαν σου εἰς ὄνειδος τοῦ κατάρξαι αὐτῶν ἔθνη· ὅπως μὴ εἴ-
πωσιν ἐν τοῖς ἔθνεσι, ποῦ ἐστιν ὁ θεὸς αὐτῶν· καὶ ἐζήλωσε κύρι-
ος τὴν γῆν αὐτοῦ· καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ· καὶ ἀπεκρίθη κύ-

ριος καὶ εἶπε τῷ λαῷ αὐτοῦ, ἰδοὺ ἐγὼ ἐξαποστελῶ ὑμῖν τὸν σῖ-
τον, καὶ τὸν οἶνον, καὶ τὸ ἔλαιον. καὶ ἐμπλησθήσεσθε αὐτῶν. καὶ
οὐ δώσω ὑμᾶς οὐκ ἔτι εἰς ὀνειδισμὸν ἐν τοῖς ἔθνεσι. καὶ τὸν ἀπὸ
βοῤῥᾶ ἐκδιώξω ἀφ᾽ ὑμῶν. καὶ ἐξώσω αὐτὸν, εἰς γῆν ἄνυδρον. καὶ
ἀφανιῶ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην. καὶ
τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. καὶ ἀναβή-
σεται ἡ σαπρία αὐτοῦ. καὶ ἀναβήσεται ὁ βρῶμος αὐτοῦ. ὅτι ἐμε-
γαλύνθη τὰ ἔργα αὐτοῦ. θάρσει γῆ χαῖρε καὶ εὐφραίνου, ὅτι ἐμε-
γάλυνε κύριος τοῦ ποιῆσαι. θαρσεῖτε κτήνη τοῦ πεδίου. ὅτι βεβλά-
στηκε τὰ πεδία τῆς ἐρήμου. ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ.
συκῆ καὶ ἄμπελος, ἔδωκαν τὴν ἰσχὺν αὐτῶν. καὶ τὰ τέκνα σι-
ὼν, χαίρετε καὶ εὐφραίνεσθε τῷ κυρίῳ θεῷ ἡμῶν. ὅτι ἔδωκεν
ὑμῖν βρώματα εἰς δικαιοσύνην καὶ βρέξει ὑμῖν ὑετὸν, πρώϊμον
καὶ ὄψιμον καθὼς ἔμπροσθεν, καὶ πλησθήσονται αἱ ἅλωνες σί-
του, καὶ ὑπερεκχυθήσονται αἱ ληνοὶ, οἴνου καὶ ἐλαίου καὶ ἀνταπο-
δώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν ὧν κατέφαγεν ἡ ἐρυσίβη καὶ ὁ βροῦ-
χος καὶ ἀκρὶς καὶ ἡ κάμπη. ἡ δύναμίς μου ἡ μεγάλη. ἣν ἐξαπέ-
στειλα εἰς ὑμᾶς καὶ φάγεσθε ἐσθίοντες καὶ ἐμπλησθήσεσθε. καὶ
αἰνέσετε τὸ ὄνομα κυρίου τοῦ θεοῦ ἡμῶν. ἃ ἐποίησε μετ᾽ ὑμῶν
εἰς θαυμάσια. καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τὸν αἰῶνα.
καὶ ἔσται μετὰ ταῦτα, καὶ ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶ-
σαν σάρκα. καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν. καὶ αἱ θυγατέρες
ὑμῶν. καὶ οἱ πρεσβύτεροι ὑμῶν, ἐνύπνια ἐνυπνιασθήσονται. καὶ
οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται. καὶ ἐπὶ τοὺς δούλους μου καὶ
ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύ-
ματός μου καὶ προφητεύσουσι. καὶ δώσουσι τέρατα ἐν τῷ οὐ-
ρανῷ, καὶ ἐπὶ τῆς γῆς αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. ὁ ἥ-
λιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα. πρὶν ἐλ-
θεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην, καὶ ἐπιφανῆ. καὶ ἔσται πᾶς
ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου σωθήσεται. ὅτι ἐν τῷ ὄρει

σιὼν, καὶ ἐν ἱερουσαλὴμ ἔσται ἀνασωζόμενος καθότι εἶπε κύριος
καὶ εὐαγγελιζόμενοι οὓς ὁ κύριος προσκέκληται.

Κεφάλαιον. γ. 3.

Τι ἰδοὺ ἐγὼ ἐν ταῖς ἡμέραις ἐκείναις καὶ ἐν τῷ και-
ο ρῷ ἐκείνῳ ὅταν ἐπιστρέψω τὴν αἰχμαλωσίαν ἰου-
δα, καὶ ἱερουσαλήμ. καὶ συνάξω πάντα καὶ κατά-
ξω αὐτὰ εἰς τὴν κοιλάδα ἰωσαφάτ. καὶ διακριθήσομαι πρὸς
αὐτοὺς ἐκεῖ ὑπὲρ τοῦ λαοῦ μου τῆς κληρονομίας μου ἰσραήλ. οἳ δι-
εσπάρησαν ἐν τοῖς ἔθνεσι καὶ τὴν γῆν μου καταδιείλοντο. καὶ ἐπὶ
τὸν λαόν μου ἔβαλον κλήρους καὶ ἔδωκαν τὰ παιδάρια πόρναις
καὶ τὰ κοράσια ἐπώλουν ἀντὶ τοῦ οἴνου καὶ ἔπινον. καὶ τί καὶ
ὑμεῖς ἐμοὶ τύρος, καὶ σιδών. καὶ πᾶσα γαλιλαία ἀλλοφύλων.
μὴ ἀνταπόδομα ὑμεῖς ἀνταποδίδοτέ μοι ἢ μνησικακεῖτε ὑ-
μεῖς ἐμοὶ ὀξέως, καὶ ταχέως ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς
ὑμῶν. ἀνθ᾿ ὧν τὸ ἀργύριόν μου, καὶ τὸ χρυσίον μου ἐλάβετε, καὶ τὰ
ἐπίλεκτά μου τὰ καλὰ εἰσηνέγκατε εἰς τοὺς οἴκους ὑμῶν, καὶ
τοὺς υἱοὺς ἰούδα, καὶ τοὺς υἱοὺς ἱερουσαλήμ. ἀπέδοτε τοῖς υἱοῖς τῶν
ἑλλήνων ὅπως ἐξώσητε αὐτοὺς ἐκ τῶν ὁρίων αὐτῶν. καὶ ἰδοὺ
ἐγὼ ἐξεγείρω αὐτοὺς ἐκ τοῦ τόπου οὗ ἀπέδοσθε αὐτοὺς ἐκεῖ. καὶ
ἀνταποδώσω τὸ ἀνταπόδομα ὑμῶν εἰς κεφαλὰς ὑμῶν. καὶ
ἀποδώσομαι τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας ὑμῶν εἰς χεῖ-
ρας υἱῶν ἰούδα. καὶ ἀποδώσονται αὐτοὺς εἰς αἰχμαλωσίαν εἰς
ἔθνος μακρὰν ἀπέχον, ὅτι κύριος ἐλάλησε. Κηρύξατε ταῦτα ἐν
τοῖς ἔθνεσιν. ἁγιάσατε πόλεμον. ἐξεγείρατε τοὺς μαχητάς. προσά-
γετε καὶ ἀναβαίνετε πάντες ἄνδρες πολεμισταί. συγκόψα-
τε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας. καὶ τὰ δρέπανα ὑμῶν εἰς σει-
ρομάστας. ὁ ἀδύνατος λεγέτω ὅτι ἰσχύω ἐγώ. συναθροίζεσθε, καὶ
εἰσπορεύεσθε πάντα τὰ ἔθνη κυκλόθεν. καὶ συνάχθητε ἐκεῖ.
ὁ πραῢς ἔστω μαχητής. ἐξεγειρέσθωσαν καὶ ἀναβαινέτωσαν πάν-
τα τὰ ἔθνη, εἰς τὴν κοιλάδα τοῦ ἰωσαφάτ. διότι ἐκεῖ καθιῶ τοῦ

διακρῖναι πάντα τὰ ἔθνη κυκλόθεν. ἐξαποστείλατε δρέπανα
ὅτι πάρεστιν ὁ τρυγητός. εἰσπορεύεσθε πατεῖτε διότι πλήρης ἡ
ληνός. ὑπερχεῖται τὰ ὑπολήνια ὅτι ἐπληθύνθη τὰ κακὰ αὐτῶν
ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης. ὁ ἥλιος καὶ ἡ σελήνη
συσκοτάσουσι. καὶ οἱ ἀστέρες δύσουσι τὸ φέγγος αὐτῶν. ὁ δὲ
κύριος ἐκ σιὼν ἀνακράξεται. καὶ ἐξ ἱερουσαλὴμ δώσει φωνὴν
αὐτοῦ. καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ. ὁ δὲ κύριος φείσεται
τοῦ λαοῦ αὐτοῦ. καὶ ἐνισχύσει τοὺς υἱοὺς ἰσραήλ. καὶ γνώσεσθε ὅτι
ἐγὼ κύριος ὁ θεὸς ὑμῶν ἔσται ἱερουσαλὴμ ἁγία. καὶ ἀλλογενεῖς
ἐσελεύσονται δι᾽ αὐτῆς οὐκ ἔτι. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ,
ἀποσταλάξει τὰ ὄρη γλυκασμὸν καὶ οἱ βουνοὶ ῥυήσονται ὕδατα,
καὶ πηγὴ ἐξ οἴκου κυρίου ἐξελεύσεται. καὶ ποτιεῖ τὸν χείμαρ-
ῥουν τῶν σχοίνων. αἴγυπτος εἰς ἀφανισμὸν ἔσται. καὶ ἡ ἰδουμαία
εἰς πεδίον ἀφανισμοῦ ἔσται. ἐξ ἀδικιῶν υἱῶν ἰούδα. ἀνθ᾽ ὧν
ἐξέχεον αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν. ἡ δὲ ἰουδαία
εἰς τὸν αἰῶνα κατοικηθήσεται. καὶ ἱερουσαλὴμ
εἰς γενεὰς γενεῶν. καὶ ἐκζητήσω τὸ
αἷμα αὐτῶν, καὶ οὐ μὴ ἀθωώ-
σω. καὶ κύριος κατα-
σκηνώσει ἐν
σιών.

Τέλος ἰωήλ.

# ΑΜΩΣ.

Κεφάλαιον. α. 1.

Λόγοι ἀμῶς οἳ ἐγένοντο, ἐν καριαθιαρεὶμ ἐκ θεκουέ. οὓς εἶπε περὶ ἱερουσαλήμ. ἐν ἡμέραις ὀζίου βασιλέως ἰούδα. ἱεροβοὰμ τοῦ ἰωὰς βασιλέως ἰσραήλ. πρὸ δύο ἐτῶν τοῦ σεισμοῦ. καὶ εἶπε. κύριος ἐκ σιὼν ἐφθέγξατο. καὶ ἐξ ἱερουσαλὴμ ἔδωκε φωνὴν αὐτοῦ. καὶ ἐπένθησαν αἱ νομαὶ τῶν ποιμένων. καὶ ἐξηράνθη ἡ κορυφὴ τοῦ καρμήλου. καὶ εἶπε κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις δαμασκοῦ. καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς. ἀνθ' ὧν ἔπριζον πρίοσι σιδηροῖς τὰς ἐν γαστρὶ ἐχούσας τῶν γαλαάδ. καὶ ἀποστελῶ πῦρ εἰς τὸν οἶκον ἀζαήλ, καὶ καταφάγεται τὰ θεμέλια υἱοῦ ἄδερ, καὶ συντρίψω μοχλοὺς δαμασκοῦ. καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐκ πεδίου ὤν. καὶ κατακόψω φυλὴν ἐξ ἀνδρῶν χαῤῥάν. καὶ αἰχμαλωτευθήσεται λαὸς συρίας ἐπίκλητος λέγει κύριος. τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις γάζης, καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς. ἕνεκεν τοῦ αἰχμαλωτεῦσαι αὐτοὺς, αἰχμαλωσίαν τοῦ σαλωμών. τοῦ συγκλεῖσαι εἰς τὴν ἰδουμαίαν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη γάζης. καὶ καταφάγεται τὰ θεμέλια αὐτῆς. καὶ ἐξολοθρεύσω κατοικοῦντας ἐξ ἀζώτου. καὶ ἐξαρθήσεται φυλὴ ἐξ ἀσκάλωνος. καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ ἀκκάρων. καὶ ἀπολοῦνται οἱ κατάλοιποι ἀλλοφύλων λέγει κύριος κύριος. τάδε

δὲ λέγει

Α δὲ λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις τύρου, καὶ ἐπὶ ταῖς τέσ-
σαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς. ἀνθ᾽ ὧν συνέκλεισαν αἰ-
χμαλωσίαν τοῦ σαλωμὼν εἰς τὴν ἰουδαίαν καὶ οὐκ ἐμνήσθησαν
διαθήκης ἀδελφῶν. καὶ ἐξαποστελῶ πῦρ ἐπὶ τὰ τείχη τύρου. καὶ
καταφάγεται τὰ θεμέλια αὐτῆς. τάδε λέγει κύριος ἐπὶ ταῖς
τρισὶν ἀσεβείαις τῆς ἰδουμαίας καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀπο-
στραφήσομαι αὐτοὺς ἕνεκα τοῦ διῶξαι αὐτοὺς ἐν ῥομφαίᾳ τοὺς
ἀδελφοὺς αὐτοῦ. καὶ ἐλυμήνατο μητόρα ἐπὶ τῆς γῆς καὶ ἡτοί-
μασεν εἰς μαρτύριον φρίκην αὐτοῦ. καὶ ὅρμημα αὐτοῦ ἐφύλα-
ξεν εἰς νῖκος. καὶ ἐξαποστελῶ πῦρ εἰς θαμὰν καὶ καταφάγεται
θεμέλια τειχέων αὐτῆς. τάδε λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσε-
βείαις υἱῶν ἀμμῶν. καὶ ἐπὶ ταῖς τέσσαρσιν, οὐκ ἀποστραφήσομαι
αὐτούς, ἀνθ᾽ ὧν ἀνέσχιζον τὰς ἐν γαστρὶ ἐχούσας τῶν γαλααδι-
τῶν, ὅπως ἐμπλατύνωσι τὰ ὅρια αὐτῶν. καὶ ἀνάψω πῦρ καὶ
ἐπὶ τείχη ῥαββαθ. καὶ καταφάγεται θεμέλια αὐτῆς μετὰ κραυ-
γῆς ἐν ἡμέρᾳ πολέμου. καὶ σεισθήσεται ἐν ἡμέρᾳ συντε-
λείας αὐτῆς. καὶ πορεύσονται βασιλεῖς αὐτῆς ἐν αἰχμαλω-
σίᾳ οἱ ἱερεῖς αὐτῶν καὶ οἱ ἄρχοντες ἐπιτοαυτὸ λέγει κύριος.

Κεφάλαιον. β. 2.

Α δὲ λέγει κύριος ἐπὶ ταῖς τρισὶν ἀσεβείαις μωὰβ
τ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς.
ἀνθ᾽ ὧν κατέκαυσαν τὰ ὀστᾶ βασιλέως ἰδουμαίας
εἰς κονίαν. καὶ ἐξαποστελῶ πῦρ εἰς μωὰβ. καὶ καταφάγεται
θεμέλια τῶν πόλεων αὐτῆς, καὶ ἀποθανεῖται ἐν ἀδυναμίᾳ
μωάβ. μετὰ φωνῆς μετὰ κραυγῆς σάλπιγγος. Καὶ ἐξολοθρεύ-
σω κριτὴν ἐξ αὐτῆς. καὶ πάντας ἄρχοντας αὐτῆς ἀποκτενῶ
λέγει κύριος, τάδε κύριος λέγει ἐπὶ ταῖς τρισὶν ἀσεβείαις υἱ-
ῶν ἰούδα. καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐ-
τοὺς ἕνεκα τοῦ ἀπώσασθαι τὸν νόμον τὸν φυσικὸν κυρίου. καὶ
τὰ προστάγματα αὐτοῦ οὐκ ἐφυλάξαντο. καὶ ἐπλάνησαν

αὐτοὺς, τὰ μάταια αὐτῶν· οἷς ἐξηκολούθησαν οἱ πατέρες αὐτῶν ὀπίσω αὐτῶν· ἐξαποστελῶ πῦρ ἐπὶ ἰούδαν, καὶ καταφάγεται θεμέλια ἐπὶ ἱερουσαλήμ· τάδε λέγει κύριος· ἐπὶ ταῖς τρισὶν ἀσεβείαις ἱερουσαλὴμ καὶ ἐπὶ ταῖς τέσσαρσιν οὐκ ἀποστραφήσομαι αὐτούς· ἀνθ᾽ ὧν ἀπέδοντο ἀργυρίου δίκαιον, καὶ πένητα ἕνεκεν ὑποδημάτων, καὶ τῶν πατούντων ἐπὶ τὸν χοῦν τῆς γῆς καὶ ἐκονδύλιζον εἰς κεφαλὰς πτωχῶν· ὁδὸν καὶ ταπεινῶν ἐξέκλιναν· καὶ υἱὸς καὶ πατὴρ αὐτοῦ εἰσεπορεύοντο πρὸς τὴν αὐτὴν παιδίσκην· ὅπως βεβηλώσωσι τὸ ὄνομα τοῦ θεοῦ αὐτῶν, καὶ τὰ ἱμάτια αὐτῶν δεσμεύοντες σχοινίοις, παραπετάσματα ἐποίουν· ἐχόμενα τοῦ θυσιαστηρίου· καὶ οἶνον ἐκ συκοφαντιῶν ἔπινον ἐν τῷ οἴκῳ τοῦ θεοῦ αὐτῶν· ἐγὼ δὲ ἐξῆρα τὸν ἀμορραῖον· ἐκ προσώπου αὐτῶν, ὃ ἦν. καθὼς ὕψος κέδρου τὸ ὕψος αὐτοῦ· καὶ ἰσχυρὸς ἦν ὡς δρῦς· καὶ ἐξήρανα τὸν καρπὸν αὐτοῦ ἐπάνωθεν· καὶ τὰς ῥίζας αὐτοῦ ὑποκάτωθεν· καὶ ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς αἰγύπτου· καὶ περιήγαγον ὑμᾶς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη· τοῦ κατακληρονομῆσαι τὴν γῆν τῶν ἀμορραίων· καὶ ἔλαβον ἐκ τῶν υἱῶν ὑμῶν, εἰς προφήτας, καὶ ἐκ τῶν νεανίσκων ὑμῶν εἰς ἁγιασμόν· μὴ, οὐκ ἔστι ταῦτα υἱοὶ ἰσραὴλ λέγει κύριος, καὶ ἐποτίζετε τοὺς ἡγιασμένους οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες τοῦ μὴ προφητεύσαι· διὰ τοῦτο ἰδοὺ ἐγὼ κυλίω ὑποκάτω ὑμῶν ὃν τρόπον κυλίεται ἡ ἄμαξα ἡ γέμουσα καλάμης· καὶ ἀπολεῖται φυγὴ ἐκ δρομέως· καὶ ὁ κραταιὸς οὐ μὴ κρατήσῃ τῆς ἰσχύος αὐτοῦ· καὶ ὁ μαχητὴς, οὐ μὴ, σώσῃ τὴν ψυχὴν αὐτοῦ· καὶ ὁ τοξότης οὐ μὴ ὑποστῇ, καὶ ὁ ὀξὺς τοῖς ποσὶν αὐτοῦ, οὐ μὴ διασωθῇ, καὶ ὁ ἱππεὺς, οὐ μὴ, σώσῃ τὴν ψυχὴν αὐτοῦ· καὶ εὑρεθῇ ἡ καρδία αὐτοῦ ἐν δυνάσταις· ὁ γυμνὸς διώξεται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγει κύριος·

Κεφάλαιον. γ. 3.

κε. α Ἀκούσατε τὸν λόγον τοῦτον ὃν ἐλάλησε κύριος ἐφ' ὑ-
μᾶς. οἶκος ἰσραήλ. καὶ κατὰ πάσης φυλῆς. ἧς ἀνήγα-
γον ἐκ γῆς αἰγύπτου λέγων. πλὴν ὑμᾶς ἔγνων ἐκ πα-
σῶν τῶν φυλῶν τῆς γῆς. διὰ τοῦτο ἐκδικήσω ἐφ' ὑμᾶς πάσας τὰς
κακίας ὑμῶν. εἰ πορεύσονται δύο ἐπὶ τὸ αὐτὸ καθόλου, ἐὰν μὴ γνω-
ρίσωσιν ἑαυτούς. εἰ ἐρεύξεται λέων ἐκ τοῦ δρυμοῦ αὐτοῦ. θήραν
οὐκ ἔχων. εἰ δώσει σκύμνος φωνὴν αὐτοῦ ἐκ τῆς μάνδρας αὐτοῦ κα-
θόλου ἐὰν μὴ ἁρπάσῃ τι. εἰ πεσεῖται ὄρνεον ἐπὶ τῆς γῆς ἄνευ ἰξευ-
τοῦ. εἰ σχασθήσεται παγὶς ἐπὶ τῆς γῆς ἄνευ συλλαβεῖν τι. εἰ φωνήσει
σάλπιγξ ἐν πόλει. καὶ λαὸς οὐ πτοηθήσεται. εἰ ἔσται κακία ἐν πόλει
ἣν κύριος οὐκ ἐποίησεν; διότι οὐ μὴ ποιήσῃ κύριος ὁ θεὸς πρᾶγμα·
ἐὰν μὴ ἀποκαλύψῃ παιδείαν αὐτοῦ πρὸς τοὺς δούλους αὐτοῦ τοὺς
προφήτας. λέων ἐρεύξεται, καὶ τίς οὐ φοβηθήσεται; κύριος ὁ
θεὸς ἐλάλησε. καὶ τίς οὐ προφητεύσει; ἀναγγείλατε χώραις ἐν
ἀσσυρίοις. καὶ ἐπὶ τὰς χώρας ἐν γῇ αἰγύπτῳ. καὶ εἴπατε συνάχθη-
τε, ἐπὶ τὸ ὄρος σαμαρείας, καὶ ἴδετε θαυμαστὰ πολλὰ ἐν μέσῳ αὐ-
τῆς. καὶ καταδυναστείαν ἐν αὐτῇ. καὶ οὐκ ἔγνω ἃ ἔσται ἐναντίον
αὐτῆς λέγει κύριος. οἱ θησαυρίζοντες ἀδικίαν καὶ ταλαιπωρίαν
ἐν ταῖς χώραις αὐτῶν. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεός. ἐρη-
μωθήσεται τύρος. καὶ κυκλόθεν ἡ γῆ σου ἀφανισθήσεται. καὶ κα-
τάξει ἐκ σοῦ ἰσχύν σου. καὶ διαρπαγήσονται αἱ χώραι σου. τάδε
λέγει κύριος ὃν τρόπον ὅταν ἐκσπάσῃ ὁ ποιμὴν ἐκ τοῦ στόματος
τοῦ λέοντος δύο σκέλη. ἢ λοβὸν ὠτίου, οὕτως ἐκσπασθήσονται
οἱ υἱοὶ ἰσραήλ. οἱ κατοικοῦντες ἐν σαμαρείᾳ κατέναντι φυλῆς.
καὶ ἐν δαμασκῷ κλινῇ ἱερεῖς ἀκούσατε. καὶ ἐπιμαρτύρασθε τῷ
οἴκῳ ἰακὼβ λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ. διότι ἐν τῇ
ἡμέρᾳ ὅταν ἐκδικήσω ἀσεβείας τοῦ ἰσραὴλ ἐπ' αὐτόν. καὶ ἐκ-
δικήσω ἐπὶ τὰ θυσιαστήρια βαιθήλ. καὶ κατασκαφήσεται τὰ
κέρατα τοῦ θυσιαστηρίου. καὶ πεσοῦνται ἐπὶ τὴν γῆν. καὶ
συντρίψω τὸν οἶκον τὸν περίπτερον ἐπὶ τὸν οἶκον τὸν θερινόν.

καὶ ἀπολοῦνται οἶκοι ἐλεφάντινοι καὶ προστεθήσονται οἶκοι ἕτεροι πολλοὶ λέγει κύριος.

Κεφ. δ. 4.

Ἀκούσατε τὸν λόγον τοῦτον δαμάλεις τῆς βασάν. αἱ ἐν
α τῷ ὄρει τῆς σαμαρείας, αἱ καταδυναστεύουσαι πτω-
χοὺς. καὶ καταπατοῦσαι πένητας. αἱ λέγουσαι τοῖς
κυρίοις αὐτῶν. ἐπίδοτε ἡμῖν ὅπως πίωμεν. ὀμνύει κύριος κατὰ
τῶν ἁγίων αὐτοῦ. διότι ἰδοὺ ἡμέραι ἔρχονται ἐφ' ἡμᾶς καὶ λήψον-
ται ὑμᾶς ἐν ὅπλοις. καὶ τοὺς μεθ' ὑμῶν, εἰς λέβητας ὑποκαιομέ-
νους ἐμβαλοῦσιν ἔρημοι λοιμοί. καὶ ἐξενεχθήσεσθε γυμναὶ κατέ-
ναντι ἀλλήλων. καὶ ἀπορριφήσεσθε εἰς τὸ ὄρος τὸ ἀρμανὰ λέγει
κύριος. καὶ εἰσήλθετε εἰς βαιθήλ. καὶ ἠσεβήσατε καὶ εἰς γάλγα-
λα, ἐπληθύνατε τοῦ ἀσεβῆσαι. καὶ ἠνέγκατε εἰς τὸ πρωῒ θυσίας ὑ-
μῶν, εἰς τὴν τριημερίαν τὰ ἐπιδέκατα ὑμῶν, καὶ ἀνέγνωσαν ἔξω
νόμον. καὶ ἐπεκαλέσαντο ὁμολογίας. ἀναγγείλατε ὅτι ταῦτα
ἠγάπησαν οἱ υἱοὶ ἰσραήλ. λέγει κύριος κύριος. καὶ ἐγὼ δώσω ὑ-
μῖν γομφιασμὸν ὀδόντων ἐν πάσαις ταῖς πόλεσιν ὑμῶν. καὶ ἔν-
δειαν ἄρτων ἐν πᾶσι τοῖς τόποις ὑμῶν. καὶ οὐκ ἐπεστρέψατε
πρός με λέγει κύριος. καὶ ἐγὼ ἀνέσχον ἐξ ὑμῶν τὸν ὑετὸν πρὸ τριῶν
μηνῶν τοῦ θερισμοῦ καὶ βρέξω ἐπὶ πόλιν μίαν. ἐπὶ δὲ πόλιν μί-
αν οὐ βρέξω. μερὶς μία βραχήσεται. καὶ μερὶς ἐφ' ἣν οὐ βρέξω,
ξηρανθήσεται, καὶ συναθροισθήσονται δύο, καὶ τρεῖς πόλεις, εἰς πό-
λιν μίαν πιεῖν ὕδωρ, καὶ οὐ μὴ, ἐμπλησθῶσι, καὶ οὐκ ἐπεστρά-
φητε πρός με λέγει κύριος. ἐπάταξα ὑμᾶς ἐν πυρώσει, καὶ ἐν
ἰκτέρῳ. ἐπληθύνατε κήπους ὑμῶν. ἀμπελῶνας, κατέφαγεν ἡ
κάμπη. καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με λέγει κύριος. ἐξ-
απέστειλα εἰς ὑμᾶς θάνατον, ἐν ὁδῷ αἰγύπτου, καὶ ἀπέκτεινα
ἐν ῥομφαίᾳ τοὺς νεανίσκους ὑμῶν, μετὰ αἰχμαλωσίας ἵππων
σου. καὶ ἀνήγαγον ἐν πυρὶ τὰς παρεμβολὰς ὑμῶν ἐν τῇ ὀργῇ
μου. καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με λέγει κύριος. κατέ-

κατέστρεψα ὑμᾶς, καθὼς κατέστρεψεν ὁ θεὸς σόδομα καὶ γόμοῤῥα· καὶ ἐγένεσθε, ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ οὐδ' οὕτως ἐπεστρέψατε πρός με λέγει κύριος· διὰ τοῦτο οὕτως ποιήσω σοι ἰσραήλ. πλὴν ὅτι οὕτως ποιήσω σοι· ἑτοιμάζου τοῦ ἐπικαλεῖσθαι τὸν θεόν σου ἰσραήλ. διότι ἰδοὺ ἐγὼ στερεῶν βροντὴν, καὶ κτίζων πνεῦμα· καὶ ἀπαγγέλλων, εἰς ἀνθρώπους τὸν χριστὸν αὐτοῦ· ποιῶν ὄρθρον καὶ ὁμίχλην· καὶ ἐπιβαίνων ἐπὶ τὰ ὕψη τῆς γῆς· κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

Κεφάλαιον. ε. ς.

Ἀκούσατε τὸν λόγον κυρίου τοῦτον ὃν ἐγὼ λαμβάνω
ἀ ἐφ' ὑμᾶς θρῆνον· οἶκος ἰσραὴλ ἔπεσεν, οὐκ ἔτι μὴ
προσθήσῃ τοῦ ἀναστῆναι, παρθένος ἰσραὴλ ἔσφαλεν
ἐπὶ τῆς γῆς αὐτῆς· οὐκ ἔστιν ὁ ἀνιστῶν αὐτήν· διότι τάδε λέγει κύριος
κύριος· ἡ πόλις ἐξ ἧς ἐξεπορεύοντο χίλιοι ὑπολειφθήσονται ἑκατόν·
καὶ ἐξ ἧς ἐξεπορεύοντο ἑκατὸν, ὑπολειφθήσονται δέκα, τῷ οἴκῳ
ἰσραήλ. διότι τάδε λέγει κύριος πρὸς τὸν οἶκον ἰσραήλ· ἐκζη-
τήσατέ με, καὶ ζήσεσθε· καὶ μὴ ἐκζητεῖτε βαιθήλ· καὶ εἰς γάλγα-
λα μὴ εἰσπορεύεσθε· καὶ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου μὴ διαβαίνετε·
ὅτι γάλγαλα αἰχμαλωτευομένη αἰχμαλωτευθήσεται· καὶ βαι-
θὴλ ἔσται ὡς οὐχ ὑπάρχουσα, ἐκζητήσατε τὸν κύριον· καὶ ζήσατε· ὅ-
πως μὴ ἀναλάμψῃ ὡς πῦρ ὁ οἶκος ἰωσὴφ, καὶ καταφάγεται
αὐτόν· καὶ οὐκ ἔσται ὁ σβέσων τὸν οἶκον ἰσραήλ· ὁ ποιῶν εἰς ὕψος
κρίμα, καὶ δικαιοσύνην εἰς γῆν ἔθηκεν, ὁ ποιῶν πάντα καὶ με-
τασκευάζων, καὶ ἐκτρέπων εἰς τὸ πρωῒ σκιὰν θανάτου· καὶ ἡμέραν
εἰς νύκτα· καὶ συσκοτάζων· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θα-
λάσσης· καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς· κύριος ὁ θεὸς ὁ
παντοκράτωρ ὄνομα αὐτῷ. ὁ διαιρῶν συντριμμὸν ἐπὶ ἰσχύν·
καὶ ταλαιπωρίαν ἐπὶ ὀχύρωμα ἐπάγων· ἐμίσησαν ἐν πύλαις
ἐλέγχοντα· καὶ λόγον ὅσιον ἐβδελύξαντο· διὰ τοῦτο οὕτως λέ-
γει κύριος· ἀνθ' ὧν κατεκονδυλίζετε πτωχοὺς, καὶ δῶρα ἐκ

λεκτὰ ἐδέξασθε παρ᾽ αὐτῶν. οἴκους ξυστοὺς ᾠκοδομήσατε. καὶ οὐ μὴ κατοικήσητε ἐν αὐτοῖς. ἀμπελῶνας ἐπιθυμητοὺς ἐφυτεύσατε. καὶ οὐ μὴ πίητε τὸν οἶνον αὐτῶν, ὅτι ἔγνων πολλὰς ἀσεβείας ὑμῶν. καὶ ἰσχυραὶ αἱ ἁμαρτίαι ὑμῶν καταπατοῦντες δίκαιον. λαμβάνοντες ἀλλάγματα. καὶ πένητας ἐν πύλαις ἐκκλίνοντες. διὰ τοῦτο ὁ συνιῶν ἐν τῷ καιρῷ ἐκείνῳ σιωπήσεται, ὅτι καιρὸς πονηρός ἐστιν, ἐκζητήσατε τὸ καλὸν, καὶ μὴ τὸ πονηρὸν, ὅπως ζήσητε. καὶ ἔσται οὕτως κύριος ὁ θεὸς ὁ παντοκράτωρ μεθ᾽ ὑμῶν ὃν τρόπον εἴπατε. μεμισήκαμεν τὰ πονηρὰ καὶ ἠγαπήσαμεν τὰ καλά. καὶ ἀποκαταστήσατε ἐν πύλαις κρίμα, ὅπως ἐλεήσῃ κύριος ὁ θεὸς ὁ παντοκράτωρ, τοὺς καταλοίπους τοῦ ἰωσήφ. διὰ τοῦτο τάδε λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ ἐν πάσαις πλατείαις κοπετὸς. καὶ ἐν πάσαις ὁδοῖς ῥηθήσεται οὐαὶ. οὐαί. κληθήσεται γεωργὸς εἰς πένθος, καὶ εἰς κοπετὸν. καὶ εἰς εἰδότας θρῆνον, καὶ ἐν πάσαις ὁδοῖς κοπετὸς. ὅτι διελεύσομαι διὰ μέσου σου εἶπε κύριος. οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν τοῦ κυρίου. ἵνα τί αὕτη ἡμῖν ἡ ἡμέρα τοῦ κυρίου. καὶ αὕτη ἐστὶ σκότος καὶ οὐ φῶς. ὃν τρόπον ἐὰν φύγῃ ἄνθρωπος ἐκ προσώπου τοῦ λέοντος καὶ ἐμπέσῃ αὐτῷ ἡ ἄρκος. καὶ εἰσπηδήσῃ εἰς τὸν οἶκον. καὶ ἀπερείσῃ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὸν τοῖχον. καὶ δάκῃ αὐτὸν ὄφις. οὐχὶ σκότος ἡ ἡμέρα τοῦ κυρίου καὶ οὐ φῶς, καὶ γνόφος οὐκ ἔχων φέγγος αὐτῇ, μεμίσηκα. ἀπῶσμαι ἑορτὰς ὑμῶν. καὶ οὐ μὴ ὀσφρανθῶ ἐν ταῖς πανηγύρεσιν ὑμῶν. διότι ἐὰν ἐνέγκητέ μοι ὁλοκαυτώματα, καὶ θυσίας ὑμῶν οὐ προσδέξομαι. καὶ σωτηρίου ἐπιφανείας ὑμῶν οὐκ ἐπιβλέψομαι. μετάστησον ἀπ᾽ ἐμοῦ, ἦχον ᾠδῶν σου καὶ ψαλμὸν ὀργάνων σου, οὐκ ἀκούσομαι, καὶ κυλισθήσεται ὡς ὕδωρ κρίμα. καὶ ἡ δικαιοσύνη, ὡς χείμαῤῥους ἄβατος. μὴ, σφάγια καὶ θυσίας προσηνέγκατέ μοι οἶκος ἰσραὴλ τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ, καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ μολόχ. καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν ῥαιφάν. τοὺς τύπους οὓς ἐποιήσατε ἑαυτοῖς

καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα δαμασκοῦ, λέγει κύριος ὁ θεὸς ὁ παντοκράτωρ ὄνομα αὐτῷ.

Κεφ. ς. 6.

Υαὶ τοῖς ἐξουθενοῦσι σιών. καὶ τοῖς πεποιθόσιν ἐπὶ τὸ ὄρος σαμαρείας. ἀπετρύγησαν ἀρχὰς ἐθνῶν, καὶ εἰσῆλθον ἑαυτοῖς. οἶκος τοῦ ἰσραὴλ διάβητε πάντες. καὶ ἴδετε εἰς χαλάννην, καὶ διέλθετε ἐκεῖθεν εἰς ἐμα ραβά. καὶ κατέβητε εἰς γέθ τῶν ἀλλοφύλων τὰς κρατίστας, ἐκ πασῶν τῶν βασιλειῶν τούτων. εἰ πλείονα τὰ ὅρια αὐτῶν ἐστι τῶν ὑμετέρων ὁρίων οἱ ἐρχόμενοι εἰς ἡμέραν κακήν. οἱ ἐγγίζοντες, καὶ ἐφαπτόμενοι σαββάτων ψευδῶν. οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων. καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν. καὶ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων. καὶ μοσχάρια ἐκ μέσου βουκολίων, γαλαθηνά. οἱ ἐπικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων. ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα. οἱ πίνοντες τὸν διυλισμένον οἶνον. καὶ τὰ πρῶτα μύρα χριόμενοι. καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ ἰωσήφ. διὰ τοῦτο νῦν αἰχμάλωτοι ἔσονται ἀπ' ἀρχῆς δυναστῶν καὶ ἐξαρθήσεται χρεμετισμὸς ἵππων, ἐξ ἐφραίμ. ὅτι ὤμοσε κύριος καθ' ἑαυτοῦ. λέγει κύριος ὁ θεὸς τῶν δυνάμεων. διότι βδελύσσομαι ἐγὼ πᾶσαν τὴν ὕβριν ἰακώβ. καὶ τὰς χώρας αὐτοῦ μεμίσηκα. καὶ ἐξαρῶ πόλιν, σὺν πᾶσι τοῖς κατοικοῦσιν αὐτήν. καὶ ἔσται ἐὰν ὑπολειφθῶσι δέκα ἄνδρες ἐν οἰκίᾳ μιᾷ, καὶ ἀποθανοῦνται καὶ λήψονται οἱ οἰκεῖοι αὐτῶν, καὶ παραβιῶνται τοῦ ἐξενέγκαι τὰ ὀστᾶ αὐτῶν ἐκ τοῦ οἴκου. καὶ ἐρεῖ τοῖς προεστηκόσι τῆς οἰκίας. εἰ ἔτι ὑπάρχει παρὰ σοί καὶ ἐρεῖ οὐκ ἔτι. καὶ ἐρεῖ σίγα ἕνεκα τοῦ μὴ ὀνομάσαι τὸ ὄνομα κυρίου. διότι ἰδοὺ κύριος ἐντέλλεται. καὶ πατάξει τὸν οἶκον τὸν μέγαν θλάσμασι. καὶ τὸν οἶκον τὸν μικρὸν ῥήγμασιν. εἰ διώξονται ἐν πέτραις ἵπποι. εἰ παρασιωπήσονται ἐν θηλείαις. ὅτι ἐξεστρέψατε εἰς θυμὸν κρίμα

καὶ καρπὸν δικαιοσύνης εἰς πικρίαν. οἱ εὐφραινόμενοι ἐπ' οὐ
δενὶ λόγῳ ἀγαθῷ. οἱ λέγοντες οὐκ ἐν τῇ ἰσχύϊ ἡμῶν ἔχομεν
κέρατα. διότι ἰδοὺ ἐγὼ ἐπεγείρω ἐφ' ὑμᾶς οἶκος ἰσραήλ. φησὶ
κύριος ὁ θεὸς στρατιῶν ἔθνος. καὶ ἐκθλίψουσιν ὑμᾶς τοῦ μὴ εἰσελ
θεῖν εἰς ἐμάθ. καὶ ἕως τοῦ χειμάῤῥου τῶν δυσμῶν.

Κεφάλαιον. ζ. 7.

Οὕτως ἔδειξέ μοι κύριος κύριος, καὶ ἰδοὺ ἐπιγονὴ
ἀκρίδων ἐρχομένη ἑωθινή. καὶ ἰδοὺ βροῦχος εἷς γὼγ
ὁ βασιλεύς. καὶ ἔσται ἐὰν συντελέσῃ τοῦ καταφα
γεῖν τὸν χόρτον τῆς γῆς. καὶ εἶπα κύριε κύριε. ἵλεως γενοῦ. τίς ἀνα
στήσει τὸν ἰακώβ. ὅτι ὀλιγοστός ἐστι. μετανόησον κύριε ἐπὶ τούτῳ.
καὶ τοῦτο οὐκ ἔσται. εἶπε κύριος. οὕτως ἔδειξέ μοι κύριος κύριος.
καὶ ἰδοὺ ἐκάλεσε τὴν δίκην ἐν πυρὶ κύριος κύριος καὶ κατέφα
γε τὴν ἄβυσσον τὴν πολλήν. καὶ κατέφαγε τὴν μερίδα, καὶ
εἶπον κύριε κύριε κόπασον δή. τίς ἀναστήσει τὸν ἰακώβ. ὅτι ὀλιγο
στός ἐστι. μετανόησον κύριε ἐπὶ τούτῳ. καὶ τοῦτο οὐ μὴ γένηται λέ
γει κύριος κύριος. οὕτως ἔδειξέ μοι κύριος κύριος, καὶ ἰδοὺ ἀνὴρ
ἑστηκὼς ἐπὶ τείχους ἀδαμαντίνου. καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας
καὶ εἶπε κύριος πρός με. τί σὺ ὁρᾷς ἀμώς. καὶ εἶπα ἀδάμαντα. καὶ
εἶπε κύριος πρός με. ἰδοὺ ἐγὼ ἐντάσσω ἀδάμαντα, ἐν μέσῳ
λαοῦ μου ἰσραήλ, οὐκ ἔτι μὴ προσθῶ τοῦ παρελθεῖν αὐτό. καὶ ἀφα
νισθήσονται βωμοὶ τοῦ γέλωτος καὶ αἱ τελεταὶ τοῦ ἰσραὴλ ἐρη
μωθήσονται. καὶ ἀναστήσομαι ἐπὶ τὸν οἶκον ἱεροβοὰμ ἐν ῥομφαίᾳ.
Καὶ ἐξαπέστειλεν ἀμασίας ὁ ἱερεὺς βαιθὴλ πρὸς ἱεροβοὰμ βα
σιλέα ἰσραὴλ λέγων. συστροφὰς ποιεῖται κατὰ σοῦ ἀμώς, ἐν μέ
σῳ οἴκου ἰσραὴλ οὐ μὴ δύνηται ἡ γῆ ὑπενεγκεῖν, πάντας τοὺς
λόγους αὐτοῦ. διότι τάδε λέγει κύριος ἀμώς ἐν ῥομφαίᾳ τε
λευτήσει ἱεροβοάμ. ὁ δὲ ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ
τῆς γῆς αὐτοῦ. καὶ εἶπεν ἀμασίας πρὸς ἀμώς. ὁ ὁρῶν βάδιζε
ἐκχώρησον σὺ εἰς γῆν ἰούδα. καὶ ἐκεῖ καταβίου. καὶ ἐκεῖ προφη

τεύσῃς. εἰς δὲ βαιθὴλ οὐκ ἔτι προσθήσεις τοῦ προφητεῦσαι. ὅτι ἁγίασμα βασιλέως ἐστί. καὶ οἶκος βασιλείας ἐστί. καὶ ἀπεκρίθη ἀμώς, καὶ εἶπε πρὸς ἀμασίαν. οὐκ ἤμην προφήτης ἐγὼ οὐδὲ υἱὸς προφήτου. ἀλλ᾽ αἰπόλος ἤμην κνίζων συκάμινα. καὶ ἀνέλαβέ με κύριος ἐκ τῶν προβάτων καὶ εἶπε κύριος πρός με. βάδιζε καὶ προφήτευσον ἐπὶ τὸν λαόν μου ἰσραήλ. καὶ νῦν ἄκουε λόγον κυρίου. σὺ λέγεις μὴ προφήτευε ἐπὶ τὸν ἰσραήλ. καὶ οὐ μὴ ὀχλαγωγήσῃς ἐπὶ τὸν οἶκον ἰακώβ. διὰ τοῦτο τάδε λέγει κύριος. ἡ γυνή σου ἐν τῇ πόλει πορνεύσει. καὶ οἱ υἱοί σου. καὶ αἱ θυγατέρες σου ἐν ῥομφαίᾳ πεσοῦνται. καὶ ἡ γῆ σου σχοινίῳ καταμετρηθήσεται, καὶ σὺ ἐν γῇ ἀκαθάρτῳ τελευτήσεις. ὁ δὲ ἰσραὴλ αἰχμάλωτος ἀχθήσεται ἀπὸ τῆς γῆς αὐτοῦ. οὕτως ἔδειξέ μοι κύριος κύριος.

Κεφάλαιον. η. ϛ.

κ Αὶ ἰδοὺ ἄγγος ἰξευτοῦ. καὶ εἶπε τί σὺ βλέπεις ἀμώς καὶ εἶπα ἄγγος ἰξευτοῦ. καὶ εἶπε κύριος πρός με. ἥκει τὸ πέρας ἐπὶ τὸν λαόν μου ἰσραὴλ οὐ προσθήσω ἔτι τοῦ παρελθεῖν αὐτόν. καὶ ὀλολύξει τὰ φατνώματα τοῦ ναοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει κύριος κύριος. πολὺς ὁ πεπτωκώς. ἐν παντὶ τόπῳ ἐπιρρίψω σιωπήν. ἀκούσατε δὴ ταῦτα οἱ ἐκτρίβοντες εἰς τὸ πρωῒ πένητα. καὶ καταδυναστεύοντες πτωχοὺς ἀπὸ τῆς γῆς. λέγοντες πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν, καὶ τὰ σάββατα. καὶ ἀνοίξομεν θησαυρὸν τοῦ ποιῆσαι μέτρον μικρὸν καὶ τοῦ μεγαλῦναι στάθμιον. καὶ ποιῆσαι ζυγὸν ἄδικον. τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχούς. καὶ πένητα ἀντὶ ὑποδημάτων. καὶ ἀπὸ πάσης πράσεως ἐμπορευσόμεθα. ὀμνύει κύριος καθ᾽ ὑπερηφανίας ἰακώβ. εἰ ἐπιλησθήσεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν. καὶ ἐπὶ τούτοις οὐ ταραχθήσεται ἡ γῆ. καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ. καὶ ἀναβήσεται ὡς ποταμὸς συντέλεια αὐτοῦ καὶ καταβήσεται ὡς ποταμὸς αἰγύπτου. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ

ἐκείνῃ λέγει κύριος κύριος· δύσεται ὁ ἥλιος μεσημβρίας καὶ
συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς· καὶ μεταστρέψω τὰς
ἑορτὰς ὑμῶν εἰς πένθος· καὶ πάσας ᾠδὰς ὑμῶν εἰς θρῆνος· καὶ
ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον· καὶ ἐπὶ πᾶσαν κεφαλὴν φα
λάκρωμα· καὶ θήσομαι αὐτὸν, ὡς πένθος ἀγαπητοῦ· καὶ τοὺς μετ'
αὐτοῦ, ὡς ἡμέραν ὀδύνης· ἰδοὺ ἡμέραι ἔρχονται λέγει κύριος κύ
ριος· καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τῆς γῆς· οὐ λιμὸν ἄρτου οὐδὲ λι
μὸν ὕδατος· ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι τὸν λόγον κυρίου· καὶ σαλευ
θήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ βοῤῥᾶ
ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον τοῦ κυρίου, καὶ οὐ
μὴ εὕρωσιν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐκλείψουσιν αἱ παρθένοι ἐκεῖ
ναι αἱ καλαί· καὶ οἱ νεανίσκοι ἐν δίψει· οἱ ὀμνύοντες κατὰ τοῦ
ἱλασμοῦ σαμαρείας· καὶ οἱ λέγοντες· ζῇ ὁ θεός σου βηρσαβεέ· καὶ
πεσοῦνται καὶ οὐ μὴ ἀναστῶσιν ἔτι. Κεφ. θ. 9.

Ἴδον τὸν κύριον ἐφεστῶτα ἐπὶ τοῦ θυσιαστηρίου· καὶ εἶ
πε· πάταξον ἐπὶ τὸ ἱλαστήριον· καὶ σεισθήσεται τὰ
πρόπυλα· καὶ διάκοψον εἰς κεφαλὰς πάντων· καὶ
τοὺς καταλοίπους αὐτῶν, ἐν ῥομφαίᾳ ἀποκτενῶ· οὐ μὴ διαφύ
γῃ ἐξ αὐτῶν φεύγων· καὶ οὐ μὴ διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμε
νος· ἐὰν κατορυγῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐ
τούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανὸν ἐκεῖθεν κατάξω αὐτούς·
ἐὰν κατακρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ καρμήλου ἐκεῖθεν ἐξε
ρευνήσω, καὶ λήψομαι αὐτούς· καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλ
μῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι
καὶ δήξεται αὐτούς· καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ
προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖ ἐντελοῦμαι τῇ ῥομφαίᾳ,
καὶ ἀποκτενεῖ αὐτούς· καὶ θήσω ὀφθαλμούς μου ἐπ' αὐτούς, εἰς κα
κά· καὶ οὐκ εἰς ἀγαθά· καὶ κύριος ὁ θεὸς ὁ παντοκράτωρ· ὁ ἐφα
πτόμενος τῆς γῆς· καὶ σαλεύων αὐτήν· καὶ πενθήσουσι πάντες
οἱ κατοικοῦντες αὐτήν· καὶ ἀναβήσεται ὡς ποταμὸς, συντέ

λεια αὐτῆς. καὶ καταβήσεται ὡς ποταμὸς αἰγύπτου. ὁ οἰκοδο-
μῶν εἰς τὸν οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ. καὶ τὴν ἐπαγγελίαν
αὐτοῦ ἐπὶ τῆς γῆς θεμελιῶν. ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θα-
λάσσης, καὶ ἐκχέων αὐτό, ἐπὶ πρόσωπον τῆς γῆς, κύριος παντο-
κράτωρ ὄνομα αὐτῷ. οὐχ ὡς υἱοὶ αἰθιόπων. ὑμεῖς ἐστὲ ἐμοὶ ἰσρα-
ήλ. λέγει κύριος. οὐ τὸν ἰσραὴλ ἀνήγαγον ἐκ γῆς αἰγύπτου, καὶ
τοὺς ἀλλοφύλους ἐκ καππαδοκίας, καὶ τοὺς σύρους ἐκ βόθρου. ἰδοὺ
οἱ ὀφθαλμοὶ κυρίου τοῦ θεοῦ ἐπὶ τὴν βασιλείαν τῶν ἁμαρτωλῶν
καὶ ἐξαρῶ αὐτὴν ἀπὸ προσώπου τῆς γῆς. πλὴν, ὅτι οὐκ εἰς τέ-
λος ἐξαρῶ τὸν οἶκον ἰακὼβ λέγει κύριος. διότι ἰδοὺ ἐγὼ ἐντέλ-
λομαι. καὶ λικμήσω ἐν πᾶσι τοῖς ἔθνεσι τὸν οἶκον ἰηλ, ὃν τρόπον
λικμᾶται ἐν τῷ λικμῷ. καὶ οὐ μὴ, πέσῃ σύντριμμα ἐπὶ τὴν γῆν
ἐν ῥομφαίᾳ τελευτήσουσι πάντες ἁμαρτωλοὶ λαοῦ μου. οἱ λέ-
γοντες οὐ μὴ, ἐγγίσῃ. οὐ δὲ μὴ ἔλθῃ ἐφ᾽ ἡμᾶς τὰ κακά.

Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀναστήσω τὴν σκηνὴν δαβὶδ τὴν πεπτω-
κυῖαν. καὶ ἀνοικοδομήσω τὰ πεπτωκότα αὐτῆς, καὶ τὰ κατε-
σκαμμένα αὐτῆς ἀναστήσω, καὶ ἀνοικοδομήσω αὐτὴν καθὼς
αἱ ἡμέραι τοῦ αἰῶνος. ὅπως ἐκζητήσωσί με οἱ κατάλοιποι τῶν
ἀνθρώπων, καὶ πάντα τὰ ἔθνη, ἐφ᾽ οὓς ἐπικέκληται τὸ ὄνομά μου
λέγει κύριος ὁ ποιῶν πάντα ταῦτα. ἰδοὺ ἡμέραι ἔρχονται λέ-
γει κύριος. καὶ καταλήψεται ὁ ἀλοητὸς, τὸν τρυγητόν. καὶ περκάσει
ἡ σταφυλὴ, ἐν τῷ σπόρῳ, καὶ ἀποσταλάξει τὰ ὄρη, γλυκασμόν
καὶ πάντες οἱ βουνοὶ, σύμφυτοι ἔσονται καὶ ἐπιστρέψω τὴν αἰχμα-
λωσίαν τοῦ λαοῦ μου ἰσραήλ. καὶ οἰκοδομήσουσι πόλεις τὰς ἠδα-
φισμένας. καὶ κατοικήσουσι. καὶ φυτεύσουσιν ἀμπελῶνας, καὶ
πίονται τὸν οἶνον αὐτῶν καὶ ποιήσουσι κήπους. καὶ φάγονται
τὸν καρπὸν αὐτῶν. καὶ καταφυτεύσω αὐτοὺς ἐπὶ τῆς γῆς αὐτῶν.
καὶ οὐ μὴ, ἐκσπασθῶσιν οὐκέτι ἀπὸ τῆς γῆς αὐτῶν ἧς ἔδωκα αὐ-
τοῖς λέγει κύριος ὁ θεὸς παντοκράτωρ.

Τέλος τοῦ ἀμώς.

# ΑΒΔΙΟΥ.

Ὅρασις ἀβδιοῦ. τάδε λέγει κύριος ὁ θεὸς τῇ ἰδουμαίᾳ. ἀκοὴν ἤκουσα παρὰ κυρίου, καὶ περιοχὴν εἰς τὰ ἔθνη ἐξαπέστειλεν. ἀνάστητε καὶ ἐξαναστῶμεν ἐπ' αὐτὴν εἰς πόλεμον. ἰδοὺ ὀλιγοστὸν δέδωκα σε ἐν τοῖς ἔθνεσιν. ἠτιμωμένος σὺ σφόδρα. ὑπερηφανία τῆς καρδίας σου ἐπῆρέ σε κατασκηνοῦντα. ἐν ταῖς ὀπαῖς τῶν πετρῶν. ὑψῶν κατοικίαν αὐτοῦ. λέγων ἐν καρδίᾳ αὐτοῦ. τίς κατάξει με ἐπὶ τὴν γῆν ἐὰν μετεωρισθῇς, ὡς ἀετὸς. καὶ ἐὰν ἀνὰ μέσον τῶν ἄστρων θῇς νοσσιάν σου, ἐκεῖθεν κατάξω σε λέγει κύριος, εἰ κλέπται εἰσῆλθον πρὸς σὲ. ἢ λῃσταὶ νυκτὸς, ποῦ ἂν ἀπεῤῥίφης, οὐκ ἂν ἔκλεψαν τὰ ἱκανὰ αὐτοῖς. καὶ εἰ τρυγηταὶ ἦλθον πρὸς σε οὐκ ἂν ἐπελείποντο ἐπιφυλλίδα. πῶς ἐξηρευνήθη ἡσαῦ. καὶ κατελήφθη τὰ κεκρυμμένα αὐτοῦ. ἕως τῶν ὁρίων ἐξαπέστειλάν σε πάντες οἱ ἄνδρες τῆς διαθήκης σου ἀντέστησάν σοι. ἠδυνάσθησαν πρός σε. ἄνδρες εἰρηνικοί σοι ἔθηκαν ἔνεδρα ὑποκάτω σου. οὐκ ἔστι σύνεσις ἐν αὐτοῖς. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει κύριος ἀπολῶ σοφοὺς ἐκ τῆς ἰδουμαίας. καὶ σύνεσιν ἐξ ὄρους ἡσαῦ. καὶ πτοηθήσονται οἱ μαχηταί σου, οἱ ἐκ θαιμὰν. ὅπως ἐξαρθῇ ἄνθρωπος ἐξ ὄρους ἡσαῦ. διὰ τὴν σφαγὴν, καὶ τὴν ἀσέβειαν ἀδελφοῦ ἰακὼβ. καλύψει σε αἰσχύνη. καὶ ἐξαρθήσῃ εἰς τὸν αἰῶνα ἀφ' ἧς ἡμέρας ἀντέστης ἐξ ἐναντίας ἐν ἡμέρᾳ αἰχμαλωτευόντων. ἀλλογενῶν δύναμιν αὐτοῦ. καὶ ἀλλότριοι εἰσῆλθον εἰς πύλας αὐτοῦ, καὶ ἐπὶ ἱερουσαλὴμ

ἔβαλον κλήρους· καὶ ὑμεῖς ἦτε ὡς εἷς ἐξ αὐτῶν, καὶ μὴ ἐπίδῃς ἡμέραν ἀδελφοῦ σου, ἐν ἡμέρᾳ ἀλλοτρίων· καὶ μὴ ἐπιχαρῇς ἐπὶ τοὺς υἱοὺς ἰούδα, ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν· καὶ μὴ μεγαλοῤῥημονήσῃς ἐν ἡμέρᾳ θλίψεως· μηδὲ εἰσέλθῃς εἰς πύλας λαῶν, ἐν ἡμέρᾳ τῶν πόνων αὐτῶν· καὶ μὴ ἐπίδῃς, καὶ σὺ τὴν συναγωγὴν αὐτῶν ἐν ἡμέρᾳ ὀλέθρου αὐτῶν· καὶ μὴ συνεπιθῇ ἐπὶ τὴν δύναμιν αὐτῶν, ἐν ἡμέρᾳ ἀπωλείας αὐτῶν· μηδὲ ἐπιστῇς ἐπὶ τὰς ἐκβολὰς αὐτῶν ἐξολοθρεῦσαι τοὺς ἀνασωζομένους ἐξ αὐτῶν· μηδὲ συγκλείσῃς τοὺς φεύγοντας ἐξ αὐτῶν ἐν ἡμέρᾳ θλίψεως· διότι ἐγγὺς ἡμέρα κυρίου ἐπὶ πάντα τὰ ἔθνη· ὃν τρόπον ἐποίησας, οὕτως ἔσται σοι· τὸ ἀνταπόδομά σου ἀνταποδοθήσεται εἰς τὴν κεφαλήν σου. διότι ὃν τρόπον ἔπιες ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου, πίονται πάντα τὰ ἔθνη οἶνον· πίονται, καὶ καταπίονται· καὶ ἔσονται καθὼς οὐχ ὑπάρχοντες. ἐν τῷ ὄρει σιὼν ἔσται ἡ σωτηρία καὶ ἔσται ἅγιον, καὶ κατακληρονομήσουσιν ὁ οἶκος ἰακὼβ, τοὺς κατακληρονομήσαντας αὐτούς· καὶ ἔσται ὁ οἶκος ἰακὼβ πῦρ, καὶ ὁ οἶκος ἰωσὴφ φλὸξ. ὁ δὲ οἶκος ἡσαῦ, εἰς καλάμην· καὶ ἐκκαυθήσονται εἰς αὐτούς· καὶ καταφάγονται αὐτούς· καὶ οὐκ ἔσται πυροφόρος τῷ οἴκῳ ἡσαῦ· ὅτι κύριος ἐλάλησε· καὶ κατακληρονομήσουσιν οἱ ἐν ναγὲβ, τὸ ὄρος τὸ ἡσαῦ· καὶ οἱ ἐν τῇ σεφηλὰ τοὺς ἀλλοφύλους· καὶ κατακληρονομήσουσι τὸ ὄρος τὸ ἐφραίμ· καὶ τὸ πεδίον σαμαρείας, καὶ βενιαμὶν· καὶ τὴν γαλααδῖτιν, καὶ τῆς μετοικεσίας ἡ ἀρχὴ αὕτη, τοῖς υἱοῖς ἰσραὴλ, καὶ τῶν χαναναίων ἕως ἀρεφθῶν· καὶ ἡ μετοικεσία ἱερουσαλὴμ ἕως ἀφραθά· καὶ κληρονομήσουσι τὰς πόλεις τοῦ ναγέβ· καὶ ἀναβήσονται ἀνασωζόμενοι ἐξ ὄρους σιὼν τοῦ ἐκδικῆσαι ὄρος τὸ ἡσαῦ· καὶ ἔσται τῷ κυρίῳ ἡ βασιλεία.

Τέλος ἀβδιού.

# ΙΩΝΑΣ.

Κεφάλαιον. α. ι.

ΚΑὶ ἐγένετο λόγος κυρίου πρὸς ἰωνᾶν τὸν τοῦ ἀμαθί. λέγων. Ἀνάστηθι καὶ πορεύθητι εἰς νινευὶ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ. ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. καὶ ἀνέστη ἰωνᾶς τοῦ φυγεῖν εἰς θαρσεῖς, ἐκ προσώπου κυρίου καὶ κατέβη εἰς ἰόππην. καὶ εὗρε πλοῖον, βαδίζον εἰς θαρσεῖς. καὶ ἔδωκε τὸ ναῦλον αὐτοῦ. καὶ ἀνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ᾽ αὐτῶν εἰς θαρσεῖς ἐκ προσώπου κυρίου. καὶ κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ. καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. καὶ ἐφοβήθησαν οἱ ναυτικοί. καὶ ἀνεβόων ἕκαστος πρὸς τὸν θεὸν αὐτοῦ. καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ᾽ αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε καὶ ἔρεγχε. καὶ ἦλθε πρὸς αὐτὸν ὁ πρωρεύς. καὶ εἶπεν αὐτῷ. τί σὺ ῥέγχεις. ἀνάστηθι καὶ ἐπικαλοῦ τὸν θεόν σου, ὅπως διασώσῃ ὁ θεὸς ἡμᾶς. καὶ οὐ μὴ ἀπολλώμεθα. καὶ εἶπον ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. δεῦτε βάλλωμεν κλήρους. καὶ ἐπιγνῶμεν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐφ᾽ ἡμᾶς. καὶ ἔβαλον κλήρους καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ ἰωνᾶν. καὶ εἶπον πρὸς αὐτόν. ἀπάγγειλον δὴ ἡμῖν. τίνος ἕνεκεν ἡ κακία αὕτη ἐν ἡμῖν. τίς σου ἡ ἐργασία ἐστὶ καὶ πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας. καὶ ἐκ

ποίου λαοῦ εἶ σύ; καὶ εἶπε πρὸς αὐτούς· δοῦλος κυρίου εἰμὶ ἐγώ· καὶ κύριον τὸν θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι. ὃς ἐποίησε τὴν θάλασσαν, καὶ τὴν ξηράν. καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν. καὶ εἶπον πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες ὅτι ἐκ προσώπου νῦν ἦν φεύγων· ὅτι ἀπήγγειλεν αὐτοῖς. καὶ εἶπον πρὸς αὐτόν· τί ποιήσωμέν σοι καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. καὶ εἶπεν ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με, καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν. καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστί. καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ ἠδύναντο· ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. καὶ ἀνεβόησαν πρὸς κύριον καὶ εἶπαν· μηδαμῶς κύριε μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου. καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σὺ κύριε, ὃν τρόπον ἐβούλου πεποίηκας. καὶ ἔλαβον τὸν ἰωνᾶν, καὶ ἐνέβαλον αὐτὸν εἰς τὴν θάλασσαν. καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν κύριον. καὶ ἔθυσαν θυσίαν τῷ κυρίῳ, καὶ ηὔξαντο τὰς εὐχάς.

## Κεφάλαιον. β. 2.

κ Αἱ προσέταξε κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν ἰωνᾶν. καὶ ἦν ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. καὶ προσηύξατο ἰωνᾶς πρὸς κύριον τὸν θεὸν αὐτοῦ, ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ εἶπεν· ἐβόησα ἐν θλίψει μου πρὸς κύριον τὸν θεόν μου. καὶ εἰσήκουσέ μου ἐκ κοιλίας ᾅδου κραυγῆς μου· ἤκουσας φωνῆς μου. ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης. καὶ ποταμοὶ ἐκύκλωσάν με. πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμοὶ διῆλθον. κἀγὼ εἶπα ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου. ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου. περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς μου, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη. ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων

κατέβην εἰς γῆν· ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι· καὶ ἀνα-
βήτω ἐκ φθορᾶς ἡ ζωή μου πρὸς σὲ κύριε ὁ θεός μου. ἐν τῷ
ἐκλιπεῖν ἀπ' ἐμοῦ τὴν ψυχήν μου, τοῦ κυρίου ἐμνήσθην. καὶ ἔλ-
θοι πρὸς σὲ ἡ προσευχή μου πρὸς ναὸν τὸν ἅγιόν σου. φυλασ-
σόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐτῶν, ἐγκατέλιπον ἐγὼ
δὲ μετὰ φωνῆς αἰνέσεως, καὶ ἐξομολογήσεως θύσω σοι. ὅσα
ηὐξάμην ἀποδώσω σοι· εἰς σωτηρίαν μοι τῷ κυρίῳ. καὶ προσε-
τάγη ἀπὸ κυρίου τῷ κήτει. καὶ ἐξέβαλε τὸν ἰωνᾶν ἐπὶ τὴν ξηράν.

Κεφ. γ. 3.

Καὶ ἐγένετο λόγος κυρίου πρὸς ἰωνᾶν, ἐκ δευτέρου
* λέγων. Ἀνάστηθι καὶ πορεύου εἰς νινευὶ τὴν πόλιν
τὴν μεγάλην. καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυ-
γμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρός σε. καὶ ἀνέστη ἰωνᾶς.
καὶ ἐπορεύθη εἰς νινευὶ, κατὰ ἐλάλησε κύριος. ἡ δὲ νινευὶ ἦν
πόλις μεγάλη τῷ θεῷ, ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. καὶ
ἤρξατο ἰωνᾶς τοῦ εἰσπορεύεσθαι εἰς τὴν πόλιν, ὡσεὶ πορείας ἡ-
μέρας μιᾶς. καὶ ἐκήρυξε, καὶ εἶπεν. ἔτι τρεῖς ἡμέραι, καὶ νι-
νευὶ καταστραφήσεται. καὶ ἐπίστευσαν οἱ ἄνδρες νινευὶ τῷ θεῷ,
καὶ ἐκήρυξαν νηστείαν καὶ ἐνεδύσαντο σάκκους. ἀπὸ μεγάλου
αὐτῶν ἕως μικροῦ αὐτῶν. καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα
νινευί. καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ. καὶ περιείλετο τὴν
στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ. καὶ περιεβάλετο σάκκον καὶ ἐκάθισεν
ἐπὶ σποδοῦ. καὶ ἐκηρύχθη, καὶ ἐρρήθη ἐν τῇ νινευὶ παρὰ τοῦ βα-
σιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λεγόντων. οἱ ἄνθρωποι
καὶ τὰ κτήνη. καὶ οἱ βόες. καὶ τὰ πρόβατα. μὴ γευσάσθωσαν
μηδὲ νεμέσθωσαν. καὶ ὕδωρ μὴ πιέτωσαν. καὶ περιεβάλλον-
το σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν
θεὸν ἐκτενῶς. καὶ ἀπέστρεψαν ἕκαστος, ἀπὸ τῆς ὁδοῦ αὐτῶν. τῆς
πονηρᾶς. καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν. λέγοντες
τίς οἶδεν εἰ ἐπιστρέψει ὁ θεὸς, καὶ παρακληθήσεται καὶ ἀπο-
στρέψει ἐξ

στρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ. καὶ οὐ μὴ ἀπολώμεθα, καὶ εἶδεν ὁ θεὸς τὰ ἔργα αὐτῶν. ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ θεὸς ἐπὶ τῇ κακίᾳ ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε.

Κεφάλαιον. δ. 4.

Αὶ ἐλυπήθη ἰωνᾶς λύπην μεγάλην. καὶ συνεχύθη.
κ καὶ προσηύξατο πρὸς κύριον καὶ εἶπεν. ὦ δὴ κύριε. οὐχ οὗτοι λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου. διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς θαρσεῖς. διότι ἔγνων. ὅτι ὁ θεὸς ἐλεήμων καὶ οἰκτίρμων. μακρόθυμος καὶ πολυέλεος. καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. καὶ νῦν δέσποτα κύριε λαβὲ τὴν ψυχήν μου ἀπ' ἐμοῦ. ὅτι καλὸν τὸ ἀποθανεῖν με ἢ ζῆν. καὶ εἶπε κύριος. σφόδρα λελύπησαι σύ. καὶ ἐξῆλθεν ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν, ἀπέναντι τῆς πόλεως. καὶ ἐποίησεν αὑτῷ ἐκεῖ σκηνήν. καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. καὶ προσέταξε κύριος ὁ θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς ἰωνᾶ, τοῦ εἶναι σκιὰν, ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ. τοῦ σκιάζειν αὐτῷ, ἀπὸ τῶν κακῶν αὐτοῦ. καὶ ἐχάρη ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. καὶ προσέταξεν ὁ θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθαν καὶ ἐξηράνθη. καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον. καὶ προσέταξεν ὁ θεὸς πνεύματι, καύσωνι συγκαίοντι. καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν ἰωνᾶ. καὶ ὠλιγοψύχει, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε. καλόν μοι τὸ ἀποθανεῖν, ἢ ζῆν με. καὶ εἶπε κύριος ὁ θεὸς πρὸς ἰωνᾶν, σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ. καὶ εἶπε. σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. καὶ εἶπε κύριος σὺ μὲν ἐφείσω ὑπὲρ τῆς κολοκύνθος, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, οὐδὲ ἐξέθρεψας, οὐδὲ ἐξέθρεψας αὐτήν. ἣ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο.

ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ νινευῒ τῆς πόλεως τῆς μεγάλης· ἐν ᾗ κατοικοῦσιν ἐν αὐτῇ πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν καὶ κτήνη πολλά.

## ΤΕΛΟΣ ΙΩΝΑΣ.

# ΜΙΧΑΙΑΣ.

Κεφάλαιον. α. Ι.

Λόγος κυρίου ὃς ἐγένετο πρὸς μιχαίαν τὸν τοῦ μωραθεὶ ἐν ἡμέραις ἰωάθαμ, καὶ ἄχαζ, καὶ ἐζεκίου βασιλέων ἰούδα, περὶ ὧν εἶδε περὶ σαμαρείας καὶ ἱερουσαλήμ. Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ· καὶ πάντες οἱ ἐν αὐτῇ· καὶ ἔσται κύριος ὑμῖν εἰς μαρτύριον· κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. διότι ἰδοὺ κύριος ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ. καὶ καταβήσεται. καὶ ἐπιβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ ὄρη, ὑποκάτωθεν αὐτοῦ· καὶ αἱ κοιλάδες τακήσονται ὡσεὶ κηρὸς, ἀπὸ προσώπου πυρός· καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει δι' ἀσέβειαν ἰακώβ. πάντα ταῦτα καὶ δι' ἁμαρτίαν οἴκου ἰσραήλ. τίς ἡ ἀσέβεια οἴκου ἰακὼβ οὐχ ἡ σαμάρεια, καὶ τίς ἡ ἁμαρτία οἴκου ἰούδα, οὐχ ἱερουσαλήμ; καὶ θήσομαι σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν ἀμπελῶνος· καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς. καὶ τὰ θεμέλια αὐτῆς ἀποκαλύψω. καὶ πάντα τὰ γλυπτὰ αὐτῆς κατακόψου-

σι. καὶ πάντα τὰ μισθώματα αὐτῆς ἐμπρήσουσιν ἐν πυρί. καὶ
πάντα τὰ εἴδωλα αὐτῆς, θήσομαι εἰς ἀφανισμόν. διότι ἐκ μι
σθωμάτων πορνείας συνήγαγε καὶ ἐκ μισθωμάτων πορνείας ἐπέ
στρεψεν. ἕνεκεν τούτου κόψεται, καὶ πενθήσει. πορεύσεται ἀνυπόδε
τος. καὶ γυμνὴ ποιήσεται κοπετόν, ὡς δρακόντων. καὶ πένθος, ὡς
θυγατέρων σειρήνων. ὅτι κατεκράτησεν ἡ πληγὴ αὐτῆς. διότι
ἦλθεν ἕως ἰούδα καὶ ἥψατο, ἕως πύλης λαοῦ μου, ἕως ἱερουσα
λήμ. Οἱ ἐν γέθ, μὴ μεγαλύνεσθε, οἱ ἐν βαχείμ, μὴ ἀνοικοδο
μεῖτε ἐξ οἴκου κατὰ γέλωτα. γῆν καταπάσασθε. κατὰ γέλωτα
ὑμῶν κατοικοῦσα καλῶς τὰς πόλεις αὐτῆς. οὐκ ἐξῆλθε κατοικοῦ
σα σαννάν. κόψασθε οἶκον ἐχόμενον αὐτῆς. λήψεται ἐξ ὑμῶν
πληγὴν ὀδύνης. τίς ἤρξατο εἰς ἀγαθὰ κατοικούσῃ ὀδύνας, ὅτι
κατέβη κακὰ παρὰ κυρίου ἐπὶ πύλας ἱερουσαλήμ. ψόφος ἁρμά
των, καὶ ἱππευόντων κατοικοῦσα λάχεις ἀρχηγὸς ἁμαρτίας ἐστὶ
τῇ θυγατρὶ σιών. ὅτι ἐν σοὶ εὑρέθησαν ἀσέβειαι τοῦ ἰσραήλ. διὰ
τοῦτο δώσεις ἐξαποστελλομένους, ἕως κληρονομίας γὲθ οἴκους μα
ταίους. εἰς κενὸν ἐγένοντο τοῖς βασιλεῦσιν ἱερουσαλήμ. ἕως τοὺς
κληρονόμους ἀγάγω σοι. κατοικοῦσα λάχεις κληρονομία, ἕως ὀ
δολλὰμ ἥξει. ἡ δόξα τῆς θυγατρὸς σιὼν ξύρησαι. καὶ κεῖραι ἐπὶ τὰ
τέκνα τὰ τρυφερά σου. ἐμπλάτυνον τὴν ξύρησίν σου, ὡς ἀετός, ὅ
τι ᾐχμαλωτεύθησαν ἀπὸ σοῦ. Κεφ. β. 2.

Γένονται λογιζόμενοι κόπους, καὶ ἐργαζόμενοι κακὰ
α ἐν ταῖς κοίταις αὐτῶν. καὶ ἅμα τῇ ἡμέρᾳ συνετέ
λουν αὐτά. διότι οὐκ ἦραν πρὸς τὸν θεὸν χεῖρας αὐ
τῶν. καὶ ἐπεθύμουν ἀγρούς, καὶ διήρπαζον ὀρφανούς, καὶ οἴ
κους κατεδυνάστευον. καὶ ἥρπαζον τὸν ἄνδρα. καὶ τὸν οἶκον
αὐτοῦ ἄνδρα, καὶ τὴν κληρονομίαν αὐτοῦ. διὰ τοῦτο τάδε λέ
γει κύριος. ἐγὼ λογίζομαι ἐπὶ τὴν φυλὴν ταύτην κακά. ἐξ ὧν
οὐ μὴ ἄρητε τοὺς τραχήλους ὑμῶν, καὶ οὐ μὴ πορευθῆτε ὀρ
θοί, ὅτι καιρὸς πονηρός ἐστιν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ληφθήσεται.

ἐφ᾽ ὑμᾶς παραβολή· καὶ θρηνηθήσεται θρῆνος ἐν μέλει, λέγων· ταλαιπωρίᾳ ἐταλαιπωρήσαμεν· μερὶς λαοῦ μου κατεμετρήθη ἐν σχοινίῳ, καὶ οὐκ ἦν ὁ κωλύσων αὐτὸν τοῦ ἀποστρέψαι· οἱ ἀγροὶ ὑμῶν, διεμερίσθησαν· διὰ τοῦτο οὐκ ἔσται σοι βάλλων σχοινίον ἐν κλήρῳ· ἐν ἐκκλησίᾳ κυρίου μὴ κλαίετε δάκρυσι· μηδὲ δακρυέτωσαν ἐπὶ τούτοις· οὐδὲ γὰρ ἀπώσεται ὀνείδη. ὁ λέγων οἶκος ἰακὼβ παρώργισε πνεῦμα κυρίου· εἰ ταῦτα τὰ ἐπιτηδεύματα αὐτοῦ ἐστιν· οὐχὶ οἱ λόγοι αὐτοῦ καλοὶ μετ᾽ αὐτοῦ· καὶ ὀρθοὶ πεπόρευνται· καὶ ἔμπροσθεν ὁ λαός μου, εἰς ἔχθραν ἀντέστη· κατέναντι τῆς εἰρήνης αὐτοῦ. τὴν δορὰν αὐτοῦ ἐξέδειραν· τοῦ ἀφελέσθαι ἐλπίδας συντριμμῶν πολέμου. διὰ τοῦτο ἡγούμενοι λαοῦ μου ἀπορριφήσονται· ἐκ τῶν οἴκων τρυφῆς αὐτῶν διὰ τὰ πονηρὰ ἐπιτηδεύματα αὐτῶν ἐξώσθησαν· ἐγγίσατε ὄρεσιν αἰωνίοις· ἀνάστα καὶ πορεύου, ὅτι οὐκ ἔστι σοι ἀνάπαυσις ἕνεκεν ἀκαθαρσίας· διεφθάρητε φθορᾷ· κατεδιώχθητε οὐδενὸς διώκοντος· πνεῦμα ἔστησε ψεῦδος· ἐστάλαξέ σοι εἰς οἶνον, καὶ μέθυσμα. καὶ ἔσται ἐκ τῆς σταγόνος τοῦ λαοῦ τούτου συναγόμενος· συναχθήσεται ἰακώβ· σὺν πᾶσιν ἐκδεχόμενος ἐκδέξομαι τοὺς καταλοίπους τοῦ ἰσραήλ· ἐπὶ τὸ αὐτὸ θήσομαι τὴν ἀποστροφὴν αὐτοῦ. ὡς πρόβατα ἐν θλίψει· ὡς ποίμνιον ἐν μέσῳ κοίτης αὐτῶν, ἐξελοῦνται ἐξ ἀνθρώπων· ἀνάβηθι διὰ τῆς διακοπῆς, πρὸ προσώπου αὐτῶν, διέκοψα, καὶ διῆλθον πύλην. καὶ ἐξῆλθον δι᾽ αὐτῆς· καὶ ἐξῆλθεν ὁ βασιλεὺς αὐτῶν πρὸ προσώπου αὐτῶν. ὁ δὲ κύριος ἡγήσεται αὐτῶν.

Κεφάλαιον. γ. 3.

κ ΑΙ ἐρεῖ ταῦτα· ἀκούσατε δὴ ἀρχαὶ οἴκου ἰακώβ, καὶ οἱ κατάλοιποι οἴκου ἰσραήλ· οὐχ ὑμῖν ἐστι τὸ γνῶναι τὸ κρίμα· μισοῦντες τὰ καλά, καὶ ζητοῦντες τὰ πονηρά, ἁρπάζοντες τὰ δέρματα αὐτῶν ἀπ᾽ αὐτῶν· καὶ τὰς σάρκας αὐτ. ἀπὸ τῶν ὀστέων αὐτῶν, ὃν τρόπον κατέφαγον τὰς

σάρκας τοῦ λαοῦ μου, καὶ τὰ δέρματα αὐτῶν ἀπ' αὐτῶν ἐξέ-
δειραν. καὶ τὰ ὀστᾶ αὐτῶν συνέθλασαν, ὡς σάρκας εἰς λέβητα.
καὶ ὡς κρέα εἰς χύτραν, οὕτως κεκράξονται πρὸς τὸν κύριον, καὶ
οὐκ εἰσακούσεται αὐτῶν. καὶ ἀποστρέψει τὸ πρόσωπον αὐτοῦ
ἀπ' αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ἀνθ' ὧν ἐπονηρεύσαντο, ἐν τοῖς
ἐπιτηδεύμασιν αὐτῶν. τάδε λέγει κύριος ἐπὶ τοὺς προφήτας
τοὺς πλανοῦντας τὸν λαόν μου, τοὺς δάκνοντας ἐν τοῖς ὀδοῦσιν αὐ-
τῶν. καὶ κηρύσσοντας εἰρήνην ἐπ' αὐτόν, καὶ οὐκ ἐδόθη εἰς τὸ στό-
μα αὐτῶν. ἤγειραν ἐπ' αὐτὸν πόλεμον. διατοῦτο νὺξ ὑμῖν ἔσται,
ἐξ ὁράσεως. καὶ σκοτία ἔσται ὑμῖν, ἐκ μαντείας. καὶ δύσεται ὁ
ἥλιος ἐπὶ τοὺς προφήτας. καὶ συσκοτάσει ἐπ' αὐτοὺς ἡ ἡμέρα.
καὶ καταισχυνθήσονται οἱ ὁρῶντες τὰ ἐνύπνια, καὶ καταγελα-
σθήσονται οἱ μάντεις. καὶ καταλαλήσουσι κατ' αὐτῶν πάντες
αὐτοί. διότι οὐκ ἔστιν ὁ ἐπακούων αὐτῶν. ἐὰν μὴ ἐγὼ ἐμπλή-
σω ἰσχὺν ἐν πνεύματι κυρίου, καὶ κρίματα καὶ δυναστείας τοῦ
ἀπαγγεῖλαι τῷ ἰακώβ, ἀσεβείας αὐτοῦ. καὶ τῷ ἰσραὴλ ἁμαρ-
τίας αὐτοῦ. ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου ἰακώβ. καὶ
οἱ κατάλοιποι τοῦ ἰσραήλ, οἱ βδελυσσόμενοι κρίμα. καὶ πάν-
τα τὰ ὀρθὰ διαστρέφοντες. οἱ οἰκοδομοῦντες σιὼν ἐν αἵμασι.
καὶ ἱερουσαλὴμ ἐν ἀδικίαις. οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων ἔ-
κρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο. καὶ οἱ προ-
φῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο. καὶ ἐπὶ τὸν κύριον ἀ-
νεπαύοντο λέγοντες, οὐχὶ κύριος ἐν ὑμῖν ἐστιν, οὐ μὴ ἐπέλθῃ
ἐφ' ἡμᾶς κακά. διατοῦτο δι' ὑμᾶς σιὼν, ὡς ἀγρὸς ἀροτριωθήσε-
ται. καὶ ἰσραὴλ ὀπωροφυλάκιον ἔσται.

Κεφάλαιον. δ. 4.

Αἰ τὸ ὄρος τοῦ οἴκου κυρίου εἰς ἄλσος δρυμοῦ. καὶ ἔ-
κ σαι ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος κυ-
ρίου, ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων. καὶ μετεω-
ρισθήσεται ὑπεράνω τῶν βουνῶν. καὶ σπεύσουσιν ἐπ' αὐτὸ

λαοί. καὶ πορεύσονται ἔθνη πολλά. καὶ ἐροῦσι δεῦτε ἀναβῶμεν
εἰς τὸν οἶκον κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ θεοῦ ἰακώβ. καὶ δείξουσιν
ὑμῖν τὴν ὁδὸν αὐτοῦ. καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ,
ὅτι ἐκ σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐξ ἱερουσαλήμ,
καὶ κρινεῖ ἀνὰ μέσον λαῶν πολλῶν. καὶ ἐξελέγξει ἔθνη ἰσχυρά, ἕ
ως μακρόθεν. καὶ κατακόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα.
καὶ τὰ δόρατα αὐτῶν εἰς δρέπανα. καὶ οὐκ ἔτι μὴ ἄρῃ ἔθνος
πρὸς ἔθνος ῥομφαίαν. καὶ οὐκ ἔτι μὴ μάθωσιν πολεμεῖν. καὶ ἀνα
παύσεται ἕκαστος ὑπὸ κάτω ἀμπέλου αὐτοῦ. καὶ ἕκαστος ὑπὸ κά
τω συκῆς αὐτοῦ. καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν. διότι τὸ στόμα κυρίου
παντοκράτορος ἐλάλησε ταῦτα. ὅτι πάντες οἱ λαοὶ πορεύ
σονται ἕκαστος τὴν ὁδὸν αὐτοῦ. ἡμεῖς δὲ πορευσόμεθα ἐν ὀνό
ματι κυρίου θεοῦ ἡμῶν εἰς τὸν αἰῶνα, καὶ ἐπέκεινα. ἐν τῇ ἡμέρᾳ ἐ
κείνῃ λέγει κύριος, συνάξω τὴν συντετριμμένην καὶ τὴν ἀπω
σμένην εἰσδέξομαι. καὶ οὓς ἀπωσάμην. καὶ θήσομαι τὴν συν
τετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος ἰσχυ
ρόν. καὶ βασιλεύσει κύριος ἐπ' αὐτούς, ἐν ὄρει σιών. ἀπὸ τοῦ
νῦν, ἕως εἰς τοὺς αἰῶνας. καὶ σὺ πύργος ποιμνίου αὐχμώδης.
θυγάτηρ σιὼν ἐπὶ σὺ ἥξει. καὶ εἰσελεύσεται ἡ ἀρχὴ ἡ πρώτη βα
σιλεία ἐκ βαβυλῶνος τῇ θυγατρὶ ἱερουσαλήμ. καὶ νῦν ἱνατί ἔγνως
κακά, μὴ βασιλεὺς οὐκ ἦν σοι, μὴ ἡ βουλή σου ἀπώλετο. ὅτι κα
τεκράτησάν σου, ὠδῖνες ὡς τικτούσης. ὤδινε, καὶ ἀνδρίζου,
καὶ ἔγγιζε θυγάτηρ σιὼν ὡς τίκτουσα. διότι νῦν ἐξελεύσεται
ἐκ πόλεως. καὶ κατασκηνώσεις ἐν πεδίῳ, καὶ ἥξεις, ἕως βαβυ
λῶνος. ἐκεῖθεν ῥύσεταί σε, καὶ ἐκεῖθεν λυτρώσεταί σε κύριος
ὁ θεός σου, ἐκ χειρὸς ἐχθρῶν σου. καὶ νῦν ἐπισυναχθήσεται
ἐπὶ σὲ ἔθνη πολλὰ οἱ λέγοντες ἐπιχαρούμεθα. καὶ ἐπόψονται
ἐπὶ σιὼν οἱ ὀφθαλμοὶ ἡμῶν. καὶ αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὸν λογι
σμὸν κυρίου. καὶ οὐ συνῆκαν τὴν βουλὴν αὐτοῦ. ὅτι συνήγα
γεν αὐτοὺς ὡς δράγματα ἅλωνος. ἀνάστηθι. καὶ ἀλόα αὐτοὺς θυ

γάτηρ σιών. ὅτι τὰ κέρατά σου, θήσομαι σιδηρᾶ καὶ τὰς ὁ-
πλάς σου θήσομαι χαλκᾶς. καὶ κατατήξεις ἐν αὐτοῖς ἔθνη καὶ
λεπτυνεῖς λαοὺς πολλούς. καὶ ἀναθήσεις τῷ κυρίῳ τὸ πλῆθος
αὐτῶν. καὶ τὴν ἰσχὺν αὐτῶν τῷ κυρίῳ πάσης τῆς γῆς.

Κεφάλαιον. ε. ϛ.

Νῦν ἐμφραχθήσεται θυγάτηρ ἐμφραγμῷ. συνο-
χὴν, ἔταξεν ἐφ' ὑμᾶς. ἐν ῥάβδῳ πατάξουσιν ἐπὶ
σιαγόνα τὰς φυλὰς τοῦ ἰσραήλ. καὶ σὺ βηθλεὲμ ὁ οἶκος
ἐφραθᾶ. ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν χιλιάσιν ἰούδα. ἐκ σοῦ μοι ἐξ-
ελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα τοῦ ἰσραήλ. καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς
ἐξ ἡμερῶν αἰῶνος. διὰ τοῦτο δώσει αὐτούς. ἕως καιροῦ, τικτούσης,
τέξεται. καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ
τοὺς υἱοὺς ἰσραήλ. καὶ στήσεται. καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον
αὐτοῦ ἐν ἰσχύϊ κύριος. καὶ ἐν τῇ δόξῃ ὀνόματος κυρίου θεοῦ αὐτῶν ὑ-
πάρξουσι. διότι νῦν μεγαλυνθήσεται, ἕως ἄκρων τῆς γῆς. καὶ ἔσται
αὕτη εἰρήνη. ἀσσοὺρ, ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν. καὶ ὅταν
ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν. καὶ ἐπεγερθήσονται ἑπτὰ μήνες.
καὶ ὀκτὼ δήγματα ἀνθρώπων. καὶ ποιμανοῦσι τὸν ἀσσοὺρ ἐν
ῥομφαίᾳ, καὶ τὴν γῆν τοῦ νεβρώθ. ἐν τῇ τάφρῳ αὐτῆς. καὶ
ῥύσεται ἐκ τοῦ ἀσσοὺρ ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν. καὶ ὅταν
ἐπιβῇ ἐπὶ τὰ ὅρια ὑμῶν. καὶ ἔσται τὸ ὑπόλειμμα τοῦ ἰακὼβ, ἐν
τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν. ὡς δρόσος παρὰ κυρίου
πίπτουσα, καὶ ὡς ἄρνες ἐπὶ ἄγρωστιν. ὅπως συναχθῇ μηδὲ εἷς,
μηδὲ ὑποστῇ ἐν υἱοῖς ἀνθρώπων. καὶ ἔσται τὸ ὑπόλειμμα ἰακὼβ
ἐν τοῖς ἔθνεσιν ἐν μέσῳ λαῶν πολλῶν. ὡς λέων ἐν κτήνεσιν
ἐν τῷ δρυμῷ. καὶ ὡς σκύμνος ἐν ποιμνίοις προβάτων, ὃν τρό-
πον ὅταν διέλθῃ, καὶ διαστείλας ἁρπάσῃ. καὶ μὴ ᾖ ὁ ἐξαιρούμε-
νος. ὑψωθήσεται ἡ χείρ σου ἐπὶ τοὺς θλίβοντάς σε. καὶ πάν-
τες οἱ ἐχθροί σου ἐξολοθρευθήσονται, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐ-
κείνῃ λέγει κύριος καὶ ἐξολοθρεύσω τοὺς ἵππους ἐκ μέσου σου.

καὶ ἀπολῶ τὰ ἅρματά σου· καὶ ἐξολοθρεύσω τὰς πόλεις τῆς
γῆς σου· καὶ ἐξαρῶ πάντα τὰ ὀχυρώματά σου, καὶ ἐξαρῶ τὰ
φάρμακά σου ἐκ τῶν χειρῶν σου· καὶ ἀποφθεγγόμενοι οὐκ ἔσον
ται σοί· καὶ ἐξολοθρεύσω τὰ γλυπτά σου· καὶ τὰς στήλας σου ἐκ
μέσου σου· καὶ οὐκ ἔτι μὴ προσκυνήσεις τοῖς ἔργοις τῶν χειρῶν
σου· καὶ ἐκκόψω τὰ ἄλση ἐκ μέσου σου· καὶ ἀφανιῶ τὰς πόλεις
σου· καὶ ποιήσω ἐν ὀργῇ, καὶ ἐν θυμῷ ἐκδίκησιν· ἐν τοῖς ἔθνεσιν
ἀνθ᾽ ὧν οὐκ εἰσήκουσαν.

Κεφάλαιον. ς. 6.

Ἀκούσατε δὴ ἃ ὁ κύριος εἶπεν· ἀνάστηθι κρίθητι πρὸς
α τὰ ὄρη· καὶ ἀκουσάτωσαν βουνοὶ φωνήν σου· ἀκούσα
τε ὄρη τὴν κρίσιν τοῦ κυρίου· καὶ αἱ φάραγγες θεμέλια τῆς
γῆς· ὅτι κρίσις τοῦ κυρίου πρὸς τὸν λαὸν αὐτοῦ· καὶ μετὰ ἰσραὴλ
διελεγχθήσεται. λαός μου, τί ἐποίησά σοι· ἢ τί ἐλύπησά σε ἢ τί
παρηνώχλησά σοι· ἀποκρίθητί μοι· διότι ἀνήγαγόν σε ἐκ γῆς
αἰγύπτου· καὶ ἐξ οἴκου δουλείας ἐλυτρωσάμην σε· καὶ ἐξαπέστει
λα πρὸ προσώπου σου τὸν μωυσῆν· καὶ ἀαρὼν μαριάμ. λαός
μου μνήσθητι δὴ τί ἐβουλεύσατο κατὰ σοῦ βαλὰκ βασιλεὺς μω
άβ· καὶ τί ἀπεκρίθη αὐτῷ βαλαάμ, υἱὸς βεώρ· ἀπὸ τῶν σχοινί
ων, ἕως τοῦ γαλγάλ· ὅπως γνωσθῇ ἡ δικαιοσύνη κυρίου. ἐν τίνι
καταλάβω τὸν κύριον· ἀντιλήψομαι θεοῦ μου ὑψίστου· εἰ καταλήψο
μαι αὐτὸν ἐν ὁλοκαυτώμασιν ἐν μόσχοις ἐνιαυσίοις· ἢ προσδέ
ξεται κύριος ἐν χιλιάσιν κριῶν, ἢ ἐν μυριάσι χιμάῤῥων πιόνων, εἰ
δῶ πρωτότοκά μου ὑπὲρ ἀσεβείας καρπὸν κοιλίας μου ὑπὲρ ἁ
μαρτίας ψυχῆς μου· εἰ ἀπηγγέλη σοι ἄνθρωπε τί καλόν, ἢ τί κύ
ριος ἐκζητεῖ παρὰ σοῦ· ἀλλ᾽ ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλε
ον· καὶ ἕτοιμον εἶναι τοῦ πορεύεσθαι μετὰ κυρίου θεοῦ σου· φωνὴ κυ
ρίου τῇ πόλει ἐπικληθήσεται· καὶ σώσει φοβουμένους τὸ ὄνομα
αὐτοῦ. Ἄκουε φυλὴ καὶ τίς κοσμήσει πόλιν· μὴ πῦρ καὶ οἶκος
ἀνόμου θησαυρίζων θησαυροὺς ἀνόμους· καὶ μετὰ ὕβρεως ἀδικί

ται, εἰ δικαιωθήσεται ἐν ζυγῷ ἄνομος. καὶ ἐν μαρσίππῳ στάθμια δόλου. ἐξ ὧν τὸν πλοῦτον αὐτῶν ἀσεβείας ἔπλησαν, καὶ οἱ ἐνοικοῦντες αὐτὴν, ἐλάλησαν ἀδικίαν. καὶ ἡ γλῶσσα αὐτῶν ὑψώθη. ἐν τῷ στόματι αὐτῶν. καί γε ἐγὼ ἐβασάνισα ἐπὶ σὲ ἀφανισμῷ διὰ τὰς ἁμαρτίας σου. σὺ φάγεσαι, καὶ οὐ μὴ ἐμπλησθῇς. καὶ ἐξώσω σε ἐν σοὶ, καὶ καταλήψῃ, καὶ οὐ μὴ διασωθῇς, καὶ ὅσοι ἂν διασωθῶσιν εἰς ῥομφαίαν παραδοθήσονται. σὺ σπερεῖς, καὶ οὐ μὴ ἀμήσῃς. σὺ πιέσεις ἐλαίαν, καὶ οὐ μὴ ἀλείψῃ ἔλαιον, καὶ ποιήσεις οἶνον, καὶ οὐ μὴ πίῃς οἶνον. καὶ ἀφανισθήσεται νόμιμα λαοῦ μου. καὶ ἐφύλαξε τὰ δικαιώματα ζαμβρῆ, καὶ πάντα τὰ ἔργα οἴκου ἀχαάβ. καὶ ἐπορεύθητε ἐν ταῖς βουλαῖς αὐτῶν ὅπως παραδῶ σε εἰς ἀφανισμὸν. καὶ τοὺς ἐνοικοῦντας αὐτῇ εἰς συρισμόν. καὶ ὀνείδη λαῶν λήψεσθε.

Κεφάλαιον. ζ. 7.

ὃ Ιμοι ὅτι ἐγενήθην ὡς συνάγων καλάμην ἐν ἀμήτῳ καὶ ὡς ἐπιφυλλίδα ἐν τρυγητῷ. οὐχ ὑπάρχοντος βότρυος τοῦ φαγεῖν τὰ πρωτόγονα ἃ ἐπεπόθησεν ἡ ψυχή μου. οἴμοι ψυχὴ, ὅτι ἀπόλωλεν εὐλαβὴς ἀπὸ τῆς γῆς. καὶ ὁ κατορθῶν ἐν ἀνθρώποις οὐχ ὑπάρχει. πάντες εἰς αἵματα δικάζονται. ἕκαστος τὸν πλησίον αὐτοῦ ἐκθλίβουσιν ἐκθλιβῇ. ἐπὶ τὸ κακὸν τὰς χεῖρας αὐτῶν ἑτοιμάζουσιν. ὁ ἄρχων αἰτεῖ, καὶ λόγους ὁ κριτὴς εἰρηνικοὺς ἐλάλησε. καταθύμιον ψυχῆς αὐτοῦ ἐστίν. καὶ ἐξελοῦμαι τὰ ἀγαθὰ αὐτῶν, ὡς σὴς ἐκτρώγων. καὶ βαδίζων ἐπὶ κανόνος ἐν ἡμέραις σκοπιᾶς σου, οὐαὶ οὐαί. ἐκδικήσεις σου ἥκασιν. νῦν ἔσονται κλαυθμοὶ αὐτῶν μὴ καταπιστεύετε ἐν φίλοις, καὶ μὴ ἐλπίζετε ἐπὶ ἡγουμένοις. ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ ἀναθέσθαι τι αὐτῇ. διότι υἱὸς ἀτιμάζει πατέρα. θυγάτηρ ἐπαναστήσεται ἐπὶ τὴν μητέρα αὐτῆς. νύμφη ἐπὶ τὴν πενθερὰν αὐτῆς. ἐχθροὶ πάντες ἀνδρὸς οἱ ἐν τῷ οἴκῳ αὐτοῦ. Ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἐπισκοπεύσω ὑπομενῶ ἐπὶ τῷ θεῷ τῷ

σωτῆρί μου ἐπακούσεταί μου, ὁ θεός μου. μὴ ἐπίχαιρέ μοι ἡ
ἐχθρά μου, ὅτι πέπτωκα· καὶ ἀναστήσομαι. ὅτι ἐὰν καθίσω ἐν τῷ
σκότει, κύριος μου φωτιεῖ μοι. ὀργὴν κυρίου ὑποίσω· ὅτι ἥμαρτον αὐ-
τῷ, ἕως τοῦ δικαιῶσαι αὐτὸν τὴν δίκην μου· καὶ ποιήσει τὸ κρίμα
μου, καὶ ἐξάξει με, εἰς τὸ φῶς. καὶ ὄψομαι τὴν δικαιοσύνην αὐτοῦ.
καὶ ὄψεται ἡ ἐχθρά μου· καὶ περιβαλεῖται αἰσχύνην. ἡ πρός με λέγου-
σα ποῦ κύριος ὁ θεός σου. οἱ ὀφθαλμοί μου ἐπόψονται αὐτήν. νῦν
ἔσται εἰς καταπάτημα ὡς πηλὸς ἐν ταῖς ὁδοῖς. ἡμέρα ἀλοιφῆς
πλίνθου, ἐξάλειψίς σου ἡ ἡμέρα ἐκείνη. καὶ ἀπώσεται νόμιμά σου
ἡ ἡμέρα ἐκείνη. καὶ αἱ πόλεις σου ἥξουσιν εἰς ὁμαλισμὸν καὶ εἰς δι-
αμερισμὸν ἀσσυρίων. καὶ αἱ πόλεις σου, αἱ ὀχυραὶ εἰς διαμερι-
σμὸν ἀπὸ τύρου ἕως τοῦ ποταμοῦ. καὶ ἀπὸ θαλάσσης. καὶ ἀπὸ ὄρους
καὶ ἔσται ἡ γῆ εἰς ἀφανισμὸν, σὺν τοῖς κατοικοῦσιν αὐτήν. ἀπὸ καρ-
πῶν ἐπιτηδευμάτων αὐτῶν, ποίμαινε λαόν σου ἐν ῥάβδῳ σου
πρόβατα κληρονομίας σου· κατασκηνοῦντας καταμόνας δρυ-
μῶν, ἐν μέσῳ τοῦ καρμήλου. νεμήσονται τὴν βασανῖτιν καὶ τὴν
γαλααδῖτιν κατὰ τὰς ἡμέρας τοῦ αἰῶνος. καὶ κατὰ τὰς ἡμέρας
ἐξοδίας σου, ἐξ αἰγύπτου. δείξω αὐτοῖς θαυμαστά. ὄψονται ἔθνη. καὶ
καταισχυνθήσονται ἐκ πάσης τῆς ἰσχύος αὐτῶν. ἐπιθήσουσι χεῖρας ἐπὶ
τὸ στόμα αὐτῶν. τὰ ὦτα αὐτῶν ἀποκωφωθήσεται. λείξουσι χοῦν ὡς
ὄφις σύροντες γῆν ταραχθήσονται ἐν συγκλεισμῷ αὐτῶν ἐπὶ τῷ
κυρίῳ θεῷ ἡμῶν ἐκστήσονται καὶ φοβηθήσονται ἀπὸ σοῦ. τίς θεὸς ὥσπερ
σύ. καὶ ὑπερβαίνων ἀδικίας τοῖς καταλοίποις τῆς κληρονομίας αὐ-
τοῦ. οὐκ ἐκράτησεν εἰς μαρτύριον, ὀργὴν αὐτοῦ, ὅτι, θελητὴς ἐλέ-
ους ἐστίν. ἐπιστρέψει καὶ οἰκτειρήσει ἡμᾶς. καταδύσει τὰς ἀνομίας
ἡμῶν καὶ ἀποῤῥιφήσονται εἰς τὰ βάθη τῆς θαλάσσης. πάσας τὰς
ἁμαρτίας ἡμῶν δώσει εἰς ἀλήθειαν τῷ ἰακώβ. ἔλεον τῷ ἀβρα-
ὰμ καθότι ὤμοσας τοῖς πατράσιν ἡμῶν κατὰ τὰς ἡμέρας τὰς
ἔμπροσθεν.

Τέλος μιχαίας.

# ΝΑΟΥΜ.

Κεφάλαιον. α. 1.

Ημμα νινευὴ. βιβλίον ὁράσεως ναοὺμ
τοῦ ἀλκεσαίου θεὸς ζηλωτὴς, καὶ ἐκδι-
κῶν κύριος. ἐκδικῶν κύριος. μετὰ θυ-
λ μοῦ. ἐκδικῶν κύριος τοὺς ὑπεναντίους
αὐτοῦ. καὶ ἐξαίρων αὐτὸς τοὺς ἐχθροὺς
αὐτοῦ. κύριος μακρόθυμος, καὶ μεγά-
λη ἡ ἰσχὺς αὐτοῦ. καὶ ἀθῶον οὐκ ἀθωώ-
σει. κύριος ἐν συντελείᾳ, καὶ ἐν σεισμῷ ἡ ὁδὸς αὐτοῦ. καὶ νε-
φέλαι κονιορτὸς ποδῶν αὐτοῦ. ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων
αὐτήν. καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν. ὠλιγώθη ἡ βασα-
νίτης, καὶ ὁ κάρμηλος. καὶ ἐξανθοῦντα τοῦ λιβάνου, ἐξέλιπε. τὰ
ὄρη ἐσείσθησαν ἀπ᾽ αὐτοῦ, καὶ οἱ βουνοὶ ἐσαλεύθησαν. καὶ ἀνεστά-
λη ἡ γῆ ἀπὸ προσώπου αὐτοῦ ἡ σύμπασα, καὶ πάντες οἱ κα-
τοικοῦντες ἐν αὐτῇ ἀπὸ προσώπου ὀργῆς αὐτοῦ. τίς ὑποστήσε-
ται καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ θυμοῦ αὐτοῦ. ὁ θυμὸς αὐτοῦ τή-
κει ἀρχάς. καὶ αἱ πέτραι διεθρίβησαν ἀπ᾽ αὐτοῦ. χρηστὸς κύριος
τοῖς ὑπομένουσιν αὐτὸν ἐν ἡμέρᾳ θλίψεως. καὶ γινώσκων τοὺς
εὐλαβουμένους αὐτόν. καὶ ἐν κατακλυσμῷ πορείας, συντέλει-
αν ποιήσεται. τοὺς ἐπεγειρομένους καὶ τοὺς ἐχθροὺς αὐτοῦ δι-
ώξεται σκότος. τί λογίζεσθε ἐπὶ τὸν κύριον συντέλειαν αὐ-
τὸς ποιήσεται. οὐκ ἐκδικήσει δὶς ἐπιτοαυτὸ ἐν θλίψει.
ὅτι ἕως θεμελίου αὐτοῦ χερσωθήσεται. καὶ ὡς σμίλαξ περι-
πλεκομένη βρωθήσεται. καὶ ὡς καλάμη ξηρασίας μεστή.

ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ κυρίου πονηρὰ βουλευό-
μενος ἐναντία. τάδε λέγει κύριος κατάρχων ὑδάτων πολλῶν. καὶ
οὕτως διασταλήσονται καὶ ἡ ἀκοή σου οὐκ ἐνακουσθήσεται. ἔτι καὶ
νῦν συντρίψω τὴν ῥάβδον αὐτοῦ ἀπὸ σοῦ. καὶ τοὺς δεσμοὺς δι-
αῤῥήξω, καὶ ἐντολεῖται περὶ σοῦ κύριος. οὐ σπαρήσεται ἐξ ὀνό-
ματός σου ἔτι. ἐξ οἴκου θεοῦ σου ἐξολοθρεύσω τὰ γλυπτά,
καὶ χωνευτά. καὶ θήσομαι ταφήν σου. ὅτι ταχεῖς ἰδοὺ
ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου, καὶ ἀπαγγέλλοντος εἰρήνην.
ἑόρταζε ἰούδα τὰς ἑορτάς σου. ἀπόδος τὰς εὐχάς σου. διό-
τι οὐ μὴ προσθῶσιν ἔτι τοῦ διελθεῖν διὰ σοῦ εἰς παλαίωσιν.

Κεφάλαιον. β. 2.

Συντετέλεσται. ἀνήλωται. ἀνέβη ἐμφυσῶν εἰς πρόσω-
πόν σου. ἐξαιρούμενος ἐκ θλίψεως. σκόπευσον ὁδόν.
κράτησον ὀσφύος. ἄνδρισαι τῇ ἰσχύϊ σφόδρα. διό-
τι ἀπέστρεψε κύριος τὴν ὕβριν ἰακώβ. καθὼς ὕβριν τοῦ ἰσραήλ
διότι ἐκτινάσσοντες ἐξετίναξαν αὐτούς. καὶ τὰ κλήματα αὐ-
τῶν διέφθειραν. ὅπλα δυναστείας αὐτοῦ ἐξ ἀνθρώπων ἄνδρας
δυνατοὺς ἐμπαίζοντας ἐν πυρί. αἱ ἡνίαι τῶν ἁρμάτων αὐτῶν
ἐν ἡμέρᾳ ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς. θορυβηθήσονται ἐν ταῖς
ὁδοῖς. συγχυθήσονται τὰ ἅρματα. καὶ συμπλακήσονται ἐν ταῖς
πλατείαις. ἡ ὅρασις αὐτῶν. ὡς λαμπάδες πυρός. καὶ ὡς ἀστρα-
παὶ διατρέχουσαι, καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν, καὶ
φεύξονται ἡμέρας. καὶ ἀσθενήσουσιν ἐν τῇ πορείᾳ αὐτῶν. καὶ
σπεύσουσιν ἐπὶ τὰ τείχη καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς αὐ-
τῶν. πύλαι τῶν πόλεων διηνοίχθησαν. καὶ τὰ βασίλεια διέπε-
σε. καὶ ἡ ὑπόστασις ὑπεκαλύφθη. καὶ οὐδεὶς ἀνέβαινε. καὶ αἱ δοῦ-
λαι αὐτῆς ἤγοντο. καθὼς περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐ-
τῶν. καὶ νινευὴ ὡς κολυμβήθρα ὕδατος τὰ ὕδατα αὐτῆς. καὶ αὐ-
τοὶ φεύγοντες, οὐκ ἔστησαν. καὶ οὐκ ἦν ὁ ἐπιβλέπων. διήρπαζον
τὸ ἀργύριον. διήρπαζον τὸ χρυσίον. καὶ οὐκ ἦν πέρας τοῦ κόσμου

αὐτῆς. βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη τὰ ἐπιθυμητὰ αὐτῆς.
ἐκτιναγμὸς καὶ ἀνατιναγμός. καὶ ἐκβρασμός. καὶ καρδίας θραυ
σμός. καὶ ὑπόλυσις γονάτων. καὶ ὠδῖνες ἐπὶ πᾶσαν ὀσφῦν.
καὶ τὸ πρόσωπον πάντων ὡς πρόσκαυμα χύτρας. ποῦ ἐστι τὸ κα
τοικητήριον τῶν λεόντων καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις. οὗ
ἐπορεύθη λέων, τοῦ εἰσελθεῖν ἐκεῖ. σκύμνος λέοντος καὶ οὐκ ἦν ὁ
ἐκφοβῶν. λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις αὐτοῦ. καὶ ἀπέ
πνιξε τοῖς λέουσιν αὐτοῦ. καὶ ἔπλησε, θήρας νοσσιὰν αὐτοῦ. καὶ τὸ
κατοικητήριον αὐτοῦ ἁρπαγῆς. ἰδοὺ ἐγὼ ἐπί σε λέγει κύριος παν
τοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός σου, καὶ τοὺς λέοντάς
σου, καταφάγεται ῥομφαία. καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν
θήραν σου. καὶ οὐ μὴ ἀκουσθῇ ἔτι τὰ ἔργα σου.

Κεφάλαιον. γ. 3.

Ὦ Πόλις αἱμάτων. ὅλη ψευδής. ἀδικίας πλήρης. οὐ
ψηλαφηθήσεται θήρα. φωνὴ μαστίγων. καὶ φωνὴ σει
σμοῦ τροχῶν. καὶ ἵππου διώκοντος καὶ ἅρματος ἀνα
βράσσοντος. ἱππέως ἀναβαίνοντος. καὶ στιλβούσης ῥομφαίας. καὶ
ἐξαστραπτόντων ὅπλων. καὶ πλήθους τραυματιῶν. καὶ βαρείας πτώ
σεως. καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς. καὶ ἀσθενήσουσιν ἐν
τοῖς σώμασιν αὐτῶν. ἀπὸ πλήθους πορνείας. πόρνη καλή. καὶ ἐπί
χαρις ἡγουμένη φαρμάκων. ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ αὐ
τῆς. καὶ φυλὰς ἐν τοῖς φαρμάκοις αὐτῆς. ἰδοὺ ἐγὼ ἐπί σε λέ
γει κύριος παντοκράτωρ. καὶ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ τὸ
πρόσωπόν σου. καὶ δείξω ἔθνεσι τὴν αἰσχύνην σου. καὶ βασι
λείαις τὴν ἀτιμίαν σου. καὶ ἐπιρρίψω ἐπί σε βδελυγμὸν, κατὰ
τὰς ἀκαθαρσίας σου. καὶ θήσομαί σε εἰς παράδειγμα. καὶ ἔσται
πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ σοῦ, καὶ ἐρεῖ δειλαία νινευΐ.
τίς στενάξει αὐτήν. πόθεν ζητήσω παράκλησιν αὐτῇ. ἁρμόσαι
χορδὴν ἑτοιμάσαι μερὶς ἀμμών. ἡ κατοικοῦσα ποταμούς. ὕδωρ
κύκλῳ αὐτῆς. ἧς ἡ ἀρχὴ θάλασσα καὶ ὕδωρ τὰ τείχη αὐτῆς.

καὶ αἰθιοπία ἰσχὺς αὐτῆς· καὶ αἴγυπτος· καὶ οὐκ ἔστι πέρας τῆς φυ-
γῆς σου φοὺδ καὶ λίβυες ἐγένοντο βοηθοὶ αὐτῆς. καὶ αὐτὴ εἰς μετοι-
κεσίαν πορεύσεται αἰχμάλωτος. καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦ-
σιν· ἀπαρχῆς πασῶν τῶν ὁδῶν αὐτῆς· καὶ ἐπὶ πάντα τὰ ἔν-
δοξα αὐτῆς βαλοῦσι κλήρους· καὶ πάντες οἱ μεγιστᾶνες αὐτῆς,
δεθήσονται χειροπέδαις. καὶ σὺ μετυσθήσῃ καὶ ἔσῃ παρεω-
ραμένη· καὶ ζητήσεις ἑαυτῆς στάσιν ἐξ ἐχθρῶν σου πάντα τὰ
ὀχυρώματά σου ὡς σύ· καὶ καρπούς ἔχουσαι. ἐὰν σαλευθῶσι
πεσοῦνται εἰς στόμα ἔσθοντος. ἰδοὺ ὁ λαός σου, ὡς γυναῖκες ἐν σοί
καὶ τοῖς ἐχθροῖς σου ἀνοιγόμεναι· ἀνοιχθήσονται πύλαι τῆς γῆς
σου· καταφάγεται πῦρ τοὺς μοχλούς σου. ὕδωρ περιοχῆς ἐπί-
σπασαι σεαυτῇ. κατακράτησον τῶν ὀχυρωμάτων σου. ἔμβηθι
εἰς πηλόν· καὶ συμπάτηθι ἐν ἀχύροις· κατακράτησον ὑπὲρ πλίν-
θον. ἐκεῖ γοῦν καταφάγεταί σε ὡς ἀκρίς. καὶ βαρυνθήσῃ ὡς βροῦ-
χος· ἐπλήθυνας τὰς ἐμπορίας σου ὑπὲρ πάντα τὰ ἄστρα τοῦ
οὐρανοῦ. βροῦχος ὥρμησε καὶ ἐξεπετάσθη· ἐξήλατο ὡς ἀττέλα-
βος, ὁ σύμμικτός σου· ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡ-
μέρᾳ πάγους. ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο καὶ οὐκ ἔγνω τὸν τό-
πον αὐτῆς. οὐαὶ αὐτοῖς· ἐνύσταξαν οἱ ποιμένες σου βασιλεὺς ἀσ-
συρίων ἐκοίμισε τοὺς δυνάστας σου· ἀπῆρεν ὁ λαός σου ἐπὶ
τὰ ὄρη καὶ οὐκ ἦν ὁ ἐκδεχόμενος. οὐκ ἔστιν ἴασις τῇ
συντριβῇ σου· ἐφλέγμανεν ἡ πληγή σου. πάν-
τες οἱ ἀκούοντες τὴν ἀγγελίαν σου,
κροτήσουσι χεῖρας ἐπὶ σέ. διότι
ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ κα-
κία σου, διαπαν-
τός.

Τέλος ναούμ.

# ΑΒΒΑΚΟΥΜ.

Κεφάλαιον. α. 1.

Τὸ λῆμμα ὃ εἶδεν ἀββακοὺμ ὁ προφήτης, ἕως τίνος κύριε κεκράξομαι. καὶ οὐ μὴ εἰσακούσῃ. ἵνα τί ἔδειξάς μοι πόνους καὶ κόπους ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν. ἐξεναντίας μου γέγονε κρίσις καὶ ὁ κριτὴς λαμβάνει κρίσιν. διὰ τοῦτο διεσκέδασαι νόμος. καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα διεστραμμένον. ἴδετε οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε. καὶ θαυμάσατε θαυμάσια, καὶ ἀφανίσθητε. διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν. ὃ οὐ μὴ πιστεύσητε. ἐάν τις ἐκδιηγῆται. διότι ἰδοὺ ἐγὼ ἐξεγείρω τοὺς χαλδαίους. τὸ ἔθνος τὸ πικρὸν, καὶ τὸ ταχινόν. τὸ πορευόμενον ἐπὶ τὰ πλάτη τῆς γῆς. τοῦ κατακληρονομῆσαι σκηνώματα, οὐκ αὐτοῦ φοβερὸς καὶ ἐπιφανής ἐστιν. ἐξ αὐτοῦ τὸ κρίμα αὐτοῦ ἔσται. καὶ τὸ λῆμμα αὐτοῦ ἐξ αὐτῶν ἐξελεύσεται, καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις. οἱ ἵπποι αὐτοῦ. καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς ἀραβίας. καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ. καὶ ὁρμήσουσι μακρόθεν. καὶ πετασθήσονται, ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν. συντέλεια εἰς ἀσεβεῖς ἥξει. ἀνθεστηκότας προσώποις αὐτῶν ἐξεναντίας. καὶ συνάξει ὡς ἄμμον αἰχμαλωσίαν, καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει. καὶ τύραννοι, παίγνια αὐτοῦ. καὶ αὐτὸς εἰς πᾶν ὀχύρωμα ἐμπαίξεται, καὶ βαλεῖ χῶμα. καὶ κρατήσει αὐτοῦ. τότε μεταβαλεῖ τὸ πνεῦμα, καὶ διελεύσεται, καὶ ἐξελεύσεται.

αὕτη ἡ ἰσχὺς τῷ θεῷ μου. οὐχὶ σὺ ἀπ' ἀρχῆς κύριος ὁ θεὸς ὁ ἅ-
γιός μου. καὶ οὐ μὴ ἀποθάνωμεν. κύριε εἰς κρίμα τέταχας αὐ-
τόν. καὶ ἔπλασέ με τοῦ ἐλέγχειν παιδείαν αὐτοῦ. καθαρὸς ὀ-
φθαλμὸς τοῦ μὴ ὁρᾷν πονηρά. καὶ ἐπιβλέπειν ἐπὶ πονηροὺς οὐ
δυνήσῃ. ἵνα τί ἐπιβλέπεις ἐπὶ καταφρονοῦντας. παρασιωπή-
σῃ ἐν τῷ καταπίνειν ἀσεβῆ τὸν δίκαιον, καὶ ποιήσεις τοὺς ἀν-
θρώπους, ὡς τοὺς ἰχθύας τῆς θαλάσσης. καὶ ὡς τὰ ἑρπετά, οὐκ
ἔχοντα ἡγούμενον, συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε. καὶ εἵλ-
κυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ. καὶ συνήγαγεν αὐτὸν ἐν ταῖς σα-
γήναις αὐτοῦ. ἕνεκεν τούτου, εὐφρανθήσεται, καὶ χαρήσεται
ἡ καρδία αὐτοῦ. ἕνεκεν τούτου, θύσει τῇ σαγήνῃ αὐτοῦ, καὶ θυμι-
άσει τῷ ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανε μερίδα
αὐτοῦ. Καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά. διὰ τοῦτο ἀμφιβαλεῖ
ἀμφίβληστρον αὐτοῦ. καὶ διαπαντὸς ἀποκτείνειν ἔθνη οὐ φείσεται.

Κεφαλ. β. 2.

Ἐπὶ τῆς φυλακῆς μου στήσομαι. καὶ ἐπιβήσομαι ἐπὶ πέ-
τραν, καὶ ἀποσκοπεύσω τοῦ ἰδεῖν τί λαλήσει ἐν ἐμοί.
καὶ τί ἀποκριθῶ ἐπὶ τὸν ἔλεγχόν μου. καὶ ἀπεκρίθη
πρός με κύριος, καὶ εἶπε. γράψον. ὅρασιν καὶ σαφῶς εἰς πυ-
ξίον. ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτά. διότι ἔτι ὅρασις εἰς
καιρόν. καὶ ἀνατελεῖ εἰς πέρας, καὶ οὐκ εἰς κενόν. ἐὰν ὑστερήσῃ
ὑπόμεινον αὐτόν. ὅτι ἐρχόμενος ἥξει. καὶ οὐ μὴ χρονίσῃ. ἐὰν
ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου, ἐν αὐτῷ. ὁ δὲ δίκαιός
μου ἐκ πίστεως ζήσεται. ὁ δὲ κατοιόμενος, καὶ καταφρονητὴς
ἀνὴρ ἀλαζών. οὐδὲν μὴ περάνῃ. ὃς ἐπλάτυνε καθὼς ᾅδης
τὴν ψυχὴν αὐτοῦ. καὶ οὗτος ὁ θάνατος οὐκ ἐμπιπλάμενος.
καὶ ἐπισυνάξει ἐπ' αὐτὸν πάντα τὰ ἔθνη καὶ εἰσδέξεται πρὸς
αὐτὸν πάντας τοὺς λαούς. οὐχὶ ταῦτα πάντα κατ' αὐτοῦ παρα-
βολὴν λήψονται. καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ, καὶ ἐροῦ-
σιν, οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ ὄντα αὐτῷ, ἕως πότε. καὶ

βαρύνων τὸν κλοιὸν αὐτοῦ στιβαρῶς. ὅτι ἐξαίφνης ἀναστήσον-
ται δάκνοντες αὐτόν. καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου. καὶ
ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς. διότι σὺ ἐσκύλευσας ἔθνη πολ-
λά. σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμένοι λαοῦ. δι' αἵ-
ματα ἀνθρώπων. καὶ ἀσεβείας γῆς, καὶ πόλεως, καὶ πάντων
τῶν κατοικούντων αὐτήν. ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κα-
κὴν τῷ οἴκῳ αὐτοῦ τοῦ τάξαι εἰς ὕψος νοσσιὰν αὐτοῦ. τοῦ σκε-
πασθῆναι ἐκ χειρὸς κακῶν. ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου.
συνεπέρανας πολλοὺς λαούς, καὶ ἐξήμαρτεν ἡ ψυχή σου. διό-
τι λίθος ἐκ τοίχου βοήσεται. καὶ κάνθαρος ἐκ ξύλου φθέγξε-
ται αὐτά. οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵματι, καὶ ἑτοιμά-
ζων πόλιν ἐν ἀδικίαις. οὐ ταῦτά ἐστι παρὰ κυρίου παντοκρά-
τορος, καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν πυρί. καὶ ἔθνη πολλὰ ὠ-
λιγοψύχησαν. ὅτι πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν κυ-
ρίου. ὡς ὕδωρ πολὺ κατακαλύψαι ἐπὶ θαλάσσης. ὦ ὁ ποτίζων
τὸν πλησίον αὐτοῦ ἀνατροπὴν θολεράν. καὶ μεθύσκων ὅ-
πως ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν. πλησμονὴν ἀτιμίας
ἐκ δόξης πίε καὶ σύ. καὶ διασαλεύθητι, καὶ σείσθητι. ἐκύκλω-
σεν ἐπὶ σὲ ποτήριον δεξιᾶς κυρίου, καὶ συνήχθη ἀτιμία ἐπὶ
τὴν δόξαν σου. διότι ἀσέβεια τοῦ λιβάνου καλύψει σε, καὶ τα-
λαιπωρία θηρίων πτοήσει σε. δι' αἵματα ἀνθρώπων, καὶ ἀσε-
βείας γῆς, καὶ πόλεως. καὶ πάντων τῶν κατοικούντων ἐν αὐ-
τῇ. τί ὠφελεῖ γλυπτόν, ὅτι ἔγλυψαν αὐτό. ἔπλασαν αὐτὸ χώ-
νευμα φαντασίαν ψευδῆ. ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλά-
σμα αὐτοῦ. τοῦ ποιῆσαι εἴδωλα κωφά. οὐαὶ ὁ λέγων τῷ ξύ-
λῳ ἔκνηψον ἐξεγέρθητι τῷ λίθῳ. ὑψώθητι, καὶ αὐτό ἐστι φαντα-
σία. τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου, καὶ ἀργυρίου, καὶ πᾶν
πνεῦμα οὐκ ἔστιν αὐτῷ. ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ. εὐ-
λαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

# ΑΒΒΑΚΟΥΜ.

## ΠΡΟΣΕΥΧΗ ΑΒΒΑΚΟΥΜ ΤΟΥ ΠΡΟΦΗΤΟΥ ΜΕΤ' ΩΔΗΣ.

Κεφάλαιον. γ. 3.

ύριε εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Κύριε κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ. Ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ θεὸς ἀπὸ θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται. κέρατα ἐν χερσὶν αὐτοῦ. καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος. καὶ ἐξελεύσεται εἰς παιδείαν, κατὰ πόδας αὐτοῦ. ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ. ἐπέβλεψε, καὶ ἐτάκη ἔθνη. Διεθρύβη τὰ ὄρη βίᾳ, ἐτάκησαν βουνοὶ αἰώνιοι. Πορείας αἰωνίους αὐτοῦ ἀντὶ κόπων εἶδον. σκηνώματα αἰθιόπων πτοηθήσονται. καὶ σκηναὶ γῆς μαδιάμ. μὴ ἐν ποταμοῖς ὠργίσθης κύριε, ἢ ἐν ποταμοῖς ὁ θυμός σου, ἢ ἐν θαλάσσῃ τὸ ὅρμημά σου. ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου, καὶ ἡ ἱππασία σου σωτηρία. Ἐντείνων ἐντενεῖς τὸ τόξον σου, ἐπὶ σκῆπτρα λέγει κύριος. ποταμῶν ῥαγήσεται γῆ. ὄψονταί σε, καὶ ὠδινήσουσι λαοί. σκορπίζων ὕδατα πορείας. ἔδωκεν ἡ ἄβυσσος φωνὴν αὐτῆς ὕψος φαντασίας αὐτῆς. ἐπήρθη ὁ ἥλιος. καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς. Εἰς φῶς βολίδες σου πορεύσονται. Εἰς φέγγος ἀστραπῆς ὅπλων σου. Ἐν ἀπειλῇ ὀλιγώσεις γῆν.

καὶ ἐν θυμῷ κατάξεις ἔθνη. ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου,
τοῦ σῶσαι τοὺς χριστούς σου. ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνα-
τον. ἐξήγειρας δεσμοὺς, ἕως τραχήλου εἰς τέλος. διέκο-
ψας ἐν ἐκστάσει, κεφαλὰς δυναστῶν. σεισθήσονται ἐν αὐτῇ
διανοίξουσι χαλινοὺς αὐτῶν, ὡς ὁ ἐσθίων πτωχὸς λάθρα.
καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου ταράσσοντας
ὕδατα πολλά. ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ καρδία μου, ἀπὸ
φωνῆς προσευχῆς χειλέων μου, καὶ εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ
μου. καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου. ἀναπαύ-
σομαι ἐν ἡμέρᾳ θλίψεώς μου, τοῦ ἀναβῆναί με, εἰς λαὸν πα-
ροικίας μου. διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ ἔσται γεννή-
ματα ἐν ταῖς ἀμπέλοις. ψεύσεται ἔργον ἐλαίας. καὶ τὰ πε-
δία οὐ ποιήσει βρῶσιν. ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα. καὶ
οὐχ ὑπάρξουσι βόες ἐπὶ φάτναις. ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀ-
γαλλιάσομαι, χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
κύριος ὁ θεός μου, δύναμίς μου, καὶ τάξει τοὺς
πόδας μου, εἰς συντέλειαν. καὶ ἐπὶ τὰ ὑψηλὰ
ἐπιβιβᾷ με τοῦ νικῆσαί με, ἐν τῇ ᾠδῇ
αὐτοῦ.

Τέλος Ἀββακούμ.

# ΣΟΦΟΝΙ΄ΑΣ ΠΡΟΦΗ΄ΤΟΥ.

## Κεφάλαιον. α. 1.

ΛΟ΄γος κυρίου, ὃς ἐγενήθη πρὸς σοφο-
νίαν τὸν τοῦ χουσὶ υἱὸν γοδολίου τοῦ ἀ-
μαρίου τοῦ ἐζεκίου, ἐν ἡμέραις ἰωσίου
υἱοῦ ἀμὼν βασιλέως ἰούδα. ἐκλείψει
ἐκλειπέτω πάντα ἀπὸ προσώπου τῆς
γῆς λέγει κύριος. ἐκλειπέτω ἄνθρω-
πος καὶ κτήνη. ἐκλειπέτω τὰ πετεινὰ
τοῦ οὐρανοῦ, καὶ οἱ ἰχθύες τῆς θαλάσσης, καὶ ἀσθενήσουσιν οἱ ἀσε-
βεῖς, καὶ ἐξαρῶ τοὺς ἀνόμους ἀπὸ προσώπου τῆς γῆς λέγει κύρι-
ος. καὶ ἐκτενῶ τὴν χεῖρά μου ἐπὶ ἰούδα, καὶ ἐπὶ πάντας τοὺς κα-
τοικοῦντας ἱερουσαλήμ. καὶ ἐξαρῶ ἐκ τοῦ τόπου τούτου τὰ ὀνόμα-
τα τῆς βααλ. καὶ τὰ ὀνόματα τῶν ἱερέων, μετὰ τῶν ἱερῶν. καὶ
τοὺς προσκυνοῦντας ἐπὶ τὰ δώματα τῇ στρατιᾷ τοῦ οὐρανοῦ. καὶ
τοὺς προσκυνοῦντας καὶ τοὺς ὀμνύοντας κατὰ τοῦ κυρίου καὶ τοὺς
ὀμνύοντας κατὰ τῆς βασιλείας αὐτοῦ, καὶ τοὺς ἐκκλίνοντας ἀπὸ
τοῦ κυρίου. καὶ τοὺς μὴ ζητοῦντας τὸν κύριον. καὶ τοὺς μὴ ἀντεχο-
μένους τοῦ κυρίου. εὐλαβεῖσθε ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ.
διότι ἐγγὺς ἡ ἡμέρα τοῦ κυρίου, ὅτι ἡτοίμασε κύριος τὴν θυ-
σίαν αὐτοῦ. καὶ ἡγίακε τοὺς κλητοὺς αὐτοῦ. καὶ ἔσται ἐν ἡμέρᾳ
θυσίας κυρίου, καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ τὸν οἶ-
κον τοῦ βασιλέως. καὶ ἐπὶ πάντας τοὺς ἐνδεδυμένους ἐνδύματα
ἀλλότρια. καὶ ἐκδικήσω ἐπὶ πάντας ἐμφανῶς ἐπὶ τὰ πρόπυ-
λα ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. τοὺς πληροῦντας τὸν οἶκον κυρίου ἀ-

ἀσεβείας, καὶ δόλου. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγει κύριος
φωνὴ κραυγῆς ἀπὸ πύλης ἀποκεντούντων. καὶ ὀλολυγμὸς ἀπὸ τῆς
δευτέρας. καὶ συντριμμὸς μέγας ἀπὸ τῶν βουνῶν. θρηνεῖτε οἱ
κατοικοῦντες τὴν οἰκουμένην. ὅτι ὡμοιώθη πᾶς ὁ λαὸς χανα-
άν. καὶ ἐξολοθρεύθησαν πάντες, οἱ ἐπηρμένοι ἀργυρίῳ, καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξερευνήσω τὴν ἱερουσαλὴμ μετὰ
λύχνου. καὶ ἐκδικήσω ἐπὶ τοὺς ἄνδρας τοὺς καταφρονοῦντας ἐπὶ
τὰ φυλάγματα αὐτῶν. καὶ οἱ λέγοντες ἐν ταῖς καρδίαις αὐ-
τῶν. οὐ μὴ ἀγαθοποιήσῃ κύριος. οὐδὲ μὴ κακώσῃ, καὶ ἔ-
σται ἡ δύναμις αὐτῶν εἰς διαρπαγήν. καὶ οἱ οἶκοι αὐτῶν εἰς ἀ-
φανισμόν. καὶ οἰκοδομήσουσιν οἰκίας, καὶ οὐ μὴ κατοικήσου-
σιν ἐν αὐταῖς. καὶ φυτεύσουσιν ἀμπελῶνας καὶ οὐ μὴ πίωσι
τὸν οἶνον αὐτῶν. ὅτι ἐγγὺς ἡ ἡμέρα κυρίου ἡ μεγάλη, καὶ ταχεῖα
σφόδρα. φωνὴ ἡμέρα κυρίου πικρά. καὶ σκληρὰ τέτακται. δυ-
νατὴ ἡ ἡμέρα ὀργῆς. ἡ ἡμέρα ἐκείνη. ἡ ἡμέρα θλίψεως, καὶ ἀνάγ-
κης. ἡμέρα ταλαιπωρίας, καὶ ἀφανισμοῦ. ἡμέρα γνόφου καὶ
σκότους. ἡμέρα νεφέλης. καὶ ὁμίχλης. ἡμέρα σάλπιγγος καὶ
κραυγῆς ἐπὶ τὰς πόλεις τὰς ὀχυρὰς, καὶ ἐπὶ τὰς γωνίας τὰς ὑψη-
λὰς, καὶ ἐκθλίψω τοὺς ἀνθρώπους. καὶ πορεύσονται ὡς τυφλοὶ.
ὅτι τῷ κυρίῳ ἐξήμαρτον. καὶ ἐκχεεῖ τὸ αἷμα αὐτῶν εἰς χοῦν. καὶ
τὰς σάρκας αὐτῶν, ὡς βόλβιτα. καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ
χρυσίον αὐτῶν. οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀρ-
γῆς κυρίου. καὶ ἐν πυρὶ ζήλου αὐτοῦ, καταναλωθήσεται πᾶσα
ἡ γῆ. διότι συντέλειαν, καὶ σπουδὴν ποιήσει ἐπὶ πάντας τοὺς
κατοικοῦντας τὴν γῆν.

## Κεφ. β. 2.

Υνάχθητε, καὶ συνδέθητε τὸ ἔθνος τὸ ἀπαίδευτον
πρὸ τοῦ γενέσθαι ὑμᾶς, ὡς ἄνθος παραπορευόμενον
ἡμέρᾳ, πρὸ τοῦ ἐλθεῖν ἐφ' ὑμᾶς, ὀργὴν κυρίου πρὸ
τοῦ ἐπελθεῖν ἐφ' ὑμᾶς ἡμέραν ὀργῆς θυμοῦ κυρίου. ζητήσατε

τὸν κύριον πάντες ταπεινοὶ γῆς κρίμα ἐργάζεσθε, καὶ δικαιο
σύνην ζητήσατε καὶ ἀποκρίνασθε αὐτὰ ὅπως σκεπασθῆτε ἐν
ἡμέρᾳ ὀργῆς κυρίου· διότι γάζα διηρπασμένη ἔσται, καὶ ἀ
σκάλων εἰς ἀφανισμόν· καὶ ἄζωτος μεσημβρίας ἐκριφήσε
ται, καὶ ἀκκαρὼν ἐκριζωθήσεται. οὐαὶ οἱ κατοικοῦντες τὸ σχοί
νισμα τῆς θαλάσσης· πάροικοι κρητῶν. λόγος κυρίου ἐφ' ὑ
μᾶς χαναὰν γῆ ἀλλοφύλων· καὶ ἀπολῶ ὑμᾶς ἐκ κατοικίας· καὶ
ἔσται κρήτη νομὴ ποιμνίων, καὶ μάνδρα προβάτων· καὶ ἔσται τὸ
σχοίνισμα τῆς θαλάσσης τοῖς καταλοίποις οἴκου ἰούδα· ἐπ'
αὐτοὺς νεμήσονται ἐν τοῖς οἴκοις ἀσκάλωνος· δείλης κατα
λύσουσιν ἀπὸ προσώπου υἱῶν ἰούδα· ὅτι ἐπέσκεπται αὐτοὺς
κύριος ὁ θεὸς αὐτοῦ· καὶ ἐπέστρεψε τὴν αἰχμαλωσίαν αὐτῶν·
ἤκουσα ὀνειδισμοὺς μωάβ· καὶ κονδυλισμοὺς υἱῶν ἀμμών· ἐν
οἷς ὠνείδιζον τὸν λαόν μου· καὶ ἐμεγαλύνοντο ἐπὶ τὰ ὅριά μου· διὰ
τοῦτο ζῶ ἐγὼ λέγει κύριος τῶν δυνάμεων ὁ θεὸς ἰσραήλ·
διότι μωὰβ ὡς σόδομα ἔσται καὶ υἱοὶ ἀμμών· ὡς γόμορρα,
καὶ δαμασκὸς ἐκλελειμμένη εἰς τὸν αἰῶνα· καὶ οἱ κατάλοιποι
λαοῦ μου διαρπῶνται αὐτούς, καὶ οἱ κατάλοιποι ἔθνους μου
κληρονομήσουσιν αὐτούς· αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν·
διότι ὠνείδισαν· καὶ ἐμεγαλύνθησαν, ἐπὶ κύριον τὸν παντοκράτο
ρα· ἐπιφανήσεται κύριος ἐπ' αὐτούς· ἐξολοθρεύσει πάντας
τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς· καὶ προσκυνήσει αὐτῷ ἕκαστος
ἐκ τοῦ τόπου αὐτοῦ πᾶσαι αἱ νῆσοι τῶν ἐθνῶν· καὶ ὑμεῖς αἰθίο
πες τραυματίαι ῥομφαίας μού ἐστε· καὶ ἐκτενῶ τὴν χεῖρά μου
ἐπὶ βορρᾶν, καὶ ἀπολῶ τὸν ἀσσύριον καὶ θήσω τὴν νινευὶ εἰς ἀφα
νισμὸν ἄνυδρον ὡς ἔρημον· καὶ νεμήσονται ἐν μέσῳ αὐτῆς ποί
μνια· καὶ πάντα τὰ θηρία τῆς γῆς, καὶ χαμαιλέοντες, καὶ ἐ
χῖνοι ἐν τοῖς φατνώμασιν αὐτῆς κοιτασθήσονται, καὶ θηρία φω
νήσει ἐν τοῖς διορύγμασιν αὐτῆς· καὶ κόρακες ἐν τοῖς πυλῶσιν
αὐτῆς· διότι κέδρος τὸ ἀνάστημα αὐτῆς·

## Κεφάλαιον. γ. 3.

ὦ Υτη ἡ πόλις ἡ φαυλίστρια, ἡ κατοικοῦσα ἐπ' ἐλπί-
ἀ δι. ἡ λέγουσα ἐν τῇ καρδίᾳ αὐτῆς. ἐγώ εἰμι. καὶ
οὐκ ἔστι μετ' ἐμοῦ ἔτι. πῶς ἐγενήθη εἰς ἀφανισμὸν
νομὴ θηρίων. πᾶς ὁ διαπορευόμενος δι' αὐτῆς συριεῖ. καὶ κι-
νήσει τὰς χεῖρας αὐτοῦ. ὢν ἐπιφανής. καὶ ἀπολελυτρωμένη
πόλις ἡ περιστερὰ οὐκ εἰσήκουσε φωνῆς ου. οὐκ ἐδέξατο παιδεί-
αν ἐπὶ τῷ κυρίῳ οὐκ ἐπεποίθει. καὶ πρὸς τὸν θεὸν αὐτῆς οὐκ
ἤγγισεν. οἱ ἄρχοντες ἐν αὐτῇ ὡς λέοντες ὠρυόμενοι. οἱ κρι-
ταὶ αὐτῆς, ὡς λύκοι τῆς ἀραβίας. οὐχ ὑπελείποντο εἰς τὸ πρωΐ.
οἱ προφῆται αὐτῆς πνευματοφόροι ἄνδρες καταφρονηταί. ἱε-
ρεῖς αὐτῆς βεβηλοῦσι τὰ ἅγια. καὶ ἀσεβοῦσιν εἰς τὸν νό-
μον. ὁ δὲ κύριος, δίκαιος ἐν μέσῳ αὐτῆς, καὶ οὐ μὴ ποιή-
σῃ ἄδικον. πρωῒ πρωῒ δώσει κρῖμα αὐτοῦ εἰς φῶς, καὶ οὐκ ἀ-
πεκρύβη, καὶ οὐκ ἔγνω ἀδικίαν. ἐν ἀπαιτήσει. καὶ οὐκ εἰς
νεῖκος ἀδικίαν. κατέσπασα ὑπερηφάνους. ἠφανίσθησαν γω-
νίαι αὐτῶν. ἐξερήμωσαν τὰς ὁδοὺς αὐτῶν τὸ παράπαν. τοῦ
μὴ διοδεύειν. ἐξέλιπον αἱ πόλεις αὐτῶν, διὰ τὸ μηδένα
ὑπάρχειν. μηδὲ κατοικεῖν εἶπα. πλὴν φοβεῖσθέ με, καὶ δέξασ-
θε παιδείαν. καὶ οὐ μὴ ἐξολοθρευθῆ. ἐξ ὀφθαλμῶν αὐτῆς.
πάντα ὅσα ἐξεδίκησα ἐπ' αὐτήν. ἑτοιμάζου ὄρθριζε. διέ-
φθαρται πᾶσα ἡ ἐπιφυλλὶς αὐτῶν. διὰ τοῦτο ὑπόμεινόν με. λέ-
γει κύριος, εἰς ἡμέραν ἀναστάσεώς μου. εἰς μαρτύριον. διότι
τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν τοῦ εἰσδέξασθαι βασιλεῖς
τοῦ ἐκχέαι ἐπ' αὐτοὺς τὴν ὀργήν μου πᾶσαν. ὀργὴν θυμοῦ.
διότι ἐν πυρὶ ζήλου μου, καταναλωθήσεται πᾶσα ἡ γῆ, ὅτι
τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς. τοῦ ἐπι-
καλεῖσθαι πάντας τὸ ὄνομα κυρίου, τοῦ δουλεύειν αὐτῷ. ὑπὸ ζυ-
γὸν ἕνα ἐκ περάτων ποταμῶν αἰθιοπίας προσδέξομαι. ἐν διε-
σπαρμένοις οἴσουσι θυσίας μοι. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ

καταισχυνθῆς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου ὧν ἠσέβησας
εἰς ἐμέ. ὅτι τότε περιελῶ ἀπὸ σοῦ, τὰ φαυλίσματα τῆς ὕβρεώς
σου. καὶ οὐκ ἔτι μὴ προσθῆς τοῦ μεγαλαυχῆσαι, ἐπὶ τὸ ὄρος τὸ ἅ-
γιόν μου. καὶ ὑπολήψομαι ἐν σοὶ λαὸν πολὺν, καὶ ταπεινόν. καὶ
εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος κυρίου οἱ κατάλοιποι τοῦ ἰσ-
ραήλ. καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσιν μάταια, καὶ
οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν, γλῶσσα δολία. διότι αὐτοὶ
νεμήσονται, καὶ κοιτασθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς.
Χαῖρε σφόδρα θύγατερ σιών. κήρυσσε θύγατερ ἱερουσαλήμ.
εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ
ἱερουσαλήμ. περιεῖλε κύριος τὰ ἀδικήματά σου. λελύτρωταί σε
ἐκ χειρὸς ἐχθρῶν σου. βασιλεὺς ἰσραὴλ κύριος ἐν μέσῳ σου.
οὐκ ὄψεσαι κακὰ, οὐκ ἔτι. ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ κύριος τῇ ἱε-
ρουσαλήμ. θάρσει σιὼν μὴ παρείσθωσαν αἱ χεῖρές σου. κύριος ὁ
θεὸς ἐν σοὶ δυνατὸς σώσει σε. ἐπάξει ἐπί σε εὐφροσύνην. καὶ και-
νιεῖ ἐν τῇ ἀγαπήσει αὐτοῦ. καὶ εὐφρανθήσεται ἐπὶ σοὶ ἐν τέρ-
ψει ἐν ἡμέρᾳ ἑορτῆς, καὶ συνάξω τοὺς συντετριμμένους σου. οὐαὶ
τὶς ἔλαβεν ἐπ᾽ αὐτὴν ὀνειδισμόν. ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ ἕνεκεν
σου, ἐν τῷ καιρῷ ἐκείνῳ λέγει κύριος. καὶ σώσω τὴν ἐκπεπι-
εσμένην καὶ τὴν ἀπωσμένην εἰσδέξομαι. καὶ θήσομαι αὐτοὺς
εἰς καύχημα καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. καὶ οὐ μὴ καταισχυνθή-
σονται ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν καλῶς ὑμῖν ποιήσω. καὶ
ἐν τῷ καιρῷ ἐκείνῳ ὅταν εἰσδέξωμαι ὑμᾶς, διότι δώ-
σω ὑμᾶς ὀνομαστούς. καὶ εἰς καύχημα ἐν πᾶσι
τοῖς λαοῖς τῆς γῆς. ἐν τῷ ἐπιστρέφειν
με ἐνώπιον ὑμῶν λέγει κύρι-
ος τὴν αἰχμαλωσίαν
ὑμῶν.

Τέλος σοφονίας.

# ΑΓΓΑΙΟΣ.

Κεφάλαιον. α. ι.

ΕΝ τῷ δευτέρῳ ἔτει ἐπὶ δαρείου βασιλέως ἐν τῷ μηνὶ τῷ ἕκτῳ μιᾷ τοῦ μηνὸς ἐγένετο λόγος κυρίου ἐν χειρὶ ἀγγαίου τοῦ προφήτου λέγων. εἶπον πρὸς ζοροβάβελ τὸν τοῦ σαλαθιὴλ ἐκ φυλῆς ἰούδα καὶ πρὸς ἰησοῦν τὸν τοῦ ἰωσεδέκ. τὸν ἱερέα τὸν μέγαν. λέγων. τάδε λέγει κύριος παντοκράτωρ λέγων. ὁ λαὸς οὗτος λέγουσιν. οὐχ ἥκει ὁ καιρὸς τοῦ οἰκοδομῆσαι τὸν οἶκον κυρίου. καὶ ἐγένετο λόγος κυρίου ἐν χειρὶ ἀγγαίου τοῦ προφήτου λέγων. εἰ καιρὸς ὑμῖν μέν ἐστι τοῦ οἰκοδομεῖν. ἐν οἴκοις ὑμῶν κοιλοστάθμοις. ὁ δὲ οἶκος μου οὗτος ἐξερήμωται. καὶ νῦν τάδε λέγει κύριος παντοκράτωρ τάξατε καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν ἐσπείρατε πολλὰ, καὶ εἰσηνέγκατε ὀλίγα. ἐφάγετε, καὶ οὐκ εἰς πλησμονήν. ἐπίετε, καὶ οὐκ εἰς μέθην. περιεβάλεσθε καὶ οὐκ ἐθερμάνθητε ἐν αὐτοῖς. καὶ ὁ τοὺς μισθοὺς συνάγων, συνήγαγεν εἰς ἀποδεσμὸν τετρυπημένον. τάδε λέγει κύριος παντοκράτωρ. θέσθε τὰς καρδίας ὑμῶν εἰς τὰς ὁδοὺς ὑμῶν. ἀνάβητε ἐπὶ τὸ ὄρος καὶ κόψατε ξύλα. καὶ οἴσετε. καὶ οἰκοδομήσετε τὸν οἶκον. καὶ εὐδοκήσω ἐν αὐτῷ καὶ ἐνδοξασθήσομαι, εἶπε κύριος. ἐπιβλέψατε εἰς πολλὰ. καὶ ἐγένετο ὀλίγα. καὶ εἰσηνέχθη εἰς τὸν οἶκον, καὶ ἐξεφύσησα αὐτά. διὰ τοῦτο τάδε λέγει κύριος παντοκράτωρ ἀνθ' ὧν ὁ οἶκος μου ἐστὶν ἔρημος. ὑμᾶς δὲ διώκετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ. διὰ τοῦτο ἀνέξει ὁ οὐρανὸς ἀπὸ δρό-

σοῦ. καὶ ἡ γῆ ὑποτελεῖται δοῦναι τὰ ἐκφόρια αὐτῆς, καὶ ἐπά-
ξω ῥομφαίαν ἐπὶ τὴν γῆν. καὶ ἐπὶ τὰ ὄρη, καὶ ἐπὶ τὸν σῖτον.
καὶ ἐπὶ τὸν οἶνον. καὶ ἐπὶ τὸ ἔλαιον. καὶ ὅσα ἐκφέρει ἡ γῆ. καὶ ἐπὶ
τοὺς ἀνθρώπους. καὶ ἐπὶ τὰ κτήνη. καὶ ἐπὶ πάντας τοὺς πόνους
τῶν χειρῶν αὐτῶν. Καὶ ἤκουσε ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ ἐκ
κεφαλῆς ἰούδα. καὶ ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ ἱερεὺς ὁ μέγας. καὶ
πάντες οἱ κατάλοιποι τοῦ λαοῦ. τῆς φωνῆς κυρίου τοῦ θεοῦ αὐ-
τῶν. καὶ τῶν λόγων τοῦ ἀγγαίου τοῦ προφήτου. καθότι ἐξαπέστει-
λεν αὐτὸν κύριος ὁ θεὸς αὐτῶν. πρὸς αὐτούς. καὶ ἐφοβήθη ὁ λα-
ὸς ἀπὸ προσώπου κυρίου. καὶ εἶπεν ἀγγαῖος. ὁ ἄγγελος κυρίου,
ἐν ἀγγέλοις κυρίου τῷ λαῷ. ἐγὼ εἰμὶ μεθ᾽ ὑμῶν λέγει κύριος.
καὶ ἐξήγειρε κύριος τὸ πνεῦμα ζοροβάβελ τοῦ σαλαθιήλ, ἐκ φυ-
λῆς ἰούδα, καὶ τὸ πνεῦμα ἰησοῦ τοῦ ἰωσεδὲκ τοῦ ἱερέως τοῦ με-
γάλου, καὶ τὸ πνεῦμα τῶν καταλοίπων τοῦ λαοῦ. καὶ εἰσῆλθον,
καὶ ἐποίουν ἔργα ἐν τῷ οἴκῳ κυρίου παντοκράτορος θεοῦ
αὐτῶν.

Κεφ. β. 2.

Η τετράδι καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἕκτου τῷ δευτέ-
7 ρῳ ἔτει ἐπὶ δαρείου τοῦ βασιλέως. τῷ ἑβδόμῳ μη-
νὶ μιᾷ, καὶ εἰκάδι τοῦ μηνὸς καὶ ἐλάλησε κύριος
ἐν χειρὶ ἀγγαίου τοῦ προφήτου. λέγων. εἶπον δὴ πρὸς ζοροβάβελ
τὸν τοῦ σαλαθιήλ. ἐκ φυλῆς ἰούδα. καὶ πρὸς ἰησοῦν τοῦ ἰωσεδὲκ
τὸν ἱερέα τὸν μέγαν, καὶ πρὸς πάντας τοὺς καταλοίπους τοῦ λαοῦ
λέγων. τίς ἐξ ὑμῶν ὃς εἶδε τὸν οἶκον τοῦτον ἐν τῇ δόξῃ αὐτοῦ, τῇ
ἔμπροσθεν. καὶ πῶς ὑμεῖς βλέπετε αὐτὸν νῦν. καθὼς ὑπάρχοντα
ἐνώπιον ὑμῶν, καὶ νῦν κατίσχυε ζοροβάβελ λέγει κύριος. καὶ
κατίσχυε ἰησοῦ, ὁ τοῦ ἰωσεδὲκ ὁ ἱερεὺς ὁ μέγας. καὶ κατισχυέ-
τω πᾶς ὁ λαὸς τῆς γῆς λέγει κύριος. καὶ ποιεῖτε. διότι ἐγὼ
μεθ᾽ ὑμῶν εἰμὶ λέγει κύριος παντοκράτωρ. τὸν λόγον ὃν διεθέ-
μην ὑμῖν ἐν τῷ ἐξελθεῖν ὑμᾶς ἀπὸ αἰγύπτου, καὶ τὸ πνεῦμά μου

ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. θαρσεῖτε, διότι τάδε λέγει κύριος
παντοκράτωρ. ἔτι ἅπαξ ἐγὼ σείσω τὸν οὐρανὸν, καὶ τὴν γῆν. καὶ
τὴν θάλασσαν, καὶ τὴν ξηράν. καὶ συσσείσω πάντα τὰ ἔθνη.
καὶ ἥξει τὰ ἐκλεκτὰ πάντων τῶν ἐθνῶν. καὶ πληρώσω τὸν οἶ-
κον τῆς δόξης, λέγει κύριος παντοκράτωρ. ἐμὸν τὸ ἀργύριον, καὶ
ἐμὸν τὸ χρυσίον λέγει κύριος παντοκράτωρ. διότι μεγάλη ἔσται
ἡ δόξα τοῦ οἴκου τούτου. ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην λέγει κύρι-
ος παντοκράτωρ. καὶ ἐν τῷ τόπῳ τούτῳ δώσω εἰρήνην λέγει
κύριος παντοκράτωρ. καὶ εἰρήνην ψυχῆς εἰς περιποίησιν παν-
τὶ τῷ κτίζοντι τοῦ ἀναστῆσαι τὸν λαὸν τοῦτον. τετράδι καὶ εἰκάδι
τοῦ ἐννάτου μηνός. ἔτους δευτέρου ἐπὶ δαρείου, ἐγένετο λόγος κυρίου
πρὸς ἀγγαῖον τὸν προφήτην λέγων. τάδε λέγει κύριος παντο-
κράτωρ. ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον. λέγων. ἐὰν λάβῃ ἄν-
θρωπος κρέας ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ. καὶ ἅψεται
τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ ἑψήματος, ἢ οἴνου, ἢ ἐλαίου ἢ
παντὸς βρώματος, εἰ ἁγιασθήσεται, καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ
εἶπον οὔ. καὶ εἶπεν ἀγγαῖος. ἐὰν ἅψηται μεμιασμένος ἐπὶ ψυ-
χῇ ἀπὸ παντὸς τούτων εἰ μιανθήσεται; καὶ ἀπεκρίθησαν καὶ
εἶπον μιανθήσεται, καὶ ἀπεκρίθη ἀγγαῖος. καὶ εἶπεν οὕτως ὁ
λαὸς οὗτος καὶ οὕτως τὸ ἔθνος τοῦτο ἐνώπιον ἐμοῦ λέγει κύριος, καὶ
οὕτως πάντα τὰ ἔργα τῶν χειρῶν αὐτῶν. καὶ ὃς ἂν ἐγγίσῃ ἐκεῖ
μιανθήσεται. ἕνεκεν τῶν λημμάτων αὐτῶν, καὶ τῶν ὀρθρινῶν
ὀδυνηθήσονται ἀπὸ προσώπου πονηριῶν αὐτῶν. καὶ ἐμισεῖ-
τε ἐν πύλαις ἐλέγχοντα. καὶ νῦν θέσθε δὴ ἐπὶ τὰς καρδίας ὑμῶν
ἀπὸ τῆς ἡμέρας ταύτης καὶ ὑπεράνω πρὸ τοῦ θεῖναι λίθον ἐπὶ
λίθον ἐν τῷ ναῷ κυρίου. τίνες ἦτε. ὅτε ἐνεβάλετε εἰς κυψέλην
εἴκοσι σάτα. καὶ ἐγένετο δέκα σάτα κριθῆς, καὶ εἰσεπορεύεσθε
εἰς τὸ ὑπολήνιον. ἐξαντλῆσαι πεντήκοντα μετρητάς. καὶ ἐγέ-
νετο εἴκοσι. ἐπάταξα ὑμᾶς ἐν ἀφορίᾳ, καὶ ἐν ἀνεμο-
φθορίᾳ. καὶ ἐν χαλάζῃ πάντα τὰ ἔργα τῶν χειρῶν ὑ-

μῶν, καὶ οὐκ ἐπιστρέψατε πρός με λέγει κύριος. καὶ νῦν ὑπο-
τάξατε δὴ τὰς καρδίας ὑμῶν ἀπὸ τῆς ἡμέρας ταύτης,
καὶ ἐπέκεινα. ἀπὸ τῆς τετράδος, καὶ εἰκάδος τοῦ ἐννάτου μηνός.
καὶ ἀπὸ τῆς ἡμέρας ἧς τεθεμελίωται ὁ ναὸς κυρίου. θέσθε ἐν ταῖς
καρδίαις ὑμῶν, εἰ ἔτι ἐπιγνωσθήσεται, ἐπὶ τῆς ἅλω. καὶ εἰ ἔτι ἡ
ἄμπελος, καὶ ἡ συκῆ. καὶ ἡ ῥόα. καὶ τὰ ξύλα τῆς ἐλαίας τὰ οὐ
φέροντα καρπὸν ἀπὸ τῆς ἡμέρας ταύτης εὐλογήσω. καὶ ἐγέ-
νετο λόγος κυρίου ἐκ δευτέρου πρὸς ἀγγαῖον τὸν προφήτην. τε-
τράδι, καὶ εἰκάδι τοῦ μηνὸς λέγων. εἰπὸν πρὸς ζοροβάβελ τὸν
τοῦ σαλαθιὴλ, ἐκ φυλῆς ἰούδα λέγων. ἐγὼ σείω τὸν οὐρανὸν, καὶ
τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ τὴν ξηράν, καὶ καταστρέψω
θρόνους βασιλέων. καὶ ὀλοθρεύσω δύναμιν βασιλέων τῶν
ἐθνῶν. καὶ καταστρέψω ἅρματα, καὶ ἀναβάτας. καὶ καταβή-
σονται ἵπποι, καὶ ἀναβάται αὐτῶν. ἕκαστος ἐν ῥομφαίᾳ πρὸς
τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. λέγει κύριος
παντοκράτωρ λήψομαι ζοροβάβελ τὸν τοῦ σαλαθι-
ὴλ, τὸν δοῦλόν μου λέγει κύριος. καὶ θήσο-
μαί σε ὡς σφραγίδα. διότι σε ᾑρέ-
τισα λέγει κύριος παν-
τοκράτωρ.

Τέλος ἀγγαίου.

# ΖΑΧΑΡΙΑΣ.

Κεφάλαιον. α. ι.

Ν τῷ ὀγδόῳ μηνὶ ἔτους δευτέρου τοῦ
δαρείου. ἐγένετο λόγος κυρίου πρὸς ζα
χαρίαν τὸν τοῦ βαραχίου υἱὸν ἀδδὼ
τὸν προφήτην. λέγων ὠργίσθη κύριος
ἐπὶ τοὺς πατέρας ὑμῶν ὀργὴν μεγά
λην. καὶ ἐρεῖς πρὸς αὐτούς. τάδε λέγει
κύριος παντοκράτωρ ἐπιστρέψατε πρός
με λέγει κύριος τῶν δυνάμεων καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς
λέγει κύριος τῶν δυνάμεων. καὶ μὴ γίνεσθε καθὼς οἱ πατέρες
ὑμῶν. οἷς ἐνεκάλεσαν αὐτοὺς οἱ προφῆται ἔμπροσθεν λέγοντες.
τάδε λέγει κύριος παντοκράτωρ. ἀποστρέψατε ἀπὸ τῶν ὁδῶν
ὑμῶν τῶν πονηρῶν. καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ὑμῶν τῶν πο
νηρῶν καὶ οὐκ εἰσήκουσαν. καὶ οὐ προσέσχον τοῦ εἰσακοῦσαί μου
λέγει κύριος. οἱ πατέρες ὑμῶν ποῦ εἰσί, καὶ οἱ προφῆται. μὴ
τὸν αἰῶνα ζήσονται; πλὴν τοὺς λόγους μου καὶ τὰ νόμιμά μου δέ
χεσθε. ὅσα ἐγὼ ἐντέλλομαι ἐν πνί μου τοῖς δούλοις μου τοῖς προ
φύταις. οἳ κατελάβοσαν τοὺς πατέρας ὑμῶν καὶ ἀπεκρίθησαν
καὶ εἶπον. καθὼς παρατέτακται κύριος παντοκράτωρ τοῦ ποιῆ
σαι ὑμῖν κατὰ τὰς ὁδοὺς ἡμῶν καὶ κατὰ τὰ ἐπιτηδεύματα ἡ
μῶν, οὕτως ἐποίησεν ἡμῖν. τῇ τετράδι καὶ εἰκάδι. τῷ ἑνδε
κάτῳ μηνὶ, οὗτός ἐστιν ὁ μὴν σαβάτ. ἐν τῷ δευτέρῳ ἔτει τοῦ δα
ρείου. ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν τὸν τοῦ βαραχίου υἱὸν
ἀδδὼ τὸν προφήτην λέγων. ἑώρακα τὴν νύκτα καὶ ἰδοὺ ἀνὴρ

ἐπιβεβηκὼς ἵππον πυῤῥὸν· καὶ οὗτος εἱστήκει ἀνὰ μέσον δύο τῶν
ὀρέων, τῶν κατασκίων, καὶ ὀπίσω αὐτοῦ ἵπποι πυῤῥοὶ· καὶ ψα-
ροὶ, καὶ ποικίλοι· καὶ λευκοί· καὶ εἶπα τί οὗτοι κύριε. καὶ εἶπε
πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. ἐγὼ δείξω σοι τί ἐστι ταῦ-
τα· καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ ἐφεστηκὼς ἀνὰ μέσον τῶν ὀρέων καὶ
εἶπε πρός με οὗτοί εἰσιν οὓς ἐξαπέστειλε κύριος, περιοδεῦσαι πᾶ-
σαν τὴν γῆν· καὶ ἀπεκρίθησαν τῷ ἀγγέλῳ κυρίου τῷ ἐφεστῶ-
τι ἀνὰ μέσον τῶν ὀρέων· καὶ εἶπον. περιωδεύσαμεν πᾶσαν τὴν
γῆν· καὶ ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται· καὶ ἡσυχάζει. καὶ ἀπε-
κρίθη ὁ ἄγγελος κυρίου καὶ εἶπε· κύριε παντοκράτωρ ἕως τίνος οὐ
μὴ ἐλεήσῃς τὴν ἱερουσαλήμ. καὶ τὰς πόλεις ἰούδα ἃς ὑπερεῖ-
δες τοῦτο ἑβδομηκοστὸν ἔτος. καὶ ἀπεκρίθη κύριος παντοκράτωρ
τῷ ἀγγέλῳ τῷ λαλοῦντι ἐν ἐμοί. ῥήματα καλὰ καὶ λόγους
παρακλητικούς· καὶ εἶπε πρός με ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί·
ἀνάκραγε λέγων· τάδε λέγει κύριος παντοκράτωρ. ἐζήλωκα
τὴν ἱερουσαλὴμ· καὶ τὴν σιών, ζῆλον μέγα, καὶ ὀργὴν μεγάλην
ἐγὼ ὀργίζομαι ἐπὶ τὰ ἔθνη, τὰ συνεπιτιθέμενα· ἀνθ' ὧν μὲν ἐγὼ
ὠργίσθην ὀλίγα αὐτοὶ δὲ συνεπέθεντο εἰς κακά· διὰ τοῦτο λέγει
κύριος· ἐπιστρέψω ἐπὶ ἱερουσαλήμ, ἐν οἰκτιρμῷ· καὶ ὁ οἶκός μου
ἀνοικοδομηθήσεται ἐν αὐτῇ· λέγει κύριος παντοκράτωρ καὶ μέ-
τρον ἐκταθήσεται ἐπὶ ἱερουσαλήμ. καὶ εἶπε πρός με, ὁ ἄγγελος
ὁ λαλῶν ἐν ἐμοί· ἔτι ἀνάκραγε λέγων· τάδε λέγει ὁ παντοκρά-
τωρ· ἔτι διαχυθήσονται πόλεις ἐν ἀγαθοῖς· καὶ ἐλεήσει κύριος
ἔτι τὴν σιών· καὶ αἱρετιεῖ τὴν ἱερουσαλήμ· καὶ ἦρα τοὺς ὀφθαλ-
μούς μου καὶ εἶδον, καὶ ἰδοὺ τέσαρα κέρατα. καὶ εἶπα πρὸς τὸν
ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί· τί ἐστι ταῦτα κύριε. καὶ εἶπε
πρός με· ταῦτα τὰ κέρατα τὰ διασκορπίσαντα τὸν ἰούδα· καὶ
τὸν ἰσραὴλ καὶ ἱερουσαλήμ· καὶ ἔδειξέ μοι κύριος τέσαρας τέ-
κτονας· καὶ εἶπα τί οὗτοι ἔρχονται ποιῆσαι. καὶ εἶπε ταῦτα τὰ
κέρατα τὰ διασκορπίσαντα, τὸν ἰούδαν καὶ τὸν ἰσραὴλ κατέα-

ξαν. καὶ οὐδεὶς αὐτῶν ἦρε κεφαλήν. καὶ ἐξήλθοσαν οὗτοι τοῦ ὀξῦναι
αὐτὰ εἰς χεῖρας αὐτῶν. τὰ τέσσαρα κέρατα τὰ ἔθνη τὰ ἐπαι-
ρόμενα. κέρας. ἐπὶ τὴν γῆν κυρίου, τοῦ διασκορπίσαι αὐτήν.

Κεφάλαιον. β. 2.

Καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον. καὶ ἰδοὺ ἀνὴρ
κ καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον γεωμετρικόν. καὶ εἶπα
πρὸς αὐτόν. ποῦ σὺ πορεύῃ; καὶ εἶπε πρός με. δι-
αμετρῆσαι τὴν ἱερουσαλήμ τοῦ ἰδεῖν πηλίκον τὸ πλάτος αὐτῆς
ἐστί. καὶ πηλίκον τὸ μῆκος. καὶ ἰδοὺ ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ
εἱστήκει. καὶ ἄγγελος ἕτερος ἐξεπορεύετο εἰς συνάντησιν αὐτοῦ
καὶ εἶπε πρὸς αὐτὸν λέγων. δράμε, καὶ λάλησον πρὸς τὸν νεα-
νίαν ἐκεῖνον. λέγων κατακάρπως κατοικηθήσεται ἱερουσαλὴμ.
ἀπὸ πλήθους ἀνθρώπων καὶ κτηνῶν ἐν μέσῳ αὐτῆς. καὶ ἐγὼ ἔσο-
μαι αὐτῇ λέγει κύριος, τεῖχος πυρὸς κυκλόθεν. καὶ εἰς δόξαν
ἔσομαι ἐν μέσῳ αὐτῆς. ὦ ὦ φεύγετε ἀπὸ τῆς βορρᾶ λέγει κύ-
ριος. διότι ἐκ τῶν τεσσάρων ἀνέμων τοῦ οὐρανοῦ συνάξω ὑμᾶς
λέγει κύριος. εἰς σιὼν ἀνασώζεσθε οἱ κατοικοῦντες θυγατέρα
βαβυλῶνος. διότι τάδε λέγει κύριος παντοκράτωρ. ὀπίσω δό-
ξης ἀπέσταλκέ με, ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς ὁ ἁπτό-
μενος ὑμῶν ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. διότι
ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ᾽ αὐτούς. καὶ ἔσονται σκῦλα
τοῖς δουλεύουσιν αὐτοῖς. καὶ γνώσεσθε. ὅτι κύριος παντοκράτωρ
ἀπέσταλκέ με. τέρπου καὶ εὐφραίνου θύγατερ σιών. διότι ἰδοὺ
ἔρχομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου λέγει κύριος. καὶ κα-
ταφεύξονται ἔθνη πολλά. ἐπὶ τὸν κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ
ἔσονται αὐτῷ εἰς λαὸν καὶ κατασκηνώσουσιν ἐν μέσῳ σου. καὶ
ἐπιγνώσῃ. ὅτι κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε. καὶ
κατακληρονομήσει κύριος τὸν ἰούδαν. καὶ τὴν μερίδα αὐτοῦ ἐπὶ
τὴν γῆν τὴν ἁγίαν. καὶ αἱρετιεῖ ἔτι τὴν ἱερουσαλήμ. εὐλαβείσθω,
πᾶσα σὰρξ ἀπὸ προσώπου κυρίου. διότι ἐξεγήγερται ἐκ νεφε-
λῶν ἁγίων αὐτοῦ.

Κεφάλαιον. γ. 3.

Αἰ ἔδειξε κύριος τὸν ἰησοῦν τὸν ἱερέα τὸν μέγαν
κ ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου· καὶ ὁ διά
βολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ· τοῦ ἀντικεῖσθαι αὐτῷ·
καὶ εἶπε κύριος πρὸς τὸν διάβολον ἐπιτιμήσαι κύριος ἐν σοὶ διά
βολε· καὶ ἐπιτιμήσαι κύριος ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν ἱερουσα
λήμ· οὐκ ἰδοὺ τοῦτο, ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ ἰησοῦς
ἦν ἐνδεδυμένος ἱμάτια ῥυπαρά· καὶ εἱστήκει πρὸ προσώπου
τοῦ ἀγγέλου· καὶ ἀπεκρίθη καὶ εἶπε πρὸς τοὺς ἑστηκότας πρὸ προ
σώπου αὐτοῦ· λέγων ἀφέλετε τὰ ἱμάτια τὰ ῥυπαρὰ ἀπ' αὐτοῦ·
καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ ἀφῄρηκα ἀπὸ σοῦ τὰς ἀνομίας σου·
καὶ τὰς ἁμαρτίας σου περικαθαριῶ· καὶ ἐνδύσατε αὐτὸν πο
δήρη· καὶ ἐπίθετε μίτραν· καὶ κίδαριν καθαρὰν· ἐπὶ τὴν κεφα
λὴν αὐτοῦ· καὶ ἐπέθηκαν μίτραν, καὶ κίδαριν καθαρὰν ἐπὶ τὴν
κεφαλὴν αὐτοῦ· καὶ περιέβαλον αὐτὸν ἱμάτια· καὶ ὁ ἄγγελος
κυρίου εἱστήκει, καὶ διεμαρτύρατο ὁ ἄγγελος κυρίου πρὸς ἰησοῦν,
λέγων· τάδε λέγει κύριος παντοκράτωρ· ἐν ταῖς ὁδοῖς μου
πορεύσῃ· καὶ ἐν τοῖς προστάγμασί μου φυλάξῃς καὶ σὺ δια
κρινεῖς τὸν οἶκόν μου, καὶ ἐὰν διαφυλάξῃς τὴν αὐλήν μου, καὶ
δώσω σοι ἀναστρεφομένους ἐν μέσῳ τῶν ἑστηκότων τούτων·
Ἄκουε δὴ ἰησοῦ ὁ ἱερεὺς ὁ μέγας, σύ, καὶ οἱ πλησίον σου οἱ κα
θήμενοι πρὸ προσώπου· διότι ἄνδρες τερατοσκόποι εἰσί· διό
τι ἐγὼ ἄγω τὸν δοῦλόν μου ἀνατολήν· διότι ὁ λίθος ὃν ἔδωκα
πρὸ προσώπου τοῦ ἰησοῦ ἐπὶ τὸν λίθον τὸν ἕνα ἑπτὰ ὀφθαλμοί εἰ
σιν· ἰδοὺ ἐγὼ ὀρύσσω βόθρον λέγει κύριος παντοκράτωρ, καὶ
ψηλαφήσω πᾶσαν τὴν ἀδικίαν τῆς γῆς ἐν ἡμέρᾳ μιᾷ ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ λέγει κύριος παντοκράτωρ· συγκαλέσατε, ἕ
καστος τὸν πλησίον αὐτοῦ, ὑπὸ κάτω ἀμπέλου· καὶ ὑπὸ κά
τω συκῆς·

Κεφ. δ. 4.

Καὶ ἐπέστρεψα

Δ Καὶ ἐπέστρεψεν ὁ ἄγγελος ὁ λαλῶν ἐμοὶ καὶ ἐξήγει
η ρέ με ὃν τρόπον ὅταν ἐξεγερθῇ ἄνθρωπος ἐκ τοῦ ὕ-
πνου αὐτοῦ. καὶ εἶπε πρός με τί σὺ βλέπεις. καὶ εἶπα
ἑώρακα καὶ ἰδοὺ χρυσῆ ὅλη λυχνία. καὶ τὸ λαμπάδιον αὐτῆς, καὶ
ἑπτὰ λύχνοι ἐπάνω αὐτῆς καὶ ἑπτὰ ἐπαρυστρίδες τοῖς λύχνοις τοῖς
ἐπάνω αὐτῆς καὶ δύο ἐλαῖαι ἐπάνω αὐτῆς μία ἐκ δεξιῶν τοῦ λαμ-
παδίου αὐτῆς καὶ μία ἐξ εὐωνύμων. καὶ ἐπηρώτησα, καὶ εἶπα πρὸς
τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοὶ λέγων. τί ἐστι ταῦτα. καὶ ἀπεκρίθη ὁ
ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. καὶ εἶπε πρός με λέγων, οὐ γινώσκῃ τί
ἐστι ταῦτα εἶπα οὐχὶ κύριε. καὶ ἀπεκρίθη καὶ εἶπε πρός με λέγων,
οὗτος ὁ λόγος κυρίου πρὸς ζοροβάβελ λέγων οὐκ ἐν δυνάμει με-
γάλῃ. οὐδὲ ἐν ἰσχύϊ μεγάλῃ ἀλλ' ἐν πνεύματι λέγει κύριος παν-
τοκράτωρ. τί εἶ σὺ τὸ ὄρος τὸ μέγα τὸ προσώπου ζοροβάβελ τοῦ κα-
τορθῶσαι, καὶ ἐξοίσω τὸν λίθον τῆς κληρονομίας ἰσότητα χάριτος.
χάριτα αὐτῆς. καὶ ἐγένετο λόγος κυρίου πρός με. λέγων αἱ χεῖ-
ρες ζοροβάβελ. ἐθεμελίωσαν τὸν οἶκον τοῦτον, καὶ αἱ χεῖρες αὐτοῦ
ἐπιτελέσουσιν αὐτόν. καὶ ἐπιγνώσῃ διότι κύριος παντοκρά-
τωρ ἐξαπέσταλκά με πρός σε διότι τίς ἐξουδένωσεν. εἰς ἡ-
μέρας μικρὰς καὶ χαρήσονται. καὶ ὄψονται τὸν λίθον τὸν κασσι-
τήρινον ἐν χειρὶ ζοροβάβελ. ἑπτὰ οὗτοι ὀφθαλμοὶ κυρίου εἰσὶν
οἱ ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν. καὶ ἀπεκρίθην, καὶ εἶπα
πρὸς αὐτόν. τί αἱ δύο αὗται ἐλαῖαι. αἱ ἐκ δεξιῶν τῆς λυχνί-
ας, καὶ ἐξ εὐωνύμων καὶ ἐπηρώτησα ἐκ δευτέρου, καὶ εἶπον
πρὸς αὐτόν. τί οἱ δύο κλάδοι τῶν ἐλαιῶν οἱ ἐν ταῖς χερσὶ
τῶν δύο μυξωτήρων τῶν χρυσῶν τῶν ἐπιχεόντων, καὶ ἐπα-
ναγόντων τὰς ἐπαρυστρίδας. τὰς χρυσᾶς; καὶ εἶπε πρός με
λέγων. οὐκ οἶδας τί ἐστι ταῦτα. καὶ εἶπα οὐχὶ κύριε καὶ εἶ-
πεν, οὗτοι οἱ δύο υἱοὶ τῆς πιότητος παρεστήκασι τῷ κυρίῳ
πάσης τῆς γῆς.

Κεφάλαιον. ε. ϛ.

Αὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου καὶ εἶδον
κ καὶ ἰδοὺ δρέπανον πετόμενον. καὶ εἶπε πρός με, τί
σὺ βλέπεις· καὶ εἶπον ἐγώ. ὁρῶ δρέπανον πετόμενον
μῆκος πηχῶν εἴκοσι καὶ πλάτος πηχῶν δέκα· καὶ εἶπε πρός με·
αὕτη ἡ ἀρὰ ἡ ἐκπορευομένη ἐπὶ πρόσωπον πάσης τῆς γῆς. διό-
τι πᾶς ὁ κλέπτης ἐκ τούτου ἕως θανάτου ἐκδικηθήσεται. καὶ ἐξοίσω
αὐτῷ λέγει κύριος παντοκράτωρ. καὶ εἰσελεύσονται εἰς τὸν οἶκον τοῦ
κλέπτου, καὶ εἰς τὸν οἶκον τοῦ ὀμνύοντος τῷ ὀνόματί μου ἐπὶ ψευδεῖ. καὶ
καταλύσει ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ καὶ συντελέσει καὶ τὰ ξύλα αὐ-
τοῦ καὶ τοὺς λίθους αὐτοῦ καὶ ἐξῆλθεν ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί, καὶ
εἶπε πρός με ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τὸ ἐκπο-
ρευόμενον τοῦτο. καὶ εἶπα τί ἐστι. τοῦτο τὸ μέτρον τὸ ἐκπο-
ρευόμενον καὶ εἶπεν αὕτη ἡ ἀδικία αὐτῶν ἐν πάσῃ τῇ γῇ. καὶ
ἰδοὺ τάλαντον μολίβδου ἐξαιρούμενον. καὶ ἰδοὺ γυνὴ μία
ἐκάθητο ἐν μέσῳ τοῦ μέτρου καὶ εἶπεν. αὕτη ἐστὶν ἡ ἀνομία, καὶ
ἔρριψεν αὐτὴν εἰς μέσον τοῦ μέτρου. καὶ ἔρριψε τὸν λίθον τοῦ μο-
λίβδου, εἰς τὸ στόμα αὐτῆς. καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶ-
δον καὶ ἰδοὺ δύο γυναῖκες ἐκπορευόμεναι. καὶ πνεῦμα ἐν ταῖς
πτέρυξιν αὐτῶν. καὶ αὗται εἶχον πτέρυγας ὡς πτέρυγας ἔ-
ποπος, καὶ ἀνέλαβον τὸ μέτρον ἀνὰ μέσον τῆς γῆς, καὶ ἀνὰ μέ-
σον τοῦ οὐρανοῦ. καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί·
ποῦ αὗται ἀποφέρουσι τὸ μέτρον. καὶ εἶπε πρός με οἰκοδομῆ-
σαι αὐτῷ οἰκίαν ἐν γῇ Βαβυλῶνος. καὶ ἑτοιμάσαι. καὶ θή-
σουσιν αὐτὸ ἐκεῖ, ἐπὶ τὴν ἑτοιμασίαν αὐτοῦ.

Κεφ. ς. 6.

Αὶ ἐπέστρεψα, καὶ ἦρα τοὺς ὀφθαλμούς μου, καὶ εἶδον·
κ καὶ ἰδοὺ τέσσαρα ἅρματα ἐκπορευόμενα ἐκ μέ-
σου δύο ὀρέων, καὶ τὰ ὄρη χαλκᾶ. ἐν τῷ ἅρματι
τῷ πρώτῳ ἵπποι πυρροί, καὶ ἐν τῷ ἅρματι τῷ δευτέρῳ, ἵπ-
ποι μέλανες. καὶ ἐν τῷ ἅρματι τῷ τρίτῳ ἵπποι λευκοί. καὶ ἐν

τῷ ἅρματι τῷ τετάρτῳ, ἵπποι ποικίλοι, καὶ ψαροί, καὶ ἀ-
πεκρίθην, καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί. τί
ἐστι ταῦτα κύριε, καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί. καὶ εἶ-
πε. ταῦτά ἐστιν οἱ τέσσαρες ἄνεμοι τοῦ οὐρανοῦ. καὶ ἐκπορεύον-
ται παραστῆναι τῷ κυρίῳ πάσης τῆς γῆς. ἐν ᾧ ἦσαν. ἵπποι οἱ
μέλανες. ἐξεπορεύοντο ἐπὶ γῆν βορρᾶ. καὶ οἱ λευκοὶ ἐξεπο-
ρεύοντο κατόπισθεν αὐτῶν. καὶ οἱ ποικίλοι ἐξεπορεύοντο ἐπὶ
γῆν νότου. καὶ οἱ ψαροὶ ἐξεπορεύοντο. καὶ ἐπέβλεπον τοῦ πε-
ριοδεῦσαι τὴν γῆν. καὶ εἶπε πορεύεσθε. καὶ περιοδεύσατε
τὴν γῆν. καὶ περιώδευσαν τὴν γῆν καὶ ἀνεβόησε, καὶ ἐλάλησε
πρός με. ἰδοὺ οἱ ἐκπορευόμενοι ἐπὶ γῆν βορρᾶ. ἀνέπαυσαν
τὸν θυμόν μου, ἐν γῇ βορρᾶ. καὶ ἐγένετο λόγος κυρίου πρὸς
με λέγων, λάβε τὰ ἐκ τῆς αἰχμαλωσίας παρὰ τῶν ἀρχόντων
καὶ παρὰ τῶν χρησίμων αὐτῆς. καὶ παρὰ τῶν ἐπεγνωκότων αὐ-
τήν. καὶ εἰσελεύσῃ σὺ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὸν οἶκον ἰωσίου
τοῦ σοφονίου τοῦ ἥκοντος ἐκ βαβυλῶνος. καὶ λήψῃ ἀργύριον, καὶ
χρυσίον. καὶ ποιήσεις στεφάνους, καὶ ἐπιθήσεις ἐπὶ τὴν κεφαλὴν
ἰησοῦ τοῦ ἰωσεδὲκ τοῦ ἱερέως τοῦ μεγάλου. καὶ ἐρεῖς πρὸς αὐτὸν
τάδε λέγει κύριος παντοκράτωρ. ἰδοὺ ἀνὴρ ἀνατολὴ ὄνομα αὐ-
τῷ. καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ. καὶ οἰκοδομήσει τὸν οἶ-
κον κυρίου. καὶ αὐτὸς λήψεται ἀρετήν, καὶ καθιεῖται καὶ κατάρ-
ξει ἐπὶ τοῦ θρόνου αὐτοῦ. καὶ ἔσται ἱερεὺς ἐκ δεξιῶν αὐτοῦ. καὶ βου-
λὴ εἰρηνικὴ ἔσται ἀνὰ μέσον ἀμφοτέρων. ὁ δὲ στέφανος ἔσται τοῖς
ὑπομένουσι. καὶ τοῖς χρησίμοις αὐτοῖς. καὶ τοῖς ἐπεγνωκόσιν
αὐτὴν καὶ εἰς χάριτα υἱοῦ σοφονίου. καὶ εἰς ψαλμὸν ἐν οἴκῳ
κυρίου καὶ οἱ μακρὰν ἀπ' αὐτῶν ἥξουσι καὶ οἰκοδομήσουσιν
ἐν τῷ οἴκῳ κυρίου. καὶ γνώσεσθε, διότι κύριος παντοκρά-
τωρ ἀπέσταλκέ με πρὸς ὑμᾶς. καὶ ἔσται ἐὰν εἰσακούοντες εἰσα-
κούσητε τῆς φωνῆς κυρίου τοῦ θεοῦ ὑμῶν.

Κεφ. ζ. 7.

Αὶ ἐγένετο ἐν τῷ τετάρτῳ ἔτει ἐπὶ δαρείου τοῦ βασιλέ-
κ ως ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν τετράδι τοῦ μηνὸς
τοῦ ἐνάτου. ὅς ἐστι χασελεῦ. καὶ ἀπέστειλεν εἰς βαθήλ, σαρα-
σὰρ καὶ ἀρβὰθ σαγέρ. ὁ βασιλεὺς καὶ οἱ ἄνδρες αὐτοῦ ἐξιλάσασθαι
τὸν κύριον. λέγων πρὸς τοὺς ἱερεῖς τοὺς ἐν τῷ οἴκῳ κυρίου παν-
τοκράτορος. καὶ πρὸς τοὺς προφήτας λέγων. εἰσελήλυθεν ὧδε
ἐν τῷ μηνὶ τῷ πέμπτῳ. τὸ ἁγίασμα. καθότι ἐποίησαν ἤδη ἱκα-
νὰ ἔτη. καὶ ἐγένετο λόγος κυρίου τῶν δυνάμεων πρὸς ἐμὲ λέγων. εἰπὲ
πρὸς πάντα τὸν λαὸν τῆς γῆς καὶ πρὸς τοὺς ἱερεῖς. λέγων. ἐὰν
νηστεύσητε ἢ κόψησθε ἐν ταῖς πέμπταις ἢ ἐν ταῖς ἑβδόμαις. καὶ
ἰδοὺ ἑβδομήκοντα ἔτη. μὴ νηστείαν νενηστεύκατέ μοι, καὶ ἐὰν φά-
γητε ἢ πίετε. οὐχ ὑμεῖς ἐσθίετε καὶ ὑμεῖς πίνετε, οὐχ οὗτοί εἰ-
σιν οἱ λόγοι οὓς ἐλάλησε κύριος ἐν χειρὶ τῶν προφητῶν τῶν ἔμ-
προσθεν. ὅτε ἡ ἰσραὴλ κατοικουμένη. καὶ εὐφραίνουσα, καὶ αἱ
πόλεις αὐτῆς κυκλόθεν καὶ ἡ ὀρεινή, καὶ ἡ πεδινὴ κατῳκεῖτο.
καὶ ἐγένετο λόγος κυρίου πρὸς ζαχαρίαν λέγων. τάδε λέγει
κύριος παντοκράτωρ. κρῖμα δίκαιον κρίνετε, καὶ ἔλεον, καὶ
οἰκτιρμὸν ποιεῖτε, ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ. μὴ μνησικα-
κεῖτε ἐν ταῖς καρδίαις ὑμῶν. καὶ ἠπείθησαν τοῦ προσέχειν. καὶ
ἔδωκαν νῶτον παραφρονοῦντα καὶ τὰ ὦτα αὐτῶν ἐβάρυνον
τοῦ μὴ εἰσακούειν καὶ τὴν καρδίαν αὐτῶν ἔταξαν ἀπειθῆ τοῦ
μὴ εἰσακούειν τοῦ νόμου μου. καὶ τοὺς λόγους μου οὓς ἐξαπέστει-
λε κύριος παντοκράτωρ ἐν πνεύματι αὐτοῦ ἐν χειρὶ τῶν προφη-
τῶν ἔμπροσθεν. καὶ ἐγένετο ὀργὴ μεγάλη παρὰ κυρίου παντοκράτο-
ρος. καὶ ἔσται, ὃν τρόπον εἶπε καὶ οὐκ εἰσήκουσαν αὐτοῦ, οὕτως κε-
κράξονται, καὶ οὐ μὴ εἰσακούσω λέγει κύριος ὁ παντοκράτωρ. καὶ
ἐκβαλῶ αὐτοὺς εἰς πάντα τὰ ἔθνη ἃ οὐκ ἔγνωσαν. καὶ ἡ γῆ ἀφα-
νισθήσεται κατόπισθεν αὐτῶν ἐκ διοδεύοντος καὶ ἐξαναστρέ-
φοντος. καὶ ἔταξαν τὴν ἐκλεκτήν, εἰς ἀφανισμόν.

Κεφάλαιον. η. 3.

Αἰ ἐγένετο λόγος κυρίου παντοκράτορος. λέγων
κ τάδε λέγει κύριος παντοκράτωρ. ἐζήλωσα τὴν
ἱερουσαλὴμ. καὶ τὴν σιὼν ζῆλον μέγα. καὶ θυμῷ
μεγάλῳ ἐζήλωσα αὐτήν. τάδε λέγει κύριος. ἐπιστρέψω ἐπὶ
σιὼν καὶ κατασκηνώσω ἐν μέσῳ ἱερουσαλήμ. καὶ κληθήσεται
ἱερουσαλὴμ πόλις ἀληθινή. καὶ τὸ ὄρος κυρίου παντοκράτορος.
ὄρος ἅγιον. τάδε λέγει κύριος παντοκράτωρ. ἔτι καθήσονται
πρεσβύτεροι. καὶ πρεσβύτεραι, ἐν ταῖς πλατείαις ἱερουσαλήμ,
ἕκαστος τὴν ῥάβδον αὐτοῦ ἔχων ἐν τῇ χειρὶ αὐτοῦ. ἀπὸ πλήθους
ἡμερῶν καὶ πλατεῖαι τῆς πόλεως πλησθήσονται παιδαρίων
καὶ κορασίων παιζόντων ἐν ταῖς πλατείαις αὐτῆς. τάδε λέγει
κύριος παντοκράτωρ. εἰ ἀδυνατήσει ἐνώπιον τῶν καταλοίπων
τοῦ λαοῦ τούτου ἐν ταῖς ἡμέραις ἐκείναις. μὴ ἐνώπιόν μου ἀδυ
νατήσει λέγει κύριος παντοκράτωρ. τάδε λέγει κύριος παντο
κράτωρ. ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς ἀνατολῶν, καὶ
ἀπὸ γῆς δυσμῶν. καὶ εἰσάξω αὐτούς. καὶ κατασκηνώσω ἐν μέ
σῳ ἱερουσαλήμ. καὶ ἔσονται ἐμοὶ εἰς λαόν. καὶ ἐγὼ ἔσομαι αὐ
τοῖς εἰς θεὸν, ἀληθείᾳ καὶ δικαιοσύνῃ. τάδε λέγει κύριος παντοκρά
τωρ. κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡ
μέραις ταύταις τοὺς λόγους τούτους, ἐκ στόματος τῶν προφητῶν.
ἀφ' ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος κυρίου, παντοκράτορος.
καὶ ὁ ναὸς ἀφ' οὗ ᾠκοδόμηται. διότι πρὸ τῶν ἡμερῶν ἐκείνων
ὁ μισθὸς τῶν ἀνθρώπων, οὐκ ἔσται εἰς ὄνησιν. καὶ ὁ μισθὸς τῶν
κτηνῶν, οὐχ ὑπάρξει. καὶ τῷ εἰσπορευομένῳ καὶ τῷ ἐκπορευο
μένῳ οὐκ ἔσται εἰρήνη ἀπὸ τῆς θλίψεως. καὶ ἐξαποστελῶ πάντας
τοὺς ἀνθρώπους. ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. καὶ νῦν, οὐ κα
τὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν. ἐγὼ ποιῶ τοῖς καταλοίποις
τοῦ λαοῦ τούτου λέγει κύριος παντοκράτωρ. ἀλλ' ἢ δείξω εἰ
ρήνην. ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς. καὶ ἡ γῆ δώσει τὰ γε
νήματα αὐτῆς καὶ ὁ οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ. καὶ κατα

κληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου ταῦτα πάντα.
καὶ ἔσται ὃν τρόπον ἦτε κατάρα ἐν τοῖς ἔθνεσιν. οἶκος ἰούδα καὶ
οἶκος ἰσραὴλ, οὕτως διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ.
θαρσεῖτε καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν διότι τάδε λέ-
γει κύριος παντοκράτωρ. ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς
ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν λέγει κύριος παντο-
κράτωρ. καὶ οὐ μετενόησα, οὕτως παρατέταγμαι, καὶ διανε-
νόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι ἱερουσα-
λὴμ, καὶ τὸν οἶκον ἰούδα. θαρσεῖτε οὗτοι οἱ λόγοι οὓς ποιήσε-
τε, λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. ἀλήθει-
αν. καὶ κρίμα εἰρηνικὸν, καὶ δίκαιον κρίνετε ἐν ταῖς πύλαις
ὑμῶν. καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον μὴ λογίζεσθε ἐν ταῖς ἡ-
μέραις ὑμῶν. καὶ ὅρκον ψευδῆ, μὴ ἀγαπᾶτε. διότι ταῦτα πάν-
τα ἐμίσησα λέγει κύριος παντοκράτωρ. καὶ ἐγένετο λόγος κυρίου
παντοκράτορος πρός με λέγων, τάδε λέγει κύριος παντοκράτωρ
νηστεία ἡ τετάρτη. καὶ νηστεία ἡ πέμπτη. καὶ νηστεία ἡ ἑβδόμη. καὶ
νηστεία ἡ δεκάτη, ἔσονται τῷ οἴκῳ ἰούδα εἰς χαρὰν. καὶ εἰς εὐ-
φροσύνην. καὶ εἰς ἑορτὰς ἀγαθὰς, καὶ εὐφρανθήσεσθε. καὶ τὴν
ἀλήθειαν, καὶ τὴν εἰρήνην ἀγαπήσατε. τάδε λέγει κύριος παν-
τοκράτωρ. ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις
πολλὰς, συνελεύσονται κατοικοῦντες μίαν. εἰς μίαν πόλιν λέγον-
τες πορευθῶμεν πορευόμενοι τοῦ προσώπου κυρίου δεηθῆ-
ναι, καὶ ἐκζητῆσαι τὸ πρόσωπον κυρίου παντοκράτορος πο-
ρεύσομαι καὶ ἐγὼ καὶ ἥξουσι λαοὶ πολλοὶ καὶ ἔθνη πολλὰ ἐκ-
ζητήσουσι τὸ πρόσωπον κυρίου παντοκράτορος ἐν ἱερουσαλὴμ.
καὶ ἐξιλάσκεσθαι τὸ πρόσωπον κυρίου. τάδε λέγει κύριος παν-
τοκράτωρ. ἐν ταῖς ἡμέραις ἐκείναις, ἐὰν ἐπιλάβωνται δέκα
ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν. καὶ ἐπιλάβωνται
τοῦ κρασπέδου, ἀνδρὸς ἰουδαίου, λέγοντες. πορευσόμεθα μετὰ
σοῦ διότι ἀκηκόαμεν ὅτι ὁ θεὸς μεθ' ὑμῶν ἐστιν, εἰς τέλος.

Κεφ. θ. 9.

Ημμα λόγου κυρίου ἐν γῇ ἀδρὰχ καὶ δαμάσκου θυ
λ σία αὐτοῦ. διότι κύριος ἐφορᾷ ἀνθρώπους, καὶ πάσας
φυλὰς τοῦ ἰσραήλ. καὶ ἀνέμαθε τοῖς ὁρίοις αὐτῆς τύ
ρος, καὶ σιδών. διότι ἐφρόνησε σφόδρα, καὶ ᾠκοδόμησε τύ
ρος ὀχύρωμα αὐτῇ. καὶ ἐθησαύρισεν ἀργύριον ὡς χοῦν, καὶ συνή
γαγε χρυσίον ὡς πηλὸν ὁδῶν. διὰ τοῦτο κύριος κληρονομήσει αὐ
τούς. καὶ πατάξει εἰς θάλασσαν δύναμιν αὐτῆς. καὶ αὕτη ἐν πυ
ρὶ καταναλωθήσεται. ὄψεται ἀσκάλων, καὶ φοβηθήσεται. καὶ
γάζα. καὶ ὀδυνηθήσεται σφόδρα. καὶ ἀκκάρων. ὅτι ᾐσχύνθη
ἐπὶ τῷ παραπτώματι αὐτῆς. καὶ ἀπολεῖται βασιλεὺς ἐκ γάζης
καὶ ἀσκάλων, οὐ μὴ κατοικηθῇ. καὶ κατοικήσουσιν ἀλλογενεῖς,
ἐν ἀζώτῳ, καὶ καθελῶ ὕβριν ἀλλοφύλων. καὶ ἐξαρῶ τὸ αἷμα
αὐτῶν ἐκ στόματος αὐτῶν. καὶ τὰ βδελύγματα αὐτῶν ἐκ
μέσου ὀδόντων αὐτῶν. καὶ ὑπολειφθήσονται. καὶ οὗτοι τῷ
θεῷ ἡμῶν. καὶ ἔσονται ὡς χιλίαρχος ἐν ἰούδᾳ. καὶ ἀκκάρων
ὡς ὁ ἰεβουσαῖος, καὶ ὑποστήσομαι τῷ οἴκῳ μου ἀνάστημα. τοῦ
μὴ διαπορεύεσθαι, μηδὲ ἀνακάμπτειν. καὶ οὐ μὴ ἐπέλθῃ ἐπ' αὐ
τοὺς οὐκ ἔτι ἐξελαύνων. διότι νῦν ἑώρακα ἐν τοῖς ὀφθαλμοῖς
μου. χαῖρε σφόδρα θύγατερ σιών. κήρυσσε θύγατερ ἱερουσα
λήμ. ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων αὐ
τούς. πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. καὶ
ἐξολοθρεύσει ἅρματα, ἐξ ἐφραίμ. καὶ ἵππον ἐξ ἱερουσαλήμ.
ἐξολοθρευθήσεται τόξον πολεμικόν. καὶ πλῆθος καὶ εἰρήνη
ἐξ ἐθνῶν. καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης. καὶ ἀπὸ ποτα
μῶν διεκβολὰς γῆς. καὶ σὺ ἐν αἵματι διαθήκης ἐξαπέστειλας δε
σμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. καθήσεσθε ἐν ὀχυρώ
ματι δέσμιοι τῆς συναγωγῆς. καὶ ἀντὶ μιᾶς ἡμέρας παροικί
ας σου διπλᾶ ἀνταποδώσω. διότι ἐνέτεινά σε ἐμαυτῷ ἰού
δα τόξον. ἔπλησα τὸν ἐφραίμ. καὶ ἐξεγερῶ τὰ τέκνα σου σιών.

ἐπὶ τὰ τέκνα τῶν ἑλλήνων. καὶ ψηλαφήσωσε. ὡς ῥομφαίαν μαχητοῦ. καὶ κύριος ἔσται ἐπ' αὐτούς. καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. καὶ κύριος ὁ θεὸς ὁ παντοκράτωρ, ἐν σάλπιγγι σαλπιεῖ. καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν. καὶ καταναλώσουσιν αὐτοὺς ἐν λίθοις σφενδόνης. καὶ ἐκπίονται τὸ αἷμα αὐτῶν, ὡς οἶνον. καὶ πλήσουσι τὰς φιάλας ὡς θυσιαστήριον. καὶ σώσει αὐτοὺς, κύριος ὁ θεὸς αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὡς πρόβατα, λαὸν αὐτοῦ. διότι λίθοι ἅγιοι κυλίονται ἐπὶ γῆς αὐτοῦ. ὅτι εἴ τι ἀγαθὸν αὐτοῦ. καὶ εἴ τι καλὸν παρ' αὐτοῦ. σῖτος νεανίσκοις, καὶ οἶνος εὐωδιάζων εἰς παρθένους.

Κεφάλαιον. ι. 10.

Ιτεῖσθε παρὰ κυρίου ὑετὸν καθ' ὥραν, πρώϊμον καὶ ὄψι-
α μον. κύριος ἐποίησε φαντασίας. καὶ ὑετὸν χειμερινὸν
δώσει αὐτοῖς ἑκάστῳ βοτάνην ἐν ἀγρῷ. διότι οἱ ἀπο-
φθεγγόμενοι ἐλάλησαν κόπους, καὶ οἱ μάντεις, ὁράσεις ψευδεῖς καὶ τὰ ἐνύπνια ψευδῆ ἐλάλουν. μάταια παρεκάλουν. διὰ τοῦτο ἐξηράνθησαν ὡς πρόβατα. καὶ ἐκακώθησαν ὅτι οὐκ ἦν ἴασις. ἐπὶ τοὺς ποιμένας παρωξύνθη ὁ θυμός μου. καὶ ἐπὶ τοὺς ἀμνοὺς ἐπισκέψομαι. καὶ ἐπισκέψεται κύριος ὁ θεὸς ὁ παντοκράτωρ τὸ ποίμνιον αὐτοῦ. τὸν οἶκον ἰούδα. καὶ τάξει αὐτοὺς, ὡς ἵππον εὐπρεπῆ αὐτοῦ, ἐν πολέμῳ. καὶ ἐξ αὐτοῦ ἐπέβλεψε. καὶ ἐξ αὐτοῦ ἔταξε. καὶ ἐξ αὐτοῦ τὸ τόξον ἐν πνεύματι θυμοῦ. καὶ ἐξ αὐτοῦ ἐξελεύσεται πᾶς ἐξελαύνων ἐν αὐτῷ. καὶ ἔσονται ὡς μαχηταὶ πατοῦντες πηλὸν ἐν ταῖς ὁδοῖς ἐν πολέμῳ. καὶ παρατάξονται. ὅτι κύριος μετ' αὐτῶν. καταισχυνθήσονται, ἀναβάται ἵππων. καὶ κατισχύσω τὸν οἶκον ἰούδα. καὶ τὸν οἶκον ἰωσὴφ σώσω. καὶ κατοικιῶ αὐτοὺς, ὅτι ἠγάπησα αὐτούς. καὶ ἔσονται ὃν τρόπον οὐκ ἀπέρριψα αὐτούς. διότι ἐγὼ κύριος ὁ θεὸς αὐτῶν. καὶ ἐπακούσομαι αὐτῶν. καὶ ἔσονται ὡς μαχηταὶ τοῦ ἐφραίμ. καὶ χαρήσε-

ἡ καρδία αὐτῶν ὡς ἐν οἴνῳ. καὶ τὰ τέκνα ὄψονται. καὶ εὐφρανθήσονται καὶ χαρήσεται ἡ καρδία αὐτῶν. ἐν τῷ κυρίῳ σημανῶ αὐτοῖς. καὶ εἰσδέξομαι αὐτοὺς, διότι λυτρώσομαι αὐτούς. καὶ πληθυνθήσονται καθότι ἦσαν πολλοί. καὶ σπερῶ αὐτοὺς ἐν λαοῖς καὶ οἱ μακρὰν αὐτῶν μνησθήσονταί μου. ἐκθρέψουσι τὰ τέκνα αὐτῶν. καὶ ἐπιστρέψουσι. καὶ ἐπιστρέψω αὐτοὺς ἐκ γῆς αἰγύπτου. καὶ ἐξ ἀσσυρίων εἰσδέξομαι αὐτοὺς καὶ εἰς τὴν γαλαὰδ εἰς τὸν λίβανον εἰσάξω αὐτούς. καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν οὐδὲ εἷς. καὶ διελεύσονται ἐν θαλάσσῃ στενῇ. καὶ πατάξουσιν ἐν θαλάσσῃ κύματα. καὶ ξηρανθήσονται πάντα τὰ βάθη ποταμῶν. καὶ ἀφαιρεθήσεται πᾶσα ὕβρις ἀσσυρίων. καὶ σκῆπτρον αἰγύπτου περιαιρεθήσεται. καὶ κατισχύσω αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν. καὶ ἐν τῷ ὀνόματι αὐτοῦ κατακαυχήσονται λέγει κύριος.

Κεφάλαιον. ια. 11.

δ Ιάνοιξον ὁ λίβανος τὰς θύρας σου. καὶ καταφαγέτω πῦρ καὶ κέδρους σου. ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν ὀλολύξατε δρύες τῆς βασανίτιδος. ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν. φωνὴ ὠρυομένων λεόντων ὅτι τεταλαιπώρηκε τὰ φρυάγματα τοῦ ἰορδάνου. τάδε λέγει κύριος παντοκράτωρ. ποιμαίνετε τὰ πρόβατα τῆς σφαγῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο. καὶ οἱ πωλοῦντες αὐτὰ ἔλεγον, εὐλογητὸς κύριος. καὶ πεπλουτήκαμεν. καὶ οἱ ποιμένες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. διὰ τοῦτο οὐ φείσομαι. οὐκ ἔτι ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν λέγει κύριος. καὶ ἰδοὺ ἐγὼ παραδίδωμι τοὺς ἀνθρώπους ἕκαστον εἰς χεῖρα τοῦ πλησίον αὐτοῦ. καὶ κατακόψουσι τὴν γῆν. καὶ οὐ μὴ ἐξέλωμαι, ἐκ χειρὸς αὐτῶν. καὶ ποιμανῶ τὰ πρόβατα τῆς σφαγῆς. εἰς τὴν χαναανῖτιν. καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους. τὴν μίαν ἐκάλεσα κάλλος. καὶ

τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα. καὶ ποιμανῶ τὰ πρόβατα.
καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνί. καὶ βαρυνθήσεται
ἡ ψυχή μου ἐπ' αὐτούς. καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο
ἐπ' ἐμέ. καὶ εἶπα. οὐ ποιμανῶ ὑμᾶς. τὸ ἀποθνῆσκον ἀποθνη-
σκέτω. καὶ τὸ ἐκλεῖπον, ἐκλειπέτω. καὶ τὰ κατάλοιπα, κατε-
σθιέτωσαν ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. καὶ λήψομαι
τὴν ῥάβδον μου τὴν καλήν, καὶ ἀποῤῥίψω αὐτήν. τοῦ δια-
σκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς
λαούς. καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ γνώ-
σονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι. διό-
τι λόγος κυρίου ἐστί. καὶ ἐρῶ πρὸς αὐτούς. εἰ καλὸν ἐνώπιον
ὑμῶν ἐστι. δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε. καὶ ἔστησαν τὸν μι-
σθούμενον τριάκοντα ἀργυροῦς. καὶ εἶπε κύριος πρός με. κάθες
αὐτοὺς εἰς τὸ χωνευτήριον. καὶ σκέψαι εἰ δόκιμόν ἐστιν. ὃν τρό-
πον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυ-
ροῦς, καὶ ἐνέβαλον εἰς τὸν οἶκον κυρίου εἰς τὸ χωνευτήριον. καὶ
ἀπέῤῥιψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα τοῦ δια-
σκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον ἰούδα. καὶ ἀνὰ μέσον ἰσ-
ραήλ. καὶ εἶπε κύριος πρός με. ἔτι λάβε σεαυτῷ, σκεύη ποι-
μενικὰ ποιμένος ἀπείρου. διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ποιμένα ἐπὶ
τὴν γῆν τὸ ἐκλεῖπον, οὐ μὴ ἐπισκέψηται. καὶ τὸ σκορπισμένον
οὐ μὴ ζητήσῃ. καὶ τὸ συντετριμμένον, οὐ μὴ ἰάσηται καὶ τὸ ὁλόκλη-
ρον οὐ μὴ κατευθύνῃ. καὶ τὰ κρέα τῶν ἐκλεκτῶν καταφάγεται.
καὶ τοὺς ἀστραγάλους αὐτῶν, ἐκρίψει. ὡς ὑπομένοντες τὰ μά-
ταια. καὶ καταλελοιπότες τὰ πρόβατα. μάχαιρα ἐπὶ τοῦ βρα-
χίονος αὐτοῦ. καὶ ἐπὶ τὸν ὀφθαλμὸν τὸν δεξιὸν αὐτοῦ. ὁ βραχίων
αὐτοῦ. ξηραινόμενος ξηρανθήσεται. καὶ ὁ ὀφθαλμὸς ὁ δεξιὸς αὐ-
τοῦ ἐκτυφλούμενος ἐκτυφλωθήσεται.

Κεφάλαιον. ιϐ. 12.

Ημμα λόγου κυρίου ἐπὶ τὸν ἰσραὴλ λέγει κύριος.
λ ἐκτείνων οὐρανὸν, καὶ θεμελιῶν γῆν· καὶ πλάσσων
πνεῦμα ἀνθρώπου ἐν αὐτῷ. ἰδοὺ ἐγὼ τίθημι τὴν
ἱερουσαλήμ. ὡς πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ
καὶ ἐν τῇ ἰουδαίᾳ· καὶ ἔσται περιοχὴ, ἐπὶ ἱερουσαλήμ· καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τὴν ἱερουσαλὴμ λίθον καταπατού-
μενον· πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων, ἐμπαίξεται· καὶ ἐπι
συναχθήσονται ἐπ' αὐτὴν, πάντα τὰ ἔθνη τῆς γῆς· ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ, λέγει κύριος παντοκράτωρ· πατάξω πάντα ἵππον
ἐν ἐκστάσει· καὶ τὸν ἀναβάτην αὐτοῦ, ἐν παραφρονήσει· ἐπὶ δὲ
τὸν οἶκον ἰούδα διανοίξω τοὺς ὀφθαλμούς μου· καὶ πάντας τοὺς
ἵππους τῶν λαῶν, πατάξω ἐν ἀποτυφλώσει· καὶ ἐροῦσιν οἱ χιλί
αρχοι, ἰούδα πάντες ἐν ταῖς καρδίαις αὐτῶν εὑρήσομεν ἐν
ἑαυτοῖς κατοικοῦντας ἱερουσαλήμ· ἐν κυρίῳ παντοκράτορι θεῷ
αὐτῶν· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ θήσομαι τοὺς χιλιάρχας ἰούδα ὡς
δαλὸν πυρὸς, ἐν καλάμῃ, καὶ καταφάγονται ἐκ δεξιῶν, καὶ ἐξ
εὐωνύμων πάντας τοὺς λαοὺς κυκλόθεν· καὶ κατοικήσει ἱερουσα-
λήμ· ἔτι καθ' ἑαυτὴν ἐν ἱερουσαλήμ· καὶ σώσει κύριος τὰ σκη-
νώματα ἰούδα· καθὼς ἀπ' ἀρχῆς ὅπως μεγαλύνηται καύχημα
οἴκου δαβίδ· καὶ ἔπαρσις τῶν κατοικούντων ἱερουσαλὴμ ἐπὶ τὸν
ἰούδα· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπερασπιεῖ κύριος ὑπὲρ
τῶν κατοικούντων ἱερουσαλήμ· καὶ ἔσται ὁ ἀσθενῶν ἐν αὐτοῖς ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ· ὡς δαβίδ· ὁ δὲ οἶκος δαβίδ· ὡς οἶκος θεοῦ·
ὡς ἄγγελος κυρίου· ἐνώπιον αὐτοῦ. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ·
ζητήσω ἐξᾶραι πάντα τὰ ἔθνη τὰ ἐρχόμενα ἐπὶ ἱερου-
σαλήμ, καὶ ἐκχεῶ ἐπὶ τὸν οἶκον δαβίδ· καὶ ἐπὶ τοὺς κατοι-
κοῦντας ἱερουσαλήμ, πνεῦμα χάριτος, καὶ οἰκτιρμοῦ· καὶ ἐπι
βλέψονται πρός με· εἰς ὃν ἐξεκέντησαν· ἀνθ' ὧν κατωρχήσαν-
το· καὶ κόψονται ἐπ' αὐτὸν κοπετὸν, ὡς ἀγαπητῷ· καὶ
ὀδυνηθήσονται ὀδύνην ὡς ἐπὶ τῷ πρωτοτόκῳ· ἐν τῇ ἡμέ-

ρᾳ ἐκείνῃ, μεγαλυνθήσεται ὁ κοπετὸς ἐν ἱερουσαλήμ. ὡς
κοπετὸς ῥοῶνος ἐν πεδίῳ ἐκκοπτομένου. καὶ κόψεται ἡ γῆ κα-
ταφυλὰς φυλάς, φυλὴ οἴκου δαβὶδ καθ᾽ ἑαυτήν. καὶ αἱ γυναῖ-
κες αὐτῶν καθ᾽ ἑαυτάς. φυλὴ οἴκου νάθαν καθ᾽ ἑαυτήν. καὶ αἱ
γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς. φυλὴ οἴκου συμεὼν καθ᾽ ἑαυτήν
καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ αὑτάς. πᾶσαι ὑπολελειμμέναι φυ-
λαί. φυλὴ καθ᾽ αὑτήν. καὶ αἱ γυναῖκες αὐτῶν καθ᾽ αὑτήν. καὶ
αἱ γυναῖκες αὐτῶν καθ᾽ ἑαυτάς.

Κεφάλαιον. ιγ. 13.

Ν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται πᾶς τόπος διανοιγόμενος
ἐ τῷ οἴκῳ δαβίδ. καὶ τοῖς κατοικοῦσιν ἱερουσαλὴμ εἰς
τὴν μετακίνησιν καὶ εἰς τὸν ῥαντισμὸν καὶ ἔσται τῇ
ἡμέρᾳ ἐκείνῃ λέγει κύριος σαββαὼθ ἐξολοθρεύσω τὰ ὀνόμα-
τα τῶν εἰδώλων, ἀπὸ τῆς γῆς. καὶ οὐκ ἔτι αὐτῶν ἔσται μνεία, καὶ
τοὺς ψευδοπροφήτας. καὶ τὸ πνεῦμα τὸ ἀκάθαρτον ἐξαρῶ ἀπὸ
τῆς γῆς. καὶ ἔσται ἐὰν προφητεύσῃ ἄνθρωπος ἔτι. καὶ ἐρεῖ πρὸς
αὐτὸν ὁ πατὴρ αὐτοῦ, καὶ ἡ μήτηρ αὐτοῦ οἱ γεννήσαντες αὐτόν
οὐ ζήσῃ ὅτι ψευδῆ ἐλάλησας ἐπ᾽ ὀνόματι κυρίου καὶ συμποδί-
σουσιν αὐτὸν ὁ πατὴρ αὐτοῦ. καὶ ἡ μήτηρ αὐτοῦ. οἱ γεννήσαντες
αὐτὸν ἐν τῷ προφητεύειν αὐτόν. καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
καταισχυνθήσονται οἱ προφῆται. ἕκαστος ἐκ τῆς ὁράσεως αὐτοῦ
ἐν τῷ προφητεύειν αὐτόν. καὶ ἐνδύσονται δέῤῥιν τριχίνην, ἀνθ᾽
ὧν ἐψεύσαντο. καὶ ἐρεῖ, οὐκ εἰμὶ προφήτης ἐγώ. διότι ἄνθρωπος
ἐργαζόμενος τὴν γῆν, ἐγώ εἰμι, ὅτι ἄνθρωπος, ἐγέννησέ με ἐκ
νεότητός μου. καὶ ἐρῶ πρὸς αὐτόν. τί αἱ πληγαὶ αὗται ἀνὰ μέ-
σον τῶν χειρῶν σου καὶ ἐρεῖ, ἃς ἐπλήγην ἐν τῷ οἴκῳ τῷ ἀγα-
πητῷ μου ῥομφαία ἐξεγέρθητι ἐπὶ τοὺς ποιμένας μου. καὶ ἐπ᾽ ἄν-
δρα πολίτην αὐτοῦ. λέγει κύριος παντοκράτωρ. πάταξον τοὺς
ποιμένας, καὶ διασκορπισθήτωσαν τὰ πρόβατα. καὶ ἐπάξω
τὴν χεῖρά μου, ἐπὶ τοὺς ποιμένας, καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ

λέγει κύριος· τὰ δύο μέρη ἐν αὐτῇ ἐξολοθρευθήσεται· καὶ ἐκλείψει· τὸ δὲ τρίτον ὑπολειφθήσεται ἐν αὐτῇ· καὶ διάξω τὸ τρίτον διὰ πυρός· καὶ πυρώσω αὐτοὺς ὡς πυροῦται τὸ ἀργύριον καὶ δοκιμῶ αὐτοὺς ὡς δοκιμάζεται τὸ χρυσίον· αὐτὸς ἐπικαλέσεται τὸ ὄνομά μου· καὶ ἐγὼ ἐπακούσομαι αὐτῷ· καὶ ἐρῶ λαός μου οὗτός ἐστι· καὶ αὐτὸς ἐρεῖ κύριος ὁ θεός μου.

Κεφάλαιον. ιδ. 14.

Ἰδοὺ ἡμέραι ἔρχονται κυρίου, καὶ διαμερισθήσονται τὰ σκῦλά σου ἐν σοί· καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις· καὶ διαρπαγήσονται αἱ οἰκίαι· καὶ αἱ γυναῖκες μολυνθήσονται· ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ· οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου, οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως· καὶ ἐξελεύσεται κύριος καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις· καθὼς ἡμέρα παρατάξεως αὐτοῦ· ἐν ἡμέρᾳ πολέμου· καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι ἱερουσαλὴμ ἐξ ἀνατολῶν· καὶ σχισθήσεται τὸ ὄρος τῶν ἐλαιῶν τὸ ἥμισυ αὐτοῦ, πρὸς ἀνατολὰς, καὶ θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους, πρὸς τὸν βοῤῥᾶν· καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον· καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου· καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων, ἕως ἀσαήλ· καὶ ἐμφραχθήσεται, ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις ὀζίου βασιλέως ἰούδα· καὶ παρέσται κύριος ὁ θεός μου· καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ· καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς· καὶ ψύχος καὶ πάγος ἔσται, μίαν ἡμέραν, καὶ ἡ ἡμέρα ἐκείνη γνωσθήσεται τῷ κυρίῳ καὶ οὐχ ἡμέρα καὶ ἡ νύξ· καὶ πρὸς ἑσπέραν ἔσται φῶς· καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ ἱερουσαλήμ· τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ, εἰς τὴν θάλασσαν τὴν ἐσχάτην ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως.

καὶ ἔσαι κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἔσαι κύριος εἷς τὸ ὄνομα κυρίου ἕν. κυκλῶν πᾶσαν τὴν
γῆν, καὶ τὴν ἔρημον ἀπὸ γαλαὰδ ἕως ῥεμμὼν, κατὰ νότον ἱε-
ρουσαλήμ. ῥαμὰ δὲ ἐπὶ τόπου μενεῖ. ἀπὸ τῆς πύλης βενιαμὶν
ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης. ἐπὶ πύλην τῶν γωνιῶν.
καὶ ἕως τοῦ πύργου ἀναμεήλ, ἕως τῶν ὑπολενίων τοῦ βασιλέ-
ως. κατοικήσουσιν ἐν αὐτῇ. καὶ ἀνάθεμα οὐκ ἔσαι ἔτι. καὶ κα-
τοικήσει ἱερουσαλὴμ πεποιθότως. καὶ αὕτη ἔσαι ἡ πτῶσις ἣν
κόψει κύριος πάντας τοὺς λαοὺς, ὅσοι ἐπεστράτευσαν ἐπὶ ἱερου-
σαλὴμ τακήσονται αἱ σάρκες αὐτῶν. ἑστηκότων ἐπὶ τοὺς πό-
δας αὐτῶν. καὶ οἱ ὀφθαλμοὶ αὐτῶν, ῥυήσονται ἐκ τῶν ὀπῶν
αὐτῶν. καὶ ἡ γλῶσσα αὐτῶν τακήσεται ἐν τῷ σόματι αὐ-
τῶν. καὶ ἔσαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔκστασις κυρίου μεγάλη ἐπ'
αὐτούς. καὶ ἐπιλήψεται ἕκασος τῆς χειρὸς τοῦ πλησίον αὐτοῦ.
καὶ συμπλακήσεται ἡ χεὶρ αὐτοῦ πρὸς τὴν χεῖρα τοῦ πλησί-
ον αὐτοῦ. καὶ ἰούδας παρατάξεται ἐν ἱερουσαλὴμ καὶ συνάξει
τὴν ἰσχὺν πάντων τῶν λαῶν κυκλόθεν. χρυσίον, καὶ ἀργύριον.
καὶ ἱματισμὸν εἰς πλῆθος σφόδρα. καὶ αὕτη ἔσαι ἡ πτῶσις
τῶν ἵππων καὶ τῶν ἡμιόνων. καὶ τῶν καμήλων. καὶ τῶν ὄνων.
καὶ πάντων τῶν κτηνῶν τῶν ὄντων ἐν ταῖς παρεμβολαῖς ἐκεί-
ναις, κατὰ τὴν πτῶσιν ταύτην. καὶ ἔσαι ὅσοι ἐὰν καταλειφθῶ-
σιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ ἱερουσαλήμ. καὶ
ἀναβήσονται κατ' ἐνιαυτὸν τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυ-
ρίῳ παντοκράτορι καὶ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγί-
ας. καὶ ἔσαι ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς
εἰς ἱερουσαλὴμ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ κυρίῳ παντοκρά-
τορι. καὶ οὗτοι ἐκείνοις προστεθήσονται. οὐκ ἔσαι ἐπ' αὐ-
τοῖς ὑετός. ἐὰν δὲ φυλὴ αἰγύπτου μὴ ἀναβῇ. μηδὲ ἔλθῃ, καὶ
ἐπὶ τούτους ἔσαι ἡ πτῶσις ἣν πατάξει κύριος πάντα τὰ ἔθνη.
ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγί-

ας, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται τὸ ἐπιχαλινὸν τοῦ ἵππου ϐυ. ἅγι-
ον τῷ κυρίῳ. καὶ ἔσονται οἱ λέβητες ἐν τῷ οἴκῳ κυρίου ὡς
φιάλαι, πρὸ προσώπου τοῦ θυσιαστηρίου. καὶ ἔσται λέβης ἐν
ἱερουσαλὴμ καὶ ἐν τῷ ἰούδα ἅγιον τῷ κυρίῳ παν-
τοκράτωρι καὶ ἥξουσι πάντες οἱ θυσιάζοντες. καὶ
λήψονται ἐξ αὐτῶν. καὶ ἑψήσουσιν ἐν αὐ-
τοῖς καὶ ἔσται χαναναῖος ἔτι ἐν τῷ οἴ-
κου κυρίου τῶν δυνάμεων ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ.

ΤΕΛΟΣ ΖΑΧΑ-
ΡΙΑΣ.

# ΜΑΛΑΧΊΑΣ.

Κεφάλαιον. α. 1.

ΛΗμμα λόγου κυρίου ἐπὶ τὸν ἰσραὴλ ἐν χειρὶ ἀγγέλου αὐτοῦ. θέσθε δὲ ἐπὶ τὰς καρδίας ὑμῶν, ἠγάπησα ὑμᾶς λέγει κύριος. καὶ εἴπατε ἐν τίνι ἠγάπησας ἡμᾶς; οὐκ ἀδελφὸς ἦν ἠσαῦ, τοῦ ἰακὼβ λέγει κύριος; καὶ ἠγάπησα τὸν ἰακὼβ τὸν δὲ ἠσαῦ, ἐμίσησα. καὶ ἔταξα τὰ ὅρια αὐτοῦ εἰς ἀφανισμόν. καὶ τὴν κληρονομίαν αὐτοῦ εἰς δώματα ἐρήμου. διότι ἐρεῖ ἡ ἰδουμαία κατέστραπται καὶ ἐπιστρέψωμεν καὶ ἀνοικοδομήσωμεν τὰς ἠρημωμένας αὐτῆς. τάδε λέγει κύριος παντοκράτωρ. αὐτοὶ ἀνοικοδομήσουσι, καὶ ἐγὼ καταστρέψω. καὶ ἐπικληθήσεται αὐτοῖς, ὅρια ἀνομίας. καὶ λαὸς ἐφ' ὃν παρατέτακται κύριος, ἕως αἰῶνος. καὶ οἱ ὀφθαλμοὶ ὑμῶν ὄψονται. καὶ ὑμεῖς ἐρεῖτε ἐμεγαλύνθη κύριος ὑπεράνω τῶν ὁρίων τοῦ ἰσραήλ. υἱὸς δοξάζει πατέρα, καὶ δοῦλος τὸν κύριον ἑαυτοῦ. οὐ φοβηθήσεται. καὶ εἰ πατήρ εἰμι ἐγὼ, ποῦ ἐστιν ἡ δόξα μου. καὶ εἰ κύριός εἰμι ἐγὼ, ποῦ ἐστιν ὁ φόβος μου, λέγει κύριος παντοκράτωρ. ὑμεῖς οἱ ἱερεῖς οἱ φαυλίζοντες τὸ ὄνομά μου. καὶ εἴπατε ἐν τίνι ἐφαυλίσαμεν τὸ ὄνομά σου; προσάγοντες πρὸς τὸ θυσιαστήριόν μου ἄρτους ἠλισγημένους. καὶ εἴπατε ἐν τίνι ἠλισγήσαμεν αὐτούς; ἐν τῷ λέγειν ὑμᾶς τράπεζα κυρίου, ἐξουθενωμένη ἐστί. καὶ τὰ ἐπιτιθέμενα ἐξουθένωται. διότι ἐὰν προσάγητε τυφλὸν εἰς θυσίας οὐ κακόν. καὶ

κόν καὶ ἐὰν προσάγῃ χωλόν. ἢ ἄῤῥωστον οὐ κακόν. προσάγαγε δὴ αὐτὸ τῷ ἡγουμένῳ σου εἰ προσδέξεταί σε. εἰ λήψεται πρόσωπόν σου, λέγει κύριος παντοκράτωρ. καὶ νῦν ἐξιλάσκεσθε τὸ πρόσωπον τοῦ θεοῦ ὑμῶν, καὶ δεήθητε αὐτοῦ. ἐν χερσὶν ὑμῶν γέγονε ταῦτα. εἰ λήψομαι ἐξ ὑμῶν πρόσωπον ὑμῶν λέγει κύριος παντοκράτωρ. διότι καὶ ἐν ὑμῖν συγκλεισθήσονται θύραι. καὶ οὐκ ἀνάψετε τὸ θυσιαστήριον μου δωρεάν. οὐκ ἔστι μου θέλημα ἐν ὑμῖν, λέγει κύριος παντοκράτωρ. θυσίαν οὐ προσδέξομαι ἐκ τῶν χειρῶν ὑμῶν. διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν τὸ ὄνομά μου δεδόξασται. ἐν τοῖς ἔθνεσι, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου. καὶ θυσία καθαρά. διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι λέγει κύριος παντοκράτωρ. ὑμεῖς δὲ βεβηλοῦτε αὐτὸ ἐν τῷ λέγειν ὑμᾶς. τράπεζα κυρίου ἠλισγημένη ἐστί. καὶ τὰ ἐπιτιθέμενα, ἐξουθένωται βρώματα αὐτῆς. καὶ εἴπατε ταῦτα ἐκ κακοπαθείας ἐστί. καὶ ἐξεφύσησα αὐτὰ λέγει κύριος παντοκράτωρ. καὶ εἰσφέρετε ἁρπάγματα. καὶ τὰ χωλά, καὶ τὰ ἐνοχλούμενα. καὶ προσφέρετε τὴν θυσίαν, εἰ προσδέξομαι αὐτὰ ἐκ τῶν χειρῶν ὑμῶν λέγει κύριος παντοκράτωρ. καὶ ἐπικατάρατος, ὃς ἦν δυνατὸς καὶ ὑπῆρχεν ἐν τῷ ποιμνίῳ αὐτοῦ ἄρσεν. καὶ εὐχὴ αὐτοῦ ἐπ' αὐτῷ. καὶ θύει διεφθαρμένον τῷ κυρίῳ. διότι βασιλεὺς μέγας ἐγώ εἰμι λέγει κύριος παντοκράτωρ. καὶ τὸ ὄνομά μου ἐπιφανὲς ἐν τοῖς ἔθνεσι.

Κεφ. β. 2.

κ αὶ νῦν ἡ ἐντολὴ αὕτη πρὸς ὑμᾶς. οἱ ἱερεῖς ἐὰν μὴ ἀκούσητε. καὶ ἐὰν μὴ θῆσθε εἰς τὴν καρδίαν ὑμῶν τοῦ δοῦναι δόξαν τῷ ὀνόματί μου λέγει κύριος παντοκράτωρ. καὶ ἐξαποστελῶ ἐφ' ὑμᾶς τὴν κατάραν καὶ ἐπικαταράσομαι τὴν εὐλογίαν ὑμῶν. καὶ καταράσομαι αὐτήν. καὶ οὐκ ἔσται ὑμῖν. ὅτι ἰδοὺ ἐγὼ ἀφορίζω ὑμῖν τὸν ὦμον. καὶ σκορ-

πιῶ ἤνυστρον ἐπὶ τὰ πρόσωπα ὑμῶν. ἤνυστρον ἑορτῶν ὑμῶν καὶ
λήψομαι ὑμᾶς εἰς τὸ αὐτό. καὶ ἐπιγνώσεσθε. διότι ἐγὼ ἐξαπέ-
σταλκα πρὸς ὑμᾶς τὴν ἐντολὴν ταύτην, τοῦ εἶναι διαθήκην μου
πρὸς τοὺς λευΐτας λέγει κύριος παντοκράτωρ. ἡ διαθήκη μου
ἦν μετ' αὐτοῦ τῆς ζωῆς. καὶ τῆς εἰρήνης. καὶ ἔδωκα αὐτῷ, φό-
βῳ φοβεῖσθαί με. καὶ ἀπὸ προσώπου ὀνόματός μου στέλλεσθαι
αὐτόν. νόμος ἀληθείας ἦν ἐν τῷ στόματι αὐτοῦ. ἀδικία οὐχ εὑρέ-
θη ἐν χείλεσιν αὐτοῦ. ἐν εἰρήνῃ κατευθύνων, ἐπορεύθη μετ' ἐ-
μοῦ. καὶ πολλοὺς ἐπέστρεψεν ἀπὸ ἀδικίας. ὅτι χείλη ἱερέως φυ-
λάξεται γνῶσιν. καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ. διό-
τι ἄγγελος κυρίου παντοκράτορός ἐστιν. ὑμεῖς δὲ ἐξεκλίνατε ἐκ
τῆς ὁδοῦ. καὶ ἠσθενήσατε πολλοὺς ἐν νόμῳ. διεφθείρατε τὴν
διαθήκην τοῦ λευΐ, λέγει κύριος παντοκράτωρ. κἀγὼ δέδω-
κα ὑμᾶς ἐξουδενωμένους καὶ ἀπερριμμένους εἰς πάντα τὰ ἔθνη.
ἀνθ' ὧν ὑμεῖς οὐ φυλάξασθε τὰς ὁδούς μου, ἀλλὰ ἐλαμβάνετε
πρόσωπα ἐν νόμῳ. οὐχὶ πατὴρ εἷς πάντων ὑμῶν. οὐχὶ θεὸς εἷς
ἔκτισεν ὑμᾶς; τί ὅτι ἐγκατελίπετε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ
τοῦ βεβηλῶσαι τὴν διαθήκην τῶν πατέρων ὑμῶν. Ἐγκατελεί-
φθη ἰούδας, καὶ βδέλυγμα ἐγένετο ἐν τῷ ἰσραήλ, καὶ ἐν ἱε-
ρουσαλήμ. διότι ἐβεβήλωσεν ἰούδας τὰ ἅγια κυρίου, ἐν οἷς
ἠγάπησε. καὶ ἐπετήδευσεν εἰς θεοὺς ἀλλοτρίους. ἐξολοθρεύσει
κύριος τὸν ἄνθρωπον τὸν ποιοῦντα ταῦτα. ἕως ἂν καὶ ταπεινω-
θῇ ἐκ σκηνωμάτων ἰακώβ. καὶ ἐκ προσαγόντων θυσίαν τῷ κυ-
ρίῳ παντοκράτορι, καὶ ταῦτα ἃ ἐμίσουν ἐποιήσατε, ἐκαλύ-
πτετε δάκρυσι τὸ θυσιαστήριον κυρίου καὶ κλαυθμῷ καὶ στενα-
γμῷ ἐκ κόπων, καὶ ἔτι ἄξιον ἐπιβλέψαι εἰς θυσίαν, ἢ λαβεῖν δε-
κτὸν ἐκ τῶν χειρῶν ὑμῶν; καὶ εἴπατε ἕνεκεν τίνος. ὅτι κύριος
διεμαρτύρατο ἀνὰ μέσον σοῦ. καὶ ἀνὰ μέσον γυναικὸς νεότη-
τός σου, ἣν ἐγκατέλιπες, καὶ αὐτὴ κοινωνός σου. καὶ γυνὴ δια-
θήκης σου, καὶ οὐ καλὸν ἐποίησε. καὶ ὑπόλειμμα πνεύματος

αὐτοῦ. καὶ εἴπατε τί ἄλλο ἢ σπέρμα ζητεῖ ὁ θεός. καὶ φυλάξασθε
ἐν τῷ πνεύματι ὑμῶν. καὶ γυναῖκα νεότητός σου μὴ ἐγκατα-
λίπῃς. ἀλλὰ ἐὰν μισήσας ἐξαποστείλας λέγει κύριος ὁ θεὸς τοῦ
ἰσραήλ, καὶ καλύψει ἀσέβεια ἐπὶ τὰ ἐνθυμήματά σου λέγει
κύριος ὁ θεὸς παντοκράτωρ. καὶ φυλάξασθε ἐν τῷ πνεύ-
ματι ὑμῶν. καὶ οὐ μὴ ἐγκαταλίπητε οἱ παροξύνοντες τὸν
κύριον ἐν τοῖς λόγοις ὑμῶν. καὶ εἴπατε ἐν τίνι παρωξύναμεν
σε; ἐν τῷ λαβεῖν ὑμᾶς, πᾶς ποιῶν πονηρόν, καλὸν ἐνώπιον
κυρίου. καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε. καὶ ποῦ ἐστιν ὁ θεὸς τῆς
δικαιοσύνης.

Κεφ. γ. 3.

Δοὺ ἐξαποστελῶ τὸν ἄγγελόν μου. καὶ ἐπιβλέψεται
i ὁδὸν πρὸ προσώπου μου. καὶ ἐξαίφνης ἥξει εἰς τὸν
ναὸν ἑαυτοῦ κύριος. ὃν ὑμεῖς ζητεῖτε. καὶ ὁ ἄγγε-
λος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. ἰδοὺ ἔρχεται λέγει κύ-
ριος παντοκράτωρ. καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐ-
τοῦ. ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; διότι αὐτὸς εἰ-
σπορεύεται ὡς πῦρ χωνευτηρίου. καὶ ὡς πόα πλυνόντων. καὶ
καθιεῖται χωρεύων καὶ καθαρίζων ὡς τὸ ἀργύριον, καὶ τὸ χρυ-
σίον καὶ καθαρίσει τοὺς υἱοὺς λευὶ καὶ χεεῖ αὐτούς, ὡς τὸ χρυ-
σίον καὶ ὡς τὸ ἀργύριον. καὶ ἔσονται τῷ κυρίῳ προσάγον-
τες θυσίας ἐν τῇ δικαιοσύνῃ. καὶ ἀρέσει τῷ κυρίῳ θυσία
ἰούδα ἐν ἱερουσαλήμ, καθὼς αἱ ἡμέραι τοῦ αἰῶνος, καὶ κα-
τὰ ἔτη ἔμπροσθεν. καὶ προσάξω πρὸς ὑμᾶς ἐν κρίσει καὶ ἔ-
σομαι μάρτυς ταχὺς ἐπὶ τὰς φαρμακοὺς, καὶ ἐπὶ τὰς μοι-
χαλίδας. καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματί μου, ἐπὶ ψεύ-
δει. καὶ ἐπὶ τοὺς ἀποστεροῦντας μισθὸν μισθωτοῦ. καὶ κατα-
δυναστεύοντας χήρας καὶ κονδυλίζοντας ὀρφανούς, καὶ τοὺς ἐκ-
κλίνοντας κρίσιν προσηλύτου. καὶ τοὺς μὴ φοβουμένους με,
λέγει κύριος παντοκράτωρ. διότι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν,

οὐκ ἠλλοίωμαι. καὶ ὑμεῖς οἱ υἱοὶ ἰακώβ. οὐκ ἀπέχεσθε ἀπὸ τῶν ἁμαρτιῶν τῶν πατέρων ὑμῶν. ἐξεκλίνατε νόμιμά μου. καὶ οὐκ ἐφυλάξατε ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς λέγει κύριος παντοκράτωρ, καὶ εἴπατε ἐν τίνι ἐπιστρέψομεν; εἰ πτερνιεῖ ἄνθρωπος θεόν. διότι ὑμεῖς πτερνίζετέ με. καὶ εἴπατε, ἐν τίνι ἐπτερνίσαμεν; ὅτι τὰ ἐπιδέκατα. καὶ αἱ ἀπαρχαὶ μεθ' ὑμῶν εἰσί. καὶ ἀποβλέποντες ὑμεῖς ἀποβλέπετε. καὶ ἐμὲ ὑμεῖς πτερνίζετε. τὸ ἔτος συνετέλεσε. καὶ εἰσηνέγκατε πάντα τὰ ἐκφόρια, εἰς τοὺς θησαυρούς. καὶ ἔσται ἡ διαρπαγὴ εἰς τοὺς οἴκους ὑμῶν. ἐπιστρέψατε δή, ἐν τούτῳ, λέγει κύριος παντοκράτωρ. ἐὰν μὴ ἀνοίξω ὑμῖν τοὺς καταῤῥάκτας τοῦ οὐρανοῦ. καὶ ἐκχεῶ τὴν εὐλογίαν μου ὑμῖν, ἕως τοῦ ἱκανωθῆναι. διαστελῶ ὑμῖν εἰς βρῶσιν, καὶ οὐ μὴ διαφθείρω ὑμῖν τὸν καρπὸν τῆς γῆς. καὶ οὐ μὴ ἀσθενήσῃ ὑμῶν ἡ ἄμπελος ἡ ἐν τῷ ἀγρῷ. λέγει κύριος παντοκράτωρ. καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη. διότι ἔσεσθε ὑμεῖς γῆ θελητὴ λέγει κύριος παντοκράτωρ. ἐβαρύνετε ἐπ' ἐμὲ τοὺς λόγους ὑμῶν λέγει κύριος. καὶ εἴπατε ἐν τίνι κατελαλήσαμεν κατὰ σοῦ; εἴπατε μάταιος ὁ δουλεύων θεῷ. καὶ τί πλεῖον, ὅτι ἐφυλάξαμεν τὰ φυλάγματα αὐτοῦ. καὶ διότι ἐπορεύθημεν ἱκέται πρὸ προσώπου κυρίου παντοκράτορος, καὶ νῦν ἡμεῖς μακαρίζομεν ἀλλοτρίους. καὶ ἀνοικοδομοῦνται πάντες, ποιοῦντες ἄνομα, καὶ ἀντέστησαν τῷ θεῷ. καὶ ἐσώθησαν. ταῦτα κατελάλησαν οἱ φοβούμενοι τὸν κύριον ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. καὶ προσέσχε κ͞ς, καὶ εἰσήκουσε καὶ ἔγραψε βιβλίον μνημοσύνου, ἐνώπιον αὐτοῦ τοῖς φοβουμένοις τὸν κ͞ν, καὶ εὐλαβουμένοις τὸ ὄνομα αὐτοῦ. καὶ ἔσονταί μοι λέγει κύριος παντοκράτωρ, εἰς ἡμέραν ἣν ἐγὼ ποιῶ ὡς περιποίησιν. καὶ αἱρετιῶ αὐτούς, ὃν τρόπον αἱρετίζει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, τὸν δουλεύοντα αὐτῷ. καὶ ἐπιστραφήσεσθε, καὶ ὄψεσθε ἀνὰ μέσον δικαίου, καὶ ἀνὰ μέσον ἀνόμου. καὶ ἀνὰ μέ-

τοῦ δουλεύοντος θεῷ. καὶ τοῦ μὴ δουλεύοντος.

Κεφ. δ. 4.

Τι ἰδοὺ ἡμέρα ἔρχεται καιομένη ὡς κλίβανος, καὶ
ὅ φλέξει αὐτοὺς καὶ ἔσονται πάντες οἱ ἀλλογενεῖς.
καὶ πάντες οἱ ποιοῦντες ἄνομα καλάμη. καὶ ἀνά-
ψει αὐτοὺς ἡ ἡμέρα ἡ ἐρχομένη λέγει κύριος παντοκράτωρ.
καὶ οὐ μὴ ὑπολειφθῇ ἐξ αὐτῶν ῥίζα, οὐδὲ κλῆμα καὶ ἀνατε-
λεῖ ὑμῖν τοῖς φοβουμένοις τὸ ὄνομά μου ἥλιος δικαιοσύνης. καὶ
ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ. καὶ ἐξελεύσεσθε καὶ σκιρτή-
σετε ὡς μοσχάρια ἐκ δεσμῶν ἀνειμένα. καὶ καταπατήσετε
ἀνόμους. καὶ ἔσονται σποδὸς ὑποκάτω τῶν ποδῶν ὑμῶν ἐν
τῇ ἡμέρᾳ ᾗ ἐγὼ ποιῶ λέγει κύριος παντοκράτωρ. μνήσθητε
νόμου μωϋσῆ τοῦ δούλου μου. καθότι ἐνετειλάμην αὐτῷ ἐν
χωρὴβ πρὸς πάντα τὸν λαὸν ἰσραὴλ, προστάγματα, καὶ δικαιώ-
ματα. καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν ἠλίαν τὸν θεσβίτην.
καὶ πρὶν ἐλθεῖν ἡμέραν κυρίου τὴν μεγάλην καὶ ἐπιφα-
νῆ. ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱόν.
καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον
αὐτοῦ. μὴ ἐλθὼν πατάξω τὴν
γῆν ἄρδην.

Τέλος Μαλαχίας.

# CANDIDO LECTORI.

h Ebræa Biblia, de græcis iudicare, nemini non compertum est, optime lector, quare si quid obscurum, si quid difficile, aut parũ fideliter redditum offenderis, ad hebræum fontem, ceu sacrã anchoram recurrendum est, proinde quæ hic adnotata sunt. & ex scriptis Biblijs, ijsq; uetustißimis, congesta, non sic adnotata sunt, ut Labyrinthum quẽdam tibi propter diuersitatem pariant, sed ut memineris, diuersos interpretes diuersa, ut fit, transtulisse, alium clarius, alium uero obscurius, alium prolixius alium breuius. Ex innumeris autem paucula quædã selegimus, quod uidebamur nullum operæ precium ideo facturi. Nam hebræa in ueteri Testamento potißimum te iuuent neceße est.

Vale.

# ΠΑΡΑΣΗΜΕΙΩΣΕΙΣ.

## ANNOTATIVNCVLAE diuersorum quorundam locorum, ex Aldinis, & scriptis in græcia uetustissimis Bibliis, congestorum.

### Genesis.

Fol.6.col.1.linea.10.κατάγαια.uetus κατώγαια.l.16.u.habet καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων.linea.19.uetus.ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν τοῦ οὐρανοῦ κατὰ γένος αὐτῶν.l.25.ἔσαι.u.ἔσονται.col.2.l.8.τῆς γῆς.u.addit ἀπὸ ἀνθρώπου ἕως κτήνους.l.27.θηρία.u.addit τῆς γῆς.

Fol.7.col.1.l.5.ἀπὸ τῆς γῆς.uetus ἐπὶ.l.16.ἐπιστρέψαι.u.ἀποστρέψαι.l.30.πᾶν πετεινόν.u.ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν.

Fol.8.col.1.linea.1.κιβωτοῦ.u.addit ἐν μιᾷ τοῦ μηνὸς τοῦ πρώτου.l.8.τοῦ ἀνθρώπου.u.addit ἐπιμελῶς.l.21.ὑποχειρίους.uetus ὑπὸ χεῖρας.

Fol.9.col.1.l.1.ὀπισθοφανῶς.u.ὀπισθοφανεῖς.linea.16.κήτιοι ῥόδιοι.uetus.χεττιεὶμ κόποι.l.22.γίγας.u.addit κυνηγός.l.25.τὴν νινευΐ.u.καὶ τὴν ῥοβωὸμ πόλιν καὶ τὴν χαλὰχ καὶ τὴν δάσιμαν, linea.27.νεφθαλιείμ.uetus ἐνεμεπιεὶμ. καὶ τοὺς χελωνιεὶμ.

Fol.10.col.1.l.1.ἐξαναρῆσαι.u.addit ὑμᾶς.col.2.l.3 post θυγατέρας.u.καὶ ἀπέθανε.l.7.γεννῆσαι.u.αὐτοῦ omittit ubique.l.18.νυμφὴν αὐτοῦ.u.addit καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ.

Fol.11.col.1.l.13.κατὰ θάλασσαν.u.καὶ ἄγγαι κατὰ ἀνατολάς.l.16.λιμῶς.ue.ad.μέγας.col.2.l.14.τὴν σκηνήν.u.τὴν αὐλήν.l.17.καὶ οὐκ ἐχώρει.u.καὶ οὐκ ἠδύναντο

περικεῖν ἅμα. li. 23. οὐκ ἰδοὺ. ue. καὶ ἰδοὺ.

Fol. 12. col. 1. li. 12. ὑπάρχοντα. ue. βρωτὰ. li. 16. ἀπήγγειλε. ue. τῷ ἄβραμ. li. 19. καὶ ὀκτὼ. ue. καὶ κατεδίωξαν ὀπίσω αὐτῶν ἕως δὰν καὶ ἐπέπεσαν. li. 20. post αὐτοῦ. ue. habet μετ᾽ αὐτοῦ.

Fol. 13. col. 1. li. 6. σφυροτῆρος. ue. σφαιρωτῆρος. li. 26. κληρονομῆσαι, ue. addit αὐτήν. col. 2. l. ... πατέρας. ue. μετ᾽ εἰρήνης addit. li. 11. οὔπω. ue. οὔτω γὰρ ἀναπληρώσονται. li. 15. τῷ ἀβράμ. ue. addit διαθήκην. li. 24. πρὸς ἄβραμ. ue. addit ἐν γῇ χαναάν.

Fol. 14. col. 1. linea. 8. ue. sic habet. ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος σοῦ ἐν τῇ ὁδῷ. c. 2. li. 8. εἴσω. ue. θήσω. li. 9. ἐμοῦ. ue. καὶ σοῦ. li. 14. διατηρήσεις. ue. sic habet. ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, σὺ καὶ τὸ σπέρμα σου μετά σε. li. 18. ἀρσενικόν. ue. addit εἰς τὰς γενεὰς αὐτῶν.

Fol. 15. c. 1. li. 2. ἔσονται. ue. ἐξελεύσονται. l. 6. ναί. ue. καὶ. li. 10. εὐλόγηκα αὐτὸν καὶ αὐξανῶ αὐτὸν καὶ πληθυνῶ αὐτὸν σφόδρα. l. 21. ἐν δὲ καιρῷ. pro hoc u. habet. ἰσμαὴλ δὲ ὁ υἱὸς αὐτοῦ ἦν ἐτῶν. ιγ. καὶ περιετμήθη ἀβραάμ. li. 26. καὶ εἶπεν. ue. addit αὐτῇ.

Fol. 16. c. 2. li. 17. ποῦ εἰσιν. ue. οἱ ἄνδρες οἱ εἰσελθόντες. li. 19. προσέταξε. ue. προσέταξε. li. 23. ποιήσητε. ue. ποιήσατε μηδὲν. li. 24. στέγην. ue. σκέπην.

Fol. 18. col. 1. li. 12. γῆ. ue. γυνή σου.

Fol. 19. col. 1. li. 29. ὀρύγματα. ue. addit χαῤῥάν.

Fol. 21. col. 1. li. 3. νεκρόν σου. ue addit ἀπὸ σοῦ, col. 2. li. 12. φυλήν μου. u. ad. καὶ εἰς τὸν οἶκον τοῦ πατρός μου. l. 30. παρά. ue. περί.

Fol. 22. c. 1. li. 26. post ὁλκῆς ue. addit καὶ ἔθηκεν εἰς τὰ ὦτα αὐτῆς.

Fol.23.col.1.li.28.ἐπιστρέψω.ue.ὑποστρέψω.
Fol.24.col.2.li.14.τοῦ σύρου.ue.addit ἐκ τῆς μεσοποταμίας.
Fol.25.col.1.li.14.φρέαρ.ue.addit ἐκεῖνο.
Fol.26.c.1.li.4.θυσιαστήριον.ue.addit τῷ κυρίῳ.l.26.τοῦ ὁρᾶν.ue.τοῦ μὴ ὁρᾶν.
Fol.27.col.1.li.14.πλήρους.ue.πλήρης.
Fol.28.col.1.l.7.μεσοποταμίαν.ue.addit συρίας.l.14.καὶ ἐπορεύθη.ue.καὶ ἀναστὰς ἰακὼβ ἐπορεύθη.col.2.l.3.ὡσεὶ ἄμμος τῆς γῆς.ue.ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ.li.15.αὐτῆς.ue.αὐτοῦ.
Fol.29.col.1.li.7.προβάτων.ue.τοῦ πατρὸς αὐτῆς.li.10.ἀποκυλίσουσι.ue.ἀποκυλίσωμεν.l.20.ὅτι ἀδελφός.&c.ue.ὅτι υἱὸς ῥεβέκκας ἐστὶν ἀδελφῆς τοῦ πατρὸς αὐτῆς,co.2.li.6.post αὐτὴν,ue.habet.εἶπε δὲ ἰακὼβ πρὸς λαβὰν, ἀπόδος μοι τὴν γυναῖκά μου.πεπλήρωνται γὰρ αἱ ἡμέραι ὅπως εἰσέλθω πρὸς αὐτήν.συνήγαγε δὲ λάβαν.li.24.ταπείνωσιν.ue.addit,μου.
Fol.30.col.1.li.17.συνελάβετο.ue.συνανελάβετο.l.20.γυναῖκα.ue.εἰσῆλθε δὲ ἰακὼβ πρὸς αὐτήν.συνέλαβε δέ.
Fol.31.col.1.li.6.κεκλεμμένον.ue.κεκλεσμένον.li.11.post αὐτοῦ,ue.habet ποίμνιον κατὰ μόνον.li.13.ἔλαβε δὲ ἰακὼβ αὐτῷ ῥάβδον στυρακίνην χλωρὰν, καὶ καρυΐνην, καὶ πλατάνου, καὶ ἐλέπησαν αὐτὰς ἰακὼβ λεπήσματα χλωρὰ,περισύρας τὸ χλωρὸν, τὸ ἐπὶ τὴν σκυτάλην ἐφαίνετο δὲ ἐπὶ τὰς ῥάβδους τὸ λευκὸν, ὃ ἐλέπησε ποικίλον καὶ παρέθηκε τὰς ῥάβδους ἃς ἐλέπησεν.
Fol.32.col.1.li.7.post αὐτοῦ.καὶ ἀνεβίβασαν αὐτὰς ἐπὶ τὰς καμήλους.li.23.ἔπηξε τὴν ὁδόν.ue.ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει.col.2.l.3.λάβαν.ue.ὅτι ἐφοβήθη εἶ

πού γὰρ μή ποτε·li·28·ἔτη,ue·addit καὶ εἰμὶ ἐγώ·
Fol·33·col·1·li·2·κόπον,ue·πόνον·li·7·οἷς,ue·οἵ·li·18·
μαρτυρεῖ,ue·μαρτύριον·li·21·post ὄρει,ue·ἐν ἐρέυνῃ·
Fol·34·col·1·l·9·προπορευόμενα,ue·ἔμπροσθεν τοῦ·l·12·
ποιμνίων,ue·ποιμένων·l·23·ἐπάλεσεν,ue·ἐπάλεσαν·c·
2·li·13·ἐποίησε,ue·ἔθετο·
Fol·35·col·1·li·5·αὐτὰ,ue·εἰς ἡμέραν μίαν ἢ δύο·li·17·
ue·εἶπε δὲ σιχὲμ πρὸς ἐμμὼρ τὸν πατέρα αὐτοῦ·col·2·
li·12·ἐν τούτῳ,ue·ἐν τῷ ὁμοιωθῆναι·
Fol·36·col·2·li·7·ἀλλοτρίους,ue·addit τοὺς μεθ᾽ ἡμῶν·
Fol·37·c·1·li·13·ἐφράθα,ue·addit τοῦ ἱπποδρόμου·li·28·
ἔτη·ue·addit
Fol·38·col·2·li·10·κτήσεως,ue·κατοικήσεως·
Fol·39·co·1·l·11·post πρὸς αὐτοὺς,ue·εἶπε δὲ ἰωσὴφ,ἰδοὺ
ἐγώ·c·2·l·5·ἰσμαηλῖται,ue·ἔμποροι·l·28·οἱ δὲ μαδ·
u·ἰσμαηλῖται ἔμποροι·l·29·ἀρχιμαγείρῳ·u·ἀρχιμάγῳ·
Fol·40·col·1·l·27·post αὐτοῦ ue·habet αὐτὸς καὶ ἦρας δ
ποιμὴν αὐτοῦ·col·2·l·6·ἀποστέλλω,ue·ἀποστελῶ·
Fol·42·col·2·li·19·δύο ἡμερῶν,ue·δύο ἔτη ἡμερῶν·
Fol·45·col·1·li·26·αὐτῶν,ue·ἀμφοτέρων·li·26·ἀποστρα
φεὶς,ue·ἀποκριθεὶς·col·2·li·8·post ἡμῖν,ue·habet καὶ
ἣν ἐπάνω τοῦ στόματος τοῦ μαρσίππου·
Fol·47·col·2·li·2·ἄνθρωποι,ue·ὄνοι·
Fol·48·co·1·l·2·ἐγγίσας·ue·ἐπιστὰς·li·13·post τοῦ,ue·σῶ
μα·li·8·τῇ μητρὶ,ue·τῷ πατρὶ·
Fol·52·col·1·li·30·ἐβαρυώπησαν,ue·ἐβαρύνθησαν·col·2·
li·9·ἐπέλαβεν,ue·ἐπέβαλεν·
Fol·54·col·2·li·29·ἔθαψαν,ue·addit καὶ ἔθηκαν·

Exodus·

Fol·58·col·1·li·29·ψυχὴν,ue·τοῦ addit·
Fol·59·col·1·li·17·λόγοις,ue·ἔργοις·li·20·post εὑρηθεὶς

ue. habet καὶ τὴν σύνταξιν τῆς πλινθουργίας ἀποδώσετε.

Fol. 62. col. 1. li. 5. ἐπαοιδίαις, ue. φαρμακίαις.

Fol. 63. col. 2. li. 9. ἐπέπαυχα, ue. ἐμπέπραχα.

Fol. 66. col. 1. li. 8. καταβοήσονται, ue. καταβήσονται.

Fol. 67. col. 2. l. 2. post πορεύεσθαι, ue. habet, καθάπερ εἰρήκατε. li. 12. ἀπὸ σκοῦῆς, ue. ἀπὸ αἰγύπτου λαὸς πολύς·

Fol. 72. col. 2. li. 29. μωϋσῆς, ue. κύριος. col. 2. li. 2. post τῷ μωϋσῇ, u. habet, ἔλαβε δὲ ἀαρὼν τὴν στάμνον, καὶ ἐνέβαλεν εἰς αὐτὴν, ἐκ τοῦ μάν, πλῆρες τὸ γόμορ.

Fol. 73. c. 1. l. 16. post πρὸς σὲ. ue. καὶ ἡ γυνή σου καὶ οἱ δύο.

Fol. 78. col. 2. li. 1. ἑβδόμῳ, ue. addit ἔτει. li. 26. post ἐπ' αὐτῷ, ue. ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ ποιήσητε πάντα ὅσα ἂν ἐντείλωμαί σοι, καὶ φυλάξητε τὴν διαθήκην μου ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ, ὑμεῖς δ' ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς ἰσραὴλ, ἐὰν ἀκοῇ ἀκούσῃ τῆς φωνῆς μου.

Fol. 82. col. 1. li. 13. σοι, ue. ἔσοι.

Fol. 84. col. 1. li. 11. ἀργύρεον, ue. ἰάκινθος. li. 19. post καθαροῦ, ue. habet, καὶ ποιήσεις ἐπὶ τοῦ λογίου, δύο δακτυλίους χρυσοῦς, καὶ δώσεις τοὺς δύο δακτυλίους ἐπὶ τῶν δύο ἄκρων τοῦ λογίου, καὶ δώσεις τὰ δύο ἀλυσίδωτα τὰ χρυσᾶ ἐπὶ τοῖς δυσὶ δακτυλίοις, πρὸς τὰ ἄκρα τοῦ λογίου, καὶ τὰ δύο ἄκρα τῶν ἀλύσεων δώσεις ἐπὶ τῶν δύο συσφίγκτων, καὶ δώσεις ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος ἐπὶ τὸ μέτωπον τοῦ προσώπου αὐτοῦ. καὶ ποιήσεις δύο δακτυλίους χρυσοῦς, καὶ θήσεις αὐτοὺς, ἐπὶ τὰ δύο ἄκρα τοῦ λογίου ἐπὶ τοῦ χείλους αὐτοῦ, ὅ ἐστιν εἰς τὸ μέρος τῆς ἐπωμίδος ἔσωθεν, καὶ ποιήσεις δύο δακτυλίους χρυσοῦς, καὶ δώσεις αὐτοὺς ἐπὶ τοὺς δύο ὤμους τῆς ἐπωμίδος κάτωθεν ἐκ τοῦ κατὰ πρόσωπον κατὰ τὴν συμβολὴν αὐτοῦ· ἐπάνω τοῦ μηχανήματος τῆς ἐπω-

μίδος, παρασυσφίξουσι τὸ λογεῖον ἐκ τοῦ δακτυλίου αὐτοῦ εἰς τὸν δακτύλιον, τῆς ἐπωμίδος ἐν κλώσματι ἰακινθίνῳ ἵνα ᾖ ἐπὶ τοῦ μηχανώματος τῆς ἐπωμίδος, καὶ οὐ μὴ ἀποσπάσῃς τὸ λογεῖον ἀπὸ τῆς ἐπωμίδος καὶ λήψεσθαι.

Fol.90.c.1.li.17. πενθικοῖς. ue. addit καὶ οὐκ ἔθηκαν ἀνὴρ κόσμον αὐτοῦ ἀπ' αὐτοῦ.

Fol.94.col.1.l.2. post σφραγῖδος, ue. habet καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων.

## Leuiticon.

Fol.99.col.1.li.6. κυρίῳ. ue. addit ἐὰν δὲ ἀπὸ τῶν πετεινῶν προσφέρῃ κάρπωμα, δῶρα τῷ κυρίῳ.

Fol.114.col.2.li.5. ἐγκτήτου. ue. ἐγκλήτου.

Fol.116.col.2.li.28. φάργους. ue. χειμάῤῥους.

Fol.120.col.2.li.11. διέφορον. ue. διάφορον.

Fol.129.col.1.li.7. δεσμὸν τοῦ ζυγοῦ. ue. ζυγὸν τοῦ δεσμοῦ.

## Numeri.

Fol.131.col.2.l.4. ue. habet post κυρίῳ, οὐκ ἐπισκέψεται ἀνὰ μέσον καλοῦ καὶ πονηροῦ.

Fol.140.col.2.li.3. ἠγμένος. ue. ηὐγμένος. li.6. post ἁγνείας. ue. habet αὐτοῦ τῷ κυρίῳ οὕτως ποιήσει.

Fol.143.col.1.l.26. post λυχνίας. ue. φαίνουσιν οἱ λύχνοι, καὶ ἐξῆψαν.

Fol.145.c.1.li.24. νότον. ue. πρὸς λίβα. col.2.li.22. ubi noster habet γεδσών. ue. ſemper habet γεδεών.

Fol.146.col.2.li.6. καὶ ἥλεον. ue. καὶ ἤλεθον αὐτὸν ἐν τῷ μύλῳ.

Fol.151.col.1.li.5. πεφυραμένης. ue. ἀναπεποιημένη ἐν ἐλαίῳ, ἐν τῷ τετάρτῳ τοῦ ἵν.

Fol.154.col.2.li.21. ἀπεκτάνκατε. ue. ἀπεκτάνατε.

Fol.163.col.1.li.5. ἀδελφοῦ. ue. λαόν.

Fol.174.col.1.li.13. σὶν. ue. σινᾶ.

## Deuteronomion.

Fol.178.col.2.l.19.παρέβητε.ue.οὐδὲ ποιήσετε κατὰ τὸ ῥῆμα κυρίου.
Fol.180.col.2.li.5.σπέρμα.ue.κατάλειμμα.
Fol.183.c.2.li.25.post ἕτεροι. uetus habet πλὴν ἡμῶν.
Fol.189.col.2.li.26.σκληροκαρδίαν.ue.habet τὴν ἀκροβυσίαν τῆς καρδίας ὑμῶν.
Fol.192.col.1.li.2.θυσιάσματα ὑμῶν.ue.habet καὶ τὰ δόματα καὶ τὰς εὐχὰς καὶ πᾶν ἐκλεκτῶν.
Fol.198.col.1.li.23.ἀφέξεσθε.ue.ἀκούσεσθε.
Fol.200.col.1.li.24.κριταὶ.ue.οἱ πρῶτοι.
Fol.204.c.1.li.28.τελευτηκότος.ue.addit ἀδελφοῦ αὐτοῦ.
Fol.214.col.2.l.22.σὶν.ue.σινᾶ.
Fol.216.col.1.li.11.ἐπὶ τοῦ ἰορδάνου.ue.ἐν τῷ πέραν τοῦ ἰορδάνου.

## Iosua.

Fol.216.col.2.li.14.post ὑμῶν.ue.ἐπ' αὐτὴν.li.23.κατὰ πάντα τὸν νόμον.ue.habet ποιεῖν.
F.217.c.1.l.30.κατεχάλασε αὐτοὺς.ue. addit ἐν σχοινίῳ.
Fol.220.col.2.li.28.post κύκλῳ ue. habet καὶ κυκλώσατε πόλιν ἑπτάκις καὶ ἱερεῖς σαλπιοῦσι τὰς σάλπιγγας.
Fol.224.col.2.li.6.ἐπέστησαν.ue.ἐπέρριψαν.
Fol.241.c.2.l.12.σκάνδαλα.ue.addit ἐν ταῖς πλευραῖς.

## Iudices.

Fol.247.c.2.l.12.καὶ εἶπεν αὐγλὼμ.ue.καὶ εἶπεν ἐγλὼμ σιώπα καὶ εἶπε πάντας ἐκ μέσου γενέσθαι.
Fol.249.col.2.li.6.ἄρατοπούς.ue.ἀπρόοικτος.
Fol.254.col.1.li.1.ἦσαν κεκρυμμένοι ἐν κάρκα.
Fol.255.col.1.li.16.κενοῦς.ue.λοιμὸς.li.25.ue.habet καὶ ἐπορεύθησαν τοῦ χρῖσαι τὸν ἀβιμέλεχ εἰς βασιλέα ὑπὸ κάτω τῆς δρυὸς τῆς οὔσης ἐν σικίμοις.li.25.ἐκάλεσε.u.ἔκλαυσε.

Fol. 256. col. 1. li. 20. πόλεως. ue. δυνάμεως.

Fol. 257. col. 1. li. 19. ἀνήρ. ue. ἕκαστος.

Fol. 263. col. 1. li. 26. διὰ τοῦτο. ue. habet διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου πηγή, ἐπικλήσεως σιαγόνος. col. 2. li. 6. ἐπελάσατο. ue. ἐπελάβετο.

Fol. 267. col. 1. li. 10. σειρὰς. ue. βοστρύχους.

Fol. 267. col. 2. li. 20. παρῆν. ue. εὐφράνθη εἰς συνάντησιν αὐτοῦ.

Fol. 270. col. 1. li. 14. καὶ ἡ συνταγὴ &c. ue. καὶ σημεῖον ἦν τοῖς υἱοῖς ἰσραὴλ μετὰ τοῦ ἐνέδρου τῆς μάχης, ἀνενέγκαι αὐτοῖς σύσημον κάπνου ἀπὸ τῆς πόλεως.

Fol. 271. col. 1. li. 17. παρεκλήθη. ue. παρεβλήθη.

Regum. I.

Fol. 31. col. 1. li. 19. κερᾶν. ue. ἄρσιν.

Fol. 32. col. 2. li. 13. εἰ ὑπολειφθήσεται. ue. οὐχ ὑπελείπετο.

Fol. 35. col. 2. li. 23. ἔπεψαν. ue. ἔψησαν.

Fol. 38. col. 1. li. 2. post αὐτοῦ, ue. habet σπάσαι τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἐκκεντῆσαι αὐτὸν ὅτι ἐφοβήθη.

Regum. II.

Fol. 68. col. 1. li. 10. καὶ νῦν. ue. sic habet, καὶ νῦν κύριε περίελε τὴν καρδίαν τοῦ δούλου σου ὅτι ἐματαιώθην σφόδρα.

Regum. III.

Fol. 69. co. 2. l. 20. post ἀδονίας καὶ ἰδοὺ ἔτι σοῦ λαλούσης ἐκεῖ μετὰ τοῦ βασιλέως, καὶ ἐγὼ ἐλεύσομαι ὀπίσω καὶ πληρώσω τοὺς λόγους σου, καὶ εἰσῆλθε βηρσάβεε πρὸς τὸν βασιλέα εἰς τὸ ταμιεῖον, καὶ ὁ βασιλεύς, πρεσβύτης σφόδρα, καὶ ἔκυψε καὶ προσεκύνησε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεύς. τί ἐστί σοι; ἡ δὲ εἶπε κύριέ μου σὺ ὤμοσας ἐν κυρίῳ θεῷ σου τῇ δούλῃ σου λέγων, ὅτι σολομῶν ὁ υἱός σου βασιλεύσει μετ᾽ ἐμοῦ, καὶ αὐτὸς καθίσεται ἐπὶ τοῦ θρόνου σου, καὶ νῦν ἰδοὺ ἀδονίας ἐβασίλευσε.

Fol.75.col.2.l.3.ue.addit, τοῦ ποιεῖν δικαίωμα. li.11.πατριᾶς.ue.σφαλιᾶς.

Fol.87.co.2.li.13.post αὐτὸν, ue.habet καὶ ὡς ἤκουσεν ἱεροβοὰμ υἱὸς ναβὰτ ἐν αἰγύπτῳ ταῦτα, κατευθύνει καὶ ἔρχεται εἰς τὴν πόλιν αὐτοῦ εἰς γῆν σαρίρα τὴν ἐν ὄρει ἐφραίμ.

Fol.88.col.1.li.24.post αὐτοῦ.ue.καὶ οἱ υἱοὶ ἰούδα καὶ ἰσραὴλ οἱ καταλειφθέντες ἐν ταῖς πόλεσι ἰούδα ἐβασίλευσαν ἐφ᾽ ἑαυτοῖς τὸν ῥοβοὰμ.col.2.l.5.post νεανιῶν.ue.οὗτος συνῴκησε τὴν πόλιν δαβίδ. καὶ ἦν ἐπαρόμενος ὑπὲρ τὴν βασιλείαν. ἱεροβοὰμ δὲ ἦλθεν εἰς σαρειρὰ, τὴν ἐν ὄρει ἐφραὶμ καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον ἐφραὶμ, καὶ ᾠκοδόμησεν ἐκεῖ ῥοβοὰμ χάρακα.

F.99.c.2.l.17.u.ἠλίου καὶ εἶπε, σὺ εἶ ἠλίου, καὶ ἐγὼ ἰεζάβελ.

## Regum.IIII.

Fol.104.col.2.li.9.ἐκάθηντο ἀνήρ.ue.ἐκάθηντο οἱ δύο βασιλεῖς ἐπὶ τὸν θρόνον.

Fol.109.col.2.li.19.τύπτοντες.ue.πίπτοντες.

## Paralip.I.

Fol.152.c.2.cl.2.ἡ καρδία.ue.sic habet. ἄνθρωποι ἡ καρδία καθ᾽ ἑαυτὴν ἐφ᾽ ἡμᾶς, καὶ εἰ τοῦ παραδοῦναί με τοῖς ἐχθροῖς μου οὐκ ἐν ἀληθείᾳ; εἰ δὲ ἐν ἀληθείᾳ χειρὸς οὐκ ἔχοντι, ἴδοι ὁ θεὸς τῶν πατέρων ὑμῶν καὶ ἐλέγξει.

F.163.c.2.l.16.καὶ οἱ ἀδελφοὶ αὐτοῦ.ue.σὺν τοῖς μετ᾽ αὐτοῦ.

Fol.165.col.1.li.11.λόγον, ue.ἔργον.

Fol.167.col.1.li.2.post κυρίου, ue.εἰς τὸ χρυσίον καὶ τὸν σταθμὸν τῆς ὁλκῆς αὐτῶν ἐν πᾶσι τοῖς σκεύεσι δουλείας, καὶ δουλείας ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ πάντα ἐν σταθμῷ ἐν παντὶ τῶν λυχνιῶν τῶν χρυσῶν, καὶ τῶν λυχνιῶν αὐτῶν, καὶ τῶν ἀργυρῶν λυχνιῶν τὴν ὁλκὴν ἔδωκε αὐτῷ ὁμοίως, καὶ τὸν σταθμὸν τῶν τραπεζῶν &c.

ΤΕΛΟΣ.


Ce
phal.

# ΑΠΟΚΡΥΦΟΙ ΑἹ ΠΑΡ' ΕΒΑΊΟΙΣ ΕΚ ΤΟΥ ΤΩΝ ΑΞΙΟΠΊΣΤΩΝ ΑΡΙΘΜΟΥ ΣΥΓΚΑΘΊΣΤΑΝΤΑΙ.


| | |
|---|---|
| Τωβίτ. | 1. |
| Ἰουδήθ. | 2. |
| Βαρούχ. | 3. |
| Ἐπιστολὴ Ἱερεμίου. | 4. |
| Ὠδὴ τριῶν παίδων. | 5. |
| Ἔσδρας. | 6. |
| Σοφία Σολομῶντος. | 7. |
| Σοφία Ἰησοῦ υἱοῦ σειράχ. | 8. |
| Σωσάννης καὶ δράκοντος παραδείγματα. | 9. |
| Μακκαβαίων λόγοι τρεῖς. | 10. |
| Ἰωσήπου περὶ μακκαβαίων. | 10. |

# ΤΩΒΙ'Τ.

Κεφάλαιον. α. 1.

Βίβλος λόγων τωβίτ, τοῦ τωβιὴλ τοῦ ἀνα-
νιὴλ, τοῦ ἀδουὴλ. τοῦ γαβαὴλ ἐκ τοῦ σπέρ-
ματος ἀσιὴλ ἐκ τῆς φυλῆς νεφθαλείμ·
ὃς ἠχμαλωτεύθη ἐν ἡμέραις ἐνεμεσ-
σάρου τοῦ βασιλέως ἀσσυρίων ἐκ θίσβης
ἥ ἐστιν ἐκ δεξιῶν κυδίως τῆς νεφθαλεὶμ ἐν
τῇ γαλιλαίᾳ ὑπεράνω ἀσήρ.

Ἐγὼ τωβὶτ ὁδοῖς ἀληθείας ἐπορευόμην, καὶ δικαιοσύνης
πάσας τὰς ἡμέρας τῆς ζωῆς μου, καὶ ἐλεημοσύνας πολλὰς ἐ-
ποίουν τοῖς ἀδελφοῖς μου καὶ τῷ ἔθνει μου. τοῖς συμπορευ-
θεῖσι μετ᾽ ἐμοῦ εἰς χώραν ἀσσυρίων εἰς νινευῆ. καὶ ὅτε ἤμην ἐν
τῇ χώρᾳ μου ἐν τῇ γῇ ἰσραὴλ νεωτέρου μου ὄντος πᾶσα φυλὴ τοῦ
νεφθαλεὶμ τοῦ πατρός μου, ἀπέστη ἀπὸ τοῦ οἴκου ἱεροσολύμων
τῆς ἐκλεγείσης ἀπὸ πασῶν τῶν φυλῶν ἰσραὴλ, εἰς τὸ θυσιά-
ζειν πάσας τὰς φυλάς. καὶ ἡγιάσθη ὁ ναὸς τῆς κατασκηνώσεως
τοῦ ὑψίστου. καὶ ᾠκοδομήθη εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος,
καὶ πᾶσαι αἱ φυλαὶ αἱ συναποστᾶσαι ἔθυον τῇ βάαλ τῇ δαμά-
λει, καὶ ὁ οἶκος νεφθαλεὶμ τοῦ πατρός μου. καὶ ἐγὼ μόνος ἐπορευό-
μην πλεονάκις εἰς ἱερουσαλὴμ ἐν ταῖς ἑορταῖς καθὼς γέγραπται
παντὶ τῷ λαῷ ἰσραὴλ, ἐν προστάγματι αἰωνίῳ τὰς ἀπαρχὰς
καὶ τὰς δεκάτας τῶν γενημάτων. καὶ τὰς πρωτοκουρίας ἔχων. καὶ
ἐδίδουν αὐτὰ τοῖς ἱερεῦσι τοῖς υἱοῖς ἀαρὼν πρὸς τὸ θυσιαστή-
ριον πάντων τῶν γενημάτων, τὴν πρώτην δεκάτην ἐδίδουν

τοῖς υἱοῖς ἀαρὼν τοῖς θεραπεύουσι ἱερουσαλὴμ, τὴν δευτέραν δεκάτην ἀπεπρατιζόμην. καὶ ἐπορευόμην, καὶ ἐδαπάνων αὐτὰ ἐν ἱερουσαλὴμ, καθέκαστον ἐνιαυτὸν, καὶ τὴν τρίτην ἐδίδουν οἷς καθήκει καθὼς ἐνετείλατο δεββώρα ἡ μήτηρ τοῦ πατρός μου, διότι ὀρφανὸς κατελείφθην ὑπὸ τοῦ πατρός μου.

Καὶ ὅτε ἐγενόμην ἀνὴρ, ἔλαβον ἄνναν γυναῖκα ἐκ τοῦ σπέρματος τῆς πατριᾶς μου, καὶ ἐγέννησα ἐξ αὐτῆς τωβίαν.

Καὶ ὅτε ᾐχμαλωτίσθην εἰς νινευὴ πάντες οἱ ἀδελφοί μου, καὶ οἱ ἐκ τοῦ γένους μου ἤσθιον ἐκ τῶν ἄρτων τῶν ἐθνῶν, ἐγὼ δὲ συνετήρησα τὴν ψυχήν μου μὴ φαγεῖν καθότι ἐμεμνήμην τοῦ θεοῦ ἐν ὅλῃ τῇ ψυχῇ μου.

Καὶ ἔδωκεν ὁ ὕψιστος χάριν, καὶ μορφὴν ἐνώπιον ἐνεμεσσάρου, καὶ ἤμην αὐτοῦ ἀγοραστὴς, καὶ ἐπορευόμην εἰς τὴν μηδίαν καὶ παρεθέμην γαβαήλῳ τῷ ἀδελφῷ γαβρία ἐν ἀγροῖς τῆς μηδίας ἀργυρίου τάλαντα δέκα.

Καὶ ὅτε ἀπέθανεν ἐνεμεσσάρου ἐβασίλευσε σενναχηρεὶμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, καὶ αἱ ὁδοὶ αὐτοῦ ἠκατέστησαν, καὶ οὐκέτι ἠδυνήθην πορευθῆναι εἰς τὴν μηδίαν.

Καὶ ἐν ταῖς ἡμέραις ἐνεμεσσάρου ἐλεημοσύνας πολλὰς ἐποίουν, τοῖς ἀδελφοῖς μου. τοὺς ἄρτους μου ἐδίδουν τοῖς πεινῶσι καὶ τὰ ἱμάτιά μου τοῖς γυμνοῖς, καὶ ἅτινα ἐκ τοῦ γένους μου ἐθεώρουν τεθνηκότα, καὶ ἐρριμμένον ὀπίσω τοῦ τείχους εἰς νινευὴ ἔθαπτον αὐτόν. καὶ ἅτινα ἀπέκτεινε σενναχηρεὶμ ὁ βασιλεὺς ὅτε ἦλθε φεύγων ἐκ τῆς ἰουδαίας, ἔθαψα αὐτοὺς κλέπτων. πολλοὺς γὰρ ἀπώλεσεν ἐν τῷ θυμῷ αὐτοῦ, καὶ ἐζητήθη ὑπὸ τοῦ βασιλέως τὰ σώματα, καὶ οὐχ εὑρέθη. πορευθεὶς δὲ εἷς τῶν νινευητῶν ὑπέδειξε τῷ βασιλεῖ περὶ ἐμοῦ, ὅτι ἔθαπτον αὐτοὺς, καὶ ἐκρύβην. ἐπιγνοὺς δὲ ὅτι ζητοῦμαι ἀποθανεῖν, φοβηθεὶς ἀνεχώρησα. καὶ διηρπάγη πάντα τὰ ὑπάρχοντά μου. καὶ οὐ κατελείφθη μοι οὐδὲν. πλὴν ἄννα τῆς γυναικός μου. καὶ τωβίου

τοῦ υἱοῦ μου, καὶ οὐ διῆλθον ἡμέραι πεντήκοντα πέντε ἕως οὗ ἀπέκτειναν αὐτὸν, οἱ δύο υἱοὶ αὐτοῦ.

Καὶ ἔφυγον εἰς τὰ ὄρη ἀραρὰθ, καὶ ἐβασίλευσε σαρχεδόνος υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ, καὶ ἔταξεν ἀχιάχαρον ἀναὴλ τὸν υἱὸν τοῦ ἀδελφοῦ μου ἐπὶ πᾶσαν τὴν ἐκλογιστίαν τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπὶ πᾶσαν τὴν διοίκησιν. καὶ ἠξίωσεν ἀχιάχαρος περὶ ἐμοῦ, καὶ ἦλθον εἰς νινευή. ἀχιάχαρος δὲ ἦν οἰνοχόος, καὶ ἐπὶ τοῦ δακτυλίου, καὶ διοικητὴς, καὶ ἐκλογιστής. καὶ κατέστησεν αὐτὸν ὁ σαρχεδόνος ἐκ δευτέρας. ἦν δὲ ἐξάδελφός μου.

Κεφαλ. β. 2.

Τε δὲ κατῆλθον εἰς τὸν οἶκόν μου, καὶ ἀπεδόθη μοι ἄν-
ο να ἡ γυνή μου. καὶ τωβίας ὁ υἱός μου ἐν τῇ πεντη-
κοστῇ τῇ ἑορτῇ ἥ ἐστιν ἁγία ἑπτὰ ἑβδομάδων, ἐγεννήθη ἄριστον καλόν μοι, καὶ ἀνέπεσα τοῦ φαγεῖν. καὶ ἐθεασάμην ὄψα πολλὰ, καὶ εἶπα τῷ υἱῷ μου. βάδιζε ἄγαγε ὃν ἂν εὕρῃς τῶν ἀδελφῶν ἡμῶν ἐνδεῆ, ὃς μέμνηται τοῦ κυρίου, καὶ ἰδοὺ μένω σε, καὶ ἐλθὼν εἶπεν. πάτερ εἷς ἐκ τοῦ γένους ἡμῶν. ἐστραγγαλωμένος ἔρριπται ἐν τῇ ἀγορᾷ. κἀγὼ πρὶν ἢ γεύσασθαί με. ἀναπηδήσας ἀνειλόμην αὐτὸν εἰς οἴκημα ἕως ὅτε ἔδυ ὁ ἥλιος. καὶ ἐπιστρέψας ἐλουσάμην, καὶ ἤσθιον τὸν ἄρτον μου ἐν λύπῃ, καὶ ἐμνήσθην τῆς προφητείας ἀμῶς καθὼς εἶπεν. στραφήσονται αἱ ἑορταὶ ὑμῶν εἰς πένθος. καὶ πᾶσαι αἱ εὐφροσύναι ἡμῶν εἰς θρῆνον. καὶ ἔκλαυσα. καὶ ὅτε ἔδυ, ὁ ἥλιος. ᾠχόμην, καὶ ὀρύξας ἔθαψα αὐτόν.

Καὶ οἱ πλησίον ἐπεγέλων λέγοντες. οὐκ ἔτι φοβεῖται οὗτος φονευθῆναι περὶ τοῦ πράγματος τούτου καὶ ἀπέδρα, καὶ ἰδοὺ πάλιν θάπτει τοὺς νεκρούς.

Καὶ ἐν αὐτῇ τῇ νυκτὶ ἀνέλυσα θάψας, καὶ ἐκοιμήθην μεμιαμμένος παρὰ τὸν τοῖχον τῆς αὐλῆς. καὶ τὸ πρόσωπόν μου ἀνακάλυπτον ἦν. καὶ οὐκ ᾔδειν ὅτι στρουθία ἐν τῷ τοίχῳ ἐστὶ, καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ

στρουθία, θερμὸν εἰς τοὺς ὀφθαλμούς μου· καὶ ἐγενήθη λευκώματα ἐν τοῖς ὀφθαλμοῖς μου, καὶ ἐπορεύθην πρὸς ἰατροὺς· καὶ οὐκ ὠφέλησάν με. Ἀχιάχαρος δὲ ἔτρεφέ με ἕως οὗ ἐπορεύθην εἰς τὴν ἐλυμαΐδα. καὶ ἡ γυνή μου ἄννα ἠειθύετο ἐν τοῖς γυναικείοις. καὶ ἀπέστελλε τοῖς κυρίοις, καὶ ἀπεδίδωκαν αὐτῇ. καὶ αὐτοὶ τὸν μισθὸν προσδόντες, καὶ ἔριφον. ὅτε δὲ ἦλθε πρός με ἤρξατο κράζειν. καὶ εἶπον αὐτῇ· πόθεν τὸ ἐρίφιον. μὴ κλεψιμαῖόν ἐστιν; ἀπόδος αὐτὸ τοῖς κυρίοις, οὐ γὰρ θεμιτόν ἐστι φαγεῖν κλεψιμαῖον. ἡ δὲ εἶπε· δῶρον δέδωταί μοι ἐπὶ τῷ μισθῷ. καὶ οὐκ ἐπίστευον αὐτῇ. καὶ ἔλεγον ἀποδιδόναι αὐτὸ τοῖς κυρίοις, καὶ ἠρυθρίων πρὸς αὐτήν. ἡ δὲ ἀποκριθεῖσα εἶπέ μοι· ποῦ εἰσιν αἱ ἐλεημοσύναι σου· καὶ αἱ δικαιοσύναι σου ἰδοὺ γνωστὰ πάντα μετὰ σοῦ.

## Κεφάλαιον. γ. 3.

Αἱ λυπηθεὶς ἔκλαυσα. καὶ προσηυξάμην μετ' ὀδύ-
κ νης λέγων. δίκαιος εἶ κύριε, καὶ πάντα τὰ ἔργα σου
καὶ πᾶσαι αἱ ὁδοί σου ἐλεημοσύνη καὶ ἀλήθεια. καὶ κρίσιν ἀληθινὴν, καὶ δικαίαν σὺ κρίνεις εἰς τὸν αἰῶνα μνήσθητί μου, καὶ ἐπίβλεψον ἐπ' ἐμέ. μή με ἐκδικήσεις ταῖς ἁμαρτίαις μου, καὶ τοῖς ἀγνοήμασί μου, καὶ τῶν πατέρων μου οἳ ἥμαρτον ἐνώπιόν σου. παρήκουσαν γὰρ τῶν ἐντολῶν σου, καὶ ἔδωκας ἡμᾶς εἰς διαρπαγὴν. καὶ αἰχμαλωσίαν, καὶ θάνατον, καὶ παραβολὴν ὀνειδισμοῦ πᾶσιν οἷς ἐσκορπίσμεθα. καὶ νῦν πολλαὶ αἱ κρίσεις σου εἰσὶν ἀληθιναί. ἐξ ἐμοῦ ποιῆσαι ὑπὲρ τῶν ἁμαρτιῶν μου, καὶ τῶν πατέρων μου. ὅτι οὐκ ἐποιήσαμεν τὰς ἐντολάς σου. οὐ γὰρ ἐπορεύθημεν ἐν ἀληθείᾳ ἐνώπιόν σου. καὶ νῦν κατὰ τὸ ἀρεστὸν ἐνώπιόν σου ποίησον μετ' ἐμοῦ. ἐπίταξον ἀναλαβεῖν τὸ πνεῦμά μου, ὅπως ἀπολυθῶ, καὶ γένωμαι γῆ. διότι λυσιτελεῖ μοι ἀποθανεῖν ἢ ζῆν. ὅτι ὀνειδισμοὺς ψευδεῖς ἤκουσα, καὶ λύπη ἐστὶ πολλὴ ἐν ἐμοί. ἐπίταξον ἀπολυθῆναί με τῆς ἀνάγκης ἤδη εἰς τὸν αἰώνιον

τόπον· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

Ἐν τῇ αὐτῇ ἡμέρᾳ συνέβη τῇ θυγατρὶ Ῥαγουὴλ Σάῤῥᾳ ἐν Ἐκβατάνοις τῆς Μηδείας, καὶ ταύτην ὀνειδισθῆναι ὑπὸ παιδισκῶν τοῦ πατρὸς αὐτῆς, ὅτι ἦν δεδομένη ἀνδράσιν ἑπτά· καὶ Ἀσμοδαῖος τὸ πονηρὸν δαιμόνιον ἀπέκτενεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξί, καὶ εἶπον αὐτῇ· οὐ συνιεῖς ἀποπνίγουσά σου τοὺς ἄνδρας; ἤδη ἑπτὰ ἄνδρας ἔσχες, καὶ ἑνὸς αὐτῶν οὐκ ὠνομάσθης. τί ἡμᾶς μαστιγοῖς περὶ αὐτῶν; εἰ ἀπέθανον, βάδιζε μετ' αὐτῶν· μὴ ἴδοιμέν σου, υἱὸν ἢ θυγατέρα εἰς τὸν αἰῶνα.

Ταῦτα ἀκούσασα ἐλυπήθη σφόδρα, ὥστε ἀπάγξασθαι, καὶ εἶπεν· μία μέν εἰμι τῷ πατρί μου· ἐὰν ποιήσω τοῦτο, ὄνειδος αὐτῷ ἐστί· καὶ τὸ γῆρας αὐτοῦ κατάξω μετ' ὀδύνης, εἰς ᾅδου. καὶ ἐδεήθη πρὸς τῇ θυρίδι, καὶ εἶπεν· εὐλογητὸς εἶ κύριε ὁ θεός μου, καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης σου, τὸ ἅγιον καὶ ἔντιμον εἰς τοὺς αἰῶνας. εὐλογήσαισάν σε πάντα τὰ ἔργα σου εἰς τὸν αἰῶνα. καὶ νῦν κύριε τοὺς ὀφθαλμούς μου, καὶ τὸ πρόσωπόν μου εἰς σὲ δέδωκα. εἶπον ἀπολῦσαί με ἀπὸ τῆς γῆς, καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν. σὺ γινώσκεις κύριε, ὅτι καθαρά εἰμι ἀπὸ πάσης ἁμαρτίας ἀνδρός. καὶ οὐκ ἐμόλυνα τὸ ὄνομά μου οὐδὲ τὸ ὄνομα τοῦ πατρός μου ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου. μονογενής εἰμι τῷ πατρί μου. καὶ οὐχ ὑπάρχει αὐτῷ παιδίον ὃ κληρονομήσει αὐτόν. οὐδὲ ἀδελφὸς ἐγγύς. οὐδὲ ὑπάρχων αὐτῷ υἱὸς ἵνα συντηρήσω ἐμαυτὴν αὐτῷ γυναῖκα. ἤδη ἀπώλοντό μοι ἑπτά. ἵνα τί μοι ζῆν. καὶ εἰ μὴ δοκεῖ σοι ἀποκτεῖναί με, ἐπίταξον ἐπιβλέψαι ἐπ' ἐμέ. καὶ ἐπ' ἐμὲ ἐλεῆσαί με καὶ μὴ ἀκοῦσαί με μηκέτι ὀνειδισμόν.

Καὶ εἰσηκούσθη ἡ προσευχὴ ἀμφοτέρων ἐνώπιον τῆς δόξης τοῦ μεγάλου θεοῦ· καὶ ἀπεστάλη Ῥαφαὴλ ἰάσασθαι τοὺς δύο· Τωβὶτ, λεπίσαι τὰ λευκώματα, καὶ Σάῤῥαν τὴν τοῦ Ῥαγουὴλ δοῦ-

ναι τῷ τωβίᾳ τῷ υἱῷ τωβὶτ γυναῖκα, καὶ δῆσαι ἀσμοδαῖον τὸ πονηρὸν δαιμόνιον, διότι τωβίᾳ ἐπιβάλλει κληρονομῆσαι αὐτήν.

Εν αὐτῷ τῷ καιρῷ, ἐπιστρέψας τωβὶτ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ, καὶ σάῤῥα ἡ τοῦ ῥαγουὴλ κατέβη ἐκ τοῦ ὑπερῴου αὐτῆς.

Κεφάλαιον. δ. 4.

Ν τῇ ἡμέρᾳ ἐκείνῃ ἐμνήσθη τωβὶτ περὶ τοῦ ἀργυρίου οὗ παρέθετο γαβαήλῳ ἐν ῥάγοις τῆς μηδίας. καὶ εἶπεν ἐν ἑαυτῷ. ἐγὼ ᾐτησάμην θάνατον. τί οὐ καλῶ τωβίαν τὸν υἱόν μου, ἵνα αὐτῷ ὑποδείξω, πρὶν ἀποθανεῖν με. καὶ καλέσας αὐτὸν εἶπεν παιδίον ἐὰν ἀποθάνω θάψον με, καὶ μὴ ὑπερίδῃς τὴν μητέρα σου. τίμα αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς, καὶ ποίει τὸ ἀρεστὸν αὐτῇ, καὶ μὴ λυπήσῃς αὐτήν. μνήσθητι παιδίον, ὅτι πολλοὺς κινδύνους ἑώρακεν ἐπὶ σοὶ ἐν τῇ κοιλίᾳ. ὅταν ἀποθάνῃ θάψον αὐτὴν παρ' ἐμοὶ ἐν ἑνὶ τάφῳ πάσας τὰς ἡμέρας παιδίον κυρίου τοῦ θεοῦ ἡμῶν μνημόνευε. καὶ μὴ θελήσῃς ἁμαρτάνειν, καὶ παραβῆναι τὰς ἐντολὰς αὐτοῦ, καὶ δικαιοσύνην ποίει πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ μὴ πορευθῇς ταῖς ὁδοῖς τῆς ἀδικίας. διότι ποιοῦντός σου τὴν ἀλήθειαν εὐοδίαι ἔσονται ἐν τοῖς ἔργοις σου. καὶ πᾶσι τοῖς ποιοῦσι τὴν δικαιοσύνην. ἐκ τῶν ὑπαρχόντων σοι ποίει ἐλεημοσύνην. καὶ μὴ φθονησάτω σου ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ παντὸς πτωχοῦ. καὶ ἀπὸ σοῦ οὐ μὴ ἀποστραφῇ τὸ πρόσωπον τοῦ θεοῦ, ὡς σοὶ ὑπάρχει κατὰ τὸ πλῆθος ποίησον ἐξ αὐτῶν ἐλεημοσύνην. ἐὰν ὀλίγον σοι ὑπάρχῃ κατὰ τὸ ὀλίγον μὴ φοβοῦ ποιεῖν ἐλεημοσύνην. θέμα γὰρ ἀγαθὸν θησαυρίζεις σεαυτῷ εἰς ἡμέραν ἀνάγκης. διότι ἐλεημοσύνη ἐκ θανάτου ῥύεται, καὶ οὐκ ἐᾷ εἰσελθεῖν εἰς τὸ σκότος. δῶρον γὰρ ἀγαθὸν ἐστὶν ἐλεημοσύνη πᾶσι τοῖς ποιοῦσιν αὐτὴν ἐνώπιον τοῦ ὑψίστου. πρόσεχε σεαυτῷ παιδίον ἀπὸ πάσης πορνείας, καὶ γυναῖκα πρῶτον λάβε ἀπὸ τοῦ σπέρματος τῶν πατέρων σου, καὶ μὴ λάβῃς γυναῖκα ἀλλοτρίαν,

ἣ οὐκ ἔστιν ἐκ τῆς φυλῆς τοῦ πατρός σου. διότι υἱοὶ προφητῶν
ἐσμέν. νῶε, ἀβραάμ, ἰσαάκ, ἰακώβ. οἱ πατέρες ἡμῶν ἀπὸ τοῦ
αἰῶνος. μνήσθητι παιδίον ὅτι οὗτοι πάντες ἔλαβον γυναῖκας
ἀπὸ τῶν ἀδελφῶν αὐτῶν. καὶ εὐλογήθησαν ἐν τοῖς τέκνοις αὐ-
τῶν. καὶ τὸ σπέρμα αὐτῶν κληρονομήσει γῆν. καὶ νῦν παιδίον
ἀγάπα τοὺς ἀδελφούς σου, καὶ μὴ ὑπερηφανεύου ἐν τῇ καρδίᾳ
σου ἀπὸ τῶν ἀδελφῶν σου. καὶ τῶν υἱῶν. καὶ θυγατέρων τοῦ
λαοῦ σου, λαβεῖν σεαυτῷ ἐξ αὐτῶν γυναῖκα διότι ἐν τῇ ὑπερη-
φανίᾳ ἀπώλεια καὶ ἀκαταστασία πολλή, καὶ ἐν τῇ ἀχρειότητι
ἐλάττωσις, καὶ ἔνδεια μεγάλη. ἡ γὰρ ἀχρειότης μήτηρ ἐστὶ τοῦ
λιμοῦ. μισθὸς παντὸς ἀνθρώπου ὃς ἐὰν ἐργάσηταί σοι παρὰ σοὶ
μὴ αὐλισθήτω. ἀλλ᾽ ἀπόδος αὐτῷ παραυτίκα. καὶ ἐὰν δου-
λεύσῃ τῷ θεῷ ἀποδοθήσεταί σοι πρόσεχε σεαυτῷ παιδίον
ἐν πᾶσι τοῖς ἔργοις σου. καὶ ἴσθι πεπαιδευμένος ἐν πάσῃ ἀνα-
στροφῇ σου. καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. οἶνον εἰς μέθην μὴ πί-
ῃς. καὶ μὴ πορευθήτω μετὰ σοῦ μέθη ἐν τῇ ὁδῷ σου. ἐκ τοῦ ἄρ-
του σου, δίδου πεινῶντι. καὶ ἐκ τῶν ἱματίων σου, τοῖς γυμνοῖς. πᾶν
ὃ ἐὰν περισσεύσῃ, ποίει ἐλεημοσύνην, καὶ μὴ φθονησάτω, σου
ὁ ὀφθαλμὸς ἐν τῷ ποιεῖν σε ἐλεημοσύνην. ἔκχεον τοὺς ἄρτους
σου ἐπὶ τὸν τάφον τῶν δικαίων, καὶ μὴ δῷς τοῖς ἁμαρτωλοῖς.
συμβουλίαν παρὰ παντὸς φρονίμου ζήτησον. καὶ μὴ καταφρονή-
σῃς ἐπὶ πάσης συμβουλίας χρησίμης. καὶ ἐν παντὶ καιρῷ εὐ-
λόγει κύριον τὸν θεόν σου, καὶ παρ᾽ αὐτοῦ αἴτησον, ὅπως αἱ ὁδοί
σου εὐθεῖαι γένωνται. καὶ πᾶσαι αἱ τρίβοι σου. καὶ αἱ βουλαί σου
εὐοδωθῶσιν, διότι πᾶν ἔθνος οὐκ ἔχει βουλήν, ἀλλ᾽ αὐτὸς ὁ κύ-
ριος δίδωσι πάντα τὰ ἀγαθὰ καὶ ὃν θέλει ταπεινοῖ καθὼς βού-
λεται. καὶ νῦν παιδίον μνημόνευε τῶν ἐντολῶν μου, καὶ μὴ ἐξα-
λειφθήτωσαν ἐκ τῆς καρδίας σου. καὶ νῦν ὑποδεικνύω σοι τὰ δέ-
κα τάλαντα τοῦ ἀργυρίου, ἃ παρεθέμην γαβαήλῳ τῷ τοῦ γα-
βρία ἐν ῥάγοις τῆς μηδίας. καὶ μὴ φοβοῦ παιδίον, ὅτι ἐπτωχεύ-

σαμεν. ὑπάρχει σοι πολλὰ ἐὰν φοβῇ τὸν θεόν. καὶ ἀποστῇς ἀπὸ πάσης ἁμαρτίας, καὶ ποιήσῃς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ.

Κεφ. ε. 5.

κ ΚΑὶ ἀποκριθεὶς τωβίας εἶπεν. πάτερ, ποιήσω πάντα ὅσα ἐντέταλσαί μοι, ἀλλὰ πῶς δυνήσομαι λαβεῖν τὸ ἀργύριον, καὶ οὐ γινώσκω αὐτόν;

Καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον, καὶ εἶπεν αὐτῷ ζήτησον σεαυτῷ ἄνθρωπον, ὃς συμπορεύσεταί σοι, καὶ δώσω αὐτῷ μισθὸν ἕως ζῶ, καὶ λάβε πορευθεὶς τὸ ἀργύριον.

Καὶ ἐπορεύθη ζητῆσαι ἄνθρωπον, καὶ εὗρε τὸν ῥαφαὴλ ὃς ἦν ἄγγελος, καὶ οὐκ ᾔδει, καὶ εἶπεν αὐτῷ, εἰ δύναμαι πορευθῆναι μετὰ σοῦ ἐν ἀγροῖς τῆς μηδίας, καὶ εἰ ἔμπειρος εἶ, τῶν τόπων.

Καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος, πορεύσομαι, μετὰ σοῦ, καὶ παρὰ γαβαὴλ τὸν ἀδελφὸν ἡμῶν ηὐλίσθην.

Καὶ εἶπεν αὐτῷ τωβίας. ὑπόμεινόν με. καὶ ἐρῶ τῷ πατρί μου.

Καὶ εἶπεν αὐτῷ πορεύου, καὶ μὴ χρονίσῃς.

Καὶ εἰσελθὼν εἶπεν τῷ πατρὶ ἰδοὺ εὕρηκα ὃς συμπορεύσεταί μοι.

Ὁ δὲ εἶπεν. φώνησον αὐτὸν πρός με, ἵνα ἐπιγνῶ ποίας φυλῆς ἐστι. καὶ εἰ πιστός ἐστι τοῦ πορευθῆναι μετὰ σοῦ.

Καὶ ἐκάλεσεν αὐτόν. καὶ εἰσῆλθε καὶ ἠσπάσαντο ἀλλήλους.

Καὶ εἶπεν αὐτῷ τωβίτ. ἀδελφὲ ἐκ ποίας φυλῆς ἐκ ποίας πατριᾶς σὺ εἶ, ὑπόδειξόν μοι.

Καὶ εἶπεν αὐτῷ φυλὴν καὶ πατριὰν σὺ ζητεῖς ἢ μίσθιον, ὃς συμπορεύσεται μετὰ τοῦ υἱοῦ σου.

Καὶ εἶπεν αὐτῷ τωβὶτ βούλομαι ἀδελφὲ ἐπιγνῶναι τὸ γένος σου. καὶ τὸ ὄνομα.

Ὁ δὲ εἶπεν. ἐγὼ τὸ γένος ἀζαρία, καὶ ἀνανίου, τοῦ μεγάλου καὶ ἀδελφῶν σου.

Καὶ εἶπεν τωβίτ· ὑγιαίνων ἔλθοις ἀδελφέ, καὶ μή μοι ὀργισθῇς, ὅτι ἐζήτησα τὴν φυλήν σου· καὶ τὴν πατριάν σου ἐπιγνῶναι, καὶ σὺ τυγχάνεις ἀδελφός μου ἐκ τῆς καλῆς, καὶ ἀγαθῆς γενεᾶς· ἐπεγίνωσκον γὰρ ἀνανίαν, καὶ ἰωνάθαν υἱοὺς σαμαίου τοῦ μεγάλου ὡς ἐπορευόμεθα κοινῶς εἰς ἱερουσαλὴμ προσκυνεῖν ἀναφέροντες τὰ πρωτότοκα, καὶ τὰς δεκάτας τῶν γενημάτων καὶ οὐκ ἐπλανήθησαν τῇ πλάνῃ τῶν ἀδελφῶν ἡμῶν· ἐκ ῥίζης μεγάλης εἶ, ἀδελφὲ ἀλλὰ εἰπόν μοι τίνα σοι ἔσομαι μισθὸν διδόναι· δραχμὴν τῆς ἡμέρας, καὶ τὰ δέοντα, ὡς καὶ τῷ υἱῷ μου· καὶ ἔτι προσθήσω σοι ἐπὶ τὸν μισθὸν ἐὰν ὑγιαίνοντες ἐπιστρέψητε.

Καὶ εὐδόκησαν οὕτως, καὶ εἶπεν πρὸς τωβίαν ἕτοιμος γίνου εἰς τὴν ὁδόν.

Καὶ εὐοδωθείητε· καὶ ἡτοίμασεν ὁ υἱὸς αὐτοῦ· τὰ πρὸς τὴν ὁδόν.

Καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ· πορεύου μετὰ τοῦ ἀνθρώπου τούτου· ὁ δὲ ἐν τῷ οὐρανῷ κατοικῶν θεὸς εὐοδώσει τὴν ὁδὸν ὑμῶν καὶ ὁ ἄγγελος τοῦ θεοῦ συμπορευθήτω ὑμῖν.

Καὶ ἐξῆλθον ἀμφότεροι ἀπελθεῖν, καὶ ὁ κύων τοῦ παιδαρίου, μετ' αὐτῶν, ἔκλαυσε δὲ ἄννα ἡ μήτηρ αὐτοῦ· καὶ εἶπεν πρὸς τωβίτ· τί ἐξαπέστειλας τὸ παιδίον ἡμῶν· ἢ οὐχὶ ἡ ῥάβδος τῆς χειρὸς ἡμῶν ἐστιν ἐν τῷ εἰσπορεύεσθαι ἐνώπιον ἡμῶν; ἀργύριον τῷ ἀργυρίῳ μὴ φθάσαι· ἀλλὰ περίψημα τοῦ παιδίου ἡμῶν γένοιτο· ὡς γὰρ δέδοται ἡμῖν ζῆν· παρὰ τοῦ κυρίου τοῦτο ἱκανὸν ἡμῖν ὑπάρχει.

Καὶ εἶπεν αὐτῇ τωβίτ· μὴ λόγον ἔχε ἀδελφὴ ὑγιαίνων ἐλεύσεται· καὶ οἱ ὀφθαλμοί σου ὄψονται αὐτὸν ἄγγελος γὰρ ἀγαθὸς συμπορεύσεται αὐτῷ καὶ εὐοδωθήσεται, ἡ ὁδὸς αὐτοῦ καὶ ὑποστρέψει ὑγιαίνων.

Κεφάλαιον· ϛ· ϛ·

Αἰ ἐπαύσατο κλαίουσα. οἱ δὲ πορευόμενοι τὴν ὁδὸν
κ ἦλθον ἑσπέρας ἐπὶ τὸν τίγριν ποταμὸν, καὶ ηὐλίζοντο ἐκεῖ. τὸ δὲ παιδάριον κατέβη περικλύσασθαι, καὶ ἀνεπήδησεν ἰχθὺς ἀπὸ τοῦ ποταμοῦ.

Καὶ ἐβουλήθη καταπιεῖν τὸ παιδάριον. ὁ δὲ ἄγγελος εἶπεν αὐτῷ. ἐπιλαβοῦ τοῦ ἰχθύος, καὶ ἐκράτησε τὸν ἰχθὺν τὸ παιδάριον, καὶ ἀνέλαβεν αὐτὸν ἐπὶ τὴν γῆν. καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος, ἀνάτεμε τὸν ἰχθὺν καὶ λαβὼν τὴν καρδίαν, καὶ τὸ ἧπαρ καὶ τὴν χολὴν θὲς ἀσφαλῶς, καὶ ἐποίησε τὸ παιδάριον ὡς εἶπεν αὐτῷ ὁ ἄγγελος τὸν δὲ ἰχθὺν ὀπτήσαντες ἔφαγον.

Καὶ ὥδευον ἀμφότεροι ἕως οὗ ἤγγισαν ἐν ἐκβατάνοις.

Καὶ εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ. ἀζαρία ἀδελφὲ τί ἐστιν ἡ καρδία καὶ τὸ ἧπαρ. καὶ ἡ χολὴ τοῦ ἰχθύος;

Καὶ εἶπεν αὐτῷ. ἡ καρδία καὶ τὸ ἧπαρ ἐάν τινα ὀχλῇ δαιμόνιον, ἢ πνεῦμα πονηρὸν, ταῦτα δεῖ καπνίσαι ἐνώπιον ἀνθρώπου, ἢ γυναικὸς, καὶ οὐ μὴ ἔτι ὀχληθῇ. ἡ δὲ χολὴ ἐγχρίσαι ἄνθρωπον ὃς ἔχει λευκώματα ἐν τοῖς ὀφθαλμοῖς, καὶ ἰαθήσεται.

Ως δὲ προσήγγισαν τῇ ῥάγῃ, εἶπεν ὁ ἄγγελος τῷ παιδαρίῳ. ἀδελφὲ σήμερον αὐλισθησώμεθα παρὰ ῥαγουήλ, καὶ αὐτὸς συγγενής σου ἐστίν. καὶ ἐστὶν αὐτῷ θυγάτηρ μονογενὴς ὀνόματι σάῤῥα. λαλήσω περὶ αὐτῆς τοῦ δοθῆναί σοι αὐτὴν εἰς γυναῖκα, ὅτι σοι ἐπιβάλλει ἡ κληρονομία αὐτῆς, καὶ σὺ μόνος εἶ ἐκ τοῦ γένους αὐτῆς καὶ τὸ κοράσιον καλὸν καὶ φρόνιμον ἐστίν. καὶ νῦν ἄκουσόν μου, καὶ λαλήσω τῷ πατρὶ αὐτῆς, καὶ ὅταν ἀποστρέψωμεν ἐκ ῥαγῶν ποιήσομεν τὸν γάμον. διότι ἐπίσταμαι ῥαγουήλ, ὅτι οὐ μὴ δώῃ αὐτὴν ἀνδρὶ ἑτέρῳ κατὰ τὸν νόμον τοῦ μωϋσῆ, ἢ ὀφειλήσει θάνατον, ὅτι τὴν κληρονομίαν σοι καθήκει λαβεῖν ἢ πάντα ἄνθρωπον.

Τότε εἶπεν τὸ παιδάριον τῷ ἀγγέλῳ. ἀζαρία ἀδελφὲ ἀκήκοα ἐγὼ τὸ κοράσιον δεδόσθαι ἑπτὰ ἀνδράσι. καὶ πάντας ἐν

τῷ νυμφῶνι ἀπολωλότας. καὶ νῦν ἐγὼ μονὸς εἰμὶ τῷ πατρὶ καὶ φοβοῦμαι μὴ εἰσελθὼν ἀποθάνω καθὼς καὶ οἱ πρότερον, ὅτι δαιμόνιον φιλεῖ αὐτὴν, ὃ οὐκ ἀδικεῖ οὐδένα πλὴν τῶν προσαγγόντων αὐτῇ, καὶ νῦν ἐγὼ φοβοῦμαι μὴ ἀποθάνω. καὶ κατάξω τὴν ζωὴν τοῦ πατρός μου, καὶ τῆς μητρός μου μετ᾽ ὀδύνης ἐπ᾽ ἐμοὶ εἰς τὸν τάφον αὐτῶν, καὶ υἱὸς ἕτερος οὐχ ὑπάρχει αὐτοῖς ὃς θάψει αὐτούς.

Εἶπεν δὲ αὐτῷ ὁ ἄγγελος οὐ μέμνησαι τῶν λόγων, ὧν ἐνετείλατό σοι ὁ πατήρ σου, ὑπὲρ τοῦ λαβεῖν σε γυναῖκα ἐκ τοῦ γένους σου; καὶ νῦν ἄκουσόν μου ἀδελφὲ, ὅτι σοι ἔσται εἰς γυναῖκα, καὶ τοῦ δαιμονίου μηδένα λόγον ἔχε, ὅτι τὴν νύκτα ταύτην δοθήσεταί σοι αὐτὴ εἰς γυναῖκα, καὶ ἐὰν εἰσέλθοις εἰς τὸν νυμφῶνα λήψῃ τέφραν θυμιαμάτων, καὶ ἐπιθήσεις ἀπὸ τῆς καρδίας τοῦ ἰχθύος καὶ τοῦ ἥπατος, καὶ καπνίσεις. καὶ ὀσφρανθήσεται τὸ δαιμόνιον, καὶ φεύξεται. καὶ οὐκ ἔτι ἐπανελεύσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ὅτ᾽ ἂν δὲ προσπορεύῃ αὐτῇ. ἐγέρθητε ἀμφότεροι, καὶ βοήσατε πρὸς τὸν ἐλεήμονα θεὸν, καὶ σώσει ὑμᾶς. καὶ ἐλεήσει. μὴ φοβοῦ, ὅτι σοὶ αὐτὴ ἡτοιμασμένη ἦν ἀπὸ τοῦ αἰῶνος. καὶ σὺ αὐτὴν σώσεις. καὶ πορεύσεται μετὰ σοῦ, καὶ ὑπολαμβάνω, ὅτι σοι ἔσται ἐξ αὐτῆς παιδία.

Καὶ ὡς ἤκουσε τωβίας ταῦτα, ἐφίλησεν αὐτὴν, καὶ ἡ ψυχὴ αὐτοῦ ἐκεκόλλητο σφόδρα αὐτῇ.

Κεφάλαιον. ζ. 7.

Αἱ ἦλθον εἰς ἐκβάτανα, καὶ παρεγένοντο εἰς τὴν οἰ-
κ κίαν ῥαγουὴλ σάῤῥα δὲ ὑπήντησεν αὐτοῖς. καὶ ἐχαιρέτισεν αὐτούς. καὶ αὐτοὶ αὐτὴν, καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν οἰκίαν. καὶ εἶπεν ῥαγουὴλ ἔδνα τῇ γυναικὶ αὐτοῦ, ὡς ὅμοιος ὁ νεανίσκος τωβίτ τῷ ἀνεψιῷ μου. καὶ ἠρώτησεν αὐτοὺς ῥαγουὴλ πόθεν ἐστὲ ἀδελφοί. καὶ εἶπον αὐτῷ. ἐκ τῶν υἱῶν νεφθαλεὶμ τῶν αἰχμαλώτων, ἐν νινευῇ. καὶ εἶπεν αὐτοῖς γινώ-

σκετε τωβὶτ τὸν ἀδελφὸν ἡμῶν. οἱ δὲ εἶπον γινώσκομεν. καὶ εἶπεν αὐτοῖς ὑγιαίνει; οἱ δὲ εἶπαν. καὶ ζῇ καὶ ὑγιαίνει.

Καὶ εἶπεν τωβίας πατήρ μου ἐστὶ, καὶ ἀνεπήδησε ῥαγουὴλ καὶ κατεφίλησεν αὐτὸν, καὶ ἔκλαυσε, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ. ὁ τοῦ καλοῦ, καὶ ἀγαθοῦ ἀνθρώπου υἱός. καὶ ἀκούσας ὅτι τωβὶτ ἀπώλεσε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐλυπήθη καὶ ἔκλαυσε καὶ ἔδνα ἡ γυνὴ αὐτοῦ, καὶ σάῤῥα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυσαν, καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως. καὶ ἔθυσαν κριὸν προβάτων. καὶ παρέθηκαν ὄψα πολλά.

Εἶπεν δὲ τωβίας τῷ ῥαφαήλ. ἀζαρία ἀδελφὲ λάλησον ὑπὲρ ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ πρᾶγμα.

Καὶ μετέδωκε τὸν λόγον τῷ ῥαγουήλ.

Καὶ εἶπεν ῥαγουὴλ πρὸς τωβίαν φάγε καὶ πίε, καὶ ἡδέως γίνου, σοὶ γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν, πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν. ἔδωκα τὸ παιδίον μου ἑπτὰ ἀνδράσι. καὶ ὁπότε ἂν εἰς ἐπορεύοντο πρὸς αὐτήν. ἀπεθνήσκοσαν ὑπὸ τὴν νύκτα ἀλλὰ τὸν νοῦν ἔχων ἡδέως γίνου.

Καὶ εἶπεν τωβίας οὐ γεύσομαι οὐδὲν ὧδε ἕως ἂν στήσητε, καὶ σταθῆτε πρός με.

Καὶ εἶπεν ῥαγουὴλ κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν κρίσιν σὺ δὲ ἀδελφὸς εἶ, αὐτῆς. καὶ αὐτή σου. ὁ δὲ ἐλεήμων θεὸς εὐοδώσει ὑμῖν τὰ κάλλιστα. καὶ ἐκάλεσε σάῤῥαν τὴν θυγατέρα αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν πατέρα αὐτῆς, καὶ λαβὼν τῆς χειρὸς αὐτῆς παρέδωκεν αὐτὴν τωβίᾳ γυναῖκα. καὶ εἶπεν ἰδοὺ κατὰ τὸν νόμον μωϋσέως κόμιζε αὐτὴν, καὶ ἄπαγε πρὸς τὸν πατέρα σου. καὶ εὐλόγησεν αὐτούς.

Καὶ ἐκάλεσεν ἔδναν τὴν γυναῖκα αὐτοῦ. καὶ λαβὼν βιβλίον ἔγραψε συγγραφὴν, καὶ ἐσφραγίσατο, καὶ ἤρξαντο ἐσθίειν.

Καὶ ἐκάλεσε ῥαγουὴλ ἔδναν τὴν γυναῖκα αὐτοῦ, καὶ εἶπεν αὐτῇ. ἀδελφὴ ἑτοίμασον τὸ ἕτερον ταμεῖον καὶ εἰσάγαγε αὐτήν.

Καὶ ἐποίησεν, ὡς εἶπε καὶ εἰσήγαγεν αὐτὴν ἐκεῖ. καὶ ἔκλαυσεν καὶ ἀπεδέξατο τὰ δάκρυα τῆς θυγατρὸς αὐτῆς. καὶ εἶπεν αὐτῇ, θάρσει τέκνον ὁ κύριος τοῦ οὐρανοῦ, καὶ τῆς γῆς, δῴη σοι χαρὰν ἀντὶ τῆς λύπης σου ταύτης, θάρσει θύγατερ.

## Κεφάλαιον. η. 8.

Τε δὲ συνετέλεσαν δειπνοῦντες εἰσήγαγον τωβίαν
ὅ πρὸς αὐτήν. ὁ δὲ πορευόμενος ἐμνήσθη τῶν λόγων
ῥαφαὴλ. καὶ ἔλαβε τὴν τέφραν τῶν θυμιαμάτων καὶ ἐπέθηκε τὴν καρδίαν τοῦ ἰχθύος. καὶ τὸ ἧπαρ ἐκάπνισεν. ὅτε δὲ ὠσφράνθη τὸ δαιμόνιον τῆς ὀσμῆς. ἔφυγεν εἰς τὰ ἀνώτατα αἰγύπτου, καὶ ἔδησεν αὐτῷ ὁ ἄγγελος.

Ὡς δὲ συνεκλείσθησαν ἀμφότεροι. ἀνέστη τωβίας ἀπὸ τῆς κλίνης καὶ εἶπεν ἀνάστηθι ἀδελφή, καὶ προσευξώμεθα, ἵνα ἐλεήσῃ ἡμᾶς ὁ κύριος. καὶ ἤρξατο τωβίας λέγειν. εὐλογητὸς εἶ ὁ θεὸς τῶν πατέρων ἡμῶν καὶ εὐλογητὸν τὸ ὄνομά σου τὸ ἅγιον καὶ ἔνδοξον εἰς τοὺς αἰῶνας. εὐλογησάτωσαν οἱ οὐρανοί. καὶ πᾶσαι αἱ κτίσεις σου. σὺ ἐποίησας ἀδὰμ καὶ ἔδωκας αὐτῷ βοηθὸν εὔαν στήριγμα τὴν γυναῖκα αὐτοῦ. ἐκ τούτων ἐγεννήθη τὸ τῶν ἀνθρώπων σπέρμα. σὺ εἶπας οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον. ποιήσωμεν αὐτῷ βοηθὸν ὅμοιον αὐτῷ. καὶ νῦν κύριε οὐχὶ διὰ πορνείαν ἐγὼ λαμβάνω τὴν ἀδελφήν μου ταύτην. ἀλλὰ ἐπ' ἀληθείας ἐπίταξον ἐλεῆσαί με. καὶ ταύτῃ συγκαταγηράσωμεν.

Καὶ εἶπε μετ' αὐτοῦ ἀμήν. καὶ ἐκοιμήθησαν ἀμφότεροι τὴν νύκτα. καὶ ἀναστὰς ῥαγουὴλ ἐπορεύθη καὶ ὤρυξε τάφον λέγων. μὴ καὶ οὗτος ἀποθάνῃ. καὶ ἦλθε ῥαγουὴλ εἰς τὴν οἰκίαν αὐτοῦ. καὶ εἶπεν ἔδνα τῇ γυναικὶ αὐτοῦ ἀπόστειλον μίαν τῶν παιδισκῶν. καὶ ἰδέτωσαν εἰ ζῇ. εἰ δὲ μὴ ἵνα θάψω αὐτὸν καὶ μηδεὶς γνώτω. καὶ εἰσῆλθεν ἡ παιδίσκη ἀνοίξασα τὴν θύραν. καὶ εὗρε τοὺς δύο καθεύδοντας.

Καὶ ἐξελθοῦσα, ἀπήγγειλαν αὐτοῖς, ὅτι ζῇ καὶ εὐλόγησε ῥαγ-

γουὴλ τὸν θεὸν λέγων. εὐλογητὸς εἶ ὁ θεὸς ἐν πάσῃ εὐλογίᾳ καθαρᾷ, καὶ ἁγίᾳ. καὶ εὐλογείτωσάν σε οἱ ἅγιοί σου. καὶ πᾶσαι αἱ κτίσεις σου. καὶ πάντες οἱ ἄγγελοί σου καὶ οἱ ἐκλεκτοί σου. εὐλογείτωσάν σε εἰς πάντας τοὺς αἰῶνας. εὐλογητὸς εἶ, ὅτι εὔφρανάς με καὶ οὐκ ἐγένετό μοι καθὼς ὑπονόουν. ἀλλὰ κατὰ τὸ πολὺ ἔλεός σου ἐποίησας μεθ' ἡμῶν. εὐλογητὸς εἶ, ὅτι ἠλέησας δύο μονογενεῖς. ποίησον αὐτοῖς δέσποτα ἔλεος συντέλεσον τὴν ζωὴν αὐτῶν ἐν ὑγιείᾳ, μετ' εὐφροσύνης καὶ ἐλέους. ἐκέλευσε δὲ τοῖς οἰκέταις χῶσαι τὸν τάφον. καὶ ἐποίησεν αὐτοῖς γάμον ἡμερῶν δεκατεσσάρων. καὶ εἶπεν αὐτῷ ῥαγουὴλ πρὶν ἢ συντελεσθῆναι τὰς ἡμέρας τοῦ γάμου ἐνορκῶ μὴ ἐξελθεῖν αὐτὸν ἕως ἂν πληρωθῶσιν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου. καὶ τότε λαβόντα τὸ ἥμισυ τῶν ὑπαρχόντων αὐτοῦ πορεύεσθαι μεθ' ὑγιείας πρὸς τὸν πατέρα καὶ τὰ λοιπὰ ὅτ' ἂν ἀποθάνω. καὶ ἡ γυνή μου.

Κεφάλαιον. θ. 9.

κ Αὶ ἐκάλεσε τωβίας, τὸν ῥαφαὴλ. καὶ εἶπεν αὐτῷ ἀζαρία, ἄδελφε λάβε μετὰ σεαυτοῦ παῖδα καὶ δύο καμήλους, καὶ πορεύθητι ἐν ῥάγοις τῆς μηδείας πρὸς γαβαὴλ, καὶ κόμισαί μοι τὸ ἀργύριον καὶ αὐτὸν ἄγε εἰς τὸν γάμον διότι ὀμώμοκε ῥαγουὴλ. μὴ ἐξελθεῖν με. καὶ ὁ πατήρ μου ἀριθμεῖ τὰς ἡμέρας, καὶ ἐὰν χρονίσω μεγάλως ὀδυνηθήσεται λίαν. Καὶ ἐπορεύθη ῥαφαὴλ καὶ ηὐλίσθη παρὰ γαβαήλῳ. καὶ ἔδωκεν αὐτῷ τὸ χειρόγραφον ὃς δὲ προσήνεγκε τὰ θυλάκια ἐν ταῖς σφραγῖσιν, καὶ ἔδωκεν αὐτῷ καὶ ὤρθρισαν κοινῶς καὶ ἦλθον εἰς τὸν γάμον. καὶ εὐλόγησε τωβίας τὴν γυναῖκα αὐτοῦ.

Κεφάλαιον. ι. 10.

κ Αὶ τωβὶτ ὁ πατὴρ αὐτοῦ εὐλογίζετο ἑκάστης ἡμέρας καὶ ὡς ἐπληρώθησαν αἱ ἡμέραι τῆς πορείας. καὶ οὐκ ἤρχοντο. εἶπε τωβίτ. μήποτε κατῄσχυνται. μήποτε ἀπέθανε γαβαὴλ. καὶ οὐδεὶς αὐτῷ δίδωσι τὸ ἀργύριον καὶ ἐλυπεῖτο λίαν,

Εἶπεν δὲ αὐτῷ ἡ γυνή· ἀπώλετο τὸ παιδίον, καὶ ὅτι κεχρόνικε· καὶ ἤρξατο θρηνεῖν αὐτόν. καὶ εἶπεν οὐ μέλει μοι τέκνον ὅτι ἀφῆκά σε τὸ φῶς τῶν ὀφθαλμῶν μου.

Καὶ τωβὶτ λέγει αὐτῇ· σίγα μὴ λόγον ἔχε· ὑγιαίνει. καὶ λέγει αὐτῷ· σίγα μὴ πλάνα με, ἀπώλετο τὸ παιδίον μου.

Καὶ ἐπορεύετο καθ᾽ ἡμέραν εἰς τὴν ὁδὸν ἔξω οἵας ἀπῆλθον· ἡμέρας δὲ ἄρτον οὐκ ἤσθιε, τὰς δὲ νύκτας ὅλας οὐ διελύμπανε θρηνοῦσα τωβίαν τὸν υἱὸν αὐτῆς ἕως οὗ συνετελέσθησαν αἱ δεκατέσσαρες ἡμέραι τοῦ γάμου, ἃς ὤμοσε ῥαγουὴλ ποιῆσαι αὐτὸν ἐκεῖ.

Εἶπεν δὲ τωβίας τῷ ῥαγουὴλ ἐξαπόστειλόν με ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου οὐκ ἔτι ἐλπίζουσιν ὄψεσθαί με.

Εἶπεν δὲ αὐτῷ ὁ πενθερὸς αὐτοῦ, μένον παρ᾽ ἐμοὶ καὶ ἐγὼ ἐξαποστέλλω πρὸς τὸν πατέρα σου καὶ δηλώσουσι αὐτῷ τὰ κατά σε. Καὶ τωβίας λέγει οὐχί, ἀλλὰ ἐξαπόστειλόν με πρὸς τὸν πατέρα μου. Ἀναστὰς δὲ ῥαγουὴλ ἔδωκεν αὐτῷ σάρραν τὴν γυναῖκα αὐτοῦ. καὶ τὰ ἥμισυ τῶν ὑπαρχόντων, σώματα, καὶ κτήνη, καὶ ἀργύριον, καὶ εὐλογήσας αὐτοὺς ἐξαπέστειλε λέγων· εὐοδώσει ὑμᾶς τέκνα ὁ θεὸς τοῦ οὐρανοῦ πρὸ τοῦ με ἀποθανεῖν. καὶ εἶπεν τῇ θυγατρὶ αὐτοῦ τίμα τοὺς πενθεροὺς σου αὐτοὶ νῦν γονεῖς σου εἰσίν. ἀκούσαιμί σου ἀκοὴν καλήν. καὶ ἐφίλησεν αὐτούς.

Καὶ ἔδνα εἶπεν πρὸς τωβίαν. ἀδελφὲ ἀγαπητὲ ἀποκαταστήσαί σε ὁ κύριος τοῦ οὐρανοῦ. καὶ δῴη μοι ἰδεῖν σου παιδία ἐκ σάρρας τῆς θυγατρός μου. ἵνα εὐφρανθῶ ἐνώπιον κυρίου καὶ ἰδοὺ παρατίθημί σοι τὴν θυγατέρα μου ἐν παρακαταθήκῃ, καὶ μὴ λυπήσῃς αὐτήν. μετὰ ταῦτα ἐπορεύετο. καὶ τωβίας εὐλογῶν τὸν θεὸν ὅτι εὐόδωσε τὴν ὁδὸν αὐτοῦ. καὶ κατηυλόγει ῥαγουήλ. καὶ ἔδναν τὴν γυναῖκα αὐτοῦ. καὶ ἐπορεύθη μέχρι τοῦ ἐγγίσαι αὐτοὺς εἰς νινευῆ.

Κεφ.

Κεφάλαιον. ια. 11.

Αἱ εἶπε ῥαφαὴλ πρὸς τωβίαν γινώσκεις ἀδελφὲ
α πῶς ἀφῆκας τὸν πατέρα σου, προδράμωμεν ἔμπροσθεν τῆς γυναικός σου. καὶ ἑτοιμάσωμεν τὴν οἰκίαν λάβε δὲ παρὰ χεῖρα τὴν χολὴν τοῦ ἰχθύος, καὶ ἐπορεύθησαν, καὶ συνῆλθεν ὁ κύων ὀπίσω αὐτῶν.

Καὶ ἄννα ἐκάθητο περιβλεπομένη τὸν παῖδα αὐτῆς εἰς τὴν ὁδόν. καὶ προσενόησεν αὐτὸν ἐρχόμενον. καὶ εἶπε τῷ πατρὶ αὐτοῦ. ἰδοὺ ὁ υἱός σου ἔρχεται.

Καὶ ὁ ἄνθρωπος ὁ πορευθεὶς μετ' αὐτοῦ, καὶ ῥαφαήλ. εἶπεν ἐπίσταμαι ἐγὼ τωβία, ὅτι ἀνοίξει τοὺς ὀφθαλμοὺς ὁ πατήρ σου. σὺ οὖν ἔγχρισον τὴν χολὴν εἰς τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ δηχθεὶς διατρίψει, καὶ ἀποβαλεῖ τὰ λευκώματα, καὶ ὄψεταί σε. καὶ προσδραμοῦσα ἄννα ἐπέπεσεν ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς.

Καὶ εἶπεν αὐτῷ εἶδόν σε παιδίον, ἀπὸ τοῦ νῦν ἀποθανοῦμαι. καὶ ἔκλαυσαν ἀμφότεροι.

Καὶ τωβὶτ ἐξήρχετο πρὸς τὴν θύραν καὶ προσέκοπτεν. ὁ δὲ υἱὸς αὐτοῦ προσέδραμεν αὐτῷ καὶ ἐπελάβετο τοῦ πατρὸς αὐτοῦ, καὶ προσέπασε τὴν χολὴν ἐπὶ τοὺς ὀφθαλμοὺς τοῦ πατρὸς αὐτοῦ θάρσει πάτερ. ὡς δὲ συνεδήχθησαν, διέτριψε τοὺς ὀφθαλμοὺς αὐτοῦ. καὶ ἐλεπίσθη ἀπὸ τῶν ἀκανθῶν αὐτοῦ τὰ λευκώματα, καὶ ἰδὼν τὸν υἱὸν αὐτοῦ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔκλαυσε καὶ εἶπεν εὐλογητὸς εἶ, ὁ θεὸς καὶ εὐλογητὸν τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας καὶ εὐλογημένοι πάντες οἱ ἅγιοί σου ἄγγελοι. ὅτι ἐμαστίγωσας, καὶ ἠλέησάς με ἰδοὺ βλέπω τωβίαν τὸν υἱόν μου. Καὶ εἰσῆλθεν ὁ υἱὸς αὐτοῦ χαίρων, καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ τὰ μεγαλεῖα τὰ γενόμενα ἐν τῇ μηδίᾳ. Καὶ ἐξῆλθε τωβὶτ εἰς συνάντησιν τῆς νύμφης αὐτοῦ χαίρων, καὶ εὐλογῶν τὸν θεὸν πρὸς τῇ πύλῃ νινευῆ. καὶ ἐθαύμαζον οἱ θεωροῦντες αὐτὸν πορευόμενον, ὅτι ἔβλεψε, καὶ

τωβὶτ ἐξομολογεῖτο ἐνώπιον αὐτῶν. ὅτι ἠλέησεν αὐτὸν ὁ θεὸς, καὶ ὡς ἤγγισε τωβὶτ σάῤῥα τῇ νύμφῃ αὐτοῦ κατευλόγησεν αὐτὴν λέγων. ἔλθοις ὑγιαίνουσα θύγατερ. εὐλογητὸς ὁ θεὸς ὃς ἤγαγέ σε πρὸς ἡμᾶς καὶ ὁ πατήρ σου καὶ ἐγένετο χαρὰ πᾶσι τοῖς ἐν νινευῇ ἀδελφοῖς αὐτοῦ.

Καὶ παρεγένετο ἀχιάχαρος, καὶ νασβὰς, ὁ ἐξάδελφος αὐτοῦ καὶ ἤχθη ὁ γάμος τωβία μετ' εὐφροσύνης ἡμέρας ἑπτά.

Κεφ. ιβ. 12.

Αἰ ἐκάλεσε τωβὶτ τωβίαν τὸν υἱὸν αὐτοῦ.

κ Καὶ εἶπεν αὐτῷ ὅρα τέκνον μισθὸν τῷ ἀνθρώπῳ τῷ συνελθόντι σοι καὶ προσθεῖναι, αὐτῷ δεῖ.

Καὶ εἶπεν αὐτῷ πάτερ οὐ βλάπτομαι διδοὺς αὐτῷ τὸ ἥμισυ ὧν ἐνήνοχα ὅτι με ἀγήοχέ σοι ὑγιῆ, καὶ τὴν γυναῖκά μου ἐθεράπευσε, καὶ τὸ ἀργύριόν μου ἤνεγκε. καὶ σὲ ὁμοίως ἐθεράπευσε.

Καὶ εἶπεν ὁ πρεσβύτης δικαιοῦται αὐτῷ. καὶ ἐκάλεσε τὸν ἄγγελον. καὶ εἶπεν αὐτῷ. λάβε τὸ ἥμισυ πάντων ὧν ἐνηνόχατε καὶ ὕπαγε ὑγιαίνων.

Τότε καλέσας τοὺς δύο κρυπτῶς. εἶπεν αὐτοῖς εὐλογεῖτε τὸν θεὸν καὶ αὐτῷ καὶ ἐξομολογεῖσθε καὶ μεγαλωσύνην δίδοτε αὐτῷ καὶ ἐξομολογεῖσθε ἐνώπιον πάντων τῶν ζώντων περὶ ὧν ἐποίησε μεθ' ἡμῶν. ἀγαθὸν τὸ εὐλογεῖν τὸν θεὸν καὶ ὑψοῦν τὸ ὄνομα αὐτοῦ τοὺς λόγους τῶν ἔργων τοῦ θεοῦ ἐντίμως ὑποδεικνύετε καὶ μὴ ὀκνεῖτε ἐξομολογεῖσθαι αὐτῷ. μυστήριον βασιλέως καλὸν κρύψαι. τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. ἀγαθὸν ποιήσατε. καὶ κακὸν οὐχ εὑρήσει ὑμᾶς. ἀγαθὸν προσευχὴ μετὰ νηστείας. καὶ ἐλεημοσύνης καὶ δικαιοσύνης. ἀγαθὸν τὸ ὀλίγον μετὰ δικαιοσύνης, ἢ πολὺ μετὰ ἀδικίας. καλὸν ποιῆσαι ἐλεημοσύνην ἢ θησαυρίσαι χρυσίον. ἐλεη

μοσύνη γὰρ ἐκ θανάτου ῥύεται. καὶ αὐτὴ ἀποκαθαριεῖ πᾶσαν ἁμαρτίαν. οἱ ποιοῦντες ἐλεημοσύνας, καὶ δικαιοσύνας, πλησθήσονται ζωῆς. οἱ δὲ ἁμαρτάνοντες πολέμιοι εἰσὶ τῆς ἑαυτῶν ζωῆς. οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν πᾶν ῥῆμα. εἴρηκα δὲ μυστήριον βασιλέως κρύψαι καλόν. τὰ δὲ ἔργα τοῦ θεοῦ ἀνακαλύπτειν ἐνδόξως. καὶ νῦν ὅτε προσηύξω σὺ, καὶ ἡ νύμφη σου σάῤῥα. ἐγὼ προσήγαγον τὸ μνημόσυνον τῆς προσευχῆς ὑμῶν ἐνώπιον τοῦ ἁγίου. καὶ ὅτε ἔθαπτες τοὺς νεκρούς. ὡσαύτως συμπαρήμην σοι, καὶ ὅτε οὐκ ὤκνησας ἀναστῆναι. καὶ καταλιπεῖν τὸ ἄριστόν σου ὅπως ἀπελθὼν περιστείλῃς τὸν νεκρόν, οὐκ ἔλαθές με ἀγαθοποιῶν, ἀλλὰ σὺν σοὶ ἤμην. καὶ νῦν ἀπέστειλέ με ὁ θεὸς ἰάσασθαί σε, καὶ τὴν νύμφην σου σάῤῥαν. ἐγὼ εἰμὶ ῥαφαὴλ εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν ἁγίων οἳ προσαναφέρουσι τὰς προσευχὰς τῶν ἁγίων, καὶ εἰσπορεύονται ἐνώπιον τῆς δόξης τοῦ ἁγίου. καὶ ἐταράχθησαν οἱ δύο. καὶ ἔπεσαν ἐπὶ πρόσωπον ὅτι ἐφοβήθησαν.

Καὶ εἶπεν αὐτοῖς. μὴ φοβεῖσθε. ὅτι εἰρήνη ὑμῖν ἔσαι· τὸν δὲ θεὸν εὐλογεῖτε ὅτι οὐ τῇ ἐμαυτοῦ χάριτι, ἀλλὰ τῇ θελήσει τοῦ θεοῦ ἡμῶν, ἦλθον. ὅθεν εὐλογεῖτε αὐτὸν εἰς τοὺς αἰῶνας. πάσας τὰς ἡμέρας ὀπτανόμην ὑμῖν. καὶ οὐκ ἔφαγον, οὐδὲ ἔπιον, ἀλλὰ ὅρασιν ὑμεῖς ἐθεωρεῖτε. καὶ νῦν ἐξομολογεῖσθε τῷ θεῷ, ὅτι ἀναβαίνω πρὸς τὸν ἀποστείλαντά με, καὶ γράψατε πάντα τὰ συντελεσθέντα εἰς βιβλίον. καὶ ἀνέστησαν, καὶ οὐκ ἔτι εἶδον αὐτόν.

Καὶ ἐξωμολογοῦντο τὰ ἔργα τὰ μεγάλα καὶ θαυμαστὰ τοῦ θεοῦ. καὶ ὡς ὤφθη αὐτοῖς ὁ ἄγγελος κυρίου.

Κεφάλαιον. ιγ. 13.

Καὶ τωβὶτ ἔγραψε προσευχὴν εἰς ἀγαλλίασιν καὶ
κ εἶπεν. εὐλογητὸς ὁ θεὸς ὁ ζῶν εἰς τοὺς αἰῶνας καὶ ἡ βασιλεία αὐτοῦ ὅτι αὐτὸς μαστιγοῖ, καὶ ἐλεεῖ, κατάγει εἰς ᾅδην καὶ ἀνάγει. καὶ οὐκ ἔστιν ὃς ἐκφεύξεται τὴν

χεῖρα αὐτοῦ. ἐξομολογεῖσθε αὐτῷ οἱ υἱοὶ ἰσραὴλ ἐνώπιον τῶν
ἐθνῶν ὅτι αὐτὸς διέσπειρεν ἡμᾶς ἐν αὐτοῖς ἐκεῖ ὑποδείξατε
τὴν μεγαλωσύνην αὐτοῦ καὶ ὑψοῦτε αὐτὸν ἐνώπιον παντὸς ζῶν
τος, καθότι αὐτὸς κύριος ἡμῶν καὶ ὁ θεὸς αὐτὸς πατὴρ ἡμῶν
εἰς πάντας τοὺς αἰῶνας καὶ μαστιγώσει ἡμᾶς ἐν ταῖς ἀδικίαις
ἡμῶν καὶ πάλιν ἐλεήσει καὶ συνάξει ἡμᾶς ἐκ πάντων τῶν
ἐθνῶν. οὐ διεσκορπίσθητε ἐν αὐτοῖς, ἐὰν ἐπιστρέψατε πρὸς αὐ
τὸν ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ τῇ ψυχῇ ὑμῶν ποιῆσαι
ἐνώπιον αὐτοῦ ἀλήθειαν, τότε ἐπιστρέψει πρὸς ὑμᾶς. καὶ οὐ μὴ
κρύψῃ τὸ πρόσωπον αὐτοῦ ἀφ' ὑμῶν. καὶ θεάσασθε ἃ ποιήσει
μεθ' ὑμῶν. καὶ ἐξομολογήσασθε αὐτῷ ἐν ὅλῳ τῷ στόματι ὑ
μῶν. καὶ εὐλογεῖτε τὸν κύριον τῆς δικαιοσύνης. καὶ ὑψώσατε τὸν
βασιλέα τῶν αἰώνων. ἐγὼ ἐν τῇ γῇ τῆς αἰχμαλωσίας μου
ἐξομολογοῦμαι αὐτῷ. καὶ δεικνύω τὴν ἰσχὺν, καὶ τὴν μεγα
λωσύνην αὐτοῦ ἔθνει ἁμαρτωλῶν. ἐπιστρέψατε ἁμαρτωλοί. καὶ
ποιήσατε δικαιοσύνην ἐνώπιον αὐτοῦ. τίς γινώσκει εἰ θελήσει
ὑμᾶς. καὶ ποιήσει ἐλεημοσύνην ὑμῖν, τὸν θεόν μου ὑψῶ καὶ ἡ ψυ
χή μου τὸν βασιλέα τοῦ οὐρανοῦ. καὶ ἀγαλλιάσεται τὴν μεγα
λωσύνην αὐτοῦ. λεγέτωσαν πάντες. καὶ ἐξομολογείσθωσαν αὐ
τῷ δικαιοσύνῃ ἱερουσαλήμ. πόλις ἁγία μαστιγώσει ἐπὶ τὰ ἔρ
γα τῶν υἱῶν σου. καὶ πάλιν ἐλεήσει τοὺς υἱοὺς τῶν δικαίων. ἐξ
ομολογοῦ τῷ κυρίῳ ἀγαθῶς καὶ εὐλόγει τὸν βασιλέα τῶν αἰ
ώνων. ἵνα πάλιν, ἡ σκηνὴ αὐτοῦ οἰκοδομηθῇ ἐν σοὶ μετὰ χα
ρᾶς. καὶ εὐφρανῇ ἐν σοὶ τοὺς ἐκεῖ αἰχμαλώτους, καὶ ἀγαπῆσαι
ἐν σοὶ τοὺς ταλαιπώρους, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος. ἔθνη
πολλὰ μακρόθεν ἥξει πρὸς τὸ ὄνομα κυρίου τοῦ θεοῦ δῶρα
ἐν χερσὶν ἔχοντες, δῶρα τῷ βασιλεῖ τοῦ οὐρανοῦ. γενεαὶ γενεῶν
αἰνέσουσί σε. καὶ δώσουσιν ἀγαλλίασιν. ἐπικατάρατοι πάντες
οἱ μισοῦντές σε. εὐλογημένοι ἔσονται πάντες οἱ ἀγαπῶντές σε
εἰς τὸν αἰῶνα, χάρηθι καὶ ἀγαλλίασαι ἐπὶ τοὺς υἱοὺς τῶν δικαίων

ἐπισυναχθήσονται καὶ εὐλογήσουσι τὸν κύριον τῶν δικαίων. ὦ μα-
κάριοι οἱ ἀγαπῶντές σε, χαρήσονται ἐπὶ τῇ εἰρήνῃ σου. καὶ
μακάριοι ὅσοι ἐλυπήθησαν ἐπὶ πάσαις ταῖς μάστιξί σου. ὅτι
ἐπὶ σοὶ χαρήσονται θεασάμενοι πᾶσαν τὴν δόξαν σου καὶ εὐφραν-
θήσονται εἰς τὸν αἰῶνα. ἡ ψυχή μου εὐλογείτω τὸν θεὸν τὸν
βασιλέα τὸν μέγαν. ὅτι οἰκοδομηθήσεται Ἱερουσαλήμ, σαπ-
φείρῳ καὶ σμαράγδῳ καὶ λίθῳ ἐντίμῳ τὰ τείχη σου. καὶ
οἱ πύργοι, καὶ οἱ προμαχῶνες ἐν χρυσίῳ καθαρῷ. καὶ αἱ πλα-
τεῖαι Ἱερουσαλὴμ ἐν βηρύλλῳ καὶ ἄνθρακι. καὶ λίθῳ ἐκ σου-
φείρ, ψηφολογηθήσονται καὶ ἐροῦσι πᾶσαι αἱ ῥῦμαι αὐτῆς ἀλ-
ληλούϊα καὶ αἰνέσουσι λέγοντες, εὐλογητὸς ὁ θεός, ὃς ὕψω-
σε πάντας τοὺς αἰῶνας.

## Κεφ. ιδ. 14.

Καὶ ἐπαύσατο ἐξομολογούμενος Τωβίτ. καὶ ἦν ἐν
* ἐτῶν πεντήκοντα ὀκτὼ ὅτε ἀπώλεσε τὰς ὄψεις. καὶ
μετὰ ἔτη ὀκτὼ ἀνέβλεψεν, καὶ ἐποίει ἐλεημοσύ-
νας. καὶ προσέθετο φοβεῖσθαι κύριον τὸν θεόν, καὶ ἐξομολογεῖ-
σθαι αὐτῷ μεγάλως δὲ ἐγήρασεν. καὶ ἐκάλεσε τὸν υἱὸν αὐ-
τοῦ. καὶ τοὺς ἓξ υἱοὺς τοῦ υἱοῦ αὐτοῦ.

Καὶ εἶπεν αὐτῷ. Τέκνον λαβὲ τοὺς υἱούς σου ἰδοὺ γεγή-
ρακα, καὶ πρὸς τὸ ἀποτρέχειν ἀπὸ τοῦ ζῆν εἰμί. ἄπελθε εἰς τὴν
Μηδίαν τέκνον. ὅτι πέπεισμαι ὅσα ἐλάλησεν Ἰωνᾶς ὁ προ-
φήτης περὶ Νινευῆ, ὅτι καταστραφήσεται. ἐν δὲ τῇ Μηδίᾳ μᾶλ-
λον ἔσται εἰρήνη ἕως καιροῦ. καὶ ὅτι οἱ ἀδελφοὶ ἡμῶν ἐν τῇ γῇ
σκορπισθήσονται ἀπὸ τῆς ἀγαθῆς γῆς. καὶ Ἱεροσόλυμα, ἔσται
ἔρημος. καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ κατακαύσεται. καὶ ἔρη-
μος ἔσται μέχρι χρόνου. καὶ πάλιν. καὶ ἐλεήσει αὐτοὺς ὁ θεός,
καὶ ἐπιστρέψει αὐτοὺς εἰς τὴν γῆν. καὶ οἰκοδομήσουσι τὸν
οἶκον. οὐχ οἷος ὁ πρότερος ἕως πληρωθῶσι καιροὶ τοῦ αἰῶ-
νος, καὶ μετὰ ταῦτα ἐπιστρέψουσιν ἐκ τῶν αἰχμαλωσιῶν. καὶ

οἰκοδομήσουσιν ἱερουσαλὴμ ἐντίμως· καὶ ὁ οἶκος τοῦ θεοῦ ἐν αὐτῇ οἰκοδομηθήσεται εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος οἰκοδομῇ ἐνδόξῳ καθὼς ἐλάλησαν περὶ αὐτῆς οἱ προφῆται. καὶ πάντα τὰ ἔθνη ἐπιστρέψουσιν ἀληθινῶς φοβεῖσθαι κύριον τὸν θεόν. καὶ κατορύξουσι τὰ εἴδωλα αὐτῶν. καὶ εὐλογήσουσι πάντα τὰ ἔθνη τὸν κύριον. καὶ ὁ λαὸς αὐτοῦ. ἐξομολογήσεται τῷ θεῷ. Καὶ ὑψώσει κύριος τὸν λαὸν αὐτοῦ, καὶ χαρήσονται πάντες οἱ ἀγαπῶντες κύριον τὸν θεὸν ἐν ἀληθείᾳ. καὶ δικαιοσύνῃ. ποιοῦντες ἔλεος τοῖς ἀδελφοῖς ἡμῶν. καὶ νῦν τέκνον ἄπελθε ἀπὸ νινευῆ, ὅτι πάντως ἔσται ἃ ἐλάλησεν ὁ προφήτης ἰωνᾶς. σὺ δὲ τήρησον τὸν νόμον, καὶ τὰ προστάγματα καὶ γίνου φιλελεήμων, καὶ δίκαιος, ἵνα σοι καλῶς ᾖ. καὶ θάψον με καλῶς, καὶ τὴν μητέρα σου, μετ' ἐμοῦ καὶ μηκέτι αὐλισθῆτε εἰς νινευῆ. τέκνον ἴδε τί ἐποίησεν ἀμὰν ἀχιαχάρῳ τῷ θρέψαντι αὐτόν, ὡς ἐκ τοῦ φωτὸς ἤγαγεν αὐτὸν εἰς σκότος, καὶ ὅσα ἀνταπέδωκεν αὐτῷ, καὶ ἀχιάχαρος μὲν ἐσώθη ἐκείνῳ δὲ τὸ ἀνταπόδομα ἀπεδόθη. καὶ αὐτὸς κατέβη εἰς τὸ σκότος. μανασσῆς ἐποίησεν ἐλεημοσύνην. καὶ ἐσώθη ἐκ παγίδος θανάτου ἧς ἔπηξεν αὐτῷ. ἀμὰν δὲ ἐνέπεσεν εἰς τὴν παγίδα καὶ ἀπώλετο. καὶ νῦν παιδίον ἴδε τί ποιεῖ. καὶ τί δικαιοσύνη ἐλεημοσύνη ῥύεται.

Καὶ ταῦτα αὐτοῦ λέγοντος ἐξέλιπεν ἡ ψυχὴ αὐτοῦ ἐπὶ τὴν κλίνην. Ἦν δὲ ἐτῶν ἑκατὸν πεντήκοντα ὀκτώ, καὶ ἔθαψαν αὐτὸν ἐνδόξως. καὶ ὅτε ἀπέθανεν ἄννα ἔθαψαν αὐτὴν μετὰ τοῦ πατρὸς αὐτοῦ.

Ἀπῆλθε δὲ τωβίας μετὰ τῆς γυναικὸς αὐτοῦ, καὶ τῶν υἱῶν εἰς ἐκβάτανα πρὸς ῥαγουὴλ τὸν πενθερὸν αὐτοῦ. καὶ ἐγήρασεν ἐντίμως, καὶ ἔθαψε τοὺς πενθεροὺς αὐτοῦ ἐνδόξως. καὶ ἐκληρονόμησε τὴν οὐσίαν αὐτῶν, καὶ τωβὶτ τοῦ πατρὸς αὐτοῦ, καὶ ἀπέθανεν ἐτῶν ἑκατὸν εἴκοσι ἑπτὰ ἐν ἐκβατάνοις τῆς μηδίας. καὶ ἤκουσε πρὶν ἢ ἀποθανεῖν αὐτὸν τὴν ἀπώ-

λειαν νινευῆ ἣν ᾐχμαλώτευσε ναβουχοδονόσορ, καὶ ἀσσούηρος. καὶ ἐχάρη πρὸ τοῦ ἀποθανεῖν ἐπὶ νινευῆ.

Τέλος τοῦ Τωβίου.

# ΙΟΥΔΗΘ.

## Κεφάλαιον. α. 1.

Ἔτους δωδεκάτου τῆς βασιλείας ναβουχοδονόσορ ὃς ἐβασίλευσεν ἐν νινευῇ τῇ πόλει τῇ μεγάλῃ. ἐν ταῖς ἡμέραις ἀρφαξὰδ ὃς ἐβασίλευσεν μήδων ἐν ἐκβατάνοις. καὶ ᾠκοδόμησεν ἐπ' ἐκβατάνων κύκλῳ τείχη ἐκ λίθων λελαξευμένων, εἰς πλάτος πηχῶν τριῶν, καὶ εἰς μῆκος πηχῶν ἕξ. καὶ ἐποίησε τὸ ὕψος τοῦ τείχους πηχῶν ἑβδομήκοντα. καὶ τὸ πλάτος αὐτοῦ πηχῶν πεντήκοντα καὶ τοὺς πύργους αὐτοῦ ἔστησεν, ἐπὶ ταῖς πύλαις αὐτῆς πηχῶν ἑκατόν. καὶ τὸ πλάτος αὐτῆς ἐθεμελίωσεν εἰς πήχεις ἑξήκοντα, καὶ ἐποίησε τὰς πύλας αὐτοῦ πύλας διεγειρομένας εἰς ὕψος. πηχῶν ἑβδομήκοντα καὶ τὸ πλάτος αὐτοῦ πήχεις τεσσαράκοντα εἰς ἐξόδους δυνάμεων δυνατῶν αὐτοῦ. καὶ αἱ διατάξεις τῶν πεζῶν αὐτοῦ. καὶ ἐποίησε πόλεμον ἐν ταῖς ἡμέραις ἐκείναις ὁ βασιλεὺς ναβουχοδονόσορ πρὸς βασιλέα ἀρφαξὰδ ἐν τῷ πεδίῳ τῷ μεγάλῳ. τοῦτό ἐστι πεδίον ἐν τοῖς ὁρίοις ῥαγαῦ. καὶ συνήντησαν πρὸς αὐτὸν πάντες οἱ κατοικοῦντες τὴν ὀρεινήν, καὶ πάντες οἱ κατοικοῦντες

τὸν εὐφράτην καὶ τὸν τίγριν. καὶ τὸν ὑδάσπην, καὶ πεδίον ἀρ-
ιὼχ ὁ βασιλεὺς ἐλυμαίων. καὶ συνῆλθον ἔθνη πολλὰ σφόδρα
εἰς παράταξιν υἱῶν χελοὺδ. καὶ ἀπέστειλε ναβουχοδονόσορ ὁ βα-
σιλεὺς ἀσσυρίων ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν περσίδα
καὶ ἐπὶ πάντας τοὺς κατοικοῦντας πρὸς δυσμαῖς. καὶ τοὺς κα-
τοικοῦντας κιλικίαν. καὶ δαμασκὸν, καὶ λίβανον. καὶ ἀντιλί-
βανον. καὶ πάντας τοὺς κατοικοῦντας κατὰ πρόσωπον τῆς πα-
ραλίας. καὶ τοὺς ἐν τοῖς ἔθνεσι τοῦ καρμήλου. καὶ γαλαὰδ, καὶ
τὴν ἄνω γαλιλαίαν, καὶ τὸ μέγα πεδίον ἐσδρηλώμ. καὶ πάν-
τας τοὺς ἐν σαμαρείᾳ καὶ τὰς πόλεις αὐτῆς. καὶ πέραν τοῦ ἰορ-
δάνου ἕως ἱερουσαλὴμ καὶ βετάνη, καὶ χελλοὺς. καὶ κάδης. καὶ
τοῦ ποταμοῦ αἰγύπτου. καὶ ταφνάς. καὶ ῥαμεσσή. καὶ πᾶσαν
γῆν γεσὲμ ἕως τοῦ ἐλθεῖν ἐπάνω τάνεως καὶ μέμφεως. καὶ
πάντας τοὺς κατοικοῦντας τὴν αἴγυπτον ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ
ὅρια αἰθιοπίας. καὶ ἐφαύλισαν πάντες οἱ κατοικοῦντες τὴν
γῆν τὸ ῥῆμα ναβουχοδονόσορ τοῦ βασιλέως ἀσσυρίων. καὶ οὐ
συνῆλθον αὐτῷ εἰς τὸν πόλεμον ὅτι οὐκ ἐφοβήθησαν αὐτὸν, ἀλλ'
ἦν ἐναντίον αὐτῶν ὡς ἀνὴρ εἷς. καὶ ἀπέστρεψαν τοὺς ἀγγέλους
αὐτοῦ κενοὺς ἐν ἀτιμίᾳ ἀπὸ προσώπου αὐτῶν, καὶ ἐθυμώθη
ναβουχοδονόσορ ἐπὶ πᾶσαν τὴν γῆν ταύτην σφόδρα. καὶ ὤμο-
σε κατὰ τοῦ θρόνου καὶ τῆς βασιλείας αὐτοῦ. ἦ μὴν ἐκδικήσειν
αὐτὸν πάντα τὰ ὅρια τῆς κιλικίας, καὶ δαμασκοῦ. καὶ συρίας
ἀνελεῖν τῇ ῥομφαίᾳ αὐτοῦ. καὶ πάντας τοὺς κατοικοῦντας, ἐν γῇ
μωὰβ καὶ τοὺς υἱοὺς ἀμμών. καὶ πᾶσαν τὴν ἰουδαίαν καὶ πάν-
τας τοὺς ἐν αἰγύπτῳ, ἕως τοῦ ἐλθεῖν ἐπὶ τὰ ὅρια τῶν δύο θαλασ-
σῶν. καὶ παρετάξατο ἐν τῇ δυνάμει αὐτοῦ πρὸς ἀρφαξὰδ βα-
σιλέα ἐν τῷ ἔτει τῷ ἑπτακαιδεκάτῳ καὶ ἐκραταιώθη ἐν τῷ
πολέμῳ αὐτοῦ καὶ ἀνέστρεψε πᾶσαν τὴν δύναμιν ἀρφαξὰδ
καὶ πᾶσαν τὴν ἵππον αὐτοῦ, καὶ πάντα τὰ ἅρματα αὐτοῦ καὶ
ἐκυρίευσε τῶν πόλεων αὐτοῦ. καὶ ἀφίκετο ἕως ἐκβατάνων καὶ

ἐκράτησε τῶν πύργων. καὶ ἐπρονόμευσε τὰς πλατείας αὐτῆς.
καὶ τὸν κόσμον αὐτῆς ἔδωκεν εἰς ὄνειδος αὐτῆς. καὶ ἔλαβε τὸν
ἀρφαξὰδ ἐν τοῖς ὄρεσι ῥαγαῦ. καὶ κατηκόντισεν αὐτὸν ἐν ταῖς
ζιβύναις αὐτοῦ. καὶ ἐξωλόθρευσεν αὐτὸν ἕως τῆς ἡμέρας ἐκείνης.
καὶ ἀνέστρεψε μετ' αὐτῶν εἰς νινευὴ αὐτὸς καὶ πᾶς ὁ σύμμι-
κτος αὐτοῦ. πλῆθος ἀνδρῶν πολεμιστῶν πολὺ σφόδρα. καὶ ἦν
ἐκεῖ ῥαθυμῶν καὶ εὐωχούμενος αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ, ἐφ'
ἡμέρας ἑκατὸν εἴκοσι.

## Κεφάλαιον. β. 2.

Αἱ ἐν ἔτει τῷ ὀγδόῳ καὶ δεκάτῳ δευτέρᾳ καὶ εἰ-
κ κάδι τοῦ πρώτου μηνός. ἐγένετο λόγος ἐν οἴκῳ να-
βουχοδονόσορ βασιλέως ἀσσυρίων. ἐκδικῆσαι πᾶ-
σαν τὴν γῆν καθὼς ἐλάλησε. καὶ συνεκάλεσε πάντας τοὺς
θεράποντας αὐτοῦ, καὶ πάντας τοὺς μεγιστᾶνας αὐτοῦ. καὶ ἔθετο
μετ' αὐτῶν τὸ μυστήριον τῆς βουλῆς αὐτοῦ. καὶ συνεκάλεσε πᾶ-
σαν τὴν κακίαν τῆς γῆς, ἐκ τοῦ στόματος αὐτοῦ. καὶ αὐτοὶ ἔκρι-
ναν ὀλοθρεῦσαι πᾶσαν σάρκα οἳ οὐκ ἠκολούθησαν τῷ λόγῳ τοῦ
στόματος αὐτοῦ. καὶ ἐγένετο ὡς συνετέλεσε τὴν βουλὴν αὐτοῦ
ἐκάλεσε ναβουχοδονόσορ βασιλεὺς ἀσσυρίων τὸν ὀλοφέρνην ἀρ-
χιστράτηγον τῆς δυνάμεως αὐτοῦ δεύτερον ὄντα μετ' αὐτόν.
καὶ εἶπεν πρὸς αὐτόν. τάδε λέγει ὁ βασιλεὺς ὁ μέγας, ὁ κύ-
ριος πάσης τῆς γῆς. ἰδοὺ σὺ ἐξελεύσῃ ἐκ προσώπου μου καὶ
λήψῃ μετὰ σοῦ ἄνδρας πεποιθότας ἐν ἰσχύϊ αὐτῶν πεζῶν εἰς
χιλιάδας ἑκατὸν εἴκοσι. καὶ πλῆθος ἵππων σὺν ἀναβάταις χι-
λιάδας δεκαδύο καὶ ἐξελεύσῃ. εἰς συνάντησιν πάσῃ τῇ γῇ
ἐπὶ δυσμὰς ὅτι ἠπείθησαν ἐν τῷ ῥήματί μου. καὶ ἀπαγγελεῖς αὐ-
τοῖς ἑτοιμάζειν μοι γῆν, καὶ ὕδωρ ὅτι ἐξελεύσομαι ἐν θυμῷ μου
ἐπ' αὐτούς. καὶ καλύψω πᾶν τὸ πρόσωπον τῆς γῆς ἐν τοῖς ποσὶ
τῆς δυνάμεώς μου. καὶ δώσω αὐτοὺς εἰς διαρπαγὴν αὐτοῖς.
καὶ οἱ τραυματίαι αὐτῶν, πληρώσουσι τὰς φάραγγας αὐτῶν

καὶ τοὺς χειμάῤῥους· καὶ ποταμὸς ἐπικλύζων, τοῖς νεκροῖς αὐτῶν
πληρωθήσεται. καὶ ἄξω τὴν αἰχμαλωσίαν αὐτῶν ἐπὶ τὰ ἄκρα
πάσης τῆς γῆς. σὺ δὲ ἐξελθὼν προκαταλήψῃ μοι πᾶν ὅριον
αὐτῶν καὶ ἐκδώσουσί σοι ἑαυτούς. καὶ διατηρήσεις ἐμοὶ αὐ-
τοὺς εἰς ἡμέραν ἐλεγμοῦ αὐτῶν. ἐπὶ δὲ τοὺς ἀπειθοῦντας οὐ φεί-
σεται ὁ ὀφθαλμός σου τοῦ δοῦναι αὐτοὺς εἰς φόνον καὶ ἁρπαγὴν
ἐν πάσῃ τῇ γῇ σου. ὅτι ζῶν ἐγὼ καὶ τὸ κράτος τῆς βασιλείας
μου. ὅ τι ἐλάλησα καὶ ποιήσω ταῦτα ἐν χειρί μου. καὶ σὺ δὲ οὐ
παραβήσῃ ἕν τι τῶν ῥημάτων τοῦ κυρίου σου, ἀλλ' ἐπιτελῶν ἐπιτε-
λέσεις καθότι προσέταξά σοι. καὶ οὐ μακρυνεῖς τοῦ ποιῆσαι αὐτά.

Καὶ ἐξῆλθεν ὁ ὀλοφέρνης ἀπὸ προσώπου τοῦ κυρίου αὐτοῦ.
καὶ ἐκάλεσε πάντας τοὺς δυνάστας καὶ τοὺς στρατηγούς, καὶ ἐπι-
στάτας τῆς δυνάμεως ἀσούρ. καὶ ἠρίθμησε ἐπιλέκτους ἄνδρας
εἰς παράταξιν καθότι προσέταξεν αὐτῷ ὁ κύριος αὐτοῦ εἰς μυ-
ριάδας δεκαδύο. καὶ ἱππεῖς τοξότας μυρίους δισχιλίους. καὶ δι-
έταξεν αὐτοὺς ὃν τρόπον πολέμου πλῆθος συντάσσεται. καὶ ἔλα-
βε καμήλους. καὶ ὄνους εἰς τὴν ἀπαρτίαν αὐτῶν, πλῆθος πολὺ
σφόδρα. καὶ πρόβατα καὶ βόας. καὶ αἶγας εἰς παρασκευὴν
αὐτῶν. ὧν οὐκ ἦν ἀριθμός, καὶ ἐπισιτισμὸν παντὶ ἀνδρὶ εἰς πλῆ-
θος καὶ χρυσίον καὶ ἀργύριον ἐξ οἴκου βασιλέως πολὺ σφό-
δρα. καὶ ἐξῆλθον αὐτὸς καὶ πᾶσα ἡ δύναμις αὐτοῦ εἰς πορείαν
τοῦ προσελθεῖν βασιλέως ναβουχοδονόσορ. καὶ καλύψαι πᾶν τὸ
πρόσωπον τῆς γῆς πρὸς δυσμαῖς ἐν ἅρμασι καὶ ἱππεῦσι, καὶ
πεζοῖς ἐπιλέκτοις αὐτῶν. καὶ πολὺς ὁ ἐπίμικτος ὡς ἀκρὶς συν-
εξῆλθεν αὐτοῖς καὶ ὡς ἄμμος τῆς γῆς. οὐ γὰρ ἦν ἀριθμὸς ἀπὸ τοῦ
πλήθους αὐτῶν.

Καὶ ἐξῆλθον ἐκ νινευῆ ὁδὸν τριῶν ἡμερῶν ἐπὶ πρόσωπον
τοῦ πεδίου βεκτιλέθ. καὶ ἐπεστρατοπέδευσαν ἀπὸ βεκτιλέθ, πλη-
σίον τοῦ ὄρους τοῦ ἐπ' ἀριστερᾷ τῆς ἄνω κιλικίας. καὶ ἔλαβε πᾶ-
σαν τὴν δύναμιν αὐτοῦ τοὺς πεζοὺς καὶ τοὺς ἱππεῖς καὶ τὰ ἅρ-

ματα αὐτοῦ καὶ ἀπῆλθε ἐκεῖθεν εἰς τὴν ὀρεινήν.

Καὶ διέκοψε τὸ φοὺδ καὶ τὸ λοὺδ καὶ ἐπρονόμευσεν υἱοὺς πάντας ῥασσὶς καὶ υἱοὺς ἰσμαὴλ τοὺς κατὰ πρόσωπον τῆς ἐρήμου πρὸς νότον τῆς χελλαιῶν.

Καὶ παρῆλθε τὸν εὐφράτην καὶ διῆλθε τὴν μεσοποταμίαν, καὶ κατέσκαψε πάσας τὰς πόλεις τὰς ὑψηλὰς τὰς ἐπὶ τοῦ χειμάρρου ἀρβοναὶ ἕως τοῦ ἐλθεῖν ἐπὶ θάλασσαν καὶ κατελάβετο τὰ ὅρια τῆς κιλικίας. καὶ κατέκοψε πάντας τοὺς ἀντιστάντας αὐτῷ.

Καὶ ἦλθεν ἕως ὁρίων ἰάφεθ τὰ πρὸς νότον καὶ πρόσωπον τῆς ἀραβίας. καὶ ἐκύκλωσε πάντας τοὺς υἱοὺς μαδιάμ. καὶ ἐνέπρησε τὰ σκηνώματα αὐτῶν. καὶ ἐπρονόμευσε τὰς μάνδρας αὐτῶν.

Καὶ κατέβη εἰς πεδίον δαμασκοῦ ἐν ἡμέραις θερισμοῦ πυρῶν. καὶ ἐνέπρησε πάντας τοὺς ἀγροὺς αὐτῶν. καὶ τὰ ποίμνια, καὶ τὰ βουκόλια ἔδωκεν εἰς ἀφανισμόν. καὶ τὰς πόλεις αὐτῶν ἐσκύλευσε. καὶ τὰ πεδία αὐτῶν ἐξελίκμησε. καὶ ἐπάταξε πάντας τοὺς νεανίσκους αὐτῶν ἐν στόματι ῥομφαίας.

Κεφ. γ. 3.

ΚΑὶ ἔπεσε ὁ φόβος καὶ ὁ τρόμος αὐτοῦ ἐπὶ τοὺς κατοικοῦντας τὴν παραλίαν τοὺς ὄντας, ἐν σιδῶνι καὶ ἐν τύρῳ, καὶ τοὺς κατοικοῦντας σούρ, καὶ ὀκινὰ καὶ πάντας τοὺς κατοικοῦντας ἰεμναάν. καὶ οἱ κατοικοῦντες ἐν ἀζώτῳ. καὶ ἀσκάλωνι. ἐφοβήθησαν αὐτὸν σφόδρα. καὶ ἀπέστειλαν πρὸς αὐτὸν ἀγγέλους, λόγοις εἰρηνικοῖς λέγοντες. ἰδοὺ ἡμεῖς οἱ παῖδες ναβουχοδονόσορ βασιλέως μεγάλου παρακείμεθα ἐνώπιόν σου χρῆσαι ἡμῖν καθὼς ἀρεστόν ἐστι τῷ προσώπῳ σου. ἰδοὺ αἱ ἐπαύλεις ἡμῶν. καὶ πᾶς τόπος ἡμῶν καὶ πᾶν πεδίον πυρῶν. καὶ τὰ ποίμνια καὶ τὰ βουκόλια. καὶ πᾶσαι αἱ μάνδραι τῶν σκηνωμάτων ἡμῶν παράκεινται πρὸ προσώπου σου.

χρῆσαι παρ' ὃ ἂν ἀρέσκῃ σοι. ἰδοὺ καὶ αἱ πόλεις ἡμῶν καὶ οἱ κα-
τοικοῦντες ἐν αὐταῖς δοῦλοί σου εἰσίν. ἐλθὼν ἀπάντησον αὐταῖς
ὡς ἔστιν ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ παρεγένοντο οἱ ἄνδρες
πρὸς ὀλοφέρνην καὶ ἀπήγγειλαν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα.

Καὶ κατέβη ἐπὶ τὴν παραλίαν αὐτὸς καὶ ἡ δύναμις αὐτοῦ
καὶ ἐφρούρησε τὰς πόλεις τὰς ὑψηλάς. καὶ ἔλαβεν ἐξ αὐτῶν
εἰς συμμαχίαν ἄνδρας ἐπιλέκτους. καὶ ἐδέξαντο αὐτὸν αὐτοὶ
καὶ πᾶσα ἡ περίχωρος αὐτῶν, μετὰ στεφάνων. καὶ χορῶν.
καὶ τυμπάνων. καὶ κατέσκαψε πάντα τὰ ὅρια αὐτῶν καὶ τὰ
ἄλση αὐτοῦ ἐξέκοψε. καὶ ἦν δεδογμένον αὐτῷ ἐξολοθρεῦσαι
πάντας τοὺς θεοὺς τῆς γῆς. ὅπως αὐτῷ μόνῳ τῷ ναβουχοδο-
νόσορ λατρεύσωσι πάντα τὰ ἔθνη καὶ πᾶσαι αἱ γλῶσσαι. καὶ
αἱ φυλαὶ αὐτῶν ἐπικαλέσωνται αὐτὸν θεόν.

Καὶ ἦλθε κατὰ πρόσωπον ἐσδραήλων πλησίον τῆς ἰουδαί-
ας ἥ ἐστιν ἀπέναντι τοῦ πρίονος τοῦ μεγάλου τῆς ἰουδαίας. καὶ
κατεστρατοπέδευσεν ἀνὰ μέσον γαιβὰ καὶ σκυθῶν πόλεως, καὶ
ἦν ἐκεῖ μῆνα ἡμερῶν εἰς τὸ συλλέξαι πᾶσαν τὴν ἀπαρτίαν τῆς
δυνάμεως αὐτοῦ.

Κεφάλαιον. δ. 4.

Αὶ ἤκουσαν οἱ υἱοὶ ἰσραὴλ οἱ κατοικοῦντες ἐν τῇ ἰου-
κ δαίᾳ πάντα ὅσα ἐποίησεν ὀλοφέρνης τοῖς ἔθνεσιν
ὁ ἀρχιστράτηγος ναβουχοδονόσορ βασιλέως ἀσσυρί-
ων. καὶ ὃν τρόπον ἐσκύλευσε πάντα τὰ ἱερὰ αὐτῶν καὶ ἔ-
δωκεν αὐτὰ εἰς ἀφανισμόν. καὶ ἐφοβήθησαν σφόδρα ἀπὸ
προσώπου αὐτοῦ. καὶ περὶ ἱερουσαλήμ. καὶ περὶ τοῦ ναοῦ κυρίου
θεοῦ αὐτῶν ἐταράχθησαν. ὅτι προσφάτως ἦσαν ἀναβεβη-
κότες, ἐκ τῆς αἰχμαλωσίας. καὶ νεωστὶ πᾶς ὁ λαὸς συνελέλε-
κτο. ἐκ τῆς ἰουδαίας. καὶ τὰ σκεύη καὶ τὸ θυσιαστήριον, καὶ ὁ
οἶκος ἐκ βεβηλώσεως ἡγιασμένα ἦν, καὶ ἀπέστειλαν εἰς πᾶν
ὅριον σαμαρείας, καὶ κώμας. καὶ βεθωρώ. καὶ βελμέν. καὶ ἱε-

χῶ. καὶ εἰς χωβὰ καὶ ἐσωρά. καὶ τὸν αὐλῶνα σαλήμ. καὶ προ-
κατελάβοντο πάσας τὰς κορυφὰς τῶν ὀρέων τῶν ὑψηλῶν.
καὶ ἐτείχισαν τὰς ἐν αὐταῖς κώμας. καὶ παρέθεντο εἰς ἐπι-
σιτισμὸν εἰς παρασκευὴν πολέμου. ὅτι προσφάτως ἦν, ἐπὶ
τὰ πεδία αὐτῶν. τεθερισμένα. καὶ ἔγραψεν ἰωακεὶμ ὁ ἱε-
ρεὺς ὁ μέγας. ὃς ἦν ἐν ταῖς ἡμέραις ἐκείναις ἐν ἱερουσαλήμ.
τοῖς κατοικοῦσι βετουλοῦα καὶ βετομεσθαὶμ ἥ ἐστιν ἀπέναντι
ἐσδραήλων κατὰ πρόσωπον τοῦ πεδίου τοῦ πλησίον δωθαὶμ
λέγων διακατασχεῖν τὰς ἀναβάσεις τῆς ὀρεινῆς ὅτι δι᾽ αὐτῶν
ἦν ἡ εἴσοδος εἰς τὴν ἰουδαίαν. καὶ ἦν εὐχερῶς διακωλῦσαι
αὐτοὺς προαναβαίνοντας. στενῆς τῆς διαβάσεως οὔσης, ἐπ᾽ ἄν-
δρας τοὺς πάντας δύο. καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ καθὰ συ-
νέταξεν αὐτοῖς ἰωακεὶμ ὁ ἱερεὺς ὁ μέγας. καὶ ἡ γερουσία
παντὸς δήμου ἰσραήλ. οἳ ἐκάθηντο ἐν ἱερουσαλήμ. καὶ ἀνε-
βόησαν πᾶς ἀνὴρ ἰσραὴλ πρὸς τὸν θεὸν ἐν ἐκτενείᾳ μεγά-
λῃ. καὶ ἐταπείνωσαν τὰς ψυχὰς αὐτῶν ἐν ἐκτενείᾳ μεγάλῃ.
αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ νήπια αὐτῶν καὶ τὰ
κτήνη αὐτῶν καὶ πᾶς πάροικος καὶ μισθωτὸς καὶ ἀργυρώνη-
τος αὐτῶν ἐπέθεντο σάκκους ἐπὶ τὰς ὀσφύας αὐτῶν καὶ πᾶς
ἀνήρ, καὶ γυνὴ καὶ τὰ παιδία καὶ οἱ κατοικοῦντες ἱερουσαλὴμ ἔ-
πεσαν κατὰ πρόσωπον τοῦ ναοῦ. καὶ ἐσποδώσαντο τὰς κε-
φαλὰς αὐτῶν. καὶ ἐξέτειναν τοὺς σάκκους αὐτῶν κατὰ πρόσ-
ωπον κυρίου. καὶ τὸ θυσιαστήριον σάκκῳ περιέβαλον. καὶ
ἐβόησαν πρὸς τὸν θεὸν ἰσραήλ. ὁμοθυμαδὸν ἐκτενῶς. τοῦ μὴ
δοῦναι εἰς διαρπαγὴν τὰ νήπια αὐτῶν. καὶ τὰς γυναῖκας εἰς
προνομήν. καὶ τὰς πόλεις τῆς κληρονομίας αὐτῶν, εἰς ἀφανι-
σμόν. καὶ τὰ ἅγια εἰς βεβήλωσιν καὶ ὀνειδισμὸν ἐπίχαρμα
τοῖς ἔθνεσι. καὶ εἰσήκουσεν ὁ θεὸς τῆς φωνῆς αὐτῶν, καὶ εἶ-
δεν τὴν θλῖψιν αὐτῶν. καὶ ἦν ὁ λαὸς νηστεύων ἡμέρας πλεί-
ους ἐν πάσῃ τῇ ἰουδαίᾳ. καὶ ἱερουσαλήμ. κατὰ πρόσωπον

τῶν ἁγίων κυρίου παντοκράτορος. καὶ ἰωακεὶμ ὁ ἱερεὺς ὁ μέγας. καὶ πάντες οἱ παρεστηκότες ἐνώπιον κυρίου. ἱερεῖς καὶ οἱ λειτουργοῦντες κυρίῳ, σάκκους περιεζωσμένοι τὰς ὀσφύας αὐτῶν, προσέφερον τὴν ὁλοκαύτωσιν τοῦ ἐνδελεχισμοῦ καὶ τὰς εὐχὰς καὶ τὰ ἑκούσια δόματα τοῦ λαοῦ. καὶ ἦν σποδὸς ἐπὶ τὰς κιδάρεις αὐτῶν. καὶ ἐβόων πρὸς κύριον ἐκ πάσης δυνάμεως εἰς ἀγαθὸν ἐπισκέψασθαι πάντα οἶκον ἰσραήλ.

## Κεφάλαιον. ε. 5.

Αἰ ἀνηγγέλη ὀλοφέρνῃ ἀρχιστρατήγῳ δυνάμεως
κ ἀσσούρ. διότι οἱ υἱοὶ ἰσραὴλ παρεσκευάσαντο εἰς
πόλεμον. καὶ τὰς διόδους τῆς ὀρεινῆς συνέκλεισαν καὶ ἐτειχίσαντο πᾶσαν κορυφὴν ὄρους ὑψηλοῦ. καὶ ἔθηκαν ἐν τοῖς πεδίοις σκάνδαλα, καὶ ὠργίσθη θυμῷ σφόδρα καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας μωὰβ καὶ τοὺς στρατηγοὺς ἀμμὼν καὶ πάντας σατράπας τῆς παραλίας καὶ εἶπεν αὐτοῖς. ἀναγγείλατε δή μοι υἱοὶ χαναὰν ὁ λαὸς οὗτος ὁ καθήμενος ἐν τῇ ὀρεινῇ. καὶ τίνες ἃς κατοικοῦσι πόλεις. καὶ τί τὸ πλῆθος τῆς δυνάμεως αὐτῶν. καὶ ἐν τίνι τὸ κράτος αὐτῶν καὶ ἡ ἰσχὺς αὐτῶν. καὶ τίς ἀνέστηκεν ἐπ' αὐτῶν βασιλεὺς ἢ ἡγούμενος στρατιᾶς αὐτῶν. καὶ διατί κατεγνώσαντο τοῦ μὴ ἐλθεῖν εἰς ἀπάντησίν μου παρὰ πάντας τοὺς κατοικοῦντας ἐν δυσμαῖς. καὶ εἶπε πρὸς αὐτὸν ἀχιὼρ ὁ ἡγούμενος πάντων υἱῶν ἀμμών. ἀκουσάτω δὴ ὁ κύριός μου λόγον ἐκ στόματος τοῦ δούλου σου. καὶ ἀναγγελῶ σοι τὴν ἀλήθειαν περὶ τοῦ λαοῦ τούτου ὃς κατοικεῖ τὴν ὀρεινὴν ταύτην πλησίον σου οἰκοῦντος. καὶ οὐκ ἐξελεύσεται ψεῦδος ἐκ τοῦ στόματος τοῦ δούλου σου. ὁ λαὸς οὗτός ἐστιν ἀπόγονοι χαλδαίων. καὶ παρῴκησαν τὸ πρότερον ἐν τῇ μεσοποταμίᾳ ὅτι οὐκ ἐβουλήθησαν ἀκολουθῆσαι τοῖς θεοῖς τῶν πατέρων αὐτῶν. οἳ ἐγένοντο ἐν τῇ χαλδαίων. καὶ ἐξέβησαν ἐξ ὁδοῦ τῶν γονέων αὐτῶν, καὶ προσεκύνησαν τῷ θεῷ τοῦ οὐ-

ρανοῦ. θεῷ ᾧ ἐπέγνωσαν. καὶ ἐξέβαλον αὐτοὺς ἀπὸ προσώπου
τῶν θεῶν αὐτῶν. καὶ ἔφυγον εἰς μεσοποταμίαν. καὶ παρῴκη-
σαν ἐκεῖ ἡμέρας πολλάς. καὶ εἶπεν ὁ θεὸς αὐτῶν ἐξελθεῖν ἐκ τῆς
παροικίας αὐτῶν. καὶ πορευθῆναι εἰς γῆν χαναάν. καὶ κατῴ-
κησαν ἐκεῖ καὶ ἐπληθύνθησαν χρυσίῳ καὶ ἀργυρίῳ καὶ ἐν κτή-
νεσι πολλοῖς σφόδρα. καὶ κατέβησαν εἰς αἴγυπτον ἐκάλυψε γὰρ
τὸ πρόσωπον τῆς γῆς χαναὰν λιμός, καὶ παρῴκησαν ἐκεῖ μέ-
χρις οὗ διετράφησαν. καὶ ἐγένοντο ἐκεῖ εἰς πλῆθος πολύ. καὶ
οὐκ ἦν ἀριθμὸς τοῦ γένους αὐτῶν. καὶ ἐπανέστη αὐτοῖς ὁ
βασιλεὺς αἰγύπτου καὶ κατεσοφίσατο αὐτούς. καὶ ἐν πόνῳ, καὶ
ἐν πλίνθῳ ἐταπείνωσεν αὐτούς. καὶ ἔθετο αὐτοὺς εἰς δούλους. καὶ
ἀνεβόησαν πρὸς τὸν θεὸν αὐτῶν. καὶ ἐπάταξε πᾶσαν τὴν γῆν
αἰγύπτου πληγαῖς, ἐν αἷς οὐκ ἦν ἴασις. καὶ ἐξέβαλον αὐτοὺς οἱ αἰ-
γύπτιοι ἀπὸ προσώπου αὐτῶν καὶ κατεξήρανεν ὁ θεὸς τὴν
ἐρυθρὰν θάλασσαν ἔμπροσθεν αὐτῶν. καὶ ἤγαγεν αὐτοὺς εἰς τὸ
ὄρος σινᾶ. καὶ κάδης βαρνῆ. καὶ ἐξέβαλε πάντας τοὺς κατοι-
κοῦντας ἐν τῇ ἐρήμῳ καὶ ᾤκησαν ἐν γῇ ἀμορραίων. καὶ πάντας
τοὺς ἐσεβωνίτας ἐξωλόθρευσαν, ἐν τῇ ἰσχύϊ αὐτοῦ καὶ διαβάντες τὸν
ἰορδάνην, ἐκληρονόμησαν πᾶσαν τὴν ὀρεινήν. καὶ ἐξέβαλον
ἀπὸ προσώπου αὐτῶν τὸν χαναναῖον. καὶ τὸν φερεζαῖον καὶ τὸν
ἰεβουσαῖον. καὶ τὸν συχέμ. καὶ πάντας τοὺς γεργεσαίους. καὶ
κατῴκησαν ἐν αὐτῇ ἡμέρας πολλάς. καὶ ἕως οὐχ ἥμαρτον ἐνώπι-
ον τοῦ θεοῦ αὐτῶν. ἦν τὰ ἀγαθὰ μετ' αὐτῶν. ὅτι ὁ θεὸς μισῶν
ἀδικίαν μετ' αὐτῶν ἐστίν. ὅτε δὲ ἀπέστησαν ἀπὸ τῆς ὁδοῦ ἧς δι-
έθετο αὐτοῖς, ἐξολοθρεύθησαν ἐν πολλοῖς πολέμοις. ἐπὶ πολὺ
σφόδρα καὶ ᾐχμαλωτεύθησαν εἰς γῆν οὐκ ἰδίαν. καὶ ὁ ναὸς
τοῦ θεοῦ αὐτῶν ἐγενήθη εἰς ἔδαφος. καὶ αἱ πόλεις αὐτῶν ἐκρα-
τήθησαν ὑπὸ τῶν ὑπεναντίων. καὶ νῦν ἐπιστρέψαντες ἐπὶ τὸν θε-
ὸν αὐτῶν, ἀνέβησαν ἐκ τῆς διασπορᾶς οὗ διεσπάρησαν ἐκεῖ. καὶ
κατέσχον τὴν ἱερουσαλὴμ οὗ τὸ ἁγίασμα αὐτῶν καὶ κατῳκίσθη-

σαν ἐν τῇ ὀρεινῇ ὅτι ἦν ἔρημος. καὶ νῦν δέσποτα κύριε εἰ μὲν
ἐστὶν ἀγνόημα ἐν τῷ λαῷ τούτῳ, καὶ ἁμαρτάνουσιν εἰς τὸν θεὸν
αὐτοῦ ἐπισκεψόμεθα. ὅτι ἐστὶν ἐν αὐτοῖς σκάνδαλον τοῦτο, καὶ
ἀναβησόμεθα καὶ πολεμήσομεν αὐτούς. εἰ δὲ οὐκ ἔστιν ἀνομία
ἐν τῷ ἔθνει αὐτῶν. παρελθέτω δὴ ὁ κύριός μου. μήποτε ὑπε-
ρασπίσῃ ὁ κύριος αὐτῶν, καὶ ὁ θεὸς αὐτῶν ὑπὲρ αὐτῶν. καὶ ἐσ-
όμεθα εἰς ὄνειδος ἐναντίον πάσης τῆς γῆς.

## Κεφάλαιον. ϛ. 6.

Καὶ ἐγένετο ὡς ἐπαύσατο ἀχιὼρ λαλῶν τοὺς λόγους
τούτους, ἐγόγγυσε πᾶς ὁ λαὸς ὁ κύκλῳ τῆς σκηνῆς πε-
ριεστώς. καὶ εἶπαν οἱ μεγιστᾶνες ὁλοφέρνου, καὶ πάντες
οἱ κατοικοῦντες τὴν παραλίαν καὶ τὴν μωάβ συγκόψαι αὐτόν.
οὐ γὰρ φοβηθησόμεθα ἀπὸ προσώπου υἱῶν ἰσραήλ. ἰδοὺ γὰρ λα-
ὸς ἐν ᾧ οὐκ ἔστι δύναμις. οὐδὲ κράτος εἰς παράταξιν ἰσχυράν. διὸ
δὴ ἀναβησόμεθα. καὶ ἔσονται εἰς κατάβρωσιν πάσῃ τῇ στρατιᾷ σου
δέσποτα ὁλοφέρνη. καὶ ὡς κατέπαυσεν ὁ θόρυβος τῶν ἀνδρῶν τῶν
κύκλῳ τῆς συνεδρείας. καὶ εἶπεν ὁλοφέρνης ὁ ἀρχιστράτηγος δυ-
νάμεως ἀσσούρ, πρὸς ἀχιὼρ ἐναντίον παντὸς τοῦ δήμου ἀλλοφύ-
λων. καὶ πρὸς πάντας υἱοὺς μωάβ καὶ οἱ μισθωτοὶ τοῦ ἐφραίμ, ὅτι
προεφήτευσας ἐν ἡμῖν σήμερον. καὶ εἶπας τὸ γένος ἱερουσα-
λὴμ πολεμῆσαι, ὅτι ὁ θεὸς αὐτῶν ὑπερασπιεῖ αὐτῶν. καὶ τίς
ὁ θεὸς εἰ μὴ ναβουχοδονόσορ. οὗτος ἀποστελεῖ τὸ κράτος αὐ-
τοῦ καὶ ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου τῆς γῆς. καὶ οὐ ῥύ-
σεται αὐτοὺς ὁ θεὸς αὐτῶν, ἀλλ' ἡμεῖς οἱ δοῦλοι αὐτοῦ ἐξολοθρεύ-
σομεν αὐτοὺς ὡς ἄνθρωπον ἕνα, καὶ οὐχ ὑποστήσονται τὸ κράτος
τῶν ἵππων ἡμῶν. καὶ κατεπατήσομεν γὰρ αὐτοὺς ἐν αὐτοῖς. καὶ τὰ
ὄρη αὐτῶν, μεθυσθήσονται ἐν τῷ αἵματι αὐτῶν. καὶ τὰ πε-
δία αὐτῶν πληρωθήσονται τῶν νεκρῶν αὐτῶν. καὶ οὐκ ἀντιστή-
σεται τὸ ἴχνος τῶν ποδῶν αὐτῶν κατὰ πρόσωπον ἡμῶν, ἀλλὰ
ἀπωλείᾳ ἀπολοῦνται. λέγει ὁ βασιλεὺς ναβουχοδονόσορ ὁ κύ-

ειος πάσης τῆς γῆς. εἶπεν γάρ, οὐ ματαιωθήσονται τὰ ῥήματα τῶν λόγων μου. σὺ δὲ ἀχιὼρ μισθωτὲ τοῦ ἀμμών. ὡς ἐλάλησας τοὺς λόγους τούτους ἐν ἡμέρᾳ ἀδικίας σου, οὐκ ὄψει ἔτι τὸ πρόσωπόν μου ἀπὸ τῆς ἡμέρας ταύτης. ἕως οὗ ἐκδικήσω τὸ γένος τῶν ἐξ αἰγύπτου. καὶ τότε διελεύσεται ὁ σίδηρος τῆς στρατιᾶς μου, καὶ ὁ λαὸς τῶν θεραπόντων μου τὰς πλευράς σου καὶ πεσῇ ἐν τοῖς τραυματίαις αὐτῶν. ὅταν ἐπιστρέψω καὶ ἀποκαταστήσουσί σε οἱ δοῦλοί μου εἰς τὴν ὀρεινήν. καὶ θήσουσί σε ἐν μιᾷ τῶν πόλεων τῶν ἀναβάσεων. καὶ οὐκ ἀπολῇ ἕως οὗ ἐξολοθρευθῇς μετ' αὐτῶν. καὶ ἄπερ ἐλπίζεις τῇ καρδίᾳ σου ὅτι οὐ συλληφθήσονται, μὴ συμπεσέτω σου τὸ πρόσωπον. ἐλάλησα καὶ οὐδὲν διαπεσεῖται τῶν ῥημάτων μου. καὶ προσέταξεν ὀλοφέρνης τοῖς ἀχιὼρ καὶ ἀποκαταστῆσαι αὐτὸν εἰς βετυλούα. καὶ παραδοῦναι εἰς χεῖρας υἱῶν ἰσραήλ. καὶ συνέλαβον αὐτὸν οἱ δοῦλοι αὐτοῦ. καὶ ἤγαγον αὐτὸν ἔξω τῆς παρεμβολῆς εἰς τὸ πεδίον. καὶ ἀπῆραν ἐκ μέσου τῆς πεδινῆς εἰς τὴν ὀρεινήν. καὶ παραγίνονται ἐπὶ τὰς πηγὰς αἳ ἦσαν ὑπὸ κάτω βετυλούα. Καὶ ὡς εἶδον αὐτοὺς οἱ ἄνδρες τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους ἀνέλαβον τὰ ὅπλα αὐτῶν. καὶ ἀπῆλθον ἔξω τῆς πόλεως ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους. καὶ πᾶς ἀνὴρ σφενδονήτης, καὶ διεκράτησε τὴν ἀνάβασιν αὐτῶν. καὶ ἔβαλον ἐν λίθοις ἐπ' αὐτούς. καὶ ὑποδύσαντες ὑπὸ κάτω τοῦ ὄρους. ἔδησαν τὸν ἀχιὼρ καὶ ἀφῆκαν ἐρριμμένον ὑπὸ τὴν ῥίζαν τοῦ ὄρους. καὶ ἀπώχοντο πρὸς τὸν κύριον αὐτῶν. καταβάντες δὲ υἱοὶ ἰσραὴλ ἐκ τῆς πόλεως αὐτῶν ἐπέστησαν ἐπ' αὐτῶν. καὶ λύσαντες αὐτὸν ἀπήγαγον εἰς τὴν βετουλούα. καὶ κατέστησαν αὐτὸν εἰς τοὺς ἄρχοντας τῆς πόλεως αὐτῶν, οἳ ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις. ὀζίας ὁ τοῦ μιχὰ ἐκ τῆς φυλῆς συμεών. καὶ χάβεις ὁ τοῦ γοθονιήλ. καὶ χαρμὶς ὁ τοῦ μελχιήλ. καὶ συνεκαλέσαντο πάντας τοὺς δύο πρεσβυτέρους τῆς πόλεως. καὶ συνέδραμον πᾶς νεανίσκος αὐτῶν καὶ αἱ γυναῖκες εἰς τὴν ἐκκλησίαν, καὶ ἔστησαν τὸν ἀχιὼρ ἐν

μέσῳ παντὸς τοῦ λαοῦ αὐτῶν. καὶ ἐπηρώτησεν αὐτὸν ὀζίας τὸ συμβεβηκός. καὶ ἀποκριθεὶς ἀπήγγειλεν αὐτοῖς τὰ ῥήματα τῆς συνεδρείας ὀλοφέρνου. καὶ πάντα τὰ ῥήματα ὅσα ἐλάλησεν ἐν μέσῳ τῶν ἀρχόντων ἀσσούρ. καὶ ὅσα ἐμεγαλορημόνησεν ὀλοφέρνης εἰς τὸν οἶκον ἰσραήλ. καὶ πεσόντες, ὁ λαὸς προσεκύνησαν τῷ θεῷ καὶ ἐβόησαν τῷ θεῷ λέγοντες. κύριε ὁ θεὸς τοῦ οὐρανοῦ κάτιδε τὰς ὑπερηφανίας αὐτῶν. καὶ ἐλέησον τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν. καὶ ἐπίβλεψον ἐπὶ τὸ πρόσωπον τῶν ἡγιασμένων σοι, ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ παρεκάλεσαν τὸν ἀχιὼρ καὶ ἐπῄνεσαν αὐτὸν σφόδρα. καὶ παρέλαβεν αὐτὸν ὀζίας ἐκ τῆς ἐκκλησίας εἰς οἶκον αὐτοῦ. καὶ ἐποίησε πότον τοῖς πρεσβυτέροις. καὶ ἐπεκαλέσαντο τὸν θεὸν ἰσραήλ, εἰς βοήθειαν, ὅλην τὴν νύκτα ἐκείνην.

Κεφ. ζ. 7.

T Ἡ δ' ἐπαύριον παρήγγειλεν ὀλοφέρνης πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ παντὶ τῷ λαῷ αὐτοῦ οἱ παρεγένοντο ἐπὶ τῇ συμμαχίᾳ αὐτοῦ, ἀναζευγνύειν ἐπὶ βετουλούα. καὶ τὰς ἀναβάσεις τῆς ὀρεινῆς προκαταλαμβάνεσθαι καὶ ποιεῖν πόλεμον πρὸς τοὺς υἱοὺς ἰσραήλ. καὶ ἀνέζευξεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀνὴρ δυνατὸς αὐτῶν. καὶ ἡ δύναμις αὐτῶν ἀνδρῶν πολεμιστῶν χιλιάδες πεζῶν ἑκατὸν ἑβδομήκοντα. καὶ ἱππέων χιλιάδες δέκα δύο. χωρὶς τῆς ἀποσκευῆς, καὶ τῶν ἀνδρῶν οἱ ἦσαν πεζοί. ἐν αὐτοῖς πλῆθος πολὺ σφόδρα. καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι πλησίον βετουλούα ἐπὶ τῆς πηγῆς. καὶ παρέτειναν εἰς εὖρος ἐπὶ δοθαεὶμ, ἕως βελβαὶμ. καὶ εἰς μῆκος ἀπὸ βετουλούα ἕως κυάμωνος, ἥ ἐστιν ἀπέναντι τοῦ ἐσδρηλώμ.

Οἱ δὲ υἱοὶ ἰσραήλ. ὡς εἶδον αὐτῶν τὸ πλῆθος, ἐταράχθησαν σφόδρα. καὶ εἶπον ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. νῦν ἐκλείξουσιν οὗτοι τὸ πρόσωπον τῆς γῆς πάσης. καὶ οὔτε τὰ ὄρη τὰ ὑψηλὰ. οὔτε αἱ φάραγγες οὔτε οἱ βουνοὶ ὑποστήσονται τὸ βάρος αὐτῶν καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτῶν. καὶ

ἀνακαίοντες πυρὰν ἐπὶ τοὺς πύργους αὐτῶν, ἔμμενον φυλάσσοντες ὅλην τὴν νύκτα ἐκείνην.

Τῇ δὲ ἡμέρᾳ τῇ δευτέρᾳ ἐξήγαγεν ὁλοφέρνης πᾶσαν τὴν ἵππον αὐτοῦ κατὰ πρόσωπον τῶν υἱῶν ἰσραήλ. οἳ ἦσαν ἐν βετυλοῦα. καὶ ἐπεσκέψατο τὰς ἀναβάσεις τῆς πόλεως αὐτῶν. καὶ τὰς πηγὰς τῶν ὑδάτων αὐτῶν ἐφώδευσε καὶ προκατελάβετο αὐτάς. καὶ ἐπέστησεν αὐτοὺς παρεμβολὰς ἀνδρῶν πολεμιστῶν. καὶ αὐτὸς ἀνέζευξεν εἰς τὸν λαὸν αὐτοῦ.

Καὶ προσελθόντες αὐτῷ πάντες οἱ ἄρχοντες τῶν υἱῶν ἡσαῦ, καὶ πάντες οἱ ἡγούμενοι τοῦ λαοῦ μωάβ, καὶ οἱ στρατηγοὶ τῆς παραλίας, εἶπον. ἀκουσάτω δὴ λόγον ὁ δεσπότης ἡμῶν, ἵνα μὴ γένηται θραῦσις ἐν τῇ δυνάμει σου. ὁ γὰρ λαὸς οὗτος τῶν υἱῶν ἰσραὴλ οὐ πεποίθασιν ἐπὶ τοῖς δόρασιν αὐτῶν, ἀλλ' ἐπὶ τοῖς ὕψεσι τῶν ὀρέων ἐν οἷς αὐτοὶ κατοικοῦσιν ἐν αὐτοῖς. οὐ γάρ ἐστιν εὐχερὲς προσβῆναι ταῖς κορυφαῖς τῶν ὀρέων αὐτῶν. καὶ νῦν δέσποτα μὴ πολέμει πρὸς αὐτοὺς. καθὼς γίνεται πόλεμος παρατάξεως. καὶ οὐ πεσεῖται ἐκ τοῦ λαοῦ σου ὡς ἀνὴρ εἷς. ἀνάμεινον ἐπὶ τῆς παρεμβολῆς σου διαφυλάσσων πάντα ἄνδρα ἐκ τῆς δυνάμεώς σου, καὶ ἐπικρατησάτωσαν οἱ παῖδές σου τῆς πηγῆς τοῦ ὕδατος. ἣ ἐκπορεύεται ἐκ τῆς ῥίζης τοῦ ὄρους. διότι ἐκεῖθεν ὑδρεύονται πάντες οἱ κατοικοῦντες βετυλοῦα. καὶ ἀνελεῖ αὐτοὺς ἡ δίψα καὶ ἐκδώσουσιν τὴν πόλιν ἑαυτῶν. καὶ ἡμεῖς καὶ ὁ λαὸς ἡμῶν ἀναβησόμεθα ἐπὶ τὰς πλησίον κορυφὰς τῶν ὀρέων. καὶ παρεμβαλοῦμεν ἐπ' αὐταῖς εἰς προφυλακὴν, τοῦ μὴ ἐξελθεῖν ἐκ τῆς πόλεως ἄνδρα ἕνα, καὶ τακήσονται ἐν τῷ λιμῷ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν. καὶ πρὶν ἐλθεῖν τὴν ῥομφαίαν ἐπ' αὐτοὺς καταστραφήσονται ἐν ταῖς πλατείαις τῆς οἰκήσεως αὐτῶν. καὶ ἀνταποδώσεις αὐτοῖς ἀνταπόδομα πονηρὸν, ἀνθ' ὧν ἐστασίασαν, καὶ οὐχ ὑπήκουσαν τῷ προσώπῳ σου ἐν εἰρήνῃ. Καὶ ἤρεσαν οἱ λόγοι αὐτῶν ἐνώπιον ὁλοφέρνου καὶ

ἐνώπιον πάντων τῶν θεραπόντων αὐτοῦ καὶ συνέταξε ποιεῖν καθὰ ἐλάλησαν.

Καὶ ἀπῆρεν παρεμβολὴ υἱῶν ἀμμών. καὶ μετ' αὐτῶν χιλιάδες πέντε υἱῶν ἀσσούρ, καὶ παρενέβαλον ἐν τῷ αὐλῶνι. καὶ προκατελάβοντο τὰ ὕδατα, καὶ τὰς πηγὰς τῶν ὑδάτων τῶν υἱῶν ἰσραήλ. καὶ ἀνέβησαν υἱοὶ ἠσαῦ καὶ οἱ υἱοὶ ἀμμών. καὶ παρενέβαλον ἐν τῇ ὀρεινῇ ἀπέναντι δωθαΐμ. καὶ ἀπέστειλαν ἐξ αὐτῶν πρὸς νότον καὶ ἀπηλιώτην ἀπέναντι ἐκρεβὴλ ἥ ἐστι πλησίον χουσί. ἥ ἐστιν ἐπὶ τοῦ χειμάρρου μοχμούρ. καὶ ἡ λοιπὴ στρατιὰ τῶν ἀσσυρίων παρενέβαλον ἐν τῷ πεδίῳ, καὶ ἐκάλυψαν πᾶν τὸ πρόσωπον τῆς γῆς. καὶ αἱ σκηναὶ, καὶ αἱ ἀπαρτίαι αὐτῶν κατεστρατοπέδευσαν εἰς πλῆθος πολὺ σφόδρα.

Καὶ οἱ υἱοὶ ἰσραὴλ ἀνεβόησαν πρὸς τὸν κύριον θεὸν αὐτῶν. ὅτι ὠλιγοψύχησε τὸ πνεῦμα αὐτῶν. ὅτι ἐκύκλωσαν πάντες οἱ ἐχθροὶ αὐτῶν, καὶ οὐκ ἦν διαφυγεῖν ἐκ μέσου αὐτῶν. καὶ ἔμειναν κύκλῳ αὐτῶν πᾶσα συναγωγὴ ἀσσούρ. οἱ πεζοὶ καὶ τὰ ἅρματα καὶ οἱ ἱππεῖς αὐτῶν, ἡμέρας τριάκοντα τέσσαρας. καὶ ἐξέλιπον πάντας τοὺς κατοικοῦντας βετυλούα. καὶ πάντα τὰ ἀγγεῖα αὐτῶν τῶν ὑδάτων. καὶ οἱ λάκκοι ἐξεκενοῦντο, καὶ οὐκ εἶχον πιεῖν εἰς πλησμονὴν ὕδωρ ἡμέραν μίαν, ὅτι ἐν μέτρῳ ἐδίδοσαν αὐτοῖς πιεῖν καὶ ἠθύμησαν τὰ νήπια αὐτῶν. καὶ αἱ γυναῖκες καὶ οἱ νεανίσκοι ἐξέλιπον ἀπὸ τῆς δίψης. καὶ ἔπιπτον ἐν ταῖς πλατείαις τῆς πόλεως, καὶ ἐν ταῖς διόδοις τῶν πυλῶν. καὶ οὐκ ἦν κραταίωσις ἔτι ἐν αὐτοῖς. καὶ ἐπισυνήχθησαν πᾶς ὁ λαὸς ἐπὶ ὀζίαν, καὶ τοὺς ἄρχοντας τῆς πόλεως. οἱ νεανίσκοι αἱ γυναῖκες καὶ τὰ παιδία καὶ ἀνεβόησαν φωνῇ μεγάλῃ καὶ εἶπον ἐναντίον πάντων τῶν πρεσβυτέρων. κρίναι ὁ θεὸς ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν. ὅτι ἐποιήσατε ἐν ἡμῖν ἀδικίαν μεγάλην. οὐ λαλήσαντες εἰρηνικὰ μετὰ τῶν υἱῶν ἀσσούρ. καὶ νῦν οὐκ ἔστι βοηθὸς ἡμῶν. ἀλλὰ πέπρακεν ἡμᾶς ὁ θεὸς εἰς τὰς χεῖρας αὐτῶν. τοῦ καταστρωθῆναι ἐναντίον αὐτῶν ἐν δίψει, καὶ ἀπω-

φθορᾷ μεγάλῃ καὶ νῦν ἐπικαλέσασθε αὐτοὺς καὶ ἔκδοτε τὴν πόλιν
πᾶσαν εἰς προνομὴν λαῷ ὀλοφέρνου, καὶ πάσῃ τῇ δυνάμει αὐ-
τοῦ. κρεῖσσον γὰρ ἡμᾶς γενηθῆναι αὐτοῖς εἰς διαρπαγήν· ἢ ἀπο-
θανεῖν ἐν δίψει. ἐσόμεθα γὰρ εἰς δούλους, καὶ ζήσεται ἡ ψυχὴ ἡ-
μῶν καὶ οὐκ ὀψόμεθα τὸν θάνατον τῶν νηπίων ἡμῶν, ἐν ὀφθαλμοῖς
ἡμῶν. καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἡμῶν ἐκλειπούσας τὰς ψυ-
χὰς αὐτῶν. μαρτυρόμεθα ἡμῖν τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
τὸν θεὸν ἡμῶν, καὶ κύριον τῶν πατέρων ἡμῶν· ὃς ἐκδικεῖ ἡμᾶς κα-
τὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ τὰ ἁμαρτήματα τῶν πατέρων ἡμῶν,
ἵνα μὴ ποιήσῃ κατὰ τὰ ῥήματα ταῦτα ἐν τῇ ἡμέρᾳ τῇ σήμε-
ρον. καὶ ἐγένετο κλαυθμὸς μέγας ἐν μέσῳ τῆς ἐκκλησίας πάν-
των ὁμοθυμαδόν. καὶ ἐβόησαν πρὸς τὸν κύριον θεὸν φωνῇ μεγά-
λῃ. καὶ εἶπε πρὸς αὐτοὺς ὀζίας. Θαρσεῖτε ἀδελφοὶ διακαρτερή-
σωμεν ἔτι πέντε ἡμέρας ἐν αἷς ἐπιστρέψει κύριος ὁ θεὸς ἡμῶν
τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. οὐ γὰρ καταλείψει ἡμᾶς εἰς τέλος. ἐὰν δὲ
διέλθωσιν αὗται καὶ μὴ ἔλθῃ ἐφ' ἡμᾶς βοήθεια· ποιήσω κατὰ τὸ
ῥῆμα ὑμῶν καὶ ἐσκόρπισε τὸν λαὸν εἰς τὴν ἑαυτοῦ παρεμβολὴν
καὶ ἐπὶ τὰ τείχη καὶ τοὺς πύργους τῆς πόλεως αὐτῶν ἀπῆλθον. καὶ
τὰς γυναῖκας καὶ τὰ τέκνα εἰς τοὺς οἴκους αὐτῶν ἐξαπέστειλαν
καὶ ἦσαν ἐν ταπεινώσει πολλῇ ἐν τῇ πόλει.

Κεφάλαιον. η. S.

Καὶ ἤκουσεν ἐν ἐκείναις ταῖς ἡμέραις ἰουδὶθ θυγά-
a τηρ μεραρὶ υἱοῦ ὢξ· υἱοῦ ἰωσήφ. υἱοῦ ὀζιήλ· υἱοῦ ἐλ-
κία· υἱοῦ ἀνανίου υἱοῦ γεδεών· υἱοῦ ῥαφαείν· υἱοῦ ἀκι-
θώ· υἱοῦ ἠλιοῦ· υἱοῦ ἐλιάβ· υἱοῦ ναθανιήλ· υἱοῦ σαμαήλ· υἱοῦ σα-
λασαδαΐ· υἱοῦ ἰσραήλ. καὶ ὁ ἀνὴρ αὐτῆς μανασσῆς· τῆς φυλῆς αὐτῆς,
καὶ τῆς πατριᾶς αὐτῆς. καὶ ἀπέθανε ἐν ἡμέραις θερισμοῦ κριθῶν.
ἐπέστη γὰρ ἐπὶ τοὺς δεσμεύοντας τὰ δράγματα ἐν τῷ πεδίῳ.
καὶ ὁ καύσων ἦλθεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἔπεσεν ἐπὶ τὴν κλί-
νην αὐτοῦ, καὶ ἐτελεύτησεν ἐν βετυλουὰ τῇ πόλει. καὶ ἔθαψαν

αὐτὸν μετὰ τῶν πατέρων αὐτοῦ ἐν τῷ ἀγρῷ τῷ ἀνὰ μέσον Δωθαεὶμ καὶ Βαλαμώ. καὶ ἦν Ἰουδὶθ ἐν τῷ οἴκῳ αὐτῆς χηρεύουσα ἔτη τρία καὶ μῆνας τέσσαρας. καὶ ἐποίησεν ἑαυτῇ σκηνὴν ἐπὶ τοῦ δώματος τοῦ οἴκου αὐτῆς καὶ ἐπέθηκεν ἐπὶ τὴν ὀσφὺν αὐτῆς σάκκον. καὶ ἦν ἐπ' αὐτῆς τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς. καὶ ἐνήστευσε πάσας τὰς ἡμέρας τῆς χηρεύσεως αὐτῆς χωρὶς προσαββάτων καὶ σαββάτων καὶ προνουμηνιῶν. καὶ ἑορτῶν καὶ χαρμοσυνῶν οἴκου Ἰσραήλ. καὶ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα. καὶ ὑπελείπετο αὐτῇ Μανασσῆς ὁ ἀνὴρ αὐτῆς χρυσίον καὶ ἀργύριον. καὶ παῖδας καὶ παιδίσκας. καὶ κτήνη καὶ ἀγρούς. καὶ ἔμενεν ἐπ' αὐτῶν. καὶ οὐκ ἦν ὃς ἐπήνεγκεν ἐπ' αὐτὴν ῥῆμα πονηρὸν ὅτι ἐφοβεῖτο τὸν θεὸν σφόδρα, καὶ ἤκουσε τὰ ῥήματα τοῦ λαοῦ τὰ πονηρὰ ἐπὶ τὸν ἄρχοντα ὅτι ὠλιγοψύχησαν ἐν τῇ σπάνει τῶν ὑδάτων. καὶ ἤκουσε πάντας τοὺς λόγους Ἰουδὶθ οὓς ἐλάλησε πρὸς αὐτοὺς, ὀζίας ὡς ὤμοσεν αὐτοῖς παραδώσειν τὴν πόλιν μετὰ ἡμέρας πέντε τοῖς ἀσσυρίοις. καὶ ἀποστείλασα τὴν ἅβραν αὐτῆς τὴν ἐφεστῶσαν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῇ, ἐκάλεσεν ὀζίαν καὶ χαβρὶν καὶ χαρμὶν τοὺς πρεσβυτέρους τῆς πόλεως αὐτῆς. καὶ ἦλθον πρὸς αὐτὴν καὶ εἶπε πρὸς αὐτοὺς, ἀκούσατε δή μου ἄρχοντες, τῶν κατοικούντων βαιθυλουά. ὅτι οὐκ εὐθὴς ὁ λόγος ὑμῶν ὃν ἐλαλήσατε ἐναντίον τοῦ λαοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐστήσατε τὸν ὅρκον τοῦτον ὃν ἐλαλήσατε ἀνὰ μέσον τοῦ θεοῦ καὶ ὑμῶν. καὶ εἴπατε ἐκδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν. ἐὰν μὴ ἐν αὐταῖς ἐπιστρέψῃ κύριος βοηθῆσαι ὑμῖν. καὶ νῦν τίνες ἐστὲ ὑμεῖς οἳ ἐπειράσατε τὸν θεὸν ἐν τῇ ἡμέρᾳ τῇ σήμερον. καὶ ἵστατε ὑπὲρ τοῦ θεοῦ ἐν μέσῳ υἱῶν ἀνθρώπων. καὶ νῦν κύριον παντοκράτορα ἐξετάζετε. καὶ οὐθὲν ἐπιγνώσεσθε ἕως τοῦ αἰῶνος. ὅτι βάθος καρδίας ἀνθρώπου οὐχ εὑρήσετε. καὶ λόγους τῆς διανοίας αὐτοῦ οὐ διαλήψεσθε, καὶ πῶς τὸν θεὸν ὃς ἐποίησε πάντα ταῦτα ἐρευνήσετε, καὶ τὸν νοῦν αὐτοῦ ἐπιγνώσεσθε. καὶ τὸν λογισμὸν αὐτοῦ κατανοήσετε, μηδαμῶς ἀδελφοί, μὴ

παροργίζετε κύριον τὸν θεὸν ἡμῶν. ὅτι ἐὰν μὴ βούληται ἐν ταῖς
πέντε ἡμέραις βοηθῆσαι ἡμῖν. αὐτὸς ἔχει τὴν ἐξουσίαν ἐν αἷς
θέλει σκεπάσαι καὶ πάσαις ἡμέραις, ἢ καὶ ὀλοθρεῦσαι ἡμᾶς
πρὸ προσώπου τῶν ἐχθρῶν ἡμῶν. ὑμεῖς δὲ μὴ ἐνεχυράζετε τὰς
βουλὰς κυρίου τοῦ θεοῦ ἡμῶν. ὅτι οὐχ ὡς ἄνθρωπος ὁ θεὸς ἀπει-
ληθῆναι. οὐδὲ ὡς υἱὸς ἀνθρώπου διαιτηθῆναι. διόπερ ἀναμέ-
νοντες τὴν παρ' αὐτοῦ σωτηρίαν, ἐπικαλεσώμεθα αὐτὸν εἰς βοή-
θειαν ἡμῶν. καὶ εἰσακούσεται τῆς φωνῆς ἡμῶν, ἐὰν ᾖ αὐτῷ ἀρε-
στόν. ὅτι οὐκ ἀνέστη ἐν ταῖς γενεαῖς ἡμῶν. οὐδὲ ἔστιν ἐν τῇ ἡμέρᾳ
τῇ σήμερον οὔτε φυλή. οὔτε πατριὰ οὔτε δῆμος. οὔτε πόλις ἐξ
ἡμῶν. οἳ προσκυνοῦσι θεοῖς χειροποιήτοις, καθάπερ ἐγένετο ἐν
ταῖς πρότερον ἡμέραις. ὧν χάριν ἐδόθησαν εἰς ῥομφαίαν καὶ
διαρπαγὴν οἱ πατέρες ἡμῶν, καὶ ἔπεσον πτῶμα μέγα ἐνώπιον
τῶν ἐχθρῶν ἡμῶν. ἡμεῖς δὲ ἕτερον θεὸν οὐκ ἔγνωμεν ὅθεν ἐλπί-
ζομεν ὅτι οὐχ ὑπερόψεται ἡμᾶς οὔτε ἀπὸ τοῦ γένους ἡμῶν. οὔ-
τε ἐν τῷ ληφθῆναι ἡμᾶς. οὕτως κληθήσεται ἡ ἰουδαία καὶ προ-
νομευθήσεται τὰ ἅγια ἡμῶν. καὶ ἐκζητήσει τὴν βεβήλωσιν
αὐτοῦ ἐκ τοῦ στόματος ἡμῶν καὶ τὸν φόβον τῶν ἀδελφῶν ἡμῶν,
καὶ τὴν αἰχμαλωσίαν τῆς γῆς καὶ τὴν ἐρήμωσιν τῆς κληρονο-
μίας ἡμῶν. ἐπιστρέψει εἰς κεφαλὴν ἡμῶν ἐν τοῖς ἔθνεσιν. οὗ ἐὰν
δουλεύσωμεν ἐκεῖ καὶ ἐσόμεθα εἰς πρόσκομμα. καὶ εἰς ὄνειδος ἐ-
ναντίον τῶν κτωμένων ἡμᾶς. ὅτι οὐ κατευθυνθήσεται ἡ δουλεία
ἡμῶν εἰς χάριν. ἀλλ' εἰς ἀτιμίαν θήσει αὐτὴν κύριος ὁ θεὸς ἡ-
μῶν καὶ νῦν ἀδελφοὶ ἐπιδειξόμεθα τοῖς ἀδελφοῖς ἡμῶν. ὅτι ἐξ ἡ-
μῶν ἐκκρέμαται ἡ ψυχὴ αὐτῶν. καὶ τὰ ἅγια καὶ ὁ οἶκος. καὶ τὸ θυσια-
στήριον ἐπεστήρικται ἐφ' ἡμῖν. παρὰ πάντα ταῦτα εὐχαριστήσω-
μεν κυρίῳ τῷ θεῷ ἡμῶν. ὃς πειράζει ἡμᾶς καθὰ καὶ τοὺς πατέ-
ρας ἡμῶν. μνήσθητε ὅσα ἐποίησε μετὰ ἀβραάμ. καὶ ὅσα ἐπείρα-
σε τὸν ἰσαάκ. καὶ ὅσα ἐγένετο τῷ ἰακώβ. ἐν μεσοποταμίᾳ τῆς συρί-
ας ποιμαίνοντος τὰ πρόβατα λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς

αὐτοῦ, ὅτι οὐ καθὼς ἐκείνους ἐπύρωσεν εἰς ἐτασμὸν καρδίας αὐτῶν, καὶ ἡμᾶς οὐκ ἐξεδίκησεν. ἀλλ᾽ εἰς νουθεσίαν μαστιγοῖ κύριος τοὺς ἐγγίζοντας αὐτῷ.

Καὶ εἶπεν πρὸς αὐτὴν ὀζίας πάντα ὅσα εἶπας, ἐν ἀγαθῇ καρδίᾳ ἐλάλησας, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τοῖς λόγοις σου. ὅτι οὐκ ἐν τῇ σήμερον ἡ σοφία σου πρόδηλός ἐστιν. ἀλλὰ ἀπ᾽ ἀρχῆς ἡμερῶν σου ἔγνω πᾶς ὁ λαὸς τὴν σύνεσίν σου. καθότι ἀγαθόν ἐστι τὸ πλάσμα τῆς καρδίας σου. ἀλλ᾽ ὁ λαὸς δεδίψηκε σφόδρα, καὶ ἠνάγκασαν ἡμᾶς καθὰ ἐλαλήσαμεν ποιῆσαι αὐτοῖς καὶ ἀπαγαγεῖν ὅρκον ἐφ᾽ ἡμᾶς, ὃν οὐ παραβησόμεθα. καὶ νῦν δεήθητι σὺ περὶ ἡμῶν. ὅτι γυνὴ εὐσεβὴς εἶ, καὶ ἀποστελεῖ κύριος τὸν ὑετὸν εἰς πλήρωσιν τῶν λάκκων ἡμῶν καὶ οὐκ ἐκλείψομεν ἔτι.

Καὶ εἶπε πρὸς αὐτοὺς ἰουδὴθ ἀκούσατέ μου, καὶ ποιήσω πρᾶγμα ὃ ἀφίξεται εἰς γενεὰς γενεῶν υἱοῖς τοῦ γένους ἡμῶν. ὑμεῖς στήσεσθε ἐπὶ τῆς πύλης τὴν νύκτα ταύτην. καὶ ἐξελεύσομαι ἐγὼ μετὰ τῆς ἅβρας μου, καὶ ἐν ταῖς ἡμέραις μεθ᾽ ἃς εἴπατε παραδώσειν τὴν πόλιν τοῖς ἐχθροῖς ἡμῶν, ἐπισκέψεται κύριος τὸν ἰσραὴλ, ἐν χειρί μου. ὑμεῖς δὲ οὐκ ἐξερευνήσετε τὴν πρᾶξίν μου, οὐ γὰρ ἀπαγγελῶ ὑμῖν ἕως τοῦ τελεσθῆναι ἃ ἐγὼ ποιῶ.

Καὶ εἶπεν ὀζίας καὶ οἱ ἄρχοντες πρὸς αὐτήν. Πορεύου εἰς εἰρήνην, καὶ κύριος ὁ θεὸς ἔμπροσθέν σου εἰς ἐκδίκησιν τῶν ἐχθρῶν ἡμῶν. καὶ ἀποστρέψαντες ἐκ τῆς σκηνῆς ἐπορεύθησαν ἐπὶ τὰς διατάξεις αὐτῶν.

## Κεφάλαιον. θ. 9.

Ουδὴθ δὲ ἔπεσεν ἐπὶ πρόσωπον καὶ ἐπέθετο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῆς. καὶ ἐγύμνωσεν ὃν ἐνεδιδύσκετο σάκκον. καὶ ἦν ἄρτι προσφερόμενον εἰς ἱερουσαλὴμ εἰς τὸν οἶκον κυρίου τὸ θυμίαμα τῆς ἑσπέρας ἐκείνης. καὶ ἐβόησε φωνῇ μεγάλῃ ἰουδὴθ. καὶ εἶπε. κύριε ὁ θεὸς τοῦ πατρός μου συμεὼν, ᾧ ἔδωκας ῥομφαίαν εἰς ἐκδίκησιν ἀλλογενῶν,

οἳ ἔλυσαν μήτραν παρθένου εἰς μίασμα καὶ ἐγύμνωσαν μηρὸν
εἰς αἰσχύνην. καὶ ἐβεβήλωσαν μήτραν εἰς ὄνειδος. εἶπας γὰρ
οὐχ οὕτως ἔσται. καὶ ἐποίησαν. ἀνθ' ὧν ἔδωκας ἄρχοντας αὐτῶν
εἰς φόνον, καὶ τὴν στρωμνὴν αὐτῶν ἐδεύσαντο ἀπατηθεῖσαν εἰς
αἷμα. καὶ ἐπάταξας δούλους ἐπὶ δυνάσταις. καὶ δυνάστας ἐπὶ
θρόνους αὐτῶν. καὶ ἔδωκας γυναῖκας αὐτῶν εἰς προνομήν. καὶ
θυγατέρας αὐτῶν εἰς αἰχμαλωσίαν καὶ πάντα τὰ σκῦλα αὐ-
τῶν εἰς διαίρεσιν υἱῶν ἠγαπημένων ὑπὸ σοῦ. καὶ ἐζήλωσαν τὸν
ζῆλόν σου καὶ ἐβδελύξαντο μίασμα αἵματος αὐτῶν καὶ ἐπεκα-
λέσαντό σε εἰς βοηθὸν, ὁ θεὸς ὁ θεὸς ὁ ἐμός. καὶ ἐπάκουσόν μου
τῆς χήρας, σὺ γὰρ ἐποίησας τὰ πρότερα ἐκείνων, καὶ ἐκεῖνα καὶ
τὰ μετέπειτα. καὶ τὰ νῦν καὶ τὰ ἐπερχόμενα διενοήθης. καὶ
παρέστησαν ἃ ἐβουλεύσω. καὶ εἶπον ἰδοὺ πάρεσμεν. πᾶσαι γὰρ
αἱ ὁδοί σου ἕτοιμοι. καὶ αἱ κρίσεις σου ἐν προγνώσει. Ἰδοὺ γὰρ
ἀσσύριοι ἐπληθύνθησαν ἐν δυνάμει αὐτῶν. ὑψώθησαν ἐφ' ἵππῳ
καὶ ἀναβάτῃ ἐγαυρίασαν ἐν βραχίονι πεζῶν. ἤλπισαν ἐν ἀσπί-
δι καὶ γαισῷ, καὶ τόξῳ, καὶ σφενδόνῃ, καὶ οὐκ ἔγνωσαν ὅτι
σὺ εἶ κύριος συντρίβων πολέμους. κύριος ὄνομά σου. σὺ ῥάξον αὐ-
τῶν τὴν ἰσχὺν ἐν δυνάμει σου. καὶ κάταξον τὸ κράτος αὐτῶν ἐν
τῷ θυμῷ σου. ἐβουλεύσαντο γὰρ βεβηλῶσαι τὰ ἅγιά σου. μιᾶ-
ναι τὸ σκήνωμα τῆς καταπαύσεως τοῦ ὀνόματος τῆς δόξης σου.
καὶ καταβαλεῖν σιδήρῳ κέρας θυσιαστηρίου. βλέψον εἰς ὑπερη-
φανίαν αὐτῶν. ἀπόστειλον τὴν ὀργήν σου, εἰς κεφαλὰς αὐτῶν.
δὸς ἐν χειρί μου τῆς χήρας ὃ διενοήθην κράτος. πάταξον δοῦ-
λον ἐκ χειλέων ἀπάτης μου ἐπ' ἄρχοντι, καὶ ἄρχοντα ἐπὶ θερά-
ποντα αὐτοῦ. θραῦσον αὐτῶν τὸ ἀνάστημα ἐν χειρὶ θηλείας. οὐ γὰρ
ἐν πλήθει τὸ κράτος σου οὐδὲ τῇ δυναστείᾳ σου ἰσχύουσιν. ἀλλὰ
ταπεινῶν εἶ κύριε ἐλαττόνων εἶ, βοηθός. ἀντιλήπτωρ ἀσθενούν-
των. ἀπεγνωσμένων σκεπαστής. ἀπηλπισμένων σωτήρ. ναὶ ναὶ
θεὸς τοῦ πατρός μου, καὶ θεὸς κληρονομίας ἰσραήλ. δέσποτα τῶν

οὐρανῶν, καὶ τῆς γῆς· κτίστα τῶν ὑδάτων· βασιλεῦ πάσης κτίσε-
ώς σου, σὺ εἰσάκουσον τῆς δεήσεώς μου· καὶ δὸς λόγον μου, καὶ
ἀπάτην καὶ τραῦμα, καὶ μώλωπα αὐτῶν· οἳ κατὰ τῆς διαθή-
κης σου, καὶ οἴκου ἡγιασμένου σου, καὶ κορυφῆς σιών· καὶ οἴκου
κατασχέσεως υἱῶν σου, ἐβουλεύσαντο σκληρά, καὶ ποίησον ἐπὶ
παντὸς ἔθνους σου, καὶ πάσης φυλῆς ἐπίγνωσιν, τοῦ εἰδέναι ὅτι
σὺ εἶ ὁ θεὸς πάσης τῆς δυνάμεως καὶ κράτους· καὶ οὐκ ἔστιν ἄλλος
ὑπερασπίζων τοῦ ἔθνους ἰσραὴλ εἰ μὴ σύ.

## Κεφάλαιον. ι. 10.

Αἰ ἐγένετο ὡς ἐπαύσατο βοῶσα πρὸς τὸν θεὸν ἰσρα-
κ ήλ· καὶ συνετέλεσε πάντα τὰ ῥήματα· καὶ ἀνέ-
στη ἀπὸ τῆς πτώσεως, καὶ ἐκάλεσε τὴν ἅβραν αὐτῆς
καὶ κατέβη εἰς τὸν οἶκον ἐν ᾧ διέτριβεν ἐν αὐτῷ ἐν ταῖς ἡμέραις
τῶν σαββάτων· καὶ ἐν ταῖς ἑορταῖς αὐτῆς· καὶ περιείλατο τὸν
σάκκον ὃν ἐνεδιδύσκετο, καὶ ἐξεδύσατο τὰ ἱμάτια τῆς χηρεύ-
σεως αὐτῆς· καὶ περιελούσατο τὸ σῶμα ὕδατι, καὶ ἐχρίσατο μύ-
ρῳ παχεῖ, καὶ διέταξε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς· καὶ ἐπέ-
θετο μίτραν ἐπ' αὐτῆς· καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς εὐφροσύ-
νης αὐτῆς, ἐν οἷς ἐστολίζετο ἐν ταῖς ἡμέραις τῆς ζωῆς τοῦ ἀνδρὸς
αὐτῆς μανασσῆ· καὶ ἔλαβε σανδάλια εἰς τοὺς πόδας αὐτῆς· καὶ
περιέθετο τοὺς χλιδῶνας καὶ τὰ ψέλια, καὶ τοὺς δακτυλίους·
καὶ τὰ ἐνώτια· καὶ πάντα τὸν κόσμον αὐτῆς, καὶ ἐκαλλωπίσα-
το σφόδρα εἰς ἀπάτησιν ὀφθαλμῶν ἀνδρῶν, ὅσοι ἂν ἴδωσιν
αὐτήν· καὶ ἔδωκε τῇ ἅβρᾳ αὐτῆς ἀσκοπυτίνην οἴνου, καὶ κα-
ψάκην ἐλαίου· καὶ πήραν ἐπλήρωσεν ἀλφίτων καὶ παλάθης,
καὶ ἄρτων καθαρῶν, καὶ περιεδίπλωσε πάντα τὰ ἀγγεῖα αὐ-
τῆς, καὶ ἐπέθηκεν αὐτῇ· καὶ ἐξήλθοσαν ἐπὶ τὴν πύλην τῆς πό-
λεως βετυλούα· καὶ εὕροσαν ἐφεστῶτας ἐπ' αὐτῆς ὀζίαν· καὶ τοὺς
πρεσβυτέρους τῆς πόλεως χαβρὶν καὶ χαρμίν· ὡς δὲ εἶδον αὐ-
τήν, καὶ ἦν ἠλλοιωμένον τὸ πρόσωπον αὐτῆς καὶ τὴν στολὴν μετα-

βεβληκυῖαν αὐτῆς. καὶ ἐθαύμασαν ἐπὶ τῷ κάλλει αὐτῆς ἐπὶ πολὺ σφόδρα. καὶ εἶπον αὐτῇ. ὁ θεὸς ὁ θεὸς τῶν πατέρων ἡμῶν δώησε εἰς χάριν, καὶ τελειῶσαι τὰ ἐπιτηδεύματά σου εἰς γαυρίαμα υἱῶν ἰσραήλ. καὶ ὕψωμα ἱερουσαλήμ. καὶ προσεκύνησεν τῷ θεῷ, καὶ εἶπε πρὸς αὐτοὺς, ἐπιτάξατε ἀνοῖξαί μοι τὴν πύλην τῆς πόλεως. καὶ ἐξελεύσομαι εἰς τελείωσιν λόγων. ὧν ἐλαλήσατε μετ᾽ ἐμοῦ. καὶ συνέταξαν τοῖς νεανίσκοις ἀνοῖξαι αὐτῇ καθότι ἐλάλησε. καὶ ἐποίησαν οὕτως, καὶ ἐξῆλθεν ἰουδὴθ αὐτὴ, καὶ ἡ παιδίσκη αὐτῆς μετ᾽ αὐτῆς. ἀπεσκόπευον δὲ αὐτὴν οἱ ἄνδρες τῆς πόλεως ἕως οὗ κατέβη τὸ ὄρος. ἕως οὗ διῆλθε τὸν αὐλῶνα, καὶ οὐκ ἔτι ἐθεώρουν αὐτήν. καὶ ἐπορεύοντο ἐν τῷ αὐλῶνι εἰς εὐθεῖαν, καὶ συνήντησεν αὐτῇ προφυλακὴ τῶν ἀσσυρίων.

Καὶ συνέβαλλον αὐτὴν καὶ ἐπηρώτησαν αὐτὴν τίνων εἶ, καὶ πόθεν ἔρχῃ, καὶ ποῦ πορεύῃ.

Καὶ εἶπε, θυγάτηρ εἰμὶ τῶν ἑβραίων. καὶ ἀποδιδράσκω ἀπὸ προσώπου αὐτῶν, ὅτι μέλλουσι δίδοσθαι ὑμῖν εἰς κατάβρωμα. κἀγὼ ἔρχομαι εἰς τὸ πρόσωπον ὀλοφέρνου, ἀρχιστρατήγου δυνάμεως ὑμῶν, τοῦ ἀπαγγεῖλαι ῥήματα ἀληθείας. καὶ δείξω πρὸ προσώπου αὐτοῦ ὁδὸν, καθ᾽ ἣν πορεύσεται, καὶ κυριεύσει πάσης τῆς ὀρεινῆς. καὶ οὐ διαφωνήσει τῶν ἀνδρῶν αὐτοῦ σὰρξ μία οὐδὲ πνεῦμα ζωῆς. Ὡς δὲ ἤκουσαν οἱ ἄνδρες τὰ ῥήματα αὐτῆς καὶ κατενόησαν τὸ πρόσωπον αὐτῆς. καὶ ἦν ἐναντίον αὐτῶν θαυμάσιον τῷ κάλλει σφόδρα. καὶ εἶπον πρὸς αὐτήν. σέσωκας τὴν ψυχήν σου σπεύσασα καταβῆναι εἰς πρόσωπον τοῦ κυρίου ἡμῶν. καὶ νῦν πρόσελθε ἐπὶ τὴν σκηνὴν αὐτοῦ καὶ ἀφ᾽ ἡμῶν προπέμψουσί σε ἕως παραδώσουσί σε εἰς τὰς χεῖρας αὐτοῦ. ἐὰν δὲ στῇς ἐναντίον αὐτοῦ μὴ φοβηθῇς τῇ καρδίᾳ σου ἀλλὰ ἀνάγγειλον κατὰ τὰ ῥήματά σου καὶ εὖ σε ποιήσει. καὶ ἐπέλεξαν ἐξ αὐτῶν ἄνδρας ἑκατὸν καὶ παρέζευξαν αὐτῇ καὶ τῇ ἅβρᾳ αὐτῆς καὶ ἤγαγον αὐτὰς ἐπὶ τὴν σκηνὴν ὀλοφέρνου

καὶ ἐγένετο συνδρομὴ ἐν πάσῃ τῇ παρεμβολῇ· διεβοήθη γὰρ εἰς τὰ σκηνώματα ἡ παρουσία αὐτῆς. καὶ ἐλθόντες ἐκύκλουν αὐτὴν ὡς εἱστήκει ἔξω τῆς σκηνῆς ὀλοφέρνου. ἕως προσήγγειλαν αὐτῷ περὶ αὐτῆς, καὶ ἐθαύμαζον ἐπὶ τῷ κάλλει αὐτῆς καὶ ἐθαύμαζον τοὺς υἱοὺς ἰσραὴλ ἐπ' αὐτῆς.

Καὶ εἶπον ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. τίς καταφρονήσει τοῦ λαοῦ τούτου. ὃς ἔχει ἐν ἑαυτῷ γυναῖκας τοιαύτας. ὅτι οὐ καλόν ἐστιν ὑπολείπεσθαι ἐξ αὐτῶν ἄνδρα ἕνα, οἳ ἀφεθέντες δυνήσονται κατασοφίσασθαι πᾶσαν τὴν γῆν. καὶ ἐξῆλθον οἱ παρακαθεύδοντες ὀλοφέρνῃ, καὶ πάντες οἱ θεράποντες αὐτοῦ, καὶ εἰσήγαγον αὐτὴν εἰς τὴν σκηνήν. καὶ ἦν ὀλοφέρνης ἀναπαυόμενος ἐπὶ τῆς κλίνης αὐτοῦ, ἐν τῷ κωνωπίῳ. ὃ ἦν ἐκ πορφύρας, καὶ χρυσίου καὶ σμαράγδου καὶ λίθων πολυτελῶν καθυφασμένον, καὶ ἀνήγγειλαν αὐτῷ περὶ αὐτῆς. καὶ ἐξῆλθον εἰς τὸ προσκήνιον, καὶ λαμπάδες ἀργυραῖ προάγουσαι αὐτοῦ. ὡς δὲ ἦλθε κατὰ πρόσωπον αὐτοῦ ἰουδήθ, καὶ τῶν θεραπόντων αὐτοῦ ἐθαύμασαν πάντες ἐπὶ τῷ κάλλει τοῦ προσώπου αὐτῆς. καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνησεν αὐτῷ, καὶ ἤγειραν αὐτὴν οἱ δοῦλοι αὐτοῦ.

## Κεφάλαιον. ια. 11.

κ Αἱ εἶπε πρὸς αὐτὴν ὀλοφέρνης. θάρσησον γύναι μὴ φοβηθῇς τῇ καρδίᾳ σου, ὅτι ἐγὼ οὐκ ἐκάκωσα ἄνθρωπον ὅστις ἡρέτικε δουλεύειν βασιλεῖ ναβουχοδονόσορ πάσης τῆς γῆς. καὶ νῦν ὁ λαός σου ὁ κατοικῶν τὴν ὀρεινὴν εἰ μὴ ἐφαύλισάν με, οὐκ ἂν ἦρα τὸ δόρυ μου ἐπ' αὐτούς. ἀλλ' αὐτοὶ ἑαυτοῖς ἐποίησαν ταῦτα. καὶ νῦν λέγε μοι τίνος ἕνεκα ἀπέδρας ἀπ' αὐτῶν, καὶ ἦλθες πρὸς ἡμᾶς. ἥκεις γὰρ εἰς σωτηρίαν, θάρσει. ἐν τῇ νυκτὶ ταύτῃ σὺ ζήσῃ, καὶ εἰς τὸ λοιπόν, οὐ γάρ ἐστιν ὃς ἀδικήσει σε. ἀλλ' εὖ σε ποιήσει καθὰ γίνεται τοῖς δούλοις τοῦ κυρίου μου βασιλέως ναβουχοδονόσορ.

Καὶ εἶπε πρὸς αὐτὸν Ἰουδὴθ· δέξαι τὰ ῥήματα τῆς δούλης σου, καὶ λαλησάτω ἡ παιδίσκη σου κατὰ πρόσωπόν σου· καὶ οὐκ ἀναγγελῶ ψεῦδος τῷ κυρίῳ μου ἐν τῇ νυκτὶ ταύτῃ. καὶ ἐὰν κατακολουθήσῃς τοῖς λόγοις τῆς παιδίσκης σου, τελείως πρᾶγμα ποιήσει μετὰ σοῦ ὁ θεός, καὶ οὐκ ἀποπεσεῖται ὁ κύριός μου τῶν ἐπιτηδευμάτων αὐτοῦ. ζῇ γὰρ ὁ βασιλεὺς Ναβουχοδονόσορ πάσης τῆς γῆς, καὶ ζῇ τὸ κράτος αὐτοῦ ὃς ἀπέστειλέ σε εἰς κατόρθωσιν πάσης ψυχῆς, ὅτι οὐ μόνον ἄνθρωποι διὰ σὲ δουλεύουσιν αὐτῷ, ἀλλὰ καὶ τὰ θηρία τοῦ ἀγροῦ, καὶ τὰ κτήνη καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ διὰ τῆς ἰσχύος σου ζήσονται ἐπὶ Ναβουχοδονόσορ, καὶ πάντα τὸν οἶκον αὐτοῦ. ἠκούσαμεν γὰρ τὴν σοφίαν σου, καὶ τὰ πανουργεύματα τῆς ψυχῆς σου, καὶ ἀνηγγέλη πάσῃ τῇ γῇ· ὅτι σὺ μόνος ἀγαθὸς ἐν πάσῃ τῇ βασιλείᾳ, καὶ δυνατὸς ἐν ἐπιστήμῃ, καὶ θαυμαστὸς ἐν στρατεύμασι πολέμου. καὶ νῦν ὁ λόγος ὃν ἐλάλησεν Ἀχιὼρ ἐν τῇ συνεδρείᾳ σου, ἠκούσαμεν τὰ ῥήματα αὐτοῦ, ὅτι περιεποιήσαντο αὐτὸν οἱ ἄνδρες Βετυλοῦα, καὶ ἀνήγγειλεν αὐτοῖς πάντα ὅσα ἐξελάλησεν αὐτὸς παρὰ σοί. διὸ δέσποτα κύριε, καὶ παρέλθῃς τὸν λόγον αὐτοῦ, ἀλλὰ κατάθου αὐτὸν ἐν τῇ καρδίᾳ σου. ὅτι ἀληθής ἐστιν· οὐ γὰρ ἐκδικᾶται τὸ γένος ἡμῶν, οὐ γὰρ ἰσχύει ῥομφαία ἐπ' αὐτούς, εἰ μὴ ἁμάρτωσιν εἰς τὸν θεὸν αὐτῶν. καὶ νῦν ἵνα μὴ γένηται ὁ κύριός μου ἔκβολος καὶ ἄπρακτος, καὶ ἐπιπεσεῖται θάνατος ἐπὶ πρόσωπον αὐτῶν, καὶ κατελάβετο αὐτοὺς ἁμάρτημα ἐν ᾧ παροργιοῦσι τὸν θεὸν αὐτῶν ὁπηνίκα ἐὰν ποιήσωσιν ἀτοπίαν. ἐπεὶ παρεξέλιπεν αὐτοὺς τὰ βρώματα αὐτῶν, καὶ ἐσπανίσθη πᾶν ὕδωρ, ἐβουλεύσαντο ἐπιβαλεῖν τοῖς κτήνεσιν αὐτῶν. καὶ πάντα ὅσα διεστείλατο αὐτοῖς ὁ θεὸς ἐν τοῖς νόμοις αὐτοῦ μὴ φαγεῖν, διέγνωσαν δαπανῆσαι, καὶ τὰς ἀπαρχὰς τοῦ σίτου, καὶ τὰς δεκάτας τοῦ οἴνου καὶ τοῦ ἐλαίου ἃ διεφύλαξαν ἁγιάσαντες τοῖς ἱερεῦσι τοῖς παρεστηκόσιν ἐν Ἱερουσαλὴμ ἀπέναντι τοῦ προσώπου τοῦ θεοῦ ἡμῶν, κεκρίκασιν ἐξαναλῶσαι· ὧν οὐδὲ ταῖς χερσὶν καθῆκεν ἅψασθαι οὐδένα τῶν ἐκ τοῦ λαοῦ. καὶ ἀπεστάλκασιν

εἰς ἱερουσαλήμ. ὅτι καὶ οἱ ἐκεῖ κατοικοῦντες ἐποίησαν ταῦτα τοὺς
μετακομιοῦντας αὐτοῖς τὴν ἄφεσιν παρὰ τῆς γερουσίας. καὶ
ἔσται ἕως ἀναγγείλῃ αὐτοῖς, καὶ ποιήσωσι, δοθήσονταί σοι εἰς ὄλε
θρον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὅθεν ἐγὼ ἡ δούλη σου ἐπιγνοῦσα ταῦ
τα πάντα, ἀπέδραν ἀπὸ προσώπου αὐτῶν, καὶ ἀπέστειλέ με ὁ θε
ὸς ποιῆσαι μετὰ σοῦ πράγμα, ἐφ' οἷς ἐκστήσεται πᾶσα ἡ γῆ ὅσοι
ἂν ἀκούσωσιν αὐτά, ὅτι ἡ δούλη σου θεοσεβής ἐστι, καὶ θεραπεύ
ουσα νυκτὸς, καὶ ἡμέρας τὸν θεὸν τοῦ οὐρανοῦ. καὶ νῦν μενῶ παρά σοι
κύριέ μου, καὶ ἐξελεύσεται ἡ δούλη σου, κατὰ νύκτα εἰς τὴν φά
ραγγα, καὶ προσεύξομαι πρὸς τὸν θεόν. καὶ ἀναγγελεῖ μοι πότε
ἐποίησαν τὰ ἁμαρτήματα αὐτῶν, καὶ ἐλθοῦσα προσανοίσω σοι, ἐξ
ελεύσῃ σὺν πάσῃ δυνάμει σου, καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεταί σοι
ἐξ αὐτῶν. καὶ ἄξω σε διὰ μέσου τῆς ἰουδαίας. ἕως τοῦ ἐλθεῖν ἀπέναν
τι ἱερουσαλήμ. καὶ θήσω τὸν δίφρον σου ἐν μέσῳ αὐτῆς, καὶ ἄξεις αὐ
τοὺς, ὡς πρόβατα οἷς οὐκ ἔστι ποιμήν. καὶ οὐ γρύξει κύων τῇ γλώσ
σῃ αὐτοῦ ἀπέναντί σου, ὅτι μοι ταῦτα ἐλαλήθη κατὰ πρόγνωσίν
μου. καὶ ἀνηγγέλη μοι. καὶ ἀπεστάλην ἀναγγεῖλαί σοι καὶ ἤρεσαν οἱ λό
γοι αὐτῆς ἐναντίον ὀλοφέρνου, καὶ ἐναντίον πάντων τῶν θεραπόντων
αὐτοῦ, καὶ ἐθαύμασαν ἐπὶ τῇ σοφίᾳ αὐτῆς. καὶ εἶπον οὐκ ἔστι τοιαύτη
γυνὴ ἀπ' ἄκρου τῆς γῆς ἐν κάλλει προσώπου καὶ συνέσει λόγων.
καὶ εἶπε πρὸς αὐτὴν ὀλοφέρνης, ἐποίησεν ὁ θεὸς ἀποστείλας σε
ἔμπροσθεν τοῦ λαοῦ τοῦ γενηθῆναι ἐν χερσὶν ἡμῶν κράτος. ἐν δὲ τοῖς
φαυλίσασι τὸν κύριόν μου ἀπώλειαν. καὶ νῦν ἀστεία εἶ σὺ ἐν τῷ εἴδει σου
καὶ ἀγαθὴ ἐν τοῖς λόγοις σου. ὅτι ἐὰν ποιήσῃς καθὰ ἐλάλησας, ὁ
θεός σου ἔσται μοι θεὸς, καὶ σὺ ἐν οἴκῳ βασιλέως ναβουχοδονόσορ
καθήσῃ. καὶ ἔσῃ ὀνομαστὴ παρὰ πᾶσαν τὴν γῆν. Κεφ. ιβ. 12

Αἰ ἐκέλευσεν εἰσαγαγεῖν αὐτὴν οὗ ἐτίθετο τὰ ἀρ
κ γυρώματα αὐτοῦ. καὶ συνέταξε καταστρωθῆναι αὐτῇ
ἀπὸ τῶν ὀψοποιημάτων αὐτοῦ, καὶ τὸν οἶνον αὐτοῦ πίνειν.
Καὶ εἶπεν ἰουδὴθ οὐ φάγομαι ἐξ αὐτῶν ἵνα μὴ γένηται σκάν

σθαλον· ἀλλ' ἐκ τῶν ἠκολουθηκότων μοι χορηγηθήσεται.

Καὶ εἶπε πρὸς αὐτὴν ὀλοφέρνης· ἐὰν δὲ ἐκλίπῃ τὰ ὄντα μετὰ σοῦ πόθεν ἕξομέν σοι δοῦναι ὅμοια αὐτῶν· οὐ γάρ ἐστι μεθ' ἡμῶν ἐκ τοῦ γένους σου.

Καὶ εἶπεν ἰουδὴθ πρὸς αὐτόν, ζῇ ἡ ψυχή σου κύριέ μου, ὅτι οὐ δαπανήσει ἡ δούλη σου τὰ ὄντα μετ' ἐμοῦ ἕως ἂν ποιήσῃ κύριος ἐν χειρί μου ἃ ἐβουλεύσατο.

Καὶ ἤγαγον αὐτὴν οἱ θεράποντες ὀλοφέρνου εἰς τὴν σκηνήν, καὶ ὕπνωσε μέχρι μεσούσης τῆς νυκτός.

Καὶ ἀνέστη πρὸς τὴν ἑωθινὴν φυλακήν· καὶ ἀπέστειλε πρὸς ὀλοφέρνην λέγουσα· ἐπιταξάτω δὴ ὁ κύριός μου· ἐάσαι τὴν δούλην σου ἐπὶ προσευχὴν ἐξελθεῖν.

Καὶ ἐπέταξεν ὀλοφέρνης τοῖς σωματοφύλαξι μὴ διακωλύειν αὐτήν.

Καὶ παρέμεινεν ἐν τῇ παρεμβολῇ ἡμέρας τρεῖς καὶ ἐξεπορεύετο κατὰ νύκτα εἰς τὴν φάραγγα βετυλοῦα· καὶ ἐβαπτίζετο ἐπὶ τῆς πηγῆς ἐπὶ τοῦ ὕδατος ἐν τῇ παρεμβολῇ, καὶ ὡς ἀνέβη ἐδέετο τοῦ κυρίου θεοῦ ἰσραὴλ, κατευθῦναι τὴν ὁδὸν αὐτῆς εἰς ἀνάστημα τῶν υἱῶν τοῦ λαοῦ αὐτῆς, καὶ εἰσπορευομένη καθαρὰ παρέμενεν ἐν τῇ σκηνῇ· μέχρις οὗ προσηνέγκατο τὴν τροφὴν αὐτῆς εἰς ἑσπέραν.

Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἐποίησεν ὀλοφέρνης πότον τοῖς δούλοις αὐτοῦ μόνοις· καὶ οὐκ ἐκάλεσεν εἰς τὴν κλῆσιν οὐδένα τῶν πρὸς ταῖς χρείαις· καὶ εἶπε βαγώᾳ τῷ εὐνούχῳ ὃς ἦν ἐφεστηκὼς ἐπὶ πάντων τῶν αὐτοῦ· πεῖσον δὴ πορευθεὶς τὴν γυναῖκα τὴν ἑβραίαν ἥ ἐστι παρά σοι τοῦ ἐλθεῖν πρὸς ἡμᾶς, καὶ φαγεῖν καὶ πιεῖν μεθ' ἡμῶν· ἰδοὺ αἰσχρὸν τῷ προσώπῳ ἡμῶν εἰς γυναῖκα τοιαύτην παρήσομεν οὐχ ὁμιλήσαντες αὐτῇ· ὅτι ἐὰν ταύτην μὴ ἐπισπασώμεθα καταγελάσεται ἡμῶν.

Καὶ ἐξῆλθε βαγώας ἀπὸ προσώπου ὀλοφέρνου, καὶ

εἰσῆλθε πρὸς αὐτὴν καὶ εἶπε· μὴ ὀκνησάτω ἡ παιδίσκη ἡ καλὴ αὕτη ἐλθοῦσα πρὸς τὸν κύριόν μου, δοξασθῆναι κατὰ πρόσωπον αὐτοῦ, καὶ πιεῖν μεθ' ἡμῶν εἰς εὐφροσύνην οἶνον· καὶ γενηθῆναι ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὡς θυγάτηρ μία τῶν υἱῶν ἀσσοὺρ αἳ παρεστήκασιν ἐν οἴκῳ ναβουχοδονόσορ.

Καὶ εἶπεν πρὸς αὐτὸν ἰουδήθ· καὶ τίς εἰμὶ ἐγὼ ἀντεροῦσα τῷ κυρίῳ μου· ὅτι πᾶν ὃ ἔσται ἐν τοῖς ὀφθαλμοῖς αὐτοῦ ἀρεστὸν, σπεύσασα ποιήσω, καὶ ἔσται μοι τοῦτο εἰς ἀγαλλίαμα, ἕως ἡμέρας θανάτου μου, καὶ ἀναστᾶσα ἐκοσμήθη τῷ ἱματισμῷ, καὶ παντὶ τῷ κόσμῳ τῷ γυναικείῳ. καὶ προσῆλθεν ἡ δούλη αὐτῆς· καὶ ἔστρωσεν αὐτῇ κατέναντι ὀλοφέρνου χαμαὶ τὰ κώδια ἃ ἔλαβε παρὰ βαγώου εἰς τὴν καθημερινὴν δίαιταν αὐτῆς· εἰς τὸ ἐσθίειν κατακλινομένην ἐπ' αὐτῶν· καὶ ἐλθοῦσα ἀνέπεσεν ἰουδήθ, καὶ ἐξέστη ἡ καρδία ὀλοφέρνου ἐπ' αὐτῇ, καὶ ἐσαλεύθη ἡ ψυχὴ αὐτοῦ· καὶ ἦν κατεπίθυμος σφόδρα τοῦ συγγενέσθαι μετ' αὐτῆς· καὶ ἐτήρει καιρὸν τοῦ ἀπατῆσαι αὐτὴν, ἀφ' ἧς ἡμέρας εἶδεν αὐτήν.

Καὶ εἶπε πρὸς αὐτὴν ὀλοφέρνης πίε δὴ καὶ γενήθητι μεθ' ἡμῶν εἰς εὐφροσύνην.

Καὶ εἶπεν ἰουδήθ πίομαι δὴ κύριε, ὅτι ἐμεγαλύνθη τὸ ζῆν μου ἐν ἐμοὶ σήμερον, παρὰ πάσας τὰς ἡμέρας τῆς γενέσεώς μου· καὶ λαβοῦσα ἔφαγε καὶ ἔπιε κατέναντι αὐτοῦ ἃ ἡτοίμασεν ἡ δούλη αὐτῆς.

Καὶ εὐφράνθη ὀλοφέρνης ἐπ' αὐτῇ· καὶ ἔπιεν οἶνον πολὺν σφόδρα, ὅσον οὐκ ἔπιε πώποτε ἐν ἡμέρᾳ μιᾷ ἐφ' οὗ ἐγεννήθη.

Κεφάλαιον. ιγ. 13.

ὡ Σ δὲ ὀψία ἐγένετο, ἐσπούδασαν οἱ δοῦλοι αὐτοῦ ἀναλύειν· καὶ βαγώας συνέκλεισε τὴν σκηνὴν αὐτοῦ ἔξωθεν, καὶ ἀπέλυσαν τοὺς παρεστῶτας ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ· καὶ ἀπῴχοντο εἰς τὰς κοίτας αὐτῶν· ἦσαν γὰρ πάντες κεκοπωμένοι διὰ τὸ ἐπὶ πλεῖον γεγονέναι τὸν πότον. ὑπε-

λείφθη

λείφθη δὲ Ἰουδὴθ μόνη ἐν τῇ σκηνῇ, καὶ Ὀλοφέρνης προπεπτωκὼς
ἐπὶ τὴν κλίνην αὐτοῦ. ἦν γὰρ περικεχυμένος αὐτῷ ὁ οἶνος.

Καὶ εἶπεν Ἰουδὴθ τῇ δούλῃ αὐτῆς, στῆναι ἔξω τοῦ κοιτῶνος αὐτῆς. καὶ ἐπιτηρεῖν τὴν ἔξοδον αὐτῆς καθάπερ καθ' ἡμέραν, ἐξελεύσεσθαι γὰρ ἔφη ἐπὶ τὴν προσευχὴν αὐτῆς, καὶ τῷ Βαγώᾳ ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα, καὶ ἀπήλθοσαν πάντες ἐκ προσώπου αὐτῆς. καὶ οὐδεὶς κατελείφθη ἐν τῷ κοιτῶνι ἀπὸ μικροῦ ἕως μεγάλου. καὶ στᾶσα Ἰουδὴθ παρὰ τὴν κλίνην αὐτοῦ, εἶπεν ἐν τῇ καρδίᾳ αὐτῆς. κύριος ὁ θεὸς πάσης δυνάμεως. ἐπίβλεψον ἐν τῇ ὥρᾳ ταύτῃ ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου, εἰς ὕψωμα Ἱερουσαλήμ, ὅτι νῦν καιρὸς ἀντιλαμβάνεσθαι τῆς κληρονομίας σου, καὶ ποιῆσαι τὰ ἐπιτηδεύματά σου, εἰς θραῦσμα ἐχθρῶν, οἳ ἐπανέστησαν ἡμῖν, καὶ προσελθοῦσα τῷ κανόνι τῆς κλίνης ὃς ἦν πρὸ κεφαλῆς Ὀλοφέρνου καθεῖλε τὸν ἀκινάκην αὐτοῦ ἀπ' αὐτοῦ. καὶ ἐγγίσασα τῆς κλίνης, ἐδράξατο τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, καὶ εἶπεν. κραταίωσόν με κύριε ὁ θεὸς Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ ἐπάταξεν εἰς τὸν τράχηλον αὐτοῦ δὶς ἐν τῇ ἰσχύϊ αὐτῆς. καὶ ἀφεῖλε τὴν κεφαλὴν αὐτοῦ ἀπ' αὐτοῦ, καὶ ἀπεκύλισε τὸ σῶμα αὐτοῦ ἀπὸ τῆς στρωμνῆς. καὶ ἀφεῖλε τὸ κωνώπιον ἀπὸ τῶν στύλων. καὶ μετ' ὀλίγον ἐξῆλθε. καὶ παρέδωκε τῇ ἅβρᾳ αὐτῆς τὴν κεφαλὴν Ὀλοφέρνου. καὶ ἐνέβαλεν αὐτὴν εἰς τὴν πήραν τῶν βρωμάτων αὐτῆς, καὶ ἐξῆλθον αἱ δύο ἅμα, κατὰ τὸν ἐθισμὸν αὐτῶν ἐπὶ τὴν προσευχήν. καὶ διελθοῦσαι τὴν παρεμβολὴν ἐκύκλωσαν τὴν φάραγγα ἐκείνην. καὶ προσανέβησαν τὸ ὄρος Βετυλοῦα. καὶ ἦλθοσαν πρὸς τὰς πύλας αὐτῆς. καὶ εἶπεν Ἰουδὴθ μακρόθεν τοῖς φυλάσσουσιν ἐπὶ τῶν πυλῶν. ἀνοίξατε ἀνοίξατε δὴ τὴν πύλην. μεθ' ἡμῶν ὁ θεὸς ὁ θεὸς ἡμῶν ποιῆσαι ἔτι ἰσχὺν ἐν Ἱερουσαλήμ, καὶ κράτος, κατὰ τῶν ἐχθρῶν. καθὰ καὶ σήμερον ἐποίησε.

Καὶ ἐγένετο ὡς ἤκουσαν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς τὴν

φωνὴν αὐτῆς ἐσπούδασαν, τοῦ καταβῆναι εἰς τὴν πύλην τῆς πόλεως αὐτῶν. καὶ συνεκάλεσαν τοὺς πρεσβυτέρους τῆς πόλεως. καὶ συνέδραμον πάντες ἀπὸ μικροῦ, ἕως μεγάλου, ὅτι παράδοξον ἦν αὐτοῖς τὸ ἐλθεῖν αὐτὴν, καὶ ἤνοιξαν τὴν πύλην, καὶ ὑπεδέξαντο αὐτάς. καὶ ἅψαντες πῦρ εἰς φαῦσιν. περιεκύκλωσαν αὐτάς. ἡ δὲ εἶπε πρὸς αὐτοὺς φωνῇ μεγάλῃ. αἰνεῖτε θεὸν αἰνεῖτε τὸν θεὸν, ὅτι οὐκ ἀπέστησε τὸ ἔλεος αὐτοῦ ἀπὸ τοῦ οἴκου ἰσραήλ. ἀλλ᾽ ἔθραυσε τοὺς ἐχθροὺς ἡμῶν, διὰ χειρός μου, ἐν τῇ νυκτὶ ταύτῃ. καὶ προελοῦσα τὴν κεφαλὴν ἐκ τῆς πήρας, ἔδειξε καὶ εἶπεν αὐτοῖς, ἰδοὺ ἡ κεφαλὴ ὀλοφέρνου ἀρχιστρατήγου δυνάμεως ἀσσούρ. καὶ ἰδοὺ τὸ κωνώπιον ἐν ᾧ κατέκειτο ἐν ταῖς μέθαις αὐτοῦ, καὶ ἐπάταξεν αὐτὸν κύριος ἐν χειρὶ θηλείας. καὶ ζῇ ὁ κύριος ὃς διεφύλαξέ με ἐν τῇ ὁδῷ μου ᾗ ἐπορεύθην. ὅτι ἠπάτησεν αὐτὸν τὸ πρόσωπόν μου εἰς ἀπώλειαν αὐτοῦ. καὶ οὐκ ἐποίησεν ἁμάρτημα μετ᾽ ἐμοῦ εἰς μίασμα καὶ αἰσχύνην. Καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα καὶ κύψαντες προσεκύνησαν τῷ θεῷ, καὶ εἶπον ὁμοθυμαδόν. εὐλογητὸς εἶ ὁ θεὸς ἡμῶν ὁ ἐξουδενώσας ἐν τῇ ἡμέρᾳ τῇ σήμερον τοὺς ἐχθροὺς τοῦ λαοῦ σου. καὶ εἶπον αὐτῇ ὀζίας. εὐλογητὴ εἶ σὺ θύγατερ τῷ θεῷ ὑψίστῳ παρὰ πάσας τὰς γυναῖκας τὰς ἐπὶ τῆς γῆς. καὶ εὐλογημένος κύριος ὁ θεὸς ὃς ἔκτισε τοὺς οὐρανοὺς, καὶ τὴν γῆν. ὃς κατεύθυνέ σε εἰς τραῦμα κεφαλῆς ἄρχοντος ἐχθρῶν ἡμῶν. ὅτι οὐκ ἀποστήσεται ἡ ἐλπίς σου ἀπὸ καρδίας ἀνθρώπων μνημονευόντων ἰσχὺν θεοῦ ἕως αἰῶνος. καὶ ποιήσαι σοι αὐτὰ ὁ θεὸς εἰς ὕψος αἰώνιον τοῦ ἐπισκέψασθαί σε ἐν ἀγαθοῖς. ἀνθ᾽ ὧν οὐκ ἐφείσω τῆς ψυχῆς σου διὰ τὴν ταπείνωσιν τοῦ γένους ἡμῶν. ἀλλ᾽ ἐπεξῆλθες τῷ πτώματι ἡμῶν. ἐπ᾽ εὐθεῖαν πορευθεῖσα ἐνώπιον τοῦ θεοῦ ἡμῶν. καὶ εἶπον πᾶς ὁ λαός. γένοιτο γένοιτο.

Κεφάλαιον. ιδ. 14.

k Αἰ εἶπεν πρὸς αὐτοὺς ἰουδήθ. ἀκούσατε δή μου
ἀδελφοί, καὶ λαβόντες τὴν κεφαλὴν ταύτην κρε-
μάσατε αὐτὴν ἐπὶ τῆς ἐπάλξεως τοῦ τείχους ὑμῶν.
καὶ ἔσται ἡνίκα ἂν διαφαύσῃ ὁ ὄρθρος καὶ ἐξέλθῃ ὁ ἥλιος ἐπὶ
τὴν γῆν, ἀναλήψεσθε ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ ὑμῶν.
καὶ ἐξελεύσεται πᾶς ἀνὴρ ἰσχύων ἔξω τῆς πόλεως. καὶ δώσετε
ἀρχηγὸν ἐπ' αὐτούς. ὡς καταβαίνοντες εἰς τὸ πεδίον εἰς τὴν προ-
φυλακὴν υἱῶν ἀσσούρ. καὶ οὐ καταβήσεσθε, καὶ ἀναλαβόντες
οὗτοι τὰς πανοπλίας αὐτῶν πορεύσονται εἰς τὰς παρεμβο-
λὰς αὐτῶν. καὶ ἐγεροῦσι τοὺς στρατηγοὺς τῆς δυνάμεως ἀσσούρ.
καὶ συνδραμοῦνται ἐπὶ τὴν σκηνὴν ὀλοφέρνου, καὶ οὐχ εὑρή-
σουσιν αὐτόν. καὶ ἐπιπεσεῖται ἐπ' αὐτοὺς φόβος, καὶ φεύ-
ξονται ἀπὸ προσώπου ὑμῶν. καὶ ἐπακολουθήσαντες ὑμεῖς,
καὶ πάντες οἱ κατοικοῦντες πᾶν ὅριον ἰσραὴλ καταστρώσατε
αὐτοὺς ἐν ταῖς ὁδοῖς αὐτῶν. πρὸ δὲ τοῦ ποιῆσαι ταῦτα, καλέ-
σατέ μοι ἀχιὼρ τὸν ἀμμανίτην. ἵνα ἰδὼν ἐπιγνῷ τὸν ἐκφαυ-
λίσαντα τὸν οἶκον ἰσραήλ, καὶ αὐτὸν ὡς εἰς θάνατον ἀπο-
σταλέντα εἰς ἡμᾶς.

Καὶ ἐκάλεσαν τὸν ἀχιὼρ ἐκ τοῦ οἴκου ὀζία. ὡς δὲ ἦλθε καὶ εἶ-
δε τὴν κεφαλὴν ὀλοφέρνου, ἐν χειρὶ ἀνδρὸς ἑνός. ἐν τῇ ἐκκλη-
σίᾳ τοῦ λαοῦ, ἔπεσεν ἐπὶ πρόσωπον. καὶ ἐξελύθη τὸ πνεῦμα αὐ-
τοῦ. ὡς δὲ ἀνέλαβον αὐτόν, προσέπεσε τοῖς ποσὶν ἰουδήθ. καὶ
προσεκύνησε τῷ προσώπῳ αὐτῆς. καὶ εἶπεν εὐλογημένη σὺ
ἐν παντὶ σκηνώματι ἰούδα, καὶ ἐν παντὶ ἔθνει. οἵτινες ἀκού-
σαντες τὸ ὄνομά σου ταραχθήσονται. καὶ νῦν ἀνάγγειλόν μοι
ὅσα ἐποίησας ἐν ταῖς ἡμέραις ταύταις. καὶ ἀνήγγειλεν αὐτῷ
ἰουδὴθ ἐν μέσῳ τοῦ λαοῦ πάντα ὅσα ἦν πεποιηκυῖα, ἀφ' ἧς ἡ-
μέρας ἐξῆλθεν, ἕως οὗ ἐλάλει αὐτοῖς. ὡς δὲ ἐπαύσατο λαλοῦ-
σα, ἠλάλαξεν ὁ λαὸς φωνῇ μεγάλῃ, καὶ ἔδωκαν φωνὴν εὐ-
φροσύνην ἐν τῇ πόλει αὐτῶν. ἰδὼν δὲ ἀχιὼρ πάντα ὅσα ἐποίη-

σεν ὁ θεὸς τοῦ ἰσραήλ. ἐπίστευσε τῷ θεῷ σφόδρα. καὶ περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. καὶ προσετέθη εἰς τὸν οἶκον ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης.

Ἡνίκα δὲ ὄρθρος ἀνέβη. καὶ ἐκρέμασαν τὴν κεφαλὴν ὀλοφέρνου ἐκ τοῦ τείχους. καὶ ἀνέλαβε πᾶς ἀνὴρ τὰ ὅπλα αὐτοῦ. καὶ ἐξήλθοσαν κατὰ σπείρας ἐπὶ τὰς ἀναβάσεις τοῦ ὄρους. οἱ δὲ υἱοὶ ἀσσοὺρ. ὡς εἶδον αὐτοὺς, διέπεμψαν ἐπὶ τοὺς ἡγουμένους αὐτῶν. οἱ δὲ ἦλθον ἐπὶ τοὺς στρατηγοὺς καὶ χιλιάρχους καὶ ἐπὶ πάντα ἄρχοντα αὐτῶν, καὶ παρεγένοντο ἐπὶ τὴν σκηνὴν ὀλοφέρνου, καὶ εἶπον τῷ ὄντι ἐπὶ πάντων τῶν αὐτοῦ. ἔγειρον δὲ τὸν κύριον ἡμῶν, ὅτι ἐτόλμησαν οἱ δοῦλοι καταβαίνειν ἐφ' ἡμᾶς εἰς πόλεμον ἵνα ἐξολοθρευθῶσιν εἰς τέλος.

Καὶ εἰσῆλθε βαγώας. καὶ ἔκρουσε τὴν αὐλαίαν τῆς σκηνῆς. ὑπενόει γὰρ καθεύδειν αὐτὸν μετὰ ἰουδήθ. ὡς δὲ οὐδεὶς ὑπήκουσε διαστείλας εἰσῆλθεν εἰς τὸν κοιτῶνα. καὶ εὗρεν αὐτὸν ἐπὶ τῆς χελωνίδος ἐρριμμένον νεκρόν. καὶ ἡ κεφαλὴ αὐτοῦ ἀφῄρητο ἀπ' αὐτοῦ. καὶ ἐβόησε φωνῇ μεγάλῃ μετὰ κλαυθμοῦ, καὶ στεναγμοῦ καὶ βοῆς ἰσχυρᾶς. καὶ διέρρηξε τὰ ἱμάτια αὐτοῦ. καὶ εἰσῆλθεν εἰς τὴν σκηνὴν οὗ ἦν ἰουδὴθ καταλύουσα. καὶ οὐχ εὗρεν αὐτήν. καὶ ἐξεπήδησεν εἰς τὸν λαὸν, καὶ ἐβόησεν. ἠθετήκασιν οἱ δοῦλοι ἐποίησεν αἰσχύνην μία γυνὴ τῶν ἑβραίων εἰς τὸν οἶκον τοῦ βασιλέως ναβουχοδονόσορ. ὅτι ἰδοὺ ὀλοφέρνης χαμαί, καὶ ἡ κεφαλὴ οὐκ ἔστιν ἐπ' αὐτῷ. ὡς δὲ ἤκουσαν ταῦτα τὰ ῥήματα οἱ ἄρχοντες τῆς δυνάμεως ἀσσοὺρ τοὺς χιτῶνας αὐτῶν διέρρηξαν. καὶ ἐταράχθη ἡ ψυχὴ αὐτῶν σφόδρα, καὶ ἐγένετο αὐτῶν κραυγὴ, καὶ βοὴ μεγάλη σφόδρα ἐν μέσῳ τῆς παρεμβολῆς.

Κεφ. ιε. 15.

Καὶ ὡς ἤκουσαν οἱ ἐν τοῖς σκηνώμασιν ὄντες ἐξέστη-
κ σαν ἐπὶ τὸ γεγονὸς καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς φόβος καὶ
τρόμος. καὶ οὐκ ἦν ἄνθρωπος μένων κατὰ πρόσωπον τοῦ πλη-

σίον ἔτι ἀλλ' ἐκλυθέντες ὁμοθυμαδὸν ἔφυγον ἐπὶ πᾶσαν ὁδὸν τοῦ πεδίου, καὶ τῆς ὀρεινῆς καὶ οἱ παρεμβεβληκότες ἐν τῇ ὀρεινῇ κύκλῳ βετυλούα, ἐτράπησαν εἰς φυγήν. καὶ τότε υἱοὶ ἰσραὴλ πᾶς ἀνὴρ πολεμιστὴς ἐξ αὐτῶν, ἐξεχύθησαν ἐπ' αὐτούς.

Καὶ ἐξαπέστειλεν ὀζίας εἰς βαιτομασθαὶμ, καὶ βηβαὶ, καὶ χωβαὶ καὶ κωλά. καὶ εἰς πᾶν ὅριον ἰσραὴλ, τοὺς ἀπαγγέλλοντας ὑπὲρ τῶν συντετελεσμένων. καὶ ἵνα πάντες ἐπεκχυθῶσι τοῖς πολεμίοις. εἰς τὴν ἀναίρεσιν αὐτῶν. Ὡς δὲ ἤκουσαν οἱ υἱοὶ ἰσραήλ. πάντες ὁμοθυμαδὸν ἐπέπεσον ἐπ' αὐτοὺς καὶ ἔκοπτον αὐτοὺς ἕως χωβά. ὡσαύτως δὲ καὶ οἱ ἐξ ἱερουσαλὴμ παρεγενήθησαν, καὶ πάσης τῆς ὀρεινῆς ἀνήγγειλαν γὰρ αὐτοῖς τὰ γινόμενα τῇ παρεμβολῇ τῶν ἐχθρῶν αὐτῶν. καὶ οἱ ἐν τῇ γαλαὰδ καὶ ἐν τῇ γαλιλαίᾳ ὑπερεκέρασαν αὐτοὺς πληγῇ μεγάλῃ. ἕως οὗ παρῆλθον δαμασκόν. καὶ τὰ ὅρια αὐτῆς. οἱ δὲ λοιποὶ οἱ κατοικοῦντες βετυλούα, ἐπέπεσον τῇ παρεμβολῇ ἀσσούρ, καὶ προενόμευσαν αὐτοὺς, καὶ ἐπλούτησαν σφόδρα. οἱ δὲ υἱοὶ ἰσραὴλ ἀναστρέψαντες ἀπὸ τῆς κοπῆς ἐκυρίευσαν, τῶν λοιπῶν. καὶ αἱ κῶμαι, καὶ αἱ πόλεις ἐν τῇ ὀρεινῇ, καὶ πεδινῇ ἐκράτησαν πολλῶν λαφύρων. ἦν γὰρ πλῆθος πολὺ σφόδρα. Καὶ ἰωακεὶμ, ὁ ἱερεὺς ὁ μέγας, καὶ ἡ γερουσία τῶν υἱῶν ἰσραὴλ οἱ κατοικοῦντες ἐν ἱερουσαλήμ. ἦλθον τοῦ θεμελιῶσαι τὰ ἀγαθὰ ἃ ἐποίησεν ὁ θεὸς τῷ ἰσραήλ. καὶ τοῦ ἰδεῖν ἰουδὴθ, καὶ λαλῆσαι μετ' αὐτῆς εἰρήνην. ὡς δὲ εἰσῆλθον πρὸς αὐτὴν εὐλόγησαν αὐτὴν ὁμοθυμαδὸν. καὶ εἶπον πρὸς αὐτήν. σὺ ὕψωμα ἱερουσαλήμ. σὺ γαυρίαμα μέγα τοῦ ἰσραήλ. σὺ καύχημα μέγα τοῦ γένους ἡμῶν. ἐποίησας ταῦτα πάντα ἐν χειρί σου. ἐποίησας τὰ ἀγαθὰ μετὰ ἰσραήλ. καὶ εὐδόκησεν ἐπ' αὐτοῖς ὁ θεός. εὐλογημένη γίνου παρὰ τῷ παντοκράτορι κυρίῳ εἰς τὸν αἰῶνα χρόνον. καὶ εἶπε πᾶς ὁ λαὸς γένοιτο. Καὶ ἐλαφύρησεν ὁ λαὸς τὴν παρεμβολὴν ἐφ' ἡμέρας τριάκοντα. καὶ ἔδωκαν τῇ ἰουδὴθ τὴν σκηνὴν

ὀλοφέρνου, καὶ πάντα τὰ ἀργυρώματα, καὶ τὰς κλίνας. καὶ
τὰ ὅλκια καὶ πάντα τὰ σκευάσματα αὐτοῦ. καὶ λαβοῦσα αὐ-
τὴ ἀπέθηκεν ἐπὶ τὴν ἡμίονον αὐτῆς. καὶ ἔζευξε τὰς ἁμάξας
αὐτῆς, καὶ ἐσώρευσεν αὐτὰ ἐπ᾽ αὐτῶν καὶ συνέδραμε πᾶσα
γυνὴ ἰσραὴλ τοῦ ἰδεῖν αὐτήν· καὶ εὐλόγησαν αὐτήν· καὶ ἐποίησαν
αὐτῇ χορὸν ἐξ αὐτῶν· καὶ ἔλαβε θύρσους ἐν ταῖς χερσὶν αὐτῆς·
καὶ ἔδωκε καὶ ταῖς γυναιξὶ ταῖς μετ᾽ αὐτοῖς. καὶ ἐστεφανώσαν-
το τὴν ἐλαίαν αὐτῇ, καὶ οἱ μετ᾽ αὐτῆς. καὶ προσῆλθεν ἔμπροσθεν
παντὸς τοῦ λαοῦ ἐν χορείᾳ ἡγουμένη πασῶν τῶν γυναικῶν, καὶ
ἠκολούθει πᾶς ἀνὴρ ἰσραὴλ ἐνοπλισμένοι, μετὰ στεφάνων, καὶ
ὕμνων ἐν τῷ στόματι αὐτῶν. καὶ ἐξῆρχεν ἰουδὴθ τὴν ἐξομο-
λόγησιν ταύτην ἐν παντὶ ἰσραὴλ, καὶ ὑπερεφώνει πᾶς ὁ λαὸς
τὴν αἴνεσιν ταύτην. Κεφ. ιϛ. 16.

Αἶ εἶπεν ἰουδὴθ ἐξάρχετε τῷ θεῷ μου, ἐν τυμπά-
κ νοις ᾄσατε τῷ κυρίῳ μου ἐν κυμβάλοις ἐναρμόσα-
σθε αὐτῷ ψαλμὸν, καὶ αἶνον ὑψοῦτε, καὶ ἐπικαλέ-
σασθε τὸ ὄνομα αὐτοῦ. ὅτι ὁ θεὸς συντρίβων πολέμους. ὅτι εἰς
παρεμβολὰς αὐτοῦ ἐν μέσῳ λαοῦ ἐξείλετό με ἐκ χειρὸς τῶν κα-
ταδιωκόντων με. ἦλθεν ἀσσοὺρ ἐξ ὀρέων ἀπὸ βοῤῥᾶς. ἦλθεν
ἐν μυριάσι δυνάμεως αὐτοῦ. ὧν τὸ πλῆθος αὐτῶν ἔφραξε χει-
μάῤῥους. καὶ ἡ ἵππος αὐτῶν ἐκάλυψε βουνούς. εἶπεν ἐμπρήσειν
τὰ ὅριά μου, καὶ τοὺς νεανίσκους μου ἀνελεῖν ἐν ῥομφαίᾳ, καὶ τὰ
θηλάζοντα θήσειν εἰς ἔδαφος. καὶ τὰ νήπιά μου θήσειν εἰς προ-
νομήν. καὶ τὰς παρθένους μου σκυλεῦσαι. κύριος παντοκρά-
τωρ ἠθέτησεν αὐτοὺς ἐν χειρὶ θηλείας. οὐ γὰρ ἔπεσεν ὁ δυνα-
τὸς ὑπὸ νεανίσκων. οὐδὲ υἱοὶ τιτάνων ἐπάταξαν αὐτόν. οὐδὲ
ὑψηλοὶ γίγαντες ἐπέθεντο αὐτῷ. ἀλλὰ ἰουδὴθ θυγάτηρ μερα-
ρὶ ἐν κάλλει προσώπου αὐτῆς παρέλυσεν αὐτόν. ἐξεδύσατο γὰρ
στολὴν χηρεύσεως αὐτῆς. εἰς ὕψος τῶν πονούντων ἰσραήλ. ἠλεί-
ψατο τὸ πρόσωπον αὐτῆς ἐν μυρισμῷ. καὶ ἐδήσατο τὰς τρίχας

αὐτοῦ ἐν μίτρᾳ, καὶ ἔλαβε στολὴν λινῆν. εἰς ἀπάτην αὐτοῦ. τὸ σανδάλιον αὐτῆς ἥρπασεν ὀφθαλμὸν αὐτοῦ. καὶ τὸ κάλλος αὐτῆς ᾐχμαλώτευσε ψυχὴν αὐτοῦ. διῆλθεν ὁ ἀκινάκης τὸν τράχηλον αὐτοῦ. ἔφριξαν πέρσαι τὴν τόλμην αὐτῆς, καὶ μῆδοι τὸ θάρσος αὐτῆς. ἐταράχθησαν τότε. ἠλάλαξαν οἱ ταπεινοί μου, καὶ ἐβόησαν οἱ ἀσθενοῦντές μου, καὶ ἐπτοήθησαν, ὕψωσαν τὴν φωνὴν αὐτῶν, καὶ ἀνετράπησαν. υἱοὶ κορασίων κατεκέντησαν αὐτούς. καὶ ὡς παῖδας αὐτομολούντων ἐτίτρωσκον αὐτούς. ἀπώλοντο ἐκ παρατάξεως κυρίου θεοῦ μου. ὑμνήσω τῷ κυρίῳ ὕμνον καὶ αἶνον. κύριε μέγας εἶ, καὶ ἔνδοξος θαυμαστὸς ἐν ἰσχύϊ ἀνυπέρβλητος. σοὶ δουλευσάτω πᾶσα ἡ κτίσις σου. ὅτι εἶπας, καὶ ἐγενήθησαν. ἀπέστειλας τὸ πνεῦμά σου, καὶ ᾠκοδόμησε. καὶ οὐκ ἔστιν ὃς ἀντιστήσεται τῇ φωνῇ σου. ὄρη γὰρ ἐκ θεμελίων σὺν ὕδασι σαλευθήσονται. πέτραι δὲ ἀπὸ προσώπου σου, ὡς κηρὸς τακήσονται. ἔτι δὲ τοῖς φοβουμένοις σε, σὺ εὐιλατεύσεις αὐτοῖς. ὅτι μικρὸν πᾶσα θυσία εἰς ὀσμὴν εὐωδίας. καὶ ἐλάχιστον πᾶν στέαρ, εἰς ὁλοκαύτωμά σου. ὁ δὲ φοβούμενος τὸν κύριον μέγας διαπαντός. οὐαὶ ἔθνεσιν ἐπανισταμένοις τῷ γένει μου. κύριος παντοκράτωρ ἐκδικήσει αὐτοὺς ἐν ἡμέρᾳ κρίσεως δοῦναι πῦρ, καὶ σκώληκας εἰς σάρκας αὐτῶν. καὶ κλαύσονται ἐν αἰσθήσει ἕως αἰῶνος.

Ὡς δὲ ἦλθον εἰς ἱερουσαλὴμ προσεκύνησαν τῷ κυρίῳ. καὶ ἡνίκα ἐκαθαρίσθη ὁ λαὸς, ἀνήνεγκαν τὰ ὁλοκαυτώματα αὐτῶν καὶ τὰ ἑκούσια αὐτῶν καὶ τὰ δόματα. καὶ ἀνέθηκεν ἰουδὴθ πάντα τὰ σκεύη ὀλοφέρνου ὅσα ἔδωκεν ὁ λαὸς αὐτῇ. καὶ τὸ κωνώπιον ὃ ἔλαβεν αὐτὴ ἀπὸ τοῦ κοιτῶνος αὐτοῦ εἰς ἀνάθεμα τῷ κυρίῳ ἔδωκε, καὶ ἦν ὁ λαὸς εὐφραινόμενος ἐν ἱερουσαλὴμ κατὰ πρόσωπον τῶν ἁγίων ἐπὶ μῆνας τρεῖς. καὶ ἰουδὴθ μετ' αὐτῶν κατέμεινεν. μετὰ δὲ τὰς ἡμέρας ταύτας ἀνέζευξεν ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ. καὶ ἰουδὴθ ἀπῆλθεν εἰς βετουλοῦα, καὶ κατέμεινεν ἐπὶ τῆς ὑπάρξεως αὐτῆς. καὶ ἐγένετο κατὰ καιρὸν

αὐτῆς, ἔνδοξος ἐν πάσῃ τῇ γῇ. καὶ πολλοὶ ἐπεθύμησαν αὐτήν
καὶ οὐκ ἔγνω ἀνὴρ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῆς,
ἀφ' ἧς ὥρας ἀπέθανε μανασσῆς ὁ ἀνὴρ αὐτῆς. καὶ προσετέθη
πρὸς τὸν λαὸν αὐτῆς. καὶ προβαίνουσα ἦν μεγάλη σφόδρα. καὶ
ἐγήρασεν ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἑκατὸν πέντε ἔτη. καὶ
ἀφῆκε τὴν ἄβραν αὐτῆς ἐλευθέραν. καὶ ἀπέθανεν εἰς βετου
λούα. καὶ ἔθαψαν αὐτὴν ἐν τῷ σπηλαίῳ τοῦ ἀνδρὸς αὐτῆς μα
νασσῆ. καὶ ἐπένθησεν αὐτὴν οἶκος ἰσραὴλ ἡμέρας ἑπτά.
καὶ διεῖλε ὑπάρχοντα αὐτῆς πρὸ τοῦ ἀποθανεῖν αὐτὴν
πᾶσι τοῖς ἔγγιστα μανασσῆ τοῦ ἀνδρὸς αὐτῆς. καὶ
τοῖς ἔγγιστα τοῦ γένους αὐτῆς. καὶ οὐκ ἦν ἔτι ὁ
ἐκφοβῶν τοὺς υἱοὺς ἰσραὴλ ἐν ταῖς
ἡμέραις ἰουδὴθ μετὰ τὸ ἀπο-
θανεῖν αὐτὴν ἡμέ-
ρας πολ-
λάς.

ΤΕΛΟΣ ΤΗΣ
ΙΟΥΔΗΘ.

# ΒΑΡΟΥΧ.

Κεφάλαιον. α. ι.

ΚΑὶ οὗτοι οἱ λόγοι τοῦ βιβλίου, οὓς ἔγραψε βαροὺχ υἱὸς νηρίου, υἱοῦ μαασαίου, υἱοῦ σεδεκίου, υἱοῦ ἀσαδίου, υἱοῦ χαλκίου, ἐν βαβυλῶνι, ἐν τῷ ἔτει τῷ πέμπτῳ, ἐν ἑβδόμῃ τοῦ μηνὸς ἐν τῷ καιρῷ ᾧ ἔλαβον οἱ χαλδαῖοι τὴν ἱερουσαλὴμ, καὶ ἐνέπρησαν αὐτὴν ἐν πυρὶ, καὶ ἀνέγνω βαροὺχ τοὺς λόγους τοῦ βιβλίου τούτου. Ἐν ὠσὶν ἰεχονίου υἱοῦ ἰωακεὶμ βασιλέως ἰούδα καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ τῶν ἐρχομένων πρὸς τὴν βίβλον, καὶ ἐν ὠσὶ τῶν δυνατῶν. καὶ υἱῶν τῶν βασιλέων, καὶ ἐν ὠσὶ τῶν πρεσβυτέρων, καὶ ἐν ὠσὶ παντὸς τοῦ λαοῦ ἀπὸ μικροῦ ἕως μεγάλου πάντων τῶν κατοικούντων ἐν βαβυλῶνι ἐπὶ τοῦ ποταμοῦ σούδ. καὶ ἔκλαιον καὶ ἐνήστευον καὶ ηὔχοντο εὐχὰς ἐναντίον κυρίου καὶ συνήγαγον ἀργύριον, καθὸ ἑκάστου, ἠδύνατο ἡ χείρ. καὶ ἀπέστειλαν εἰς ἱερουσαλὴμ πρὸς ἰωακεὶμ υἱὸν χελκίου. υἱοῦ σαλὼμ τὸν ἱερέα. καὶ πρὸς τοὺς ἱερεῖς καὶ πρὸς πάντα τὸν λαὸν. τοὺς εὑρεθέντας μετ᾽ αὐτοῦ ἐν ἱερουσαλήμ. ἐν τῷ λαβεῖν αὐτὸν τὰ σκεύη οἴκου κυρίου. τὰ ἐξενεχθέντα ἐκ τοῦ λαοῦ ἀποστρέψαι εἰς γῆν ἰούδα. τῇ δεκάτῃ τοῦ σιουάν. σκεύη ἀργυρᾶ. ἃ ἐποίησε σεδεκίας υἱὸς ἰωσίου βασιλεὺς ἰούδα. μετὰ τὸ ἀποικίσαι ναβουχοδονόσορ βασιλέα βαβυλῶνος τὸν ἰεχονίαν. καὶ τοὺς ἄρχοντας καὶ τοὺς δεσμώτας. καὶ τοὺς δυνατοὺς, καὶ τὸν λαὸν τῆς γῆς ἀπὸ ἱερουσαλήμ. καὶ ἤγαγεν αὐτοὺς εἰς βαβυλῶνα

καὶ εἶπον, ἰδοὺ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἀργύριον. καὶ ἀγοράσατε τοῦ ἀργυρίου ὁλοκαυτώματα, καὶ περὶ ἁμαρτίας καὶ λίβανον καὶ ποιήσατε μάννα, καὶ ἀνοίσατε ἐπὶ τὸ θυσιαστήριον κυρίου θεοῦ ἡμῶν. καὶ προσεύξασθε περὶ τῆς ζωῆς ναβουχοδονόσορ βασιλέως βαβυλῶνος, καὶ εἰς ζωὴν βαλτάσαρ υἱοῦ αὐτοῦ. ἵνα ὦσιν αἱ ἡμέραι αὐτῶν ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς. καὶ δώσει κύριος ἰσχὺν ἡμῖν, καὶ φωτίσει τοὺς ὀφθαλμοὺς ἡμῶν. καὶ ζησόμεθα ὑπὸ τὴν σκιὰν ναβουχοδονόσορ βασιλέως βαβυλῶνος. καὶ ὑπὸ τὴν σκιὰν βαλτάσαρ υἱοῦ αὐτοῦ. καὶ δουλεύσομεν αὐτοῖς ἡμέρας πολλάς. καὶ εὑρήσομεν χάριν ἐναντίον αὐτῶν. καὶ προσεύξασθε περὶ ἡμῶν πρὸς κύριον τὸν θεὸν ἡμῶν, ὅτι ἡμάρτομεν τῷ κυρίῳ θεῷ ἡμῶν, καὶ οὐκ ἀπέστρεψεν ὁ θυμὸς κυρίου καὶ ἡ ὀργὴ αὐτοῦ ἀφ' ἡμῶν, καὶ ἕως τῆς ἡμέρας ἐκείνης.

Καὶ ἀναγνώσεσθε τὸ βιβλίον τοῦτο ὃ ἀπεστείλαμεν πρὸς ὑμᾶς ἐξαγορεῦσαι ἐν οἴκῳ κυρίου, ἐν ἡμέραις ἑορτῆς καὶ ἐν ἡμέραις καιροῦ, καὶ ἐρεῖτε κυρίῳ τῷ θεῷ ἡμῶν ἡ δικαιοσύνη. ἡμῖν δὲ αἰσχύνη τῶν προσώπων ὡς ἡ ἡμέρα αὕτη ἀνθρώπῳ ἰούδα, καὶ τοῖς κατοικοῦσιν ἱερουσαλήμ. καὶ τοῖς βασιλεῦσιν ἡμῶν. καὶ τοῖς ἄρχουσιν ἡμῶν. καὶ τοῖς ἱερεῦσιν ἡμῶν, καὶ τοῖς προφήταις ἡμῶν καὶ τοῖς πατράσιν ἡμῶν, ὧν ἡμάρτομεν ἔναντι κυρίου. καὶ ἠπειθήσαμεν αὐτῷ. καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς κυρίου θεοῦ ἡμῶν. πορεύεσθαι τοῖς προστάγμασιν αὐτοῦ, οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγε κύριος τοὺς πατέρας ἡμῶν ἐκ γῆς αἰγύπτου. καὶ ἕως τῆς ἡμέρας ταύτης ἤμεθα ἀπειθοῦντες πρὸς κύριον τὸν θεὸν ἡμῶν. καὶ ἐσχεδιάζομεν. πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ. καὶ ἐκολλήθη εἰς ἡμᾶς τὰ κακὰ καὶ ἡ ἀρὰ ἣν συνέταξε κύριος τῷ μωϋσῇ. παιδὶ αὐτοῦ, ἐν ἡμέρᾳ ᾗ ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐκ γῆς αἰγύπτου. δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι. ὡς ἡ ἡμέρα αὕτη, καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς κυρίου τοῦ θεοῦ ἡμῶν κατὰ πάντας τοὺς λόγους τῶν προ-

φυτῶν. ὧν ἀπέστειλε πρὸς ἡμᾶς. καὶ ᾠχόμεθα ἕκαστος ἐν διανοίᾳ καρδίας αὐτοῦ τῆς πονηρᾶς ἐργάζεσθαι θεοῖς ἑτέροις ποιῆσαι τὰ κακὰ κατ' ὀφθαλμοὺς κυρίου θεοῦ ἡμῶν. Κεφ. β. 2.

Καὶ ἔστησε κύριος τὸν λόγον αὐτοῦ, ὃν ἐλάλησεν ἐφ' ἡμᾶς καὶ ἐπὶ τοὺς δικαστὰς ἡμῶν, τοὺς δικάσαντας τὸν ἰσραὴλ. καὶ ἐπὶ τοὺς βασιλεῖς ἡμῶν. καὶ ἐπὶ τοὺς ἄρχοντας ἡμῶν. καὶ ἐπὶ ἄνθρωπον ἰσραὴλ καὶ ἰούδα. τοῦ ἀγαγεῖν ἐφ' ὑμᾶς κακὰ μεγάλα ἃ οὐκ ἐποιήθη ὑποκάτω παντὸς τοῦ οὐρανοῦ, καθὰ ἐποιήθη ἐν ἱερουσαλὴμ. κατὰ τὰ γεγραμμένα ἐν τῷ νόμῳ μωϋσέως, τοῦ φαγεῖν ἡμᾶς ἄνθρωπον σάρκας υἱοῦ αὐτοῦ. καὶ ἄνθρωπον σάρκας θυγατρὸς αὐτοῦ. καὶ ἔδωκεν αὐτοὺς ὑποχειρίους, πάσαις ταῖς βασιλείαις ταῖς κύκλῳ ἡμῶν, εἰς ὀνειδισμὸν, καὶ εἰς ἄβατον ἐν πᾶσι τοῖς λαοῖς τῷ κύκλῳ ἡμῶν. οὗ διέσπειρεν αὐτοὺς κύριος ἐκεῖ, καὶ ἐγενήθησαν ὑποκάτω καὶ οὐκ ἐπάνω. ὅτι ἡμάρτομεν κυρίῳ θεῷ ἡμῶν, πρὸς τὸ μὴ ἀκούειν τῆς φωνῆς αὐτοῦ. τῷ κυρίῳ θεῷ ἡμῶν ἡ δικαιοσύνη. ἡμῖν δὲ καὶ τοῖς πατράσιν ἡμῶν, ἡ αἰσχύνη πρὸ προσώπων. ὡς ἡ ἡμέρα αὕτη. ἃ ἐλάλησε κύριος ἐφ' ἡμᾶς πάντα τὰ κακὰ ταῦτα, ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐδεήθημεν τοῦ προσώπου κυρίου, τοῦ ἀποστρέψαι ἕκαστον ἀπὸ τῶν νοημάτων τῆς καρδίας αὐτῶν τῆς πονηρᾶς. καὶ ἐγρηγόρηκε κύριος ἐπὶ τοῖς κακοῖς καὶ ἐπήγαγε κύριος ἐφ' ἡμᾶς ὅτι δίκαιος ὁ κύριος ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. ἃ ἐνετείλατο ἡμῖν καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς αὐτοῦ, πορεύεσθαι τοῖς προστάγμασι κυρίου οἷς ἔδωκε κατὰ πρόσωπον ἡμῶν. Καὶ νῦν κύριος ὁ θεὸς ἰσραὴλ, ὃς ἐξήγαγες τὸν λαόν σου ἐκ γῆς αἰγύπτου. ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ ἐν σημείοις. καὶ ἐν τέρασι καὶ ἐν δυνάμει μεγάλῃ. καὶ ἐποίησας σεαυτῷ ὄνομα, ὡς ἡ ἡμέρα αὕτη. ἡμάρτομεν, ἠσεβήσαμεν, ἠδικήσαμεν κύριε ὁ θεὸς ἡμῶν ἐπὶ πᾶσι τοῖς δικαιώμασί σου. ἀποστραφήτω δὴ ὁ θυμός σου ἀφ' ὑμῶν ὅτι κατελείφθημεν ὀλίγοι ἐν τοῖς ἔθνεσιν οὗ διέσπειρας ἡμᾶς ἐκεῖ

εἰσάκουσον κύριε τῆς προσευχῆς ἡμῶν, καὶ τῆς δεήσεως ἡμῶν
καὶ ἐξελοῦ ἡμᾶς ἕνεκέν σου. καὶ δὸς ἡμῖν χάριν κατὰ πρόσω-
πον τῶν ἀποικισάντων ἡμᾶς ἵνα γνῷ πᾶσα ἡ γῆ, ὅτι σὺ κύριος
ὁ θεὸς ἡμῶν. ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ ἰσραὴλ, καὶ ἐπὶ
τὸ γένος αὐτοῦ. καὶ κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, καὶ ἐννόησον
εἰς ἡμᾶς. καὶ κλῖνον κύριε τὸ οὖς σου καὶ ἄκουσον. ἄνοιξον ὀφθαλ-
μούς σου, καὶ ἴδε. ὅτι οὐχ οἱ τεθνηκότες ἐν τῷ ἅδῃ, ὧν ἐλήφθη
τὸ πνεῦμα αὐτῶν, ἀπὸ τῶν σπλάγχνων αὐτῶν, δώσουσι δόξαν
καὶ δικαίωμα τῷ κυρίῳ. ἀλλὰ ἡ ψυχὴ ἡ λυπουμένη ἐπὶ τὸ μέ-
γεθος. ὃ βαδίζει κύπτον καὶ ἀσθενοῦν, καὶ οἱ ὀφθαλμοὶ οἱ ἐκλεί-
ποντες, καὶ ἡ ψυχὴ ἡ πεινῶσα δώσουσί σοι δόξαν, καὶ δικαιο-
σύνην κύριε. ὅτι οὐκ ἐπὶ τὰ δικαιώματα τῶν πατέρων ἡμῶν,
καὶ τῶν βασιλέων ἡμῶν. ἡμεῖς καταβάλλομεν τὸν ἔλεον κατὰ
πρόσωπόν σου κύριε ὁ θεὸς ἡμῶν, ὅτι ἐνῆκας τὸν θυμόν σου, καὶ
τὴν ὀργήν σου εἰς ἡμᾶς καθάπερ ἐλάλησας ἐν χειρὶ τῶν παί-
δων σου τῶν προφητῶν, λέγων οὕτως εἶπε κύριος. κλίνατε τὸν
ὦμον ὑμῶν, ἐργάσασθε τῷ βασιλεῖ βαβυλῶνος. καὶ καθίσατε
ἐπὶ τῆς γῆς ἣν δέδωκα τοῖς πατράσιν ὑμῶν. καὶ ἐὰν μὴ ἀκού-
σητε τῆς φωνῆς κυρίου ἐργάσασθαι τῷ βασιλεῖ βαβυλῶνος, ἐκλεί-
ψειν ποιήσω ἐκ πόλεων ἰούδα. καὶ ἔξωθεν ἱερουσαλήμ. φωνὴν
εὐφροσύνης, καὶ φωνὴν χαρμοσύνης. φωνὴν νυμφίου, καὶ φω-
νὴν νύμφης, καὶ ἔσται πᾶσα ἡ γῆ, εἰς ἄβατον ἀπὸ ἐγκατοικούν-
των. καὶ οὐκ ἠκούσαμεν τῆς φωνῆς σου, ἐργάσασθαι τῷ βασιλεῖ
βαβυλῶνος. καὶ ἔστησας τοὺς λόγους σου, οὓς ἐλάλησας ἐν χερ-
σὶ τῶν παίδων σου τῶν προφητῶν, τοῦ ἐξενεχθῆναι τὰ ὀστᾶ βα-
σιλέων ἡμῶν, καὶ τὰ ὀστᾶ τῶν πατέρων ἡμῶν ἐκ τοῦ τόπου αὐ-
τῶν. καὶ ἰδοὺ ἐστὶν ἐξερριμμένα τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ
παγετῷ τῆς νυκτός. καὶ ἀπεθάνοσαν ἐν πόνοις πονηροῖς. ἐν λι-
μῷ καὶ ἐν ῥομφαίᾳ, καὶ ἐν ἀποστολῇ. καὶ ἔθηκας τὸν οἶκον, οὗ ἐπι-
κέκληται τὸ ὄνομά σου ἐπ᾽ αὐτῷ, ὡς ἡ ἡμέρα αὕτη. διὰ πονη-

ρίαν οἴκου ἰσραὴλ, καὶ οἴκου ἰούδα. καὶ ἐποίησας εἰς ἡμᾶς κύ-
ριε ὁ θεὸς ἡμῶν κατὰ πᾶσαν ἐπιείκειάν σου, καὶ κατὰ πάντα
οἰκτιρμόν σου τὸν μέγα, καθὰ ἐλάλησας ἐν χειρὶ παιδός σου μω-
ϋσῆ. ἐν ἡμέρᾳ ἐντειλαμένου σου αὐτῷ γράψαι τὸν νόμον σου ἐναν-
τίον υἱῶν ἰσραὴλ. λέγων, ἐὰν μὴ ἀκούσητε τῆς φωνῆς μου, ἦ μὴν
ἡ βόμβησις ἡ μεγάλη καὶ πολλὴ, αὕτη, ἀποστρέψει εἰς μικρὰν
ἐν τοῖς ἔθνεσιν. οὗ διασπερῶ αὐτοὺς ἐκεῖ. ὅτι ἔγνων, ὅτι οὐ μὴ ἀκού-
σωσί μου, ὅτι λαὸς σκληροτράχηλός ἐστι. καὶ ἐπιστρέψουσιν ἐπὶ
καρδίαν αὐτῶν ἐν γῇ ἀποικισμοῦ αὐτῶν. καὶ γνώσονται, ὅτι
ἐγὼ κύριος ὁ θεὸς αὐτῶν. καὶ δώσω αὐτοῖς καρδίαν καὶ ὦτα
ἀκούοντα. καὶ αἰνέσουσί με ἐν γῇ ἀποικισμοῦ αὐτῶν. καὶ μνη-
σθήσονται τοῦ ὀνόματός μου. καὶ ἀποστρέψουσιν ἀπὸ τοῦ νώτου
αὐτῶν τοῦ σκληροῦ, καὶ ἀπὸ τῶν πονηρῶν πραγμάτων αὐτῶν,
ὅτι μνησθήσονται τῆς ὁδοῦ τῶν πατέρων αὐτῶν, τῶν ἁμαρτα-
νόντων ἐναντι κυρίου. καὶ ἀποστρέψω αὐτοὺς εἰς τὴν γῆν ἣν ὤμο-
σα τοῖς πατράσιν αὐτῶν. τῷ ἀβραὰμ, καὶ τῷ ἰσαὰκ, καὶ τῷ
ἰακὼβ, καὶ κυριεύσουσιν αὐτῆς. καὶ πληθυνῶ αὐτούς. καὶ οὐ μὴ
σμικρυνθῶσι. καὶ στήσω αὐτοῖς διαθήκην αἰώνιον, τοῦ εἶναί με
αὐτοῖς εἰς θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν. καὶ οὐ μὴ κινήσω
ἔτι τὸν λαόν μου ἰσραὴλ, ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς.

Κεφ. γ. 3.

Υριε παντοκράτωρ ὁ θεὸς ἰσραὴλ ψυχὴ ἐν στενοῖς
κ καὶ πνεῦμα ἀκηδιῶν. κέκραγε πρός σε, ἄκουσον κύ-
ριε καὶ ἐλέησον. ὅτι ἡμάρτομεν ἐναντίον σου. ὅτι σὺ
καθήμενος τὸν αἰῶνα. καὶ ἡμεῖς ἀπολλύμενοι τὸν αἰῶνα. κύριε
παντοκράτωρ ὁ θεὸς ἰσραὴλ. ἄκουσον δὴ τῆς προσευχῆς τῶν
τεθνηκότων ἰσραὴλ, καὶ υἱῶν τῶν ἁμαρτανόντων ἐναντίον σου
οἳ οὐκ ἤκουσαν τῆς φωνῆς σου θεοῦ αὐτῶν. καὶ ἐκολλήθη ἡμῖν τὰ
κακὰ, μὴ μνησθῇς ἀδικιῶν πατέρων ἡμῶν. ἀλλὰ μνήσθητι χει-
ρός σου καὶ ὀνόματός σου ἐν τῷ καιρῷ τούτῳ ὅτι σὺ κύριος ὁ θε-

ὸς ἡμῶν· καὶ αἰνέσωμέν σε κύριε. ὅτι διὰ τοῦτο ἔδωκας τὸν φόβον
σου ἐπὶ καρδίας ἡμῶν, καὶ ἐπικαλεῖσθαι τὸ ὄνομά σου. καὶ αἰνέ
σομέν σε ἐν τῇ ἀποικίᾳ ἡμῶν ὅτι ἀπεστρέψαμεν ἐπὶ καρδίαν
ἡμῶν πᾶσαν ἀδικίαν πατέρων ἡμῶν· τῶν ἡμαρτηκότων ἐναν
τίον σου· ἡμεῖς σήμερον ἐν τῇ ἀποικίᾳ ἡμῶν οὗ διέσπειρας ἡμᾶς
ἐκεῖ· εἰς ὀνειδισμὸν· καὶ εἰς κατάραν καὶ εἰς ὄφλησιν, καὶ πάσας
κατὰ τὰς ἀδικίας τῶν πατέρων ἡμῶν· οἳ ἀπέστησαν ἀπὸ κυρίου
θεοῦ αὐτῶν. Ἄκουε ἰσραὴλ ἐντολὰς ζωῆς· ἐνωτίσασθαι γνῶναι
φρόνησιν· τί ἐστιν ἰσραήλ· ὅτι ἐν γῇ τῶν ἐθνῶν ἐπαλαιώθης· ἐν γῇ ἀλλο
τρίᾳ· συνεμιάνθης τοῖς νεκροῖς· προσελογίσθης μετὰ τῶν εἰς ᾅδου
ἐγκατέλιπες τὴν πηγὴν τῆς σοφίας τῇ ὁδῷ τοῦ θεοῦ· εἰ ἐπορεύ
θης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα χρόνον· μάθε ποῦ ἐστι φρό
νησις· ποῦ ἐστιν ἰσχὺς ποῦ ἐστι σύνεσις τοῦ γνῶναι ἅμα· ποῦ ἐστι μα
κροβίωσις, καὶ ζωή· ποῦ ἐστι φῶς ὀφθαλμῶν καὶ εἰρήνη· τίς εὗρε
τὸν τόπον αὐτῆς· καὶ τίς εἰσῆλθεν εἰς τοὺς θησαυροὺς αὐτῆς ποῦ
εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν
ἐπὶ τῆς γῆς οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, καὶ τὸ ἀρ
γύριον θησαυρίζοντες· καὶ τὸ χρυσίον ᾧ ἐπεποίθεισαν οἱ ἄνθρω
ποι· καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν· ὅτι οἱ τὸ ἀργύριον τε
κταίνοντες· καὶ μεριμνῶντες τὸ ἔργον αὐτῶν· καὶ οὐκ ἔστιν ἐξεύ
ρεσις, ἠφανίσθησαν καὶ εἰς ᾅδου κατέβησαν· καὶ ἄλλοι ἀνέστησαν
ἀντ᾽ αὐτῶν, νεώτεροι εἶδον φῶς, καὶ κατῴκησαν ἐπὶ τῆς γῆς·
ὁδὸν δὲ ἐπιστήμης οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν τρίβους αὐτῆς· οὐ
δὲ ἀντελάβοντο αὐτῆς οἱ υἱοὶ αὐτῶν ἀπὸ τῆς ὁδοῦ αὐτῶν πόῤ
ῥωθεν ἐγενήθησαν. οὐδὲ ἠκούσθη ἐν χαναάν. οὐδὲ ὤφθη ἐν θαι
μάν· οὔτε υἱοὶ ἀγὰρ ἐκζητοῦντες τὴν σύνεσιν οἱ ἐπὶ τῆς γῆς· οἱ
ἔμποροι τῆς μεῤῥὰν· καὶ θαιμὰν· καὶ οἱ μυθολόγοι· καὶ οἱ ἐκ
ζητηταὶ τῆς συνέσεως· ὁδὸν δὲ σοφίας οὐκ ἔγνωσαν· οὐδὲ ἐμνή
σθησαν τὰς τρίβους αὐτῆς. Ὦ ἰσραὴλ ὡς μέγας ὁ οἶκος τοῦ θεοῦ·
καὶ ἐπιμήκης ὁ τόπος τῆς κτήσεως αὐτοῦ μέγας καὶ οὐκ ἔχει

τελευτήν. ὑψηλὸς καὶ ἀμέτρητος. ἐκεῖ ἐγεννήθησαν οἱ γίγαντες
οἱ ὀνομαστοὶ ἀπ' ἀρχῆς γενόμενοι εὐμεγέθεις. ἐπιστάμενοι πό-
λεμον οὐ τούτους ἐξελέξατο ὁ θεὸς. οὐδὲ ὁδὸν ἐπιστήμης ἔδωκεν
αὐτοῖς. καὶ ἀπώλοντο παρὰ τὸ μὴ ἔχειν φρόνησιν. ἀπώλοντο διὰ
τὴν ἀβουλίαν αὐτῶν. τίς ἀνέβη εἰς τὸν οὐρανὸν, καὶ ἔλαβεν αὐ-
τὴν, καὶ κατεβίβασεν αὐτὴν ἐκ τῶν νεφελῶν, τίς διέβη πέραν
τῆς θαλάσσης καὶ εὗρεν αὐτὴν καὶ οἴσει αὐτὴν χρυσίου καθα-
ροῦ. οὐκ ἔστιν ὁ γινώσκων τὴν ὁδὸν αὐτῆς. οὐδὲ ὁ ἐνθυμούμε-
νος τὴν τρίβον αὐτῆς. ἀλλ' ὁ εἰδὼς τὰ πάντα γινώσκει αὐτήν.
καὶ ἐξεῦρεν αὐτὴν τῇ συνέσει αὐτοῦ. ὁ κατασκευάσας τὴν γῆν
εἰς τὸν αἰῶνα χρόνον. ἐνέπλησεν αὐτὴν κτηνῶν τετραπόδων. ὁ
ἀποστέλλων τὸ φῶς καὶ πορεύεται, ἐκάλεσεν αὐτὸ, καὶ ὑπή-
κουσεν αὐτῷ τρόμῳ. οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς
αὐτῶν, καὶ εὐφράνθησαν. ἐκάλεσεν αὐτοὺς, καὶ εἶπον. πάρεσμεν
ἔλαμψαν μετ' εὐφροσύνης τῷ ποιήσαντι αὐτούς. οὗτος ὁ θεὸς
ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. ἐξεῦρε πᾶσαν ὁδὸν
ἐπιστήμης. καὶ ἔδωκεν αὐτὴν ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ ἰσ-
ραὴλ, τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ μετὰ τοῦτο ἐπὶ τῆς γῆς ὤφθη,
καὶ ἐν τοῖς ἀνθρώποις συνανεστράφη.

Κεφάλαιον. δ. 4.

ᾱ ΥΤΗ ἡ βίβλος τῶν προσταγμάτων τοῦ θεοῦ. καὶ ὁ νό-
μος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα. πάντες οἱ κρατοῦντες
αὐτῆς εἰς ζωήν. οἱ δὲ καταλείποντες αὐτὴν ἀπο-
θανοῦνται. ἐπιστρέφου ἰακὼβ καὶ ἐπιλαβοῦ αὐτῆς. διόδευσον πρὸς
τὴν λάμψιν κατέναντι τοῦ φωτὸς αὐτῆς. μὴ δῷς ἑτέρῳ τὴν δόξαν
σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. μακάριοι ἐσμὲν ἰσ-
ραήλ. ὅτι τὰ ἀρεστὰ τοῦ θεοῦ ἡμῖν γνωστά. Θαρσεῖτε λαός μου μνη-
μόσυνον ἰσραὴλ ἐπράθητε τοῖς ἔθνεσιν. οὐκ εἰς ἀπώλειαν. διὰ
δὲ τὸ παροργίσαι ὑμᾶς τὸν θεὸν παρεδόθητε τοῖς ὑπεναντίοις. πα-
ρωξύνατε γὰρ τὸν ποιήσαντα ὑμᾶς θύσαντες δαιμονίοις, καὶ οὐ

θεῷ. ἐπελάθεσθε δὲ ὑμεῖς τὸν ποιήσαντα ὑμᾶς θεὸν αἰώνιον. ἐλυ-
πήσατε δὲ, καὶ τὴν ἐκθρέψασαν ὑμᾶς ἱερουσαλήμ. εἶδε καὶ
τὴν ἐπελθοῦσαν ὑμῖν ὀργὴν παρὰ τοῦ θεοῦ, καὶ εἶπεν. ἀκούσα-
τε αἱ πάροικοι σιών. ἐπήγαγε γάρ μοι ὁ θεὸς πένθος μέγα. εἶ-
δον γὰρ τὴν αἰχμαλωσίαν τῶν υἱῶν μου, καὶ τῶν θυγατέρων ἣν ἐπή-
γαγεν αὐτοῖς ὁ αἰώνιος. ἔθρεψα γὰρ αὐτοὺς μετ' εὐφροσύνης. ἐξ-
απέστειλα δὲ μετὰ κλαυθμοῦ καὶ πένθους. μηδεὶς ἐπιχαιρέτω μοι
τῇ χήρᾳ καὶ καταλειφθήσῃ ὑπὸ πολλῶν. ἠρημώθην διὰ τὰς ἁ-
μαρτίας τῶν τέκνων μου. διότι ἐξέκλιναν, ἐκ νόμου θεοῦ. δικαι-
ώματα δὲ αὐτοῦ οὐκ ἔγνωσαν. οὐ δὲ ἐπορεύθησαν ὁδοῖς ἐντολῶν
θεοῦ οὐ δὲ τρίβους παιδείας ἐν δικαιοσύνῃ αὐτοῦ ἐπέβησαν. ἐλθέτω-
σαν αἱ πάροικοι σιών, καὶ μνήσθητε τὴν αἰχμαλωσίαν τῶν
υἱῶν μου καὶ θυγατέρων, ἣν ἐπήγαγεν αὐτοῖς ὁ αἰώνιος. ἐπήγα-
γεν γὰρ ἐπ' αὐτοὺς ἔθνος μακρόθεν. ἔθνος ἀναιδὲς καὶ ἀλλόγλωσ-
σον. ὅτι οὐκ ᾐσχύνθησαν πρεσβύτην. οὐ δὲ παιδίον ἠλέησαν. καὶ
ἀπήγαγον τοὺς ἀγαπητοὺς τῆς χήρας καὶ ἀπὸ τῶν θυγατέρων
τὴν μόνην ἠρήμωσαν. ἐγὼ δὲ, τί δυνατὴ βοηθῆσαι ὑμῖν. ὁ γὰρ
ἐπαγαγὼν τὰ κακὰ, ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς ἐχθρῶν ὑμῶν.
Βαδίζετε τέκνα βαδίζετε ἐγὼ δὲ κατελείφθην ἔρημος. ἐξεδυσά-
μην τὴν στολὴν τῆς εἰρήνης. ἐνεδυσάμην δὲ σάκκον τῆς δεήσε-
ώς μου. κεκράξομαι πρὸς τὸν αἰώνιον, ἐν ταῖς ἡμέραις μου θαρ-
σεῖτε τέκνα. βοήσατε πρὸς τὸν θεὸν, καὶ ἐξελεῖται ὑμᾶς ἐκ δυνα-
στείας, ἐκ χειρὸς ἐχθρῶν. ἐγὼ γὰρ ἤδη ἤλπισα ἐπὶ τῷ αἰωνίῳ τὴν
σωτηρίαν ἡμῶν. καὶ ἦλθέ μοι χαρὰ παρὰ τοῦ ἁγίου ἐπὶ τῇ ἐλεημο-
σύνῃ, ἣ ἥξει ὑμῖν ἐν τάχει παρὰ τοῦ αἰωνίου σωτῆρος ἡμῶν.
ἐξέπεμψα γὰρ ὑμᾶς μετὰ κλαυθμοῦ, καὶ πένθους ἀποδώσει
δέ μοι ὁ θεὸς ὑμᾶς μετὰ χαρμοσύνης, καὶ εὐφροσύνης εἰς τὸν αἰ-
ῶνα. ὥσπερ γὰρ νῦν ἑωράκασιν οἱ πάροικοι σιὼν τὴν ὑμετέραν
αἰχμαλωσίαν, οὕτως. ὄψονται ἐν τάχει, τὴν παρὰ τοῦ θεοῦ ἡμῶν
σωτηρίαν ἣ ἐπελεύσεται ὑμῖν μετὰ δόξης μεγάλης, καὶ λαμπρό-

τῆρος τοῦ αἰωνίου. τέκνα μακροθυμήσατε τὴν παρὰ τοῦ θεοῦ ἐπελ-
θοῦσαν ὑμῖν ὀργήν. κατεδίωξέ σε γὰρ ὁ ἐχθρός σου, καὶ ὄψει
αὐτοῦ τὴν ἀπώλειαν ἐν τάχει. καὶ ἐπὶ τραχήλους αὐτῶν ἐπιβή-
σῃ. οἱ τρυφεροί μου ἐπορεύθησαν ὁδοὺς τραχείας, ἤρθησαν ὡς
ποίμνιον ἡρπασμένον ὑπὸ ἐχθρῶν. θαρσήσατε τέκνα, καὶ βοή-
σατε πρὸς τὸν θεόν. ἔσται γὰρ ἡμῶν ὑπὸ τοῦ ἐπάγοντος μνεία. ὥ-
σπερ γὰρ ἐγένετο ἡ διάνοια ὑμῶν εἰς τὸ πλανηθῆναι ὑμῶν ἀπὸ
τοῦ θεοῦ δεκαπλασιάσατε ἐπιστραφέντες ζητῆσαι αὐτόν. ὁ γὰρ
ἐπαγαγὼν ὑμῖν τὰ κακὰ, ἐπάξει ὑμῖν τὴν αἰώνιον εὐφροσύνην
μετὰ τῆς σωτηρίας ὑμῶν. Θάρσει ἱερουσαλὴμ παρακαλέσει σε ὁ
ὀνομάσας σε. δείλαιοι οἱ σε κακώσαντες. καὶ ἐπιχαρέντες τῇ
σῇ πτώσει. δείλαιαι αἱ πόλεις αἷς ἐδούλευσαν τὰ τέκνα σου. δει-
λαία ἡ δεξαμένη τοὺς υἱούς σου. ὥσπερ γὰρ ἐχάρη ἐπὶ τῇ σῇ
πτώσει, καὶ εὐφράνθη ἐπὶ τῷ πτώματί σου, οὕτως λυπηθήσε-
ται ἐπὶ τῇ ἑαυτῆς ἐρημίᾳ. καὶ περιελῶ αὐτῆς τὸ ἀγαλλίαμα τῆς
πολυοχλίας. καὶ τὸ γαυρίαμα αὐτῆς εἰς πένθος. πῦρ γὰρ ἐπε-
λεύσεται αὐτῇ, παρὰ τοῦ αἰωνίου εἰς ἡμέρας μακράς. καὶ κατοι-
κηθήσεται ὑπὸ δαιμονίων τὸν πλείονα χρόνον. περίβλεψον πρὸς
ἀνατολὰς ἱερουσαλήμ. καὶ ἴδε τὴν εὐφροσύνην τὴν παρὰ τοῦ
θεοῦ σου ἐρχομένην. ἰδοὺ ἔρχονται οἱ υἱοί σου, οὓς ἐξαπέστειλας.
ἔρχονται συνηγμένοι ἀπὸ ἀνατολῶν ἕως δυσμῶν. τῷ ῥήματι
τοῦ ἁγίου χαίροντες τῇ τοῦ θεοῦ δόξῃ

Κεφάλαιον ε. ϛ

ε Κδυσαι ἱερουσαλὴμ τὴν στολὴν τοῦ πένθους καὶ τῆς
κακώσεώς σου, καὶ ἔνδυσαι τὴν εὐπρέπειαν τῆς πα-
ρὰ τοῦ θεοῦ δόξης εἰς τὸν αἰῶνα. περιβαλοῦ τὴν δι-
πλοΐδα τῆς παρὰ τοῦ θεοῦ δικαιοσύνης, ἐπίθου τὴν μίτραν ἐπὶ
τὴν κεφαλήν σου. τῆς δόξης τοῦ αἰωνίου, ὁ γὰρ θεὸς δείξει τῇ ὑπ'
οὐρανὸν πάσῃ τὴν σὴν λαμπρότητα. κληθήσεται γάρ σου τὸ
ὄνομα παρὰ τοῦ θεοῦ εἰς τὸν αἰῶνα εἰρήνη δικαιοσύνης καὶ δόξα

θεοσεβείας. ἀνάστηθι ἱερουσαλὴμ, καὶ στῆθι ἐπὶ τοῦ ὑψηλοῦ. καὶ περίβλεψαι πρὸς ἀνατολὰς, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου ἀπὸ ἡλίου δυσμῶν, ἕως ἀνατολῶν τῷ ῥήματι τοῦ ἁγίου, χαίροντας τῇ τοῦ θεοῦ μνείᾳ. ἐξῆλθον γὰρ περὶ σοῦ πεζοί. ἀγόμενοι ὑπὸ ἐχθρῶν. εἰσάγει δὲ αὐτοὺς ὁ θεὸς πρὸς σὲ. ἐρρωμένους μετὰ δόξης, ὡς υἱοὺς βασιλείας. συνέταξε γὰρ ὁ θεὸς ταπεινοῦσθαι πᾶν ὄρος ὑψηλόν. καὶ θῖνας αἰωνίους, καὶ φάραγγας πληροῦσθαι εἰς ὁμαλισμὸν τῆς γῆς. ἵνα βαδίσῃ ἰσραὴλ ἀσφαλῶς τῇ τοῦ θεοῦ δόξῃ. ἐσκίασαν δὲ, καὶ οἱ δρυμοί. καὶ πᾶν ξύλον εὐωδίας τῷ ἰσραὴλ προστάγματι τοῦ θεοῦ. ἡγήσεται γὰρ ὁ θεὸς ἰσραὴλ μετ' εὐφροσύνης τῷ φωτὶ τῆς δόξης αὐτοῦ, σὺν ἐλεημοσύνῃ καὶ δικαιοσύνῃ τῇ παρ' αὐτοῦ.

Τέλος Βαρούχ.

## ΕΠΙΣΤΟΛΗ ΙΕΡΕΜΙΟΥ

ΑΝτίγραφον ἐπιστολῆς ἧς ἀπέστειλεν ἱερεμίας πρὸς τοὺς ἀχθησομένους αἰχμαλώτους, εἰς βαβυλῶνα ὑπὸ τοῦ βασιλέως τῶν βαβυλωνίων ἀναγγεῖλαι αὐτοῖς καθὼς ἐπετάγη αὐτῷ ὑπὸ τοῦ θεοῦ. Διὰ τὰς ἁμαρτίας ἃς ἡμαρτήκατε ἐναντίον τοῦ θεοῦ ἀχθήσεσθε εἰς βαβυλῶνα αἰχμάλωτοι ὑπὸ ναβουχοδονόσορ βασιλέως τῶν βαβυλωνίων. εἰ-

εἰσελθόντες οὖν εἰς βαβυλῶνα ἔσεσθε ἐκεῖ ἔτη πλείονα καὶ χρόνον μακρὸν, ἕως γενεῶν ἑπτά. μετὰ τοῦτο δὲ ἐξάξω ὑμᾶς ἐκεῖθεν μετ' εἰρήνης. νυνὶ δὲ ὄψεσθε ἐν βαβυλῶνι θεοὺς ἀργυροῦς καὶ χρυσοῦς, καὶ ξυλίνους ἐπ' ὤμων αἰρομένους δεικνύοντας φόβον τοῖς ἔθνεσιν. εὐλαβήθητε οὖν μὴ καὶ ὑμεῖς ἀφομοιωθέντες τοῖς ἀλλοφύλοις ἀφομοιωθῆτε. καὶ φόβος ὑμᾶς λάβῃ ἐπ' αὐτοῖς. ἰδόντας ὄχλον ἔμπροσθεν καὶ ὄπισθεν αὐτῶν προσκυνοῦντας αὐτά. εἴπατε δὲ τῇ διανοίᾳ. σοὶ δεῖ προσκυνεῖν δέσποτα. ὁ γὰρ ἄγγελός μου μεθ' ὑμῶν ἐστιν. αὐτός δὲ ἐκζητῶν τὰς ψυχὰς ὑμῶν. γλῶσσα γὰρ αὐτῶν ἐστι κατεξυσμένη ὑπὸ τέκτονος. αὐτά τε περίχρυσα καὶ περιάργυρα ψευδῆ δ' ἐστί. καὶ οὐ δύνανται λαλεῖν. καὶ ὥσπερ παρθένῳ φιλοκόσμῳ λαμβάνουσι χρυσίον, κατασκευάζουσι στεφάνους ἐπὶ τὰς κεφαλὰς τῶν θεῶν αὐτῶν. ἐστί δὲ καὶ ὅτε ὑφαιρούμενοι οἱ ἱερεῖς ἀπὸ τῶν θεῶν αὐτῶν χρυσίον καὶ ἀργύριον εἰς ἑαυτοὺς καταναλώσουσι. δώσουσι δὲ ἐπ' αὐτῶν. καὶ ταῖς ἐπὶ τοῦ τέγους πόρναις, κοσμοῦσί τε αὐτοὺς, ὡς ἀνθρώπους τοῖς ἐνδύμασι θεοὺς ἀργυροῦς. καὶ θεοὺς χρυσοῦς. καὶ ξυλίνους. οὗτοι δὲ οὐ διασώζονται ἀπὸ ἰοῦ καὶ βρωμάτων. περιβεβλημένων αὐτῶν ἱματισμὸν πορφυροῦν. ἐκμάσσονται τὸ πρόσωπον αὐτῶν διὰ τὸν ἐκ τῆς οἰκίας κονιορτόν. ὅς ἐστιν πλεῖον ἐπ' αὐτούς. καὶ σκῆπτρον ἔχει ὡς ἄνθρωπος κριτὴς χώρας. ὃς τὸν εἰς αὐτὸν ἁμαρτάνοντα, οὐκ ἀνελεῖ. ἔχει δὲ ἐγχειρίδιον δεξιᾷ. καὶ πέλεκυν. ἑαυτὸν δὲ ἐκ πολέμου καὶ λῃστῶν. οὐκ ἐξελεῖται. ὅθεν γνώριμοί εἰσιν οὐκ ὄντες θεοί.

Μὴ οὖν φοβηθῆτε αὐτούς. ὥσπερ γὰρ σκεῦος ἀνθρώπου συντριβὲν ἀχρεῖον γίνεται, τοιοῦτον ὑπάρχουσιν οἱ θεοὶ αὐτῶν. καθιδρυμένοι ἐν τοῖς οἴκοις αὐτῶν. οἱ ὀφθαλμοὶ αὐτῶν πλήρεις εἰσὶ κονιορτοῦ, ἀπὸ τῶν ποδῶν τῶν εἰσπορευομένων. καὶ ὥσπερ τινὶ ἠδικηκότι βασιλέα. περιπεφραγμέναι εἰσὶν αἱ αὐλαί. ὡς ἐπὶ θανάτῳ ἀπηγμένῳ, τοὺς οἴκους αὐτῶν ὀχυροῦσιν οἱ ἱερεῖς, θυρώμασι

τε, καὶ κλείθροις καὶ μοχλοῖς, ὅπως ὑπὸ τῶν λῃστῶν, μὴ συληθῶσιν, λύχνους καίουσιν, καὶ πλείους ἢ ἐπ' αὐτοῖς. ὧν οὐδένα δύνανται ἰδεῖν. ἔστι μὲν ὥσπερ δοκὸς τῶν ἐκ τῆς οἰκίας, τὰς δὲ καρδίας αὐτῶν φασὶν ἐκλείχεσθαι τῶν ἀπὸ τῆς γῆς ἑρπετῶν. κατεσθιόντων αὐτούς τε, καὶ τὸν ἱματισμὸν αὐτῶν οὐκ αἰσθάνονται. μεμελάνωνται τὸ πρόσωπον αὐτῶν. ἀπὸ τοῦ καπνοῦ τοῦ ἐκ τῆς οἰκίας. ἐπὶ τὸ σῶμα αὐτῶν καὶ ἐπὶ τὴν κεφαλὴν αὐτῶν, ἐφίπτανται νυκτερίδες. χελιδόνες καὶ τὰ ὄρνεα. ὡσαύτως δὲ καὶ οἱ αἴλουροι. ὅθεν γνώσεσθε ὅτι οὐκ εἰσὶ θεοί. μὴ οὖν φοβηθῆτε αὐτούς. τὸ γὰρ χρυσίον ὃ περίκεινται εἰς κάλλος, ἐὰν μή τις ἐκμάξῃ τὸν ἰὸν, οὐ μὴ στίλψωσιν. οὐδὲ γὰρ ὅτε ἐχωνεύοντο, ᾐσθάνοντο. ἐκ πάσης τιμῆς ἠγορασμένα ἐστὶν ἐν οἷς, οὐκ ἔστι πνεῦμα. ἄνευ ποδῶν ἐπ' ὤμοις φέρονται ἐνδεικνύμενοι τὴν ἑαυτῶν ἀτιμίαν τοῖς ἀνθρώποις. αἰσχύνονται δὲ καὶ οἱ θεραπεύοντες αὐτά. διὰ τὸ μήποτε ἐπὶ τὴν γῆν πέσῃ. δι' αὐτῶν ἀνίστασθαι. μή τε ἐάν τις αὐτὸ ὀρθὸν στήσῃ δι' ἑαυτοῦ κινηθήσεται. μή τε ἐὰν κλιθῇ, οὐ μὴ ὀρθωθῇ. ἀλλ' ὥσπερ νεκροῖς τὰ δῶρα αὐτοῖς παρατιθέασιν. τὰς δὲ θυσίας αὐτῶν ἀποδόμενοι οἱ ἱερεῖς αὐτῶν καταχρῶνται. ὡσαύτως δὲ καὶ αἱ γυναῖκες ἀπ' αὐτῶν ταριχεύουσιν οὐδενὸς πτωχῷ οὔτε ἀδυνάτῳ μεταδιδόασι. τῶν θυσιῶν αὐτῶν ἀποκαθημένη καὶ λεχὼ ἅπτονται. γνόντες οὖν ἀπὸ τούτων, ὅτι οὐκ εἰσὶ θεοί μὴ φοβηθῆτε αὐτούς. πόθεν γὰρ κληθείησαν θεοί. ὅτι γυναῖκες παρατιθέασι θεοῖς ἀργυροῖς. καὶ χρυσοῖς καὶ ξυλίνοις. καὶ ἐν τοῖς οἴκοις αὐτῶν οἱ ἱερεῖς καθίζουσι. ἔχοντες τοὺς χιτῶνας διερρωγότας. καὶ τὰς κεφαλὰς καὶ τοὺς πώγωνας ἐξυρημένους. ὧν αἱ κεφαλαὶ, ἀκάλυπτοί εἰσιν. ὠρύονται δὲ βοῶντες ἐναντίον τῶν θεῶν αὐτῶν. ὥσπερ τινὲς ἐν περιδείπνῳ νεκροῦ. ἀπὸ τοῦ ἱματισμοῦ αὐτῶν ἀφελόμενοι. οἱ ἱερεῖς ἐνδύσουσι τὰς γυναῖκας αὐτῶν καὶ τὰ παιδία. οὔτε ἐὰν κακὸν πάθωσιν ὑπό τινος, οὔτε ἐὰν ἀγαθὸν δυνήσονται ἀποδοῦναι. οὔτε καταστῆσαι

σαι βασιλέα δύνανται, οὔτε ἀφελέσθαι. ὡσαύτως οὔτε πλοῦτον
οὔτε χαλκὸν, οὐ μὴ δύνωνται δοῦναι. ἐάν τις εὐχὴν αὐτοῖς
εὐξάμενος ἀποδῷ οὐ μὴ ἐπιζητήσωσιν. ἐκ θανάτου ἀνθρώπου
οὐ μὴ ῥύσονται, οὔτε ἥττονα ἀπὸ ἰσχυροῦ μὴ ἐξέλωνται. ἄνθρωπον
τυφλὸν εἰς ὅρασιν οὐ μὴ περιστήσωσιν ἐν ἀνάγκῃ ἄνθρωπον ὄν-
τα οὐ μὴ ἐξέλωνται χήραν. οὐ μὴ ἐλεήσωσιν, οὔτε ὀρφανὸν εὖ
ποιήσωσι. τοῖς ἀπὸ τοῦ ὄρους λίθοις ὁμοιωμένοι εἰσὶ τὰ ξύλινα. καὶ
τὰ περίχρυσα. καὶ τὰ περιάργυρα. οἱ δὲ θεραπεύοντες αὐτὰ
καταισχυνθήσονται. Πῶς οὖν νομιστέον, ἢ κλητέον ὑπάρχειν
αὐτοὺς θεούς. ἔτι δὲ καὶ αὐτῶν τῶν χαλδαίων ἀτιμαζόντων αὐ-
τά. οἱ ὅταν ἴδωσιν ἐννεὸν, μὴ δυνάμενον λαλῆσαι, προσενε-
γκάμενοι τὸν βῆλον, ἀξιοῦσι φωνῆσαι, ὡς δυνατοῦ ὄντος αἰσθέ-
σθαι, καὶ οὐ δύνανται αὐτοὶ νοήσαντες καταλιπεῖν αὐτά. αἴ-
σθησιν γὰρ οὐκ ἔχουσιν. αἱ δὲ γυναῖκες περιθέμεναι σχοι-
νία ἐν ταῖς ὁδοῖς, ἐγκάθηνται, θυμιῶσαι τὰ πίτυρα. ὅταν δέ τις
αὐτῶν ἐφελκυσθεῖσα ὑπό τινος τῶν παραπορευομένων κοιμη-
θῇ, τὴν πλησίον, ὀνειδίζει. ὅτι οὐκ ἠξίωται ὥσπερ καὶ αὐτή. οὔ-
τε τὸ σχοινίον αὐτῆς διεῤῥάγη. πάντα τὰ γινόμενα ἐν αὐτοῖς
ἐστὶ ψευδῆ. πῶς οὖν νομιστέον, ἢ λεκτέον ὥς τε αὐτοὺς θεοὺς ὑ-
πάρχειν; ὑπὸ τεκτόνων καὶ χρυσοχόων κατεσκευασμένα εἰσὶν
οὐθὲν ἄλλο ἢ μὴ γένωνται, ἢ ὃ βούλωνται οἱ τεχνῖται αὐτὰ γενέ-
σθαι. αὐτοί τε οἱ κατασκευάζοντες αὐτὰ, οὐ μὴ γένωνται πο-
λυχρόνιοι; πῶς τε δὴ μέλλει τὰ ὑπ' αὐτῶν κατασκευασθέντα εἶ-
ναι θεοί; κατέλιπον γὰρ ψευδῆ καὶ ὄνειδος τοῖς ἐπιγινομένοις
ὅταν γὰρ ἐπέλθῃ ἐπ' αὐτὰ πόλεμος. καὶ κακὰ βούλονται πρὸς
ἑαυτοὺς οἱ ἱερεῖς, ποῦ συναποκρυβῶσι μετ' αὐτῶν. πῶς οὖν
οὐκ ἔστιν αἰσθέσθαι, ὅτι οὐκ εἰσὶ θεοί. οἱ οὔτε σώζουσιν ἑαυτοὺς
ἐκ πολέμου, οὔτε ἐκ κακῶν. ὑπάρχοντα γὰρ ξύλινα. καὶ περί-
χρυσα καὶ περιάργυρα γνωσθήσεται μετὰ ταῦτα, ὅτι ἐστὶ ψευδῆ
τοῖς ἔθνεσι πᾶσι, τοῖς τε βασιλεῦσι. φανερὸν ἔσται ὅτι οὐκ εἰσὶ θεοί

ἀλλὰ ἔργα χειρῶν ἀνθρώπων, καὶ οὐδὲν θεοῦ ἔργον ἐν αὐτοῖς ἐστι. Τίνι οὖν γνωστὸν ὅτι οὐκ εἰσὶ θεοί; βασιλέα γὰρ χώρας οὐ μὴ ἀναστήσωσιν. οὔτε ὑετὸν ἀνθρώποις οὐ μὴ δώσωσι. κρίσιν τε, οὐ μὴ διακρίνωσιν ἑαυτῶν. οὐδὲ μὴ ῥύσωνται ἀδίκημα. ἀδύνατοι ὄντες. ὥσπερ γὰρ κορῶναι ἀνὰ μέσον τοῦ οὐρανοῦ καὶ τῆς γῆς. καὶ γὰρ ὅταν ἐμπέσῃ εἰς οἰκίαν θεῶν ξυλίνων. ἢ περιχρύσων, ἢ περιαργύρων πῦρ. οἱ μὲν ἱερεῖς αὐτῶν, φεύξονται, καὶ διασωθήσονται. αὐτοὶ δὲ ὥσπερ δοκοὶ μέσοι κατακαυθήσονται. βασιλεῦσι δὲ καὶ πολεμίοις, οὐ μὴ ἀντιστῶσι. πῶς οὖν νομιστέον, ἢ κλητέον, ὅτι εἰσὶ θεοί. οὔτε ἀπὸ κλεπτῶν, οὔτε ἀπὸ λῃστῶν, οὐ μὴ διασωθῶσι. θεοὶ ξύλινοι καὶ περιάργυροι, καὶ περίχρυσοι. ὧν οἱ ἰσχύοντες, περιελόμενοι τὸ χρυσίον. καὶ τὸ ἀργύριον. καὶ τὸν ἱματισμὸν τὸν περικείμενον αὐτοῖς, ἀπελεύσονται ἔχοντες. οὔτε ἑαυτοῖς οὐ μὴ βοηθήσωσιν. ὥστε κρεῖσσον εἶναι βασιλέα ἐπιδεικνύμενον τὴν ἑαυτοῦ ἀνδρείαν. ἢ σκεῦος ἐν οἰκίᾳ χρήσιμον. ἐφ᾽ ᾧ χρήσεται ὁ κεκτημένος, ἢ οἱ ψευδεῖς θεοί. ἢ καὶ θύρα ἐν οἰκίᾳ διασῴζουσα τὰ ἐν αὐτῇ ὄντα. ἢ οἱ ψευδεῖς θεοί. καὶ ξύλινος στῦλος ἐν βασιλείοις, ἢ οἱ ψευδεῖς θεοί. ἥλιος μὲν γὰρ καὶ σελήνη καὶ ἄστρα ὄντα λαμπρὰ, καὶ ἀποστελλόμενα ἐπὶ χρείας, εὐήκοά ἐστιν. ὡσαύτως καὶ ἀστραπή. ὅταν ἐπιφανῇ εὔοπτός ἐστι. τὸ δ᾽ αὐτὸ καὶ πνεῦμα ἐν πάσῃ χώρᾳ πνεῖ, καὶ νεφέλαις ὅταν ἐπιταγῇ ὑπὸ τοῦ θεοῦ πορεύεσθαι ἐφ᾽ ὅλην τὴν οἰκουμένην συντελοῦσι τὸ ταχθέν, τό δὲ πῦρ ἐξαποσταλὲν ἄνωθεν ἐξαναλῶσαι ὄρη καὶ δρυμοὺς ποιεῖ τὸ συνταχθέν. ταῦτα δὲ, οὔτε ταῖς ἰδέαις, οὔτε ταῖς δυνάμεσιν αὐτῶν, ἀφωμοιωμένα ἐστίν. ὅθεν οὔτε νομιστέον, οὔτε κλητέον ὑπάρχειν αὐτοὺς θεούς. οὐ δυνατῶν ὄντων αὐτῶν οὔτε κρίσιν κρῖναι, οὔτε εὖ ποιῆσαι ἀνθρώποις. Γνόντες οὖν ὅτι οὐκ εἰσὶ θεοί, μὴ φοβηθῆτε αὐτούς. οὔτε γὰρ βασιλεῦσιν, οὐ μὴ καταράσωνται. οὔτε μὴ εὐλογήσωσιν σημεῖά τε ἐν ἔθνεσιν καὶ οὐρανῷ, οὐ μὴ δείξωσιν. οὔτε φωτιοῦσιν ὡς ἡ σελήνη. τὰ

θηρία αὐτῶν ἐστὶ κρείττω· ἃ δύναται ἐκφυγόντα εἰς σκέπην ἑαυτὰ ὠφελῆσαι. κατ' οὐδένα οὖν τρόπον ἡμῖν ἐστι φανερὸν, ὅτι εἰσὶ θεοί. διὸ μὴ φοβηθῆτε αὐτούς. ὥσπερ γὰρ ἐν σικυηλάτῳ προβασκάνιον οὐδὲν φυλάσσον, οὕτως οἱ θεοὶ αὐτῶν εἰσὶ ξύλινοι, καὶ περίχρυσοι καὶ περιάργυροι, τὸν αὐτὸν τρόπον καὶ τῇ ἐν κήπῳ ῥάμνῳ, ἐφ' ἧς πᾶν ὄρνεον ἐπικάθηται. ὡσαύτως δὲ καὶ νεκρῷ ἐρριμμένῳ ἐν σκότει. ἀφωμοίωνται οἱ θεοὶ αὐτῶν. ξύλινοι καὶ περίχρυσοι. καὶ περιάργυροι. ἀπό τε τῆς πορφύρας καὶ τῆς μαρμάρου τῆς ἐπ' αὐτοῖς σηπομένης. καὶ τῆς πορφύρας γνώσεσθε ὅτι οὐκ εἰσὶ θεοί. αὐτά τε ἐξ ὑστέρου βρωθήσονται. καὶ ἔσται ὄνειδος ἐν τῇ χώρᾳ. κρεῖσσον οὖν ἄνθρωπος δίκαιος οὐκ ἔχων εἴδωλα. ἔσται γὰρ μακρὰν, ἀπὸ ὀνειδισμοῦ.

Τέλος τῆς ἐπιστολῆς ἱερεμίου.

## ΩΔΗ ΤΡΙΩΝ ΑΓΙΩΝ ΠΑΙΔΩΝ.

Μετὰ τοῦτον, ἐν τῇ τοῦ Δανιὴλ τρίτῃ κεφαλῇ, τοῦτον, Καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν θεὸν, καὶ εὐλογοῦντες τὸν κύριον. τὰ καθεξῆς παρ' ἑβραίοις, οὐκ εἰσί. δηλαδή. Καὶ στάς. ἕως τοῦ. καὶ ναβουχοδονόσορ.

Καὶ στὰς ἀζαρίας, προσηύξατο οὕτως. καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν, εὐλογητὸς εἶ κύριε ὁ θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου, εἰς τοὺς αἰῶνας. ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν. καὶ πάντα τὰ ἔργα σου, ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου. καὶ πᾶσαι αἱ κρίσεις ἀληθεῖς καὶ κρίματα ἀληθείας ἐποίησας. κατὰ πάντα ἃ ἐπήγαγες ἡμῖν. καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν ἰε

ἱερουσαλήμ. ὅτι ἐν ἀληθείᾳ, καὶ κρίσει, ἐπήγαγες ταῦτα πάν-
τα διὰ τὰς ἁμαρτίας ἡμῶν. ὅτι ἡμάρτομεν, καὶ ἠνομήσαμεν ἀ-
ποστάντες ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου
οὐκ ἠκούσαμεν. οὐδὲ συνετηρήσαμεν. οὐδὲ ἐποιήσαμεν. καθ-
ὼς ἐνετείλω ἡμῖν. ἵνα εὖ ἡμῖν γένηται, καὶ πάντα ὅσα ἐπήγα-
γες ἡμῖν. καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐ-
ποίησας. καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων. ἐχθί-
στων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ, καὶ πονηροτάτῳ παρὰ πᾶ-
σαν τὴν γῆν. καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα. αἰσχύ-
νη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου. καὶ τοῖς σεβομέ-
νοις σε. μὴ δὴ παραδῷς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου. καὶ μὴ
διασκεδάσῃς τὴν διαθήκην σου. καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου
ἀφ᾽ ἡμῶν διὰ ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ ἰσαὰκ τὸν
δοῦλόν σου, καὶ ἰσραὴλ τὸν ἅγιόν σου οἷς ἐλάλησας πρὸς αὐτοὺς λέ-
γων πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ. καὶ ὡς
τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. ὅτι δέσποτα ἐ-
σμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη. καὶ ἐσμὲν ταπεινοὶ ἐν πά-
σῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐκ ἔστιν
ἐν τῷ καιρῷ τούτῳ ἄρχων, καὶ προφήτης καὶ ἡγούμενος.
οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία οὐδὲ προσφορά. οὐδὲ θυμία-
μα οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου. καὶ εὑρεῖν ἔλεος, ἀλλ᾽
ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθεί-
ημεν. ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων. καὶ ὡς ἐν μυ-
ριάσιν ἀρνῶν πιόνων οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν
σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου. ὅτι οὐκ ἔσται αἰσχύνη
τοῖς πεποιθόσιν ἐπὶ σοί. καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρ-
δίᾳ. καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου. μὴ καται-
σχύνῃς ἡμᾶς. ἀλλὰ ποίησον μεθ᾽ ἡμῶν, κατὰ τὴν ἐπιείκειάν
σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου. καὶ ἐξελοῦ ἡμᾶς κα-
τὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου κύριε καὶ ἐ-

ἐντραπείησαν πάντες, οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου, κακὰ.
καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυνάμεως, καὶ δυναστείας.
καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν, ὅτι σὺ εἶ κύριος.
ὁ θεὸς μόνος καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην· καὶ οὐ διέ-
λιπον αὐτοὺς οἱ ἐμβάλλοντες ὑπηρέται τοῦ βασιλέως καίον-
τες τὴν κάμινον· νάφθῃ· καὶ πίσσῃ· καὶ στυππείῳ· καὶ κληματί-
δι· καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρά-
κοντα ἐννέα· καὶ διώδευσε καὶ ἐνεπύρισεν· οὓς εὗρε περὶ τὴν
κάμινον τῶν χαλδαίων· ὁ δὲ ἄγγελος κυρίου συγκατέβη ἅμα
τοῖς περὶ τὸν ἀζαρίαν, εἰς τὴν κάμινον· καὶ ἐξετίναξε τὴν φλό-
γα τοῦ πυρὸς, ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμί-
νου· ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ κα-
θόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν· οὐδὲ παρηνώχλησεν αὐτούς.
τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν· καὶ ἐδόξαζον· καὶ εὐ-
λόγουν τὸν θεὸν, ἐν τῇ καμίνῳ λέγοντες· εὐλογητὸς εἶ κύριε ὁ
θεὸς τῶν πατέρων ἡμῶν καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς
αἰῶνας· καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον· καὶ
ὑπεραινετὸν καὶ ὑπερυψούμενον εἰς τοὺς αἰῶνας· εὐλογημένος
εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερυμνητὸς καὶ ὑπερέν-
δοξος εἰς τοὺς αἰῶνας· εὐλογημένος εἶ ὁ βλέπων ἀβύσσους κα-
θήμενος ἐπὶ τῶν χερουβίμ· καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος
εἰς τοὺς αἰῶνας· εὐλογημένος εἶ, ἐπὶ θρόνου δόξης τῆς βασιλεί-
ας σου, καὶ ὑπερυμνητὸς, καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας· εὐλο-
γημένος εἶ, ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ὑπερυμνητὸς καὶ
δεδοξασμένος εἰς τοὺς αἰῶνας· εὐλογεῖτε πάντα τὰ ἔργα κυ-
ρίου τὸν κύριον· ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας·
εὐλογεῖτε οὐρανοὶ τὸν κύριον· ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς
τοὺς αἰῶνας· εὐλογεῖτε ἄγγελοι κυρίου, τὸν κύριον ὑμνεῖτε καὶ ὑ-
περυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας· εὐλογεῖτε ὕδατα πάντα τὰ
ὑπεράνω τοῦ οὐρανοῦ τὸν κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς

τοὺς αἰῶνας. εὐλογεῖτε πᾶσαι αἱ δυνάμεις κυρίου τὸν κύριον.
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε ἥλιος καὶ
σελήνη, τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐ
λογεῖτε τὰ ἄστρα τοῦ οὐρανοῦ τὸν κύριον. ὑμνεῖτε, καὶ ὑπερυψοῦτε
αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος τὸν κύ
ριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε
πάντα τὰ πνεύματα τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πῦρ, καὶ καῦμα τὸν κύριον. ὑμνεῖτε καὶ
ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε δρόσοι καὶ νιφετοὶ
τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε
νύκτες καὶ ἡμέραι τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. εὐλογεῖτε φῶς καὶ σκότος τὸν κύριον. ὑμνεῖ
τε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πάγος
καὶ ψύχος, τὸν κύριον. ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς
αἰῶνας. εὐλογεῖτε πάχναι, καὶ χιόνες τὸν κύριον. ὑμνεῖτε καὶ ὑ
περυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε ἀστραπαὶ νεφέλαι
τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλο
γείτω ἡ γῆ τὸν κύριον ὑμνείτω καὶ ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰ
ῶνας. εὐλογεῖτε ὄρη καὶ βουνοὶ τὸν κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦ
τε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πάντα τὰ φυόμενα, ἐν τῇ
γῇ, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.
εὐλογεῖτε αἱ πηγαὶ τὸν κύριον. ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. εὐλογεῖτε θάλασσα, καὶ ποταμοί, τὸν κύριον
ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε κή
τη καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν κύριον. ὑμνεῖ
τε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πάντα
τὰ πετεινὰ τοῦ οὐρανοῦ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ
τὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πάντα τὰ θηρία καὶ τὰ κτήνη τὸν κύ
ριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖ
τε υἱοὶ τῶν ἀνθρώπων, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐ

τὸν εἰς τοὺς αἰῶνας. εὐλογείτω ἰσραὴλ, τὸν κύριον. ὑμνείτω καὶ
ὑπερυψούτω αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε ἱερεῖς κυρίου τὸν
κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλο-
γεῖτε δοῦλοι κυρίου, τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν
εἰς τοὺς αἰῶνας. εὐλογεῖτε πνεύματα, καὶ ψυχαὶ δικαίων, τὸν
κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖ-
τε ὅσιοι ταπεινοὶ τῇ καρδίᾳ τὸν κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦ-
τε αὐτὸν εἰς τοὺς αἰῶνας. εὐλογεῖτε ἀνανία ἀζαρία μισαὴλ τὸν
κύριον. ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας. ὅτι ἐξεί-
λετο ἡμᾶς ἐξ ᾅδου. καὶ ἔσωσεν ἡμᾶς ἐκ χειρὸς θανάτου. καὶ
ἐρρύσατο ἡμᾶς ἐκ καμίνου μέσου καιομένης φλογὸς, καὶ ἐκ μέ-
σου πυρὸς ἐρρύσατο ἡμᾶς. ἐξομολογεῖσθε τῷ κυρίῳ ὅτι χρηστὸς
ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. εὐλογεῖτε πάντες, οἱ σεβόμε-
νοι τὸν κύριον. τὸν θεὸν τῶν θεῶν. ὑμνεῖτε, καὶ ἐξομολογεῖσθε ὅτι
εἰς πάντας τοὺς αἰῶνας τὸ ἔλεος αὐτοῦ.

## ΕΛΕΓΧΟΣ ΕΣΔΡΑ.

α Καὶ ἤγαγεν ἰωσίας τὸ πάσχα.
β Καὶ ἐδωρήσατο ἰωσίας τῷ λαῷ.
γ Καὶ ἔδωκε χελκίας καὶ ζαχαρίας.
δ Καὶ ἰεχονίας. καὶ σαμαίας.
ε Καὶ τούτων γινομένων εὐπρεπῶς.
ϛ Καὶ ὤπτησαν τὸ πάσχα.
ζ Μετὰ δὲ ταῦτα ἡτοίμασαν ἑαυτοῖς.
η Καὶ οἱ ἱεροψάλται οἱ υἱοὶ ἀσαφῶν.
θ Καὶ ἀσὰφ καὶ ζαχαρίας.
ι Καὶ οἱ πυλωροί.
ια Καὶ συνετελέσθη τὰ τῆς θυσίας
ιβ Καὶ ἤγαγον οἱ υἱοὶ ἰσραήλ. οἱ εὑρεθέντες ἐν τῷ καιρῷ
ἐκείνῳ τὸ πάσχα.
ιγ Κατωρθώθη τὰ ἔργα ἰωσίου ἐν τῷ τοῦ κυρίου αὐτοῦ.
ιδ Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν ἰωάχαζ τὸν υἱὸν ἰωσίου

ιε Καὶ ἀνέδειξεν ὁ βασιλεὺς Αἰγύπτου τὸν βασιλέα Ἰωακεὶμ
τὸν ἀδελφὸν αὐτοῦ.
ις Καὶ ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ Ἰωακεὶμ υἱὸς αὐτοῦ.
ιζ Καὶ μετ᾽ ἐνιαυτὸν ἀποστείλας Ναβουχοδονόσορ μετήγαγεν
εἰς Βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ κυρίου καὶ ἀνέ-
δειξε Σεδεκίαν βασιλέα.
ιη Καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ καὶ τῶν ἱερέων.
ιθ Βασιλεύοντος Κύρου Περσῶν ἔτους πρώτου.
κ Καὶ κατεστάθησαν οἱ ἀρχίφυλοι.
κα Καὶ βασιλεὺς Δαρεῖος ἐποίησε δοχὴν μεγάλην.
κβ Καὶ ὁ εἷς ἔγραψεν ὑπερισχύει ὁ οἶνος.
κγ Ὁ δεύτερος ἔγραψεν ὑπερισχύει ὁ βασιλεύς.
κδ Ὁ δὲ ἄλλος ἔγραψεν ὑπερισχύουσιν αἱ γυναῖκες καὶ ἡ
ἀλήθεια.
κε Καὶ ἤρξατο ὁ πρῶτος εἰπεῖν περὶ τῆς ἰσχύος τοῦ οἴνου.
κς Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν περὶ τῆς ἰσχύος τοῦ βα-
σιλέως.
κζ Ὁ δὲ τρίτος ὁ εἰπὼν περὶ τῶν γυναικῶν, καὶ τῆς ἀλη-
θείας, οὗτός ἐστι Ζοροβάβελ.
κη Καὶ τότε ὁ βασιλεύς, καὶ οἱ μεγιστᾶνες ἐνέβλεπον ἕτε-
ρος πρὸς τὸν ἕτερον.
κθ Καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας.
λ Καὶ ἐσιώπησε τοῦ λαλεῖν.
λα Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ αἴτησαι ὃ θέλεις.
λβ Τότε εἶπε τῷ καταμνησθῆναι τὴν εὐχὴν ἣν ηὔξατο.
λγ Τότε ἀναστὰς Δαρεῖος ὁ βασιλεύς.
λδ Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος.
λε Καὶ ἔλαβον τὰς ἐπιστολάς.
λς Μετὰ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴκων πα-
τριῶν κατὰ φυλὰς αὐτῶν.

λζ Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀναβαινόντων.
λη Εἰσὶ δὲ οὗτοι ἐκ τῆς ἰουδαίας ἀναβάντες.
λθ Υἱοὶ φόρος.
μ Οἱ δὲ λευῖται υἱοὶ ἰησοῦ. καὶ καδμινά.
μα Υἱοὶ παίδων σολομῶν.
μβ Πάντες οἱ ἱερόδουλοι
μγ Οἱ δὲ πάντες ἦσαν ἰσραὴλ ἀπὸ δωδεκαετοῦς χωρὶς παίδων.
μδ Καὶ καταστὰς ἰησοῦς ὁ τοῦ ἰωσεδέκ.
με Καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν.
μϛ Καὶ ἤγαγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτήν.
μζ Καὶ ὅσοι ἂν ηὔξαντο εὐχὴν τῷ θεῷ.
μη Καὶ τῷ δευτέρῳ ἔτει παραγινόμενος εἰς τὸ ἱερὸν τοῦ θεοῦ.
μθ Ἀκούσαντες δὲ οἱ ἐχθροὶ τῆς φυλῆς ἰούδα.
ν Καὶ προσελθόντες τῷ ζοροβάβελ καὶ ἰησοῦ.
να Καὶ εἶπεν αὐτοῖς ζοροβάβελ.
νβ Τὰ δὲ ἔθνη τῆς γῆς ἐπικοιμώμενα τοῖς ἐν τῇ ἰουδαίᾳ.
νγ Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς δαρείου βασιλείας.
νδ Τότε στὰς ζοροβάβελ
νε Ἐν αὐτῷ τῷ καιρῷ παρῆν πρὸς αὐτοὺς σισίννης.
νϛ Ἀντίγραφον ἐπιστολῆς ἧς ἔγραψεν δαρείῳ καὶ ἀπέστειλε σισίννης.
νζ Τότε ὁ βασιλεὺς δαρεῖος προσέταξεν.
νη Τότε σισίννης ἔπαρχος.
νθ Καὶ εὐόδως ἐγένετο τὰ ἱερὰ ἔργα.
ξ Καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραὴλ καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται.
ξα Καὶ ἤγαγοσαν οἱ υἱοὶ ἰσραὴλ τῶν τῆς αἰχμαλωσίας τὸ πάσχα.
ξβ Καὶ κατέφαγον τὸν ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας.

ξγ Καὶ μεταγενέστερος τούτων ἐπὶ βασιλεύοντος ἀρταξέρξου κατὰ περσῶν.

ξδ Καὶ συνανέβησαν ἐκ τῶν υἱῶν ἰσραήλ.

ξε Εἶπεν ἔσδρας ὁ γραμματεύς.

ξς Οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν.

ξζ Ηὐξάμην ἐκεῖ νηστείαν.

ξη Εχώρισα τῶν φυλάρχων τῶν ἱερέων. ἄνδρας δώδεκα

ξθ Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ θερα.

ο Οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας.

οα Καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως.

οβ Καὶ τούτων τελεσθέντων προσῆλθον οἱ ἡγούμενοι.

ογ Καὶ ἐγένετο ἅμα τοῦ ἀκοῦσαί με.

οδ Καὶ ἐπισυνήχθησαν πρός με ὅσοι ποτ᾽ ἐπεκινοῦντο
τῷ ῥήματι κυρίου θεοῦ ἰσραήλ.

οε Καὶ ἐκτείνας πρὸς τὸν θεὸν τὰς χεῖρας ἔλεγε.

ος Αναστὰς ἔσδρας ὥρκισε τοὺς φυλάρχους.

οζ Αναστὰς ἔσδρας ἀπὸ τῆς πύλης.

οη Καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ ἰουδαίᾳ.

οθ Καὶ ἐπισυνήχθησαν πάντες.

π Αναστὰς ἔσδρας εἶπεν αὐτοῖς, ὑμεῖς ἠνομήσατε.

πα Καὶ ἐφώνησαν ἅπαν τὸ πλῆθος.

πβ Ιώναθας ζωήλου.

πγ Καὶ ἐπελέξατο αὐτῷ ἔσδρας ὁ ἱερεὺς

πδ Καὶ εὑρέθησαν ἐκ τῶν ἐπισυναχθέντων ἱερέων. ἀλλογενεῖς γυναῖκας ἔχοντες.

πε Καὶ ἐκ τῶν υἱῶν ἐμμήρ.

πς Καὶ ἐκ τῶν υἱῶν φανοῦ.

πζ Καὶ ἐκ τῶν υἱῶν λευί.

πη Καὶ ἐκ τῶν ἱεροψαλτῶν.

πθ Εκ τῶν θυρωρῶν.

ϟ Ἐκ τῶν υἱῶν φόρος

ϟα Ἐκ τῶν υἱῶν ἠλᾶ.

ϟβ Ἐκ τῶν υἱῶν ζαμὸρ

ϟγ Ἐκ τῶν υἱῶν βηβαΐ.

ϟδ Ἐκ τῶν υἱῶν μαναθ

ϟε Ἐκ τῶν υἱῶν ἀδδεΐ.

ϟς Ἐκ τῶν υἱῶν ἀνάρ.

ϟζ Ἐκ τῶν υἱῶν ἀσσομ

ϟη Ἐκ τῶν υἱῶν βαάννα.

ϟθ Ἐκ τῶν υἱῶν ἐζώρας

ρ Ἐκ τῶν υἱῶν ὀθμαί.

ρα Καὶ κατῴκησαν οἱ ἱερεῖς.

ρβ Καὶ συνήχθησαν ὁμοθυμαδὸν πᾶν τὸ πλῆθος.

ργ Ἐκόσμησεν ἔσδρας ὁ ἀρχιερεὺς τὸν νόμον.

ρδ Καὶ ἀνεγίνωσκεν αὐτὸν πρὸ τοῦ ἱεροῦ πυλῶνος.

ρε Καὶ ἔστη ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης.

ρς Καὶ ἄραντος ἄνω τὰς χεῖρας, προσπεσόντος ἐπὶ τὴν γῆν προσεκύνησαν τὸν κύριον ἰησοῦς καὶ ἄννας καὶ σαραβίας.

ρζ Καὶ εἶπεν ἀτθαράτης ἔσδρᾳ τῷ ἱερεῖ, καὶ ἀναγνώστῃ.

ρη Καὶ οἱ λευῖται ἐκέλευον.

ρθ Καὶ ᾤχοντο πάντες φαγεῖν.

# ΕΣΔΡΑΣ.

Κεφάλαιον. α.

α
Καὶ ἤγαγεν Ἰωσίας τὸ πάσχα ἐν Ἱερου-
σαλὴμ τῷ κυρίῳ αὐτοῦ, καὶ ἔθυσε τὸ
πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ
τοῦ μηνὸς τοῦ πρώτου στήσας τοὺς ἱερεῖς
κατ᾽ ἐφημερίας ἐστολισμένους ἐν τῷ ἱ-
ερῷ τοῦ κυρίου καὶ εἶπε τοῖς λευίταις ἱεροδούλοις τοῦ ἰσραήλ.
ἁγιάσαι ἑαυτοὺς τῷ κυρίῳ ἐν τῇ θέσει τῆς ἁγίας κιβωτοῦ τοῦ
κυρίου. ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησε σαλομῶν ὁ υἱὸς τοῦ δαβὶδ
ὁ βασιλεύς. οὐκ ἔσται ὑμῖν ἄραι ἐπ᾽ ὤμων αὐτήν. καὶ νῦν λα-
τρεύετε κυρίῳ τῷ θεῷ ἡμῶν. καὶ θεραπεύετε τὸ ἔθνος αὐτοῦ
ἰσραήλ. καὶ ἑτοιμάσατε κατὰ τὰς πατριὰς καὶ τὰς φυλὰς ὑ-
μῶν κατὰ τὴν γραφὴν δαβὶδ βασιλέως ἰσραήλ. καὶ κατὰ τὴν
μεγαλειότητα σολομῶν τοῦ υἱοῦ αὐτοῦ. καὶ στάντες ἐν τῷ ἱερῷ
κατὰ τὴν μεριδαρχίαν τὴν πατρικὴν ὑμῶν τῶν λευιτῶν τῶν
ἔμπροσθεν τῶν ἀδελφῶν ὑμῶν υἱῶν ἰσραήλ. ἐν τάξει θυσιάσα-
τε τὸ πάσχα. καὶ τὰς θυσίας ἑτοιμάσατε τοῖς ἀδελφοῖς ὑμῶν.
καὶ ποιήσατε τὸ πάσχα κατὰ τὸ πρόσταγμα κυρίου δοθὲν τῷ
μωϋσῇ.

β Καὶ ἐδωρήσατο Ἰωσίας τῷ λαῷ εὑρεθέντι ἀρνῶν καὶ
ἐρίφων τριάκοντα χιλιάδας. μόσχους τρισχιλίους. ταῦτα ἐκ τῶν
βασιλικῶν ἐδόθη κατ᾽ ἐπαγγελίαν τῷ λαῷ. καὶ τοῖς ἱερεῦσι
καὶ τοῖς λευίταις.

γ. καὶ

γ'. Καὶ ἔδωκε χελκίας· καὶ ζαχαρίας καὶ συῆλος οἱ ἐ-
πιστάται τοῦ ἱεροῦ τοῖς ἱερεῦσιν εἰς πάσχα· πρόβατα δισχίλια
ἑξακόσια μόσχους τριακοσίους.
δ'. Καὶ ἰεχονίας καὶ σαμαίας· καὶ ναθαναὴλ ὁ ἀδελφός.
καὶ σαβίας· καὶ ὀχιῆλος· καὶ ἰωρὰμ χιλίαρχοι ἔδωκαν, τοῖς
λευίταις εἰς πάσχα πρόβατα πεντακισχίλια, μόσχους ἑπτακο-
σίους.
ε'. Καὶ τούτων γενομένων, εὐπρεπῶς ἔστησαν οἱ ἱερεῖς καὶ
οἱ λευῖται ἔχοντες τὰ ἄζυμα κατὰ τὰς φυλὰς καὶ κατὰ τὰς με-
ριδαρχίας τῶν πατέρων ἔμπροσθεν τοῦ λαοῦ προσενεγκεῖν τῷ
κυρίῳ κατὰ τὰ γεγραμμένα ἐν βιβλίῳ μωϋσῆ καὶ οὕτως τὸ
πρωϊνόν.
ς'. Καὶ ὤπτησαν τὸ πάσχα πυρί, ὡς καθήκει· καὶ τὰς θυ-
σίας ἥψησαν ἐν τοῖς χαλκείοις, καὶ λέβησι μετ' εὐωδίας· καὶ ἀ-
πήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ.
ζ'. Μετὰ δὲ ταῦτα ἡτοίμασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦ-
σιν ἀδελφοῖς ἑαυτῶν υἱοῖς ἀαρών, οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέ-
ατα ἕως ἀωρίας· καὶ οἱ λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱε-
ρεῦσιν ἀδελφοῖς αὐτῶν υἱοῖς ἀαρών.
η'. Καὶ οἱ ἱεροψάλται υἱοὶ ἀσὰφ ἦσαν ἐπὶ τῆς τάξεως αὐ-
τῶν· κατὰ τὰ ὑπὸ δαβὶδ τεταγμένα.
θ'. Καὶ ἀσὰφ καὶ ἀζαχαρίας καὶ ἐδδινὸς ὁ παρὰ τοῦ βασιλέως.
ι'. Καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶνος οὐκ ἔστι παρα-
βῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν· οἱ γὰρ ἀδελφοὶ αὐτῶν οἱ
λευῖται ἡτοίμασαν ἑαυτοῖς.
ια'. Καὶ συνετελέσθη τὰ τῆς θυσίας τοῦ κυρίου· ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ ἀχθῆναι τὸ πάσχα καὶ προσενεχθῆναι τὰς θυσίας
ἐπὶ τὸ τοῦ θεοῦ θυσιαστήριον· κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως
ἰωσίου.
ιβ'. Καὶ ἤγαγον· οἱ υἱοὶ ἰσραὴλ οἱ εὑρεθέντες ἐν τῷ και-

ρῷ τούτῳ, τὸ πάσχα καὶ τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. καὶ οὐκ ἤχθη πάσχα τοιοῦτο ἐν τῷ ἰσραὴλ ἀπὸ τῶν χρόνων σαμουὴλ τοῦ προφήτου. καὶ πάντες οἱ βασιλεῖς τοῦ ἰσραὴλ, οὐκ ἠγάγοσαν πάσχα τοιοῦτον, οἷον ἤγαγεν ἰωσίας καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖται. καὶ οἱ ἰουδαῖοι. καὶ πᾶς ἰσραὴλ. οἱ εὑρεθέντες ἐν τῇ κατοικήσει αὐτῶν ἐν ἱερουσαλήμ. ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος ἰωσίου ἤχθη τὸ πάσχα τοῦτο.

ιγ' Καὶ ὠρθώθη τὰ ἔργα ἰωσίου ἐνώπιον τοῦ κυρίου αὐτοῦ. ἐν καρδίᾳ πλήρει εὐσεβείας. καὶ τὰ κατ' αὐτὸν δὲ ἀναγέγραπται ἐν τοῖς ἔμπροσθεν χρόνοις περὶ τῶν ἡμαρτηκότων καὶ ἠσεβηκότων πρὸς τὸν κύριον. παρὰ πᾶν ἔθνος καὶ βασιλείαν. καὶ ἃ ἐλύπησαν αὐτὸν ἐν αἰσθήσει. καὶ οἱ λόγοι τοῦ κυρίου ἀνέστησαν ἐπὶ ἰσραὴλ, καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην ἰωσίου συνέβη φαραὼ βασιλέα αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν καρχαμὺς ἐπὶ τοῦ εὐφράτου. καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ ἰωσίας. καὶ διεπέμψατο πρὸς αὐτὸν βασιλεὺς αἰγύπτου λέγων. τί ἐμοὶ καὶ σοί ἐστι βασιλεῦ τῆς ἰουδαίας. οὐχὶ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ κυ τοῦ θεοῦ. ἐπὶ γὰρ τοῦ εὐφράτου ὁ πόλεμός μού ἐστι. καὶ νῦν κύριος μετ' ἐμοῦ ἐστί. καὶ κύριος μετ' ἐμοῦ ἐπισπεύδων ἐστίν. ἀπόστηθι ἀπ' ἐμοῦ. καὶ μὴ ἐναντιοῦ τῷ κυρίῳ. καὶ οὐκ ἀπέστρεψεν ἑαυτὸν ἰωσίας ἐπὶ τὸ ἅρμα ἑαυτοῦ. ἀλλὰ πολεμεῖν αὐτὸν ἐπιχειρεῖ. οὐ προσέχων ῥήμασιν ἱερεμίου τοῦ προφήτου, ἐκ στόματος κυρίου. ἀλλὰ συνεστήσατο πρὸς αὐτὸν πόλεμον ἐν τῷ πεδίῳ μεγεδδοῦς. καὶ κατέβησαν οἱ ἄρχοντες πρὸς τὸν βασιλέα ἰωσίαν. καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν ἑαυτοῦ ἀποστήσατέ με ἀπὸ τῆς μάχης, ἠσθένησα γὰρ λίαν. καὶ εὐθέως ἀπέστησαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἀπὸ τῆς παρατάξεως. καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα τὸ δεύτερον ἑαυτοῦ. καὶ ἀποκατασταθεὶς εἰς ἱερουσαλὴμ, μετήλλαξε τὸν βίον ἑαυτοῦ. καὶ ἐτάφη ἐν τῷ πατρικῷ τάφῳ. καὶ ἐν ὅλῃ τῇ ἰουδαίᾳ ἐπένθησαν τὸν ἰωσίαν, καὶ ἐθρήνη-

σεν ἱερεμίας ὁ προφήτης ὑπὲρ ἰωσίου. καὶ οἱ προκαθήμενοι σὺν γυναιξὶν ἐθρήνουσαν αὐτὸν ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐξεδόθη τοῦτο γίνεσθαι ἀεὶ εἰς ἅπαν τὸ γένος ἰσραήλ. ταῦτα δὲ ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν ἱστορουμένων περὶ τῶν βασιλέων τῆς ἰουδαίας. καὶ τὸ καθ᾿ ἓν πραχθὲν τῆς πράξεως ἰωσίου. καὶ τῆς δόξης αὐτοῦ. καὶ τῆς συνέσεως αὐτοῦ ἐν τῷ νόμῳ κυρίου τά δὲ προπραχθέντα ὑπ᾿ αὐτοῦ. καὶ τὰ νῦν ἱστόρηται ἐν τῇ βίβλῳ τῶν βασιλέων ἰσραὴλ καὶ ἰούδα.

λδ΄. Καὶ ἀναλαβόντες οἱ ἐκ τοῦ ἔθνους τὸν ἰωάχαζ υἱὸν ἰωσίου, ἀνέδειξαν βασιλέα ἀντὶ ἰωσίου τοῦ πατρὸς αὐτοῦ ὄντα ἐτῶν εἴκοσι τριῶν. καὶ ἐβασίλευσεν ἐν ἰούδα, καὶ ἐν ἱερουσαλὴμ μῆνας τρεῖς. καὶ ἀπεκατέστησεν αὐτὸν βασιλεὺς αἰγύπτου τοῦ μὴ βασιλεύειν ἐν ἱερουσαλήμ. καὶ ἐζημίωσε τὸ ἔθνος ἀργυρίου ταλάντοις ἑκατόν. καὶ χρυσίῳ ταλάντῳ ἑνί.

λε΄. Καὶ ἀνέδειξε βασιλεὺς αἰγύπτου βασιλέα ἰωακεὶμ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα τῆς ἰουδαίας καὶ ἱερουσαλήμ. καὶ ἔδησεν ἰωακεὶμ τοὺς μεγιστᾶνας ζαράκην δὲ τὸν ἀδελφὸν αὐτοῦ συλλαβὼν ἀνήγαγεν ἐξ αἰγύπτου. ἐτῶν δὲ ἦν εἰκοσιπέντε ἰωακείμ, ὅτε ἐβασίλευσεν τῆς ἰουδαίας καὶ ἱερουσαλήμ. καὶ ἐποίησε τὸ πονηρὸν ἐναντίον κυρίου ἐπ᾿ αὐτὸν δὲ ἀνέβη ναβουχοδονόσορ ὁ βασιλεὺς βαβυλῶνος. καὶ δήσας αὐτὸν ἐν χαλκείῳ δεσμῷ ἀπήγαγεν εἰς βαβυλῶνα. καὶ ἀπὸ τῶν ἱερῶν σκευῶν τοῦ κυρίου λαβὼν ναβουχοδονόσορ καὶ ἀπενέγκας ἀπηρείσατο ἐν βαβυλῶνι ἐν τῷ ναῷ αὐτοῦ. τὰ δὲ ἱστορηθέντα περὶ αὐτοῦ. καὶ τῆς ἀκαθαρσίας αὐτοῦ. καὶ δυσφημίας ἀναγέγραπται ἐν τῇ βίβλῳ τῶν χρόνων τῶν βασιλέων.

λϛ΄ Καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ, ἰωακεὶμ υἱὸς αὐτοῦ ὅτε γὰρ ἀνεδείχθη, ἦν ἐτῶν δεκαοκτώ. βασιλεύει δὲ μῆνας τρεῖς καὶ ἡμέρας δέκα ἐν ἱερουσαλὴμ καὶ ἐποίησε τὸ πονηρὸν ἔναντι κυρίου.

ιζ΄ Καὶ μετ' ἐνιαυτὸν ἀποστείλας ναβουχοδονόσορ, μετή-
γαγεν αὐτὸν εἰς βαβυλῶνα ἅμα τοῖς ἱεροῖς σκεύεσι τοῦ κυρίου.
καὶ ἀνέδειξε σεδεκίαν βασιλέα τῆς ἰουδαίας, καὶ ἱερουσαλήμ. ὄντα ἐτῶν εἴκο-
σι καὶ ἑνὸς, ἐβασίλευσε δὲ ἔτη ἕνδεκα. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώ-
πιον κυρίου. καὶ οὐκ ἐνετράπη ἀπὸ τῶν ῥηθέντων λόγων ὑπὸ ἱερεμίου τοῦ
προφήτου ἐκ στόματος τοῦ κυρίου. καὶ ὁρκισθεὶς ἀπὸ τοῦ βασιλέως ναβου-
χοδονόσορ τῷ ὀνόματι κυρίου ἐπιορκήσας ἀπέστη. καὶ σκληρύνας
ἑαυτῆς τὸν τράχηλον, καὶ τὴν καρδίαν ἑαυτοῦ παρέβη τὰ νόμιμα
κυρίου θεοῦ ἰσραήλ.
ιη΄ Καὶ οἱ ἡγούμενοι δὲ τοῦ λαοῦ. καὶ τῶν ἱερέων πολ-
λὰ ἠνόμησαν καὶ παρέβησαν ὑπὲρ πάσας τὰς ἀκαθαρσίας πάν-
των τῶν ἐθνῶν καὶ ἐμίαναν τὸ ἱερὸν κυρίου τὸ ἁγιασθὲν ἐν ἱ-
ερουσαλήμ. καὶ ἀπέστειλεν ὁ θεὸς τῶν πατέρων αὐτῶν διὰ τοῦ
ἀγγέλου ἑαυτοῦ μετακαλέσαι αὐτοὺς καθότι ἐφείδετο αὐτῶν.
καὶ τοῦ σκηνώματος ἑαυτοῦ. αὐτοὶ δὲ ἐξεμυκτήριζον τοὺς ἀγ-
γέλους αὐτοῦ. καὶ ᾗ ἡμέρᾳ ἐλάλησε κύριος ἦσαν ἐμπαίζον-
τες τοὺς προφήτας αὐτοῦ, ἕως τοῦ θυμωθέντα αὐτὸν ἐπὶ τῷ ἔ-
θνει αὐτοῦ διὰ τὰ δυσσεβήματα προστάξαι ἀναβιβάσαι ἐπ' αὐ-
τοὺς τοὺς βασιλεῖς τῶν χαλδαίων. οὗτοι ἀπέκτειναν τοὺς νεανί-
σκους αὐτῶν ἐν ῥομφαίᾳ περικύκλῳ τοῦ ἁγίου αὐτῶν ἱεροῦ. καὶ
οὐκ ἐφείσαντο νεανίσκου, καὶ παρθένου καὶ πρεσβυτέρου καὶ νε-
ωτέρου αὐτῶν, ἀλλὰ πάντας παρέδωκεν εἰς τὰς χεῖρας αὐτῶν
καὶ πάντα τὰ ἱερὰ σκεύη τοῦ κυρίου τὰ μεγάλα καὶ τὰ μικρά.
καὶ τὰ σκεύη κιβωτοῦ τοῦ θεοῦ. καὶ τὰς βασιλικὰς ἀποθήκας
ἀναλαβόντες ἀπήνεγκαν εἰς βαβυλῶνα. καὶ ἐνεπύρισαν τὸν
οἶκον τοῦ κυρίου, καὶ ἔλυσαν τὰ τείχη ἱερουσαλήμ. καὶ τοὺς
πύργους αὐτῶν ἐνεπύρισαν ἐν πυρί. καὶ συνετέλεσαν πάντα
τὰ ἔνδοξα αὐτῆς, ἀχρειῶσαι καὶ τοὺς ἐπιλοίπους ἀπήγαγεν ἀ-
πὸ ῥομφαίας εἰς βαβυλῶνα. καὶ ἦσαν παῖδες αὐτῷ. καὶ τοῖς υἱ-
οῖς αὐτοῦ. μέχρι τοῦ βασιλεῦσαι πέρσας, εἰς ἀναπλήρωσιν λό-

γου κυρίου ἐν στόματι ἱερεμίου ἕως τοῦ εὐδοκῆσαι τὴν γῆν τὰ σάβ-
βατα αὐτῆς, πάντα τὸν χρόνον τῆς ἐρημώσεως αὐτῆς σαββα-
τιεῖ, εἰς πλήρωσιν ἐτῶν ἑβδομήκοντα.

Κεφάλαιον. β. 3.

ιθ. Βασιλεύοντος κύρου περσῶν ἔτους πρώτου εἰς συν-
τέλειαν ῥήματος κυρίου ἐν στόματι ἱερεμίου, ἤγειρε κύριος τὸ
πνεῦμα κύρου βασιλέως περσῶν, καὶ ἐκήρυξεν ἐν ὅλῃ τῇ βα-
σιλείᾳ αὐτοῦ. καὶ ἅμα διὰ γραπτῶν λέγων. τάδε λέγει ὁ βα-
σιλεὺς περσῶν κῦρος ἐμὲ ἀνέδειξε βασιλέα τῆς οἰκουμένης ὁ
κύριος τοῦ ἰσραήλ, κύριος ὁ ὕψιστος. καὶ ἐσήμανέ μοι οἰκοδομῆ-
σαι αὐτῷ οἶκον ἐν ἱερουσαλήμ, τῇ ἐν τῇ ἰουδαίᾳ. εἴ τίς ἐστιν οὖν
ὑμῶν ἐκ τοῦ ἔθνους αὐτοῦ, ἔστω ὁ κύριος κύριος αὐτοῦ μετ' αὐ-
τοῦ. καὶ ἀναβὰς εἰς ἱερουσαλὴμ τὴν ἐν τῇ ἰουδαίᾳ οἰκοδομείτω τὸν
οἶκον κυρίου τοῦ ἰσραήλ. οὗτος ὁ κύριος, ὁ κατασκηνώσας ἐν ἱερου-
σαλήμ. ὅσοι οὖν κατὰ τόπους οἰκοῦσι. βοηθείτωσαν αὐτῷ. οἱ
ἐν τῷ τόπῳ αὐτοῦ ἐν χρυσίῳ καὶ ἐν ἀργυρίῳ. ἐν δόσεσι μεθ' ἵπ-
πων καὶ κτηνῶν σὺν τοῖς ἄλλοις τοῖς κατ' εὐχὰς προστεθειμένοις εἰς
τὸ ἱερὸν τοῦ κυρίου τὸ ἐν ἱερουσαλήμ.

κ. Καὶ καταστάντες οἱ ἀρχίφυλοι τῶν πατριῶν τῆς ἰού-
δα. καὶ βενιαμὶν φυλῆς. καὶ οἱ ἱερεῖς. καὶ οἱ λευῖται καὶ πάν-
τες ὧν ἤγειρε κύριος τὸ πνεῦμα ἀναβῆναι οἰκοδομῆσαι οἶ-
κον τῷ κυρίῳ τὸν ἐν ἱερουσαλήμ. καὶ περὶ κύκλῳ αὐτῶν ἐβοή-
θησαν ἐν πᾶσιν ἀργυρίῳ καὶ χρυσίῳ, ἵπποις καὶ κτήνεσι καὶ
εὐχαῖς πλείσταις πολλῶν, ὧν ὁ νοῦς ἠγέρθη. καὶ ὁ βασιλεὺς κῦ-
ρος ἐξήνεγκε τὰ ἱερὰ σκεύη τοῦ κυρίου ἃ μετήνεγκε ναβουχο-
δονόσορ ἐξ ἱερουσαλήμ. καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ ἑαυτοῦ εἰ-
δωλείῳ. ἐξενέγκας δὲ αὐτὰ κῦρος ὁ βασιλεὺς περσῶν παρέ-
δωκεν αὐτὰ μιθριδάτῃ τῷ ἑαυτοῦ γαζοφύλακι. διὰ δὲ τούτου πα-
ρεδόθησαν ἀβασσάρῳ προστάτῃ τῆς ἰουδαίας. ὁ δὲ τούτων ἀρι-
θμὸς ἦν. σπονδεῖα χρυσᾶ χίλια. καὶ σπονδεῖα ἀργυρᾶ χίλια.

θυΐσκαι ἀργυραῖ εἴκοσι ἐννέα φιάλαι χρυσαῖ τριάκοντα. ἀργυ-
ραῖ δισχίλιαι τετρακόσιαι δέκα. καὶ ἄλλα σκεύη χίλια. τὰ δὲ
πάντα σκεύη διεκομίσθη χρυσᾶ καὶ ἀργυρᾶ πεντακισχίλια
τετρακόσια ἑξήκοντα ἐννέα ἀνηνέχθη δὲ ὑπὸ σαννᾶβασσάρου
ἅμα τοῖς ἐκ τῆς αἰχμαλωσίας ἐκ βαβυλῶνος εἰς ἱεροσόλυμα
ἐν δὲ τοῖς ἐπὶ ἀρταξέρξου τῶν περσῶν βασιλέως χρόνοις κα-
τέγραψαν αὐτῷ κατὰ τῶν κατοικούντων ἐν τῇ ἰουδαίᾳ, καὶ
ἱερουσαλήμ. βήλεμος καὶ μιθριδάτης. καὶ ταβέλλιος καὶ
ῥάθυμος καὶ βεέλτεθμος. καὶ σεμέλλιος ὁ γραμματεύς, καὶ
οἱ λοιποὶ οἱ τούτοις συντασσόμενοι οἰκοῦντες δὲ ἐν σαμαρείᾳ καὶ
τοῖς ἄλλοις τόποις τὴν ὑπογεγραμμένην ἐπιστολὴν βασιλεῖ ἀρ-
ταξέρξῃ κυρίῳ, οἱ παῖδές σου ῥάθυμος ὁ τὰ προσπίπτοντα καὶ
σεμέλλιος ὁ γραμματεύς, καὶ οἱ ἐπίλοιποι τῆς βουλῆς αὐτῶν.
καὶ κριταὶ οἱ ἐν κοίλῃ συρίᾳ, καὶ φοινίκῃ. καὶ νῦν γνωστὸν ἔστω
τῷ κυρίῳ τῷ βασιλεῖ. διότι οἱ ἰουδαῖοι ἀναβάντες παρ᾽ ὑμῶν
πρὸς ἡμᾶς ἐλθόντες εἰς ἱερουσαλὴμ τὴν πόλιν τὴν ἀποστάτιν
καὶ πονηράν. οἰκοδομοῦσι τάς τε ἀγορὰς, καὶ τὰ τείχη αὐτῆς θε-
ραπεύουσι, καὶ ναὸν ὑποβάλλονται. ἐὰν οὖν ἡ πόλις αὕτη οἰκο-
δομηθῇ, καὶ τὰ τείχη συντελεσθῇ φορολογίαν οὐ μὴ ὑπομείνω-
σι δοῦναι, ἀλλὰ καὶ βασιλεῦσιν ἀντιστήσονται. καὶ ἐπεὶ ἐνερ-
γεῖται τὰ κατὰ τὸν ναὸν καλῶς ἔχειν ὑπολαμβάνομεν μὴ ὑπερι-
δεῖν τὸ τοιοῦτο ἀλλὰ προσφωνῆσαι τῷ κυρίῳ ἡμῶν βασιλεῖ ὅ-
πως ἂν φαίνηταί σοι ἐπισκεφθῇ. ἐν τοῖς ἀπὸ τῶν πατέρων
σου βιβλίοις. καὶ εὑρήσεις ἐν τοῖς ὑπομνήμασι γεγραμμένα περὶ
τούτων, καὶ γνώσῃ ὅτι ἡ πόλις ἐκείνη ἦν ἀποστάτις. καὶ βασι-
λεῖς. καὶ πόλεις ἐνοχλοῦσα. καὶ οἱ ἰουδαῖοι ἀποστάται καὶ πολυ-
ορκίας συνιστάμενοι ἐν αὐτῇ ἔτι ἐξ αἰῶνος. δι᾽ ἣν αἰτίαν καὶ
ἡ πόλις αὕτη ἠρημώθη. νῦν οὖν ὑποδείκνυμέν σοι κύριε βασιλεῦ
διότι ἐὰν ἡ πόλις αὕτη ἀνοικοδομηθῇ, καὶ τὰ ταύτης τείχη ἀ-
νασταθῇ. κάθοδός σοι οὐκ ἔτι σοι ἔσται εἰς κοίλην συρίας, καὶ φοινίκην

τότε ἀντίγραφον ὁ βασιλεὺς ῥαθύμῳ τῷ γράφοντι τὰ προσπί-
πτοντα καὶ βεελτεέμῳ καὶ σαμελλίῳ γραμματεῖ. καὶ τοῖς λοιποῖς
τοῖς συντασσομένοις. καὶ οἰκοῦσιν ἐν τῇ σαμαρίᾳ. καὶ συρίᾳ
καὶ φοινίκῃ τὰ ὑποτεταγμένα. ἀνέγνων τὴν ἐπιστολὴν ἣν πε-
πόμφατε πρός με. ἐπέταξα οὖν ἐπισκέψασθαι. καὶ εὑρέθη ὅτι
ἡ πόλις ἐκείνη ἐστὶν ἐξ αἰῶνος βασιλεῦσιν ἀντιπράσσουσα καὶ
οἱ ἄνθρωποι, ἀποστάσεις καὶ πολέμους ἐν αὐτῇ συντελοῦντες
καὶ βασιλεῖς ἰσχυροὶ καὶ σκληροὶ ἦσαν ἐν ἱερουσαλὴμ κυριεύον-
τες καὶ φορολογοῦντες κοίλην καὶ συρίαν καὶ φοινίκην. νῦν οὖν
ἐπέταξα ἀποκωλῦσαι τοὺς ἀνθρώπους ἐκείνους τοῦ οἰκοδομῆ-
σαι τὴν πόλιν καὶ προνοηθῆναι. ὅπως μηδὲν παρὰ ταῦτα γέ-
νηται. καὶ μὴ προβῇ ἐπὶ πλεῖον τὰ τῆς κακίας ἐπὶ τῷ βασιλεῖς
ἐνοχλεῖσθαι. τότε ἀναγνωσθέντων τῶν παρὰ τοῦ βασιλέως ἀρ-
ταξέρξου γραφέντων ῥάθυμος καὶ σεμέλλιος ὁ γραμματεὺς
καὶ οἱ τούτοις συντασσόμενοι ἀναζεύξαντες εἰς ἱερουσαλὴμ
κατὰ σπουδὴν μεθ' ἵππου, καὶ ὄχλου παρατάξεως ἤρξαντο κω-
λύειν τοὺς οἰκοδομοῦντας, καὶ ἤργει ἡ οἰκοδομὴ τοῦ ἱεροῦ.
τοῦ ἐν ἱερουσαλὴμ, μέχρι τοῦ δευτέρου ἔτους τῆς βασιλείας
δαρείου τοῦ περσῶν βασιλέως.

Κεφάλαιον γ.

καὶ Αἱ βασιλεὺς δαρεῖος ἐποίησε δοχὴν μεγά-
κ λην πᾶσι τοῖς ὑπ' αὐτὸν καὶ πᾶσι τοῖς οἰκογενοῦ-
σιν αὐτοῦ. καὶ πᾶσι τοῖς μεγιστᾶσι τῆς μηδείας, καὶ τῆς
περσίδος. καὶ πᾶσι τοῖς σατράπαις καὶ στρατηγοῖς καὶ τοπάρχαις
τοῖς μετ' αὐτόν. ἀπὸ τῆς ἰνδικῆς μέχρι τῆς αἰθιοπίας ἐν ταῖς ἑ-
κατὸν εἰκοσιεπτὰ σατραπείαις. καὶ ὅτε ἔφαγον καὶ ἔπιον καὶ ἐμ-
πλησθέντες ἀνέλυσαν. τότε δαρεῖος ὁ βασιλεὺς ἀνέλυσεν, εἰς
τὸν κοιτῶνα ἑαυτοῦ. καὶ ἐκοιμήθη καὶ ἔξυπνος ἐγένετο. τότε οἱ
τρεῖς νεανίσκοι οἱ σωματοφύλακες οἱ φυλάσσοντες τὸ σῶμα τοῦ
βασιλέως, εἶπον ἕτερος τῷ ἑτέρῳ. εἴπωμεν ἕκαστος ἡμῶν ἕνα λό-

γον. ὃς ὑπερισχύσει, καὶ οὗ ἐὰν φανῇ τὸ ῥῆμα αὐτοῦ σοφώτερον
τοῦ ἑτέρου, δώσει αὐτῷ δαρεῖος ὁ βασιλεὺς δωρεὰς μεγάλας,
καὶ ἐπινίκια μεγάλα. καὶ πορφύραν περιβαλέσθαι. καὶ ἐν χρυσώ-
μασι πίνειν. καὶ ἐπὶ χρυσῷ καθεύδειν, καὶ ἅρμα χρυσοχάλι-
νον. καὶ κίδαριν βυσσίνην. καὶ μανιάκην περὶ τὸν τράχηλον καὶ
δεύτερος καθιεῖται δαρείου διὰ τὴν σοφίαν αὐτοῦ. καὶ συγγε-
νὴς δαρείου κληθήσεται. καὶ τότε γράψαντες ἕκαστος τὸν ἑαυτοῦ λό-
γον, ἐσφράγισαν. καὶ ἔθηκαν ὑπὸ τὸ προσκεφάλαιον δαρείου τοῦ
βασιλέως καὶ εἶπον. ὅταν ἂν ἐγερθῇ ὁ βασιλεὺς, δώσουσιν αὐ-
τῷ τὸ γράμμα. καὶ ὃν ἂν κρίνῃ ὁ βασιλεὺς καὶ οἱ τρεῖς μεγιστᾶνες
τῆς περσίδος, ὅτι ὁ λόγος αὐτοῦ σοφώτερος αὐτῷ δοθήσεται
τὸ νίκημα καθὼς γέγραπται.

κβ΄ Ο εἷς ἔγραψεν ὑπερισχύει ὁ οἶνος.

κγ΄ Ο ἕτερος ἔγραψεν ὑπερισχύει ὁ βασιλεύς.

κδ΄ Ο ἄλλος ἔγραψεν, ὑπερισχύουσιν αἱ γυναῖκες ὑ-
πὲρ δὲ πάντα νικᾷ ἡ ἀλήθεια. Καὶ ὅτε ἐξηγέρθη ὁ βασιλεὺς λα-
βόντες τὰ γράμματα ἐπέδωκαν αὐτῷ καὶ ἀνέγνω καὶ ἀποστεί-
λας ἐκάλεσε πάντας τοὺς μεγιστᾶνας τῆς περσίδος καὶ τῆς μη-
δείας. καὶ σατράπας καὶ στρατηγοὺς. καὶ ἐπάρχας καὶ ὑπάτους καὶ
ἐκάθισεν ἐν τῷ χρηματιστηρίῳ, καὶ ἀνεγνώσθη τὸ γράμμα ἐνώ-
πιον αὐτῶν. καὶ εἶπε καλέσατε τοὺς νεανίσκους, καὶ αὐτοὶ δηλώσου-
σι τοὺς λόγους ἑαυτῶν. καὶ ἐκλήθησαν καὶ εἰσήλθοσαν καὶ εἶπον
αὐτοῖς ἀπαγγείλατε ἡμῖν περὶ τῶν γεγραμμένων.

κε΄ Καὶ ἤρξατο ὁ πρῶτος ὁ εἴπας περὶ τῆς ἰσχύος τοῦ οἴνου
καὶ ἔφη οὕτως. ἄνδρες, πῶς ὑπερισχύει ὁ οἶνος; πάντας τοὺς ἀν-
θρώπους τοὺς πίνοντας αὐτὸν πλανᾷ, τὴν διάνοιαν τοῦ τε βασιλέ-
ως καὶ τοῦ ὀρφανοῦ ποιεῖ τὴν διάνοιαν μίαν τήν τε τοῦ οἰκέτου καὶ
τὴν τοῦ ἐλευθέρου. τὴν τοῦ τε πένητος καὶ τὴν τοῦ πλουσίου. καὶ
πᾶσαν διάνοιαν μεταστρέφει εἰς εὐωχίαν καὶ εὐφροσύνην, καὶ οὐ

μέμνηται πᾶσαν λύπην καὶ πᾶν ὀφείλημα. καὶ πάσας τὰς καρδίας ποιεῖ πλουσίας καὶ οὐ μέμνηται βασιλέα οὐδὲ σατράπην. καὶ πάντα διὰ ταλάντων ποιεῖ λαλεῖν. καὶ οὐ μέμνηται ὅταν πίνωσιν φιλιάζειν φίλοις καὶ ἀδελφοῖς. καὶ μετ' οὐ πολὺ σπῶνται τὰς μαχαίρας καὶ ὅταν ἀπὸ τοῦ οἴνου γενηθῶσιν οὐ μέμνηται, ἃ ἔπραξαν. ὦ ἄνδρες οὐχ ὑπερισχύει ὁ οἶνος ὃς οὕτως ἀναγκάζειν ποιεῖν; καὶ ἐσίγησεν οὕτως εἰπών.

Κεφάλαιον δ'. 4.

Καὶ ἤρξατο ὁ δεύτερος λαλεῖν ὁ εἴπων περὶ τῆς ἰσχύος τοῦ βασιλέως. ὦ ἄνδρες. οὐχ ὑπερισχύουσιν οἱ ἄνθρωποι τὴν γῆν. καὶ τὴν θάλασσαν κρατοῦντες καὶ πάντα τὰ ἐν αὐτοῖς, ὁ δὲ βασιλεὺς ὑπερισχύει. καὶ κυριεύει πάντων, καὶ δεσπόζει αὐτῶν. καὶ πᾶν ὃ ἂν εἴπῃ αὐτοῖς ποιοῦσιν. ἐὰν εἴπῃ αὐτοῖς ποιῆσαι πόλεμον ἕτερος πρὸς τὸν ἕτερον, ποιοῦσιν. ἐὰν δὲ ἐξαποστείλῃ αὐτοὺς πρὸς τοὺς πολεμίους βαδίζουσι, καὶ κατεργάζονται τὰ ὄρη καὶ τὰ τείχη, καὶ τοὺς πύργους. φονεύουσι καὶ φονεύονται. καὶ τὸν λόγον τοῦ βασιλέως οὐ παραβαίνουσιν. ἐὰν δὲ νικήσωσι, τῷ βασιλεῖ κομίζουσι πάντα. καὶ ὅσα ἐὰν προνομεύσωσι, καὶ τὰ ἄλλα πάντα. καὶ ὅσοι οὐ στρατεύονται οὐδὲ πολεμοῦσιν ἀλλὰ γεωργοῦσι τὴν γῆν. πάλιν ὅταν σπείρωσι θερίσαντες ἀναφέρουσι τῷ βασιλεῖ. καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέρουσι τοὺς φόρους τῷ βασιλεῖ. καὶ αὐτὸς εἷς μόνος ἐστίν. ἐὰν εἴπῃ ἀποκτεῖναι ἀποκτείνουσιν. ἐὰν εἴπῃ ἀφεῖναι ἀφίουσιν. εἶπεν πατάξαι, τύπτουσιν. εἶπεν ἐρημῶσαι ἐρημοῦσιν. εἶπεν οἰκοδομῆσαι οἰκοδομοῦσιν. εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν. εἶπε φυτεῦσαι, φυτεύουσι, καὶ πᾶς ὁ λαὸς αὐτοῦ. καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσι. πρὸς δὲ τούτοις, αὐτὸς ἀνάκειται. ἐσθίει καὶ πίνει καὶ καθεύδει. οὗτοι δὲ τηροῦσι περὶ αὐτὸν κύκλῳ. καὶ οὐ δύναται ἕκαστος ἀπελθεῖν, καὶ ποιῆσαι τὰ ἔργα αὐτοῦ, οὐδὲ

παρακούουσιν αὐτοῦ. ὦ ἄνδρες πῶς οὐχ ὑπερισχύει ὁ βασιλεὺς ὅτι οὕτως ἐπάκουστός ἐστι. καὶ ἐσίγησεν.

κγ' Ὁ δὲ τρίτος ὁ εἰπὼν περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας οὗτός ἐστι Ζοροβάβελ. ἤρξατο λαλεῖν, ὦ ἄνδρες, οὐ μέγας ὁ βασιλεύς, καὶ πολλοὶ οἱ ἄνθρωποι. καὶ ὁ οἶνος ἰσχύει; τί οὖν ὁ δεσπόζων αὐτῶν. ἢ τίς ὁ κυριεύων αὐτῶν. οὐχ αἱ γυναῖκες; γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαὸν ὃς κυριεύει τῆς θαλάσσης καὶ τῆς γῆς, καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται ἐξέθρεψαν αὐτοὺς τοὺς φυτεύοντας τοὺς ἀμπελῶνας ἐξ ὧν ὁ οἶνος γίνεται. καὶ αὗται ποιοῦσι τὰς στολὰς τῶν ἀνθρώπων. καὶ αὗται ποιοῦσι δόξαν τοῖς ἀνθρώποις καὶ οὐ δύνανται οἱ ἄνθρωποι χωρὶς τῶν γυναικῶν εἶναι. ἐὰν δὲ συναγάγωσι χρυσίον καὶ ἀργύριον καὶ πᾶν πρᾶγμα ὡραῖον, οὐχὶ ἀγαπῶσι γυναῖκα μίαν καλὴν τῷ εἴδει, καὶ τῷ κάλλει. καὶ ταῦτα πάντα ἀφέντες εἰς αὐτὴν ἐκέχηναν. καὶ χάσκοντες τὸ στόμα θεωροῦσιν αὐτήν. καὶ πάντες αὐτὴν αἱρετίζουσιν μᾶλλον, ἢ τὸ χρυσίον καὶ τὸ ἀργύριον, καὶ πᾶν πρᾶγμα ὡραῖον; ἄνθρωπος τὸν ἑαυτοῦ πατέρα ἐγκαταλείπει ὃς ἐξέθρεψεν αὐτὸν καὶ τὴν ἰδίαν χώραν καὶ πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται. καὶ μετὰ τῆς γυναικὸς ἀφίησι τὴν ψυχήν, καὶ οὔτε τὸν πατέρα μέμνηται, οὔτε τὴν μητέρα, οὔτε τὴν χώραν. καὶ ἐντεῦθεν ὑμᾶς γνῶναι, ὅτι αἱ γυναῖκες κυριεύουσιν ὑμῶν. οὐχὶ πονεῖτε καὶ μοχθεῖτε καὶ πάντα ταῖς γυναιξὶ δίδοτε καὶ φέρετε. καὶ λαμβάνει ὁ ἄνθρωπος τὴν ῥομφαίαν ἑαυτοῦ καὶ ἐκπορεύεται εἰς ἐξόδους ληστεύειν καὶ κλέπτειν καὶ ἐπὶ τὴν θάλασσαν πλεῖν καὶ ποταμούς, καὶ τὸν λέοντα θεωρεῖ καὶ ἐν σκότει βαδίζει. καὶ ὅταν κλέψῃ καὶ ἁρπάσῃ καὶ λωποδυτήσῃ. τῇ ἐρωμένῃ ἀποφέρει, καὶ πλεῖον ἀγαπᾷ ἄνθρωπος τὴν ἰδίαν γυναῖκα μᾶλλον, ἢ τὸν πατέρα, καὶ τὴν μητέρα. καὶ πολλοὶ ἀπενοήθησαν ταῖς ἰδίαις διὰ τὰς γυναῖκας. καὶ δοῦλοι ἐγένοντο δι' αὐτὰς καὶ πολλοὶ ἀπώλοντο. καὶ ἐσφάλησαν καὶ ἡμάρτοσαν διὰ τὰς γυναῖκας. καὶ νῦν οὐ πιστεύετέ μοι. οὐχὶ μέγας

ὁ βασιλεὺς τῇ ἐξουσίᾳ αὐτοῦ; οὐχὶ πᾶσαι αἱ χῶραι εὐλαβοῦν-
ται ἅψασθαι αὐτοῦ, ἐθεώρουν αὐτὸν καὶ Ἀπάμην τὴν θυγατέρα
Βαρτάκου τοῦ θαυμαστοῦ τὴν παλλακὴν τοῦ βασιλέως καθημέ-
νην ἐν δεξιᾷ τοῦ βασιλέως, καὶ ἀφαιροῦσαν τὸ διάδημα ἀπὸ τῆς κε-
φαλῆς τοῦ βασιλέως καὶ ἐπιτιθοῦσαν ἑαυτῇ, καὶ ἐρράπιζε τὸν βασιλέα
τῇ ἀριστερᾷ. καὶ πρὸς τούτοις ὁ βασιλεὺς χάσκων τὸ στόμα ἐθεώρει
αὐτὴν, καὶ ἐὰν προσγελάσῃ αὐτῷ, γελᾷ, ἐὰν δὲ πικρανθῇ ἐπ'
αὐτὸν, κολακεύει αὐτὴν ὅπως διαλλαγῇ αὐτῷ. ὦ ἄνδρες πῶς
οὐχὶ ἰσχυραὶ αἱ γυναῖκες, ὅτι οὕτως πράσσουσι.
κή Καὶ τότε ὁ βασιλεὺς καὶ οἱ μεγιστᾶνες ἔβλεπον ἕτε-
ρος πρὸς τὸν ἕτερον.
κθ Καὶ ἤρξατο λαλεῖν περὶ τῆς ἀληθείας. ἄνδρες, οὐχὶ ἰσχυ-
ραὶ αἱ γυναῖκες, μεγάλη ἡ γῆ. καὶ ὑψηλὸς ὁ οὐρανὸς, καὶ ταχὺς
τῷ δρόμῳ ὁ ἥλιος, ὅτι στρέφεται ἐν τῷ κύκλῳ τοῦ οὐρανοῦ. καὶ πά-
λιν ἀποτρέχει εἰς τὸν ἑαυτοῦ τόπον ἐν μιᾷ ἡμέρᾳ, οὐχὶ μέγας ὃς
ταῦτα ποιεῖ; καὶ ἡ ἀλήθεια μεγάλη καὶ ἰσχυροτέρα παρὰ πάντα.
πᾶσα ἡ γῆ τὴν ἀλήθειαν καλεῖ. καὶ οὐρανὸς αὐτὴν εὐλογεῖ, καὶ
πάντα τὰ ἔργα, σείεται καὶ τρέμει, καὶ οὐκ ἔστι μετ' αὐτῆς ἄδι-
κον οὐδέν. ἄδικος ὁ οἶνος. ἄδικος ὁ βασιλεὺς, ἄδικοι αἱ γυ-
ναῖκες, ἄδικοι πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων. καὶ ἄδικα πάντα
τὰ ἔργα αὐτῶν τὰ τοιαῦτα, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἀλήθεια. καὶ ἐν
τῇ ἀδικίᾳ ἑαυτῶν ἀπολοῦνται, ἡ δὲ ἀλήθεια μένει καὶ ἰσχύει εἰς
τὸν αἰῶνα καὶ ζῇ καὶ κρατεῖ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ οὐκ ἔστι
παρ' αὐτῇ λαμβάνειν πρόσωπα οὐδὲ διάφορα, ἀλλὰ τὰ δίκαι-
α ποιεῖ ἀπὸ πάντων τῶν ἀδίκων καὶ πονηρῶν ἀπέχεται. καὶ πάν-
τες εὐδοκοῦσι τοῖς ἔργοις αὐτῆς. καὶ οὐκ ἔστιν ἐν τῇ κρίσει αὐτῆς οὐ-
δὲν ἄδικον καὶ αὕτη καὶ ἰσχὺς καὶ τὸ βασίλειον καὶ ἡ ἐξουσία καὶ ἡ
μεγαλειότης τῶν πάντων αἰώνων, εὐλογητὸς ὁ θεὸς τῆς ἀληθείας.
λ Καὶ ἐσιώπησε τοῦ λαλεῖν. Καὶ πᾶς ὁ λαὸς τότε ἐ-
φώνησε.

λα' Καὶ τότε εἶπε, μεγάλη ἡ ἀλήθεια, καὶ ὑπερισχύει.
Τότε ὁ βασιλεὺς εἶπεν αὐτῷ, αἴτησαι ὅ, θέλεις πλείω τῶν γε-
γραμμένων καὶ δώσομέν σοι, ἀνθ᾽ ὧν εὑρέθης σοφώτερος, καὶ
ἐχόμενός μου καθίσῃ καὶ συγγενής μου κληθήσῃ.

λβ' Τότε εἶπε τῷ βασιλεῖ μνήσθητι τὴν εὐχὴν, ἣν ηὔξω
οἰκοδομῆσαι τὴν Ἱερουσαλὴμ ἐν τῇ ἡμέρᾳ ᾗ τὸ βασίλειόν σου
παρέλαβες, καὶ πάντα τὰ σκεύη τὰ ληφθέντα ἐξ Ἱερουσαλὴμ
ἐκπέμψαι, ἃ ἐξεχώρισε Κῦρος ὅτε ηὔξατο ἐκκόψαι Βαβυλῶνα
καὶ ηὔξατο ἐξαποστεῖλαι ἐκεῖ. καὶ σὺ ηὔξω οἰκοδομῆσαι τὸν ναὸν
ὃν ἐνεπύρισαν οἱ Ἰδουμαῖοι ὅτε ἠρημώθη ἡ Ἰουδαία ὑπὸ τῶν
Χαλδαίων, καὶ νῦν τοῦτό ἐστιν ὅ, σε ἀξιῶ κύριε βασιλεῦ καὶ ὃ
αἰτοῦμαί σε. καὶ αὕτη ἐστὶν ἡ μεγαλωσύνη ἡ παρὰ σοῦ. δέομαι
οὖν ἵνα ποιήσας τὴν εὐχὴν ἣν ηὔξω τῷ βασιλεῖ τοῦ οὐρανοῦ
ποιῆσαι ἐκ στόματός σου.

λγ' Τότε ἀναστὰς Δαρεῖος ὁ βασιλεὺς κατεφίλησεν αὐ-
τὸν. καὶ ἔγραψεν αὐτῷ τὰς ἐπιστολὰς πρὸς πάντας τοὺς οἰκο-
νόμους καὶ τοπάρχας καὶ στρατηγοὺς, καὶ σατράπας. ἵνα προ-
πέμψωσιν αὐτὸν. καὶ τοὺς μετ᾽ αὐτοῦ πάντας ἀναβαίνοντας
οἰκοδομῆσαι τὴν Ἱερουσαλήμ. καὶ πᾶσι τοῖς ἐπάρχοις ἐν κοί-
λῃ Συρίᾳ, καὶ Φοινίκῃ, καὶ τοῖς ἐν τῷ Λιβάνῳ ἔγραψεν ἐπιστο-
λὰς μεταφέρειν ξύλα κέδρινα ἀπὸ τοῦ Λιβάνου εἰς Ἱερουσαλήμ.
καὶ ὅπως οἰκοδομήσωσι μετ᾽ αὐτοῦ τὴν πόλιν, καὶ ἔγραψε πᾶ-
σι τοῖς Ἰουδαίοις τοῖς ἀναβαίνουσιν ἀπὸ τῆς βασιλείας εἰς τὴν
Ἰουδαίαν ὑπὲρ τῆς ἐλευθερίας πάντα δυνατὸν καὶ τοπάρχην
καὶ σατράπην. καὶ οἰκονόμον μὴ ἐπελεύσεσθαι ἐπὶ τὰς θύρας
αὐτῶν. καὶ πᾶσαν τὴν χώραν ἣν κρατοῦσιν, ἀφορολόγητον αὐ-
τοῖς ὑπάρχειν καὶ ἵνα οἱ Ἰδουμαῖοι ἀφίουσι τὰς κώμας ἃς δια-
κρατοῦσι τῶν Ἰουδαίων. καὶ εἰς τὴν οἰκοδομὴν τοῦ ἱεροῦ δο-
θῆναι κατ᾽ ἐνιαυτὸν τάλαντα εἴκοσι μέχρι τοῦ οἰκοδομηθῆναι
καὶ ἐπὶ τὸ θυσιαστήριον ὁλοκαυτώματα καρποῦσθαι καθ᾽ ἡμέραν

καθὰ ἔχουσιν ἐντολὴν ἑπτακαίδεκα προσφέρειν ἄλλα τάλαντα κατ' ἐνιαυτὸν δέκα καὶ πᾶσι τοῖς προβαίνουσιν ἀπὸ τῆς βαβυλωνίας κτίσαι τὴν πόλιν ὑπάρχειν τὴν ἐλευθερίαν αὐτοῖς τε καὶ τοῖς ἐκγόνοις αὐτῶν· καὶ πᾶσι τοῖς ἱερεῦσι τοῖς προβαίνουσιν. ἔγραψε δὲ καὶ τὴν χορηγίαν καὶ τὴν ἱερατικὴν στολὴν ἐν τίνι λατρεύσουσιν ἐν αὐτῇ καὶ τοῖς λευίταις ἔγραψε δοῦναι τὴν χορηγίαν, ἕως τοῦ τελεσθῆναι τὸν οἶκον· καὶ ἱερουσαλὴμ οἰκοδομηθῆναι. καὶ πᾶσι τοῖς φρουροῦσι τὴν πόλιν ἔγραψε δοῦναι αὐτοῖς κλήρους καὶ ὀψώνια. καὶ ἐξαπέστειλε πάντα τὰ σκεύη ἃ ἐξεχώρησε κῦρος ἀπὸ βαβυλῶνος. καὶ πάντα ὅσα εἶπε κῦρος ποιῆσαι καὶ αὐτὸς ἐπέταξε ποιῆσαι καὶ ἐξαποστεῖλαι εἰς ἱερουσαλήμ.

λδ' Καὶ ὅτε ἐξῆλθεν ὁ νεανίσκος, ἄρας τὸ πρόσωπον εἰς τὸν οὐρανὸν ἐναντίον ἱερουσαλὴμ εὐλόγησε τὸν βασιλέα τοῦ οὐρανοῦ λέγων· παρὰ σοῦ ἡ νίκη· καὶ παρὰ σοῦ ἡ σοφία· καὶ σὴ ἡ δόξα, καὶ ἐγώ, σὸς οἰκέτης. εὐλογητὸς εἶ, ὃς ἔδωκάς μοι σοφίαν· καὶ σοὶ ὁμολογῶ δέσποτα τῶν πατέρων.

λε' Καὶ ἔλαβε τὰς ἐπιστολὰς καὶ ἐξῆλθε, καὶ ἦλθεν εἰς βαβυλῶνα καὶ ἀπήγγειλε τοῖς ἀδελφοῖς αὐτοῦ πᾶσι. καὶ εὐλόγησαν τὸν θεὸν τῶν πατέρων, αὐτῶν. ὅτι ἔδωκεν αὐτοῖς ἄφεσιν, καὶ ἄνεσιν ἀναβῆναι καὶ οἰκοδομῆσαι ἱερουσαλήμ, καὶ τὸ ἱερὸν οὗ ὠνομάσθη τὸ ὄνομα αὐτοῦ ἐπ' αὐτῷ. καὶ ἐκωθωνίζοντο μετὰ μουσικῶν καὶ χαρᾶς ἡμέρας ἑπτά.

## Κεφάλαιον ε. ϛ.

λϛ' Μετὰ δὲ ταῦτα ἐξελέγησαν ἀναβῆναι ἀρχηγοὶ οἴ-
μ κων πατριῶν· κατὰ φυλὰς αὐτῶν καὶ αἱ γυναῖ-
κες αὐτῶν, καὶ οἱ υἱοὶ καὶ αἱ θυγατέρες αὐτῶν· καὶ οἱ παῖδες αὐτῶν, καὶ αἱ παιδίσκαι αὐτῶν καὶ τὰ κτήνη αὐτῶν. καὶ δαρεῖος συναπέστειλε μετ' αὐτῶν ἱππεῖς χιλίους ἕως τοῦ ἀποκαταστῆσαι αὐτοὺς εἰς ἱερουσαλὴμ μετ' εἰρήνης, καὶ

μετὰ μουσικῶν τυμπάνων, καὶ αὐλῶν, καὶ πάντες οἱ ἀδελφοὶ αὐτῶν παίζοντες, καὶ ἐποίησεν αὐτοὺς συναναβῆναι μετ᾿ ἐκείνων.

λζ Καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν τῶν ἀναβαινόντων κατὰ πατριὰς αὐτῶν εἰς τὰς φυλὰς ἐπὶ τὴν μεριδαρχίαν αὐτῶν. οἱ ἱερεῖς οἱ υἱοὶ Φινεὲς υἱοῦ ἀαρών. ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ τοῦ σαραίου. καὶ ἰωακεὶμ ὁ τοῦ ζοροβάβελ τοῦ σαλαθιὴλ ἐκ τοῦ οἴκου δαβὶδ ἐκ τῆς γενεᾶς φαρές. φυλῆς δὲ ἰούδα. ὃς ἐλάλησεν ἐπὶ δαρείου τοῦ βασιλέως περσῶν, λόγους σοφοὺς ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας αὐτοῦ μηνὶ νισὰν τοῦ πρώτου μηνός.

λη Εἰσὶ δὲ οὗτοι ἐκ τῆς ἰουδαίας οἱ ἀναβάντες ἐκ τῆς αἰχμαλωσίας τῆς παροικίας οὓς μετῴκισεν ναβουχοδονόσορ βασιλεὺς βαβυλῶνος εἰς βαβυλῶνα καὶ ἐπέστρεψαν εἰς ἱερουσαλὴμ καὶ τὴν λοιπὴν ἰουδαίαν ἕκαστος εἰς τὴν ἰδίαν πόλιν οἱ ἐλθόντες μετὰ ζοροβάβελ καὶ ἰησοῦ νεεμίου. ζαχαρίου. ῥησαίου ἐνηνίου μαρδοχαίου. βεελσάρου. ἀσφαράσου. ῥεελίου. ῥοΐμου βαανὰ τῶν προηγουμένων αὐτῶν ἀριθμὸς τῶν ἀπὸ τοῦ ἔθνους, καὶ οἱ προηγούμενοι αὐτῶν.

λθ Υἱοὶ φόρος δύο χιλιάδες καὶ ἑκατὸν ἑβδομήκοντα δύο. υἱοὶ σαφὰτ τετρακόσιοι ἑβδομήκοντα δύο. υἱοὶ ἀρὲς ἑπτακόσιοι πεντηκονταέξ. υἱοὶ φααθμωάβ, δισχίλιοι ὀκτακόσιοι δέκα δύο. υἱοὶ ἠλάμ. χίλιοι διακόσιοι πεντήκοντα τέσσαρες υἱοὶ ζαθουί, ἐννακόσιοι τεσσαράκοντα πέντε. υἱοὶ χορβὲ ἑπτακόσιοι πέντε. υἱοὶ βανὶ ἑξακόσιοι τεσσαράκοντα ὀκτώ, υἱοὶ βηβαὶ ἑξακόσιοι εἴκοσι τρεῖς. υἱοὶ σαδὰς τρισχίλιοι. σκβ. οἱ υἱοὶ ἀδωνικὰν ἑξακόσιοι ἑξήκοντα ἑπτά. υἱοὶ βαγοὶ δισχίλιοι ἑξήκοντα ἕξ υἱοὶ ἀδινοῦ, τετρακόσιοι πεντήκοντα τέσσαρες, υἱοὶ ἀτηρεζεκίου ἐνενήκοντα δύο, υἱοὶ κειλὰν, καὶ ἀζητὰς ξζ΄. υἱοὶ ἀζουρὰν τετρακόσιοι τριάκοντα δύο. υἱοὶ ἀνανίας, ρ΄. εἷς. υἱοὶ ἀρώμ, υἱοὶ βασσαὶ τκγ΄. υἱοὶ ἀρσιφουρίθ. ρβ΄. υἱοὶ μετήρους τρισχίλιοι πέντε. υἱοὶ ἐκ βεθλωμὼν. ρκγ΄. οἱ ἐκ νετωφὰς, νε΄. οἱ ἐξ ἀναβώθ. ρνη΄. οἱ ἐκ βεθσαμὼς, μβ΄. οἱ ἐκ καριαθιάριος. κε΄, οἱ ἐκ καφιρὰς, καὶ βηρὼθ ἑπτακό-

σιοι μγ'. οἱ ἐκ πίρας ἑπτακόσιοι. οἱ χαδίας καὶ ἀμμίδιοι υκβ'.
οἱ ἐκ κιραμὰ, καὶ γάββης ἑξακόσιοι κα'. οἱ ἐκ μακαλῶν· ρκβ'. οἱ
ἐκ βητωλίῳ, νβ'. υἱοὶ νήφις ἑκατὸν πεντήκοντα ἕξ, υἱοὶ καλαμω
λάλου καὶ ὠνοὺς, ψκε'. υἱοὶ ἱερεχού. τμε'. υἱοὶ σαναὰς τρισχίλιοι τρια
κόσιοι τριάκοντα. οἱ ἱερεῖς οἱ υἱοὶ ἰεδδοὺ τοῦ υἱοῦ ἰησοῦ εἰς τοὺς υἱοὺς
σανασίβ. ἐννακόσιοι. οβ'. υἱοὶ ἐκ μηροὺθ χίλιοι πεντήκοντα δύο
υἱοὶ φασσαρὸν χίλιοι μζ'. υἱοὶ καρμὴ αιζ'.

μ' Οἱ δὲ λευῖται οἱ υἱοὶ ἰησοῦ. καὶ καδμιήλου. καὶ βάννου. καὶ
σουΐου, ἑβδομήκοντα τέσσαρες. υἱοὶ ἱεροψάλται. υἱοὶ ἀσάφ. ρμη'.
οἱ θυρωροὶ υἱοὶ σαλούμ. υἱοὶ ἰατὰλ, υἱοὶ τολμὰν, υἱοὶ δακουβί. υἱ
οἱ τητὰ υἱοὶ σαμί. οἱ πάντες. ἑκατὸν τριάκοντα θ'. οἱ ἱερόδουλοι. υἱ
οἱ ἡσαῦ. υἱοὶ ἀσιφὰ. υἱοὶ ταβαὼθ, υἱοὶ κηράς. υἱοὶ σουδ. υἱοὶ φα
λέου. υἱοὶ λαβανὰ, υἱοὶ ἀγγαβὰ, υἱοὶ ἀκουά. υἱοὶ οὐτὰ, υἱοὶ κητὰβ.
υἱοὶ ἀγαβά. υἱοὶ συβαΐ. υἱοὶ ἀνάν. υἱοὶ καθουὰ, υἱοὶ γεδδούρ. υἱ
οἱ ἀΐρου, υἱοὶ δαισὰν, υἱοὶ νοήβα. υἱοὶ χασεβὰ, υἱοὶ γαζηρά. υἱοὶ
ἀζίου, υἱοὶ φινοὲς, υἱοὶ ἀσαρά. υἱοὶ βασθαΐ. υἱοὶ ἀσανὰ, υἱοὶ μεανὶ,
υἱοὶ ναφισί. υἱοὶ ἀκοὺβ. υἱοὶ ἀκιφά. υἱοὶ ἀσούρ. υἱοὶ φαρακίμ. υἱοὶ
βασαλώθ. υἱοὶ μεεδδά. υἱοὶ κουθά. υἱοὶ χορέα. υἱοὶ χαρκούς. υἱοὶ
ἀσηράρ. υἱοὶ θομοί. υἱοὶ νασίθ. υἱοὶ ἀτιφά.

μα' Υἱοὶ παίδων σαλομὼν, υἱοὶ ἀσσαφιὼν, υἱοὶ φαειρά. υἱ
οἱ ἰεηλί. υἱοὶ λοζών. υἱοὶ ἰσδαήλ. υἱοὶ σαφυθ. υἱοὶ ἀγία. υἱοὶ φαχ
ερέθ. υἱοὶ σαβιή. υἱοὶ σαρωθιέ. υἱοὶ μασίας. υἱοὶ γάρ. υἱοὶ ἀδδοὺς
υἱοὶ σουβάς. υἱοὶ ἀφερρά. υἱοὶ βαρωδίς. υἱοὶ σαβάτ. υἱοὶ ἀλλώμ.

μβ' Πάντες ἱερόδουλοι, καὶ οἱ υἱοὶ τῶν παίδων σαλομὼν τρια
κόσιοι ἑβδομήκοντα δύο. οὗτοι οἱ ἀναβάντες ἀπὸ θερμελὲθ, καὶ
θελερσὰς, ἡγούμενος αὐτῶν χαρααθαλὰρ. καὶ ἀαλὰρ, καὶ οὐκ ἠδύναν
το ἀπαγγεῖλαι τὰς πατριὰς αὐτῶν, καὶ τὰς γενεὰς, ὡς ἐκ τοῦ ἰσραὴλ εἰσὶν
υἱοὶ λαδὰν τοῦ υἱοῦ τοῦ βαν. υἱοὶ νεκωδὰν ἑξακόσιοι πεντήκοντα
δύο, καὶ ἐκ τῶν ἱερέων οἱ ἐμποιούμενοι ἱερωσύνης, καὶ οὐχ εὑρέθησαν
υἱοὶ ὀββία υἱοὶ ἀκκώς. υἱοὶ ἀδδοὺς τοῦ λαβόντος αὐτῆς γυ
ναῖκα τῶν θυγατέρων βαρζελλαίου. καὶ ἐκλήθη ἐπὶ τοῦ

τῷ ὀνόματι αὐτοῦ καὶ τούτων ζητηθείσης τῆς γενικῆς γραφῆς
ἐν τῷ καταλογισμῷ, καὶ μὴ εὑρεθείσης ἐχωρίσθησαν τοῦ ἱερα
τεύειν. καὶ εἶπεν αὐτοῖς νεεμίας, καὶ ἀτθαρίας μὴ μετέχειν τῶν
ἁγίων αὐτούς. ἕως ἀναστῇ ἀρχιερεὺς ἐνδεδυμένος τὴν δήλω
σιν καὶ τὴν ἀλήθειαν.

μγ Οἱ δὲ πάντες ἦσαν ἀπὸ ἰσραὴλ. ἀπὸ δωδεκαε
τοῦς, καὶ παιδίσκων, μυριάδες τέσσαρες χωρὶς παίδων καὶ
παιδισκῶν δισχίλιοι τριακόσιοι ἑξήκοντα, παῖδες τούτων
καὶ παιδίσκαι ἑπτακισχίλιοι τριακόσιοι τεσσαράκοντα ἑπτά.
ψάλται, καὶ ψαλτῳδοὶ διακόσιοι τεσσαράκοντα πέντε. κά
μηλοι τετρακόσιοι τριάκοντα πέντε, καὶ ἵπποι ἑπτακόσιοι τρι
άκοντα ἕξ. ἡμίονοι σμέ, ὑποζύγια πεντακισχίλια πεντακόσια
κέ, καὶ ἐκ τῶν ἡγουμένων κατὰ τὰς πατριὰς ἐν τῷ παραγίνε
σθαι αὐτοὺς εἰς τὸ ἱερὸν τοῦ θεοῦ τὸ ἐν ἱερουσαλήμ, ηὔξαντο ἐγεῖ
ραι τὸν οἶκον ἐπὶ τοῦ τόπου αὐτοῦ κατὰ τὴν αὐτῶν δύναμιν, καὶ
δοῦναι εἰς τὸ ἱερὸν γαζοφυλάκιον τῶν ἔργων χρυσίου μνᾶς χι
λίας καὶ ἀργυρίου μνᾶς πεντακισχιλίας καὶ στολὰς ἱερατικὰς
ἑκατόν. καὶ κατῳκίσθησαν οἱ ἱερεῖς, καὶ οἱ λευῖται, καὶ οἱ ἐκ
τοῦ λαοῦ ἐν ἱερουσαλὴμ καὶ τῇ χώρᾳ οἵ τε ἱεροψάλται καὶ οἱ
θυρωροί, καὶ πᾶς ἰσραὴλ ἐν ταῖς κώμαις αὐτῶν. ἐνστάντος
δὲ τοῦ ἑβδόμου μηνός, καὶ ὄντων τῶν υἱῶν ἰσραὴλ ἑκάστου ἐν τοῖς
ἰδίοις συνήχθησαν ὁμοθυμαδὸν εἰς τὸ εὐρύχωρον τοῦ πρώτου πυ
λῶνος, τοῦ πρὸς τῇ ἀνατολῇ.

μδ Καὶ καταστὰς ἰησοῦς ὁ τοῦ ἰωσεδέκ. καὶ οἱ ἀδελ
φοὶ αὐτοῦ οἱ ἱερεῖς. καὶ ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ καὶ οἱ τούτου
ἀδελφοὶ ἡτοίμασαν τὸ θυσιαστήριον τοῦ θεοῦ ἰσραὴλ προσενέγ
και ἐπ' αὐτοῦ ὁλοκαυτώσεις ἀκολούθως τοῖς ἐν τῇ μωϋσέως βί
βλῳ τοῦ ἀνθρώπου τοῦ θεοῦ διηγορευμένοις.

με Καὶ ἐπισυνήχθησαν αὐτοῖς ἐκ τῶν ἄλλων ἐθνῶν τῆς
γῆς, καὶ κατώρθωσαν τὸ θυσιαστήριον ἐπὶ τοῦ τόπου αὐτοῦ. ὅτι

ἐν ἔχθρᾳ ἦσαν αὐτοῖς. καὶ κατίσχυσαν αὐτοὺς πάντα τὰ ἔθνη τὰ
τῆς γῆς. καὶ ἀνέφερον θυσίας κατὰ τὸν καιρὸν, καὶ ὁλοκαυτώμα
τα τῷ κυρίῳ τὸ πρωϊνὸν, καὶ τὸ δειλινόν.

μέ Καὶ ἠγάγοσαν τὴν τῆς σκηνοπηγίας ἑορτὴν, ὡς ἐ
πιτέτακται ἐν τῷ νόμῳ, καὶ θυσίας καθ' ἡμέραν, ὡς προσῆ
κον ἦν. καὶ μετὰ ταῦτα προσφορὰς ἐνδελεχισμοῦ, καὶ θυσίας
σαββάτων καὶ νουμηνιῶν. καὶ ἑορτῶν πασῶν ἡγιασμένων.

μϛ Καὶ ὅσοι ἂν ηὔξαντο εὐχὴν τῷ θεῷ ἀπὸ τῆς νουμηνί
ας τοῦ ἑβδόμου μηνὸς ἤρξαντο προσφέρειν θυσίας τῷ θεῷ. καὶ ὁ να
ὸς τοῦ θεοῦ. οὔπω ᾠκοδόμητο. καὶ ἔδωκαν ἀργύριον τοῖς λατόμοις,
καὶ τέκτοσι. καὶ βρώματα καὶ ποτὰ κάῤῥα σιδονίοις, καὶ τοῖς τυρίοις
εἰς τὸ παράγειν αὐτοὺς ἐκ τοῦ λιβάνου ξύλα κέδρινα διαφέρειν σχε
δίας εἰς τὸν ἰόππης λιμένα. κατὰ τὸ πρόσταγμα τὸ γραφὲν αὐτοῖς
παρὰ κύρου τοῦ περσῶν βασιλέως.

μή Καὶ τῷ δευτέρῳ ἔτει παραγενόμενος εἰς τὸ ἱερὸν τοῦ
θεοῦ εἰς ἱερουσαλὴμ μηνὸς δευτέρου. ἤρξατο ζοροβάβελ ὁ τοῦ σα
λαθιὴλ, καὶ ἰησοῦς ὁ τοῦ ἰωσεδὲκ, καὶ οἱ ἀδελφοὶ αὐτῶν, καὶ οἱ ἱε
ρεῖς οἱ λευῖται. καὶ πάντες οἱ παραγενόμενοι ἐκ τῆς αἰχμα
λωσίας εἰς ἱερουσαλὴμ, καὶ ἐθεμελίωσαν τὸν οἶκον τοῦ θεοῦ τῇ
νουμηνίᾳ τοῦ δευτέρου μηνὸς τοῦ δευτέρου ἔτους ἐν τῷ ἐλθεῖν εἰς
τὴν ἰουδαίαν, καὶ ἱερουσαλὴμ, καὶ ἔστησαν τοὺς λευίτας ἀπὸ εἰ
κοσαετοῦς ἐπὶ τῶν ἔργων τοῦ κυρίου. καὶ ἔστη ἰησοῦς καὶ οἱ υἱοί.
καὶ ἀδελφοί. καὶ καδμιὴλ ὁ ἀδελφός. καὶ υἱοὶ μαδιαβοῦν. καὶ
οἱ υἱοὶ ἰωδὰ τοῦ ἠλιαδοῦν σὺν τοῖς υἱοῖς, καὶ ἀδελφοῖς. πάν
τες οἱ λευῖται ὁμοθυμαδὸν ἐργοδιῶκται ποιοῦντες εἰς τὰ ἔρ
γα ἐν τῷ οἴκῳ τοῦ θεοῦ, καὶ ᾠκοδόμησαν οἱ οἰκοδόμοι τὸν να
ὸν κυρίου. καὶ ἔστησαν οἱ ἱερεῖς ἐστολισμένοι μετὰ μουσικῶν καὶ σαλ
πίγγων. καὶ οἱ λευῖται οἱ υἱοὶ ἀσὰφ ἔχοντες τὰ κύμβαλα ὑμνοῦν
τες τῷ κυρίῳ. καὶ εὐλογοῦντες κατὰ δαβὶδ βασιλέα ἰσραὴλ
καὶ ἐφώνησαν δι' ὕμνων ὁμολογοῦντες τῷ κυρίῳ. ὅτι ἡ χρηστό

τῆς αὐτοῦ. καὶ ἡ δόξα εἰς τοὺς αἰῶνας ἐν παντὶ ἰηλ. καὶ πᾶς ὁ λα-
ὸς ἐσάλπισαν καὶ ἐβόησαν φωνῇ μεγάλῃ, ὑμνοῦντες τῷ κυρίῳ
ἐπὶ τῇ ἐγέρσει τοῦ οἴκου τοῦ κυρίου, καὶ ἤλθοσαν, ἐκ τῶν ἱερέων τῶν
λευιτῶν, καὶ τῶν προκαθημένων κατὰ τὰς πατριὰς αὐτῶν οἱ πρε-
σβύτεροι οἱ ἑωρακότες τὸν πρὸ τούτου οἶκον πρὸς τὴν τούτου
οἰκοδομὴν μετὰ κλαυθμοῦ, καὶ κραυγῆς μεγάλης, καὶ πολλοὶ
διὰ σαλπίγγων. καὶ χαρᾶς φωνῇ μεγάλῃ ὥστε τὸν λαὸν μὴ ἀκού-
ειν τῶν σαλπίγγων διὰ τὸν κλαυθμὸν τοῦ λαοῦ, ὁ γὰρ ὄχλος ἦν ὁ σαλ-
πίζων μεγαλωστὶ ὥστε μακρόθεν ἀκούεσθαι.

μθ' Καὶ ἀκούσαντες οἱ ἐχθροὶ τῆς φυλῆς ἰούδα, καὶ βενια-
μὶν ἤλθοσαν ἐπιγνῶναι, τίς ἡ φωνὴ τῶν σαλπίγγων. καὶ ἐπέγνω-
σαν, ὅτι οἱ ἐκ τῆς αἰχμαλωσίας οἰκοδομοῦσι τὸν ναὸν τῷ κυρίῳ
θεῷ ἰσραήλ.

ν' Καὶ προσελθόντες τῷ ζοροβάβελ, καὶ ἰησοῦ, καὶ τοῖς
ἡγουμένοις τῶν πατριῶν λέγουσιν αὐτοῖς συνοικοδομήσομεν ὑ-
μῖν. ὁμοίως γὰρ ὑμῖν ἀκούομεν τοῦ κυρίου ἡμῶν. καὶ αὐτῷ ἐπιθύ-
ομεν ἀφ' ἡμερῶν ἀσκασαρὲθ βασιλέως ἀσσυρίων. ὃς μετήγα-
γεν ἡμᾶς ἐνταῦθα.

να. Καὶ εἶπον αὐτοῖς ζοροβάβελ, καὶ ἰησοῦς καὶ οἱ ἡγού-
μενοι τῶν πατριῶν ἰσραήλ. οὐχ ἡμῖν καὶ ὑμῖν τοῦ οἰκοδομῆσαι
τὸν οἶκον κυρίῳ τῷ θεῷ ἡμῶν. ἡμεῖς γὰρ μόνοι οἰκοδομήσομεν
τῷ κυρίῳ τοῦ ἰσραὴλ ἀκολούθως, ὡς προσέταξεν ἡμῖν κῦρος
ὁ βασιλεὺς περσῶν.

νβ'. Τὰ δὲ ἔθνη τῆς γῆς, ἐπικοιμώμενα τοῖς ἐν τῇ ἰου-
δαίᾳ, καὶ πολιορκοῦντες εἶργον τοῦ οἰκοδομεῖν, καὶ ἐπιβουλὰς καὶ
δημαγωγίας, καὶ ἐπισυστάσεις ποιούμενοι ἀπεκώλυσαν τοῦ ἐπιτε-
λεσθῆναι τὴν οἰκοδομὴν πάντα τὸν χρόνον τῆς ζωῆς τοῦ βασιλέως
κύρου. καὶ εἴρχθησαν τῆς οἰκοδομῆς ἔτη δύο ἕως τῆς δαρείου βα-
σιλείας. Κεφ. ς. 6.

α'. Ἐν δὲ τῷ δευτέρῳ ἔτει τῆς τοῦ δαρείου βασιλείας

προεφήτευσεν ἀγγαῖος καὶ ζαχαρίας ὁ τοῦ ἀδδὼ οἱ προφῆ-
ται ἐπὶ τοὺς ἰουδαίους, καὶ τοὺς ἐν τῇ ἰουδαίᾳ καὶ ἱερουσαλὴμ ἐπ' ὀ-
νόματι κυρίου θεοῦ ἰσραὴλ, ἐπ' αὐτούς.
νδ' Τότε στὰς ζοροβάβελ ὁ τοῦ σαλαθιὴλ, καὶ ἰησοῦς ὁ τοῦ ἰω-
σεδὲκ ἤρξαντο οἰκοδομεῖν τὸν οἶκον τοῦ κυρίου τὸν ἐν ἱερουσαλὴμ συ-
νόντων τῶν προφητῶν τοῦ κυρίου βοηθούντων αὐτοῖς.
νε' Εν αὐτῷ τῷ χρόνῳ παρῆν πρὸς αὐτοὺς σισίννης ὁ ἔ-
παρχος συρίας καὶ φοινίκης, καὶ σαθραβουζάνης, καὶ οἱ συνέταί-
ροι αὐτοῦ, καὶ εἶπαν αὐτοῖς· τίνος ὑμῖν συντάξαντος τὸν οἶκον τοῦ-
τον οἰκοδομεῖτε, καὶ τὴν στέγην ταύτην, καὶ τὰ ἄλλα πάντα
ἐπιτελεῖτε, καὶ τίνες εἰσὶν οἱ οἰκοδόμοι οἱ ταῦτα ἐπιτελοῦντες
καὶ εἶχον χάριν, ἐπισκοπῆς γενομένης εἰς τὴν αἰχμαλωσίαν πε-
ρὶ τοῦ κυρίου οἱ πρεσβύτεροι τῶν ἰουδαίων· καὶ οὐκ ἐκωλύθησαν
τῆς οἰκοδομῆς· μέχρι τοῦ ὑποσημανθῆναι δαρείῳ περὶ αὐτῶν
καὶ προσφωνηθῆναι.

ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ ΗΣ Ε-
γραψε δαρείῳ· καὶ ἀπέστειλε.

Σισίννης ὁ ἔπαρχος συρίας, καὶ φοινίκης, καὶ σάθρα βουζάνης,
καὶ οἱ συνέταιροι· οἱ ἐν συρίᾳ, καὶ φοινίκῃ ἡγεμόνες· βασιλεῖ
δαρείῳ χαίρειν. Πάντα γνωστὰ ἔστω τῷ κυρίῳ ἡμῶν τῷ βασι-
λεῖ· ὅτι παραγενόμενοι εἰς τὴν χώραν τῆς ἰουδαίας, καὶ ἐλ-
θόντες εἰς ἱερουσαλὴμ τὴν πόλιν κατελάβομεν τῆς αἰχμα-
λωσίας τοὺς πρεσβυτέρους τῶν ἰουδαίων ἐν ἱερουσαλὴμ τῇ
πόλει· οἰκοδομοῦντας οἶκον τῷ κυρίῳ μέγαν καινὸν διὰ λί-
θων ξυστῶν πολυτελῶν, ξύλων τιθεμένων ἐν τοῖς τοίχοις· καὶ τὰ
ἔργα ἐκεῖνα ἐπὶ σπουδῆς γινόμενα· καὶ εὐοδούμενον τὸ ἔργον
ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἐν πάσῃ δόξῃ, καὶ ἐπιμελείᾳ συντε-
λούμενον· τότε ἐπυνθανόμεθα, τῶν πρεσβυτέρων τούτων λέ-
γοντες· τίνος ὑμῖν προστάξαντος οἰκοδομεῖτε τὸν οἶκον τοῦτον,
καὶ τὰ ἔργα ταῦτα θεμελιοῦτε· ἐπηρωτήσαμεν οὖν αὐτοὺς,

ἕνεκεν τοῦ γνωρίσαι σοι, καὶ γράψαι σοι τοὺς ἀνθρώπους τοὺς
ἀφηγουμένους, καὶ τὴν ὀνοματογραφίαν ᾐτοῦμεν παρ' αὐτῶν
τῶν προκαθηγουμένων. οἱ δὲ ἀπεκρίθησαν ἡμῖν λέγοντες. ἡ-
μεῖς ἐσμεν παῖδες τοῦ κυρίου τοῦ κτίσαντος τὸν οὐρανὸν, καὶ
τὴν γῆν, καὶ ᾠκοδόμητο οἶκος ἔμπροσθεν ἐτῶν πλειόνων διὰ
βασιλέως τοῦ ἰσραὴλ μεγάλου, καὶ ἰσχυροῦ καὶ ἐπετελέσθη. καὶ
ἐπεὶ οἱ πατέρες ἡμῶν παραπικράναντες ἥμαρτον εἰς τὸν κύ-
ριον τοῦ ἰσραὴλ τὸν οὐράνιον. παρέδωκεν αὐτοὺς εἰς χεῖρας να-
βουχοδονόσορ βασιλέως τῆς βαβυλωνίας τῶν χαλδαίων. τόντε
οἶκον καθελόντες ἐνεπύρισαν. καὶ τὸν λαὸν ᾐχμαλώτευσαν εἰς
βαβυλῶνα. ἐν δὲ τῷ πρώτῳ ἔτει βασιλεύοντος κύρου χώ-
ρας βαβυλωνίας, ἔγραψεν ὁ βασιλεὺς κῦρος τὸν οἶκον τοῦτον
οἰκοδομηθῆναι. καὶ τὰ ἱερὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυ-
ρᾶ ἃ ἐξήνεγκε ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν ἱερουσα-
λὴμ, καὶ ἀπηρείσατο αὐτὰ ἐν τῷ ἑαυτοῦ ναῷ. πάλιν ἐξήνεγκεν
αὐτὰ κῦρος ὁ βασιλεὺς ἐκ τοῦ ναοῦ τοῦ ἐν βαβυλῶνι, καὶ παρε-
δόθη ζοροβάβελ, καὶ σαναβασσάρῳ τῷ ἐπάρχῳ. καὶ ἐπετάγη
αὐτῷ ἀπενέγκαντι ταῦτα τὰ σκεύη ἀποθεῖναι ἐν τῷ ναῷ τῷ
ἐν ἱερουσαλὴμ. καὶ τὸν ναὸν τοῦ κυρίου τοῦτον οἰκοδομηθῆναι ἐ-
πὶ τοῦ τόπου. τότε ὁ σαναβάσαρος ἐκεῖνος παραγενόμενος
ἐνεβάλετο τοὺς θεμελίους τοῦ οἴκου κυρίου τοῦ ἐν ἱερουσαλὴμ.
καὶ ἀπ' ἐκείνου μέχρι τοῦ νῦν οἰκοδομούμενος. οὐκ ἔλαβε συν-
τέλειαν. νῦν οὖν εἰ κρίνεται βασιλεῦ ἐπισκεπήτω ἐν τοῖς βασιλικοῖς
βιβλιοφυλακίοις τοῦ κυρίου, καὶ ἐὰν εὑρίσκηται μετὰ τῆς γνώ-
μης κύρου τοῦ βασιλέως γενομένην τὴν οἰκοδομὴν τοῦ οἴκου κυ-
ρίου τοῦ ἐν ἱερουσαλὴμ. καὶ κρίνεται τῷ κυρίῳ βασιλεῖ ἡμῶν,
προσφωνησάτω ἡμῖν περὶ τούτων.

νζ Τότε ὁ βασιλεὺς δαρεῖος προσέταξεν ἐπισκέψα-
σθαι ἐν τοῖς βασιλικοῖς βιβλιοφυλακίοις τοῖς κειμένοις ἐν βαβυ-
λῶνι, καὶ εὑρέθη ἐκβατάνοις τῇ βάρει τῇ ἐν μηδείᾳ χώρᾳ τόμος

εἷς· ἐν ᾧ ὑπεμνημάτιστο τάδε. ἔτους πρώτου βασιλεύοντος κύ-
ρου βασιλεὺς κῦρος προσέταξε τὸν οἶκον τοῦ κυρίου, τὸν ἐν ἱερουσα-
λὴμ οἰκοδομῆσαι, ὅπου ἐπιθύουσι διὰ πυρὸς ἐνδελεχοῦς. οὗ
τὸ ὕψος πηχῶν ἑξήκοντα. πλάτος πηχῶν ἑξήκοντα διὰ δό-
μων λιθίνων ξυστῶν τριῶν. καὶ δόμου ξυλίνου ἐγχωρίου καινοῦ ἑ-
νός. καὶ τὸ δαπάνημα δοθῆναι ἐκ τοῦ οἴκου κύρου τοῦ βασιλέως
καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ κυρίου, τά τε χρυσία, καὶ τὰ ἀρ-
γύρια ἃ ἐξήνεγκε ναβουχοδονόσορ ἐκ τοῦ οἴκου τοῦ ἐν ἱερου-
σαλήμ. καὶ ἀπήνεγκεν εἰς βαβυλῶνα. ἀποκατασταθῆναι εἰς τὸν οἶ-
κον τὸν ἐν ἱερουσαλὴμ οὗ ἦν κείμενα ὅπως τεθῇ ἐκεῖ. προσέταξε δὲ
ἐπιμεληθῆναι σισίννῃ ἐπάρχῳ συρίας, καὶ φοινίκης, καὶ σαθρα-
βουζάνῃ, καὶ τοῖς συνεταίροις, καὶ τοῖς ἀποτεταγμένοις ἐν συ-
ρίᾳ, καὶ φοινίκῃ ἡγεμόσιν ἀπέχεσθαι τοῦ τόπου. ἐᾶσαι δὲ τὸν
παῖδα τοῦ κυρίου ζοροβάβελ ἔπαρχον δὲ τῆς ἰουδαίας καὶ τοὺς πρεσβυ-
τέρους τῶν ἰουδαίων, τὸν οἶκον τοῦ κυρίου ἐκεῖνον οἰκοδομεῖν ἐπὶ τοῦ τό-
που. κἀγὼ δὲ ἐπέταξα ὁλοσχερῶς οἰκοδομῆσαι, καὶ ἀτενί-
σαι ἵνα συμποιῶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας τῶν ἰουδαίων, μέχρι
τοῦ ἐπιτελεσθῆναι τὸν οἶκον κυρίου. καὶ ἀπὸ τῆς φορολογίας κοί-
λης συρίας, καὶ φοινίκης ἐπιμελῶς σύνταξιν δίδοσθαι τούτοις
τοῖς ἀνθρώποις εἰς θυσίας τῷ κυρίῳ ζοροβάβελ ἐπάρχῳ εἰς
ταύρους καὶ κριούς, καὶ ἄρνας ὁμοίως δὲ καὶ πυρὸν καὶ ἅλα, καὶ
οἶνον καὶ ἔλαιον ἐνδελεχῶς κατ᾽ ἐνιαυτόν. καθὼς ἂν οἱ ἱερεῖς οἱ
ἐν ἱερουσαλὴμ ὑπαγορεύσωσιν ἀναλίσκεσθαι καθ᾽ ἡμέραν ἀ-
ναμφισβητήτως ὅπως προσφέρωνται σπονδαὶ τῷ θεῷ τῷ
ὑψίστῳ, ὑπὲρ τοῦ βασιλέως, καὶ τῶν παίδων. καὶ προσεύχων-
ται περὶ τῆς αὐτῶν ζωῆς, καὶ προσέταξεν ἵνα ὅσοι ἂν παραβῶ-
σι τι τῶν προειρημένων καὶ τῶν προσγεγραμμένων, ἢ καὶ ἀκυρώ-
σωσι λημφθῆναι ξύλον ἐκ τῶν ἰδίων αὐτοῦ. καὶ ἐπὶ τούτου κρεμα-
σθῆναι. καὶ τὰ ὑπάρχοντα αὐτοῦ εἶναι βασιλικά. διὰ ταῦτα καὶ
ὁ κύριος οὗ τὸ ὄνομα αὐτοῦ ἐπικέκληται ἐκεῖ, ἀφανίσαι πάν-

τα βασιλέα, καὶ ἔθνος ὃς ἐκτενεῖ τὴν χεῖρα αὐτοῦ κωλῦσαι ἢ
κακοποιῆσαι τὸν οἶκον τοῦ κυρίου ἐκεῖνον τὸν ἐν ἱερουσαλήμ. ἐγὼ
ὁ βασιλεὺς δαρεῖος δεδογμάτικα ἐπιμελῶς κατὰ ταῦτα γίνεσθαι.

Κεφάλαιον ζ. 7

νη Τότε σισίννης ὁ ἔπαρχος κοίλης συρίας καὶ φοινίκης
καὶ σαθραβουζάνης, καὶ οἱ συνεταῖροι κατακολουθήσαντες τοῖς
ὑπὸ τοῦ βασιλέως δαρείου προσταγεῖσιν. ἐπιστάτουν τῶν ἱερῶν ἔρ
γων ἐπιμελέστερον συνεργοῦντες, τοῖς πρεσβυτέροις τῶν ἱερέων
καὶ ἱεροστάταις.

νθ Καὶ εὔοδα ἐγίνετο τὰ ἱερὰ ἔργα προφητευόντων ἀγ
γαίου, καὶ ζαχαρίου τῶν προφητῶν. καὶ συνετέλεσαν ταῦτα διὰ
προστάγματος κυρίου θεοῦ ἰσραήλ. καὶ μετὰ τῆς γνώμης κύ
ρου, καὶ δαρείου καὶ ἀρταξέρξου, τῶν βασιλέων περσῶν, ἕως τοῦ
ἕκτου ἔτους δαρείου τοῦ βασιλέως περσῶν συνετελέσθη ὁ οἶκος ὁ
ἅγιος ἕως τρίτης, καὶ εἰκάδος μηνὸς ἀδὰρ τοῦ ἕκτου ἔτους βασι
λέως δαρείου.

ξ Καὶ ἐποίησαν οἱ υἱοὶ ἰσραήλ. καὶ οἱ ἱερεῖς καὶ οἱ λευῖ
ται καὶ οἱ λοιποὶ οἱ ἐκ τῆς αἰχμαλωσίας οἱ προστεθέντες ἀκολού
θως τοῖς ἐν τῇ μωϋσέως βίβλῳ. καὶ προσήνεγκαν εἰς τὸν ἐγκαι
νισμὸν τοῦ ἱεροῦ τοῦ κυρίου ταύρους ἑκατόν. κριοὺς διακοσίους
ἄρνας τετρακοσίους χιμάρους ὑπὲρ ἁμαρτίας παντὸς τοῦ ἰσρα
ὴλ δώδεκα πρὸς ἀριθμὸν, ἐκ τῶν φυλάρχων τοῦ ἰσραὴλ δώδε
κα. καὶ ἔστησαν οἱ ἱερεῖς, καὶ οἱ λευῖται κατὰ φυλὰς ἐστολισμέ
νοι ἐπὶ τῶν ἔργων κυρίου θεοῦ ἰσραὴλ ἀκολούθως τῇ μωϋσέως
βίβλῳ, καὶ οἱ θυρωροὶ ἐφ' ἑκάστου πυλῶνος.

ξα Καὶ ἤγαγοσαν οἱ υἱοὶ ἰσραὴλ ἐκ τῆς τῶν αἰχμαλωσί
ας τὸ πάσχα ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ πρώτου μηνὸς, ὅτι ἡ
γνίσθησαν οἱ ἱερεῖς. καὶ οἱ λευῖται ἅμα καὶ πάντες οἱ υἱοὶ τῆς
αἰχμαλωσίας. ὅτι ἡγνίσθησαν. καὶ ἔθυσαν τὸ πάσχα πᾶσι τοῖς υἱ
οῖς τῆς αἰχμαλωσίας. ἅμα πᾶσιν ἡγνίσθησαν. καὶ ἔθυσαν τὸ πάσχα

πᾶσι καὶ τοῖς ἀδελφοῖς αὐτῶν τοῖς ἱερεῦσι, καὶ ἑαυτοῖς.

ξβ' Καὶ ἐφάγοσαν οἱ υἱοὶ ἰσραὴλ οἱ ἐκ τῆς αἰχμαλωσίας πάντες οἱ χωρισθέντες ἀπὸ τῶν βδελυγμάτων τῶν ἐθνῶν τῆς γῆς ζητοῦντες τὸν κύριον. καὶ ἠγάγοσαν τὴν ἑορτὴν τῶν ἀζύμων ἑπτὰ ἡμέρας εὐφραινόμενοι ἐναντίον κυρίου, ὅτι μετέστρεψε τὴν βουλὴν τοῦ βασιλέως ἀσσυρίων ἐπ' αὐτοὺς κατισχῦσαι τὰς χεῖρας αὐτῶν ἐπὶ τὰ ἔργα κυρίου θεοῦ ἰσραήλ.

Κεφάλαιον η. 8

ξγ'. Αἱ μεταγενέστερος τούτων ἐστί. βασιλεύοντος ἀρτα-
κ ξέρξου τοῦ περσῶν βασιλέως προσέβη ἔσδρας σα-
ραίου. τοῦ ἐζερίου. τοῦ χελκίου. τοῦ σαλούμου. τοῦ σαδ-
δούκου. τοῦ ἀχιτώβ. τοῦ ἀμαρίου. τοῦ ἐζίου. τοῦ μεμηρώθ. τοῦ ζα-
ραίου. τοῦ σαουΐα. τοῦ βοκκα. τοῦ ἀβισουμ. τοῦ φινεές. τοῦ ἐλεα-
ζάρ. τοῦ ἀαρών. τοῦ ἱερέως τοῦ πρώτου. οὗτος ἔσδρας ἀνέβη ἐκ βα-
βυλῶνος ὡς γραμματεὺς εὐφυὴς ὢν ἐν τῷ μωϋσέως νόμῳ τῷ
ἐκδεδομένῳ ὑπὸ τοῦ θεοῦ τοῦ ἰσραήλ. καὶ ἔδωκεν αὐτῷ ὁ βα-
σιλεὺς δόξαν εὑρόντι χάριν ἐνώπιον αὐτοῦ. ἐπὶ πάντα τὰ ἀξιώ-
ματα αὐτοῦ.

ξδ' Καὶ συνανέβησαν ἐκ τῶν υἱῶν ἰσραήλ. καὶ τῶν ἱερέων, καὶ λευιτῶν, καὶ ἱεροψαλτῶν, καὶ θυρωρῶν. καὶ ἱεροδούλων εἰς ἱερουσαλήμ, ἔτους ἑβδόμου βασιλεύοντος ἀρταξέρξου ἐν τῷ πέμπτῳ μηνὶ οὗτος ὁ ἐνιαυτὸς ἕβδομος τῷ βασιλεῖ. ἐξελθόντες γὰρ ἐκ βαβυλῶνος τῇ νουμηνίᾳ τοῦ πρώτου μηνός. παρεγένοντο εἰς ἱεροσόλυμα κατὰ τὴν δοθεῖσαν αὐτοῖς εὐοδίαν παρὰ κυρίου. ὁ γὰρ ἔσδρας πολλὴν ἐπιστήμην περιεῖχεν εἰς τὸ μηδὲν παραλιπεῖν τῶν ἐκ τοῦ νόμου κυρίου, καὶ τῶν ἐντολῶν διδάξαι τὸν πάντα ἰσραὴλ πάντα τὰ δικαιώματα, καὶ τὰ κρίματα, προσπεσόντος δὲ τοῦ γραφέντος προστάγματος παρὰ ἀρταξέρξου τοῦ βασιλέως πρὸς ἔσδραν τὸν ἱερέα καὶ ἀναγνώστην τοῦ νόμου κυρίου οὗ ἐστιν ἀντίγραφον τὸ ὑποκείμενον.

# ΕΣΔΡΑΣ.

ΒΑΣΙΛΕΥΣ ΑΡΤΑΞΕΡΞΗΣ, ΕΣΔΡΑ τῷ ἱερεῖ. καὶ ἀναγνώσῃ τοῦ νόμου κυρίου χαίρειν. Καὶ τὰ φιλάνθρωπα ἐγὼ κρίνας προσέταξα τοὺς βουλομένους ἐκ τοῦ ἔθνους τῶν Ἰουδαίων αἱρετίζοντας, καὶ τῶν ἱερέων, καὶ τῶν λευιτῶν. ὄντων δὲ αὐτῶν ἐν τῇ ἡμετέρᾳ βασιλείᾳ συμπορεύεσθαί σοι εἰς Ἰσραήλ. ὅσοι οὖν ἐνθυμοῦνται συνεξορμάτωσαν καθάπερ δέδοκται ἐμοί τε. καὶ τοῖς ἑπτὰ φίλοις συμβουλευταῖς, ὅπως ἐπισκέψωνται τὰ κατὰ τὴν Ἰουδαίαν καὶ Ἱερουσαλήμ, ἀκολούθως, ὡς ἔχει ἐν τῷ νόμῳ κυρίου. καὶ ἀπενεγκεῖν δῶρα τῷ κυρίῳ τοῦ Ἰσραήλ. ἃ ηὐξάμην ἐγώ τε, καὶ οἱ φίλοι εἰς Ἱερουσαλήμ. καὶ πᾶν χρυσίον καὶ ἀργύριον ὃ ἐὰν εὑρεθῇ ἐν τῇ χώρᾳ τῆς Βαβυλωνίας τῷ κυρίῳ εἰς Ἱερουσαλὴμ σὺν τῷ δεδωρημένῳ ὑπὸ τοῦ ἔθνους εἰς τὸ ἱερὸν τοῦ κυρίου θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλὴμ συναχθῆναι τό τε ἀργύριον καὶ τὸ χρυσίον εἰς ταύρους, καὶ κριοὺς καὶ ἄρνας, καὶ τὰ τούτοις ἀκόλουθα, ὥστε προσενεγκεῖν θυσίας τῷ κυρίῳ ἐπὶ τὸ θυσιαστήριον τοῦ κυρίου θεοῦ αὐτῶν τὸ ἐν Ἱερουσαλήμ. καὶ πάντα ὅσα ἐὰν βούλῃ μετὰ τῶν ἀδελφῶν σου ποιῆσαι χρυσίῳ, καὶ ἀργυρίῳ ἐπιτέλει κατὰ τὸ θέλημα τοῦ θεοῦ σου. καὶ τὰ ἱερὰ σκεύη τοῦ κυρίου τὰ διδόμενά σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου, τοῦ ἐν Ἱερουσαλὴμ θήσεις ἐναντίον τοῦ θεοῦ σου τοῦ ἐν Ἰλήμ. καὶ τὰ λοιπὰ ὅσα ἐὰν ὑποπίπτῃ σοι εἰς τὴν χρείαν τοῦ ἱεροῦ τοῦ θεοῦ σου. δώσεις ἐκ τοῦ βασιλικοῦ γαζοφυλακίου. κἀγὼ δὲ ὁ βασιλεὺς ἀρταξέρξης προσέταξα τοῖς γαζοφύλαξι συρίας καὶ φοινίκης. ἵνα ὅσα ἐὰν ἀποστείλῃ ἔσδρας ὁ ἱερεὺς, καὶ ἀναγνώσης τοῦ νόμου τοῦ θεοῦ τοῦ ὑψίστου ἐπιμελῶς διδῶσιν αὐτῷ ἕως ἀργυρίου ταλάντων ἑκατόν. ὁμοίως δὲ καὶ ἕως πυροῦ κόρων ἑκατόν. καὶ οἴνου μετρητῶν ἑκατόν. καὶ ἄλλα ἐκ πλήθους πάντα κατὰ τὸν τοῦ θεοῦ νόμον ἐπιτελεσθήτω ἐπιμελῶς τῷ θεῷ τῷ ὑψίστῳ. ἕνεκεν τοῦ μὴ γενέσθαι ὀργὴν ἐπὶ τὴν βασιλείαν τοῦ βασιλέως, καὶ τῶν υἱῶν αὐτοῦ. καὶ ὑμῖν

δὲ λέγεται ὅπως πᾶσι τοῖς ἱερεῦσι, καὶ τοῖς λευίταις καὶ ἱεροψάλταις καὶ θυρωροῖς καὶ ἱεροδούλοις καὶ πραγματικοῖς τοῦ ἱεροῦ τούτου μηδὲ μία φορολογία μηδ᾽ ἄλλη ἐπιβουλὴ γίνηται· καὶ ἐξουσίαν μηδένα ἔχειν ἐπιβαλεῖν τι τούτοις. καὶ σὺ ἔσδρα κατὰ τὴν σοφίαν τοῦ θεοῦ, ἀνάδειξον κριτὰς καὶ δικαστὰς ὅπως δικάζωσιν ἐν ὅλῃ συρίᾳ καὶ φοινίκῃ πάντας τοὺς ἐπισταμένους τὸν νόμον τοῦ θεοῦ σου. καὶ τοὺς μὴ ἐπισταμένους διδάξεις. καὶ πάντες ὅσοι ἂν παραβαίνωσι τὸν νόμον τοῦ θεοῦ, καὶ τὸν βασιλικὸν, ἐπιμελῶς κολασθήσονται ἐάν τε, καὶ θανάτῳ, ἐάν τε καὶ τιμωρίᾳ ἢ ἀργυρικῇ ζημίᾳ, ἢ ἀπαγωγῇ.

ξε Καὶ εἶπεν ἔσδρας ὁ γραμματεύς. εὐλογητὸς μόνος
κύριος ὁ θεὸς τῶν πατέρων μου ὁ δοὺς ταῦτα εἰς τὴν καρδίαν τοῦ
βασιλέως δοξάσαι τὸν οἶκον αὐτοῦ τὸν ἐν ἱερουσαλήμ. καὶ ἐμὲ ἐ-
τίμησεν ἐναντίον τοῦ βασιλέως, καὶ τῶν συμβουλευόντων, καὶ
πάντων τῶν φίλων. καὶ μεγιστάνων αὐτοῦ. καὶ ἐγὼ εὐθαρσὴς ἐ-
γενόμην κατὰ τὴν ἀντίληψιν κυρίου τοῦ θεοῦ μου. καὶ συνήγα-
γον ἄνδρας ἐκ τοῦ ἰσραὴλ ὥστε συναναβῆναί μοι.
ξς Καὶ οὗτοι οἱ προηγούμενοι κατὰ τὰς πατριὰς αὐτῶν
καὶ τὰς μεριδαρχίας οἱ ἀναβαίνοντες μετ᾽ ἐμοῦ ἐκ βαβυλῶνος
ἐν τῇ βασιλείᾳ ἀρταξέρξου τοῦ βασιλέως, ἐκ τῶν υἱῶν φινεὲς γηρ-
σών. ἐκ τῶν υἱῶν ἰθαμάρου, γαμαήλ. ἐκ τῶν υἱῶν δαβίδ. λεττοὺς
ὁ σεχενίου. ἐκ τῶν υἱῶν φόρος, ζαχαρίας καὶ μετ᾽ αὐτοῦ ἀπὸ
γραφῆς ἄνδρες ἑκατὸν πεντήκοντα ἐκ τῶν υἱῶν φαλομὼν ἀβε-
λιακυίας ζαχαρίου. καὶ μετ᾽ αὐτοῦ ἄνδρες διακόσιοι ἐκ τῶν
υἱῶν ζαθόης. σεχωνίας ἰεζήλου. καὶ μετ᾽ αὐτοῦ ἄνδρες τριακόσι-
οι ἐκ τῶν υἱῶν ἀδίν. ὠβὴθ ἰωνάθου. καὶ μετ᾽ αὐτοῦ ἄνδρες δια-
κόσιοι πεντήκοντα. ἐκ τῶν υἱῶν ἠλάμ, ἰεσίας γοθολίου. καὶ μετ᾽
αὐτοῦ ἄνδρες ἑβδομήκοντα ἐκ τῶν υἱῶν σαφατίου ζαραίας μα-
χαήλου, καὶ μετ᾽ αὐτοῦ ἄνδρες ἑβδομήκοντα. ἐκ τῶν υἱῶν ἰω-
άβ. βαδίας ἰεζήλου. καὶ μετ᾽ αὐτοῦ ἄνδρες διακόσιοι δώδε-

ἐκ τῶν υἱῶν βανίδ· ἀσαλιμὼθ ἰωσαφίου, καὶ μετ' αὐτοῦ ἄν-
δρες ἑξήκοντα. καὶ ἑκατὸν ἐκ τῶν υἱῶν βαβὶ ζαχαρίας βηβαί, καὶ
μετ' αὐτοῦ ἄνδρες εἴκοσι ὀκτώ, ἐκ τῶν υἱῶν ἀσὰθ· ἰωάννης ἀκα-
τάν· καὶ μετ' αὐτοῦ ἄνδρες ἑκατὸν δέκα. ἐκ τῶν υἱῶν ἀδωνικάμ· οἱ
ἔσχατοι καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐλιφάλατος ἰεουήλ, καὶ μαί-
ας, καὶ μετ' αὐτῶν ἄνδρες ἑβδομήκοντα, ἐκ τῶν υἱῶν βαγουθὶ ὁ
τοῦ ἰστακούρου· καὶ μετ' αὐτοῦ ἄνδρες ἑβδομήκοντα. καὶ συνή-
γαγον αὐτοὺς ἐπὶ τὸν λεγόμενον θερὰν ποταμόν, καὶ παρενε-
βάλομεν ἡμέρας τρεῖς αὐτόθι, καὶ κατέμαθον αὐτούς. καὶ ἐκ τῶν
υἱῶν τῶν ἱερέων. καὶ ἐκ τῶν λευιτῶν οὐχ εὑρὼν ἐκεῖ. ἀπέστειλα
πρὸς ἐλεάζαρον. καὶ ἰδουῆλον, καὶ μαασμάν. καὶ ἀλναθάν.
καὶ σαμαίαν, καὶ ἰώριβον· νάθαν ἐννατάν. ζαχαρίαν. καὶ μοσόλ-
λαμον τοὺς ἡγουμένους, καὶ ἐπιστήμονας. καὶ εἶπα αὐτοῖς. ἐλθεῖν
πρὸς δαδδαῖον τὸν ἡγούμενον τὸν ἐν τῷ τόπῳ τοῦ γαζοφυλα-
κίου. ἐντειλάμενος διαλεχθῆναι δαδδαίῳ, καὶ τοῖς ἀδελ-
φοῖς αὐτοῦ, καὶ τοῖς ἐν τῷ τόπῳ γαζοφύλαξιν ἀποστεῖλαι ἡμῖν
τοὺς ἱερατεύσοντας ἐν τῷ οἴκῳ τοῦ κυρίου ἡμῶν. καὶ ἤγα-
γον ἡμῖν κατὰ τὴν κραταιὰν χεῖρα τοῦ κυρίου ἡμῶν ἄνδρας ἐ-
πιστήμονας τῶν υἱῶν μοολὶ τοῦ λευὶ τοῦ ἰσραὴλ ἀσεβηβίαν καὶ
τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς ἀδελφούς, ὄντας δέκα καὶ ὀκτώ. καὶ
ἀσεβίαν. καὶ ἄννουνον. καὶ ὠσαίαν ἀδελφὸν ἐκ τῶν υἱῶν χα-
νουναίου, καὶ υἱοὶ αὐτῶν ἄνδρες εἴκοσι. καὶ ἐκ τῶν ἱεροδού-
λων ὧν ἔδωκε δαβίδ. καὶ οἱ ἡγούμενοι εἰς τὴν ἐργασίαν τῶν
λευιτῶν ἱεροδούλους διακοσίους. καὶ εἴκοσι πάντων ἐσημάν-
θη ἡ ὀνοματογραφία.

ξζ' Καὶ ηὐξάμην ἐκεῖ νηστείαν τοῖς νεανίσκοις ἔναντι κυρίου θε-
οῦ ἡμῶν ζητῆσαι παρ' αὐτοῦ εὐοδίαν ἡμῖν τε, καὶ τοῖς συνοῦσιν ἡ-
μῖν τέκνοις ἡμῶν καὶ κτήνεσιν. ἐνετράπην γὰρ αἰτῆσαι τὸν βα-
σιλέα πεζούς τε καὶ ἱππεῖς, καὶ προπομπήν, ἕνεκεν ἀσφαλείας
τῆς πρὸς τοὺς ἐναντιουμένους ἡμῖν. εἴπαμεν γὰρ τῷ βασι-

λῇ, ὅτι ἡ ἰσχὺς τοῦ κυρίου ἡμῶν ἔσται μετὰ τῶν ἐπιζητούντων αὐτὸν εἰς πᾶσαν ἐπανόρθωσιν. καὶ πάλιν ἐδεήθημεν τοῦ κυρίου ἡμῶν κατὰ ταῦτα καὶ εὐιλάτου ἐτύχομεν.

ξή Καὶ ἐχώρισα τῶν φυλάρχων, καὶ τῶν ἱερέων ἄνδρας δώδεκα καὶ ἐσεβρίαν, καὶ ἀσαβίαν, καὶ μετ᾽ αὐτῶν ἐκ τῶν ἀδελφῶν αὐτῶν ἄνδρας δέκα. καὶ ἔστησα αὐτοῖς τὸ ἀργύριον, καὶ τὸ χρυσίον, καὶ τὰ ἱερὰ σκεύη τοῦ οἴκου τοῦ κυρίου ἡμῶν. οὕτως ἐδωρήσατο ὁ βασιλεὺς καὶ οἱ σύμβουλοι αὐτοῦ, καὶ οἱ μεγιστᾶνες καὶ πᾶς ἰσραήλ. καὶ στήσας παρέδωκα αὐτοῖς ἀργυρίου τάλαντα ἑξακόσια πεντήκοντα καὶ σκεύη ἀργυρᾶ ταλάντων ἑκατόν. καὶ χρυσίου τάλαντα ἑκατὸν, καὶ χρυσώματα εἴκοσι. καὶ σκεύη χαλκέα ἀπὸ χρηστοῦ χαλκοῦ στίλβοντα χρυσοειδῆ σκεύη δώδεκα. καὶ εἶπα αὐτοῖς, καὶ ὑμεῖς ἅγιοι ἐστὲ τῷ κυρίῳ κύριος καὶ τὰ σκεύη ἅγια. καὶ τὸ χρυσίον, καὶ τὸ ἀργύριον εὐχὴ τῷ κυρίῳ τῶν πατέρων ἡμῶν ἀγρυπνεῖτε, καὶ φυλάσσετε ἕως τοῦ παραδοῦναι ὑμᾶς αὐτὰ τοῖς φυλάρχοις τῶν ἱερέων, καὶ τῶν λευιτῶν. καὶ τοῖς ἡγουμένοις τῶν πατριῶν τοῦ ἰσραήλ, ἐν ἱερουσαλὴμ ἐν τοῖς παστοφορίοις τοῦ οἴκου τοῦ θεοῦ ἡμῶν. καὶ οἱ παραλαβόντες οἱ ἱερεῖς καὶ οἱ λευῖται τὸ ἀργύριον, καὶ τὸ χρυσίον καὶ τὰ σκεύη τὰ ἐν ἱερουσαλὴμ εἰσήνεγκαν εἰς τὸ ἱερὸν τοῦ κυρίου.

ξύ Καὶ ἀναζεύξαντες ἀπὸ τοῦ ποταμοῦ θερα. τῇ δωδεκάτῃ τοῦ πρώτου μηνὸς, εἰσήλθομεν εἰς ἱερουσαλὴμ κατὰ τὴν κραταιὰν χεῖρα τοῦ κυρίου ἡμῶν τὴν ἐφ᾽ ἡμῖν. καὶ ἐρρύσατο ἡμᾶς ἀπὸ τῆς εἰσόδου κύριος, ἀπὸ παντὸς ἐχθροῦ, καὶ ἤλθομεν εἰς ἱερουσαλήμ. καὶ γενομένης αὐτόθι ἡμέρας τρίτης τῇ ἡμέρᾳ τῇ τετάρτῃ σταθὲν τὸ ἀργύριον καὶ τὸ χρυσίον, παρεδόθη ἐν τῷ οἴκῳ τοῦ κυρίου ἡμῶν μαρμωθιουρὶ ἱερεῖ. καὶ μετ᾽ αὐτῶν ἐλεάζαρ ὁ τοῦ φινεές. καὶ ἦσαν μετ᾽ αὐτοῦ ἰωσάβαδος ἰησοῦ καὶ μωὴθ σαββάννου. οἱ δὲ λευῖται πρὸς ἀριθμὸν καὶ ὁλκὴν ἅπαντα.

καὶ ἐγράφη πᾶσα ἡ ὁλκὴ αὐτῶν αὐτῇ τῇ ὥρᾳ.
ο Οἱ δὲ παραγενόμενοι ἐκ τῆς αἰχμαλωσίας προσή-
νεγκαν θυσίας τῷ θεῷ τοῦ ἰσραὴλ κυρίῳ, ταύρους δώδεκα ὑ-
πὲρ παντὸς ἰσραὴλ. κριοὺς ἐνενηκονταέξ. ἄρνας ἑβδομήκοντα δύο.
τράγους ὑπὲρ σωτηρίου, δώδεκα. ἅπαντα θυσίαν τῷ κυρίῳ.
οα Καὶ ἀπέδωκαν τὰ προστάγματα τοῦ βασιλέως τοῖς
βασιλικοῖς οἰκονόμοις καὶ τοῖς ἐπάρχοις κοίλης συρίας καὶ φοι-
νίκης. καὶ ἐδόξασαν τὸ ἔθνος καὶ τὸ ἱερὸν τοῦ θεοῦ.
οβ Καὶ τούτων τελεσθέντων, προσῆλθόν μοι οἱ ἡγούμε-
νοι λέγοντες. οὐκ ἐχώρισαν ἔθνος τοῦ ἰσραὴλ καὶ οἱ ἄρχοντες καὶ
οἱ ἱερεῖς καὶ οἱ λευῖται τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς. καὶ τὰς ἀκαθαρ-
σίας ἀπὸ τῶν ἐθνῶν τῶν χαναναίων καὶ χετταίων καὶ φερεζαίων καὶ
ἰεβουσαίων. καὶ μωαβιτῶν. καὶ αἰγυπτίων καὶ ἰδουμαίων καὶ συνῴ-
κησαν γὰρ μετὰ τῶν θυγατέρων αὐτῶν. αὐτοὶ καὶ οἱ υἱοὶ αὐτῶν
καὶ ἐπεμίγη τὸ σπέρμα τὸ ἅγιον εἰς τὰ ἀλλογενῆ ἔθνη τῆς γῆς,
καὶ μετεῖχον οἱ προηγούμενοι καὶ οἱ μεγιστᾶνες τῆς ἀνομίας ταύ-
της ἀπὸ τῆς ἀρχῆς τοῦ πράγματος.
ογ Καὶ ἐγένετο ἅμα τῷ ἀκοῦσαι με ταῦτα, διέῤῥηξα
τὰ ἱμάτια καὶ τὴν ἱερὰν ἐσθῆτα καὶ κατέτιλα τοῦ τριχώμα-
τος καὶ τῆς κεφαλῆς καὶ τοῦ πώγωνος. καὶ ἐκάθισα σύννους
καὶ περίλυπος.
οδ Καὶ ἐπεκινήθησαν πρός με ὅσοι πότε ἐπεκινοῦν-
το ἐπὶ τῷ ῥήματι κυρίου θεοῦ τοῦ ἰσραὴλ ἐμοῦ πενθοῦντος
ἐπὶ τῇ ἀνομίᾳ. καὶ ἐκαθήμην περίλυπος ἕως τῆς δειλινῆς θυ-
σίας. καὶ ἐξεγερθεὶς ἐκ τῆς νηστείας διεῤῥηγμένα ἔχων τὰ ἱμά-
τια καὶ τὴν ἱερὰν ἐσθῆτα.
οε Κάμψας τὰ γόνατα, καὶ ἐκτείνας τὰς χεῖρας πρὸς
τὸν κύριον. ἔλεγον. κύριε ᾔσχυμμαι καὶ ἐντέτραμμαι κατὰ πρό-
σωπόν σου. αἱ γὰρ ἁμαρτίαι ἡμῶν ἐπλεόνασαν ὑπὲρ τὰς κε-

φαλὰς ἡμῶν καὶ αἱ ἄγνοιαι τῶν ἡμῶν ὑπερήνεγκαν ἕως τοῦ οὐρα-
νοῦ ἔτι ἀπὸ τῶν χρόνων τῶν πατέρων ἡμῶν. καὶ ἐσμὲν ἐν με-
γάλῃ ἁμαρτίᾳ. ἕως τῆς ἡμέρας ταύτης. καὶ διὰ τὰς ἁμαρτί-
ας ἡμῶν, καὶ τῶν πατέρων ἡμῶν παρεδόθημεν σὺν τοῖς ἀδελ-
φοῖς ἡμῶν καὶ σὺν τοῖς βασιλεῦσιν ἡμῶν καὶ σὺν τοῖς ἱερεῦ-
σιν ἡμῶν τοῖς βασιλεῦσι τῆς γῆς εἰς ῥομφαίαν καὶ αἰχμα-
λωσίαν καὶ προνομὴν μετὰ αἰσχύνης μέχρι τῆς σήμερον ἡμέ-
ρας. καὶ νῦν κατὰ πόσον τι ἐγενήθη ἡμῖν ἔλεος παρὰ σοῦ κύ-
ριε καταλειφθῆναι ἡμῖν ῥίζαν, καὶ ὄνομα ἐν τῷ τόπῳ τοῦ ἁγι-
άσματός σου. καὶ τοῦ ἀνακαλύψαι φωστῆρα ἡμῖν ἐν τῷ οἴκῳ
κυρίου τοῦ θεοῦ ἡμῶν. δοῦναι ἡμῖν τροφὴν ἐν τῷ καιρῷ τῆς
δουλείας ἡμῶν καὶ ἐν τῷ δουλεύειν ἡμᾶς οὐκ ἐγκατελείφθη-
μεν ἀπὸ τοῦ θεοῦ ἡμῶν, ἀλλ᾽ ἐποίησεν ἡμᾶς ἐν χάριτι ἐνώπι-
ον βασιλέων περσῶν δοῦναι ἡμῖν τροφήν. καὶ δοξάσαι τὸ ἱε-
ρὸν τοῦ κυρίου ἡμῶν. καὶ ἐξεγεῖραι τὴν ἔρημον σιὼν δοῦναι ἡ-
μῖν στερέωμα ἐν τῇ ἰουδαίᾳ καὶ ἱερουσαλήμ. καὶ νῦν τί ἐροῦ-
μεν κύριε ἔχοντες ταῦτα; παρέβημεν γὰρ τὰ προστάγματά σου
ἃ ἔδωκας, ἐν χερὶ τῶν παίδων σου τῶν προφητῶν λέγων. ὅτι
ἡ γῆ εἰς ἣν εἰσπορεύεσθε κληρονομῆσαι, ἔστι γῆ μεμολυσμένη
μολυσμῷ τῶν ἀλλογενῶν τῆς γῆς. καὶ τῆς ἀκαθαρσίας αὐτῶν
ἐνέπλησαν αὐτήν. καὶ νῦν τὰς θυγατέρας μὴ συνοικήσετε
τοῖς υἱοῖς ἡμῶν καὶ τὰς θυγατέρας ἡμῶν μὴ δότε τοῖς υἱοῖς αὐ-
τῶν καὶ οὐ ζητήσετε εἰρηνεῦσαι τὰ πρὸς αὐτοὺς τὸν ἅπαντα
χρόνον ἵνα ἰσχύσαντες φάγητε τὰ ἀγαθὰ τῆς γῆς καὶ κατακληρο-
νομήσητε τοῖς τέκνοις ὑμῶν ἕως αἰῶνος. καὶ τὰ συμβαίνοντα πάν-
ἡμῖν γίνεται διὰ τὰ ἔργα ἡμῶν τὰ πονηρά, καὶ τὰς μεγάλας ἁμαρ-
τίας ἡμῶν. σὺ γὰρ κύριε ἐκούφισας τὰς ἁμαρτίας ἡμῶν καὶ ἔδω-
κας ἡμῖν τοιαύτην ῥίζαν πάλιν ἀνεκάμψαμεν παραβῆναι τὸν
νόμον σου εἰς τὸ ἐπιμιγῆναι τῇ ἀκαθαρσίᾳ τῶν ἐθνῶν τῆς γῆς.

οὐχὶ ὠργίσθης ἡμῖν· ἀπολέσαι ἡμᾶς, ἕως τοῦ μὴ καταλιπεῖν
ῥίζαν καὶ σπέρμα, καὶ ὄνομα ἡμῶν; κύριε τοῦ ἰσραὴλ ἀληθινὸς
εἶ κατελείφθημεν γὰρ ῥίζα ἐκ τῆς σήμερον· ἰδοὺ νῦν ἐσμὲν ἐ
νώπιόν σου ἐν ταῖς ἀνομίαις ἡμῶν· οὐ γάρ ἐστι στῆναι ἔτι ἔμπρο
σθέν σου ἐπὶ τούτοις. καὶ ὅτε προσευχόμενος ἔσδρας ἀνθωμο
λογεῖτο κλαίων χαμαιπετὴς ἔμπροσθεν τοῦ ἱεροῦ. ἐπισυνήχθη
σαν πρὸς αὐτὸν ἐξ ἱερουσαλὴμ ὄχλος πολὺς σφόδρα, ἄνδρες
καὶ γυναῖκες, καὶ νεανίαι, κλαυθμὸς γὰρ ἦν μέγας ἐν τῷ πλή
θει. καὶ φωνήσας ἰεχονίας ἰεήλου τῶν υἱῶν ἰσραὴλ εἶπεν ἔσδρα
ἡμεῖς ἡμάρτομεν εἰς τὸν κύριον θεὸν συνοικίσαμεν γυναῖκας ἀλ
λογενεῖς ἐκ τῶν ἐθνῶν τῆς γῆς· καὶ νῦν ἐστιν ἐπάνω πᾶς ἰσραὴλ
ἐν τούτῳ γινέσθω ἡμῖν ὁρκωμοσία πρὸς τὸν κύριον ἐκβαλεῖν πά
σας τὰς γυναῖκας ἡμῶν τὰς ἐκ τῶν ἀλλογενῶν σὺν τοῖς τέκνοις
αὐτῶν ὡς ἐκρίθη σοι· καὶ ὅσοι πειθαρχοῦσι τῷ νόμῳ κυρίου·
ἀνάστα ἐπιτέλει· πρὸς σὲ γὰρ τὸ πρᾶγμα καὶ ἡμεῖς μετὰ σοῦ
ἰσχὺν ποιεῖν·
ος' Καὶ ἀναστὰς ἔσδρας ὥρκισε τοὺς φυλάρχους τῶν ἱερέων
καὶ λευιτῶν παντὸς τοῦ ἰσραὴλ ποιῆσαι κατὰ ταῦτα καὶ ὤμοσαν·

Κεφάλαιον θ. 9.

οζ' Αἰ ἀναστὰς ἔσδρας ἀπὸ τῆς αὐλῆς τοῦ ἱεροῦ ἐπο
κ ρεύθη εἰς τὸ παστοφόριον ἰωάννου τοῦ ἐλιασίβου καὶ
αὐλισθεὶς ἐκεῖ ἄρτου οὐκ ἐγεύσατο οὐδὲ ὕδωρ ἔπιε
πενθῶν ἐπὶ τῶν ἀνομιῶν τῶν μεγάλων τοῦ πλήθους.
οη' Καὶ ἐγένετο κήρυγμα ἐν ὅλῃ τῇ ἰουδαίᾳ καὶ ἱερουσα
λὴμ πᾶσι τοῖς ἐκ τῆς αἰχμαλωσίας συναχθῆναι εἰς ἱερουσαλὴμ
καὶ ὅσοι ἂν μὴ ἀπαντήσωσιν ἐν δυσὶν ἢ τρισὶν ἡμέραις, κα
τὰ τὸ κρίμα τῶν προκαθημένων πρεσβυτέρων ἀνιερωθήσονται
τὰ κτήνη αὐτῶν· καὶ αὐτὸς ἀλλοτριωθήσεται ἀπὸ τοῦ πλήθους
τῆς αἰχμαλωσίας.
οθ' Καὶ ἐπισυνήχθησαν πάντες οἱ ἐκ τῆς φυλῆς ἰούδα

καὶ βενιαμὶν ἐν τρισὶν ἡμέραις ἐν ἱερουσαλήμ. οὗτος ὁ μὴν ἔννατος τῇ εἰκάδι τοῦ μηνός. καὶ συνεκάθισε πᾶν τὸ πλῆθος ἐν τῷ εὐρυχώρῳ τοῦ ἱεροῦ τρέμοντες διὰ τὸν ἐνεστῶτα χειμῶνα.

π Καὶ ἀναστὰς ἔσδρας εἶπεν αὐτοῖς. ὑμεῖς ἠνομήσατε καὶ συνῳκίσατε γυναῖκας ἀλλογενεῖς τοῦ προσθεῖναι ἁμαρτίας τῷ ἰσραήλ. καὶ νῦν δότε ὁμολογίαν δόξαν τῷ κυρίῳ θεῷ τῶν πατέρων ἡμῶν. καὶ ποιήσατε τὸ θέλημα αὐτοῦ. καὶ χωρίσθητε ἀπὸ τῶν ἐθνῶν τῆς γῆς. καὶ ἀπὸ τῶν γυναικῶν τῶν ἀλλογενῶν.

πα Καὶ ἐφώνησαν ἅπαν τὸ πλῆθος, καὶ εἶπον μεγάλῃ τῇ φωνῇ οὕτως ὡς εἴρηκας ποιήσομεν ἀλλὰ τὸ πλῆθος πολύ. καὶ ὥρα χειμερινή, καὶ οὐκ ἰσχύομεν στῆναι αἴθριοι. καὶ τὸ ἔργον οὐκ ἔστιν ἡμῖν ἡμέρας μιᾶς οὐδὲ δύο, ἐπὶ πλεῖον γὰρ ἡμάρτομεν ἐν τούτοις. στήτωσαν δὲ οἱ προηγούμενοι τοῦ πλήθους. καὶ πάντες οἱ ἐκ τῶν κατοικιῶν ἡμῶν ὅσοι ἔχουσι γυναῖκας ἀλλογενεῖς, παραγενηθήτωσαν λαβόντες χρόνον καὶ ἑκάστου δὲ τόπου, τοὺς πρεσβυτέρους καὶ τοὺς κριτὰς, ἕως τοῦ λῦσαι τὴν ὀργὴν κυρίου ἀφ' ἡμῶν, τοῦ προστάγματος τούτου.

πβ Ἰωνάθας ἀζαὴλ καὶ ἐζεκίας θωκανοῦ, ἐπεδέξαντο κατὰ ταῦτα. καὶ μοσόλλαμος. καὶ λευίς. καὶ σαββαταῖος. συνεβράβευσαν αὐτοῖς. καὶ ἐποίησαν κατὰ πάντα ταῦτα οἱ ἐκ τῆς αἰχμαλωσίας.

πγ Καὶ ἐπελέξατο αὐτῷ ἔσδρας ὁ ἱερεὺς ἄνδρας ἡγουμένους τῶν πατέρων αὐτῶν κατ' ὄνομα πάντας. καὶ συνεκάθισαν τῇ νουμηνίᾳ, τοῦ μηνὸς τοῦ δεκάτου αἰτῆσαι τὸ πρᾶγμα. καὶ ἤχθη ἐπὶ πέρας τὰ κατὰ τοὺς ἄνδρας τοὺς ἐπισυνέχοντας γυναῖκας ἀλλογενεῖς, ἕως τῆς νουμηνίας τοῦ πρώτου μηνός.

πδ Καὶ εὑρέθησαν τῶν ἱερέων οἱ ἐπισυνεχθέντες ἀλλογενεῖς γυναῖκας ἔχοντες. ἐκ τῶν υἱῶν ἰησοῦ τοῦ ἰωσεδὲκ, καὶ τῶν ἀδελφῶν ματθήλας καὶ ἐλιάζαρος καὶ ἰάριβος, καὶ ἰωάδανος.

καὶ ἐπέβαλον τὰς χεῖρας ἐκβαλεῖν τὰς γυναῖκας ἑαυτῶν καὶ εἰς ἐ-
ξιλασμὸν, κριοὺς ὑπὲρ τῆς ἀγνοίας αὐτῶν.
πε Καὶ ἐκ τῶν υἱῶν ἐμμήρ· ἀνανίας καὶ ζαβδαῖος· καὶ ἤάνης
καὶ σαμαῖος, καὶ ἱερεὴλ καὶ ἀζάριος.
πϛ Καὶ τῶν υἱῶν φαισοῦ. ἐλλιονὰς μασσίας· ἰσμάηλος
καὶ ναθανάηλος· καὶ ὠκίδηλος καὶ ταλσάς.
πζ Καὶ ἐκ τῶν λευιτῶν ἰωζαβάδος καὶ σεμὶς καὶ κώλιος οὗ-
τος ἐστι καλιτὰς καὶ παθαῖος καὶ ὠούδας καὶ ἰωνάς.
πη Ἐκ τῶν ἱεροψαλτῶν· ἐλιάζουφος βάκχουρος.
πθ Ἐκ τῶν θυρωρῶν, σάλλουμος καὶ τολβάνης.
ϙ Ἐκ τῶν ἰσραὴλ ἐκ τῶν υἱῶν φόρος ἱερμαίας· καὶ ἰεδ-
δίας· καὶ μελχίας καὶ μάηλος· καὶ ἐλεαζαράρος· καὶ ἀσι-
βίας καὶ βαναίας.
ϙα Ἐκ τῶν υἱῶν ἠλὰ ματθανίας· ζαχαρίας καὶ ἱερίηλος
καὶ ἱερεμώθ· καὶ ἀηδίας.
ϙβ Καὶ ἐκ τῶν υἱῶν ζαμὼθ ἐλιαδᾶς ἐλίσιμος ὀθονί-
ας ἰαριμώθ· καὶ σάβατος καὶ σαρδαῖος.
ϙγ Ἐκ τῶν υἱῶν βηβαὶ ἰωάννης· καὶ ἀνανίας καὶ ἰωσάβα-
δος καὶ ἐμαθείς.
ϙδ Ἐκ τῶν υἱῶν μανί· ὠλαμός· μαμοῦχος ἰεδαῖος ἰάσου-
βος· καὶ ἰασάηλος· καὶ ἱερεμώθ.
ϙε Καὶ ἐκ υἱῶν ἀδδί· νάαθος καὶ μοοσίας· λακκοῦνος καὶ
ναΐδος· καὶ ματθανίας καὶ σεσθήλ· καὶ βάλνουος· καὶ μανασσῆς.
ϙϛ Καὶ ἐκ τῶν υἱῶν ἄννας· ἐλιωνὰς καὶ ἀσέας· καὶ μελχί-
ας· καὶ σαββαῖος καὶ σίμμων χοσάμεως.
ϙζ Καὶ ἐκ τῶν υἱῶν ἀσώμ· ἀλταναῖος καὶ ματθίας· καὶ
βανναία, ἐλιφαλάτ· καὶ μανασσῆς· καὶ σεμεΐ.
ϙη Καὶ ἐκ τῶν υἱῶν μαανί, ἱερεμίας μομδὶς· ἰωμάηρος
ἰουὴλ μαμαΐ· καὶ πεδίας· καὶ ἄνως· καραβασίων καὶ ἐνάσιβος καὶ
μαμνιματαναῖμος ἐλιασιαςὶς, βαννοῦς· ἐλιαλεὶ σαμὶς σελεμί-
ας ναθανί-

ας ναθανίας.

ϙθ' Καὶ ἐκ τῶν υἱῶν ὀζωρὰ, σεσὶς ἐσρὶλ ἀζαήλος σαμα-
ῖος ζαμβίς. ἰώσηφος.

ρ' Καὶ τῶν υἱῶν ἐθμὰ μαζιτίας ζαβαδαίας ἠδὲς ἰουὴλ βα-
ναίας. πάντες οὗτοι συνῴκησαν γυναῖκας ἀλλογενεῖς. καὶ ἀπέ-
λυσαν αὐτὰς σὺν τέκνοις.

ρα' Καὶ κατῴκησαν οἱ ἱερεῖς καὶ οἱ λευῖται. καὶ οἱ ἐκ τοῦ ἰ-
σραὴλ ἐν ἱερουσαλήμ. καὶ ἐν τῇ χώρᾳ τῇ νουμηνίας τοῦ μηνὸς
τοῦ ἑβδόμου, καὶ οἱ υἱοὶ ἰσραὴλ ἐν ταῖς κατοικίαις αὐτῶν.

ρβ' Καὶ συνήχθη πᾶν τὸ πλῆθος ὁμοθυμαδὸν ἐπὶ τὸ εὐ-
ρύχωρον τοῦ πρὸς ἀνατολὰς τοῦ ἱεροῦ πυλῶνος. καὶ εἶπον ἔσ-
δρᾳ τῷ ἱερεῖ καὶ ἀναγνώστῃ, κομίσαι τὸν νόμον μωϋσῆ. τὸν πα-
ραδοθέντα ὑπὸ κυρίου θεοῦ ἰσραήλ.

ργ' Καὶ ἐκόμισεν ἔσδρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ
τῷ πλήθει ἀπὸ ἀνθρώπου ἕως γυναικὸς, καὶ πᾶσι τοῖς ἱερεῦσιν
ἀκοῦσαι τοῦ νόμου, νουμηνίᾳ τοῦ ἑβδόμου μηνός.

ρδ' Καὶ ἀνεγίνωσκεν, ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυλῶνος εὐ-
ρυχώρῳ ἐξ ὄρθρου ἕως μέσης ἡμέρας ἐνώπιον ἀνδρῶν τε καὶ γυ-
ναικῶν, καὶ ἐπέδωκαν πᾶν τὸ πλῆθος εἰς τὸν νόμον.

ρε' Καὶ ἔστη ἔσδρας ὁ ἱερεὺς καὶ ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ
ξυλίνου βήματος τοῦ κατασκευασθέντος καὶ ἔστησαν παρ' αὐτῷ
ματταθίας. σαμμούς. ἀνανίας ἀζαρίας. οὐρίας. ἐζεκίας βααλ-
σαμος ἐκ δεξιῶν. καὶ ἐξ εὐωνύμων. φαλδαῖος καὶ σαὰλ μελχίας
ἀωθάσυφος. ναβαρίας. καὶ ἀναλαβὼν ἔσδρας τὸ βιβλίον τοῦ νόμου
ἐνώπιον τοῦ πλήθους. προεκάθητο γὰρ ἐπιδόξως ἐνώπιον πάντων
καὶ ἐν τῷ λῦσαι τὸν νόμον πάντες ὀρθοὶ ἔστησαν. καὶ εὐλόγησεν
ἔσδρας τῷ κυρίῳ θεῷ ὑψίστῳ θεῷ σαβαὼθ παντοκράτορι. καὶ
ἐπεφώνησε πᾶν τὸ πλῆθος ἀμήν.

ρϛ' Καὶ ἄραντες ἄνω τὰς χεῖρας, προσπεσόντες ἐπὶ
τὴν γῆν, προσεκύνησαν τῷ κυρίῳ ἰησοῦς. καὶ ἀνοὺς καὶ σαρα

βίας· καὶ ἀδινός· καὶ ἰακοῦβος· σαβαταίας, αὐταίας μαα-
σαίας· καὶ καλιτάς· ἀζαρίας καὶ ἰωάζαβδος· καὶ ἀνανίας βία-
τας οἱ λευῖται, ἐδίδασκον τὸν νόμον τοῦ κυρίου ἐμφυσιοῦντες
ἅμα τὴν ἀνάγνωσιν.

ρζ´ Καὶ εἶπον ἀθθαρσάθας ἔσδρα τῷ ἀρχιερεῖ καὶ ἀνα-
γνώστῃ καὶ τοῖς λευίταις τοῖς διδάσκουσι τὸ πλῆθος ἐπὶ πάν-
τας, ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ κυρίῳ καὶ πάντες ἔκλαιον
ἐν τῷ ἀκοῦσαι τοῦ νόμου βαδίζοντες οὖν, φάγετε λιπάσματα
καὶ πίετε γλυκάσματα· καὶ ἀποστείλατε ἀποστολὰς τοῖς μὴ ἔ-
χουσιν, ἁγία γὰρ ἡμέρα τῷ κυρίῳ· καὶ μὴ λυπεῖσθε ὁ γὰρ θε-
ὸς κύριος δοξάσει ὑμᾶς.

ρη´ Καὶ οἱ λευῖται ἐκέλευον τὰ πάντα τῷ δήμῳ λέγον-
τες, ἡ ἡμέρα αὕτη ἁγία τῷ κυρίῳ· μὴ λυπεῖσθε.

ρθ´ Καὶ ᾤχοντο πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραί-
νεσθαι καὶ δοῦναι ἀποστολὰς τοῖς μὴ ἔχουσι.
καὶ εὐφρανθῆναι μεγάλως, ὅτι γὰρ ἐνε-
φυσιώθησαν ἐν τοῖς ῥήμασιν οἷς ἐ-
διδάχθησαν καὶ ἐπισυνή-
χθησαν.

Τέλος Ἔσδρας.

Κεφάλαιον α. 1.

Αγαπήσατε δικαιοσύνην οἱ κρίνοντες τὴν γῆν. περὶ φρονήσατε τοῦ κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν. ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτὸν ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ τοῦ θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει τοὺς ἄφρονας. ὅτι εἰς κακότεχνον ψυχὴν, οὐκ εἰσελεύσεται σοφία οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας. ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον. καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων. καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. φιλάνθρωπον γὰρ πνεῦμα σοφία καὶ οὐκ ἀθωώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ. ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ θεὸς, καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθής. καὶ τῆς γλώσσης ἀκουστής, ὅτι πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα, γνῶσιν ἔχει φωνῆς. διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ. οὐδὲ μὴ παροδεύσῃ αὐτὸν, ἐλέγχουσα ἡ δίκη. ἐν γὰρ διαβουλίοις ἀσεβοῦς, ἐξέτασις ἔσται. λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς κύριον ἥξει. εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ. ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα. καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται. φυλάξασθε τοίνυν γογγυσμὸν ἀνωφελῆ. καὶ ἀπὸ καταλαλιᾶς φείσασθε γλώσσης. ὅτι φθέγμα λαθραῖον κενὸν οὐ πορεύσεται. στόμα δὲ καταψευδόμενον ἀναιρεῖ ψυχήν. μὴ ζηλοῦτε θάνατον ἐν πλάνῃ ζωῆς ὑμῶν. μηδὲ ἐπισπᾶσθε ὄλεθρον ἔργοις χειρῶν ὑμῶν. ὅτι ὁ θεὸς θάνατον οὐκ ἐποίησεν. οὐδὲ τέρπεται ἐν ἀπωλείᾳ ζώντων. ἔκτισεν γὰρ εἰς τὸ εἶναι τὰ πάντα. καὶ σωτήριοι αἱ γενέσεις τοῦ κόσμου. καὶ οὐκ ἔστιν ἐν αὐταῖς φάρμακον ὀλέθρου. οὔτε ᾅδου βασίλειον ἐπὶ γῆς. δικαιοσύνη γὰρ ἀθάνατός ἐστιν. ἀσεβεῖς δὲ ταῖς χερσὶν καὶ τοῖς λόγοις προσεκαλέσαντο αὐτόν. φίλον ἡγησάμενοι

αὐτὸν ἐτάκησαν· καὶ συνθήκην ἔθεντο πρὸς αὐτὸν, ὅτι ἄξιοί εἰσιν τῆς ἐκείνου μερίδος εἶναι.

Κεφάλαιον β. 2.

Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς· ὀλίγος ἐστὶ, καὶ λυπηρὸς ὁ βίος ἡμῶν· καὶ οὐκ ἔστιν ἴασις ἐν τελευτῇ ἀνθρώπου· καὶ οὐκ ἐγνώσθη ὁ ἀναλύσας ἐξ ᾅδου· ὅτι αὐτοσχεδίως ἐγενήθημεν· καὶ μετὰ τοῦτο ἐσόμεθα ὡς οὐχ ὑπάρξαντες· ὅτι καπνὸς ἡ πνοὴ ἐν ῥισὶν ἡμῶν· καὶ ὁ λόγος σπινθὴρ ἐν κινήσει καρδίας ἡμῶν· οὗ σβεσθέντος τέφρα ἀποβήσεται τὸ σῶμα· καὶ τὸ πνεῦμα διαχυθήσεται ὡς χαῦνος ἀήρ· καὶ τὸ ὄνομα ἡμῶν ἐπιλησθήσεται ἐν χρόνῳ, καὶ οὐθεὶς μνημονεύσει τῶν ἔργων ἡμῶν· καὶ παρελεύσεται ὁ βίος ἡμῶν ὡς ἴχνη νεφέλης· καὶ ὡς ὁμίχλη διασκεδασθήσεται διωχθεῖσα ὑπὸ ἀκτίνων ἡλίου καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα· σκιᾶς γὰρ πάροδος ὁ καιρὸς ἡμῶν· καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν· ὅτι κατεσφραγίσθη, καὶ οὐδεὶς ἀναστρέφει· δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν, καὶ χρησώμεθα τῇ κτίσει ὡς νεότητι σπουδαίως· οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν· καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἀέρος· στεψώμεθα ῥόδων κάλυξιν πρὶν ἢ μαρανθῆναι· μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας· πανταχῆ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης, ὅτι αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος· καταδυναστεύσωμεν πένητα δίκαιον· μὴ φεισώμεθα χήρας, μηδὲ πρεσβύτου, ἐντραπῶμεν πολιὰς πολυχρονίους· ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης, τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται· ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν· καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου, καὶ ἐπιφημίζεται ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν· ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ· καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει· ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν βαρὺς

ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐ-
τοῦ. καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ εἰς κίβδηλον ἐλογίσθημεν
αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν, ὡς ἀπὸ ἀκαθαρσιῶν μα-
καρίζει ἔσχατα δικαίων, καὶ ἀλαζονεύεται πατέρα θεόν. ἴδω-
μεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς. καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐ-
τοῦ. εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ ἀντιλήψεται αὐτοῦ. καὶ ῥύσε-
ται αὐτόν, ἐκ χειρὸς ἀνθεστηκότων. ὕβρει, καὶ βασάνῳ ἐτάσωμεν
αὐτόν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ. καὶ δοκιμάσωμεν τὴν ἀ-
νεξικακίαν αὐτοῦ θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν. ἔσ-
ται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. ταῦτα ἐλογίσαντο καὶ ἐ-
πλανήθησαν. ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν, καὶ οὐκ
ἔγνωσαν μυστήρια θεοῦ. οὐδὲ μισθὸν ἤλπισαν ὁσιότητος οὐδὲ
ἔκριναν γέρας ψυχῶν ἀμώμων, ὅτι ὁ θεὸς ἔκτισεν τὸν ἄνθρω-
πον ἐπ᾽ ἀφθαρσίᾳ. καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐ-
τόν. φθόνῳ δὲ διαβόλου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον. πει-
ράζουσι δὲ αὐτὸν οἱ τῆς ἐκείνου μερίδος ὄντες.

Κεφάλαιον γ΄.

δ Ικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ. καὶ οὐ μὴ ἅψη-
ται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρό-
νων τεθνάναι. καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐ-
τῶν. καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρή-
νῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν
ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργ-
ετηθήσονται. ὅτι ὁ θεὸς ἐπείρασεν αὐτούς. καὶ εὗρεν αὐ-
τοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐ-
τούς. καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. καὶ
ἐν καιρῷ ἐπισκοπῆς, αὐτῶν ἀναλάμψουσιν. καὶ ὡς σπινθῆ-
ρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη καὶ κρατήσου-
σι λαῶν. καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας. οἱ
πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ

ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ. καὶ ἐπισκοπὴ, ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ. οἱ δὲ ἀσεβεῖς καθὰ ἐλογίσαντο ἕξουσιν ἐπιτιμίαν. οἱ ἀμελήσαντες τοῦ δικαίου καὶ τοῦ κυρίου ἀποστάντες. σοφίαν γὰρ καὶ παιδείαν ἐξουθενῶν ταλαίπωρος. καὶ κενὴ ἡ ἐλπὶς αὐτῶν. καὶ οἱ κόποι ἀνόνητοι. καὶ ἄχρηστα τὰ ἔργα αὐτῶν. αἱ γυναῖκες αὐτῶν ἄφρονες καὶ πονηρὰ τὰ τέκνα αὐτῶν. ἐπικατάρατος ἡ γένεσις αὐτῶν. ὅτι μακαρία στεῖρα ἡ ἀμίαντος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι. ἕξει καρπὸν ἐν ἐπισκοπῇ ψυχῶν. καὶ εὐνοῦχος ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα μηδὲ ἐνθυμηθεὶς, κατὰ τοῦ κυρίου πονηρά. δοθήσεται γὰρ αὐτῷ τῆς πίστεως χάρις ἐκλεκτὴ. καὶ κλῆρος ἐν ναῷ κυρίου θυμηδέστερος. ἀγαθῶν γὰρ πόνων, καρπὸς εὐκλεής. καὶ ἀδιάπτωτος ἡ ῥίζα τῆς φρονήσεως. τέκνα δὲ μοιχῶν ἀτέλεστα ἔσται. καὶ ἐκ παρανόμου κοίτης σπέρμα ἀφανισθήσεται. ἐάν τε γὰρ μακρόβιοι γένωνται εἰς οὐθὲν λογισθήσονται. καὶ ἄτιμον ἐπ' ἐσχάτων τὸ γῆρας αὐτῶν. ἐάν τε ὀξέως τελευτήσωσιν οὐκ ἔχουσιν ἐλπίδα. οὐδὲ ἐν ἡμέρᾳ διαγνώσεως παραμύθιον. γενεᾶς γὰρ ἀδίκου, χαλεπὰ τὰ τέλη.

Κεφάλαιον δ΄. 4

Ρείσσων ἀτεκνία μετὰ ἀρετῆς. ἀθανασία γάρ ἐστιν
κ ἐν μνήμῃ αὐτῆς, ὅτι καὶ παρὰ θεῷ γινώσκεται, καὶ
παρὰ ἀνθρώποις. παροῦσάν τε μιμοῦνται αὐτὴν καὶ ποθοῦσιν ἀπελθοῦσαν. καὶ ἐν τῷ αἰῶνι στεφανηφοροῦσα πομπεύει. τὸν τῶν ἀμιάντων ἄθλων ἀγῶνα νικήσασα. πολύγονον δὲ ἀσεβῶν πλῆθος οὐ χρησιμεύσει. καὶ ἐκ νόθων μοσχευμάτων, οὐ δώσει ῥίζαν εἰς βάθος. οὐδὲ ἀσφαλῆ βάσιν ἑδράσει. κἂν γὰρ ἐν κλάδοις πρὸς καιρὸν ἀναθάλῃ. ἐπισφαλῶς βεβηκότα, ὑπὸ ἀνέμου σαλευθήσεται, καὶ ὑπὸ βίας ἀνέμων ἐκριζωθήσεται. περικλασθήσονται κλῶνες ἀτέλεστοι. καὶ ὁ καρπὸς αὐτῶν ἄχρηστος, ἄωρος εἰς βρῶσιν, καὶ εἰς οὐθὲν ἐπιτήδειος. ἐκ γὰρ

ἀνόμων ὕπνων τέκνα γινόμενα, μάρτυρές ἐστιν πονηρίας κα-
τὰ γονέων ἐν ἐξετασμῷ αὐτῶν. δίκαιος δὲ ἐὰν φθάσῃ τελευ-
τῆσαι ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον
οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. πολιὰ δέ ἐστιν φρόνησις ἀν-
θρώποις. καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. εὐάρεστος τῷ
θεῷ γενόμενος ἠγαπήθη. καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέ-
θη. ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ. ἢ δόλος ἀπατή-
σῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ κα-
λά. καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον.
τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσεν χρόνους μακρούς. ἀρεστὴ γὰρ
ἦν κυρίῳ ἡ ψυχὴ αὐτοῦ. διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονη-
ρίας. οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες μηδὲ θέντες ἐ-
πὶ διανοίᾳ τὸ τοιοῦτο, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις, αὐ-
τοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ. κατακρινεῖ δὲ δίκαιος
θανὼν τοὺς ζῶντας ἀσεβεῖς. καὶ νεότης τελεσθεῖσα ταχέως πο-
λυετὲς γῆρας ἀδίκου. ὄψονται γὰρ τελευτὴν σοφοῦ καὶ οὐ νοή-
σουσιν τί ἐβουλεύσατο περὶ αὐτοῦ. καὶ εἰς τί ἠσφαλίσατο αὐ-
τὸν ὁ κύριος. ὄψονται καὶ ἐξουθενήσουσιν. αὐτοὺς δὲ ὁ κύριος
ἐκγελάσεται. καὶ ἔσονται μετὰ τοῦτο εἰς πτῶμα ἄτιμον. καὶ εἰς
ὕβριν ἐν νεκροῖς δι' αἰῶνος. ὅτι ῥήξει αὐτοὺς ἀφρόνους πρηνεῖς.
καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων. καὶ ἕως ἐσχάτου χερσωθή-
σονται. καὶ ἔσονται ἐν ὀδύνῃ. καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται. ἐ-
λεύσονται ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί. καὶ ἐλέ-
γξει αὐτοὺς ἐξεναντίας τὰ ἀνομήματα αὐτῶν.

Κεφάλαιον ε. 5

Ὅτε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος κατὰ πρό-
σωπον τῶν θλιψάντων αὐτόν. καὶ τῶν ἀθετούντων τοὺς
πόνους αὐτοῦ. ἰδόντες ταραχθήσονται φόβῳ δεινῷ. καὶ ἐκστήσον-
ται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας, ἐροῦσιν ἐν αὐτοῖς μετανοοῦν-

του· καὶ διὰ στενοχωρίαν πνεύματος στενάξονται. οὗτος ἦν ὃν ἔσχομέν
ποτὲ εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες.
τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν· καὶ τὴν τελευτὴν αὐτοῦ
ἄτιμον· πῶς κατελογίσθη ἐν υἱοῖς θεοῦ καὶ ἐν ἁγίοις ὁ κλῆρος αὐ
τοῦ ἐστιν· ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας· καὶ τὸ τῆς δικαι
οσύνης φῶς οὐκ ἔλαμψεν ἡμῖν· καὶ ὁ ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν·
ἀνομίας ἐνεπλήσθημεν τρίβοις, καὶ ἀπωλείας· καὶ διωδεύσαμεν
ἐρήμους ἀβάτους· τὴν δὲ ὁδὸν κυρίου οὐκ ἔγνωμεν· τί ὠφέλη
σεν ἡμᾶς ὑπερηφανία· καὶ τί πλοῦτος μετὰ ἀλαζονίας συμβέ
βληται ἡμῖν· παρῆλθεν ἐκεῖνα πάντα, ὡς σκιὰ καὶ ὡς ἀγγελία
παρατρέχουσα· ὡς ναῦς διερχομένη κυμαινόμενον ὕδωρ ἧς δι
αβάσεως οὐκ ἔστιν ἴχνος εὑρεῖν· οὐδὲ ἀτραπὸν τρίβον αὐτῆς ἐν
κύμασιν· ἢ ὡς ὀρνέου διαπτάντος ἀέρα, οὐθὲν εὑρίσκεται τε
κμήριον πορείας· πληγῇ δὲ ταρσῶν μαστιζόμενον πνεῦμα κοῦ
φον, καὶ σχιζόμενον βίᾳ ῥοίζου· κινουμένων πτερύγων διωδεύθη
καὶ μετὰ τοῦτο οὐχ εὑρέθη σημεῖον ἐπιβάσεως ἐν αὐτῷ, ἢ ὡς βέ
λους βληθέντος ἐπὶ σκοπὸν, τμηθεὶς ὁ ἀὴρ, εὐθέως εἰς ἑαυτὸν ἀνε
λύθη, ὡς ἀγνοῆσαι τὴν δίοδον αὐτοῦ, οὕτως καὶ ἡμεῖς, γεννηθέν
τες ἐξελίπομεν· καὶ ἀρετῆς μὲν σημεῖον, οὐδὲν ἔχομεν δεῖξαι· ἐν
δὲ τῇ κακίᾳ ἡμῶν κατεδαπανήθημεν· ὅτι ἐλπὶς ἀσεβοῦς, ὡς
φερόμενος χνοῦς ὑπὸ ἀνέμου· καὶ ὡς πάχνη ὑπὸ λαίλαπος δι
ωχθεῖσα λεπτή· καὶ ὡς καπνὸς ὑπὸ ἀνέμου διεχύθη, καὶ ὡς μνεία
καταλύτου μονοημέρου παρώδευσεν· δίκαιοι δὲ εἰς τὸν αἰῶ
να ζῶσιν· καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν περὶ ὑ
ψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας· καὶ τὸ διά
δημα τοῦ κάλλους ἐκ χειρὸς κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐ
τούς· καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψεται πανοπλίαν
τὸν ζῆλον αὐτοῦ· καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν
ἐνδύσεται θώρακα δικαιοσύνην· καὶ περιθήσεται κόρυθα κρί
σιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν. καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται. καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης. ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία. καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν.

Κεφάλαιον. ς 6.

α Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους. καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. ὅτι ἐδόθη παρὰ τοῦ κυρίου ἡ κράτησις ὑμῖν. καὶ ἡ δυναστεία παρὰ ὑψίστου, ὃς ἐξετάσει ὑμῶν τὰ ἔργα καὶ τὰς βουλὰς διερευνήσει. ὅτι ὑπηρέται ὄντες τῆς αὐτοῦ βασιλείας, οὐκ ἐκρίνατε ὀρθῶς οὐδὲ ἐφυλάξατε νόμον. οὐδὲ κατὰ τὴν βουλὴν τοῦ θεοῦ ἐπορεύθητε. φρικτῶς, καὶ ταχέως ἐπιστήσεται ὑμῖν. ὅτι κρίσις ἀπότομος ἐν τοῖς ὑπερέχουσι γίνεται. ὁ γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους, δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. οὐ γὰρ ὑποστελεῖται πρόσωπον ὁ πάντων δεσπότης, οὐδὲ ἐντραπήσεται μέγεθος. ὅτι μικρὸν, καὶ μέγαν αὐτὸς ἐποίησεν. ὁμοίως τε προνοεῖ περὶ πάντων. τοῖς δὲ κραταιοῖς, ἰσχυρὰ ἐπίσταται ἔρευνα. πρὸς ὑμᾶς οὖν ὦ τύραννοι οἱ λόγοι μου. ἵνα μάθητε σοφίαν, καὶ μὴ παραπέσητε. οἱ γὰρ φυλάξαντες ὁσίως τὰ ὅσια ὁσιωθήσονται, καὶ οἱ διδαχθέντες αὐτὰ εὑρήσουσιν ἀπολογίαν. ἐπιθυμήσατε οὖν τῶν λόγων μου. ποθήσατε καὶ παιδευθήσεσθε. λαμπρὰ καὶ ἀμάραντός ἐστιν ἡ σοφία καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτὴν καὶ εὑρίσκεται ὑπὸ τῶν ζητούντων αὐτήν. φθάνει τοὺς ἐπιθυμοῦντας προγνωσθῆναι. ὁ ὀρθρίσας ἐπ' αὐτὴν οὐ κοπιάσει. πάρεδρον

πάρεδρον γὰρ εὑρήσει τῶν πυλῶν αὐτοῦ. τὸ γὰρ ἐνθυμηθῆναι περὶ αὐτῆς φρονήσεως τελειότης. καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται. ὅτι τοὺς ἀξίους αὐτῆς, αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς, καὶ ἐν πάσῃ ἐπινοίᾳ, ὑπαντᾷ αὐτοῖς. ἀρχὴ γὰρ αὐτῆς ἡ ἀληθεστάτη παιδείας ἐπιθυμία. φροντὶς δὲ παιδείας ἀγάπη. ἀγάπη δὲ τήρησις νόμων αὐτῆς. προσοχὴ δὲ νόμων, βεβαίωσις ἀφθαρσίας. ἀφθαρσία δὲ ἐγγὺς εἶναι ποιεῖ θεοῦ. ἐπιθυμία ἄρα σοφίας, ἀνάγει ἐπὶ βασιλείαν, εἰ οὖν ἥδεσθε ἐπὶ θρόνοις, καὶ σκήπτροις τύραννοι λαῶν. τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. τί δέ ἐστι σοφία καὶ πῶς ἐγένετο ἀπαγγελῶ. καὶ οὐκ ἀποκρύψω ὑμῖν μυστήρια, ἀλλὰ ἀπ' ἀρχῆς γενέσεως ἐξιχνιάσω. καὶ θήσω εἰς τὸ ἐμφανὲς, τὴν γνῶσιν αὐτῆς, καὶ οὐ μὴ παροδεύσω τὴν ἀλήθειαν. οὔτε μὴν φθόνῳ τετηκότι συνοδεύσω, ὅτι οὗτος οὐ κοινωνήσει σοφίᾳ, πλῆθος δὲ σοφῶν σωτηρία κόσμου καὶ βασιλεὺς φρόνιμος, εὐστάθεια δήμου. ὥστε παιδεύεσθε τοῖς ῥήμασίν μου, καὶ ὠφεληθήσεσθε. εἰμὶ μὲν κἀγὼ θνητὸς ἄνθρωπος ἴσος ἅπασιν, καὶ γηγενοῦς ἀπόγονος πρωτοπλάστου. καὶ ἐν κοιλίᾳ μητρὸς ἐλήφθη σάρξ. δεκαμηνιαίῳ παγεὶς, ἐν αἵματι ἐκ σπέρματος ἀνδρὸς μὴ ἡδονῆς ὕπνῳ συνελθούσης.

Κεφάλαιον ζ. 7.

Αἰ ἐγὼ δὲ γενόμενος ἔσπασα τὸν κοινὸν ἀέρα. καὶ
κ ἐπὶ τὴν ὁμοιοπαθῆ κατέπεσον γῆν. πρώτην φωνὴν τὴν ὁμοίαν πᾶσιν ἴσα κλαίων. ἐν σπαργάνοις ἀνετράφην, καὶ ἐν φροντίσιν. οὐδεὶς γὰρ βασιλεὺς ἑτέραν ἔσχεν γενέσεως ἀρχήν. μία δὲ πάντων εἴσοδος εἰς τὸν βίον. ἔξοδός τε ἴση. διὰ τοῦτο εὐξάμην, καὶ φρόνησις ἐδόθη μοι. ἐπεκαλεσάμην καὶ ἦλθέν μοι πνεῦμα σοφίας. προέκρινα αὐτὴν, σκήπτρων, καὶ θρόνων. καὶ πλοῦτον οὐδὲν ἡγησάμην ἐν συγκρίσει αὐτῆς. οὐδὲ ὡμοίωσα αὐτῇ λίθον ἀτίμητον. ὅτι ὁ πᾶς χρυσὸς ἐν ὄψει αὐτῆς ψάμμος

ὀλίγη. καὶ ὡς πηλὸς λογισθήσεται ἄργυρος ἐναντίον αὐτῆς. ὑπὲρ
ὑγίειαν, καὶ εὐμορφίαν ἠγάπησα αὐτὴν. καὶ προειλόμην αὐτὴν
ἀντὶ φωτὸς ἔχειν. ὅτι ἀκοίμητον τὸ ἐκ ταύτης φέγγος. ἦλθεν δέ
μοι τὰ ἀγαθὰ ὁμοῦ πάντα μετ' αὐτῆς. καὶ ἀναρίθμητος πλοῦ-
τος ἐν χερσὶν αὐτῆς. εὐφράνθην δὲ ἐπὶ πάντων. ὅτι αὐτῶν ἡγεῖται
σοφία. ἠγνόουν δὲ αὐτὴν γένεσιν εἶναι τούτων. ἀδόλως τε ἔ-
μαθον. ἀφθόνως μεταδίδωμι. τὸν πλοῦτον αὐτῆς οὐκ ἀποκρύπτο-
μαι. ἀνεκλιπὴς γὰρ θησαυρός ἐστιν ἀνθρώποις. ὃν οἱ χρησάμενοι
πρὸς θεὸν ἐστείλαντο φιλίαν, διὰ τὰς παιδείας δωρεὰς συσταθέν-
τες. ἐμοὶ δὲ δώκοι ὁ θεὸς εἰπεῖν κατὰ γνώμην. καὶ ἐνθυμηθῆναι
ἀξίως τῶν διδομένων. ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι.
καὶ τῶν σοφῶν διορθωτής. ἐν γὰρ χειρὶ αὐτοῦ, καὶ ἡμεῖς καὶ οἱ
λόγοι ἡμῶν. πᾶσά τε φρόνησις, καὶ ἐργατειῶν ἐπιστήμη. αὐτὸς
γάρ μοι ἔδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ. εἰδέναι σύστασιν
κόσμου, καὶ ἐνέργειαν στοιχείων ἀρχὴν καὶ τέλος, καὶ μεσό-
τητα χρόνων. τροπῶν ἀλλαγὰς, καὶ μεταβολὰς καιρῶν. ἐνιαυτοῦ
κύκλους. καὶ ἀστέρων θέσεις. φύσεις ζώων, καὶ θυμοὺς θηρίων.
πνευμάτων βίας, καὶ διαλογισμοὺς ἀνθρώπων. διαφορὰς φυ-
τῶν, καὶ δυνάμεις ῥιζῶν. ὅσα τέ ἐστιν κρυπτὰ καὶ ἐμφανῆ ἔγνων.
ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέν με σοφία. ἔστιν γὰρ ἐν αὐτῇ πνεῦ-
μα νοερὸν ἅγιον μονογενὲς πολυμερὲς λεπτόν. εὐκίνητον τρανὸν
ἀμόλυντον σαφὲς ἀπήμαντον φιλάγαθον ὀξὺ ἀκώλυτον εὐεργετι-
κόν. φιλάνθρωπον βέβαιον ἀσφαλὲς ἀμέριμνον, παντοδύναμον
πᾶν ἐπίσκοπον. καὶ διὰ πάντων χωροῦν πνευμάτων. νοε-
ρῶν καθαρῶν λεπτοτάτων. πάσης γὰρ κινήσεως κινητικώτερον σο-
φία, διήκει δὲ καὶ χωρεῖ διὰ πάντων διὰ τὴν καθαρότητα. ἀ-
τμὶς γάρ ἐστι τῆς τοῦ θεοῦ δυνάμεως, καὶ ἀπόρροια τῆς τοῦ παντο-
κράτορος δόξης εἰλικρινής. διὰ τοῦτο οὐδὲν μεμιαμμένον εἰς αὐτὴν
παρεμπίπτει. ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀ-
κηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐ-

του. μία δὲ οὖσα πάντα δύναται, καὶ μένουσα ἐν αὐτῇ τὰ πάντα καινίζει. καὶ κατὰ γενεὰς εἰς ψυχὰς ὁσίας μεταβαίνουσα, φίλους θεοῦ, καὶ προφήτας κατασκευάζει, οὐθὲν γὰρ ἀγαπᾷ θεὸς. εἰ μὴ τὸν σοφίᾳ συνοικοῦντα. ἔστιν γὰρ αὕτη εὐπρεπεστέρα ἡλίου. καὶ ὑπὲρ πᾶσαν ἄστρων θέσιν. φωτὶ συγκρινομένη. εὑρίσκεται προτέρα. τοῦτο μὲν γὰρ διαδέχεται νύξ. σοφίας δὲ οὐ κατισχύει κακία.

Κεφάλαιον. η. 8.

Διατείνει δὲ ἀπὸ πέρατος εἰς πέρας εὐρώστως, καὶ διοικεῖ τὰ πάντα χρηστῶς. ταύτην ἐφίλησα καὶ ἐξεζήτησα ἐκ νεότητός μου. καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς. εὐγένειαν δοξάζει συμβίωσιν θεοῦ ἔχουσα. καὶ ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν. μύστις γάρ ἐστι τῆς τοῦ θεοῦ ἐπιστήμης καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. εἰ δὲ πλοῦτός ἐστιν, ἐπιθυμητὸν κτῆμα ἐν βίῳ, τί σοφίας πλουσιώτερον τῆς τὰ πάντα ἐργαζομένης. εἰ δὲ φρόνησις ἐργάζεται. τίς αὐτῆς τῶν ὄντων μᾶλλον ἐστὶ τεχνίτης. καὶ εἰ δικαιοσύνην ἀγαπᾷ τις, οἱ πόνοι ταύτης εἰσὶν ἀρεταί. σωφροσύνην γὰρ καὶ φρόνησιν ἐκδιδάσκει. δικαιοσύνην, καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις. οἶδεν τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν, ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν, καὶ χρόνων. ἔκρινα τοίνυν ταύτην ἀγαγέσθαι πρὸς συμβίωσιν. εἰδὼς, ὅτι ἔσται μοι σύμβουλος ἀγαθῶν καὶ παραίνεσις φροντίδων καὶ λύπης. ἕξω δι' αὐτὴν δόξαν ἐν ὄχλοις, καὶ τιμὴν παρὰ πρεσβυτέροις ὁ νέος. ὀξὺς εὑρεθήσομαι ἐν κρίσει καὶ ἐν ὄψει δυναστῶν θαυμασθήσομαι. σιγῶντά με περιμένουσιν, καὶ φθεγγομένῳ προσέξουσι. καὶ λαλοῦντος ἐπὶ πλεῖον χεῖρα ἐπιθήσουσιν ἐπὶ στόμα αὐτῶν. ἕξω δι' αὐτὴν ἀθανασίαν καὶ μνήμην αἰώ

νον τοῖς μετ' ἐμὲ ἀπολείψω. διοικήσω λαοὺς καὶ ἔθνη ὑποταγή-
σεταί μοι. φοβηθήσονταί με ἀκούσαντες τύραννοι φρικτοί. ἐν
πλήθει φανοῦμαι ἀγαθὸς, καὶ ἐν πολέμῳ ἀνδρεῖος. εἰσελθὼν εἰς
τὸν οἶκόν μου προσαναπαύσομαι αὐτῇ. οὐ γὰρ ἔχει πικρίαν ἡ συ-
ναστροφὴ αὐτῆς. οὐδὲ ὀδύνην ἡ συμβίωσις αὐτῆς. ἀλλὰ εὐ-
φροσύνην καὶ χαρὰν ταῦτα λογισάμενος ἐν ἑαυτῷ καὶ φρον-
τίσας ἐν καρδίᾳ μου ὅτι ἐστὶν ἀθανασία ἐν συγγενείᾳ σοφίας.
καὶ ἐν φιλίᾳ αὐτῆς τέρψις ἀγαθὴ, καὶ ἐν πόνοις χειρῶν αὐ-
τῆς πλοῦτος ἀνεκλιπής. καὶ ἐν συγγυμνασίᾳ ὁμιλίας αὐτῆς
φρόνησις. καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. περιήειν ζητῶν,
ὅπως λάβω αὐτὴν εἰς ἐμαυτόν. παῖς δὲ ἤμην εὐφυὴς, ψυχῆς τε
ἔλαχον ἀγαθῆς. μᾶλλον δὲ ἀγαθὸς ὢν, ἦλθον εἰς σῶμα ἀμίαντον
γνοὺς δὲ ὅτι οὐκ ἄλλως ἔσομαι ἐγκρατὴς, ἐὰν μὴ ὁ θεὸς δῷ. καὶ
τοῦτο δ' ἦν φρονήσεως τὸ εἰδέναι τίνος ἡ χάρις. ἐνέτυχον τῷ κυ-
ρίῳ καὶ ἐδεήθην αὐτοῦ. καὶ εἶπον ἐξ ὅλης τῆς καρδίας μου.

Κεφάλαιον θ. 9.

Θεὲ πατέρων καὶ κύριε τοῦ ἐλέους σου, ὁ ποιήσας τὰ
θ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευά-
σας τὸν ἄνθρωπον. ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτι-
σμάτων, καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. καὶ
ἐν εὐθύτητι ψυχῆς κρίσιν κρίνῃ. δός μοι τὴν τῶν σῶν θρόνων πα-
ρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου. ὅτι ἐ-
γὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. ἄνθρωπος ἀσθενὴς καὶ
ὀλιγοχρόνιος καὶ ἐλάσσων ἐν συνέσει κρίσεως καὶ νόμων. κἂν
γάρ τις ᾖ τέλειος ἐν υἱοῖς ἀνθρώπων. τῆς ἀπὸ σοῦ σοφίας ἀπού-
σης, εἰς οὐδὲν λογισθήσεται. σύ με προείλω βασιλέα λαοῦ σου
καὶ δικαστὴν υἱῶν σου, καὶ θυγατέρων. εἶπας οἰκοδομῆσαι ναὸν
ἐν ὄρει ἁγίῳ σου, καὶ ἐν πόλει κατασκηνώσεώς σου θυσιαστήριον
μίμημα σκηνῆς ἁγίας ἣν προητοίμασας ἀπ' ἀρχῆς. καὶ μετὰ σοῦ
ἡ σοφία ἡ εἰδυῖα τὰ ἔργα σου. καὶ παροῦσα ὅτε ἐποίεις τὸν

κόσμον, καὶ ἐπισταμένη τί ἀρεστὸν ἐν ὀφθαλμοῖς σου, καὶ τί εὐθὲς ἐν ἐντολαῖς σου. ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίων οὐρανῶν, καὶ ἀπὸ θρόνου δόξης σου. πέμψον αὐτὴν ἵνα συμπαροῦσά μοι κοπιάσῃ. καὶ γνῶ τί εὐάρεστόν ἐστι παρά σοι. οἶδε γὰρ ἐκείνη πάντα καὶ συνιεῖ. καὶ ὁδηγήσει με ἐν ταῖς πράξεσί μου σωφρόνως. καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. καὶ ἔσται προσδεκτὰ τὰ ἔργα μου. καὶ διακρινῶ τὸν λαόν σου δικαίως καὶ ἔσομαι ἄξιος θρόνων πατρός μου. τίς γὰρ ἄνθρωπος γνώσεται βουλὴν θεοῦ ἢ τίς ἐνθυμηθήσεται τί θέλει ὁ θεός. λογισμοὶ γὰρ θνητῶν δειλοί. καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι ἡμῶν. φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν. καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα, καὶ μόλις εἰκάζομεν τὰ ἐπὶ γῆς. καὶ τὰ ἐν χερσὶν εὑρίσκομεν μετὰ πόνου. τὰ δὲ ἐν οὐρανοῖς τίς ἐξιχνίασεν. βουλὴν δέ σου τίς ἔγνω. εἰ μὴ σὺ δέδωκας σοφίαν; καὶ ἔπεμψας τὸ ἅγιόν σου πνεῦμα ἀπὸ ὑψίστων; καὶ οὕτως διωρθώθησαν αἱ τρίβοι τῶν ἐπὶ γῆς. καὶ τὰ ἀρεστά σου ἐδιδάχθησαν ἄνθρωποι, καὶ τῇ σοφίᾳ ἐσώθησαν.

Κεφάλαιον ι. 10.

Αὕτη πρωτόπλαστον πατέρα κόσμον μόνον κτισθέν-
α τα διεφύλαξεν. καὶ ἐξείλετο αὐτὸν ἐκ παραπτώματος
ἰδίου. ἔδωκέ τε αὐτῷ ἰσχὺν κρατῆσαι ἁπάν-
των. ἀποστὰς δὲ ἀπ᾽ αὐτῆς ἄδικος ἐν ὀργῇ αὐτοῦ. ἀδελφοκτόνοις συν-
απώλετο θυμοῖς. δι᾽ ὃν κατακλυζομένην γῆν πάλιν διέσωσεν
σοφία. δι᾽ εὐτελοῦς ξύλου τὸν δίκαιον κυβερνήσασα. αὕτη καὶ ἐν ὁ-
μονοίᾳ πονηρίας ἐθνῶν συγχυθέντων εὗρε τὸν δίκαιον. καὶ ἐτήρη-
σεν αὐτὸν ἄμεμπτον θεῷ. καὶ ἐπὶ τέκνου σπλάγχνοις ἰσχυρὸν ἐφύλα-
ξεν. αὕτη δίκαιον ἐξαπολλυμένων ἀσεβῶν ἐρρύσατο. φυγόντα
πῦρ καταβάσιον πενταπόλεως. ἧς ἔτι μαρτύριον τῆς πονηρίας κα-
πνιζομένη καθέστηκε χέρσος. καὶ ἀτελέσιν ὥραις καρποφοροῦντα
φυτά. ἀπιστούσης ψυχῆς μνημεῖον ἑστηκυῖα στήλη ἁλός. σοφίαν γὰρ
παροδεύσαντες οὐ μόνον ἐβλάβησαν τοῦ μὴ γνῶναι αὐτὰ

καλὰ, ἀλλὰ καὶ τῆς ἀφροσύνης ἀπέλιπον τῷ βίῳ μνημόσυνον·
ἵνα ἐν οἷς ἐσφάλισαν μηδὲ λαθεῖν δυνηθῶσιν. Σοφία δὲ τοὺς θε-
ραπεύοντας αὐτὴν ἐκ πόνων ἐῤῥύσατο. αὕτη φυγάδα ὀργῆς
ἀδελφοῦ δίκαιον, ὡδήγησεν ἐν τρίβοις εὐθείαις. ἔδειξεν αὐτῷ
βασιλείαν θεοῦ. καὶ ἔδωκεν αὐτῷ γνῶσιν ἁγίων. εὐπόρησεν
αὐτὸν ἐν μόχθοις. καὶ ἐπλήθυνεν τοὺς πόνους αὐτοῦ. ἐν πλεονεξίᾳ
κατισχυόντων αὐτὸν παρέστη. καὶ ἐπλούτισεν αὐτὸν, διεφύλαξεν
αὐτὸν ἀπὸ ἐχθρῶν, καὶ ἀπὸ ἐνεδρευόντων ἠσφαλίσατο, καὶ ἀγῶ-
να ἰσχυρὸν ἐβράβευσεν αὐτῷ ἵνα γνῷ, ὅτι παντὸς δυνατωτέρα
ἐστὶν εὐσέβεια. αὕτη πραθέντα δίκαιον, οὐκ ἐγκατέλιπεν. ἀλλὰ
ἐξ ἁμαρτίας ἐῤῥύσατο αὐτόν. συγκατέβη αὐτῷ εἰς λάκκον, καὶ
ἐν δεσμοῖς οὐκ ἀφῆκεν αὐτὸν, ἕως ἤνεγκεν αὐτῷ σκῆπτρα βα-
σιλείας. καὶ ἐξουσίαν τυραννούντων αὐτοῦ, ψευδεῖς τε ἔδειξεν
τοὺς μωμησαμένους αὐτόν. καὶ ἔδωκεν αὐτῷ δόξαν αἰώνιον.
αὕτη λαὸν ὅσιον καὶ σπέρμα ἄμεμπτον ἐῤῥύσατο ἐξ ἔθνους θλι-
βόντων. εἰσῆλθεν εἰς ψυχὴν θεράποντος κυρίου, καὶ ἀντέστη
βασιλεῦσι φοβεροῖς ἐν τέρασι καὶ σημείοις. ἀπέδωκεν ὁσίοις
μισθὸν κόπων αὐτῶν. ὡδήγησεν αὐτοὺς ἐν ὁδῷ θαυμαστῇ. καὶ
ἐγένετο αὐτοῖς εἰς σκέπην ἡμέρας καὶ εἰς φλόγα ἄστρων τὴν νύ-
κτα. διεβίβασεν αὐτοὺς θάλασσαν ἐρυθρὰν καὶ διήγαγεν αὐτοὺς
δι' ὕδατος πολλοῦ. τοὺς δὲ ἐχθροὺς αὐτῶν, κατέκλυσεν. καὶ ἐκ βά-
θους ἀβύσσου ἀνέβρασεν αὐτούς. διὰ τοῦτο δίκαιοι ἐσκύλευσαν
ἀσεβεῖς. καὶ ὕμνησαν κύριε τὸ ὄνομα τὸ ἅγιόν σου τήν τε ὑπέρμα-
χόν σου χεῖρα ᾔνεσαν ὁμοθυμαδόν. ὅτι ἡ σοφία ἤνοιξεν στόμα
κωφῶν. καὶ γλώσσας νηπίων ἔθηκεν τρανάς.

Κεφάλαιον ια. 11.

Εὐόδωσεν τὰ ἔργα αὐτῶν ἐν χειρὶ προφήτου ἁγίου
διώδευσαν ἔρημον ἀοίκητον. καὶ ἐν ἀβάτοις ἔπη-
ξαν σκηνάς. ἀντέστησαν πολεμίοις, καὶ ἠμύναντο
ἐχθρούς. ἐδίψησαν καὶ ἐπεκαλέσαντό σε καὶ ἐδόθη αὐτοῖς

ἐκ πέτρας ἀκροτόμου ὕδωρ καὶ ἴαμα δίψης ἐκ λίθου σκληροῦ. δι᾽ ὧν γὰρ ἐκολάσθησαν οἱ ἐχθροὶ αὐτῶν. διὰ τούτων αὐτοὶ ἀπορούμενοι, εὐεργετήθησαν. ἀντὶ μὲν πηγῆς ἀενάου ποταμοῦ. αἵματι λυθρώδει ταραχθέντες εἰς ἔλεγχον νηπιοκτόνου διατάγματος ἔδωκας αὐτοῖς, δαψιλὲς ὕδωρ ἀνελπίστως δείξας. διὰ τοῦ τότε δίψους πῶς τοὺς ὑπεναντίους ἐκόλασας. ὅτε γὰρ ἐπειράσθησαν, καίπερ ἐν ἐλέει παιδευόμενοι, ἔγνωσαν πῶς ἐν ὀργῇ κρινόμενοι ἀσεβεῖς ἐβασανίζοντο. τούτους μὲν γὰρ ὡς πατὴρ νουθετῶν ἐδοκίμασας. ἐκείνους δὲ ὡς ἀπότομος βασιλεὺς καταδικάζων ἐξήτασας. καὶ ἀπόντες δὲ καὶ παρόντες ὁμοίως ἐτρύχοντο. διπλῆ γὰρ αὐτοὺς ἔλαβεν λύπη. καὶ στεναγμὸς μνημῶν τῶν παρελθουσῶν. ὅτε γὰρ ἤκουσαν διὰ τῶν ἰδίων κολάσεων εὐεργετουμένους αὐτούς, ᾔσθοντο τοῦ κυρίου. τὸν γὰρ ἐν ἐκθέσει πάλαι ῥιφέντα ἀπειπόντες χλευάζοντες ἐπὶ τέλει τῶν ἐκβάσεων, ἐθαύμασαν οὐχ ὅμοια δικαίοις διψήσαντες, ἀντὶ δὲ λογισμῶν ἀσυνέτων ἀδικίας αὐτῶν, ἐν οἷς πλανηθέντες ἐθρήσκευον ἄλογα ἑρπετὰ καὶ κνώδαλα εὐτελῆ. ἐπαπέστειλας αὐτοῖς πλῆθος ἀλόγων ζώων εἰς ἐκδίκησιν ἵνα γνῶσιν, ὅτι δι᾽ ὧν τις ἁμαρτάνει, διὰ τούτων κολάζεται. οὐ γὰρ ἠπόρει ἡ παντοδύναμός σου χείρ, καὶ κτίσασα τὸν κόσμον ἐξ ἀμόρφου ὕλης, ἐπιπέμψαι αὐτοῖς πλῆθος ἄρκων ἢ θρασεῖς λέοντας ἢ νεοκτίστους θυμοῦ πλήρεις θῆρας ἀγνώστους. ἤτοι πυρπνόον φυσῶντας ἆσθμα. ἢ βρόμους λικμωμένους, καπνοῦ, ἢ δεινοὺς ἀπ᾽ ὀμμάτων σπινθῆρας ἀστράπτοντας. ὧν οὐ μόνον ἡ βλάβη ἠδύνατο συνεκτρῖψαι αὐτούς. ἀλλὰ καὶ ἡ ὄψις ἐκφοβήσασα διολέσαι. καὶ χωρὶς δὲ τούτων ἑνὶ πνεύματι πεσεῖν ἐδύναντο ὑπὸ τῆς δίκης διωχθέντες. καὶ λικμηθέντες ὑπὸ πνεύματος δυνάμεώς σου. ἀλλὰ πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξας. τὸ γὰρ μεγάλως ἰσχύειν, πάρεστίν σοι πάντοτε, καὶ κράτει βραχίονός σου τίς ἀντιστήσεται. ὅτι ὡς ῥοπὴ ἐκ πλαστίγγων, ὅλος ὁ κόσμος ἐνώπιόν σου. καὶ ὡς

ῥανὶς δρόσου ὀρθρινὴ κατελθοῦσα ἐπὶ γῆν. ἐλεεῖς δὲ πάντας ὅτι πάντα δύνασαι· καὶ παρορᾷς ἁμαρτήματα ἀνθρώπων εἰς μετάνοιαν. ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας. οὐδὲν γὰρ ἂν μισῶν τι κατεσκεύασας. πῶς δὲ ἔμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας ἢ τὸ μὴ κληθὲν ὑπὸ σοῦ διετηρήθη. φείδῃ δὲ πάντων ὅτι σά ἐστι δέσποτα φιλόψυχε.

## Κεφάλαιον ιβ'. 12

Ο γὰρ ἄφθαρτόν σου πνεῦμά ἐστιν ἐν πᾶσιν. διὸ τοὺς
τ παραπίπτοντας κατ' ὀλίγον ἐλέγχεις. καὶ ἐν οἷς ἁμαρτάνουσιν ὑπομιμνήσκων νουθετεῖς. ἵνα ἀπαλλαγέντες τῆς κακίας πιστεύσωσιν ἐπὶ σὲ κύριε. καὶ γὰρ τοὺς παλαιοὺς οἰκήτορας τῆς ἁγίας σου γῆς μισήσας ἐπὶ τῷ ἔχθιστα πράσσειν ἔργα φαρμακειῶν καὶ τελετὰς ἀνοσίους τέκνων τε φονέας ἀνελεήμονας. καὶ σπλαγχνοφάγων ἀνθρωπίνων σαρκῶν θοῖναν καὶ αἵματος ἐκ μύσου μυστάς τε θείας σου. καὶ αὐθέντας γονεῖς ψυχῶν ἀβοηθήτων ἐβουλήθης ἀπολέσαι διὰ χειρῶν πατέρων ἡμῶν. ἵνα ἀξίαν ἀποικίαν δέξηται θεοῦ παίδων, ἡ παρὰ σοὶ πασῶν τιμιωτάτη γῆ. ἀλλὰ καὶ τούτων ὡς ἀνθρώπων ἀφείσω, ἀπέστειλάς τε προδρόμους τοῦ στρατοπέδου σου σφῆκας. ἵνα αὐτοὺς κατὰ βραχὺ ἐξολοθρεύσωσιν. οὐκ ἀδυνατῶν ἐν παρατάξει ἀσεβεῖς δικαίοις ὑποχειρίους δοῦναι. ἢ θηρίοις δεινοῖς, ἢ λόγῳ ἀποτόμῳ ὑφ' ἓν ἐκτρίψαι, κρίνων δὲ κατὰ βραχὺ ἐδίδους τόπον μετανοίας. οὐκ ἀγνοῶν, ὅτι πονηρὰ ἡ γένεσις αὐτῶν. καὶ ἔμφυτος ἡ κακία αὐτῶν. καὶ ὅτι οὐ μὴ ἀλλαγῇ ὁ λογισμὸς αὐτῶν εἰς τὸν αἰῶνα. σπέρμα γὰρ ἦν κατηραμένον ἀπ' ἀρχῆς. οὐ δὲ εὐλαβούμενός τινα ἐφ' οἷς ἡμάρτανον ἄδειαν ἐδίδους. τίς γὰρ ἐρεῖ τί ἐποίησας. ἢ τίς ἀντιστήσεται τῷ κρίματί σου. τίς δὲ ἐγκαλέσει σοι κατὰ ἐθνῶν ἀπολωλότων ἃ σὺ ἐποίησας. ἢ τίς εἰς κατάστασίν σοι ἐλεύσεται ἔκδικος κατὰ ἀδίκων ἀνθρώπων. οὔτε γὰρ θεός ἐστι πλὴν σοῦ. ᾧ μέλει περὶ πάντων. ἵνα δείξῃς, ὅτι οὐκ ἀδίκως ἔκρινας.

οὔτε βασιλεὺς, ἢ τύραννος ἀντοφθαλμῆσαι δυνήσεταί σοι περὶ ὧν ἐκόλασας, δίκαιος δὲ ὢν δικαίως τὰ πάντα διέπεις. αὐτὸν τὸν μὴ ὀφείλοντα κολασθῆναι καταδικάσαι. ἀλλότριον ἡγούμενος τῆς σῆς δυνάμεως. ἡ γὰρ ἰσχύς σου δικαιοσύνης ἀρχὴ καὶ τὸ πάντων σε δεσπόζειν, πάντων φείδεσθαι ποιεῖ. ἰσχὺν γὰρ ἐνδείκνυσαι ἀπιστούμενος ἐπὶ δυνάμεως τελειότητι. καὶ ἐν τοῖς εἰδόσι τὸ θράσος ἐξελέγχεις. σὺ δὲ δεσπόζων ἰσχύος ἐν ἐπιεικείᾳ κρίνεις. καὶ μετὰ πολλῆς φειδοῦς διοικεῖς ἡμᾶς. πάρεστιν γάρ σοι ὅταν θέλῃς τὸ δύνασθαι. ἐδίδαξας δέ σου τὸν λαὸν διὰ τῶν τοιούτων ἔργων. ὅτι δεῖ δίκαιον, εἶναι φιλάνθρωπον καὶ εὐέλπιδας ἐποίησας τοὺς υἱούς σου. ὅτι δίδοις ἐπὶ ἁμαρτήμασι μετάνοιαν. εἰ γὰρ ἐχθροὺς παίδων σου καὶ ὀφειλομένους θανάτῳ. μετὰ τοσαύτης ἐτιμωρήσας προσοχῆς, καὶ διέσεως. δοὺς χρόνους καὶ τόπον δι᾽ ὧν ἀπαλλαγῶσι τῆς κακίας. μετὰ πάσης ἀκριβείας, ἔκρινας τοὺς υἱούς σου. ὧν τοῖς πατράσιν, ὅρκους καὶ συνθήκας ἔδωκας ἀγαθῶν ὑποσχέσεων. ἡμᾶς οὖν παιδεύων τοὺς ἐχθροὺς ἡμῶν ἐν μυριότητι μαστιγοῖς. ἵνα σου τὴν ἀγαθότητα μεριμνῶμεν κρίνοντες. κρινόμενοι δὲ προσδοκῶμεν ἔλεος, ὅθεν καὶ τοὺς ἐν ἀφροσύνῃ ζωῆς βιώσαντας ἀδίκως. διὰ τῶν ἰδίων ἐβασάνισε βδελυγμάτων. καὶ γὰρ τῶν πλάνης ὁδῶν μακρότερον ἐπλανήθησαν. θεοὺς ὑπολαμβάνοντες τὰ καὶ ἐν ζώοις τῶν ἐχθρῶν ἄτιμα. νηπίων δίκην ἀφρόνων ψευσθέντες. διὰ τοῦτο ὡς παισὶν ἀλογίστοις τὴν κρίσιν εἰς ἐμπαιγμὸν ἔπεμψας. οἱ δὲ παιγνίοις ἐπιτιμήσεως μὴ νουθετηθέντες ἀξίαν θεοῦ κρίσιν πειράσουσιν ἐφ᾽ οἷς γὰρ αὐτοὶ πάσχοντες ἠγανάκτουν. ἐπὶ τούτοις οὓς ἐδόκουν θεοὺς ἐν αὐτοῖς κολαζόμενοι. ἰδόντες ὃν πάλαι ἠρνοῦντο εἰδέναι, θεὸν ἐπίγνωσαν ἀληθῆ. διὸ καὶ τὸ τέρμα τῆς καταδίκης ἐπ᾽ αὐτοὺς ἐπῆλθεν.

Κεφάλαιον ιγ΄. 13

Αταιοι μὲν γὰρ πάντες ἄνθρωποι φύσει οἷς παρῆν
a θεοῦ ἀγνωσία, καὶ ἐκ τῶν ὁρωμένων ἀγαθῶν οὐκ ἴσχυ-
σαν εἰδέναι τὸν ὄντα. οὔτε τοῖς ἔργοις προσχόντες ἐ-
πέγνωσαν τὸν τεχνίτην. ἀλλ᾽ ἢ πῦρ ἢ πνεῦμα, ἢ ταχινὸν ἀέρα,
ἢ κύκλον ἄστρων. ἢ βίαιον ὕδωρ ἢ φωστῆρας οὐρανοῦ πρυτάνεις
κόσμου θεοὺς ἐνόμισαν. ὧν εἰ μὲν τῇ καλλονῇ τερπόμενοι, θεοὺς
ὑπελάμβανον. γνώτωσαν πόσῳ τούτων ὁ δεσπότης ἐστὶ βελτί-
ων. ὁ γὰρ τοῦ κάλλους γενεσιάρχης, ἔκτισεν αὐτά. εἰ δὲ δύναμιν
καὶ ἐνέργειαν ἐκπλαγέντες, νοησάτωσαν ἀπ᾽ αὐτῶν, πόσῳ
ὁ κατασκευάσας αὐτὰ δυνατώτερός ἐστι. ἐκ γὰρ μεγέθους καλ-
λονῆς καὶ κτισμάτων, ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖ-
ται. ἀλλ᾽ ὅμως ἐπὶ τούτοις ἐστὶ μέμψις ὀλίγη. καὶ γὰρ αὐτοὶ τάχα
πλανῶνται, θεὸν ζητοῦντες καὶ θέλοντες εὑρεῖν. ἐν γὰρ τοῖς ἔρ-
γοις αὐτοῦ ἀναστρεφόμενοι διερευνῶσιν καὶ πείθονται τῇ ὄψει.
ὅτι καλὰ τὰ βλεπόμενα πάλιν δ᾽ οὐδ᾽ αὐτοὶ συγγνωστοί. εἰ γὰρ
τοσοῦτον ἴσχυσαν εἰδέναι ἵνα δύνωνται στοχάσασθαι τὸν αἰῶνα.
τὸν τούτων δεσπότην πῶς τάχιον οὐχ εὗρον. ταλαίπωροι δὲ καὶ
ἐν νεκροῖς αἱ ἐλπίδες αὐτῶν. οἵτινες ἐκάλεσαν θεοὺς ἔργα
χειρῶν ἀνθρώπων χρυσὸν, καὶ ἄργυρον τέχνης ἐμμελέτημα.
καὶ ἀπεικάσματα ζώων, ἢ λίθον ἄχρηστον χειρὸς ἔργον ἀρχαίας.
εἰ δὲ καί τις ὑλοτόμος τέκτων ἐκκίνηται φυτὸν ἐκπρίσας, περιέ-
ξυσεν εὐμαθῶς πάντα τὸν φλοιὸν αὐτοῦ, καὶ τεχνησάμενος εὐ-
πρεπῶς κατεσκεύασεν χρήσιμον σκεῦος εἰς ὑπηρεσίαν ζωῆς. τὰ
δὲ ἀποβλήματα τῆς ἐργασίας εἰς ἑτοιμασίαν τροφῆς ἀναλώσας ἐ-
νεπλήσθη. τὸ δὲ ἐξ αὐτῶν ἀπόβλημα εἰς οὐδὲν εὔχρηστον. ξύλον
σκολιὸν καὶ ὄζοις συμπεφυκὸς λαβὼν ἔγλυψεν ἐν ἐπιμελείᾳ
ἀργίας αὐτοῦ. καὶ ἐμπειρίᾳ ἀνέσεως ἐτύπωσεν αὐτό. ἀπείκασεν
αὐτὸ εἰκόνι ἀνθρώπου ἢ ζώῳ τινὶ εὐτελεῖ ὡμοίωσεν αὐτὸ, κα-
ταχρίσας μίλτῳ, καὶ φύκει, ἐρυθήνας χρόα αὐτοῦ καὶ πᾶσαν
κηλίδα τὴν ἐν αὐτῷ καταχρίσας, καὶ ποιήσας αὐτῷ αὐτοῦ

ἄξιον οἴκημα. ἐν τοίχῳ ἔθηκεν αὐτὸ ἀσφαλισάμενος σιδήρῳ. ἵνα μὲν οὖν μὴ καταπέσῃ προενόησεν αὐτοῦ. εἰδὼς ὅτι ἀδυνατεῖ ἑαυτῷ βοηθῆσαι. καὶ γάρ ἐστιν εἰκὼν καὶ χρείαν ἔχει βοηθείας. περὶ δὲ κτημάτων καὶ γάμων αὐτοῦ, καὶ τέκνων προσευχόμενος οὐκ αἰσχύνεται τῷ ἀψύχῳ προσλαλῶν. καὶ περὶ μὲν ὑγιείας τὸ ἀσθενὲς ἐπικαλεῖται. περὶ δὲ ζωῆς τὸν νεκρὸν ἀξιοῖ. περὶ δὲ ἐπικουρίας τὸν ἀπειρότατον ἱκετεύει. περὶ δὲ ὁδοιπορίας τὸ μηδὲ βάσει χρῆσθαι δυνάμενον. περὶ δὲ πορισμοῦ, καὶ ἐργασίας, καὶ χειρῶν ἐπιτυχίας, τὸν ἀδρανέστατον ταῖς χερσὶν εὐδράνειαν αἰτεῖται.

Κεφ. ιδ΄. 14.

π Λοῦν πάλιν τις στελλόμενος. καὶ ἄγρια μέλλων διοδεύειν κύματα. τοῦ φέροντος αὐτὸν πλοίου σαθρότερον ξύλον ἐπιβοᾶται. ἐκεῖνο μὲν γὰρ ὄρεξις πορισμῶν ἐπενόησεν. τεχνίτης δὲ σοφία κατεσκεύασεν. ἡ δὲ σὴ πάτερ διακυβερνᾷ πρόνοια, ὅτι ἔδωκας καὶ ἐν θαλάσσῃ ὁδὸν καὶ ἐν κύμασι τρίβον ἀσφαλῆ, δεικνὺς ὅτι δύνασαι ἐκ παντὸς σώζειν. ἵνα κἂν ἄνευ τέχνης τις ἐπιβῇ, θέλεις δὲ μὴ ἀργὰ εἶναι τὰ τῆς σοφίας σου ἔργα. διὰ τοῦτο καὶ ἐλαχίστῳ ξύλῳ πιστεύουσιν ἄνθρωποι ψυχάς. καὶ διελθόντες κλύδωνα, σχεδίᾳ διεσώθησαν. καὶ ἀρχῆς τε ἀπολλυμένων ὑπερηφάνων γιγάντων. ἡ ἐλπὶς τοῦ κόσμου ἐπὶ σχεδίας καταφυγοῦσα, ἀπέλιπεν αἰῶνι σπέρμα γενέσεως τῇ σῇ κυβερνηθεῖσα χειρί. εὐλόγηται γὰρ ξύλον δι᾽ οὗ γίνεται δικαιοσύνη. τὸ χειροποίητον δὲ ἐπικατάρατον αὐτὸ καὶ ὁ ποιήσας αὐτό. ὅτι ὁ μὲν εἰργάζετο, τὸ δὲ φθαρτὸν θεὸς ὠνομάσθη, ἐν ἴσῳ γὰρ μισητὰ θεῷ καὶ ὁ ἀσεβῶν. καὶ ἡ ἀσέβεια αὐτοῦ. καὶ γὰρ τὸ πραχθὲν σὺν τῷ δράσαντι κολασθήσεται. διὰ τοῦτο καὶ ἐν εἰδώλοις ἐθνῶν ἐπισκοπὴ ἔσται. ὅτι ἐν κτίσματι θεοῦ εἰς βδέλυγμα ἐγενήθησαν καὶ εἰς σκάνδαλα ψυχαῖς ἀνθρώπων, καὶ εἰς παγίδα ποσὶν ἀφρόνων. ἀρχὴ γὰρ πορνείας, ἐπίνοια εἰδώλων. εὕρεσις δὲ αὐτῶν, φθορὰ ζωῆς. οὔτε γὰρ ἦν ἀπαρχῆς οὔτε εἰς τὸν αἰῶνα

ἔσται. κενοδοξίᾳ γὰρ ἀνθρώπων εἰσῆλθεν εἰς κόσμον. καὶ διὰ τοῦτο σύντομον αὐτῶν τέλος ἐπενοήθη. ἀώρῳ γὰρ πένθει τρυχόμενος πατὴρ. τοῦ ταχέως ἀφορμαθέντος τέκνου εἰκόνα ποιήσας τὸν ποτὲ νεκρὸν ἄνθρωπον, νῦν ὡς θεὸν ἐτίμησεν. καὶ παρέδωκε τοῖς ὑποχειρίοις, μυστήρια καὶ τελετάς. εἶτα ἐν χρόνῳ κρατηθὲν τὸ ἀσεβὲς ἔθος ὡς νόμος ἐφυλάχθη. καὶ τυράννων ἐπιταγαῖς ἐθρησκεύετο τὰ γλυπτὰ, οὓς ἐν ὄψει, μὴ δυνάμενοι τιμᾶν ἄνθρωποι διὰ τὸ μακρὰν οἰκεῖν. τὴν πόρρωθεν ὄψιν ἀνατυπωσάμενοι. ἐμφανῆ εἰκόνα τοῦ τιμωμένου βασιλέως ἐποίησαν. ἵνα τὸν ἄπαντα ὡς παρόντα κολακεύωσιν διὰ τῆς σπουδῆς. εἰς ἐπίτασιν δὲ θρησκείας καὶ τοὺς ἀγνοοῦντας ἡ τοῦ τεχνίτου προετρέψατο φιλοτιμία. ὁ μὲν γὰρ τάχα κρατοῦντι βουλόμενος ἀρέσαι ἐξεβιάσατο τῇ τέχνῃ τὴν ὁμοιότητα ἐπὶ τὸ κάλλιον. τὸ δὲ πλῆθος ἐφελκόμενον διὰ τὸ εὔχαρι τῆς ἐργασίας. τὸν πρὸ ὀλίγον τιμηθέντα ἄνθρωπον, νῦν σέβασμα ἐλογίσατο, καὶ τοῦτο ἐγένετο τῷ βίῳ εἰς ἔνεδρον. ὅτι συμφορᾷ ἢ τυραννίδι δουλεύσαντες ἄνθρωποι. τὸ ἀκοινώνητον ὄνομα λίθοις καὶ ξύλοις περιέθεσαν. εἶτα οὐκ ἤρκεσεν τὸ πλανᾶσθαι περὶ τὴν τοῦ θεοῦ γνῶσιν ἀλλὰ καὶ μεγάλῳ ζῶντες ἀγνοίας πολέμῳ τὰ τοσαῦτα κακὰ εἰρήνην προσαγορεύουσιν. ἢ γὰρ τεκνοφόνους τελετὰς ἢ κρύφια μυστήρια. ἢ ἐμμανεῖς ἐξ ἄλλων θεσμῶν κώμους ἄγοντες οὔτε βίους, οὔτε γάμους καθαροὺς ἔτι φυλάσσουσιν. ἕτερος δ' ἕτερον, ἢ λοχῶν ἀναιρεῖ ἢ νοθεύων ὀδυνᾷ. πάντας δ' ἐπιμὶξ ἔχει. αἷμα καὶ φόνος. κλοπὴ καὶ δόλος. φθορά. ἀπιστία. τάραχος. ἐπιορκία θόρυβος ἀγαθῶν. χάριτος ἀμνηστία. ψυχῶν μιασμὸς, γενέσεως ἐναλλαγή. γάμων ἀταξία. μοιχεία καὶ ἀσέλγεια. ἡ γὰρ τῶν ἀνωνύμων εἰδώλων θρησκεία παντὸς ἀρχὴ κακοῦ, καὶ αἰτία καὶ πέρας ἐστίν. ἢ γὰρ εὐφραινόμενοι μεμήνασιν ἢ προφητεύουσιν ψευδῆ. ἢ ζῶσιν ἀδίκως. ἢ ἐπιορκοῦσιν ταχέως. ἀψύχοις γὰρ πεποιθότες εἰδώλοις, κα-

κῶς ὀμόσαντες ἀδικηθῆναι, οὐ προσδέχονται, ἀμφότερα δὲ αὐτοὺς μετελεύσεται τὰ δίκαια. ὅτι κακῶς ἐφρόνησαν περὶ θεοῦ προσέχοντες εἰδώλοις. καὶ ἀδίκως ὤμοσαν ἐν δόλῳ καταφρονήσαντες ὁσιότητος, οὐ γὰρ ἡ τῶν ὀμνυμένων δύναμις, ἀλλ' ἡ τῶν ἁμαρτανόντων δίκη. ἐπεξέρχεται ἀεὶ τὴν τῶν ἀδίκων παράβασιν.

Κεφάλαιον ιε. 15.

Σὺ δὲ ὁ θεὸς ἡμῶν, χρηστὸς καὶ ἀληθής. μακρόθυμος καὶ ἐλέει διοικῶν τὰ πάντα. καὶ γὰρ ἐὰν ἁμάρτωμεν σοί ἐσμεν εἰδότες σου τὸ κράτος. οὐχ ἁμαρτησόμεθα δὲ εἰδότες, ὅτι σοὶ λελογίσμεθα. τὸ γὰρ ἐπίστασθαί σε, ὁλόκληρος δικαιοσύνη. καὶ εἰδέναι τὸ κράτος σου ῥίζα ἀθανασίας. οὔτε γὰρ ἐπλάνησεν ἡμᾶς ἀνθρώπων κακότεχνος ἐπίνοια, οὐδὲ σκιογράφων πόνος ἄκαρπος εἶδος σπιλωθὲν χρώμασι διηλλαγμένοις. ὧν ὄψις ἄφροσιν εἰς ὄνειδος ἔρχεται. ποθεῖ τε νεκρᾶς εἰκόνος εἶδος ἄπνουν κακῶν ἐρασταί. ἄξιοί τε τοιούτων ἐλπίδων. καὶ οἱ δρῶντες καὶ οἱ ποιοῦντες καὶ οἱ σεβόμενοι. καὶ γὰρ κεραμεὺς ἁπαλὴν γῆν θλίβων ἐπίμοχθον, πλάσσει πρὸς ὑπηρεσίαν ἡμῶν ἕκαστον. ἀλλ' ἐκ τοῦ αὐτοῦ πηλοῦ ἀνεπλάσατο τά τε τῶν καθαρῶν ἔργων δοῦλα σκεύη. τά τε ἐναντία πάνθ' ὁμοίως. τούτων δὲ ἑτέρου τίς ἑκάστου ἐστὶν ἡ χρῆσις. κριτὴς ὁ πηλουργός. καὶ κακόμοχθος θεὸν μάταιον ἐκ τοῦ αὐτοῦ πλάσσει πηλοῦ. ὃς πρὸ μικροῦ ἐκ γῆς γενηθεὶς μετ' ὀλίγον πορεύεται, ἐξ ἧς ἐλήφθη, τὸ τῆς ψυχῆς ἀπαιτηθεὶς χρέος. ἀλλ' ἔστιν αὐτῷ φροντίς, οὐχ ὅτι μέλλει κάμνειν, οὐδ' ὅτι βραχυτελῆ βίον ἔχει ἀλλ' ἀντερείδεται μὲν χρυσουργοῖς, καὶ ἀργυροχόοις. χαλκοπλάστας τε μιμεῖται, καὶ δόξαν ἡγεῖται, ὅτι κίβδηλα πλάσσει. σποδὸς ἡ καρδία αὐτοῦ. καὶ γῆς εὐτελεστέρα ἡ ἐλπὶς αὐτοῦ. πηλοῦ τε ἀτιμότερος ὁ βίος αὐτοῦ. ὅτι ἠγνόησε τὸν πλάσαντα αὐτόν, καὶ τὸν ἐμπνεύσαντα αὐτῷ ψυχὴν ἐνεργοῦσαν. καὶ ἐμφυσήσαντα πνεῦμα

ζωτικόν. ἀλλ᾽ ἐλογίσατο παίγνιον εἶναι τὴν ζωὴν ἡμῶν, καὶ τὸν βίον πανηγυρισμὸν ἐπικερδῆ· δεῖν γάρ φησιν ὅθεν δή, κἂν ἐκ κακοῦ πορίζειν. οὗτος γὰρ παρὰ πάντας οἶδεν ὅτι ἁμαρτάνει, ὕλης γεώδους εὔθραυστα σκεύη καὶ γλυπτὰ δημιουργῶν. πάντες δὲ ἀφρονέστατοι καὶ τάλανες ὑπὲρ ψυχὴν νηπίου, οἱ ἐχθροὶ τοῦ λαοῦ σου καταδυναστεύσαντες αὐτόν. ὅτι καὶ πάντα εἴδωλα τῶν ἐθνῶν ἐλογίσαντο θεούς, οἷς οὔτε ὀμμάτων χρῆσις εἰς ὅρασιν, οὔτε ῥῖνες εἰς συνολκὴν ἀέρος, οὔτε ὦτα ἀκούειν, οὔτε δάκτυλοι χειρῶν εἰς ψηλάφησιν, καὶ οἱ πόδες αὐτῶν ἀργοὶ πρὸς ἐπίβασιν. ἄνθρωπος γὰρ ἐποίησεν αὐτούς, καὶ τὸ πνεῦμα δεδανεισμένος ἔπλασεν αὐτούς. οὐδεὶς γὰρ αὐτῷ ὅμοιος ἄνθρωπος ἰσχύει πλάσαι θεόν. θνητὸς δὲ ὢν νεκρὸν ἐργάζεται χερσὶν ἀνόμοις. κρείττων γάρ ἐστι τῶν σεβασμάτων αὐτοῦ, ὧν αὐτὸς μὲν ἔζησεν, ἐκεῖνα δὲ οὐδέποτε, καὶ τὰ ζῷα δὲ τὰ ἔχθιστα σέβονται· ἀνοίᾳ γὰρ συγκρινόμενα τῶν ἄλλων ἐστὶ χείρονα. οὐδ᾽ ὅσον ἐπιποθῆσαι ὡς ἐν ζώων ὄψει καλὰ τυγχάνει. ἐκπέφευγε δὲ καὶ τὸν τοῦ θεοῦ ἔπαινον, καὶ τὴν εὐλογίαν αὐτοῦ. Κεφάλαιον ις´ 16

Διὰ τοῦτο δι᾽ ὁμοίων ἐκολάσθησαν ἀξίως, καὶ διὰ πλήθους κνωδάλων ἐβασανίσθησαν. ἀνθ᾽ ἧς κολάσεως εὐεργετήσας τὸν λαόν σου, εἰς ἐπιθυμίαν ὀρέξεως ξένην γεῦσιν τροφὴν ἡτοίμασας ὀρτυγομήτραν, ἵνα ἐκεῖνοι μὲν ἐπιθυμοῦντες τροφῆς διὰ τὴν δειχθεῖσαν τῶν ἐπαπεσταλμένων καὶ τὴν ἀναγκαίαν ὄρεξιν ἀποστρέφωνται, αὐτοὶ δὲ ἐπ᾽ ὀλίγον ἐνδεεῖς γενόμενοι καὶ ξένης μετάσχωσι γεύσεως. ἔδει γὰρ ἐκείνοις μὲν ἀπαραίτητον ἔνδειαν ἐπελθεῖν τυραννοῦσιν, τούτοις δὲ μόνον δειχθῆναι, πῶς οἱ ἐχθροὶ αὐτῶν ἐβασανίζοντο. καὶ γὰρ τοῖς δεινὸς ἐπῆλθε θηρίων θυμὸς δήγμασί τε σκολιῶν διεφθείροντο ὄφεων. οὐ μέχρι τέλους ἔμεινεν ἡ ὀργή σου. εἰς νουθεσίαν δὲ πρὸς ὀλίγον ἐταράχθησαν σύμβολον ἔχοντες σωτηρίας εἰς ἀνάμνησιν ἐντολῆς νόμου σου. ὁ γὰρ ἐπιστραφεὶς οὐ διὰ τὸ θεωρούμενον

ἐσώζετο ἀλλὰ διὰ σὲ τὸν πάντων σωτῆρα. καὶ ἐν τούτῳ δὲ
ἔπεισας τοὺς ἐχθροὺς ἡμῶν, ὅτι σὺ εἶ ὁ ῥυόμενος ἐκ παντὸς κακοῦ.
οὓς μὲν γὰρ ἀκρίδων, καὶ μυιῶν ἀπέκτεινεν δήγματι, καὶ οὐχ
εὑρέθη ἴαμα τῇ ψυχῇ αὐτῶν. ὅτι ἄξιοι ἦσαν ὑπὸ τοιούτων κο-
λασθῆναι. τοὺς δὲ υἱούς σου οὐδὲ ἰοβόλων δρακόντων ἐνίκησαν ὀ-
δόντες. τὸ ἔλεος γάρ σου ἀντιπαρῆλθε, καὶ ἰάσατο αὐτοὺς εἰς τὸ
ὑπόμνησιν τῶν λογίων σου ἐνεκεντρίζοντο. καὶ ὀξέως διεσώ-
ζοντο. ἵνα μὴ εἰς βαθεῖαν ἐμπεσόντες λήθην, ἀπερίσπαστοι γί-
νωνται τῆς σῆς εὐεργεσίας. καὶ γὰρ οὔτε βοτάνη οὔτε μάλα-
γμα ἐθεράπευσεν αὐτούς. ἀλλὰ ὁ σὸς κύριε λόγος ὁ πάντα ἰ-
ώμενος. σὺ γὰρ ζωῆς καὶ θανάτου ἐξουσίαν ἂν ἔχεις. καὶ κατά-
γεις εἰς πύλας ᾅδου καὶ ἀνάγεις. ἄνθρωπος δὲ ἀποκτείνει μὲν τῇ
κακίᾳ αὐτοῦ ἐξελθὸν δὲ πνεῦμα οὐκ ἀναστρέφει. οὐδὲ ἀναλύει ψυ-
χὴν παραληφθεῖσαν. τὴν δὲ σὴν χεῖρα φυγεῖν ἀδύνατόν ἐστι.
ἀρνούμενοι γὰρ σὲ εἰδέναι ἀσεβεῖς ἐν ἰσχύϊ βραχίονός σου ἐμα-
στιγώθησαν. ξένοις ὑετοῖς. καὶ χαλάζαις. καὶ ὄμβροις διωκόμενοι ἀ-
παραιτήτοις καὶ πυρὶ καταναλισκόμενοι. τὸ γὰρ παραδοξότατον
ἐν τῷ παντὶ σβεννύντι ὕδατι πλεῖον ἐνήργει τὸ πῦρ. ὑπέρμα-
χος γὰρ ὁ κόσμος ἐστὶ δικαίων. ποτὲ μὲν γὰρ ἡμεροῦτο φλόξ, ἵνα μὴ
καταφλέξῃ τὰ ἐπ᾽ ἀσεβεῖς ἀπεσταλμένα ζῶα. ἀλλ᾽ αὐτοὶ βλέ-
ποντες ἴδωσιν, ὅτι θεοῦ κρίσει ἐλαύνονται. ποτὲ δὲ καὶ με-
ταξὺ ὕδατος, ὑπὲρ τὴν πυρὸς δύναμιν φλέγει. ἵνα ἀδίκου
γῆς γεννήματα διαφθείρῃ. ἀνθ᾽ ὧν ἀγγέλων τροφὴν ἐψώμισας
τὸν λαόν σου καὶ ἕτοιμον ἄρτον αὐτοῖς ἀπ᾽ οὐρανοῦ ἔπεμψας ἀκο-
πιάτως. πᾶσαν ἡδονὴν ἰσχύοντα καὶ πρὸς πᾶσαν ἁρμόνιον γεῦ-
σιν. ἡ μὲν γὰρ ὑπόστασίς σου τὴν σὴν γλυκύτητα πρὸς τέκνα ἐ-
νεφάνιζεν. τῇ δὲ τοῦ προσφερομένου ἐπιθυμίᾳ ὑπηρετῶν. πρὸς ὅ τις
ἐβούλετο μετεκιρνᾶτο. χιὼν δὲ καὶ κρύσταλλος ὑπέμενε πῦρ
καὶ οὐκ ἐτήκετο, ἵνα γνῶσιν, ὅτι τοὺς τῶν ἐχθρῶν καρποὺς
κατέφθειρε πῦρ φλεγόμενον ἐν τῇ χαλάζῃ. καὶ ἐν τοῖς ὑετοῖς

διαστράπτων. τοῦτο πάλιν δ' ἵνα τραφῶσιν δίκαιοι, καὶ τῆς ἰδίας ἐπιλελῆσθαι δυνάμεως. ἡ γὰρ κτίσις σοὶ τῷ ποιήσαντι ὑπηρετοῦσα. ἐπιτείνεται εἰς κόλασιν κατὰ τῶν ἀδίκων. καὶ ἀνίεται εἰς εὐεργεσίαν ὑπὲρ τῶν εἰς σὲ πεποιθότων. διὰ τοῦτο καὶ τότε εἰς πάντα μεταλλευομένη. τῇ παντοτρόφῳ σου δωρεᾷ ὑπηρέτει πρὸς τὴν τῶν δεομένων θέλησιν. ἵνα μάθωσιν οἱ υἱοί σου, οὓς ἠγάπησας κύριε. ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον. ἀλλὰ τὸ ῥῆμά σου, τοὺς σοὶ πιστεύοντας διατηρεῖ. τὸ γὰρ ὑπὸ πυρὸς μὴ φθειρόμενον ἁπλῶς ὑπὸ βραχείας ἀκτῖνος ἡλίου θερμαινόμενον ἐτήκετο. ὅπως γνωστὸν ᾖ, ὅτι δεῖ φθάνειν τὸν ἥλιον, ἐπ' εὐχαριστίαν σου. καὶ πρὸς ἀνατολὴν φωτὸς ἐντυγχάνειν σοι. ἀχαρίστου γὰρ ἐλπὶς. ὡς χειμέριος πάχνη τακήσεται. καὶ ῥυήσεται ὡς ὕδωρ ἄχρηστον.

## Κεφάλαιον ιζ'. 17.

μ Εγάλαι γάρ σου αἱ κρίσεις καὶ δυσδιήγητοι. διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν. ὑπειληφότες γὰρ καταδυναστεύειν ἔθνος ἅγιον ἄνομοι δέσμιοι σκότους, καὶ μακρᾶς πεδῆται νυκτός. κατακλεισθέντες ὀρόφοις φυγάδες τῆς αἰωνίου προνοίας ἔκειντο. λανθάνειν γὰρ νομίζοντες ἐπὶ κρυφαίοις ἁμαρτήμασιν. ἀφεγγεῖ λήθης παρακαλύμματι. ἐσκορπίσθησαν θαμβούμενοι δεινῶς. καὶ ἰνδάλμασιν ἐκταρασσόμενοι. οὐδὲ γὰρ ὁ κατέχων αὐτοὺς μυχὸς ἀφόβως διεφύλαττεν. ἦχοι δὲ καταράσσοντες αὐτοὺς περιεκόμπουν. καὶ φάσματα ἀμειδήτοις κατηφέσιν. προσώποις ἐνεφανίζετο. καὶ πυρὸς μὲν οὐδεμία βία κατίσχυεν φωτίζειν. οὔτε ἄστρων ἐκλαμπροὶ φλόγες καταυγάζειν ὑπέμενον τὴν στυγνὴν ἐκείνην νύκτα. διεφαίνετο δ' αὐτοῖς μόνον, αὐτομάτη πυρὰ φόβου πλήρης. ἐκδειματούμενοι δὲ τῆς μὴ θεωρουμένης ἐκείνης ὄψεως, ἡγοῦντο χείρω τὰ βλεπόμενα. μαγικῆς δὲ ἐμπαίγματα κατέκειτο τέχνης. καὶ τῆς ἐπὶ φρονήσει ἀλαζονείας, ἔλεγχος ἐφυβριστός. οἱ γὰρ ὑπισχνούμενοι

δείματα καὶ ταραχὰς ἀπολαύνειν ψυχῆς νοσούσης. οὗτοι καταγέλαστον εὐλάβειαν ἐνόσουν. καὶ γὰρ εἰ μηδὲν αὐτοὺς ταραχῶδες ἐφόβει, κνωδάλων παρόδοις καὶ ἑρπετῶν συριγμοῖς ἐκσεσοβημένον διώλλυντο ἔντρομοι. καὶ τὸν μηδαμόθεν φευκτὸν ἀέρα προσιδεῖν ἀρνούμενοι. δειλὸν γὰρ ἰδίως πονηρία μαρτυρεῖ καταδικαζομένη. ἀεὶ δὲ προσείληφε τὰ χαλεπὰ συνερχομένη τῇ συνειδήσει. οὐθὲν γάρ ἐστι φόβος, εἰ μὴ προδοσία τῶν ἀπὸ λογισμοῦ βοηθημάτων. ἔνδοθεν δὲ οὖσα ἥττων ἡ προσδοκία, πλείονα λογίζεται τὴν ἄγνοιαν τῆς παρεχούσης τὴν βάσανον αἰτίας. οἱ δὲ τὴν ἀδύνατον ὄντως νύκτα καὶ ἐξ ἀδυνάτου ᾅδου μυχῶν ἐπελθοῦσαν. τὸν αὐτὸν ὕπνον κοιμώμενοι. τὰ μὲν τέρασιν ἠλαύνοντο φαντασμάτων, τὰ δὲ τῆς ψυχῆς παρελύοντο προδοσίᾳ. αἰφνίδιος γὰρ αὐτοῖς καὶ ἀπροσδόκητος φόβος ἐπῆλθεν. εἶθ᾽ οὕτως ὃς δή ποτ᾽ οὖν ἦν ἐκεῖ καταπίπτων ἐφρουρεῖτο εἰς τὴν ἀσίδηρον εἱρκτὴν κατακλεισθείς. εἴτε γὰρ γεωργὸς ἦν τις ποιμήν. ἢ τῶν κατ᾽ ἐρημίαν ἐργάτης μόχθων προληφθεὶς τὴν δυσάλυκτον ἔμενεν ἀνάγκην. μιᾷ γὰρ ἁλύσει σκότους πάντες ἐδέθησαν. εἴτε πνεῦμα συρίζον ἢ περὶ ἀμφιλαφεῖς κλάδους ὀρνέων ἦχος εὐμελής, ἢ ῥυθμὸς ὕδατος πορευομένου βίᾳ, ἢ κτύπος ἀπηνὴς καταρριπτομένων πετρῶν, ἢ σκιρτώντων ζώων δρόμος ἀθεώρητος. ἢ ὠρυομένων ἀπηνεστάτων θηρίων φωνή. ἢ ἀντανακλωμένη ἐκ κοιλότητος ὀρέων ἠχώ, παρέλυσεν αὐτοὺς ἐκφοβοῦντα. ὅλος γὰρ ὁ κόσμος λαμπρῷ κατελάμπετο φωτί, καὶ ἀνεμποδίστοις συνείχετο ἔργοις. μόνοις δὲ ἐκείνοις ἐπέτατο βαρεῖα νὺξ εἰκὼν τοῦ μέλλοντος αὐτοὺς διαδέχεσθαι σκότους. ἑαυτοῖς δὲ ἦσαν βαρύτεροι σκότους.

## Κεφάλαιον. ιη'. 18.

Τοῖς δὲ ὁσίοις σου μέγιστον ἦν φῶς. ὧν φωνὴν μὲν ἀκούοντες μορφὴν δὲ οὐχ ὁρῶντες. ὅτι μὲν οὖν κἀκεῖνοι πεπόνθασιν ἐμακάριζον. ὅτι δὲ οὐ βλάπτουσι προηδικημένοι εὐχαριστοῦσιν. καὶ τοῦ διενεχθῆναι χάριν ἐδέοντο. ἀνθ᾽ ὧν

πυριφλεγῆ στῦλον. ὁδηγὸν μὲν ἀγνώστου ὁδοιπορίας, ἥλιον δὲ ἀβλαβῆ φιλοτίμου ξενιτείας παρέσχες. ἄξιοι μὲν γὰρ ἐκεῖνοι στερηθῆναι φωτὸς, καὶ φυλακισθῆναι ἐν σκότει. οἱ κατακλείστους φυλάξαντες τοὺς υἱούς σου. δι' ὧν ἤμελλε τὸ ἄφθαρτον νόμου φῶς τῷ αἰῶνι δίδοσθαι. βουλευσαμένους αὐτοὺς, τὰ τῶν ὁσίων ἀποκτεῖναι νήπια καὶ ἑνὸς ἐκτεθέντος τέκνα, καὶ σωθέντος εἰς ἔλεγχον τὸ αὐτῶν ἀφείλω πλῆθος τέκνων. καὶ ὁμοθυμαδὸν ἀπώλεσας ἐν ὕδατι σφοδρῷ. ἐκείνη ἡ νὺξ προεγνώσθη πατράσιν ἡμῶν. ἵνα ἀσφαλῶς εἰδότες οἷς ἐπίστευσαν ὅρκοις ἐπευθυμήσωσιν. προσεδέχθη ὑπὸ λαοῦ σου, σωτηρία μὲν δικαίων. ἐχθρῶν δὲ ἀπώλεια, ὡς γὰρ ἐτιμωρήσω τοὺς ὑπεναντίους, τούτῳ ἡμᾶς προσκαλεσάμενος ἐδόξασας. κρυφῆ γὰρ ἐθυσίαζον ὅσιοι παῖδες ἀγαθῶν. καὶ τὸν τῆς θειότητος νόμον, ἐν ὁμονοίᾳ διέθεντο. τῶν αὐτῶν ὁμοίως, καὶ ἀγαθῶν καὶ κινδύνων μεταλήψεσθαι τοὺς ἁγίους. πατέρων ἤδη προαναμελπόντων αἴνους. ἀντήχει δὲ ἀσύμφωνος ἐχθρῶν ἡ βοή. καὶ οἰκτρὰ διεφέρετο θρηνουμένων παίδων. ὁμοίᾳ δὲ δίκῃ δοῦλος ἅμα δεσπότῃ κολασθείς. καὶ δημότης βασιλεῖ τὰ αὐτὰ πάσχων. ὁμοθυμαδὸν δὲ πάντες ἐν ἑνὶ ὀνόματι θανάτου, νεκροὺς εἶχον ἀναριθμήτους. οὐδὲ γὰρ πρὸς τὸ θάψαι οἱ ζῶντες ἦσαν ἱκανοί. ἐπεὶ πρὸς μίαν ῥοπὴν, ἡ ἐντιμοτέρα γένεσις αὐτῶν διεφθάρη, πάντα γὰρ ἀπιστοῦντες, διὰ τὰς φαρμακείας. ἐπὶ τῷ τῶν πρωτοτόκων ὀλέθρῳ ὡμολόγησαν θεοῦ υἱὸν λαὸν εἶναι. ἡσύχου γὰρ σιγῆς περιεχούσης τὰ πάντα, καὶ νυκτὸς ἐν ἰδίῳ τάχει μεσαζούσης, ὁ παντοδύναμός σου, λόγος ἀπ' οὐρανῶν ἐκ θρόνων βασιλείων. ἀπότομος πολεμιστὴς εἰς μέσον τῆς ὀλεθρίας ἥλατο γῆς. ξίφος ὀξὺ τὴν ἀνυπόκριτον ἐπιταγήν σου φέρων καὶ στὰς ἐπλήρωσε τὰ πάντα θανάτου. καὶ οὐρανοῦ μὲν ἥπτετο. βεβήκει δὲ ἐπὶ γῆς. τότε παραχρῆμα φαντασίαι μὲν ὀνείρων δεινῶς ἐξετάραξαν αὐτούς. φόβοι δὲ ἐπέστησαν ἀδόκητοι, καὶ ἄλλος ἀλλαχῇ ῥιφεὶς ἡμίθνητος. δι' ἣν ἔθνησκεν αἰτίαν ἐνε

φάνιζον. οἱ γὰρ ὄνειροι θορυβήσαντες αὐτοὺς, τοῦτο προεμήνυσαν ἵνα μὴ ἀγνοοῦντες, διὸ κακῶς πάσχουσιν ἀπόλωνται. ἥψατο δὲ καὶ δικαίων πεῖρα θανάτου. καὶ θραῦσις ἐν ἐρήμῳ ἐγένετο πλήθους. ἀλλ' οὐκ ἐπὶ πολὺ ἔμεινεν ἡ ὀργή. σπεύσας γὰρ ἀνὴρ ἄμεμπτος προεμάχησεν, τὸ τῆς ἰδίας λειτουργίας ὅπλον. προσευχὴν, καὶ θυμιάματος ἐξιλασμὸν κομίσας, ἀντέστη τῷ θυμῷ. καὶ πέρας ἐπέθηκε τῇ συμφορᾷ. δεικνὺς, ὅτι σός ἐστι θεράπων. ἐνίκησεν δὲ τὸν ὄχλον, οὐκ ἰσχύϊ τοῦ σώματος. οὐχ ὅπλων ἐνεργείᾳ. ἀλλὰ λόγῳ τὸν κολάζοντα ὑπέταξεν. ὅρκους πατέρων καὶ διαθήκας ὑπομνήσας. σωρηδὸν γὰρ ἤδη πεπτωκότων ἐπ' ἀλλήλων νεκρῶν. μεταξὺ στὰς, ἐνέκοψε τὴν ὀργὴν καὶ διέσχισεν τὴν πρὸς τοὺς ζῶντας ὁδόν. ἐπὶ γὰρ ποδήρους ἐνδύματος, ἦν ὅλος ὁ κόσμος. καὶ πατέρων δόξαι ἐπὶ τετραστίχου λίθου γλυφῆς. καὶ μεγαλωσύνη σου ἐπὶ διαδήματος κεφαλῆς αὐτοῦ. τούτοις εἶξεν ὁ ὀλοθρεύων, ταῦτα δὲ ἐφοβήθησαν, ἦν γὰρ μόνη ἡ πεῖρα τῆς ὀργῆς ἱκανή.

## Κεφάλαιον ιθ'. 19.

Οἷς δὲ ἀσεβέσιν μέχρι τέλους ἀνελεήμων θυμὸς ἐπέστη. προῄδει γὰρ αὐτῶν καὶ τὰ μέλλοντα. ὅτι αὐτοὶ ἐπιστρέψαντες τοῦ ἀπιέναι. καὶ μετὰ σπουδῆς, προπέμψαντες αὐτοὺς. διώξουσιν μεταμεληθέντες, ἔτι γὰρ ἐν χερσὶν ἔχοντες τὰ πένθη. καὶ προσοδυρόμενοι τάφοις νεκρῶν, ἕτερον ἐπεσπάσαντο λογισμὸν ἀνοίας. καὶ οὓς ἱκετεύοντες ἐξέβαλον τούτους, ὡς φυγάδας ἐδίωκον. εἷλκεν γὰρ αὐτοὺς ἡ ἀξία ἐπὶ τοῦτο τὸ πέρας ἀνάγκη, καὶ τῶν βεβηκότων ἀμνηστίαν ἐνέβαλεν. ἵνα τὴν λείπουσαν ταῖς βασάνοις προσαναπληρώσωσι κόλασιν, καὶ ὁ μὲν λαός σου παράδοξον ὁδοιπορίαν πειράσῃ. ἐκεῖνοι δὲ ξένον εὕρωσιν θάνατον. ὅλη γὰρ ἡ κτίσις ἐν ἰδίῳ γένει, πάλιν ἄνωθεν διετυποῦτο. ὑπηρετοῦσα ταῖς ἰδίαις ἐπιταγαῖς. ἵνα οἱ σοὶ παῖδες φυλαχθῶσιν ἀβλαβεῖς. ἡ τὴν παρεμβολὴν σκιάζουσα νεφέλη. ἐκ δὲ προϋφεστῶτος ὕδατος ξηρᾶς ἀνάδυσις γῆς ἐθεωρήθη. ἐξ ἐρυθρᾶς

θαλάσσης ὁδὸς ἀνεμπόδιστος, καὶ χλοηφόρον πεδίον ἐκ κλύδω-
νος βιαίου. δι᾽ οὗ πᾶν ἔθνος διῆλθον οἱ τῇ σῇ σκεπαζόμενοι χει-
ρί. θεωρήσαντες θαυμαστὰ τέρατα, ὡς γὰρ ἵπποι ἐνεμήθησαν. καὶ
ὡς ἀμνοὶ διεσκίρτησαν. αἰνοῦντές σε κύριε τὸν ῥυσάμενον αὐ-
τούς. ἐμέμνηντο γὰρ ἔτι τῶν ἐν τῇ παροικίᾳ αὐτῶν. πῶς ἀντὶ μὲν γε-
νέσεως ζώων ἐξήγαγεν ἡ γῆ σκνίφας. ἀντὶ δὲ ἐνύδρων ἐξηρεύ-
ξατο ὁ ποταμὸς, πλῆθος βατράχων. ἐφ᾽ ὑστέρῳ δὲ εἶδον, καὶ νέαν γέ-
νεσιν ὀρνέων. ὅτε ἐπιθυμίᾳ προαχθέντες ᾐτήσαντο ἐδέσματα
τρυφῆς. εἰς γὰρ παραμυθίαν ἀνέβη αὐτοῖς ἀπὸ θαλάσσης, ὀρτυγο-
μήτρα, καὶ αἱ τιμωρίαι τοῖς ἁμαρτωλοῖς ἐπῆλθον. οὐκ ἄνευ τῶν γε-
γονότων τεκμηρίων τῇ βίᾳ τῶν κεραυνῶν. δικαίως γὰρ ἔπασχον
ταῖς ἰδίαις αὐτῶν πονηρίαις, καὶ γὰρ χαλεπωτέραν μισοξενίαν ἐπε-
τήδευσαν. οἱ μὲν γὰρ τοὺς ἀγνοοῦντας, οὐκ ἐδέχοντο παρόντας. οὗτοι
δὲ εὐεργέτας ξένους ἐδουλοῦντο, καὶ οὐ μόνον ἀλλ᾽ ἥ τις ἐπισκοπὴ ἔσται
αὐτῶν. ἐπεὶ ἀπεχθῶς προσεδέχοντο τοὺς ἀλλοτρίους. οἱ δὲ μετὰ ἑορ-
τασμάτων εἰσδεξάμενοι τοὺς ἤδη τῶν αὐτῶν μετεσχηκότας δικαί-
ων. δεινοῖς ἐκάκωσαν πόνοις. ἐπλήγησαν δὲ καὶ ἀορασίᾳ ὥσπερ ἐ-
κεῖνοι ἐπὶ ταῖς τοῦ δικαίου θύραις, ὅτε ἀχανεῖ περιβληθέντες σκό-
τει. ἕκαστος τῶν αὐτοῦ θυρῶν τὴν δίοδον ἐζήτει. δι᾽ ἑαυτῶν γὰρ τὰ στοι-
χεῖα μεθαρμοζόμενα. ὥσπερ ἐν ψαλτηρίῳ φθόγγοι τοῦ ῥυθμοῦ τὸ
ὄνομα διαλλάσσουσιν πάντοτε μένοντα ἤχῳ. ὅπερ ἐστὶν εἰκάσαι
ἐκ τῆς τῶν γεγονότων ὄψεως ἀκριβῶς. χερσαῖα γὰρ εἰς ἔνυδρα μετε-
βάλλετο. καὶ καταμετέβαινεν ἐπὶ γῆς. πῦρ ἴσχυσεν ἐν ὕδατι τῆς ἰ-
δίας δυνάμεως. καὶ ὕδωρ τῆς σβεστικῆς δυνάμεως ἐπελανθάνετο.
φλόγες ἀνάπαλιν φθαρτῶν ζώων, οὐκ ἐμάραναν σάρκας ἐμ-
περιπατούντων. οὐδὲ τηκτὸν κρυσταλλοειδὲς εὔτηκτον γένος ἀμβρο-
σίας τροφῆς. κατὰ πάντα γὰρ κύριε ἐμεγάλυνας τὸν λαόν σου, καὶ ἐδόξα-
σας, καὶ οὐχ ὑπερεῖδες ἐν παντὶ καιρῷ, καὶ τόπῳ παριστάμενος.

Τέλος τῆς σοφίας τοῦ Σολομῶντος.

# ΠΡΟΛΟΓΟΣ ΣΟΦΙΑΣ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

ΠΟλλῶν καὶ μεγάλων ἡμῖν διὰ τοῦ νόμου
καὶ τῶν προφητῶν, καὶ τῶν ἄλλων τῶν κατ'
αὐτοὺς ἠκολουθηκότων δεδομένων ὑπὲρ
ὧν δέον ἐστὶν, ἐπαινεῖν τὸν Ἰσραὴλ, παιδείας
καὶ σοφίας, καὶ ὡς οὐ μόνον αὐτοὺς τοὺς ἀ-
ναγινώσκοντας· δέον ἐστὶν ἐπιστήμο-
νας γίνεσθαι, ἀλλὰ καὶ τοῖς ἐκτὸς δύνασθαι
τοὺς φιλομαθοῦντας χρησίμους εἶναι, καὶ λέγοντας καὶ γράφον-
τας. ὁ πάππος μου Ἰησοῦς, ἐπὶ πλεῖον ἑαυτὸν δοὺς. εἴς τε τὴν τοῦ
νόμου. καὶ τῶν προφητῶν καὶ τῶν ἄλλων πατρίων βιβλίων ἀνά-
γνωσιν. καὶ ἐν τούτοις ἱκανὴν ἕξιν περιποιησάμενος προήχθη
καὶ αὐτὸς συγγράψαι τι τῶν εἰς παιδείαν, καὶ σοφίαν ἀνηκό-
των, ὅπως οἱ φιλομαθεῖς, καὶ τούτων ἔνοχοι γενόμενοι, πολλῷ
μᾶλλον ἐπιπροσθῶσι διὰ τῆς ἐννόμου βιώσεως. παρακέκλησθε
οὖν μετ' εὐνοίας, καὶ προσοχῆς τὴν ἀνάγνωσιν ποιεῖσθαι, καὶ
συγγνώμην ἔχειν, ἐφ' οἷς ἂν δοκῶμεν τῶν κατὰ τὴν ἑρμηνείαν
πεφιλοπονημένων τισὶ τῶν λέξεων ἀδυναμεῖν. οὐ γὰρ ἰσοδυ-
ναμεῖ αὐτὰ ἐν ἑαυτοῖς. ἑβραϊστὶ λεγόμενα, καὶ ὅταν μεταχθῇ
εἰς ἑτέραν γλῶσσαν οὐ μόνον δὲ ταῦτα ἀλλὰ καὶ ἄλλα, καὶ αὐ-
τὸς ὁ νόμος, καὶ αἱ προφητεῖαι, καὶ τὰ λοιπὰ τῶν βιβλίων, οὐ μικρὰν
ἔχει τὴν διαφορὰν ἐν ἑαυτοῖς λεγόμενα. ἐν γὰρ τῷ ὀγδόῳ, καὶ λ

ἔτει, ἐπὶ τοῦ εὐεργέτου βασιλέως παραγενηθεὶς εἰς αἴγυπτον. καὶ συγχρονίσας, εὗρον οὐ μικρᾶς παιδείας ἀφόμοιον. ἀναγκαιότατον ἐθέμην αὐτὸς προσενέγκασθαι τινὰ σπουδὴν καὶ φιλοπονίαν τοῦ μεθερμηνεῦσαι τήνδε τὴν βίβλον. πολλὴν γὰρ ἀγρυπνίαν, καὶ ἐπιστήμην προσενεγκάμενος ἐν τῷ διαστήματι τοῦ χρόνου πρὸς τὸ ἐπὶ πέρας ἄγοντα τὸ βιβλίον ἐκδόσθαι. καὶ τοῖς ἐν τῇ παροικίᾳ βουλομένοις φιλομαθεῖν, προκατασκευαζομένους τὰ ἤθη ἐν νόμῳ βιοτεύειν.

# ΣΟΦΙΑ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

Κεφάλαιον α. ι.

ασα σοφία παρὰ κυρίου. καὶ μετ᾽ αὐτοῦ ἐ-
στιν εἰς τὸν αἰῶνα. ἄμμον θαλασσῶν, καὶ σταγό-
π νας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμή-
σει. ὕψος οὐρανοῦ. καὶ πλάτος γῆς καὶ ἄ-
βυσσον καὶ σοφίαν, τίς ἐξιχνιάσει. προ-
τέρα πάντων ἔκτισαι σοφία. καὶ σύνεσις φρονήσεως ἐξ αἰῶνος. ῥίζα σοφίας τίνι ἀπεκαλύφθη, καὶ τὰ πανουργεύματα αὐτῆς τίς ἔγνω, εἷς ἐστὶ σοφὸς φοβερὸς σφόδρα. καθήμενος ἐπὶ τοῦ θρόνου αὐτοῦ κύριος αὐτὸς ἔκτισεν αὐτήν. καὶ ἴδεν καὶ ἐξηρίθμησεν αὐτήν καὶ ἐξέχεεν αὐτὴν ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ. μετὰ πάσης σαρκὸς, κατὰ τὴν δόσιν αὐτοῦ, καὶ ἐχορήγησεν αὐτὴν τοῖς

ἀγαπῶσιν αὐτόν. φόβος κυρίου, δόξα καὶ καύχημα. καὶ εὐφροσύνη. καὶ στέφανος ἀγαλλιάματος. φόβος κυρίου τέρψει καρδίαν, καὶ δώσει, εὐφροσύνην καὶ χαρὰν καὶ μακροημερεύσιν. τῷ φοβουμένῳ τὸν κύριον εὖ ἔσται ἐπ᾽ ἐσχάτων καὶ ἐν ἡμέρᾳ τελευτῆς αὐτοῦ εὑρήσει χάριν. ἀρχὴ σοφίας φοβεῖσθαι τὸν θεόν. καὶ μετὰ πιστῶν ἐν μήτρᾳ συνεκτίσθη αὐτοῖς. καὶ μετὰ ἀνθρώπων θεμέλιον αἰῶνος ἐνόσσευσε, καὶ μετὰ τοῦ σπέρματος αὐτῶν ἐμπιστευθήσεται. πλησμονὴ σοφίας φοβεῖσθαι τὸν κύριον καὶ μεθύσκει αὐτοὺς ἀπὸ τῶν καρπῶν αὐτῆς. πάντα τὸν οἶκον αὐτῆς ἐμπλήσει ἐπιθυμημάτων, καὶ τὰ ἀποδοχεῖα ἀπὸ τῶν γεννημάτων αὐτῆς. στέφανος σοφίας φόβος κυρίου. ἀναθάλλων εἰρήνην, καὶ ὑγίειαν ἰάσεως. καὶ εἶδε καὶ ἐξηρίθμησεν αὐτὴν ἐπιστήμην καὶ γνῶσιν συνέσεως ἐξώμβρησε. καὶ δόξαν κρατούντων αὐτῆς ἀνύψωσε. ῥίζα σοφίας φοβεῖσθαι τὸν κύριον. καὶ οἱ κλάδοι αὐτῆς μακροημερεύσεις. οὐ δυνήσεται θυμὸς ἄδικος δικαιωθῆναι, ἡ γὰρ ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτῷ. ἕως καιροῦ ἀνθέξεται μακρόθυμος. καὶ ὕστερον αὐτῷ ἀναδώσει εὐφροσύνη. ἕως καιροῦ κρύψει τοὺς λόγους αὐτοῦ. καὶ χείλη πιστῶν ἐκδιηγήσεται σύνεσιν αὐτοῦ. ἐν θησαυροῖς σοφίας παραβολὴ ἐπιστήμης. βδέλυγμα δὲ ἁμαρτωλῷ θεοσέβεια. ἐπιθυμήσας σοφίαν διατήρησον ἐντολάς. καὶ κύριος χορηγήσει σοι αὐτήν. σοφία γὰρ καὶ παιδεία φόβος κυρίου, καὶ ἡ εὐδοκία αὐτοῦ πίστις, καὶ πραότης. μὴ ἀπειθήσῃς φόβῳ κυρίου. καὶ μὴ προσέλθῃς αὐτῷ ἐν καρδίᾳ δισσῇ. μὴ ὑποκριθῇς ἐν στόμασιν ἀνθρώπων; καὶ ἐν τοῖς χείλεσί σου πρόσεχε. καὶ ἐξύψου σεαυτὸν, ἵνα μὴ πέσῃς. καὶ ἐπαγάγῃς τῇ ψυχῇ σου ἀτιμίαν. καὶ ἀποκαλύψει κύριος τὰ κρυπτά σου, καὶ ἐν μέσῳ συναγωγῆς καταβαλεῖ σε ὅτι οὐ προσῆλθες φόβῳ κυρίου. καὶ ἡ καρδία σου πλήρης δόλου.

Κεφάλαιον β 2.

Τέκνον

Τέκνον εἰ προσέρχῃ δουλεύειν κυρίῳ θεῷ ἑτοίμασον τὴν ψυχήν σου, εἰς πειρασμόν. εὔθυνον τὴν καρδίαν σου, καὶ καρτέρησον. καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς. κολλήθητω αὐτῷ, καὶ μὴ ἀποστῇς. ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι δέξαι. καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου, μακροθύμησον. ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσός, καὶ ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. πίστευσον αὐτῷ, καὶ ἀντιλήψεταί σου, εὔθυνον τὰς ὁδούς σου, καὶ ἔλπισον ἐπ' αὐτόν. οἱ φοβούμενοι, τὸν κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ. καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε, οἱ φοβούμενοι τὸν κύριον πιστεύσατε αὐτῷ, καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. οἱ φοβούμενοι τὸν κύριον ἐλπίσατε εἰς ἀγαθά, καὶ εἰς εὐφροσύνην αἰῶνος, καὶ ἔλεος ἐμβλέψατε εἰς ἀρχαίας γενεάς, καὶ ἴδετε. τίς ἐνεπίστευσε κυρίῳ, καὶ κατῃσχύνθη, ἢ τίς ἐνέμεινε τῷ φόβῳ αὐτοῦ, καὶ ἐγκατελείφθη. ἢ τίς ἐπεκαλέσατο αὐτόν, καὶ ὑπερεῖδεν αὐτόν. διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σώζει, ἐν καιρῷ θλίψεως. οὐαὶ καρδίαις δειλαῖς καὶ χερσὶν παρειμέναις. καὶ ἁμαρτωλῷ ἐπιβαίνοντι ἐπὶ δύο τρίβους. οὐαὶ καρδίᾳ παρειμένῃ. ὅτι οὐ πιστεύει διὰ τοῦτο οὐ σκεπασθήσεται. οὐαὶ ὑμῖν τοῖς ἀπολωλεκόσι τὴν ὑπομονήν. καὶ τί ποιήσετε ὅτι ἐπισκέπτηται ὁ κύριος. οἱ φοβούμενοι κύριον. οὐκ ἀπειθήσουσιν ῥημάτων αὐτοῦ. καὶ οἱ ἀγαπῶντες αὐτὸν συντηρήσουσι τὰς ὁδοὺς αὐτοῦ. οἱ φοβούμενοι κύριον ζητήσουσιν εὐδοκίαν αὐτοῦ. καὶ οἱ ἀγαπῶντες αὐτὸν ἐμπλησθήσονται τοῦ νόμου. οἱ φοβούμενοι κύριον ἑτοιμάσουσι καρδίας αὐτῶν. καὶ ἐνώπιον αὐτοῦ ταπεινώσουσιν τὰς ψυχὰς αὐτῶν. ἐμπεσούμεθα εἰς χεῖρας κυρίου καὶ οὐκ εἰς χεῖρας ἀνθρώπων. ὡς γὰρ ἡ μεγαλωσύνη αὐτοῦ. οὕτως καὶ τὸ ἔλεος αὐτοῦ.

Κεφάλαιον. γ. 3.

Ρῆμα τοῦ πατρὸς ἀκούσατε τέκνα καὶ οὕτως ποιήσα-
κ τε. ἵνα σωθῆτε. ὁ γὰρ κύριος ἐδόξασεν πατέρα ἐπὶ
τέκνοις, καὶ κρίσιν μητρὸς ἐστερέωσεν ἐφ' υἱοῖς, ὁ τι-
μῶν πατέρα ἐξιλάσεται ἁμαρτίας. καὶ ὡς ὁ ἀποθησαυρίζων, ὁ δο-
ξάζων μητέρα αὐτοῦ. ὁ τιμῶν πατέρα εὐφρανθήσεται ὑπὸ τέ-
κνων. καὶ ἐν ἡμέρᾳ προσευχῆς αὐτοῦ, εἰσακουσθήσεται. ὁ δοξά-
ζων πατέρα μακροημερεύσει, καὶ ὁ εἰσακούων κυρίου ἀναπαύ-
σει μητέρα αὐτοῦ. καὶ ὡς δεσπόταις δουλεύσει ἐν τοῖς γεννή-
σασιν αὐτόν. ἐν ἔργῳ, καὶ λόγῳ τίμα τὸν πατέρα σου, ἵνα ἐπέλθῃ
σοι εὐλογία παρ' αὐτοῦ. εὐλογία γὰρ πατρὸς στηρίζει οἴκους τέκνων.
κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια. μὴ δοξάζου ἐν ἀτιμίᾳ πα-
τρός σου. οὐ γάρ ἐστι σοι δόξα πρὸς ἀτιμίαν. ἡ γὰρ δόξα ἀνθρώπου
ἐκ τιμῆς πατρὸς αὐτοῦ. καὶ ὄνειδος τέκνοις μήτηρ ἐν ἀδοξίᾳ.
Τέκνον ἀντιλαβοῦ ἐν γήρᾳ πατρός σου. καὶ μὴ λυπήσῃς αὐτὸν ἐν
τῇ ζωῇ αὐτοῦ κἂν ἀπολείπῃ σύνεσιν, συγγνώμην ἔχε, καὶ μὴ ἀ-
τιμάσῃς αὐτὸν ἐν πάσῃ ἰσχύϊ σου, ἐλεημοσύνη γὰρ πατρὸς οὐκ
ἐπιλησθήσεται. καὶ ἀντὶ ἁμαρτιῶν προσανοικοδομηθήσεταί
σοι. ἐν τῇ ἡμέρᾳ θλίψεώς σου, ἀναμνησθήσεταί σου, ὡς εὐδία ἐπὶ
παγετῷ. οὕτως ἀναλυθήσονταί σου, αἱ ἁμαρτίαι. ὡς βλάσφη-
μος ὁ ἐγκαταλιπὼν πατέρα, καὶ κεκατηραμένος ὑπὸ κυρίου, ὁ
παροργίζων μητέρα αὐτοῦ, τέκνον ἐν πραΰτητι τὰ ἔργα σου διέ-
ξαγε, καὶ ὑπὸ ἀνθρώπου δεκτοῦ ἀγαπηθήσῃ, ὅσῳ μέγας εἶ το-
σούτῳ ταπείνου σεαυτόν. καὶ ἔναντι κυρίου εὑρήσεις χάριν ὅ-
τι μεγάλη ἡ δυναστεία τοῦ κυρίου, καὶ ὑπὸ τῶν ταπεινῶν δοξά-
ζεται, χαλεπώτερά σου μὴ ζήτει. καὶ ἰσχυρότερά σου. μὴ ἐξέ-
ταζε. ἃ προσετάγη σοι ταῦτα διανοοῦ. οὐ γάρ ἐστί σοι χρεία τῶν
κρυπτῶν. ἐν τοῖς περισσοῖς τῶν ἔργων σου, μὴ περιεργάζου. πλεί-
ονα γὰρ συνέσεως ἀνθρώπων ὑπεδείχθησοι. πολλοὺς γὰρ ἐπλά-
νησεν ἡ ὑπόληψις αὐτῶν, καὶ ὑπόνοια πονηρὰ ὠλίσθησε διανοί-
ας αὐτῶν. καὶ ὁ ἀγαπῶν κίνδυνον ἐν αὐτῷ ἐμπεσεῖται. καρδία

σκληρὰ, κακωθήσεται ἀπ᾽ ἐσχάτων. καρδία σκληρὰ βαρυνθή-
σεται πόνοις. καὶ ὁ ἁμαρτωλὸς προσθήσει ἁμαρτίαν ἐφ᾽ ἁμαρ-
τίαις. ἐπαγωγῇ ὑπερηφάνου οὐκ ἔστιν ἴασις. φυτὸν γὰρ πονηρίας
ἐρρίζωκεν ἐν αὐτῷ. καρδία συνετοῦ διανοηθήσεται παραβο-
λήν. καὶ οὖς ἀκροατοῦ ἐπιθυμία σοφοῦ. πῦρ φλογιζόμενον ἀπο-
σβέσει ὕδωρ, καὶ ἐλεημοσύνη ἐξιλάσεται ἁμαρτίας. ὁ ἀνταπο-
διδοὺς χάριτας μέμνηται εἰς τὰ μετὰ ταῦτα, καὶ ἐν καιρῷ
πτώσεως εὑρήσει στήριγμα.

Κεφ. δ. 4.

Τέκνον τὴν ζωὴν τοῦ πτωχοῦ μὴ ἀποστερήσῃς. καὶ μὴ
παρελκύσῃς ὀφθαλμοὺς ἐνδεεῖς. ψυχὴν πεινῶσαν
μὴ λυπήσῃς. καὶ παροργίσῃς ἄνδρα ἐν ἀπορίᾳ αὐτοῦ
καρδίαν παρωργισμένην. μὴ προσταράξῃς. καὶ μὴ παρελκύσῃς
δόσιν προσδεομένου. ἱκέτην θλιβόμενον, μὴ ἀπαναίνου. καὶ μὴ ἀ-
ποστρέψῃς τὸ πρόσωπόν σου, ἀπὸ πτωχοῦ. ἀπὸ δεομένου, μὴ ἀπο-
στρέψῃς ὀφθαλμὸν, καὶ μὴ δῷς τόπον ἀνθρώπῳ καταράσασθαί σε.
καταρωμένου γάρ σε ἐν πικρίᾳ ψυχῆς αὐτοῦ, τῆς δεήσεως αὐτοῦ ἐ-
πακούσεται ὁ ποιήσας αὐτόν. προσφιλῆ συναγωγῇ σεαυτὸν
ποίει, καὶ μεγιστᾶνι ταπείνου τὴν κεφαλήν σου. κλῖνον πτωχῷ τὸ οὖς
σου. καὶ ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι. ἐξελοῦ ἀδικού-
μενον ἐκ χειρὸς ἀδικοῦντος. καὶ μὴ ὀλιγοψυχήσῃς ἐν τῷ κρίνειν
σε, γίνου ὀρφανοῖς ὡς πατήρ. καὶ ἀντὶ ἀνδρὸς τῇ μητρὶ αὐτῶν. καὶ
ἔσῃ ὡς υἱὸς ὑψίστου. καὶ ἀγαπήσει σε μᾶλλον ἢ μήτηρ σου. ἡ σο-
φία υἱοὺς ἑαυτῇ ἀνύψωσεν. καὶ ἐπιλαμβάνεται τῶν ζητούν-
των αὐτήν. ὁ ἀγαπῶν αὐτὴν, ἀγαπᾷ ζωήν. καὶ οἱ ὀρθρίζον-
τες πρὸς αὐτὴν ἐμπλησθήσονται εὐφροσύνης, ὁ κρατῶν αὐτῆς
κληρονομήσει δόξαν. καὶ οὗ εἰσπορεύεται εὐλογήσει κύριος.
οἱ λατρεύοντες αὐτῇ λειτουργήσουσιν ἁγίῳ. καὶ τοὺς
ἀγαπῶντας αὐτὴν ἀγαπᾷ ὁ κύριος, ὁ ὑπακούων αὐ-
τῆς, κρινεῖ ἔθνη, καὶ ὁ προσελθὼν αὐτῇ κατασκηνώσει πε-

πεποιθώς. καὶ ἂν ἐμπιστεύσῃς κατακληρονομήσεις αὐτήν. καὶ ἐν κατασχέσει ἔσονται αἱ γενεαὶ αὐτοῦ, ὅτι διεστραμμένως πορεύεται μετ' αὐτοῦ ἐν πρώτοις. φόβον δὲ καὶ δειλίαν ἐπάξει ἐπ' αὐτόν. καὶ βασανίσει αὐτὸν ἐν παιδείᾳ αὐτῆς, ἕως οὗ ἐμπιστεύσῃ τῇ ψυχῇ αὐτοῦ. καὶ πειράσει αὐτὸν ἐν τοῖς δικαιώμασιν αὐτῆς. καὶ πάλιν ἐπανήξει καθ' εὐθεῖαν πρὸς αὐτὸν καὶ εὐφρανεῖ αὐτόν. καὶ ἀποκαλύψει αὐτῷ τὰ κρυπτὰ αὐτῆς. ἐὰν ἀποπλανηθῇ ἐγκαταλείψει αὐτόν. καὶ παραδώσει αὐτὸν εἰς χεῖρας πτώσεως αὐτοῦ. συντήρησον καιρόν. καὶ φύλαξαι ἀπὸ πονηροῦ. καὶ περὶ τῆς ψυχῆς σου, μὴ αἰσχυνθῇς. ἔστι γὰρ αἰσχύνη ἐπάγουσα ἁμαρτίαν. καὶ ἔστιν αἰσχύνη δόξα καὶ χάρις. μὴ λάβῃς πρόσωπον κατὰ τῆς ψυχῆς σου, καὶ μὴ ἐντραπῇς εἰς πτῶσίν σου. μὴ κωλύσῃς λόγον ἐν καιρῷ σωτηρίας. ἐν γὰρ λόγῳ γνωσθήσεται σοφία. καὶ παιδεία ἐν ῥήματι γλώσσης. μὴ ἀντίλεγε τῇ ἀληθείᾳ, καὶ περὶ τῆς ἀπαιδευσίας σου, ἐντράπηθι. μὴ αἰσχυνθῇς ὁμολογῆσαι ἐφ' ἁμαρτίαις σου, καὶ μὴ βιάζου ῥοῦν ποταμοῦ. καὶ μὴ ὑποστρώσῃς σεαυτὸν ἀνθρώπῳ μωρῷ. καὶ μὴ λάβῃς πρόσωπον δυνάστου, ἕως τοῦ θανάτου. ἀγώνισαι περὶ τῆς ἀληθείας. καὶ κύριος ὁ θεὸς πολεμήσει ὑπὲρ σοῦ. μὴ γίνου τραχὺς ἐν γλώσσῃ σου καὶ νωθρὸς καὶ παρειμένος ἐν τοῖς ἔργοις σου. μὴ ἴσθι, ὡς λέων ἐν τῷ οἴκῳ σου, καὶ φαντασιοκοπῶν ἐν τοῖς οἰκέταις σου. μὴ ἔστω ἡ χείρ σου ἐκτεταμένη εἰς τὸ λαβεῖν. καὶ ἐν τῷ ἀποδιδόναι συνεσταλμένη.

Κεφ. ε. ς.

Μὴ ἐπέχε ἐπὶ τοῖς χρήμασί σου. καὶ μὴ εἴπῃς αὐτάρκημοι ἐστί. μὴ ἐξακολούθει τῇ ψυχῇ σου. καὶ τῇ ἰσχύϊ σου πορεύεσθαι ἐν ἐπιθυμίαις καρδίας σου. καὶ μὴ εἴπῃς τίς με δυναστεύσει. ὁ γὰρ κύριος ἐκδικῶν ἐκδικήσει σε. μὴ εἴπῃς ἥμαρτον. καὶ τί μοι ἐγένετο. ὁ γὰρ κύριος, ἐστὶ μακρόθυμος. περὶ ἐξιλασμοῦ. μὴ ἄφοβος γίνου, προσθεῖναι ἁμαρτίαν

ἐφ' ἁμαρτίαις. καὶ μὴ εἴπῃς ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆ-
θος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται. ἔλεος γὰρ καὶ ὀργὴ παρ'
αὐτῷ. καὶ ἐπὶ ἁμαρτωλοὺς καταπαύσει ὁ θυμὸς αὐτοῦ. μὴ ἀνα-
μένε ἐπιστρέψαι πρὸς κύριον. καὶ μὴ ὑπερβάλλου ἡμέραν ἐξ ἡ-
μέρας. ἐξάπινα γὰρ ἐξελεύσεται ὀργὴ κυρίου. καὶ ἐν καιρῷ ἐκ-
δικήσεως ἐξολῇ. μὴ ἀπέχε ἐπὶ χρήμασιν ἀδίκοις. οὐδὲν γὰρ
ὠφελήσεις ἐν ἡμέρᾳ ἐπαγωγῆς. μὴ λίκμα ἐν παντὶ ἀνέμῳ.
καὶ μὴ πορεύου ἐν πάσῃ ἀτραπῷ. οὕτως ὁ ἁμαρτωλὸς ὁ δίγλωσ-
σος. ἴσθι ἐστηριγμένος ἐν συνέσει σου. καὶ εἷς ἔστω σου ὁ λόγος. γί-
νου ταχὺς ἐν ἀκροάσει σου. καὶ ἐν μακροθυμίᾳ, φθέγγου ἀπόκρι-
σιν. εἰ ἔστιν σοι σύνεσις ἀποκρίθητι τῷ πλησίον. εἰ δὲ μὴ ἡ χεὶρ
σου ἔστω ἐπὶ στόματί σου. δόξα, καὶ ἀτιμία ἐν λαλιᾷ. καὶ γλῶσσα
ἀνθρώπου πτῶσις αὐτῷ. μὴ κληθῇς ψίθυρος. καὶ τῇ γλώσσῃ
σου, μὴ ἐνέδρευε. ἐπὶ γὰρ τῷ κλέπτῃ ἔστιν αἰσχύνη, καὶ κατάγνω-
σις πονηρὰ ἐπὶ διγλώσσου ἐν μεγάλῳ. καὶ ἐν μικρῷ μὴ ἀγνόει.

Κεφάλαιον. ϛ. 6.

Ἀντὶ φίλου μὴ γίνου ἐχθρός. ὄνομα γὰρ πονηρὸν
κ αἰσχύνην καὶ ὄνειδος κληρονομήσει. οὕτως ὁ ἁμαρτω-
λὸς ὁ δίγλωσσος. μὴ ἐπάρῃς σεαυτὸν ἐν βουλῇ ψυ-
χῆ μου. τὰ φύλλα σου καταφάγεσαι. καὶ τοὺς καρποὺς σου ἀπο-
λέσεις. καὶ ἀφήσεις σεαυτὸν ὡς ξύλον ξηρόν. ψυχὴ πονηρὰ ἀπο-
λεῖ τὸν κτησάμενον αὐτήν. καὶ ἐπίχαρμα ἐχθρῶν ποιήσει αὐ-
τόν. λάρυγξ γλυκὺς πληθυνεῖ φίλους αὐτοῦ. καὶ γλῶσσα εὔλαλος
πληθυνεῖ εὐπροσήγορα. οἱ εἰρηνεύοντές σοι, ἔστωσαν πολλοί. οἱ
δὲ σύμβουλοί σου, εἷς ἀπὸ χιλίων. εἰ κτᾶσαι φίλον ἐν πειρα-
σμῷ κτῆσαι αὐτὸν καὶ μὴ ταχὺ ἐμπιστεύσῃς αὐτῷ. ἔστι γὰρ φί-
λος ἐν καιρῷ αὐτοῦ. καὶ οὐ μὴ παραμείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου,
καὶ ἔστι φίλος μετατιθέμενος εἰς ἔχθραν καὶ μάχην ὀνειδισμοῦ
σου ἀποκαλύψει. καὶ ἔστι φίλος κοινωνὸς τραπεζῶν. καὶ οὐ μὴ παρα-
μείνῃ ἐν ἡμέρᾳ θλίψεώς σου. καὶ ἐν τοῖς ἀγαθοῖς σου ἔσται ὡς σύ.

καὶ ἐπὶ τοὺς οἰκέτας σου παῤῥησιάσεται. ἐὰν ταπεινωθῇς, ἔσται κα-
τὰ σοῦ. καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσεται. ἀπὸ τῶν ἐ-
χθρῶν σου διαχωρίσθητι. καὶ ἀπὸ τῶν φίλων σου πρόσεχε. φίλος
πιστὸς σκέπη κραταιά, ὁ δὲ εὑρὼν αὐτὸν εὗρε θησαυρόν. φίλου
πιστοῦ οὐκ ἔστιν ἀντάλλαγμα. καὶ οὐκ ἔστι σταθμὸς τῆς καλλονῆς αὐτοῦ.
φίλος πιστὸς φάρμακον ζωῆς. καὶ οἱ φοβούμενοι κύριον εὑρήσου-
σιν αὐτόν. ὁ φοβούμενος κύριον, εὐθύνει φιλίαν αὐτοῦ. ὅτι κατ'
αὐτὸν οὕτως καὶ ὁ πλησίον αὐτοῦ. Τέκνον ἐκ νεότητός σου ἐπίλεξαι
παιδείαν καὶ ἕως πολιῶν εὑρήσεις σοφίαν. ὡς ὁ ἀροτριῶν καὶ ὁ
σπείρων πρόσελθε αὐτῇ. καὶ ἀνάμενε τοὺς ἀγαθοὺς καρποὺς
αὐτῆς. ἐν γὰρ τῇ ἐργασίᾳ αὐτῆς ὀλίγον κοπιάσεις. καὶ ταχὺ φά-
γεσαι γεννημάτων αὐτῆς. ὡς τραχεῖά ἐστι σφόδρα τοῖς ἀπαιδεύ-
τοις, καὶ οὐκ ἐμμενεῖ ἐν αὐτῇ ἀκάρδιος. ὡς λίθος δοκιμασίας,
ἰσχυρὸς ἔσται ἐπ' αὐτῷ. καὶ οὐ χρονιεῖ ἀποῤῥῖψαι αὐτήν. σοφία
γὰρ κατὰ τὸ ὄνομα αὐτοῖς ἐστι καὶ οὐ πολλοῖς ἐστι φανερά. ἄκου-
σον τέκνον, καὶ δέξαι γνώμην μου. καὶ μὴ ἀπαναίνου τὴν συμ-
βουλίαν μου. καὶ εἰσένεγκον τοὺς πόδας σου εἰς τὰς πέδας αὐτῆς,
καὶ εἰς τὸν κλοιὸν αὐτῆς τὸν τράχηλόν σου. ὑπόθες τὸν ὦμόν
σου, καὶ βάσταξον αὐτὴν καὶ μὴ προσοχθίσῃς τοῖς δεσμοῖς αὐτῆς.
ἐν πάσῃ ψυχῇ σου πρόσελθε αὐτῇ. καὶ ἐν ὅλῃ δυνάμει σου συν-
τήρησον τὰς ὁδοὺς αὐτῆς. ἐξίχνευσον. καὶ ζήτησον. καὶ γνωσθή-
σεταί σοι. καὶ ἐγκρατὴς γενόμενος, μὴ ἀφῇς αὐτήν. ἐπ' ἐσχά-
των γὰρ εὑρήσεις τὴν ἀνάπαυσιν αὐτῆς. καὶ στραφήσεταί σοι εἰς εὐ-
φροσύνην. καὶ ἔσονταί σοι αἱ πέδαι εἰς σκέπην ἰσχύος. καὶ οἱ κλά-
δοι αὐτῆς εἰς στολὴν δόξης, κόσμος γὰρ χρύσεός ἐστιν ἐπ' αὐ-
τῆς, καὶ οἱ δεσμοὶ αὐτῆς κλάσμα ὑακίνθινον. στολὴν δόξης, ἐν-
δύσῃ αὐτήν. καὶ στέφανον ἀγαλλιάματος περιθήσεις σεαυτῷ. ἐὰν
θέλῃς τέκνον παιδευθήσῃ, καὶ ἐὰν δῷς τὴν ψυχήν σου πανοῦρ-
γος ἔσῃ. ἐὰν ἀγαπήσῃς ἀκούειν ἐκδέξῃ. καὶ ἐὰν κλίνῃς τὸ οὖς σου
σοφὸς ἔσῃ, ἐν πλήθει πρεσβυτέρων στῆθι. καὶ τίς σοφὸς αὐτῷ προσ-

κολλήθητι. πᾶσαν διήγησιν θείαν θέλε ἀκούειν. καὶ παροιμίαι συνέσεως μὴ ἐκφευγέτωσάν σε. ἐὰν ἴδῃς συνετὸν ὄρθριζε πρὸς αὐτόν. καὶ βαθμοὺς στίβων αὐτοῦ ἐκτριβέτω ὁ πούς σου. διανοοῦ ἐν τοῖς προστάγμασι κυρίου. καὶ ἐν ταῖς ἐντολαῖς αὐτοῦ μελέτα διαπαντός. αὐτὸς στηριεῖ τὴν καρδίαν σου. καὶ ἡ ἐπιθυμία τῆς σοφίας σου δοθήσεταί σοι.

Κεφάλ. ζ. 7.

Η ποίει κακὰ καὶ οὐ μή σε καταλάβῃ κακόν. ἀπό-
μ στηθι ἀπὸ ἀδίκου. καὶ ἐκκλίνει ἀπὸ σοῦ. υἱὲ, μὴ σπεῖ-
ρε ἐπ' αὔλακας ἀδικίας. καὶ οὐ μὴ θερίσῃς αὐτὰς ἑπταπλασίως. μὴ ζήτει παρὰ κυρίου ἡγεμονίαν, μὴ δὲ παρὰ βασιλέως καθέδραν δόξης. μὴ δικαιοῦ ἔναντι κυρίου. καὶ παρὰ βασιλέως μὴ σοφίζου. μὴ ζήτει γενέσθαι κριτής. μὴ οὐκ ἐξισχύσεις ἐξᾶραι ἀδικίας. μήποτε εὐλαβηθῇς ἀπὸ προσώπου δυνάστου. καὶ θήσεις σκάνδαλον ἐν εὐθύτητί σου. μὴ ἁμάρτανε εἰς πλῆθος πόλεως καὶ μὴ καταβάλῃς σε αὐτὸν ἐν ὄχλῳ. μὴ καταδεσμεύσῃς δὶς ἁμαρτίαν. ἐν γὰρ τῇ μιᾷ οὐκ ἀθῷος ἔσῃ. μὴ εἴπῃς τῷ πλήθει τῶν δώρων μου ἐπόψεται. καὶ ἐν τῷ προσενέγκαι με θεῷ ὑψίστῳ προσδέξεται. μὴ ὀλιγοψυχήσῃς ἐν τῇ προσευχῇ σου, καὶ ἐλεημοσύνην ποιῆσαι μὴ παρίδῃς. μὴ καταγέλα ἄνθρωπον ὄντα ἐν πικρίᾳ ψυχῆς αὐτοῦ. ἔστι γὰρ ὁ ταπεινῶν καὶ ἀνυψῶν. μὴ ἀροτρία ψεῦδος ἐπ' ἀδελφῷ σου. μηδὲ φίλῳ τὸ ὅμοιον ποίει. μὴ θέλε ψεύδεσθαι πᾶν ψεῦδος. ὁ γὰρ ἐνδελεχισμὸς αὐτοῦ οὐκ εἰς ἀγαθόν. μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων. καὶ μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου. μὴ μισήσῃς ἐπίπονον ἐργασίαν καὶ γεωργίαν ὑπὸ ὑψίστου ἐκτισμένην. μὴ προσλογίζου σεαυτὸν ἐν πλήθει ἁμαρτωλῶν. ταπείνωσον σφόδρα τὴν ψυχήν σου. μνήσθητι ὅτι ὀργὴ οὐ χρονιεῖ, ὅτι ἐκδίκησις ἀσεβοῦς πῦρ, καὶ σκώληξ. μὴ ἀλλάξῃς φίλον ἕνεκεν ἀδιαφόρου. μὴ δὲ ἀδελφὸν γνήσιον ἐν χρυσίῳ σουφείρ. μὴ ἀσό

χει γυναικὸς σοφῆς, καὶ ἀγαθῆς. καὶ γὰρ χάρις αὐτῆς ὑπὲρ τὸ χρυσίον. μὴ κακώσῃς οἰκέτην ἐργαζόμενον ἐν ἀληθείᾳ. μηδὲ μίσθιον διδόντα ψυχὴν αὐτοῦ. οἰκέτην ἀγαθὸν ἀγαπάτω σου ἡ ψυχή. μὴ στερήσῃς αὐτὸν ἐλευθερίας. κτήνη σοι ἐστιν, ἐπισκέπτου αὐτά. καὶ εἰ ἔστι σοι χρήσιμα, ἐμμενέτω σοι. τέκνα σοι ἐστί, παίδευσον αὐτά. καὶ κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν. θυγατέρες σοί εἰσιν, πρόσεχε τῷ σώματι αὐτῶν. καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου. ἔκδου θυγατέρα, καὶ ἔσῃ τετελεκὼς ἔργον μέγα. καὶ ἀνδρὶ συνετῷ δώρησαι αὐτήν. γυνή σοι ἐστὶ κατὰ ψυχὴν, μὴ ἐκβάλῃς αὐτήν. ἐν ὅλῃ καρδίᾳ δόξασον τὸν πατέρα σου. καὶ μητρὸς ὠδῖνας, μὴ ἐπιλάθῃ. μνήσθητι, ὅτι δι᾽ αὐτῶν ἐγεννήθης, καὶ τί ἀνταποδώσεις αὐτοῖς καθὼς αὐτοί σοι. ἐν ὅλῃ ψυχῇ σου εὐλαβοῦ τὸν κύριον. καὶ τοὺς ἱερεῖς αὐτοῦ θαύμαζε. ἐν ὅλῃ δυνάμει ἀγάπησον τὸν ποιήσαντά σε. καὶ τοὺς λειτουργοὺς αὐτοῦ μὴ ἐγκαταλίπῃς. φοβοῦ τὸν κύριον καὶ δόξασον ἱερέα. καὶ δὸς τὴν μερίδα αὐτῶν καθὼς ἐντέταλταί σοι ἀπ᾽ ἀρχήν. καὶ περὶ πλημμελείας, καὶ δόσιν βραχιόνων, καὶ θυσίας ἁγιασμοῦ, καὶ ἀπ᾽ ἀρχήν. καὶ πτωχῷ, ἔκτεινον τὴν χεῖρά σου. ἵνα τελειωθῇ ἡ εὐλογία σου, χάρις δόματος ἔναντι παντὸς ζῶντος. καὶ ἐπὶ νεκρῷ, μὴ ἀποκωλύσῃς χάριν. μὴ ὑστέρει ἀπὸ κλαιόντων καὶ μετὰ πενθούντων πένθησον. μὴ ὄκνει ἐπισκέπτεσθαι ἄρρωστον. ἐκ γὰρ τῶν τοιούτων ἀγαπηθήσῃ. ἐν πᾶσι τοῖς λόγοις σου, μιμνήσκου τὰ ἔσχατά σου, καὶ εἰς τὸν αἰῶνα οὐχ ἁμαρτήσεις.

Κεφάλαιον. η. ς.

μ Η διαμάχου μετὰ ἀνθρώπου δυνάστου. μήποτε ἐμπέσῃς εἰς τὰς χεῖρας αὐτοῦ. μὴ ἔριζε μετὰ ἀνθρώπου πλουσίου. μήποτε ἀντιστήσῃ σου τὴν ὁλκήν. πολλοὺς γὰρ ἀπώλεσε τὸ χρυσίον, καὶ καρδίας βασιλέων ἐξέκλινεν. μὴ διαμάχου μετὰ ἀνθρώπου γλωσσώδους. καὶ μὴ ἐπιστοιβάσῃς

ἐπὶ τὸ πῦρ αὐτοῦ ξύλα. μὴ προσπαίζε ἀπαιδεύτῳ, ἵνα μὴ ἀτιμά-
ζωνται οἱ πρόγονοί σου. μὴ ὀνείδιζε ἄνθρωπον ἀποστρέφοντα ἀπὸ
ἁμαρτίας. μνήσθητι, ὅτι πάντες ἐσμὲν ἐν ἐπιτίμοις. μὴ ἀτιμά-
σῃς ἄνθρωπον ἐν γήρει αὐτοῦ. καὶ γὰρ ἐξ ἡμῶν, γηράσκουσιν.
μὴ ἐπιχαῖρε ἐπὶ νεκρῷ. μνήσθητι, ὅτι πάντες τελευτῶμεν. μὴ
παρίδῃς διήγημα σοφῶν, καὶ ἐν ταῖς παροιμίαις αὐτῶν. ἀνα-
στρέφου. ὅτι παρ᾽ αὐτῶν μαθήσῃ παιδείαν, καὶ λειτουργῆσαι με-
γιστᾶσιν. μὴ ἀστόχει διηγήματος γερόντων καὶ γὰρ αὐτοὶ ἔμα-
θον παρὰ τῶν πατέρων αὐτῶν. ὅτι παρ᾽ αὐτῶν μαθήσῃ σύνε-
σιν. καὶ ἐν καιρῷ χρείας δοῦναι ἀπόκρισιν. μὴ ἔκκαιε ἄνθρακας
ἁμαρτωλοῦ. μὴ ἐμπυρισθῇς ἐν πυρὶ φλογὸς αὐτοῦ. μὴ ἐξαναστῇς
ἀπὸ προσώπου ὑβριστοῦ. ἵνα μὴ ἐγκαθίσῃ ὡς ἔνεδρον τῷ στόμα-
τί σου, μὴ δανείσῃς ἀνθρώπῳ ἰσχυροτέρῳ σου. καὶ ἐὰν δανεί-
σῃς, ὡς ἀπολωλεκὼς γίνου. μὴ ἐγγυήσῃ ὑπὲρ δύναμίν σου καὶ
ἐὰν ἐγγυήσῃ ὡς ἀποτίσων φρόντιζε. μὴ δικάζου μετὰ κριτοῦ.
κατὰ γὰρ τὴν δόξαν αὐτοῦ κρινοῦσιν αὐτῷ μετὰ τολμηροῦ. μὴ
πορεύου ἐν ὁδῷ ἵνα μὴ καταβαρύνηται κατὰ σου. αὐτὸς γὰρ κα-
τὰ τὸ θέλημα αὐτοῦ ποιήσει καὶ τῇ ἀφροσύνῃ αὐτοῦ συναπολῇ.
μετὰ θυμώδους μὴ ποιήσῃς μάχην, καὶ μὴ διαπορεύου μετ᾽
αὐτοῦ τὴν ἔρημον. ὅτι ὡς οὐδὲν ἐν ὀφθαλμοῖς αὐτοῦ αἷμα. καὶ ὅ-
που οὐκ ἔστι βοήθεια καταβαλεῖ σε. μετὰ μωροῦ μὴ συμβουλεύου
οὐ γὰρ δυνήσεται λόγον στέρξαι. ἐνώπιον ἀλλοτρίου μὴ ποιήσῃς
κρυπτὸν, οὐ γὰρ γινώσκεις τί τέξεται. παντὶ ἀνθρώπῳ, μὴ ἔκφαι-
νε σὴν καρδίαν. καὶ μὴ ἀναφερέτω σοι χάριν.

Κεφάλαιον. θ. 9.

Η ζήλου γυναῖκα τοῦ κόλπου σου. μηδὲ διδάξῃς ἐπὶ
σεαυτὸν παιδείαν πονηράν. μὴ δῷς γυναικὶ τὴν
ψυχήν σου. ἐπιβῆναι αὐτὴν ἐπὶ τὴν ἰσχύν σου. μὴ
ὑπάντα γυναικὶ ἑταιριζομένῃ. μήποτε ἐμπέσῃς εἰς τὰς παγί-
δας αὐτῆς. μετὰ ψαλλούσης, μὴ ἐνδελέχιζε. μήποτε ἁλῷς ἐν

τοῖς ἐπιχειρήμασιν αὐτῆς. παρθένον μὴ καταμάνθανε. μήπο-
τε σκανδαλισθῇς ἐν τοῖς ἐπιτιμίοις αὐτῆς. μὴ δῷς πόρναις τὴν
ψυχήν σου. ἵνα μὴ ἀπολέσῃς τὴν κληρονομίαν σου, μὴ περι-
βλέπου ἐν ῥύμαις πόλεως καὶ ἐν ταῖς ἐρήμοις αὐτῆς μὴ πλανῶ.
ἀπόστρεψον ὀφθαλμὸν ἀπὸ γυναικὸς εὐμόρφου. καὶ μὴ κατα-
μάνθανε κάλλος ἀλλότριον. ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανή-
θησαν καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται. μετὰ ὑπάνδρου
γυναικὸς, μὴ κάθου τὸ σύνολον καὶ μὴ συμβολοκοπήσῃς μετ' αὐ-
τῆς ἐν οἴνῳ. μήποτε ἐκκλίνῃ ἡ ψυχή σου ἐπ' αὐτήν. καὶ τῷ
πνεύματί σου ὀλισθήσῃς εἰς ἀπώλειαν. μὴ ἐγκαταλίπῃς φίλον
ἀρχαῖον. ὁ γὰρ πρόσφατος οὐκ ἔστιν ἔφισος αὐτῷ. οἶνος νέος φί-
λος νέος. ἐὰν παλαιωθῇ μετ' εὐφροσύνης πίεσαι αὐτόν. μὴ ζη-
λώσῃς δόξαν ἁμαρτωλοῦ, οὐ γὰρ οἶδας τί ἔσται ἡ καταστροφὴ αὐ-
τοῦ. μὴ εὐδοκήσῃς ἐν εὐδοκίᾳ ἀσεβῶν. μνήσθητι ὅτι ἕως ᾅδου
οὐ μὴ δικαιωθῶσιν. μακρὰν ἄπεχε ἀπὸ ἀνθρώπου, ὃς ἔχει ἐξου-
σίαν τοῦ φονεύειν. καὶ οὐ μὴ ὑποπτεύσῃς φόβον τοῦ θανάτου. κἂν
προσέλθῃς μὴ πλημμελήσῃς. ἵνα μὴ ἀφέληται τὴν ζωήν σου.
ἐπίγνωθι ὅτι ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπὶ ἐπάλξεων
πόλεων περιπατεῖς. κατὰ τὴν ἰσχύν σου στόχασαι τοὺς πλησίον
καὶ μετὰ σοφῶν συμβουλεύου. καὶ μετὰ συνετῶν, ἔστω ὁ διαλο-
γισμός σου. καὶ πᾶσα διήγησίς σου ἐν νόμῳ ὑψίστου. ἄνδρες δί-
καιοι ἔστωσαν σύνδειπνοί σου καὶ ἐν φόβῳ κυρίου ἔστω τὸ καύχη-
μά σου. ἐν χειρὶ τεχνιτῶν ἔργον ἐπαινεθήσεται καὶ ὁ ἡγούμε-
νος λαοῦ σοφὸς, ἐν λόγῳ αὐτοῦ. φοβερὸς ἐν πόλει αὐτοῦ ἀνὴρ γλωσ-
σώδης, καὶ ὁ προπετὴς ἐν λόγῳ αὐτοῦ μισηθήσεται.

Κεφάλαιον. ι. 10.

Ριτὴς σοφὸς παιδεύει τὸν λαὸν αὐτοῦ. καὶ ἡγεμονία
κ συνετοῦ τεταγμένη ἔσται. κατὰ τὸν κριτὴν τοῦ λαοῦ αὐ-
τοῦ, οὕτως καὶ οἱ λειτουργοὶ αὐτοῦ. καὶ κατὰ τὸν ἡγού-
μενον τῆς πόλεως, πάντες οἱ κατοικοῦντες αὐτήν. βασιλεὺς ἀ-

παίδευτος ἀπολεῖ τὸν λαὸν αὐτοῦ· καὶ πόλις οἰκισθήσεται ἐν συ-
νέσει δυναστῶν. ἐν χειρὶ κυρίου ἐξουσία τῆς γῆς· καὶ τὸν χρήσιμον
ἐγερεῖ εἰς καιρὸν ἐπ' αὐτῆς. ἐν χειρὶ κυρίου εὐοδία ἀνδρός· καὶ
προσώπῳ γραμματέως ἐπιθήσει δόξαν αὐτοῦ. ἐπὶ παντὶ ἀδι-
κήματι μὴ μηνιάσῃς τῷ πλησίον, καὶ μὴ πράσσε μηδὲν ἐν ἔρ-
γοις ὕβρεως. μισητὴ ἔναντι κυρίου, καὶ ἀνθρώπων, ὑπερηφανία,
καὶ ἐξ ἀμφοτέρων πλημμελήσει ἄδικα. βασιλεία ἀπὸ ἔθνους εἰς
ἔθνος μετάγεται. διὰ ἀδικίας καὶ ὕβρεις καὶ χρήματα. τί ὑπε-
ρηφανεύεται γῆ καὶ σποδός. ὅτι ἐν ζωῇ ἔῤῥιψα τὰ ἐνδόσθια αὐ-
τοῦ. μακρὸν ἀῤῥώστημα σκώπτει ἰατρός, καὶ βασιλεὺς σήμερον καὶ
αὔριον τελευτήσει. ἐν γὰρ τῷ ἀποθανεῖν ἄνθρωπον κληρονο-
μήσει ἑρπετὰ καὶ θηρία καὶ σκώληκας. ἀρχὴ ὑπερηφανίας ἀνθρώ-
που ἀφισταμένου ἀπὸ κυρίου. καὶ ἀπὸ τοῦ ποιήσαντος αὐτόν. ἀπέ-
στη ἡ καρδία αὐτοῦ, ὅτι ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ ὁ κρα-
τῶν αὐτῆς ἐξομβρήσει βδέλυγμα. διὰ τοῦτο παρεδόξασε κύριος
τὰς ἐπαγωγάς. καὶ κατέστρεψεν εἰς τέλος αὐτούς. θρόνους ἀρ-
χόντων καθεῖλεν ὁ κύριος. καὶ ἐκάθισεν πραεῖς ἀντ' αὐτῶν, ῥί-
ζας ἐθνῶν ἐξέτιλεν ὁ κύριος. καὶ ἐφύτευσεν ταπεινοὺς ἀντ'
αὐτῶν. χώρας ἐθνῶν κατέστρεψεν ὁ κύριος καὶ ἀπώλεσεν αὐ-
τὰς ἕως θεμελίων γῆς. ἐξήρανεν ἐξ αὐτῶν καὶ ἀπώλεσεν αὐ-
τοὺς καὶ κατέπαυσεν ἀπὸ γῆς τὸ μνημόσυνον αὐτῶν. οὐκ ἔκτι-
σται ἀνθρώποις ὑπερηφανία οὐδὲ ὀργὴ θυμοῦ γεννήμασι γυναι-
κῶν. σπέρμα ἔντιμον ποῖον σπέρμα ἀνθρώπου. σπέρμα ἔντι-
μον ποῖον οἱ φοβούμενοι τὸν κύριον, σπέρμα ἄτιμον ποῖον σπέρ-
μα ἀνθρώπου, σπέρμα ἄτιμον ποῖον οἱ παραβαίνοντες ἐντο-
λάς. ἐν μέσῳ ἀδελφῶν, ὁ ἡγούμενος αὐτῶν ἔντιμος. καὶ οἱ φοβού-
μενοι κύριον, ἐν ὀφθαλμοῖς αὐτοῦ. πλούσιος καὶ ἔνδοξος καὶ πτω-
χὸς, τὸ καύχημα αὐτῶν φόβος κυρίου. οὐ δίκαιον ἀτιμάσαι πτωχὸν
συνετόν. καὶ οὐ καθήκει δοξάσαι ἄνδρα ἁμαρτωλόν. μεγιστὰν καὶ
κριτὴς, καὶ δυνάστης δοξασθήσεται, καὶ οὐκ ἔστιν αὐτῶν τις μείζων

τοῦ φοβουμένου τὸν κύριον. οἰκέτῃ σοφῷ, ἐλεύθεροι λειτουργήσου-
σιν. καὶ ἀνὴρ ἐπιστήμων οὐ γογγύσει. μὴ σοφίζου ποιῆσαι τὸ ἔρ-
γον σου. καὶ μὴ δοξάζου ἐν καιρῷ στενοχωρίας. κρείσσων ἐργαζό-
μενος ἐν πᾶσιν, ἢ περιπατῶν ἢ δοξαζόμενος, καὶ ἀπορῶν ἄρτων.
Τέκνον ἐν πραΰτητι δόξασον τὴν ψυχήν σου. καὶ δὸς αὐτῇ τι-
μὴν, κατὰ τὴν ἀξίαν αὐτῆς. τὸν ἁμαρτάνοντα εἰς τὴν ψυχὴν
αὐτοῦ τίς δικαιώσει. καὶ τίς δοξάσει τὸν ἀτιμάζοντα τὴν ζωὴν
αὐτοῦ. πτωχὸς δοξάζεται διὰ τὴν ἐπιστήμην αὐτοῦ. καὶ πλούσι-
ος δοξάζεται διὰ τὸν πλοῦτον αὐτοῦ. ὁ δὲ δοξαζόμενος ἐν πτω-
χείᾳ καὶ ἐν πλούτῳ ποσαχῶς. καὶ ὁ ἄδοξος ἐν πλούτῳ, ἐν
πτωχείᾳ ποσαχῶς.

Κεφάλαιον. ια. 11.

Οφία ταπεινοῦ ἀνυψώσει κεφαλήν. καὶ ἐν μέσῳ
σ μεγιστάνων καθίσει αὐτόν. μὴ αἰνέσῃς ἄνδρα ἐν κάλ-
λει αὐτοῦ. μὴ βδελύξῃ ἄνθρωπον ἐν ὁράσει αὐτοῦ. μι-
κρὰ ἐν πετεινοῖς μέλισσα, καὶ ἀρχὴ γλυκασμάτων ὁ καρπὸς αὐ-
τῆς. ἐν περιβολῇ ἱματίων, μὴ καυχήσῃ, καὶ ἐν ἡμέρᾳ δόξης μὴ
ἐπαίρου. ὅτι θαυμαστὰ τὰ ἔργα κυρίου. καὶ κρυπτὰ τὰ ἔργα αὐ-
τοῦ ἐν ἀνθρώποις. πολλοὶ τύραννοι ἐκάθισαν ἐπὶ ἐδάφους. ὁ δὲ
ἀνυπονόητος, ἐφόρεσεν διάδημα. πολλοὶ δυνάσται ἠτιμάσθη-
σαν σφόδρα. καὶ ἔνδοξοι παρεδόθησαν εἰς χεῖρας ἑτέρων. πρὶν
ἐξετάσῃς, μὴ μέμφου. νόησον πρῶτον καὶ τότε ἐπιτίμα. πρὶν ἢ
ἀκοῦσαι, μὴ ἀποκρίνου. καὶ ἐν μέσῳ λόγων μὴ παρεμβάλλου.
περὶ δὲ πράγματος οὗ οὐκ ἔστι σοι χρεία, μὴ ἔριζε. καὶ ἐν κρίσει
ἁμαρτωλῶν, μὴ συνέδρευε. Τέκνον μὴ περὶ πολλὰ ἔστωσαν αἱ
πράξεις σου. ἐὰν πληθύνῃς, οὐκ ἀθῳωθήσῃ. καὶ ἐὰν διώκῃς, οὐ
μὴ καταλάβῃς. καὶ οὐ μὴ ἐκφύγῃς διαδράς. ἔστι κοπιῶν καὶ
πονῶν καὶ σπεύδων καὶ τοσῷ μᾶλλον ὑστερεῖται. ἔστιν νωθρὸς
καὶ προσδεόμενος ἀντιλήψεως, ὑστερῶν ἰσχύϊ καὶ πτωχείᾳ πε-
ρισσεύει. καὶ οἱ ὀφθαλμοὶ κυρίου ἐπέβλεψαν αὐτῷ εἰς ἀγαθά.

καὶ ἀνώρθωσεν αὐτὸν ἐκ ταπεινώσεως αὐτοῦ. καὶ ἀνύψωσε κε-
φαλὴν αὐτοῦ. καὶ ἀπεθαύμασαν ἐπ᾽ αὐτῷ πολλοί. ἀγαθὰ καὶ κα-
κὰ ζωὴ καὶ θάνατος. πτωχεία καὶ πλοῦτος παρὰ κυρίου ἐστί. δόσις
κυρίου παραμένει εὐσεβέσι. καὶ ἡ εὐδοκία αὐτοῦ εἰς τὸν αἰῶ-
να εὐοδωθήσεται. ἔστι πλουτῶν ἀπὸ προσοχῆς καὶ σφιγγίας αὐ-
τοῦ. καὶ αὕτη ἡ μερὶς τοῦ μισθοῦ αὐτοῦ. ἐν τῷ εἰπεῖν αὐτὸν εὗρον
ἀνάπαυσιν. καὶ νῦν φάγομαι ἐκ τῶν ἀγαθῶν μου, καὶ οὐκ οἶδεν
τίς καιρὸς παρελεύσεται. καὶ καταλείψει αὐτὰ ἑτέροις καὶ ἀπο-
θανεῖται. στῆθι ἐν διαθήκῃ σου καὶ ὁμίλει ἐν αὐτῇ. καὶ ἐν τῷ ἔρ-
γῳ σου παλαιώθητι. μὴ θαύμαζε ἐν ἔργοις ἁμαρτωλοῦ, πίστευε
τῷ κυρίῳ καὶ ἔμμενε τῷ πόνῳ σου, ὅτι κοῦφον ἐν ὀφθαλμοῖς
κυρίου διὰ τάχους ἐξάπινα πλουτίσαι πένητα. εὐλογία κυρίου
ἐν μισθῷ εὐσεβοῦς καὶ ἐν ὥρᾳ ταχινῇ ἀναβάλλει εὐλογίαν αὐ-
τοῦ. μὴ εἴπῃς τίς ἐστι μου χρεία. καὶ τίνα ἀπὸ τοῦ νῦν ἔσται μου τὰ
ἀγαθά. καὶ εἴπῃς αὐτάρκη μοι ἐστί. καὶ τί ἀπὸ τοῦ νῦν κακωθήσο-
μαι. ἐν ἡμέρᾳ ἀγαθῶν ἀμνησία κακῶν καὶ ἐν ἡμέρᾳ κακῶν μνη-
σθήσεται ἀγαθῶν. ὅτι κοῦφον ἔναντι κυρίου ἐν ἡμέρᾳ τελευτῆς
ἀποδοῦναι ἀνθρώπῳ κατὰ τὰς ὁδοὺς αὐτοῦ. κάκωσις ὥρας ἐπι-
λησμονὴν ποιεῖ τρυφῆς. καὶ ἐν συντελείᾳ ἀνθρώπου, ἀποκάλυψις
ἔργων αὐτοῦ. πρὸ τελευτῆς μὴ μακάριζε μηδένα. καὶ ἐν τέκνοις
αὐτοῦ γνωσθήσεται ἀνήρ. μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶ-
κόν σου. πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου. πέρδιξ θηρευτὴς ἐν
καρτάλλῳ οὕτως καρδία ὑπερηφάνου. καὶ ὡς ὁ κατάσκοπος
ἐπιβλέπει πτῶσιν. τὰ γὰρ ἀγαθὰ εἰς κακὰ μεταστρέφων ἐνεδρεύ-
ει, καὶ ἐν τοῖς αἱρετοῖς, ἐπιθήσει μῶμον. ἀπὸ σπινθῆρος πυρὸς
πληθύνεται ἀνθρακία. καὶ ἄνθρωπος ἁμαρτωλὸς εἰς αἷμα ἐνε-
δρεύει. πρόσεχε ἀπὸ κακούργου, πονηρὰ γὰρ τεκταίνει. μήπο-
τε μῶμον εἰς τὸν αἰῶνα δῷ σοι. ἐνοίκησον ἀλλότριον καὶ δια-
στρέψει σε ἐν ταραχαῖς. καὶ ἀπαλλοτριώσει σε τῶν ἰδίων σου.

Κεφάλαιον. ιβ. 12.

Ἂν εὖ ποιῇς, γνῶθι τίνι ποιεῖς. καὶ ἔσται χάρις τοῖς
ιβ ἀγαθοῖς σου. εὖ ποίησον εὐσεβεῖ. καὶ εὑρήσεις ἀντα-
πόδομα καὶ εἰ μὴ παρ' αὐτοῦ, ἀλλὰ παρὰ ὑψίστου.
οὐκ ἔστιν ἀγαθὰ τῷ ἐνδελεχίζοντι εἰς κακά. καὶ τῷ ἐλεημοσύ-
νην μὴ χαριζομένῳ. δὸς τῷ εὐσεβεῖ καὶ μὴ ἀντιλάβῃ τοῦ
ἁμαρτωλοῦ. εὖ ποίησον τῷ ταπεινῷ καὶ μὴ δῷς ἀσεβεῖ.
ἐμπόδισον τοὺς ἄρτους αὐτοῦ, καὶ μὴ δῷς αὐτῷ, ἵνα μὴ
ἐν αὐτοῖς σε δυναστεύσῃ. διπλάσια γὰρ κακὰ εὑρήσεις, ἐν
πᾶσιν ἀγαθοῖς οἷς ἂν ποιήσῃς αὐτῷ. ὅτι καὶ ὕψιστος, ἐμί-
σησεν ἁμαρτωλούς. καὶ τοῖς ἀσεβέσιν ἀποδώσει ἐκδίκη-
σιν. δὸς τῷ ἀγαθῷ, καὶ μὴ ἀντιλάβῃ τοῦ ἁμαρτωλοῦ. οὐκ
ἐκδικηθήσεται ἐν ἀγαθοῖς ὁ φίλος. καὶ οὐ κρυβήσεται ἐν
κακοῖς ὁ ἐχθρὸς, ἐν ἀγαθοῖς ἀνδρὸς οἱ ἐχθροὶ αὐτοῦ ἐν
λύπῃ. καὶ ἐν τοῖς κακοῖς αὐτοῦ, καὶ ὁ φίλος διαχωρισθήσε-
ται. μὴ πιστεύσῃς τῷ ἐχθρῷ σου εἰς τὸν αἰῶνα. ὡς γὰρ ὁ χαλ-
κὸς ἰοῦται, οὕτως ἡ πονηρία αὐτοῦ. καὶ ἐὰν ταπεινωθῇ καὶ πο-
ρεύεται συγκεκυφὼς, ἐπίστησον τὴν ψυχήν σου καὶ φύλαξαι ἀπ'
αὐτοῦ. καὶ ἔσῃ αὐτῷ ὡς ἐκμεμαχὼς ἔσοπτρον. καὶ γνώσῃ ὅτι
οὐκ εἰς τέλος κατίωσαν. μὴ στήσῃς αὐτῷ παρὰ σεαυτόν. μὴ ἀνα-
στρέψας στῇ ἐπὶ τὸν τόπον σου. μὴ καθίσῃς αὐτὸν ἐκ δεξιῶν σου
μήποτε ζητήσῃ τὴν καθέδραν σου. καὶ ἐπ' ἐσχάτῳ ἐπιγνώσῃ
τοὺς λόγους μου, καὶ ἐπὶ τῶν ῥημάτων μου κατανυγήσῃ. μὴ δε-
σμεύσῃς δὶς ἁμαρτίαν. ἐν γὰρ μιᾷ οὐκ ἀθῳωθήσῃ. τίς ἐλεήσει
ἐπαοιδὸν ὀφιόδηκτον, καὶ πάντας τοὺς προσάγοντας θηρίοις.
οὕτως τὸν προσπορευόμενον ἀνδρὶ ἁμαρτωλῷ, καὶ συμφυρό-
μενον ἐν ταῖς ἁμαρτίαις αὐτοῦ. ὥραν μετὰ σοῦ διαμενεῖ. καὶ
ἐὰν ἐκκλίνῃς, οὐ μὴ καρτερήσῃ. καὶ ἐν τοῖς χείλεσιν αὐτοῦ γλυ-
κανεῖ ὁ ἐχθρός. καὶ πολλὰ ψιθυρίσει. καὶ ἐρεῖ σοι καλὰ λέγων.
ἐν ὀφθαλμοῖς αὐτοῦ δακρύσει καὶ ἐν τῇ καρδίᾳ βουλεύσεται ἀ-
νατρέψαι σε εἰς βόθρον. καὶ ἐὰν εὕρῃ καιρὸν, οὐκ ἐμπλησθήσε-

θαι ἀφ' αἵματος. κακὰ ἂν ὑπαντήσῃ σοι εὑρήσεις αὐτὸν ἐκεῖ πρότερόν σου, καὶ ὡς βοηθῶν ὑποσχάσει πτέρναν σου. κινήσει τὴν κεφαλὴν αὐτοῦ, καὶ ἐπικροτήσει ταῖς χερσὶν αὐτοῦ· καὶ πολλὰ διαψιθυρίσει, καὶ ἀλλοιώσει τὸ πρόσωπον αὐτοῦ.

Κεφάλαιον. ιγ. 13.

Ἁπτόμενος πίσσης μολυνθήσεται, καὶ ὁ κοινωνῶν ὑπερηφάνῳ, ὁμοιωθήσεται αὐτῷ. βάρος ὑπὲρ σὲ μὴ ἄρῃς. καὶ ἰσχυροτέρῳ σου, καὶ πλουσιωτέρῳ μὴ κοινώνει. τί κοινωνήσει χύτρα πρὸς λέβητα. αὕτη προσκρούσει. καὶ αὕτη συντριβήσεται. πλούσιος ἠδίκησεν. καὶ αὐτὸς προσενεβριμήσατο. πτωχὸς ἠδίκηται, καὶ αὐτὸς προσδεηθήσεται. ἐὰν χρησιμεύσῃς ἐργᾶται ἐν σοί. καὶ ἐὰν ὑστερήσῃς, καταλείψει σε, ἐὰν ἔχῃς συμβιώσεταί σοι, καὶ ἀποκενώσει σε, καὶ αὐτὸς οὐ πονέσει. χρείαν ἔσχηκέν σου, καὶ ἀποπλανήσει σε. καὶ προσγελάσεταί σοι. καὶ δώσει σοι ἐλπίδα. λαλήσει σοι καλά, καὶ ἐρεῖ τίς ἡ χρεία σου. καὶ αἰσχυνεῖ σε ἐν τοῖς βρώμασιν αὐτοῦ. ἕως οὗ ἀποκενώσει σε δίς, ἢ τρίς. καὶ ἐπ' ἐσχάτῳ καταμωκήσεταί σου, μετὰ ταῦτα ὄψεταί σε, καὶ καταλείψει σε. καὶ τὴν κεφαλὴν αὐτοῦ κινήσει ἐπὶ σοί. πρόσεχε μὴ ἀποπλανηθῇς, καὶ μὴ ταπεινωθῇς ἐν εὐφροσύνῃ σου. προσκαλεσαμένου σε δυνάστου ὑποχωρῶν γίνου. καὶ τόσῳ μᾶλλον προσκαλέσεταί σε, μὴ ἔμπιπτε, ἵνα μὴ ἀπωσθῇς. καὶ μὴ μακρὰν ἀφίστω, ἵνα μὴ ἐπιλησθῇς. μὴ ἔπεχε ἰσηγορεῖσθαι μετ' αὐτοῦ. καὶ μὴ πίστευε τοῖς πλέοσι λόγοις αὐτοῦ· ἐκ πολλῆς γὰρ λαλιᾶς πειράσει σε. καὶ ὡς προσγελῶν ἐξετάσει σε. ἀνελεήμων,

ὃ μὴ συντηρῶν λόγους, καὶ οὐ μὴ φείσεται περὶ κακώσεως, καὶ δεσμῶν. συντήρησον καὶ πρόσεχε σφόδρα, ὅτι μετὰ τῆς πτώσεώς σου περιπατεῖς. πᾶν ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ. καὶ πᾶς ἄνθρωπος τὸν πλησίον αὐτοῦ. πᾶσα σὰρξ κατὰ γένος συνάγεται. καὶ τῷ ὁμοίῳ αὐτοῦ προσκολληθήσεται ἀνήρ. τί κοινωνήσει λύκος ἀμνῷ. οὕτως ἁμαρτωλὸς πρὸς εὐσεβῆ, τίς εἰρήνη ὑαίνῃ πρὸς κύνα. καὶ τίς εἰρήνη πλουσίῳ πρὸς πένητα. κυνήγια λεόντων ὄναγροι ἐν ἐρήμῳ. οὕτως νομαὶ πλουσίων πτωχοί. βδέλυγμα ὑπερηφάνῳ ταπεινότης, οὕτως βδέλυγμα πλουσίῳ πτωχός. πλούσιος σαλευόμενος, στηρίζεται ὑπὸ φίλων. ταπεινὸς δὲ πεσὼν, προσαπωθεῖται ὑπὸ φίλων. πλουσίου σφαλέντος πολλοὶ ἀντιλήπτορες. ἐλάλησεν ἀπόρρητα, καὶ ἐδικαίωσαν αὐτόν. ταπεινὸς ἔσφαλεν καὶ προσεπετίμησαν αὐτῷ. ἐφθέγξατο σύνεσιν, καὶ οὐκ ἐδόθη αὐτῷ τόπος. πλούσιος ἐλάλησεν καὶ πάντες ἐσίγησαν, καὶ τὸν λόγον αὐτοῦ ἀνύψωσαν. ἕως τῶν νεφελῶν. πτωχὸς ἐλάλησεν, καὶ εἶπαν τίς οὗτος. κἂν προσκόψῃ προσανατρέψουσιν αὐτόν. ἀγαθὸς ὁ πλοῦτος ᾧ μή ἐστιν ἁμαρτία, καὶ πονηρὰ ἡ πτωχεία ἐν στόμασιν ἀσεβοῦς. καρδία ἀνθρώπου ἀλλοιοῖ τὸ πρόσωπον αὐτοῦ. ἐὰν εἰς ἀγαθὰ, ἐάν τε εἰς κακά. ἴχνος καρδίας ἐν ἀγαθοῖς πρόσωπον ἱλαρόν. καὶ εὕρεσις παραβολῶν, διαλογισμοὶ μετὰ κόπου.

Κεφ. ιδ. 14.

Ακάριος ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ. καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας. μακάριος οὗ οὐ κατέγνω ἡ ψυχὴ αὐτοῦ. καὶ ὃς οὐκ ἔπεσεν ἀπὸ τῆς ἐλπίδος αὐτοῦ. ἀνδρὶ μικρολόγῳ, οὐ καλὸς ὁ πλοῦτος. καὶ ἀνθρώπῳ βασκάνῳ. ἵνατι χρήματα ὁ συνάγων ἀπὸ τῆς ψυχῆς αὐτοῦ συνάγει ἄλλοις. καὶ ἐν τοῖς ἀγαθοῖς αὐτοῦ τρυφήσουσιν ἕτεροι. ὁ πονηρὸς ἑαυτῷ τίνι ἀγαθὸς ἔσται. καὶ οὐ μὴ εὐφρανθήσεται ἐν τοῖς χρήμασιν αὐτοῦ. τοῦ βασκαίνοντος ἑαυτὸν οὐκ

ἔστιν πο

ἐστιν πονηρότερος. καὶ τοῦτ' ἀνταπόδομα τῆς κακίας αὐτοῦ. κἂν
εὖ ποιῇ, ἐν λήθῃ ποιεῖ. καὶ ἐπ' ἐσχάτων ἐκφαίνει τὴν κακίαν
αὐτοῦ. πονηρὸς ὁ βασκαίνων ὀφθαλμῷ. ἀποστρέφων πρόσωπον,
καὶ ὑπερορῶν ψυχάς. πλεονέκτου ὀφθαλμὸς οὐκ ἐμπίπλαται
μερίδι. καὶ ἀδικία πονηρὰ ἀναξηραίνει ψυχήν. ὀφθαλμὸς πονη-
ρὸς φθονερὸς ἐπ' ἄρτῳ. καὶ ἐλλιπὴς ἐπὶ τῆς τραπέζης αὐτοῦ. Τέκνον
καθὼς ἐὰν ἔχῃς, εὖ ποίει σεαυτὸν καὶ προσφορὰς κυρίῳ ἀξίως
πρόσαγε. μνήσθητι, ὅτι θάνατος οὐ χρονιεῖ. καὶ διαθήκη ᾅδου οὐχ
ὑπεδείχθη σοι. πρὶν σε τελευτῆσαι, εὖ ποίει φίλῳ, καὶ κατὰ τὴν
ἰσχύν σου ἔκτεινον, καὶ δὸς αὐτῷ. μὴ ἀφυστερήσῃς ἀπὸ ἀγαθῆς
ἡμέρας. καὶ μερὶς ἐπιθυμίας ἀγαθῆς, μή σε παρελθέτω. οὐχὶ
ἑτέρῳ καταλείψεις τοὺς πόνους σου, καὶ τοὺς κόπους σου, εἰς διαί-
ρεσιν κλήρου. δὸς καὶ λάβε. καὶ ἁγίασον τὴν ψυχήν σου, ὅτι οὐκ
ἔστιν ἐν ᾅδου ζητῆσαι τρυφήν. πᾶσα σὰρξ, ὡς ἱμάτιον παλαιοῦ-
ται. ἡ γὰρ διαθήκη ἀπ' αἰῶνος θανάτῳ ἀποθανῇ. ὡς φύλλον θάλ-
λον ἐπὶ δένδρου δασέος, τὰ μὲν καταβάλλει. ἄλλα δὲ φύει, οὕ-
τως γενεὰ σαρκὸς καὶ αἵματος, ἡ μὲν τελευτᾷ, ἑτέρα δὲ γεν-
νᾶται. πᾶν ἔργον σηπόμενον ἐκλείπει, καὶ ὁ ἐργαζόμενος αὐτὸ
μετ' αὐτοῦ ἀπελεύσεται. μακάριος ἀνὴρ ὃς ἐν σοφίᾳ τελευτή-
σει. καὶ ὃς ἐν συνέσει αὐτοῦ διαλεχθήσεται. ὁ διανοούμενος
τὰς ὁδοὺς αὐτῆς ἐν καρδίᾳ αὐτοῦ, καὶ ἐν τοῖς ἀποκρύφοις αὐτῆς
νοηθήσεται. ἔξελθε ὀπίσω αὐτῆς, ὡς ἰχνευτής, καὶ ἐν ταῖς εἰ-
σόδοις αὐτῆς ἐνέδρευε. ὁ παρακύπτων διὰ τῶν θυρίδων αὐτῆς.
καὶ ἐπὶ τῶν θυρωμάτων αὐτῆς ἀκροάσεται. ὁ καταλύων σύν-
εγγυς τοῦ οἴκου αὐτῆς, στήσει τὴν σκηνὴν αὐτῆς, κατὰ χεῖρας
αὐτῆς. καὶ καταλύσει ἐν καταλύματι ἀγαθῶν. θήσει τὰ τέκνα
αὐτοῦ ἐν τῇ σκέπῃ αὐτῆς. καὶ ὑπὸ τοὺς κλάδους αὐτῆς αὐλι-
σθήσεται. σκεπασθήσεται ὑπ' αὐτῆς ἀπὸ καύματος καὶ ἐν τῇ
δόξῃ αὐτῆς καταλύσει.

Κεφάλαιον. ιε. 15.

φοβούμενος κύριον ποιήσει ἀγαθόν· καὶ ὁ ἐγκρατὴς
ε τοῦ νόμου καταλήψεται αὐτήν· καὶ ὑπαντήσεται αὐ-
τῷ ὡς μήτηρ· καὶ ὡς γυνὴ παρθενίας προσδέξε-
ται αὐτόν· ψωμιεῖ αὐτὸν, ἄρτον συνέσεως καὶ ὕδωρ σοφίας
ποτίσει αὐτόν· στηριχθήσεται ἐπ' αὐτήν· καὶ οὐ μὴ κλιθῇ, καὶ
ἐπ' αὐτῆς ἐφέξει καὶ οὐ μὴ καταισχυνθῇ· καὶ ὑψώσει αὐτὸν παρὰ
τοὺς πλησίον αὐτοῦ· καὶ ἐν μέσῳ ἐκκλησίας ἀνοίξει στόμα αὐτοῦ
εὐφροσύνην· καὶ στέφανον ἀγαλλιάματος καὶ ὄνομα αἰώνιον κα-
τακληρονομήσει· οὐ μὴ καταλήψονται αὐτὴν ἄνθρωποι ἀσύ-
νετοι· καὶ ἄνδρες ἁμαρτωλοὶ, οὐ μὴ ἴδωσιν αὐτήν· μακράν ἐστιν
ὑπερηφανίας· καὶ ἄνδρες ψεῦσται, οὐ μὴ μνησθήσονται αὐτῆς·
οὐχ ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ, ὅτι οὐ παρὰ κυρίου
ἀπεστάλη· ἐν γὰρ σοφίᾳ ῥηθήσεται αἶνος, καὶ ὁ κύριος εὐοδώσει
αὐτόν· μὴ εἴπῃς, ὅτι διὰ κύριον ἀπέστην· ἃ γὰρ ἐμίσησεν οὐ ποι-
ήσεις· μὴ εἴπῃς ὅτι αὐτός με ἐπλάνησεν· οὐ γὰρ χρείαν ἔχει ἀν-
δρὸς ἁμαρτωλοῦ· πᾶν βδέλυγμα ἐμίσησεν κύριος, καὶ οὐκ ἔ-
στιν ἀγαπητὸν τοῖς φοβουμένοις αὐτόν· αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν
ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ· ἐὰν θέ-
λῃς συντηρήσεις ἐντολὰς καὶ πίστιν ποιῆσαι εὐδοκίας, παρέθη-
κέν σοι πῦρ, καὶ ὕδωρ· οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου· ἔναντι
τῶν ἀνθρώπων ἡ ζωὴ, καὶ ὁ θάνατος· καὶ ὃ ἐὰν εὐδοκήσῃ δοθήσεται
αὐτῷ· ὅτι πολλὴ σοφία τοῦ κυρίου ἰσχυρὸς ἐν δυναστείᾳ, καὶ βλέ-
πων τὰ πάντα· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν·
καὶ αὐτὸς ἐπιγνώσεται πᾶν ἔργον ἀνθρώπου, καὶ οὐκ ἐνετείλατο
οὐδενὶ ἀσεβεῖν· καὶ οὐκ ἔδωκεν ἄνεσιν οὐδενὶ ἁμαρτάνειν·

Κεφάλαιον· ιε· 16·

Ἡ ἐπιθύμει τέκνον πλῆθος ἀχρήστων· μηδὲ εὐφραί-
μ νου ἐπὶ υἱοῖς ἀσεβέσιν, ἐὰν πληθύνωσιν μὴ εὐφραί-
νου ἐπ' αὐτοῖς· εἰ μὴ ἔστι φόβος κυρίου μετ' αὐτῶν,
μὴ ἐπιστεύσῃς τῇ ζωῇ αὐτῶν· καὶ μὴ ἐπέχε ἐπὶ τὸν τόπον αὐ-

τῶν. κρείσσων γὰρ εἷς, ἢ χίλιοι. καὶ ἀποθανεῖν ἄτεκνον, ἢ ἔχειν
τέκνα ἀσεβῆ. ἀπὸ γὰρ ἑνὸς συνετοῦ, συνοικισθήσεται πόλις.
φυλὴ δὲ ἀνόμων ἐρημωθήσεται, πολλὰ τοιαῦτα ἑώρακα ἐν ὀ-
φθαλμοῖς μου. καὶ ἰσχυρότερα τούτων ἀκήκοεν τὸ οὖς μου. ἐν
συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, καὶ ἐν ἔθνει ἀπει-
θεῖ ἐξεκαύθη ὀργή. οὐκ ἐξιλάσατο περὶ τῶν ἀρχαίων γιγάν-
των, οἳ ἀπέστησαν τῇ ἰσχύι αὐτῶν. οὐκ ἐφείσατο περὶ τῆς παρ-
οικίας Λώτ. οὓς ἐβδελύξατο διὰ τὴν ὑπερηφανίαν αὐτῶν. οὐκ
ἠλέησεν ἔθνος ἀπωλείας. τοὺς ἐξηρμένους ἐν ἁμαρτίαις αὐτῶν.
καὶ οὕτως. χ΄. χιλιάδας πεζῶν τοὺς ἐπισυναχθέντας ἐν σκλη-
ροκαρδίᾳ αὐτῶν. κἂν ᾖ εἷς σκληροτράχηλος θαυμαστὸν τοῦτο
εἰ ἀθῳωθήσεται. ἔλεος γὰρ καὶ ὀργὴ παρ᾽ αὐτοῦ. δυνάστης ἐξιλα-
σμῶν καὶ ἐκχέων ὀργήν. κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ. οὕτως καὶ πο-
λὺς ὁ ἔλεγχος αὐτοῦ, ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει. οὐκ ἐκ-
φεύξεται ἐν ἁρπάγμασιν ἁμαρτωλός. καὶ οὐ μὴ καθυστερήσει
ὑπομονὴ εὐσεβοῦς. πάσῃ ἐλεημοσύνῃ ποιήσει τόπον. ἕκα-
στος κατὰ τὰ ἔργα αὐτοῦ εὑρήσει. μὴ εἴπῃς ὅτι ἀπὸ κυρίου κρυ-
βήσομαι. μὴ ἐξ ὕψους τίς μου μνησθήσεται. ἐν λαῷ πλείονι, οὐ μὴ
μνησθῶ. τίς γὰρ ἡ ψυχή μου ἐν ἀμετρήτῳ κτίσει. ἰδοὺ οὐρανός.
καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ τοῦ θεοῦ. ἄβυσσος καὶ γῆ, σαλευθήσο-
νται ἐν τῇ ἐπισκοπῇ αὐτοῦ. ἅμα τὰ ὄρη καὶ τὰ θεμέλια τῆς
γῆς. ἐν τῷ ἐπιβλέψαι εἰς αὐτὰ τρόμῳ συσσείονται. καὶ ἐπ᾽ αὐ-
τοῖς οὐ διανοηθήσεται καρδία. καὶ τὰς ὁδοὺς αὐτοῦ, τίς ἐνθυμη-
θήσεται καὶ καταιγὶς ἣν οὐκ ὄψεται ἄνθρωπος. τὰ δὲ πλείονα
τῶν ἔργων αὐτοῦ ἐν ἀποκρύφοις. ἔργα δικαιοσύνης τίς ἀναγγε-
λεῖ, ἢ τίς ὑπομενεῖ. μακρὰν γὰρ ἡ διαθήκη, ἐλαττούμενος καρ-
δίᾳ διανοεῖται ταῦτα. καὶ ἀνὴρ ἄφρων, καὶ πλανώμενος διανοεῖ-
ται μωρά. ἄκουσόν μου τέκνον, καὶ μάθε ἐπιστήμην καὶ ἐπὶ τῶν λό-
γων μου πρόσεχε τῇ καρδίᾳ σου. ἐκφανῶ ἐν σταθμῷ παιδεί-
αν. καὶ ἐν ἀκριβείᾳ ἐπαγγελῶ ἐπιστήμην. ἐν κρίσει κυρίου

τὰ ἔργα αὐτοῦ ἀπ᾽ ἀρχῆς· καὶ ἀπὸ ποιήσεως αὐτοῦ· διέστειλεν μερίδας αὐτῶν· ἐκόσμησεν εἰς αἰῶνα τὰ ἔργα αὐτοῦ· καὶ τὰς ἀρχὰς αὐτῶν εἰς γενεὰς αὐτῶν. ἕκαστος τὸν πλησίον αὐτοῦ οὐκ ἔθλιψεν· καὶ ἕως αἰῶνος οὐκ ἀπειθήσουσιν τοῦ ῥήματος αὐτοῦ, καὶ μετὰ ταῦτα κύριος εἰς τὴν γῆν ἐπέβλεψεν καὶ ἐνέπλησεν αὐτὴν τῶν ἀγαθῶν αὐτοῦ. ψυχὴν παντὸς ζώου ἐκάλυψεν τὸ πρόσωπον αὐτῆς· καὶ εἰς αὐτὴν ἡ ἀποστροφὴ αὐτῶν.

Κεφ. ιζ. 17.

κ Κύριος ἔκτισεν ἐκ γῆς ἄνθρωπον καὶ πάλιν ἀπέστρεψεν αὐτὸν εἰς αὐτήν· ἡμέρας ἀριθμοῦ· καὶ καιρὸν ἔδωκεν αὐτῆς· καθ᾽ αὐτοὺς ἐνέδυσεν αὐτοὺς ἰσχὺν, καὶ κατ᾽ εἰκόνα αὐτοῦ ἐποίησεν αὐτούς· καὶ ἔθηκε τὸν φόβον αὐτοῦ, ἐπὶ πάσης σαρκὸς, καὶ κατακυριεύειν θηρίων, καὶ πετεινῶν· διαβούλιον καὶ γλῶσσαν, καὶ ὀφθαλμούς· ὦτα, καὶ καρδίαν ἔδωκεν διανοεῖσθαι αὐτοῖς· ἐπιστήμης συνέσεως ἐνέπλησεν αὐτούς· καὶ ἀγαθὰ καὶ κακὰ ὑπέδειξεν αὐτοῖς, ἔθηκεν τὸν ὀφθαλμὸν αὐτοῦ, ἐπὶ τὰς καρδίας αὐτῶν, δεῖξαι αὐτοῖς τὸ μεγαλεῖον τῶν ἔργων αὐτοῦ· προσέθηκεν αὐτοῖς ἐπιστήμην καὶ νόμον ζωῆς ἐκληροδότησεν αὐτοῖς, διαθήκην αἰῶνος ἔστησεν μετ᾽ αὐτῶν· καὶ τὰ κρίματα αὐτοῦ ὑπέδειξεν αὐτοῖς· μεγαλεῖον δόξης εἶδον οἱ ὀφθαλμοὶ αὐτῶν· καὶ δόξαν φωνῆς αὐτῶν ἤκουσεν τὸ οὖς αὐτῶν· καὶ εἶπεν αὐτοῖς προσέχετε ἀπὸ παντὸς ἀδίκου. καὶ ἐνετείλατο αὐτοῖς ἑκάστῳ, περὶ τοῦ πλησίον· αἱ ὁδοὶ αὐτῶν· ἐναντίον αὐτοῦ διὰ παντός· οὐ κρυβήσονται ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ· ἑκάστῳ ἔθνει κατέστησεν ἡγούμενον, καὶ μερὶς κυρίου Ἰσραήλ ἐστιν. ἅπαντα τὰ ἔργα αὐτῶν ὡς ὁ ἥλιος ἐναντίον αὐτοῦ· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ· ἐνδελεχεῖς, ἐπὶ τὰς ὁδοὺς αὐτῶν· οὐκ ἐκρύβησαν αἱ ἀδικίαι αὐτῶν ἀπ᾽ αὐτοῦ· καὶ πᾶσαι αἱ ἁμαρτίαι αὐτῶν, ἔναντι κυρίου· ἐλεημοσύνη ἀνδρὸς ὡς σφραγὶς μετ᾽ αὐτοῦ, καὶ χαρὶς ἀνθρώπου ὡς κόρην συντηρήσει· μετὰ ταῦτα ἐξαναστήσεται. καὶ ἀνταπ

πολώσει αὐτοῖς. καὶ τὸ ἀνταπόδομα αὐτῶν εἰς κεφαλὴν αὐτῶν
ἀποδώσει. πλὴν μετανοοῦσιν ἔδωκεν ἐπάνοδον καὶ παρεκά
λεσεν ἐκλείποντας ὑπομονήν. ἐπίστρεφε ἐπὶ κύριον, καὶ ἀπόλει
πε ἁμαρτίας. δεήθητι κατὰ πρόσωπον καὶ σμίκρυνον πρόσ
κομμα, ἐπάνελθε ἐπὶ ὕψιστον. καὶ ἀπόστρεφε ἀπὸ ἀδικίας, καὶ
σφόδρα μίσησον βδέλυγμα. ὕψιστον τίς αἰνέσει ἐν ᾅδου ἀντι
ζόντων καὶ ζώντων καὶ διδόντων ἀνθομολόγησιν. ἀπὸ νεκροῦ ὡς
μηδὲ ὄντος ἀπόλλυται ἐξομολόγησις. ζῶν καὶ ὑγιὴς αἰνέσει τὸν κύρι
ον. ὡς μεγάλη ἡ ἐλεημοσύνη τοῦ κυρίου. καὶ ἐξιλασμὸς τοῖς ἐπιστρέ
φουσιν ἐπ᾽ αὐτόν. οὐ γὰρ δύναται πάντα εἶναι ἐν ἀνθρώποις. ὅ
τι οὐκ ἀθάνατος υἱὸς ἀνθρώπου. τί φωτεινότερον ἡλίου, καὶ τοῦ
το ἐκλείπει. καὶ πονηρὸν ἐνθυμηθήσεται σὰρξ καὶ αἷμα. δύ
ναμιν ὕψους οὐρανοῦ αὐτὸς ἐπισκέπτεται, καὶ οἱ ἄνθρωποι
πάντες γῆ καὶ σποδός.

Κεφ. ΙΗ. 18.

Ζῶν εἰς τὸν αἰῶνα ἔκτισε τὰ πάντα κοινῇ. κύριος
δ μόνος δικαιωθήσεται. οὐθενὶ ἐξεποίησεν ἐξαγγεῖ
λαι τὰ ἔργα αὐτοῦ, καὶ τίς ἐξιχνιάσει τὰ μεγαλεῖα αὐ
τοῦ, κράτος μεγαλωσύνης αὐτοῦ τίς ἐξαριθμήσεται, καὶ τίς προσθή
σει ἐκδιηγήσασθαι τὰ ἐλέη αὐτοῦ. οὐκ ἔστιν ἐλαττῶσαι οὐδὲ προσθεῖ
ναι. καὶ οὐκ ἔστιν ἐξιχνιάσαι τὰ θαυμάσια τοῦ κυρίου. ὅταν συντελέ
σῃ ὁ ἄνθρωπος τότε ἄρχεται. καὶ ὅταν παύσηται, τότε ἀπορηθήσεται.
τί ἄνθρωπος καὶ τί ἡ χρῆσις αὐτοῦ, τί τὸ ἀγαθὸν αὐτοῦ, καὶ τί τὸ κα
κὸν αὐτοῦ. ἀριθμὸς ἡμερῶν ἀνθρώπου πολλὰ ἔτη ἑκατόν. ὡς στα
γὼν ὕδατος ἀπὸ θαλάσσης καὶ ψῆφος ἄμμου, οὕτως ὀλίγα ἔτη
ἐν ἡμέρᾳ αἰῶνος, διὰ τοῦτο ἐμακροθύμησε κύριος ἐπ᾽ αὐτοῖς
καὶ ἐξέχεεν ἐπ᾽ αὐτοὺς τὸ ἔλεος αὐτοῦ. ἴδεν καὶ ἐπέγνω τὴν
καταστροφὴν αὐτῶν ὅτι πονηρά. διὰ τοῦτο ἐπλήθυνε τὸν ἐξι
λασμὸν αὐτοῦ. ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ. ἔλεος
δὲ κυρίου ἐπὶ πᾶσαν σάρκα ἐλέγχων καὶ παιδεύων καὶ διδά

σκων καὶ ἐπιστρέφων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ τοὺς ἐκδεχομένους παιδείαν, ἐλεεῖ· καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ. Τέκνον ἐν ἀγαθοῖς μὴ δῷς μῶμον· καὶ ἐν πάσῃ δόσει λύπην λόγων· οὐχὶ καύσωνα ἀναπαύσει δρόσος· οὕτως κρείσσων λόγος ἢ δόσις, οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν· καὶ ἀμφότερα, παρὰ ἀνδρὶ κεχαριτωμένῳ· μωρὸς ἀχαρίστως ὀνειδιεῖ καὶ δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς· πρὶν ἢ λαλῆσαι μάνθανε, καὶ πρὸ ἀῤῥωστίας θεραπεύου· πρὸ κρίσεως ἐξέταζε σεαυτόν· καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν· πρὶν ἀῤῥωστῆσαί σε ταπεινώθητι· καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν· μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως· καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι· πρὶν εὔξασθαι ἑτοίμασον σεαυτὸν, καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν κύριον· μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς, καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου· μνήσθητι καιρὸν λιμοῦ, ἐν καιρῷ πλησμονῆς· πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου· ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρὸς, καὶ πάντα ἐστὶ ταχινὰ, ἔναντι κυρίου· ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται· καὶ ἐν ἡμέραις ἁμαρτιῶν προσέξει ἀπὸ πλημμελείας· πᾶς συνετὸς ἔγνω σοφίαν καὶ τῷ εὑρόντι αὐτὴν, δώσει ἐξομολόγησιν· συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς, ἐγκράτεια ψυχῆς· ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου· ἐὰν χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου· μὴ, εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, μὴ προσδεθῇς συμβολῇ αὐτῆς· μὴ γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ· καὶ οὐδέν σοι ἐστὶν ἐν μαρσιππίῳ.

Κεφάλαιον. ιθ. 19.

Ργάτης μέθυσος, οὐ πλουτισθήσεται· ὁ ἐξουθενῶν
ε τὰ ὀλίγα, κατὰ μικρὸν πεσεῖται· οἶνος καὶ γυναῖκες ἀποστήσουσι συνετούς· καὶ ὁ κολλώμενος πόρ-

νας, τολμηρότερος ἔσται σῆτες καὶ σκώληκες κληρονομήσουσιν
αὐτόν. καὶ ψυχὴ τολμηρὰ ἐξαρθήσεται. ὁ ταχὺ ἐμπιστεύων, κοῦ
φος καρδίᾳ. καὶ ἁμαρτάνων εἰς ψυχὴν αὐτοῦ πλημμελήσει, ὁ
εὐφραινόμενος καρδίᾳ καταγνωσθήσεται. καὶ ὁ μισῶν λαλιὰν
ἐλαττονοῦται κακίᾳ. μηδέποτε δευτερώσῃς λόγον. καὶ οὐδὲν
σοι οὐ μὴ ἐλαττονωθῇ. ἐν φίλῳ καὶ ἐν ἐχθρῷ μὴ διηγοῦ. καὶ εἰ μὴ
ἐστίν σοι ἁμαρτία, μὴ ἀποκάλυπτε. ἀκήκοε γάρ σου, καὶ ἐφυλάξα
τό σε. καὶ ἐν καιρῷ μισήσει σε. ἀκήκοας λόγον συναποθανέτω
σοι. θάρσει οὐ μὴ σε ῥήξει. ἀπὸ προσώπου λόγου ὠδινήσει μω
ρός. ὡς ἀπὸ προσώπου βρέφους, ἡ τίκτουσα. βέλος πεπηγὸς ἐν
μηρῷ σαρκὸς, οὕτως λόγος, ἐν κοιλίᾳ μωροῦ. ἔλεγξον φίλον μή
ποτε οὐκ ἐποίησεν. καὶ εἴ τι ἐποίησεν μήποτε προσθῇ. ἔλεγξον
τὸν φίλον μήποτε οὐκ εἶπεν. καὶ εἰ εἴρηκεν ἵνα μὴ δευτερώσῃ. ἔ
λεγξον φίλον, πολλάκις γὰρ γίνεται διαβολή. καὶ μὴ παντὶ λόγῳ πί
στευε. ἔστιν ὀλισθαίνων καὶ οὐκ ἀπὸ ψυχῆς. καὶ τίς οὐχ ἡμάρτησεν
ἐν τῇ γλώσσῃ αὐτοῦ. ἔλεγξον τὸν πλησίον σου πρὶν ἀπειλῆσαι. καὶ
δὸς τόπον νόμῳ ὑψίστου. πᾶσα σοφία φόβος κυρίου. καὶ ἐν πάσῃ σο
φίᾳ ποίησις νόμου. καὶ οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη καὶ οὐκ
ἔστιν ὅπου βουλὴ ἁμαρτωλῶν φρόνησις. ἔστι πονηρία καὶ αὕτη
βδέλυγμα. καὶ ἔστιν ἄφρων ἐλαττούμενος σοφίᾳ. κρείττων ἡλαττω
μένος ἐν συνέσει ἔμφοβος, ἢ περισσεύων ἐν φρονήσει καὶ παρα
βαίνων νόμον. ἔστι πανουργία ἀκριβὴς καὶ αὕτη ἄδικος. καὶ ἔστι δια
στρέφων χάριν τοῦ ἐκφᾶναι κρίμα. ἔστι πονηρευόμενος συγκεκυ
φὼς μελανίᾳ, καὶ τὰ ἐντὸς αὐτοῦ πλήρης δόλου. συγκρύφων πρό
σωπον καὶ ἐτεροκωφῶν. ὅπου οὐκ ἐπιγνωσθῇ προφθάσει σε. καὶ ἐὰν
ὑπὸ ἐλαττώματος ἰσχύος κωλυθῇ ἁμαρτεῖν. ἐὰν εὕρῃ καιρὸν κα
κοποιήσει. ἀπὸ ὁράσεως ἐπιγνωσθήσεται ἀνήρ. καὶ ἀπὸ ἀπαντή
σεως προσώπου ἐπιγνωσθήσεται νοήμων. στολισμὸς ἀνδρὸς καὶ
γέλως ὀδόντων καὶ βῆμα ἀνθρώπου ἀναγγελεῖ τὰ περὶ αὐτοῦ. ἔστιν
ἔλεγχος ὃς οὐκ ἔστιν ὡραῖος, καὶ ἔστι σιωπῶν καὶ αὐτὸς φρόνιμος.

Κεφάλαιον. κ. 20.

ὦ Σ καλὸν ἐλέγξαι ἢ θυμοῦσθαι καὶ ὁ ἀνθομολογούμενος ἀπὸ ἐλαττώσεως κωλυθήσεται. ἐπιθυμία εὐνούχου, ἀποπαρθενῶσαι νεάνιδα. οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα. ἐστὶ σιωπῶν οὐ γὰρ ἔχει ἀπόκρισιν. καὶ ἔστι σιωπῶν εἰδὼς καιρόν. ἄνθρωπος σοφὸς σιγήσει ἕως καιροῦ. ὁ δὲ λαπιστὴς καὶ ἄφρων ὑπερβήσεται καιρόν. ὁ πλεονάζων λόγων βδελυχθήσεται. καὶ ἐνεξουσιαζόμενος μισηθήσεται. ἔστιν εὐοδία ἐν κακοῖς ἀνδρί. καὶ ἔστιν εὕρεμα εἰς ἐλάττωσιν. ἔστι δόσις οὐ λυσιτελήσει σοι. καὶ ἔστι δόσις ἧς τὸ ἀνταπόδομα διπλοῦν. ἔστιν ἐλάττωσις ἕνεκεν δόξης. καὶ ἔστιν ὃς ἀπὸ ταπεινώσεως ἦρεν κεφαλήν. ἔστιν ἀγοράζων πολλὰ ὀλίγου. καὶ ἀποτιννύων αὐτὰ ἑπταπλάσιον. ὁ σοφὸς ἐν λόγῳ ἑαυτὸν προσφιλῆ ποιήσει. χάριτες δὲ μωρῶν, ἐκχυθήσονται, δόσις ἄφρονος οὐ λυσιτελήσει σοι. οἱ γὰρ ὀφθαλμοὶ αὐτοῦ ἀνθ' ἑνὸς πολλοί, ὀλίγα δώσει, καὶ πολλὰ ὀνειδίσει. καὶ ἀνοίξει τὸ στόμα αὐτοῦ ὡς κήρυξ. σήμερον δανειεῖ, καὶ αὔριον ἀπαιτήσει, μισητὸς ἄνθρωπος ὁ τοιοῦτος. μωρὸς ἐρεῖ οὐχ ὑπάρχει μοι φίλος. καὶ οὐκ ἔστι χάρις τοῖς ἀγαθοῖς μου. οἱ ἐσθίοντες τὸν ἄρτον μου, φαῦλοι γλώσσῃ. ποσάκις καὶ ὅσοι καταγελάσονται αὐτοῦ. ὀλίσθημα ἀπὸ ἐδάφους μᾶλλον ἢ ἀπὸ γλώσσης οὕτως πτῶσις κακῶν κατὰ σπουδὴν ἥξει. ἄνθρωπος ἄχαρις μῦθος ἄκαιρος. ἐν στόματι ἀπαιδεύτῳ, ἐνδελεχισθήσεται. ἀπὸ στόματος μωροῦ ἀποδοκιμασθήσεται παραβολή. οὐ γὰρ μὴ εἴπῃ αὐτὴν ἐν καιρῷ αὐτῆς. ἔστι κωλυόμενος ἁμαρτάνειν ἀπὸ ἐνδείας, καὶ ἐν τῇ ἀναπαύσει αὐτοῦ οὐ κατανυγήσεται. ἔστι ἀπολλύων τὴν ψυχὴν αὐτοῦ δι' αἰσχύνην. καὶ ἀπὸ ἄφρονος προσώπου, ἀπολεῖ αὐτήν. ἔστι χάριν αἰσχύνης ἐπαγγελλόμενος φίλῳ, καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν δωρεάν. μῶμος πονηρὸς ἐν ἀνθρώπῳ ψεῦδος. ἐν στόματι ἀπαιδεύτῳ ἐνδελεχισθήσεται. αἱρετὸν κλέπτης ἢ ἐνδελεχίζων ψεύδει. ἀμφότεροι δὲ ἀπώλειαν κληρονο

μήσουσιν. ἦθος ἀνθρώπου ψευδοῦς ἀτιμία. καὶ ἡ αἰσχύνη αὐτοῦ
μετ' αὐτοῦ ἐνδελεχῶς. λόγοι παραβολῶν. ὁ σοφὸς ἐν λόγοις προ
άξει ἑαυτὸν. καὶ ἄνθρωπος φρόνιμος ἀρέσει μεγιστᾶσιν. ὁ ἐργα
ζόμενος γῆν ἀνυψώσει θιμωνίαν αὐτοῦ. καὶ ὁ ἀρέσκων μεγιστᾶ
σιν ἐξιλάσεται ἀδικίαν. ξένια καὶ δῶρα ἀποτυφλοῖ ὀφθαλ-
μοὺς σοφῶν. καὶ ὡς φιμὸς ἐν στόματι ἀποτρέπει ἐλεγμούς. σοφία
κεκριμένη, καὶ θησαυρὸς ἀφανής. τίς ὠφέλεια ἐν ἀμφοτέροις.
κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρω-
πος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ.

Κεφάλαιον. κα. 21.

Τέκνον ἥμαρτες μὴ προσθῇς μηκέτι, καὶ περὶ τῶν προ
7 τέρων σου δεήθητι. ὡς ἀπὸ προσώπου ὄφεως φεῦγε
ἀπὸ ἁμαρτίας. ἐὰν γὰρ προσέλθῃς δήξεταί σε.
ὀδόντες λέοντος οἱ ὀδόντες αὐτῆς. ἀναιροῦντες ψυχὰς ἀνθρώ-
πων. ὡς ῥομφαία δίστομος πᾶσα ἀνομία. τῇ πληγῇ αὐτῆς οὐκ
ἔστιν ἴασις. καταπληγμὸς καὶ ὕβρεις ἐρημώσουσιν πλοῦτον. οὕτως
οἶκος ὑπερηφάνου, ἐρημωθήσεται. δέησις πτωχοῦ, ἐκ στόματος
ἕως ὠτίων αὐτοῦ. καὶ τὸ κρίμα αὐτοῦ κατὰ σπουδὴν ἔρχεται. μι
σῶν ἐλεγμὸν, ἐν ἴχνει ἁμαρτωλοῦ. καὶ φοβούμενος κύριον ἐπι
στρέψει ἐν καρδίᾳ. γνωστὸς μακρόθεν ὁ δυνατὸς ἐν γλώσσῃ. ὁ δὲ
νοήμων οἶδεν ἐν τῷ ὀλισθάνειν αὐτόν. ὁ οἰκοδομῶν τὴν οἰκίαν
αὐτοῦ ἐν χρήμασιν ἀλλοτρίοις. ὡς συνάγων αὐτοῦ τοὺς λίθους εἰς
χειμῶνα. στιππύον συνηγμένον, συναγωγὴ ἀνόμων καὶ ἡ συν-
τέλεια αὐτῶν φλὸξ πυρός. ὁδὸς ἁμαρτωλῶν ὡμαλισμένη ἐκ
λίθων. καὶ ἐπ' ἐσχάτῳ αὐτῆς βόθρος ᾅδου. ὁ φυλάσσων νόμον
κατακρατεῖ τοῦ ἐννοήματος αὐτοῦ, καὶ συντέλεια τοῦ φόβου κυρί
ου σοφία. οὐ παιδευθήσεται ὃς οὐκ ἔστι πανοῦργος. ἔστι πανουργία
πληθύνουσα πικρίαν, γνῶσις σοφοῦ ὡς κατακλυσμὸς πληθυνθή-
σεται. καὶ ἡ βουλὴ αὐτοῦ ὡς πηγὴ ζωῆς, ἔγκατα μωροῦ, ὡς ἀγγεῖον
συντετριμμένον, καὶ πᾶσαν γνῶσιν οὐ κρατήσει. λόγον σοφὸν

ἐὰν ἀκούσῃ, ἐπιστήμων, αἰνέσει αὐτόν. καὶ ἐπ' αὐτὸν προσθήσει. ἤκουσεν ὁ σπαταλῶν καὶ ἀπήρεσεν αὐτῷ. καὶ ἀπέστρεψεν αὐτὸν ὀπίσω τοῦ νώτου αὐτοῦ. ἐξήγησις μωροῦ ὡς ἐν ὁδῷ φορτίον. ἐπὶ δὲ χείλους συνετοῦ εὑρεθήσεται χάρις. στόμα φρονίμου ζητηθήσεται ἐν ἐκκλησίᾳ καὶ τοὺς λόγους αὐτοῦ διανοηθήσεται ἐν καρδίᾳ. ὡς οἶκος ἠφανισμένος, οὕτως μωρῷ σοφία. καὶ γνῶσις ἀσυνέτου, ἀδιεξέταστοι λόγοι. πέδαι ἐν ποσὶν ἀνοήτοις παιδεία. καὶ ὡς χειροπέδαι ἐπὶ χειρὸς δεξιᾶς. μωρὸς ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ. ἀνὴρ δὲ πανοῦργος μόλις ἡσυχῇ μειδιάσει. ὡς κόσμος χρυσοῦς φρονίμῳ παιδεία, καὶ ὡς χλιδὼν ἐπὶ βραχίονι δεξιῷ. πους μωροῦ ταχὺς εἰς οἰκίαν. ἄνθρωπος δὲ πολύπειρος αἰσχυνθήσεται ἀπὸ προσώπου. ἄφρων ἀπὸ θύρας παρακύπτει εἰς οἰκίαν. ἀνὴρ δὲ πεπαιδευμένος ἔξω στήσεται. ἀπαιδευσία ἀνθρώπου ἀκροᾶσθαι παρὰ θύραν. ὁ δὲ φρόνιμος βαρυνθήσεται ἀτιμίᾳ. χείλη ἀλλοτρίων, ἐν τούτοις βαρυνθήσεται. λόγοι δὲ φρονίμων ἐν ζυγῷ σταθήσονται. ἐν στόματι μωρῶν ἡ καρδία αὐτῶν. καὶ διὰ σοφῶν στόμα αὐτῶν. ἐν τῷ καταρᾶσθαι ἀσεβῆ τὸν σατανᾶν, αὐτὸς καταρᾶται τὴν ἑαυτοῦ ψυχήν. μολύνει τὴν ἑαυτοῦ ψυχὴν ὁ ψιθυρίζων, καὶ ἐν παροικήσει μισηθήσεται.

Κεφάλαιον. κβ. 22.

Λίθῳ ἠρδαλωμένῳ, συνεβλήθη ὀκνηρός. πᾶς ὁ ἀναιρούμενος αὐτόν. ἐκτινάξει χεῖρα. αἰσχύνη πατρὸς, ἐν γεννήσει ἀπαιδεύτου. θυγάτηρ δὲ ἐπὶ ἐλαττώσει γίνεται. θυγάτηρ φρονίμη κληρονομήσει ἄνδρα αὐτῆς. καὶ ἡ καταισχύνουσα εἰς λύπην γεννήσαντος. πατέρα καὶ ἄνδρα καταισχύνει ἡ θρασεῖα καὶ ὑπὸ ἀμφοτέρων ἀτιμασθήσεται. μουσικὴ ἐν πένθει ἄκαιρος διήγησις. μάστιγες, καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας. συγκολλῶν ὄστρακον ὁ διδάσκων μωρόν. ἐξεγείρων καθεύδοντα ἐκ βαθέως ὕπνου. διηγούμενος νυστάζοντι, ὁ διηγούμενος μωρῷ. καὶ ἐπὶ συντελείᾳ ἐρεῖ τί ἐστιν. ἐπὶ νεκρῷ κλαῦσον

ἐξέλιπε γὰρ φῶς καὶ ἐπὶ μωρῷ κλαῦσον· ἐξέλιπε γὰρ σύνεσιν· ἥδι-
ον κλαῦσον ἐπὶ νεκρῷ· ὅτι ἀνεπαύσατο· τοῦ δὲ μωροῦ ὑπὲρ θάνατον
ἡ ζωὴ πονηρά· πένθος νεκροῦ ἑπτὰ ἡμέραι· μωροῦ δὲ καὶ ἀσεβοῦς
πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτοῦ· μετὰ ἄφρονος, μὴ πληθύνῃς
λόγον καὶ πρὸς ἀσύνετον μὴ πορεύου· φύλαξαι ἀπ' αὐτοῦ ἵνα μὴ
κόπον ἔχῃς· καὶ οὐ μὴ μολυνθῇς, ἐν τῷ ἐκτιναγμῷ αὐτοῦ· ἔκκλι-
νον ἀπ' αὐτοῦ, καὶ εὑρήσεις ἀνάπαυσιν· καὶ οὐ μὴ ἀκηδιάσῃς· ἐν
τῇ ἀπονοίᾳ αὐτοῦ· ὑπὲρ μόλιβδον τί βαρυνθήσεται· καὶ τί αὐ-
τῷ ὄνομα ἀλλ' ἢ μωρός· ἄμμον καὶ ἅλα καὶ βῶλον σιδήρου εὔ-
κοπον ὑπενεγκεῖν, ἢ ἄνθρωπον ἀσύνετον· ἱμάντωσις ξυλίνη ἐν-
δεδεμένη εἰς οἰκοδομήν· ἐν συσσεισμῷ, οὐ διαλυθήσεται· οὕτω
καρδία ἐστηριγμένη ἐπὶ διανοήματος βουλῆς, ἐν καιρῷ οὐ δειλιά-
σει· καρδία ἡδρασμένη ἐπὶ διανοίας συνέσεως· ὡς κόσμος
ψαμμωτὸς τοίχου ξυστοῦ, χάρακες ἐπὶ μετεώρου κείμενοι κατέναν-
τι ἀνέμου οὐ μὴ ὑπομείνωσι· οὕτως καὶ καρδία δειλὴ ἐπὶ δια-
νοήματος μωροῦ κατέναντι παντὸς φόβου, οὐ μὴ ὑπομείνῃ· ὁ νύσ-
σων ὀφθαλμὸν, καταίρει δάκρυα· καὶ νύσσων καρδίαν ἐκφαίνει
αἴσθησιν· βάλλων λίθον ἐπὶ πετεινὰ ἀποσοβεῖ αὐτά· καὶ ὁ ὀνειδί-
ζων φίλον διαλύσει φιλίαν· ἐπὶ φίλον ἐὰν σπάσῃς ῥομφαίαν,
μὴ ἀφελπίσῃς· ἔστιν γὰρ ἐπάνοδος· ἐπὶ φίλον, ἐὰν ἀνοίξῃς στόμα
μὴ εὐλαβηθῇς· ἔστι γὰρ διαλλαγή, πλὴν ὀνειδισμοῦ καὶ ὑπερη-
φανίας· καὶ μυστηρίου ἀποκαλύψεως, καὶ πληγῆς δολίας· ἐν τούτοις
ἀποφεύξεται πᾶς φίλος, πίστιν κτῆσαι· ἐν πτωχείᾳ μετὰ τοῦ πλη-
σίον, ἵνα ἐν τοῖς ἀγαθοῖς αὐτοῦ, ὁμοῦ πλησθῇς· ἐν καιρῷ θλίψεως
διάμενε αὐτῷ, ἵνα ἐν τῇ κληρονομίᾳ αὐτοῦ συγκληρονομή-
σῃς· πρὸ πυρὸς ἀτμὶς καμίνου καὶ καπνὸς οὕτως πρὸ αἱμάτων
λοιδορίαι, φίλον σκεπάσαι οὐκ αἰσχυνθήσομαι· καὶ ἀπὸ προσώ-
που αὐτοῦ οὐ μὴ κρυβῶ· καὶ εἰ κακά μοι συμβῇ δι' αὐτόν, πᾶς ὁ ἀκού-
ων φυλάξεται ἀπ' αὐτοῦ· τίς δώσει μοι ἐπὶ στόμα μου φυλακήν· καὶ ἐπὶ
τῶν χειλέων μου σφραγῖδα πανοῦργον· ἵνα μὴ πέσω ἀπ' αὐτῆς καὶ ἡ
γλῶσσά μου ἀπολέσῃ με.

Κεφάλαιον. κγ. 23.

Υριε πάτερ καὶ δέσποτα ζωῆς μου. μὴ ἐγκαταλί-
κ πῃς με ἐν βουλῇ αὐτῶν. μὴ ἀφῇς με πεσεῖν ἐν αὐτοῖς
τίς ἐπιστήσει ἐπὶ τοῦ διανοήματός μου μάστιγας. καὶ
ἐπὶ τῆς καρδίας μου παιδείαν σοφίας. ἵνα ἐπὶ τοῖς ἀγνοήμασίν
μου, μὴ φείσωνται καὶ οὐ μὴ παρῇ τὰ ἁμαρτήματα αὐτῶν, ὅ-
πως μὴ πληθύνωσιν αἱ ἄγνοιαί μου. καὶ αἱ ἁμαρτίαι μου πλεο-
νάσωσιν, καὶ πεσοῦμαι ἔναντι τῶν ὑπεναντίων. καὶ ἐπιχαρῇ
μοι ὁ ἐχθρός μου. κύριε πάτερ καὶ θεὲ ζωῆς μου. μετεωρισμὸν
ὀφθαλμῶν. μὴ δῷς μοι. καὶ ἐπιθυμίαν ἀπόστρεψον ἀπ᾽ ἐμοῦ.
κοιλίας ὄρεξις καὶ συνουσιασμὸς, μὴ καταλαβέτωσάν με. καὶ
ψυχῇ ἀναιδεῖ μὴ παραδῷς με παιδείας στόματος. παιδείαν στό-
ματος ἀκούσατε τέκνα. καὶ ὁ φυλάσσων, οὐ μὴ ἁλῷ. ἐν τοῖς χεί-
λεσιν αὐτοῦ καταλειφθήσεται. ἁμαρτωλὸς καὶ λοίδορος καὶ
ὑπερήφανος σκανδαλισθήσονται ἐν αὐτοῖς. ὅρκων μὴ ἐθίσῃς τὸ
στόμα σου. καὶ ὀνομασία τοῦ ἁγίου. μὴ συνεθισθῇς. ὥσπερ γὰρ οἰ-
κέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐκ ἐλαττωθήσε-
ται. οὕτως καὶ ὁ ὀμνύων καὶ ὀνομάζων διαπαντὸς ἀπὸ ἁμαρτί-
ας οὐ μὴ καθαρισθῇ. ἀνὴρ πολύορκος πλησθήσεται ἀνομίας. καὶ
οὐκ ἀποστήσεται ἀπὸ τοῦ οἴκου αὐτοῦ μάστιξ. ἐὰν πλημμελήσῃ
ἁμαρτία αὐτοῦ ἐπ᾽ αὐτῷ. κἂν ὑπερίδῃ ἥμαρτε δισσῶς. καὶ
εἰ διακενῆς ὤμοσεν οὐ δικαιωθήσεται. πλησθήσεται γὰρ ἐπα-
γωγῶν ὁ οἶκος αὐτοῦ. ἔστι λέξις ἀντιπεριβεβλημένη θανάτῳ. μὴ εὑ-
ρεθήτω ἐν κληρονομίᾳ ἰακώβ. ἀπὸ γὰρ ἀσεβῶν ταῦτα πάντα
ἀποστήσεται καὶ ἐν ἁμαρτίαις οὐκ ἐγκυλισθήσονται. ἀπαι-
δευσίαν ἀσυρῆ μὴ συνεθίζῃς τὸ στόμα σου. ἔστι γὰρ ἐν αὐτῇ λο-
γισμὸς ἁμαρτίας. μνήσθητι πατρὸς καὶ μητρός σου. ἀνὰ μέσον γὰρ
μεγιστάνων συνεδρεύεις, μήποτ᾽ ἐπιλάθῃς ἐνώπιον αὐτῶν καὶ
τῷ ἐθισμῷ σου μωρανθῇς, καὶ θελήσεις εἰ μὴ ἐγεννήθης. καὶ τὴν
ἡμέραν τοῦ τοκετοῦ σου μὴ καταράσῃ. ἄνθρωπος συνεθιζόμενος

λόγοις ὀνειδισμοῦ, ἐν πάσαις ταῖς ἡμέραις αὐτοῦ οὐ μὴ παιδευ
θῇ. δύο εἴδη πληθύνουσιν ἁμαρτίας καὶ τὸ τρίτον ἐπάξει ὀργήν. ψυ
χὴ θερμὴ ὡς πῦρ καιόμενον, οὐ μὴ σβεσθῇ ἕως ἂν καταποθῇ.
ἄνθρωπος πόρνος ἐν σώματι σαρκὸς αὐτοῦ οὐ μὴ παύσηται.
ἕως ἂν ἐκκαύσῃ πῦρ. ἀνθρώπῳ πόρνῳ πᾶς ἄρτος ἡδύς. οὐ μὴ κο
πάσῃ ἕως ἂν τελευτήσῃ. ἄνθρωπος παραβαίνων ἀπὸ τῆς κλί
νης αὐτοῦ, λέγων ἐν τῇ ψυχῇ αὐτοῦ τίς με ὁρᾷ. σκότος κύκλῳ
μου. καὶ οἱ τοῖχοί με καλύπτουσιν καὶ οὐθείς με ὁρᾷ τί εὐλαβοῦ
μαι. τῶν ἁμαρτιῶν μου οὐ μὴ μνησθήσεται ὁ ὕψιστος. καὶ ὀφθαλ
μοὶ ἀνθρώπων ὁ φόβος αὐτοῦ. καὶ οὐκ ἔγνω ὅτι ὀφθαλμοὶ κυρί
ου μυριοπλασίως ἡλίου, φωτεινότεροι ἐπιβλέποντες πάσας ὁ
δοὺς ἀνθρώπων, καὶ κατανοοῦντες εἰς ἀπόκρυφα μέρη. πρινὴ κτι
σθῆναι τὰ πάντα ἔγνωσται αὐτῷ. οὕτως καὶ μετὰ τὸ συντελε
σθῆναι. οὗτος ἐν πλατείαις πόλεως ἐκδικηθήσεται, καὶ οὗ οὐχ ὑπε
νόησεν πιασθήσεται. οὕτως καὶ γυνὴ καταλιποῦσα τὸν ἄνδρα.
καὶ παριστῶσα κληρονόμον ἐξ ἀλλοτρίου. πρῶτον μὲν γὰρ ἐν νόμῳ
ὑψίστου ἠπείθησεν. καὶ δεύτερον εἰς ἄνδρα ἑαυτῆς ἐπλημμέ
λησεν, καὶ τὸ τρίτον ἐν πορνείᾳ ἐμοιχεύθη. ἐξ ἀλλοτρίου ἀνδρὸς
τέκνα παρέστησεν αὕτη ἐκκλησίαν ἐξαχθήσεται, καὶ ἐπὶ τὰ
τέκνα αὐτῆς ἐπισκοπὴ ἔσται. οὐ διαδώσουσιν τὰ τέκνα αὐτῆς
εἰς ῥίζαν καὶ οἱ κλάδοι αὐτῆς οὐ δώσουσιν καρπόν. καὶ κατα
λείψει εἰς κατάραν τὸ μνημόσυνον αὐτῆς. καὶ τὸ ὄνειδος αὐτῆς
οὐκ ἐξαλειφθήσεται καὶ ἐπιγνώσονται οἱ καταλειφθέντες ὅτι
οὐθὲν κρεῖττον φόβου κυρίου καὶ τί οὐθὲν γλυκύτερον τοῦ προσέ
χειν ἐντολαῖς κυρίου. σύνεσις σοφίας.

Κεφ. κδ. 34.

Σοφία αἰνέσει ψυχὴν αὐτῆς. καὶ ἐν μέσῳ λαοῦ αὐ
τῆς καυχήσεται. ἐν ἐκκλησίᾳ ὑψίστου στόμα αὐτῆς
ἀνοίξει. καὶ ἔναντι δυνάμεως αὐτοῦ καυχήσεται.
ἐγὼ ἀπὸ στόματος ὑψίστου ἐξῆλθον. καὶ ὡς ὁ μίχλη κατεκάλυψ

ψα γῆν. ἐγὼ ἐν ὑψηλοῖς κατεσκήνωσα καὶ ὁ θρόνος μου ἐν στύλῳ νεφέλης. γῦρον οὐρανοῦ ἐκύκλωσα μόνη. καὶ ἐν βάθει ἀβύσσων περιεπάτησα. ἐν κύμασι θαλάσσης καὶ ἐν πάσῃ τῇ γῇ καὶ ἐν παντὶ λαῷ καὶ ἔθνει ἐκτησάμην. μετὰ τούτων πάντων ἀνάπαυσιν ἐζήτησα. καὶ ἐν κληρονομίᾳ τίνος αὐλισθήσομαι. τότε ἐνετείλατό μοι ὁ κτίστης ἁπάντων καὶ ὁ κτίσας με κατέπαυσε τὴν σκηνήν μου. καὶ εἶπεν ἐν ἰακὼβ κατασκήνωσον. καὶ ἐν ἰσραὴλ κατακληρονομήθητι. πρὸ τοῦ αἰῶνος ἀπαρχῆς ἔκτισέν με. καὶ ἕως αἰῶνος οὐ μὴ ἐκλίπω. ἐν σκηνῇ ἁγίᾳ ἐνώπιον αὐτοῦ ἐλειτούργησα, καὶ οὕτως ἐν σιὼν ἐστηρίχθην. ἐν πόλει ἠγαπημένῃ ὁμοίως με κατέπαυσεν, καὶ ἐν ἱερουσαλὴμ ἡ ἐξουσία μου. καὶ ἐρρίζωσα ἐν λαῷ δεδοξασμένῳ. ἐν μερίδι κυρίου κληρονομίας αὐτοῦ. ὡς κέδρος ἀνυψώθην ἐν τῷ λιβάνῳ, καὶ ὡς κυπάρισσος ἐν ὄρεσιν ἀερμών. ὡς φοίνιξ ἀνυψώθην ἐν αἰγιαλοῖς. καὶ ὡς φυτὰ ῥόδου ἐν ἱεριχῷ. ὡς ἐλαία εὐπρεπὴς ἐν πεδίῳ καὶ ἀνυψώθην ὡς πλάτανος, ὡς κινάμωμον καὶ ἀσπάλαθος ἀρωμάτων δέδωκα ὀσμήν. καὶ ὡς σμύρνα ἐκλεκτὴ διέδωκα εὐωδίαν, ὡς χαλβάνη καὶ ὄνυξ καὶ στακτὴ καὶ ὡς λιβάνου ἀτμὶς ἐν σκηνῇ. ἐγὼ ὡς τερέβινθος ἐξέτεινα κλάδους μου. καὶ οἱ κλάδοι μου κλάδοι δόξης καὶ χάριτος. ἐγὼ ὡς ἄμπελος βλαστήσασα χάριν. καὶ τὰ ἄνθη μου καρπὸς δόξης, καὶ πλούτου. προσέλθετε πρός με οἱ ἐπιθυμοῦντές μου. καὶ ἀπὸ τῶν γεννημάτων μου ἐμπλήσθητε. τὸ γὰρ μνημόσυνόν μου ὑπὲρ μέλι γλυκὺ καὶ ἡ κληρονομία μου ὑπὲρ μέλιτος κηρίου. οἱ ἐσθίοντές με ἔτι πεινάσουσιν. καὶ οἱ πίνοντές με ἔτι διψήσουσιν. ὁ ὑπακούων μου οὐκ αἰσχυνθήσεται. καὶ οἱ ἐργαζόμενοι ἐν ἐμοὶ οὐχ ἁμαρτήσουσιν. ταῦτα πάντα βίβλος διαθήκης θεοῦ ὑψίστου, νόμον ὃν ἐνετείλατο μωϋσῆς κληρονομίαν συναγωγαῖς ἰακώβ. ὁ πιμπλῶν ὡς φισὼν σοφίαν. καὶ ὡς τίγρις ἐν ἡμέραις νέων. ὁ ἀναπληρῶν, ὡς εὐφράτης σύνεσιν. καὶ ὡς ἰορδάνης ἐν ἡμέραις θερισμοῦ. ὁ ἐκφαίνων ὡς φῶς παιδείαν ὡς γηὼν

νέων ἐν ἡμέραις τρυγητοῦ. οὐ συνετέλεσεν ὁ πρῶτος γνῶναι αὐτήν. καὶ οὕτως ὁ ἔσχατος οὐκ ἐξιχνίασεν αὐτήν. ἀπὸ γὰρ θαλάσσης ἐπληθύνθη διανόημα αὐτῆς. καὶ ἡ βουλὴ αὐτῆς ἀπὸ ἀβύσσου μεγάλης. κἀγὼ ὡς διῶρυξ ἀπὸ ποταμοῦ. καὶ ὡς ὑδραγωγὸς ἐξῆλθον εἰς παράδεισον. εἶπα ποτιῶ μου τὸν κῆπον καὶ μεθύσω μου τὴν πρασιάν. καὶ ἰδοὺ ἐγένετό μοι ἡ διῶρυξ ποταμόν. καὶ ὁ ποταμός μου ἐγένετο εἰς θάλασσαν. ἔτι παιδείαν ὡς ὄρθρον φωτιῶ. καὶ ἐκφανῶ αὐτὰ ἕως εἰς μακράν, ἔτι διδασκαλίαν ὡς προφητείαν ἐκχεῶ καὶ καταλείψω αὐτὴν εἰς γενεὰς αἰώνων. ἴδετε ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα. ἀλλὰ πᾶσι τοῖς ἐκζητοῦσιν αὐτήν.

## Κεφάλαιον. κε. 25.

Ν τρισὶν ὡραΐσθην καὶ ἀνέστην ὡραία ἔναντι κυρίου ε καὶ ἀνθρώπων. ὁμόνοια ἀδελφῶν καὶ φιλία τῶν πλησίον. καὶ γυνὴ καὶ ἀνὴρ ἑαυτοῖς συμπεριφερόμενοι. τρία δὲ εἴδη ἐμίσησεν ἡ ψυχή μου. καὶ προσώχθισα σφόδρα τῇ ζωῇ αὐτῶν. πτωχὸν ὑπερήφανον, καὶ πλούσιον ψεύστην γέροντα μοιχὸν ἐλαττούμενον συνέσει. ἐν νεότητι οὐ συνανήοχας. καὶ πῶς ἂν εὕροις ἐν τῷ γήρᾳ σου; ὡς ὡραῖον πολιαῖς κρίσις, καὶ πρεσβυτέροις ἐπιγνῶναι βουλήν, καὶ δεδοξασμένοις διανόημα καὶ βουλή. στέφανος γερόντων πολυπειρία. καὶ τὸ καύχημα αὐτῶν φόβος κυρίου. ἐννέα ὑπονοήματα ἐμακάρισα ἐν καρδίᾳ. καὶ τὸ δέκατον ἐρῶ ἐπὶ γλώσσης. ἄνθρωπος εὐφραινόμενος ἐπὶ τέκνοις. ζῶν καὶ βλέπων ἐπὶ πτώσει ἐχθρῶν. μακάριος ὁ συνοικῶν γυναικὶ συνετῇ. καὶ ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν καὶ ὃς οὐκ ἐδούλευσεν ἀναξίῳ αὐτοῦ. μακάριος εὗρε φρόνησιν καὶ ὁ διηγούμενος εἰς ὦτα ἀκουόντων. ὡς μέγας ὁ εὑρὼν σοφίαν. ἀλλ' οὐκ ἔστιν ὑπὲρ τὸν φοβούμενον τὸν κύριον. φόβος κυρίου ὑπὲρ πᾶν ὑπερέβαλεν. ὁ κρατῶν αὐτοῦ τίνι ὁμοιωθήσεται; πᾶσαν πληγὴν καὶ μὴ πληγὴν καρδίας καὶ πᾶσαν πονηρίαν καὶ μὴ πονηρίαν γυναικός. πᾶσαν ἐπαγωγὴν καὶ μὴ ἐπαγωγὴν μισούντων καὶ πᾶσαν ἐκδίκησιν

καὶ μὴ ἐκδίκησιν ἐχθρῶν. οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως. καὶ οὐκ ἔστι θυμὸς ὑπὲρ θυμὸν ἐχθροῦ. συνοικῆσαι λέοντι καὶ δράκοντι εὐδοκήσω, ἢ ἐνοικῆσαι μετὰ γυναικὸς πονηρᾶς. πονηρία γυναικὸς ἀλλοιοῖ τὴν ὅρασιν αὐτῆς. καὶ σκοτοῖ τὸ πρόσωπον αὐτῆς. ὡς σάκκον. ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ ἀναπεσεῖται ὁ ἀνὴρ αὐτῆς. καὶ ἀκούσας ἀνεστέναξε πικρά. μικρὰ πᾶσα κακία πρὸς κακίαν γυναικός. κλῆρος ἁμαρτωλοῦ ἐπιπέσοι αὐτῇ. ἀνάβασις ἀμμώδης, ἐν ποσὶν πρεσβυτέρου. οὕτως γυνὴ γλωσσώδης ἀνδρὶ ἡσύχῳ. μὴ προσπέσῃς ἐπὶ κάλλος γυναικός. καὶ γυναῖκα μὴ ἐπιποθήσῃς. ὀργὴ καὶ ἀναίδεια καὶ αἰσχύνη μεγάλη γυνή. ἐὰν ἐπιχορηγῇ τῷ ἀνδρὶ αὐτῆς, καρδία ταπεινή, καὶ πρόσωπον σκυθρωπόν. καὶ πληγὴ καρδίας γυνὴ πονηρά, χεῖρες παρειμέναι, καὶ γόνατα παραλελυμένα. ἥτις οὐ μακαριεῖ τὸν ἄνδρα αὐτῆς. ἀπὸ γυναικὸς ἀρχὴ ἁμαρτίας. καὶ δι᾽ αὐτὴν ἀποθνήσκομεν πάντες. μὴ δῷς ὕδατι διέξοδον. μηδὲ γυναικὶ πονηρᾷ ἐξουσίαν, εἰ μὴ πορεύεται κατὰ χεῖρά σου. ἀπὸ τῶν σαρκῶν σου ἀπότεμε αὐτήν.

## Κεφ. κϛ. 26.

Γυναικὸς ἀγαθῆς, μακάριος ἀνήρ. καὶ ἀριθμὸς τῶν
γ ἡμερῶν αὐτοῦ διπλάσιος. γυνὴ ἀνδρεία εὐφραίνει
τὸν ἄνδρα αὐτῆς. καὶ τὰ ἔτη αὐτοῦ πληρώσει ἐν εἰρήνῃ. γυνὴ ἀγαθὴ μερὶς ἀγαθή. ἐν μερίδι φοβουμένων κύριον δοθήσεται. πλουσίου δὲ καὶ πτωχοῦ καρδία ἀγαθή. ἐν παντὶ καιρῷ πρόσωπον ἱλαρόν. ἀπὸ τριῶν, εὐλαβήθη ἡ καρδία μου καὶ ἐπὶ τῷ τετάρτῳ προσώπῳ ἐδεήθην. διαβολὴν πόλεως καὶ ἐκκλησίαν ὄχλου, καὶ καταψευσμὸν ὑπὲρ θάνατον, πάντα μοχθηρά. ἄλγος καρδίας καὶ πένθος γυνὴ ἀντίζηλος ἐπὶ γυναικί. καὶ μάστιξ γλώσσης πᾶσιν ἐπικοινωνοῦσα. βοοζύγιον σαλευόμενον γυνὴ πονηρά. ὁ κρατῶν αὐτῆς ὡς ὁ δρασσόμενος σκορπίου. ὀργὴ μεγάλη γυνὴ μέθυσος. καὶ ἀσχημοσύνην

αὐτοῦ οὐ συγκαλύψει. πορνεία γυναικὸς ἐν μετεωρισμοῖς ὀφθαλμῶν. καὶ ἐν τοῖς βλεφάροις αὐτῆς γνωσθήσεται. ἐπὶ θυγατέρα ἀδιατρέπτως στερέωσον φυλακήν. ἵνα μὴ εὑροῦσα ἄνεσιν ἑαυτῇ χρήσηται. ὀπίσω ἀναιδοῦς ὀφθαλμοῦ, φύλαξαι. καὶ μὴ θαυμάσῃς ἐὰν εἰς σὲ πλημμελήσῃ. ὡς διψῶν ὁδοιπόρος τὸ στόμα ἀνοίγει. καὶ ἀπὸ παντὸς ὕδατος τοῦ σύνεγγυς πίεται. κατέναντι παντὸς πασσάλου καθήσεται. καὶ ἔναντι βέλους ἀνοίξει φαρέτραν. χάρις γυναικὸς τέρψει τὸν ἄνδρα αὐτῆς. καὶ τὰ ὀστᾶ αὐτοῦ πιανεῖ. ἡ ἐπιστήμη αὐτῆς. δόσις κυρίου γυνὴ σιγηρά. καὶ οὐκ ἔστιν ἀντάλλαγμα πεπαιδευμένης ψυχῆς. χάρις ἐπὶ χάριτι, γυνὴ αἰσχυντηρά. καὶ οὐκ ἔστι σταθμὸς, πᾶς ἄξιος ἐγκρατοῦς ψυχῆς. ἥλιος ἀνατέλλων ἐν ὑψίστοις κυρίου. καὶ κάλλος ἀγαθῆς γυναικὸς ἐν κόσμῳ οἰκίας αὐτῆς. λύχνος ἐκλάμπων ἐπὶ λυχνίας ἁγίας. καὶ κάλλος προσώπου ἐπὶ ἡλικίᾳ στασίμῃ. στῦλοι χρύσεοι ἐπὶ βάσεως ἀργυρᾶς καὶ πόδες ὡραῖοι ἐπὶ στέρνοις εὐσταθοῦς. ἐπὶ δυσὶ λελύπηται ἡ καρδία μου. καὶ ἐπὶ τῷ τρίτῳ θυμός μοι ἐπῆλθεν. ἀνὴρ πολεμιστὴς ὑστερῶν δι' ἔνδειαν. καὶ ἄνδρες συνετοὶ ἐὰν σκυβαλισθῶσιν. ἐπανάγων ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν. ὁ κύριος ἑτοιμάσει εἰς ῥομφαίαν αὐτόν. μόλις ἐξελεῖται, ἔμπορος ἀπὸ πλημμελείας. καὶ οὐ δικαιωθήσεται κάπηλος ἀπὸ ἁμαρτίας.

Κεφ. κζ. 27.

χ Ἄριν ἀδιαφόρου πολλοὶ ἥμαρτον, καὶ ὁ ζητῶν πληθῦναι, ἀποστρέψει ὀφθαλμόν. ἀνὰ μέσον ἁρμῶν λίθων. παγήσεται καὶ πάσσαλος καὶ ἀνὰ μέσον πράσεως καὶ ἀγορασμοῦ συντριβήσεται ἁμαρτία. ἐὰν μὴ ἐν φόβῳ κυρίου κρατήσῃ κατὰ σπουδήν. ἐν τάχει καταστραφήσεται αὐτοῦ ὁ οἶκος. ἐν σείσματι κοσκίνου διαμένει κοπρία, οὕτως σκύβαλα ἀνθρώπου ἐν λογισμῷ αὐτοῦ. σκεύη κεραμέως δοκιμάζει κάμινος. καὶ πειρασμὸν ἀνθρώπου ἐν διαλογισμῷ αὐτοῦ. γεώργιον ξύλου ἐκφαίνει ὁ καρπὸς αὐτοῦ. οὕτως λόγος ἐνθυμήματος καρδίας ἀνθρώπου. πρὸ λογισμοῦ μὴ ἐπαινέσῃς ἄνδρα. οὗτος

γὰρ πειρασμὸς ἀνθρώπων. ἐὰν διώκῃς τὸ δίκαιον καταλήψῃ. καὶ ἐνδύσῃ αὐτὸ. ὡς ποδήρη δόξης. πετεινὰ πρὸς τὰ ὅμοια αὐτοῖς καταλύσει. καὶ ἀλήθεια πρὸς τοὺς ἐργαζομένους αὐτὴν ἐπανήξει. λέων θήραν ἐνεδρεύει. οὕτως ἁμαρτίας ἐργαζομένους ἄδικα. διήγησις εὐσεβοῦς, διαπαντὸς σοφία. ὁ δὲ ἄφρων, ὡς σελήνη ἀλλοιοῦται. εἰς μέσον ἀσυνέτων, συντήρησον καιρόν. εἰς μέσον δὲ διανοουμένων ἐνδελέχιζε. διήγησις μωρῶν προσόχθισμα. καὶ ὁ γέλως αὐτῶν ἐν σπατάλῃ ἁμαρτίας. λαλιὰ πολυόρκου, ὀρθώσει τρίχας. καὶ ἡ μάχη αὐτῶν ἐμφραγμὸς ὠτίων. ἔκχυσις αἵματος μάχη ὑπερηφάνων, καὶ ἡ διαλοιδόρησις αὐτῶν, ἀκοὴ μοχθηρά. ὁ ἀποκαλύπτων μυστήρια ἀπώλεσε πίστιν. καὶ οὐ μὴ εὕρῃ φίλον πρὸς τὴν ψυχὴν αὐτοῦ. στέρξον φίλον καὶ πιστώθητι μετ' αὐτοῦ. ἐὰν δὲ ἀποκαλύψῃς, τὰ μυστήρια αὐτοῦ οὐ μὴ καταδιώξῃς ὀπίσω αὐτοῦ. καθὼς γὰρ ἀπώλεσεν ἄνθρωπος τὸν ἐχθρὸν αὐτοῦ. οὕτως ἀπώλεσας τὴν φιλίαν τοῦ πλησίου. καὶ ὡς πετεινὸν ἐκ χειρός σου ἀπέλυσας οὕτως ἀφῆκας τὸν πλησίον καὶ οὐ θηρεύσεις αὐτόν. μὴ αὐτὸν διώξῃς ὅτι μακρὰν ἀπέστη. καὶ ἐξέφυγεν ὡς δορκὰς ἐκ παγίδος. ὅτι τραῦμα ἐστὶ καταδῆσαι, καὶ λοιδορίας ἐστὶ διαλλαγή. ὁ δὲ ἀποκαλύψας μυστήρια ἀπήλπισε. διανεύων ὀφθαλμῷ τεκταίνει κακά. καὶ οὐδεὶς αὐτὸν ἀποστήσει ἀπ' αὐτοῦ. ἀπέναντι τῶν ὀφθαλμῶν σου γλυκανεῖ στόμα σου καὶ ἐν τοῖς λόγοις σου ἐκθαυμάσει. ὕστερον δὲ διαστρέψει τὸ στόμα αὐτοῦ. καὶ ἐν τοῖς λόγοις σου δώσει σκάνδαλον. πολλὰ ἐμίσησα, καὶ οὐχ ὡμοίωσα αὐτῷ. καὶ ὁ κύριος μισήσει αὐτόν. βάλλων λίθον εἰς ὕψος, ἐπὶ κεφαλὴν αὐτοῦ βάλλει. καὶ πληγὴ δολία, διελεῖ τραύματα. ὁ ὀρύσσων βόθρον εἰς αὐτὸν ἐμπεσεῖται. καὶ ὁ ἱστῶν παγίδα ἐν αὐτῇ ἁλώσεται. ὁ ποιῶν πονηρὰ εἰς αὐτὸν κυλισθήσεται. καὶ οὐ μὴ ἐπιγνῷ πόθεν ἥκει αὐτῷ. ἐμπαιγμὸς καὶ ὀνειδισμὸς ὑπερηφάνων. καὶ ἡ ἐκδίκησις ὡς λέων ἐνεδρεύσει αὐτόν. παγίδι ἁλώσονται οἱ εὐφραινόμενοι πτῶσιν ἀσεβῶν καὶ ὀδύνη καταναλώσει αὐτούς.

πρὸ τοῦ θανάτου αὐτῶν. μῆνις καὶ ὀργὴ καὶ ταῦτα ἐστὶ βδελύ-
γματα, καὶ ἀνὴρ ἁμαρτωλὸς ἐγκρατὴς ἔσται αὐτῶν.

Κεφ. κη. 28.

Εκδικῶν παρὰ κυρίου εὑρήσει ἐκδίκησιν. καὶ τὰς
δ ἁμαρτίας αὐτοῦ διατηρῶν διατηρήσει. ἄφες ἀδί-
κημα τῷ πλησίον σου. καὶ τότε δεηθέντος σου αἱ ἁ-
μαρτίαι σου λυθήσονται. ἄνθρωπος ἀνθρώπῳ συντηρεῖ ὀργήν.
καὶ παρὰ κυρίου ζητεῖ ἴασιν ἐπ᾽ ἄνθρωπον ὅμοιον αὐτῷ, οὐκ
ἔχει ἔλεος καὶ περὶ τῶν ἁμαρτιῶν αὐτοῦ δεῖται. αὐτὸς σὰρξ ὢν
διατηρεῖ μῆνιν. τίς ἐξιλάσεται τὰς ἁμαρτίας αὐτοῦ. μνήσθητι
τὰ ἔσχατα καὶ παῦσαι ἐχθραίνων. καταφθορὰν καὶ θάνατον, καὶ
ἔμμενε ἐντολαῖς. μνήσθητι ἐντολῶν καὶ μὴ μηνίσῃς τῷ πλησί-
ον. καὶ διαθήκην ὑψίστου καὶ πάριδε ἄγνοιαν. ἀπόσχου ἀπὸ μά-
χης καὶ ἐλαττώσεις ἁμαρτίας. ἄνθρωπος γὰρ θυμώδης ἐκκαύ-
σει μάχην. καὶ ἀνὴρ ἁμαρτωλὸς ταράξει φίλους. ἀνὰ μέσον εἰ-
ρηνευόντων ἐκβαλεῖ διαβολήν. κατὰ τὴν ὕλην πυρὸς οὕτως
ἐκκαυθήσεται κατὰ τὴν ἰσχὺν τοῦ ἀνθρώπου ὁ θυμὸς αὐτοῦ ἔ-
σται. καὶ κατὰ τὸν πλοῦτον ἀνυψώσει ὀργὴν αὐτοῦ, καὶ κατὰ τὴν
στερέωσιν τῆς μάχης ἐκκαυθήσεται. ἔρις κατασπευδομένη ἐκ-
καίει πῦρ. καὶ μάχη κατασπεύδουσα ἐκχέει αἷμα. ἐὰν φυ-
σήσῃς σπινθῆρα ἐκκαήσεται. καὶ ἐὰν πτύσῃς ἐπ᾽ αὐτὸν σβεσθή-
σεται. καὶ ἀμφότερα ἐκ τοῦ στόματός σου ἐκπορεύεται. ψιθυρὸν
καὶ δίγλωσσον καταρᾶσθαι. πολλοὺς γὰρ εἰρηνεύοντας ἀπώλε-
σαν. γλῶσσα τρίτη, πολλοὺς ἐσάλευσαν καὶ διέστησαν αὐτοὺς ἀπὸ
ἔθνους εἰς ἔθνος. καὶ πόλεις ἰσχυρὰς καθεῖλεν. καὶ οἰκίας μεγιστά-
νων κατέστρεψεν. γλῶσσα τρίτη, γυναῖκας ἀνδρείας ἐξέβαλεν καὶ
ἐστέρησεν αὐτὰς τῶν πόνων αὐτῶν. ὁ προσέχων αὐτῇ οὐ μὴ
εὕρῃ ἀνάπαυσιν οὐδὲ κατασκηνώσει μεθ᾽ ἡσυχίας. πληγὴ μά-
στιγος ποιεῖ μώλωπας. πληγὴ δὲ γλώσσης συγκλάσει ὀστᾶ. πολ-
λοὶ ἔπεσαν ἐν στόματι μαχαίρας. καὶ οὐχ ὡς οἱ πεπτωκότες

διὰ γλῶσσαν. μακάριος ὁ σκεπασθεὶς ἀπ' αὐτοῦ, ὃς οὐ διῆλθεν ἐν τῷ θυμῷ αὐτοῦ. ὃς οὐχ εἵλκυσε τὸν ζυγὸν αὐτῆς. καὶ ἐν τοῖς δεσμοῖς αὐτοῦ οὐκ ἐδέθη, ὁ γὰρ ζυγὸς αὐτῆς ζυγὸς σιδηροῦς καὶ οἱ δεσμοὶ αὐτοῦ, δεσμοὶ χάλκιοι. θάνατος πονηρὸς ὁ θάνατος αὐτῆς καὶ λυσιτελὴς μᾶλλον ὁ ᾅδης αὐτῆς. οὐ μὴ κρατήσῃ εὐσεβῶν καὶ ἐν τῇ φλογὶ αὐτῆς οὐ καήσονται. οἱ καταλείποντες κύριον ἐμπεσοῦνται εἰς αὐτήν. καὶ ἐν αὐτοῖς ἐκκαήσεται καὶ οὐ μὴ σβεσθῇ. ἐξαποσταλήσεται ἐπ' αὐτοῖς ὡς λέων. καὶ ὡς πάρδαλις λυμανεῖται αὐτούς. καὶ περίφραξον τὸ κτῆμά σου ἀκάνθαις τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου κατάδησον. καὶ τοῖς λόγοις ποίησον ζυγὸν καὶ σταθμὸν καὶ τῷ στόματί σου ποίησον θύραν καὶ μοχλόν. πρόσεχε μήπως ὀλισθήσῃς ἐν αὐτῇ. μὴ πέσῃς κατέναντι ἐνεδρεύοντος.

## Κεφ. κθ. 29.

Ποιῶν ἔλεος δανιεῖ τῷ πλησίον. καὶ ὁ ἐπισχύων τῇ
ὁ χειρὶ αὐτοῦ, τηρεῖ ἐντολάς. δάνεισον τῷ πλησίον ἐν καιρῷ χρείας αὐτοῦ, καὶ πάλιν ἀπόδος τῷ πλησίον εἰς τὸν καιρόν. στερέωσον λόγον καὶ πιστώθητι μετ' αὐτοῦ. καὶ ἐν παντὶ καιρῷ εὑρήσεις τὴν χρείαν σου. πολλοὶ ὡς εὕρημα ἐνόμισαν δάνος. καὶ παρέσχον πόνον τοῖς βοηθήσασιν αὐτοῖς. ἕως οὗ λάβῃ καταφιλήσει χεῖρα αὐτοῦ, καὶ ἐπὶ τῶν χρημάτων τοῦ πλησίον ταπεινώσει φωνήν. καὶ ἐν καιρῷ ἀποδόσεως, παρελκύσει χρόνον. καὶ ἀποδώσει λόγους ἀκηδίας, καὶ τὸν καιρὸν αἰτιάσεται. ἐὰν ἰσχύσῃ μόλις κομίσεται τὸ ἥμισυ. καὶ λογιεῖται αὐτὸ ὡς εὕρεμα. εἰ δὲ μὴ ἀπεστέρησεν αὐτὸν χρημάτων αὐτοῦ. καὶ ἐκτήσατο αὐτὸν ἐχθρὸν οὐ δωρεάν. κατάρας, καὶ λοιδορίας ἀποδώσει αὐτῷ. καὶ ἀντὶ δόξης, ἀποδώσει αὐτῷ ἀτιμίαν. πολλοὶ χάριν πονηρίας ἀπέστρεψαν ἀποστερηθῆναι δωρεὰν εὐλαβήθησαν. πλὴν ἐπὶ ταπεινῷ μακροθύμησον, καὶ ἐπ' ἐλεημοσύνῃ παρελκύσεις αὐτόν. χάριν ἐντολῆς ἀντιλαβοῦ πένητος. καὶ κατὰ τὴν ἔνδειαν

αὐτοῦ. μὴ ἀποστρέψῃς αὐτὸν κενόν. ἀπόλεσον ἀργύριον δι' ἀδελφὸν καὶ φίλον, καὶ μὴ ἰωθήτω ὑπὸ τὸν λίθον εἰς ἀπώλειαν. θὲς τὸν θησαυρόν σου κατ' ἐντολὰς ὑψίστου, καὶ λυσιτελήσει σοι μᾶλλον, ἢ τὸ χρυσίον. σύγκλεισον ἐλεημοσύνην ἐν τοῖς ταμείοις σου, καὶ αὕτη ἐξελεῖταί σε ἐκ πάσης κακώσεως ὑπὲρ ἀσπίδα κράτους, καὶ ὑπὲρ δόρυ ἀλκῆς, κατέναντι ἐχθροῦ πολεμήσει ὑπὲρ σου. ἀνὴρ ἀγαθὸς, ἐγγυήσεται τὸν πλησίον. καὶ ὁ ἀπολωλεκὼς, αἰσχύνην καταλείψει αὐτόν. χάριτας ἐγγύου, μὴ ἐπιλάθῃ. ἔδωκε γὰρ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ σου. ἀγαθὰ ἐγγύου, ἀνατρέψει ἁμαρτωλὸς, καὶ ἀχάριστος ἐν διανοίᾳ ἐγκαταλείψει ῥυσάμενον. ἐγγύη πολλοὺς ἀπώλεσεν κατευθύνοντας. καὶ ἐσάλευσεν αὐτοὺς, ὡς κῦμα θαλάσσης. ἄνδρας δυνατοὺς ἀπῴκισεν, καὶ ἐπλανήθησαν ἐν ἔθνεσιν ἀλλοτρίοις. ἁμαρτωλὸς ἐμπεσὼν εἰς ἐγγύην, καὶ διώκων ἐργολαβείας ἐμπεσεῖται εἰς κρίσιν. ἀντιλαβοῦ τοῦ πλησίον κατὰ δύναμίν σου, καὶ πρόσεχε σεαυτῷ, μὴ ἐμπέσῃς. ἀρχὴ ζωῆς ὕδωρ, καὶ ἄρτος καὶ ἱμάτιον, καὶ οἶκος καλύπτων ἀσχημοσύνην. κρείσσων βίος πτωχοῦ ὑπὸ σκέπην δοκῶν, ἢ ἐδέσματα λαμπρὰ ἐν ἀλλοτρίοις. ἐπὶ μικρῷ καὶ μεγάλῳ, εὐδοκίαν ἔχε. ζωὴ πονηρὰ ἐξ οἰκίας εἰς οἰκίαν, καὶ οὗ παροικήσει, οὐκ ἀνοίξει στόμα. ξενιεῖς καὶ ποτιεῖς εἰς ἀχάριστα. καὶ πρὸς ἐπὶ τούτοις πικρὰ ἀκούσῃ. πάρελθε πάροικε κόσμησον τράπεζαν. καὶ εἴ τι ἐν τῇ χειρί σου, ψώμισόν με. ἔξελθε πάροικε ἀπὸ προσώπου δόξης. ἐπεξένωταί μοι ὁ ἀδελφὸς, χρεία τῆς οἰκίας. βαρέα ταῦτα ἀνθρώπῳ ἔχοντι φρόνησιν. ἐπιτίμησις οἰκίας, καὶ ὀνειδισμὸς δανειστοῦ, περὶ τέκνων.

Κεφ. λ. 30.

ὁ Ἀγαπῶν τὸν υἱὸν αὐτοῦ, ἐνδελεχήσει μάστιγας αὐτῷ. ἵνα εὐφρανθῇ ἐπ' ἐσχάτῳ αὐτοῦ. ὁ παιδεύων τὸν υἱὸν αὐτοῦ, ὀνήσεται ἐπ' αὐτῷ. καὶ ἀνὰ μέσον γνωρίμων ἐπ' αὐτῷ καυχήσεται. ὁ διδάσκων τὸν υἱὸν αὐτοῦ

παραζηλώσει τὸν ἐχθρόν, καὶ ἔναντι φίλων ἐπ' αὐτῷ ἀγαλλιάσεται. ἐτελεύτησεν αὐτοῦ ὁ πατήρ, καὶ ὡς οὐκ ἀπέθανεν, ὅμοιον γὰρ αὐτῷ κατέλιπεν μετ' αὐτόν. ἐν τῇ ζωῇ αὐτοῦ εἶδεν, καὶ εὐφράνθη. καὶ ἐν τῇ τελευτῇ αὐτοῦ οὐκ ἐλυπήθη. ἐναντίον ἐχθρῶν κατέλιπεν ἔκδικον. καὶ τοῖς φίλοις ἀνταποδιδόντα χάριν. περὶ ψυχῶν υἱῶν καταδεσμεύσει τραύματα αὐτοῦ, καὶ ἐπὶ πάσῃ βοῇ ταραχθήσεται σπλάγχνα αὐτοῦ. ἵππος ἀδάμαστος ἀποβαίνει σκληρός, καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής. τιθήνησον τέκνον καὶ ἐκθαμβήσει σε. σύμπαιξον αὐτῷ, καὶ λυπήσει σε. καὶ συγγελάσῃς αὐτῷ, ἵνα μὴ συνοδυνηθῇς, καὶ ἐπ' ἐσχάτῳ γομφιάσεις εἰς τοὺς ὀδόντας σου. μὴ δῷς αὐτῷ ἐξουσίαν ἐν νεότητι. θλάσον τὰς πλευρὰς αὐτοῦ, ὡς ἔστι νήπιος. μήποτε σκληρυνθεὶς ἀπειθήσῃ σοι. παίδευσον τὸν υἱόν σου, καὶ ἔργασαι ἐν αὐτῷ. ἵνα μὴ ἐν τῇ ἀσχημοσύνῃ σου προσκόψῃ. κρείσσων πτωχὸς ὑγιής, καὶ ἰσχύων τῇ ἕξει, ἢ πλούσιος μεμαστιγωμένος εἰς σῶμα αὐτοῦ. ὑγιεία εὐεξία βελτίων παντὸς χρυσίου. καὶ σῶμα εὔρωστον ἢ ὄλβος ἀμέτρητος. οὐκ ἔστι πλοῦτος βελτίων ὑγιείας σώματος. καὶ οὐκ ἔστιν εὐφροσύνη ὑπὲρ χαρὰν καρδίας. κρείσσων θάνατος ὑπὲρ ζωὴν πικρὰν ἢ ἀρρώστημα ἔμμονον. ἀγαθὰ ἐκκεχυμένα ἐπὶ στόματι κεκλεισμένῳ. θέμα βρωμάτων παρακείμενα ἐπὶ τάφῳ. τί συμφέρει κάρπωσις εἰδώλῳ. οὔτε γὰρ ἔδεται οὔτε μὴ ὀσφρανθῇ. οὕτως ὁ ἐκδιωκόμενος ὑπὸ κυρίου, βλέπων ἐν ὀφθαλμοῖς, καὶ στενάζων. ὥσπερ εὐνοῦχος περιλαμβάνων παρθένον, καὶ στενάζων οὕτως ὁ ποιῶν ἐν βίᾳ κρίματα. μὴ δῷς εἰς λύπην τὴν ψυχήν σου. καὶ μὴ θλίψῃς σεαυτὸν ἐν βουλῇ σου. εὐφροσύνη καρδίας, ζωὴ ἀνθρώπου. καὶ ἀγαλλίαμα ἀνδρὸς μακροημέρευσις. ἀγάπα τὴν ψυχήν σου. καὶ παρακάλει τὴν καρδίαν καὶ λύπην μακρὰν ἀπόστησον ἀπὸ σοῦ. πολλοὺς γὰρ ἀπέκτεινεν ἡ λύπη, καὶ οὐκ ἔστιν ὠφέλεια ἐν αὐτῇ. ζῆλος καὶ θυμὸς ἐλαττοῦσιν ἡμέρας. καὶ πρὸ καιροῦ γῆρας ἄγει μέριμνα.

Τὰ ἑξῆς μετὰ τῆς λγ. κεφαλῆς συγκολλᾶται.

Ὡς καλαμώμενος ὀπίσω τρυγητῶν. ἐν εὐλογίᾳ κυρίου ἔφθασα, καὶ ὡς τρυγῶν ἐπλήρωσα ληνόν. κατανοήσατε. ὅτι οὐκ ἐμοὶ μόνῳ ἐκοπίασα, ἀλλὰ πᾶσι τοῖς ζητοῦσι παιδείαν. ἀκούσατέ μου, μεγιστᾶνες λαοῦ. καὶ οἱ ἡγούμενοι ἐκκλησίας ἐνωτίσασθε. υἱῷ, καὶ γυναικί. ἀδελφῷ καὶ φίλῳ. μὴ δῷς ἐξουσίαν ἐπὶ σὲ ἐν ζωῇ σου. καὶ μὴ δῷς ἑτέρῳ τὰ χρήματά σου. ἵνα μὴ μεταμεληθεὶς δέῃ, περὶ αὐτῶν. ἕως ἔτι ζῇς. καὶ πνοὴ ἐν σοί, μὴ ἀλλάξῃς σεαυτὸν πάσῃ σαρκί. κρεῖσσον γάρ ἐστι τὰ τέκνα δεηθῆναί σου. ἢ σὲ ἐμβλέπειν εἰς χεῖρας υἱῶν σου. ἐν πᾶσι τοῖς ἔργοις σου, γίνου ὑπεράγων. μὴ δῷς μῶμον ἐν τῇ δόξῃ σου ἐν ἡμέρᾳ συντελείας ἡμερῶν ζωῆς σου, καὶ ἐν καιρῷ τελευτῆς σου διάδος κληρονομίαν. χορτάσματα καὶ ῥάβδος, καὶ φορτία ὄνῳ. ἄρτος καὶ παιδεία καὶ ἔργον οἰκέτῃ. ἔργασαι ἐν παιδί, καὶ εὑρήσεις ἀνάπαυσιν, ἄνες χεῖρας αὐτῷ καὶ ζητήσει ἐλευθερίαν. ζυγὸς καὶ ἱμὰς κάμψουσι τράχηλον, καὶ οἰκέτῃ κακούργῳ. στρέβλαι, καὶ βάσανοι. ἔμβαλε αὐτὸν εἰς ἐργασίαν. ἵνα μὴ ἀργῇ. πολλὴν γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία, εἰς ἔργα κατάστησον καθὼς πρέπει αὐτῷ. κἂν μὴ πειθαρχῇ, βάρυνον τὰς πέδας αὐτοῦ, καὶ μὴ περισσεύσῃς ἐν πάσῃ σαρκί. καὶ ἄνευ κρίσεως μὴ ποιήσῃς μηδέν. εἰ ἔστι σοι οἰκέτης ἔστω ὡς σύ. ὅτι ἐν αἵματι ἐκτήσω αὐτόν. εἰ ἔστι σοι οἰκέτης, ἄγε αὐτὸν, ὡς σεαυτόν. ὅτι ὡς ἡ ψυχή σου, ἐπιδεήσεις αὐτοῦ. ἐὰν κακώσῃς αὐτὸν καὶ ἀπάρας ἀποδράσῃ. ἐν ποίᾳ ὁδῷ ζητήσεις αὐτόν;

Κεφ. λδ. 34.

Εναὶ ἐλπίδες καὶ ψευδεῖς ἀσυνέτῳ ἀνδρί, καὶ
κ ἐνύπνια ἀναπτεροῦσιν ἄφρονας. ὡς δρασσόμενος σκιᾶς, καὶ διώκων ἄνεμον, οὕτως ὁ ἐπέχων ἐνυπνίοις. τοῦτο κατὰ τούτου ὅρασις ἐνυπνίων. κατέναντι προσώπου, ὁμοίωμα προσώπου. ἀπὸ ἀκαθάρτου

τῆς καθαρισθήσεται· καὶ ἀπὸ ψεύδους τί ἀληθεύσει· μαντεῖαι καὶ οἰωνισμοὶ, καὶ ἐνύπνια, μάταιά ἐστι, καὶ ὡς ὠδινούσης φαντάζεται καρδία. ἐὰν μὴ παρὰ ὑψίστου ἀποσταλῇ ἐν ἐπισκοπῇ μὴ δῷς εἰς αὐτὰ τὴν καρδίαν σου. πολλοὺς γὰρ ἐπλάνησε τὰ ἐνύπνια, καὶ ἐξέπεσον ἐλπίζοντες ἐπ' αὐτοῖς. ἄνευ ψεύδους συντελεσθήσεται νόμος· καὶ σοφία στόματι πιστῷ, τελείωσις. ἀνὴρ πεπαιδευμένος ἔγνω πολλά. καὶ ὁ πολύπειρος ἐκδιηγήσεται σύνεσιν. ὃς οὐκ ἐπειράθη, ὀλίγα οἶδεν. ὁ δὲ πεπλανημένος πληθυνεῖ πανουργίαν. πολλὰ ἑώρακα ἐν τῇ ἀποπλανήσει μου. καὶ πλείονα τῶν λόγων μου, σύνεσίς μου. πλεονάκις ἕως θανάτου ἐκινδύνευσα, καὶ διεσώθην τούτων χάριν. πνεῦμα φοβουμένων κύριον ζήσεται. ἡ γὰρ ἐλπὶς αὐτῶν ἐπὶ τὸν σώζοντα αὐτούς. ὁ φοβούμενος κύριον, οὐ μὴ εὐλαβηθήσεται· καὶ οὐ μὴ δειλιάσῃ· ὅτι αὐτὸς ἐλπὶς αὐτοῦ. φοβουμένου τὸν κύριον μακαρία ἡ ψυχή· τίνι ἐπέχει καὶ τίς ἀντιστήριγμα αὐτοῦ. οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ τοὺς ἀγαπῶντας αὐτόν. ὑπερασπισμὸς δυναστείας καὶ στήριγμα ἰσχύος· σκέπη ἀπὸ καύσωνος καὶ σκηνὴ ἀπὸ μεσημβρίας· φυλακὴ ἀπὸ προσκόμματος καὶ βοήθεια ἀπὸ πτώματος. ἀνυψῶν ψυχὴν, καὶ φωτίζων ὀφθαλμούς. ἴασιν διδοὺς ζωὴν καὶ εὐλογίαν θυσιάζων, ἐξ ἀδίκου προσφορὰ μεμωκημένη, καὶ οὐκ εἰς εὐδοκίαν μωμήματα ἀνόμων. οὐκ εὐδοκεῖ ὁ ὕψιστος ἐν προσφοραῖς ἀσεβῶν. οὐδὲ ἐν πλήθει θυσιῶν ἐξιλάσκεται ἁμαρτίας. θύων υἱὸν ἔναντι τοῦ πατρὸς αὐτοῦ. ὁ προσάγων θυσίαν ἐκ χρημάτων πενήτων. ἄρτος ἐπιδεομένων ζωὴ πτωχῶν. ὁ ἀποστερῶν αὐτὴν, ἄνθρωπος αἱμάτων. φονεύων τὸν πλησίον, ὁ ἀφαιρούμενος συμβίωσιν, καὶ ἐκχέων αἷμα ὁ ἀποστερῶν μισθὸν μισθίου. εἷς οἰκοδομῶν, καὶ εἷς καθαιρῶν. τί ὠφέλησαν πλεῖον ἢ κόπους. εἷς εὐχόμενος, καὶ εἷς καταρώμενος. τίνος φωνῆς ἠκούσεται ὁ δεσπότης. βαπτιζόμενος ἀπὸ νεκροῦ καὶ πάλιν ἁπτόμενος αὐτοῦ. τί ὠφέλησε τῷ λουτρῷ αὐτοῦ, οὕτως ἄνθρωπος νηστεύων ἐπὶ

τῶν ἁμαρτιῶν αὐτοῦ, καὶ πάλιν πορευόμενος καὶ τὰ αὐτὰ ποιῶν. τῆς προσευχῆς αὐτοῦ τίς εἰσακούσεται, καὶ τί ὠφέλησεν ἐν τῷ ταπεινωθῆναι αὐτόν;

Κεφάλαιον. λε. 35.

ὁ Σωτηρῶν νόμον πλεονάζει συμφορᾶς. θυσιάζων σωτηρίου ὁ προσέχων ἐντολαῖς. ἀνταποδιδοὺς χάριν προσφέρων σεμίδαλιν, καὶ ὁ ποιῶν ἐλεημοσύνην θυσιάζων αἰνέσεως. εὐδοκία κυρίου ἀποστῆναι ἀπὸ πονηρίας, καὶ ἐξιλασμὸς ἀποστῆναι ἀπὸ ἀδικίας. μὴ ὀφθῇς ἐν προσώπῳ κυρίου κενός. πάντα γὰρ ταῦτα χάριν ἐντολῆς. προσφορὰ δικαίου λιπαίνει θυσιαστήριον, καὶ ἡ εὐωδία αὐτῆς ἐνώπιον ὑψίστου. θυσία ἀνδρὸς δικαίου δεκτή, καὶ τὸ μνημόσυνον αὐτῆς οὐκ ἐπιλησθήσεται. ἐν ἀγαθῷ ὀφθαλμῷ δόξασον τὸν κύριον, καὶ μὴ μικρύνῃς ἀπαρχὴν χειρῶν σου. ἐν πάσῃ δόσει ἱλάρωσον τὸ πρόσωπόν σου, καὶ ἐν εὐφροσύνῃ ἁγίασον δεκάτην. δὸς ὑψίστῳ, κατὰ τὴν δόσιν αὐτοῦ καὶ ἐν ἀγαθῷ ὀφθαλμῷ καθ' εὕρεμα χειρός, ὅτι κύριος ἀνταποδιδούς ἐστι. καὶ ἑπταπλάσια ἀνταποδώσει σοι. μὴ δωροκόπει, οὐ γὰρ δέξεται. καὶ οὐ μὴ ἔπεχε θυσίᾳ ἀδίκῳ, ὅτι κύριος κριτής ἐστι. καὶ παρ' αὐτῷ δόξα προσώπου. οὐ λήψεται πρόσωπον ἐπὶ πτωχοῦ. καὶ δέησιν ἠδικημένου εἰσακούσεται. οὐ μὴ ὑπερίδῃ ἱκετείαν ὀρφανοῦ. καὶ χήραν ἐὰν ἐκχέῃ λαλιάν. οὐχὶ δάκρυα χήρας ἐπὶ σιαγόνα καταβαίνει. καὶ ἡ καταβόησις ἐπὶ καταγαγόντι αὐτά. θεραπεύων ἐν εὐδοκίᾳ δεχθήσεται. καὶ ἡ δέησις αὐτοῦ, ἕως νεφελῶν συνάψει. προσευχὴ ταπεινοῦ νεφέλας διῆλθεν, καὶ ἕως συνεγγίσῃ, οὐ μὴ παρακληθῇ. καὶ οὐ μὴ ἀποστῇ ἕως ἐπισκέψεται ὁ ὕψιστος. καὶ κρινεῖ δικαίως, καὶ ποιήσει κρίσιν. καὶ ὁ κύριος οὐ μὴ βραδύνῃ. οὐ δὲ μὴ μακροθυμήσει ἐπ' αὐτοῖς ἕως ἂν συντρίψῃ ὀσφὺν ἀνελεημόνων. καὶ τοῖς ἔθνεσιν ἀνταποδώσει ἐκδίκησιν, ἕως ἐξάρῃ πλῆθος ὑβριστῶν. καὶ σκῆπτρα ἀδίκων συντρίψει ἕως ἀνταποδῷ ἀν

θρώπῳ κατὰ τὰς πράξεις αὐτοῦ. καὶ τὰ ἔργα τῶν ἀνθρώπων
κατὰ τὰ ἐνθυμήματα αὐτῶν, ἕως κρινῇ τὴν κρίσιν τοῦ λαοῦ αὐ-
τοῦ καὶ εὐφρανεῖ αὐτοὺς ἐν τῷ ἐλέει αὐτοῦ. ὡραῖον ἔλεος ἐν και-
ρῷ θλίψεως αὐτοῦ. ὡς νεφέλαι ὑετοῦ ἐν καιρῷ ἀβροχίας.

Κεφάλαιον. λς. 36.

Ἐλέησον ἡμᾶς δέσποτα ὁ θεὸς πάντων, καὶ ἐπί-
ἐ βλεψον. καὶ ἐπίβαλε τὸν φόβον σου, ἐπὶ πάντα τὰ
ἔθνη. ἔπαρον τὴν χεῖρά σου, ἐπὶ ἔθνη ἀλλότρια. καὶ
ἰδέτωσαν τὴν δυναστείαν σου. ὥσπερ ἐνώπιον αὐτῶν ἡγιάσθης
ἐν ἡμῖν, οὕτως ἐνώπιον ἡμῶν μεγαλυνθείης ἐν αὐτοῖς. καὶ ἐπι-
γνώτωσάν σε καθάπερ, καὶ ἡμεῖς ἐπέγνωμεν. ὅτι οὐκ ἔστι θεὸς
πλὴν σου κύριε. ἐγκαίνισον σημεῖα. καὶ ἀλλοίωσον θαυμάσια,
δόξασον χεῖρα καὶ βραχίονα δεξιόν. ἔγειρον θυμὸν καὶ ἔκχεον
ὀργήν. ἔξαρον ἀντίδικον καὶ ἔκτριψον ἐχθρόν. σπεῦσον καιρὸν
καὶ μνήσθητι ὁρκισμοῦ. καὶ ἐκδιηγησάσθωσαν τὰ μεγαλεῖά σου.
ἐν ὀργῇ πυρὸς καταβρωθήτω ὁ σωζόμενος. καὶ οἱ ἀδικοῦντες
τὸν λαόν σου εὕροισαν ἀπώλειαν. σύντριψον κεφαλὰς ἀρχόντων
ἐχθρῶν λεγόντων οὐκ ἔστι πλὴν ἡμῶν. σύναγε πάσας φυλὰς Ἰα-
κώβ. λαμπρᾶς καρδίας καὶ ἀγαθῆς ἐπὶ ἐδέσμασιν τῶν βρωμά-
των αὐτῆς ἐπιμελήσεται.

Κεφάλαιον. λα. 31.

Γρυπνία πλούτου ἐκτήκει σάρκας. καὶ ἡ μέριμνα αὐ-
ἀ τοῦ ἀφιστᾷ ὕπνον. μέριμνα ἀγρυπνίας, ἀπαιτήσει νυ-
σταγμόν. καὶ ἀῤῥώστημα βαρὺ, ἐκνήψει ὕπνον. ἐκοπί-
ασεν πλούσιος ἐν συναγωγῇ χρημάτων, καὶ ἐν τῇ ἀναπαύσει
ἐμπίπλαται τῶν τρυφημάτων αὐτοῦ. ἐκοπίασεν πτωχὸς ἐν ἐλατ-
τώσει βίου καὶ ἐν τῇ ἀναπαύσει ἐπιδεὴς γίνεται. ὁ ἀγαπῶν χρυ-
σίον οὐ δικαιωθήσεται καὶ ὁ διώκων διαφθορὰν, αὐτὸς πλησθή-
σεται. πολλοὶ ἐδόθησαν εἰς πτῶμα, χάριν χρυσίου. καὶ ἐγενήθη
ἀπώλεια αὐτῶν. κατὰ πρόσωπον αὐτῶν. ξύλον προσκόμματός

ἐστὶ τοῖς ἐνθουσιάζουσιν αὐτῷ, καὶ πᾶς ἄφρων ἁλώσεται ἐν αὐτῷ. μακάριος πλούσιος ὃς εὑρέθη ἄμωμος, καὶ ὃς ὀπίσω χρυσίου, οὐκ ἐπορεύθη. τίς ἐστι καὶ μακαριοῦμεν αὐτόν. ἐποίησε γὰρ θαυμάσια ἐν λαῷ αὐτοῦ. τίς ἐδοκιμάσθη ἐν αὐτῷ καὶ ἐτελειώθη, καὶ ἔσται εἰς καύχησιν. τίς ἐδύνατο παραβῆναι, καὶ οὐ παρέβη καὶ ποιῆσαι κακὰ καὶ οὐκ ἐποίησεν. στερεωθήσεται τὰ ἀγαθὰ αὐτοῦ, καὶ τὰς ἐλεημοσύνας αὐτοῦ ἐκδιηγήσεται ἐκκλησία. ἐπὶ τραπέζης μεγάλης ἐκάθισας. μὴ ἀνοίξῃς ἐπ' αὐτῆς τὸν φάρυγγά σου, καὶ μὴ εἴπῃς πολλά γε τὰ ἐν αὐτῆς. μνήσθητι, ὅτι κακὸν ὀφθαλμὸς πονηρός. πονηρότερον ὀφθαλμοῦ τί ἔκτισται. διὰ τοῦτο ἀπὸ παντὸς προσώπου δακρύει, οὗ ἐὰν ἐπιβλέψῃ μὴ ἐκτείνῃς χεῖρα. καὶ μὴ συνθλίβου αὐτῷ ἐν τρυβλίῳ. νόει τὰ τοῦ πλησίου ἐκ σεαυτοῦ. καὶ ἐπὶ παντὶ πράγματι διανοοῦ. φάγε ὡς ἄνθρωπος τὰ παρακείμενά σου, καὶ μὴ διαμασῶ μὴ μισηθῇς. παῦσαι πρῶτος χάριν παιδείας. καὶ μὴ ἀπληστεύου, μήποτε προσκόψῃς. καὶ εἰ ἀνὰ μέσον πλειόνων ἐκάθισας. πρότερος αὐτῶν μὴ ἐκτείνῃς τὴν χεῖρά σου. ὡς ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ τὸ ὀλίγον. καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ, οὐκ ἀσθμαίνει. ὕπνος ὑγιείας ἐπὶ ἐντέρῳ μετρίῳ. ἀνέστη πρωΐ, καὶ ἡ ψυχὴ αὐτοῦ μετ' αὐτοῦ. πόνος ἀγρυπνίας, καὶ χολέρας καὶ στρόφος μετὰ ἀνδρὸς ἀπλήστου. καὶ εἰ ἐβιάσθης ἐν ἐδέσμασιν, ἀνάστα μεσοπορῶν καὶ ἀναπαύσῃ. ἄκουσόν μου τέκνον καὶ μὴ ἐξουδενώσῃς με. καὶ ἐπ' ἐσχάτῳ εὑρήσεις τοὺς λόγους μου, ἐν πᾶσι τοῖς ἔργοις σου γίνου ἐντρεχής, καὶ πᾶν ἀρρώστημα, οὐ μή σοι ἀπαντήσῃ λαμπρὸν ἐπ' ἄρτοις εὐλογήσει χείλη. καὶ μαρτυρία τῆς καλλονῆς αὐτοῦ πιστή. πονηρῷ ἐπ' ἄρτῳ διαγογγύσει πόλις. καὶ ἡ μαρτυρία τῆς πονηρίας αὐτοῦ ἀκριβής. ἐν οἴνῳ μὴ ἀνδρίζου, πολλοὺς γὰρ ἀπώλεσεν ὁ οἶνος, κάμινος δοκιμάζει στόμωμα ἐν βαφῇ. οὕτως οἶνος. καρδίας ἐν μάχῃ ὑπερηφάνων. ἐφισον ζωῆς οἶνος ἀνθρώπῳ. ἐὰν πίνῃς αὐτὸν μέτρῳ αὐτοῦ. τίς ζωὴ ἐλασσουμένῳ οἴνῳ, καὶ αὐτὸς ἔκτισται εἰς εὐφροσύνην ἀνθρώποις.

φ οἶνος πινόμενος ἐν καιρῷ αὐτάρκης. πικρία ψυχῆς οἶνος πινόμενος πολὺς. ἐν ἐρεθισμῷ καὶ ἀντιπτώματι πληθύνει μέθη θυμὸν ἄφρονος εἰς πρόσκομμα. ἐλαττῶν ἰσχὺν καὶ προσποιῶν τραύματα ἐν συμποσίῳ οἴνου. μὴ ἐλέγξῃς τὸν πλησίον. καὶ μὴ ἐξουθενήσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ. λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ. καὶ μὴ αὐτὸν θλίψῃς ἐν ἀπαιτήσει.

Κεφάλαιον. λβ. 32.

γ Ινου ἐν αὐτοῖς ὡς εἷς ἐξ αὐτῶν. φρόντισον αὐτῶν. καὶ οὕτω κάθισον καὶ πᾶσαν τὴν χρείαν σου, ποιήσας ἀνάπεσε, ἵνα εὐφρανθῇς δι' αὐτοὺς. καὶ εὐκοσμίας χάριν λάβῃς στέφανον. λάλησον πρεσβύτερε, πρέπει γάρ σοι ἐν ἀκριβεῖ ἐπιστήμῃ, καὶ μὴ ἐμποδίσῃς μουσικά, ὅπου ἀκρόαμα, μὴ ἐκχέῃς λαλιὰν, καὶ ἀκαίρως μὴ σοφίζου. σφραγὶς ἄνθρακος ἐπὶ κόσμῳ χρυσῷ. σύγκριμα μουσικῶν ἐν συμποσίῳ οἴνου. καὶ κατασκευάσματι χρυσῷ σφραγὶς σμαράγδου. μέλος μουσικῶν ἐφ' ἡδεῖ οἴνῳ. λάλησον νεανίσκε εἰ χρεία σου. μόλις δὶς ἐὰν ἐπερωτηθῇς. κεφαλαίωσον, λόγον ἐν ὀλίγοις πολλά. γίνου ὡς γινώσκων καὶ ἅμα, σιωπῶν. ἐν μέσῳ μεγιστάνων μὴ ἐξισάζου. καὶ ἑτέρου λέγοντος, μὴ πολλὰ ἀδολέσχει. πρὸ βροντῆς κατασπεύδει ἀστραπὴ, καὶ πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις. ἐν ὥρᾳ ἐξεγείρου καὶ μὴ οὐράγει. ἀπότρεχε εἰς οἶκον, καὶ μὴ ῥᾳθύμει. ἐκεῖ παῖζε καὶ ποίει τὰ ἐνθυμήματά σου. καὶ μὴ ἁμάρτῃς λόγῳ ὑπερηφάνῳ. καὶ ἐπὶ τούτοις. εὐλόγησον τὸν ποιήσαντά σε, καὶ μεθύσκοντά σε ἀπὸ τῶν ἀγαθῶν αὐτοῦ. ὁ φοβούμενος κύριον ἐκλέξεται παιδείαν, καὶ οἱ ὀρθρίζοντες εὑρήσουσιν εὐδοκίαν. ὁ ζητῶν νόμον ἐμπλησθήσεται αὐτοῦ, καὶ ὁ ὑποκρινόμενος σκανδαλισθήσεται ἐν αὐτῷ. οἱ φοβούμενοι κύριον εὑρήσουσιν κρίμα. καὶ δικαιώματα ὡς φῶς ἐξάψουσιν. ἄνθρωπος ἁμαρτωλὸς ἐκκλίνει ἐλεγμὸν καὶ κατὰ τὸ θέλημα αὐτοῦ εὑρήσει σύγκριμα. ἀνὴρ βουλῆς οὐ μὴ παρίδῃ διανόημα. καὶ

ἀλλότριος καὶ ὑπερήφανος οὐ καταπτήξει φόβον. καὶ μετὰ τὸ ποιῆσαι μετ' αὐτοῦ ἄνευ βουλῆς μηδὲν ποιήσῃς, καὶ ἐν τῷ ποιῆσαί σε μὴ μεταμελοῦ. ἐν ὁδῷ ἀντιπτώματος μὴ πορεύου, καὶ μὴ προσκόψῃς ἐν λιθώδεσιν. μὴ πιστεύσῃς ἐν ὁδῷ ἀπροσκόπτῳ καὶ ἀπὸ τῶν τέκνων σου φύλαξαι. ἐν παντὶ ἔργῳ πίστευε τῇ ψυχῇ σου, καὶ γὰρ τοῦτό ἐστι τήρησις ἐντολῶν. ὁ πιστεύων νόμῳ προσέχει ἐντολαῖς, καὶ ὁ πεποιθὼς κυρίῳ, οὐκ ἐλαττωθήσεται.

Κεφάλαιον. λγ. 33.

Ω φοβουμένῳ κύριον οὐκ ἀπαντήσει κακὸν, ἀλλ' ἐν
τ πειρασμῷ, καὶ πάλιν ἐξελεῖται. ἀνὴρ σοφὸς οὐ μισήσει νόμον. ὁ δὲ ὑποκρινόμενος ἐν αὐτῷ, ὡς ἐν καταιγίδι πλοῖον. ἄνθρωπος συνετὸς ἐμπιστεύσει νόμῳ. καὶ ὁ νόμος αὐτῷ πιστὸς, ὡς ἐρώτημα δικαίων. ἑτοίμασον λόγον, καὶ οὕτως ἀκουσθήσῃ. σύνδησον παιδείαν καὶ ἀποκρίθητι. τροχὸς ἁμάξης σπλάγχνα μωροῦ, καὶ ὡς ἄξων στρεφόμενος ὁ διαλογισμὸς αὐτοῦ. ἵππος εἰς ὀχείαν, ὡς φίλος μωκός. ὑπὸ κάτω παντὸς ἐπικαθημένου χρεμετίζει. διατί ἡμέρα ἡμέρας ὑπερέχει, καὶ πᾶν φῶς ἡμέρας ἐνιαυτοῦ ἀφ' ἡλίου. ἐν γνώσει κυρίου διεχωρίσθησαν. καὶ ἠλλοίωσαν καιροὺς καὶ ἑορτάς. ἀπ' αὐτῶν ἀνύψωσαν καὶ ἡγίασαν, καὶ ἐξ αὐτῶν ἔθηκαν εἰς ἀριθμὸν ἡμερῶν. καὶ ἄνθρωποι πάντες ἀπὸ ἐδάφους. καὶ ἐκ γῆς ἐκτίσθη Ἀδάμ. ἐν πλήθει ἐπιστήμης κύριος διεχώρισεν αὐτοὺς, καὶ ἠλλοίωσαν τὰς ὁδοὺς αὐτῶν. ἐξ αὐτῶν εὐλόγησαν καὶ ἀνύψωσαν. καὶ ἐξ αὐτῶν ἡγίασεν. καὶ πρὸς αὐτὸν ἤγγισαν. ἀπ' αὐτῶν κατηράσατο καὶ ἐταπείνωσαν. καὶ ἀνέστρεψαν αὐτοὺς ἀπὸ στάσεως αὐτῶν. ὡς πηλὸς κεραμέως ἐν χειρὶ αὐτοῦ. πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ. οὕτως ἄνθρωποι ἐν χειρὶ τοῦ ποιήσαντος αὐτοὺς ἀποδοῦναι αὐτοῖς κατὰ τὴν κρίσιν αὐτοῦ. ἀπέναντι τοῦ κακοῦ τὸ ἀγαθὸν, καὶ ἀπέναντι τοῦ θανάτου ἡ ζωή. οὕτως ἀπέναντι εὐσεβοῦς ἁμαρτωλός. καὶ οὕτως ἔμβλεψον εἰς πάντα τὰ ἔργα τοῦ ὑψί-

σου. δύο δύο ἓν κατέναντι τοῦ ἑνός. κἀγὼ ἔσχατος ἠγρύπνησα, καὶ κατεκληρονόμησα αὐτοὺς καθὼς ἀπ' ἀρχῆς.

Ἐκ τῆς λϛ. κεφαλῆς.

Λέησον λαὸν κύριε κεκλημένον ἐπ' ὀνόματί σου. καὶ
ξ ἰσραὴλ ὃν πρωτογόνῳ ὡμοίωσας. οἰκτείρησον πόλιν
ἁγιάσματός σου ἱερουσαλήμ. πόλις καταπαύματός σου, πλῆσον σιὼν ἆραι τὰ λόγιά σου, καὶ ἀπὸ τῆς δόξης σου τὸν λαόν σου. δὸς μαρτύριον τοῖς ἐν ἀρχῇ κτίσμασί σου. καὶ ἔγειρον προφητείας ἐπ' ὀνόματί σου. δὸς μισθὸν τοῖς ὑπομένουσίν σε. καὶ οἱ προφῆταί σου, ἐμπιστευθήτωσαν. εἰσάκουσον κύριε δεήσεως τῶν ἱκετῶν σου, κατὰ τὴν εὐλογίαν ἀαρὼν περὶ τοῦ λαοῦ σου, καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς. ὅτι κύριος εἶ ὁ θεὸς τῶν αἰώνων. πᾶν βρῶμα φάγεται κοιλία. ἔστι δὲ βρῶμα βρώματος, κάλλιον. φάρυγξ γεύεται βρώματα θήρας. οὕτως καρδία συνετὴ λόγους ψευδεῖς. καρδία στρεβλὴ, δώσει λύπην. καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ. πάντα ἄρρενα ἐπιδέξεται γυνή. ἔστι δὲ θυγάτηρ θυγατρὸς, κρείσσων. κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον, καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει. εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης, οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ' υἱοὺς ἀνθρώπων. ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως. βοηθὸν, κατ' αὐτὸν καὶ στῦλον ἀναπαύσεως. οὗ οὐκ ἔστι φραγμὸς διαρπαγήσεται κτῆμα, καὶ οὗ οὐκ ἔστι γυνὴ, στενάξει πλανώμενος, τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ, σφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν. οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιάν. καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.

Κεφ. λζ. 37.

Ας φίλος ἐρεῖ ἐφιλίασα αὐτῷ κἀγώ. ἀλλ' ἔστιν φίλος
π ὀνόματι μόνον φίλος. οὐχὶ λύπη μένει, ἕως θανάτου
ἑταῖρος, καὶ φίλος τρεπόμενος εἰς ἔχθραν, ὦ πονηρὸν ἐνθύμημα πόθεν ἐνεκυλίσθης, καλύψαι τὴν ξηρὰν ἐν δολιότητι. ἑται

ρος φίλου ἐν εὐφροσύναις ἥδεται. καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀ-
πέναντι. ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρός. ἔναντι πολέ-
μου λήψεται ἀσπίδα. μὴ ἐπιλάθῃ φίλου ἐν τῇ ψυχῇ σου. καὶ μὴ
ἀμνημονήσῃς αὐτοῦ. ἐν χρήμασί σου, πᾶς σύμβουλος ἐξαίρει βου-
λήν. ἀλλ' ἔστιν συμβουλεύων εἰς αὐτόν. ἀπὸ συμβουλῆς. φύλαξον
τὴν ψυχήν σου. καὶ γνῶθι πρότερον τίς αὐτοῦ χρεία. καὶ γὰρ αὐ-
τὸς ἑαυτῷ βουλεύσεται. μήποτε βάλῃ ἐπὶ σοὶ κλῆρον, καὶ εἴ-
πῃ σοι καλὴ ἡ ὁδός σου. καὶ στήσεται ἐξ ἐναντίας ἰδεῖν τὸ συμ-
βησόμενόν σοι. μὴ βουλεύου μετὰ τοῦ ὑποβλεπομένου σε. καὶ
ἀπὸ τῶν ζηλούντων σε κρύψον βουλήν, μετὰ γυναικὸς τῆς ἀντι-
ζήλου αὐτῆς. καὶ μετὰ δειλοῦ περὶ πολέμου. μετὰ ἐμπόρου περὶ
μεταβολίας καὶ μετὰ ἀγοράζοντος περὶ πράσεως. μετὰ βασκά-
νου περὶ εὐχαριστίας, καὶ μετὰ ἀνελεήμονος περὶ χρηστοηθείας.
μετὰ ὀκνηροῦ περὶ παντὸς ἔργου, καὶ μετὰ μισθίου ἀφεστίου, περὶ
συντελείας. οὐκ ἔστιν ἀργῷ περὶ πολλῆς ἐργασίας. μὴ ἔπεχε
ἐπὶ τούτοις περὶ πάσης συμβουλίας. ἀλλ' ἢ μετὰ ἀνδρὸς εὐ-
σεβοῦς ἐνδελέχιζε. ὃν ἂν ἐπιγνῷς συντηροῦντα ἐντολάς. ὃς
ἐν τῇ ψυχῇ αὐτοῦ κατὰ τὴν ψυχήν σου. καὶ ἐὰν πταίσῃς συν-
αλγήσει σοι, καὶ βουλὴν καρδίας στῆσον. οὐ γὰρ ἔστι σοι πιστότε-
ρος αὐτῆς. ψυχὴ γὰρ ἀνδρὸς ἀπαγγέλλειν ἐνίοτε εἴωθεν, ἢ ἑπτὰ
σκοποὶ ἐπὶ μετεώρου καθήμενοι ἐπισκοπῆς, καὶ ἐπὶ πᾶσι
τούτοις δεήθητι ὑψίστου, ἵνα εὐθύνῃ ἐν ἀληθείᾳ τὴν ὁδόν σου. ἀρ-
χὴ παντὸς ἔργου λόγος. καὶ πρὸ πάσης πράξεως βουλή. ἴχνος
ἀλλοιώσεως καρδίας τέσσαρα μέρη. ἀνατέλλει ἀγαθὸν καὶ
κακὸν ζωή, καὶ θάνατος. καὶ κυριεύουσα ἐνδελεχῶς, αὐτῶν γλῶσ-
σά ἐστι. ἔστιν ἀνὴρ πανοῦργος καὶ πολλῶν παιδευτής, καὶ τῇ ἰδίᾳ
ψυχῇ ἔστιν ἄχρηστος. ἔστι σοφιζόμενος ἐν λόγοις μισητός. οὗτος πά-
σης τροφῆς καθυστερήσει, οὐ γὰρ ἐδόθη αὐτῷ παρὰ κυρίου χά-
ρις, ὅτι πάσης σοφίας ἐστερήθη. ἔστι σοφὸς τῇ ἰδίᾳ ψυχῇ, καὶ οἱ
καρποὶ τῆς συνέσεως αὐτοῦ ἐπὶ στόματος, πιστοί. ἀνὴρ σοφὸς, τὸν

ἑαυτοῦ λαὸν παιδεύσει. καὶ οἱ καρποὶ τῆς συνέσεως αὐτοῦ πιστοί. ἀνὴρ σοφὸς πλησθήσεται εὐλογίας. καὶ μακαριοῦσιν αὐτὸν πάντες οἱ ὁρῶντες. ζωὴ ἀνδρὸς ἐν ἀριθμῷ ἡμερῶν. καὶ αἱ ἡμέραι τοῦ ἰσραὴλ ἀναρίθμητοι. ὁ σοφὸς ἐν τῷ λαῷ αὐτοῦ κληρονομήσει πίστιν καὶ τὸ ὄνομα αὐτοῦ ζήσεται εἰς τὸν αἰῶνα. Τέκνον ἐν τῇ ζωῇ σου πείρασον τὴν ψυχήν σου. καὶ ἴδε τί πονηρὸν αὐτῇ, καὶ μὴ δῷς αὐτῇ. οὐ γὰρ πάντα πᾶσιν συμφέρει, καὶ οὐ πᾶσα ψυχὴ ἐν παντὶ εὐδοκεῖ. μὴ ἀπληστεύου ἐν πάσῃ τρυφῇ. καὶ μὴ ἐκχυθῇς ἐπὶ ἐδεσμάτων. ἐν πολλοῖς γὰρ βρώμασιν, ἔσται πόνος. καὶ ἡ ἀπληστία ἐγγιεῖ ἕως χολέρας. διὰ ἀπληστίαν πολλοὶ ἐτελεύτησαν. ὁ δὲ προσέχων προσθήσει ζωήν.

Κεφάλ. λη. 38.

Ἰμα ἰατρὸν πρὸς τὰς χρείας τιμαῖς αὐτοῦ. καὶ γὰρ αὐτὸν
τ ἔκτισε κύριος. παρὰ γὰρ ὑψίστου ἐστὶν ἴασις, καὶ παρὰ βασιλέως λήψεται δόμα. ἐπιστήμη ἰατροῦ ἀνυψώσει κεφαλὴν αὐτοῦ, καὶ ἔναντι μεγιστάνων θαυμασθήσεται. κύριος ἔκτισεν ἐκ γῆς φάρμακα. καὶ ἀνὴρ φρόνιμος οὐ προσοχθιεῖ αὐτοῖς. οὐκ ἀπὸ ξύλου ἐγλυκάνθη ὕδωρ, εἰς τὸ γνωσθῆναι τὴν ἰσχὺν αὐτοῦ, καὶ αὐτὸς ἔδωκεν ἀνθρώποις ἐπιστήμην. ἐνδοξάζεσθαι ἐν τοῖς θαυμασίοις αὐτοῦ ἐν αὐτοῖς ἐθεράπευσε καὶ ἦρεν τὸν πόνον αὐτοῦ. μυρεψὸς ἐν τούτοις ποιήσει μίγμα καὶ οὐ μὴ συντελέσῃ ἔργα αὐτοῦ. καὶ εἰρήνη παρ' αὐτοῦ ἐστὶν ἐπὶ προσώπου τῆς γῆς. τέκνον ἐν ἀρρωστήματί σου. μὴ παράβλεπε. ἀλλ' εὖξαι κυρίῳ καὶ αὐτὸς ἰάσεταί σε. ἀπόστηθι πλημμελείας, καὶ εὔθυνον χεῖρας. καὶ ἀπὸ πάσης ἁμαρτίας καθάρισον καρδίαν. δὸς εὐωδίαν καὶ μνημόσυνον σεμιδάλεως καὶ λίπανον προσφοράν, ὡς μὴ ὑπάρχων καὶ ἰατρῷ δὸς τόπον. καὶ γὰρ αὐτὸν ἔκτισε κύριος καὶ μὴ ἀποστήτω σου, καὶ γὰρ αὐτοῦ χρεία. ἔστι καιρὸς ὅτε καὶ ἐν χερσὶν αὐτῶν εὐοδία, καὶ γὰρ αὐτοὶ κυρίου δεηθήσονται ἵνα εὐοδώσῃ αὐτοῖς ἀνάπαυσιν. καὶ ἴασιν χάριν

ἐμβιώσεως

ἐμβιώσεται, ὁ ἁμαρτάνων ἔναντι τοῦ ποιήσαντος αὐτὸν ἐμπέ-
σοι εἰς χεῖρας ἰατροῦ. τέκνον ἐπὶ νεκρῷ, κατάγαγε δάκρυα, καὶ ὡς
δεινὰ πάσχων ἔναρξαι θρήνου κατὰ δὲ τὴν κρίσιν αὐτοῦ περί-
στειλον τὸ σῶμα αὐτοῦ. καὶ μὴ ὑπερίδῃς τὴν ταφήν. πίκρανον
κλαυθμὸν καὶ θέρμανον κοπετὸν, καὶ ποίησον τὸ πένθος κατὰ
τὴν ἀξίαν αὐτῆς. ἡμέραν μίαν καὶ δύο χάριν διαβολῆς, καὶ
παρακλήθητι λύπης ἕνεκα. ἀπὸ λύπης γὰρ ἐκβαίνει θάνατος. καὶ
λύπη καρδίας κάμψει ἰσχὺν, ἐν ἀπαγωγῇ παραβαίνει καὶ λύπη
καὶ βίος πτωχοῦ κατὰ καρδίας. μὴ δώσῃς λύπῃ τὴν καρδί-
αν σου, ἀπόστησον αὐτὴν, μνησθεὶς τὰ ἔσχατα. μὴ ἐπιλάθῃ οὐ
γάρ ἐστιν ἐπάνοδος, καὶ τοῦτον οὐκ ὠφελήσεις καὶ σεαυτὸν κα-
κώσεις. μνήσθητι τὸ κρίμα αὐτοῦ. ὅτι οὕτω ὡς καὶ τὸ σόν. ἐμοὶ
χθὲς, καὶ σοὶ σήμερον. ἐν ἀναπαύσει νεκροῦ κατάπαυσον τὸ μνη-
μόσυνον αὐτοῦ. καὶ παρακλήθητι ἐν αὐτῷ ἐν ἐξόδῳ πνεύμα-
τος αὐτοῦ. σοφία γραμματέως ἐν εὐκαιρίᾳ σχολῆς. καὶ ὁ ἐλασ-
σούμενος πράξει αὐτοῦ σοφισθήσεται. τί σοφισθήσεται. ὁ κρα-
τῶν ἀρότρου. καὶ καυχώμενος ἐν δόρατι κέντρου. βόας ἐλαύ-
νων, καὶ ἀναστρεφόμενος ἐν ἔργοις αὐτῶν. καὶ ἡ διήγησις αὐτοῦ
ἐν υἱοῖς ταύρων. καρδίαν αὐτοῦ δώσει ἐκδοῦναι αὔλακας, καὶ
ἡ ἀγρυπνία αὐτοῦ. εἰς χορτάσματα δαμάλεων. οὕτως πᾶς τέ-
κτων καὶ ἀρχιτέκτων ὅστις νύκτωρ, ὡς ἡμέρα διάγει. οἱ γλύ-
φοντες γλύμματα σφραγίδων, καὶ ἡ ὑπομονὴ αὐτοῦ ἀλλοιῶ-
σαι ποικιλίαν. καρδίαν αὐτοῦ δώσει εἰς ὁμοιῶσαι ζωγραφίαν,
καὶ ἡ ἀγρυπνία αὐτοῦ τελέσαι ἔργον. οὕτως χαλκεὺς καθήμε-
νος ἐγγὺς ἄκμονος, καὶ καταμανθάνων ἀργῷ σιδήρῳ. ἀτμὶς
πυρὸς τήξει σάρκας αὐτοῦ, καὶ ἐν θέρμῃ καμίνου, διαμαχήσε-
ται. φωνὴ σφύρης καινιεῖ τὸ οὖς αὐτοῦ. καὶ κατέναντι ὁμοιώμα-
τος σκεύους οἱ ὀφθαλμοὶ αὐτοῦ. καρδίαν αὐτοῦ δώσει εἰς συν-
τέλειαν ἔργων, καὶ ἡ ἀγρυπνία αὐτοῦ κοσμῆσαι ἐπὶ συντελείας. οὕ-
τω κεραμεὺς καθήμενος ἐν ἔργῳ αὐτοῦ. καὶ συστρέφων ἐν πο-

τὸν αὐτοῦ τροχόν. ὃς ἐν μερίμνῃ κεῖται διαπαντὸς ἐπὶ τὸ ἔργον αὐτοῦ. καὶ ἐναρίθμιος πᾶσα ἡ ἐργασία αὐτοῦ. ἐν βραχίονι αὐτοῦ τυπώσει πηλὸν, καὶ πρὸ ποδῶν κάμψει ἰσχὺν αὐτοῦ. καρδίαν ἐπιδώσει συντελέσαι τὸ χρῖσμα. καὶ ἡ ἀγρυπνία αὐτοῦ καθαρίσαι κάμινον. πάντες οὗτοι εἰς χεῖρας αὐτῶν ἐνεπίστευσαν. καὶ ἕκαστος ἐν τῷ ἔργῳ αὐτοῦ σοφίζεται. ἄνευ αὐτῶν οὐκ οἰκισθήσεται πόλις. καὶ οὐ παροικήσουσιν, οὐ δὲ περιπατήσουσιν. καὶ ἐν ἐκκλησίᾳ οὐχ ὑπεραλοῦνται. καὶ διαθήκην κρίματος οὐ διανοηθήσονται. οὐ δὲ μὴ ἐκφάνωσιν δικαιοσύνην καὶ κρίμα καὶ ἐν παραβολαῖς οὐχ εὑρεθήσονται. ἀλλὰ κτίσμα αἰῶνος τηρήσουσιν καὶ ἡ δέησις αὐτῶν ἐν ἐργασίᾳ τέχνης. πλὴν τοῦ ἐπιδόντος τὴν ψυχὴν αὐτοῦ, καὶ διανοουμένου ἐν νόμῳ ὑψίστου.

## Κεφ. λθ. 39.

Οφίαν πάντων ἀρχαίων ἐκζητήσει. καὶ ἐν προφητείαις ἀσχοληθήσεται. διήγησιν ἀνδρῶν ὀνομαστῶν συντηρήσει. καὶ ἐν στροφαῖς παραβολῶν, συνεισελεύσεται. ἀπόκρυφα παροιμιῶν ἐκζητήσει. καὶ ἐν αἰνίγμασι παραβολῶν ἀναστραφήσεται. ἀνὰ μέσον μεγιστάνων ὑπηρετήσει. καὶ ἔναντι ἡγουμένου ὀφθήσεται. ἐν γῇ ἀλλοτρίων ἐθνῶν διελεύσεται. ἀγαθὰ γὰρ καὶ κακὰ ἐν ἀνθρώποις ἐπείρασεν, τὴν καρδίαν αὐτοῦ ἐπιδώσει ὀρθρίσαι. πρὸς κύριον τὸν ποιήσαντα αὐτόν. καὶ ἔναντι ὑψίστου δεηθήσεται. καὶ ἀνοίξεις τὸ στόμα αὐτοῦ ἐν προσευχῇ καὶ περὶ τῶν ἁμαρτιῶν αὐτῆς δεηθήσεται. ἐὰν κύριος ὁ μέγας θελήσῃ πνεύματι συνέσεως ἐμπλησθήσεται. αὐτὸς ἀνομβρήσει ῥήματα σοφίας. καὶ ἐν προσευχῇ ἐξομολογήσεται κυρίῳ. αὐτὸς κατευθύνει βουλὴν αὐτοῦ καὶ ἐπιστήμην. καὶ ἐν τοῖς ἀποκρύφοις αὐτοῦ διανοηθήσεται. αὐτὸς ἐκφαίνει παιδείαν διδασκαλίας αὐτοῦ, καὶ ἐν νόμῳ διαθήκης κυρίου καυχήσεται. αἰνέσουσιν τὴν σύνεσιν αὐτοῦ πολλοί. ἕως τοῦ αἰῶνος, οὐκ ἐξαλειφθήσεται. καὶ οὐκ ἀποστήσεται.

τὸ μνημόσυνον αὐτοῦ· καὶ ὄνομα αὐτοῦ ζήσεται εἰς γενεὰς γε-
νεῶν. τὴν σοφίαν αὐτοῦ, διηγήσονται. καὶ τὸν ἔπαινον αὐτοῦ ἐξ-
αγγελεῖ ἐκκλησία. ἐὰν ἐμμείνῃ ὄνομα καταλείψει, ἢ χίλιοι. καὶ
ἐὰν ἀναπαύσηται ἐμποιεῖ αὐτῷ. ἔτι διανοηθεὶς ἐκδιηγήσομαι.
καὶ ὡς διχομηνία ἐπληρώθην. εἰσακούσατέ μου, υἱοὶ ὅσιοι καὶ βλα-
στήσατε. ὡς ῥόδον φυόμενον ἐπὶ ῥεύματος ἀγροῦ. καὶ ὡς λίβανος
εὐωδιάσατε ὀσμήν. καὶ ἀνθήσατε ἄνθος ὡς κρίνον. διάδοτε ὀ-
σμὴν καὶ αἰνέσατε ᾆσμα. εὐλογήσατε κύριον ἐπὶ πᾶσι τοῖς ἔρ-
γοις. δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην, καὶ ἐξομολογήσα-
σθε, ἐν αἰνέσει αὐτοῦ, ἐν ᾠδαῖς χειλέων, καὶ ἐν κινύραις, καὶ οὕ-
τως ἐρεῖτε ἐν ἐξομολογήσει τὰ ἔργα κυρίου. πάντα ὅτι καλὰ
σφόδρα. καὶ πᾶν πρόσταγμα, ἐν καιρῷ αὐτοῦ ἔσται, καὶ οὐκ ἔστιν
εἰπεῖν, τί τοῦτο εἰς τί τοῦτο. πάντα γὰρ ἐν καιρῷ αὐτοῦ ζητηθήσεται.
ἐν λόγῳ αὐτοῦ ἔσται, ὡς θιμωνία ὕδωρ, καὶ ἐν ῥήματι στόματος
αὐτοῦ ἀποδοχεῖα ὑδάτων. ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδο-
κία, καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ. ἔργα πάσης
σαρκὸς ἐνώπιον αὐτοῦ. καὶ οὐκ ἔστι κρυβῆναι ἀπὸ τῶν ὀφθαλμῶν
αὐτοῦ. ἀπὸ τοῦ αἰῶνος εἰς τὸν αἰῶνα ἐπέβλεψεν. καὶ οὐθὲν ἔστι θαυ-
μάσιον ἐναντίον αὐτοῦ. οὐκ ἔστιν εἰπεῖν τί τοῦτο εἰς τί τοῦτο, πάντα
γὰρ εἰς χρείας αὐτῶν ἔκτισται, ἡ εὐλογία αὐτοῦ, ὡς ποταμὸς ἐ-
πεκάλυψεν. καὶ ὡς κατακλυσμὸς ξηρὰν ἐμέθυσεν. οὕτως ὀργὴν
αὐτοῦ ἔθνη κληρονομήσει. ὡς μετέστρεψεν ὕδατα εἰς ἅλμην. αἱ
ὁδοὶ αὐτοῦ τοῖς ὁσίοις εὐθεῖαι. οὕτως τοῖς ἀνόμοις προσκόμμα-
τα. ἀγαθὰ τοῖς ἀγαθοῖς ἔκτισται ἀπ' ἀρχῆς. οὕτως τοῖς ἁμαρτω-
λοῖς κακά. ἀρχὴ πάσης χρείας εἰς ζωὴν ἀνθρώπου. ὕδωρ πῦρ
καὶ σίδηρος καὶ ἅλα καὶ σεμίδαλις. πυρὸς καὶ μέλι καὶ γάλα-
αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον. ταῦτα πάντα τοῖς εὐσε-
βέσιν εἰς ἀγαθά. οὕτως τοῖς ἁμαρτωλοῖς τραπήσεται εἰς κακά.
ἔστι πνεύματα ἃ εἰς ἐκδίκησιν ἔκτισται. καὶ ἐν θυμῷ αὐτῶν ἐστε-
ρέωσαν μάστιγας αὐτῶν. καὶ ἐν καιρῷ συντελείας ἰσχὺν ἐκχέου-

σιν. καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐτοὺς κοπάσουσιν. πῦρ καὶ χά-
λαζα, καὶ λιμὸς καὶ θάνατος πάντα ταῦτα εἰς ἐκδίκησιν ἔκτι-
σται. καὶ ἐν θυμῷ αὐτῶν ἐστερέωσαν μάστιγας αὐτῶν, καὶ ἐν καιρῷ
συντελείας ἰσχὺν ἐκχέουσιν, καὶ τὸν θυμὸν τοῦ ποιήσαντος αὐ-
τοὺς κοπάσουσιν, πῦρ καὶ χάλαζα καὶ λιμὸς καὶ θάνατος πάν-
τα ταῦτα εἰς ἐκδίκησιν ἔκτισται. θηρίων ὀδόντες καὶ σκορπίοι
καὶ ὄφεις καὶ ῥομφαία ἐκδικοῦσα εἰς ὄλεθρον ἀσεβεῖς. ἐν τῇ ἐν-
τολῇ αὐτοῦ εὐφρανθήσονται. καὶ ἐπὶ τῆς γῆς εἰς χρείας ἑτοιμασθή-
σονται. καὶ ἐν τοῖς καιροῖς αὐτῶν, οὐ παραβήσονται λόγον. διὰ τοῦ-
το ἐξ ἀρχῆς ἐστηρίχθην. καὶ διενοήθην. καὶ ἐν γραφῇ ἀφῆκα. τὰ
ἔργα κυρίου πάντα ἀγαθά. καὶ πᾶσαν χρείαν ἐν ὥρᾳ αὐτῆς
χορηγήσει. καὶ οὐκ ἔστιν εἰπεῖν τοῦτο τούτου πονηρότερον. πάντα
γὰρ ἐν καιρῷ εὐδοκιμηθήσεται. καὶ νῦν ἐν πάσῃ καρδίᾳ καὶ
στόματι ὑμνήσατε, καὶ εὐλογήσατε τὸ ὄνομα κυρίου.

Κεφ. μ. 40.

Σχολία μεγάλη ἔκτισται παντὶ ἀνθρώπῳ. καὶ ζυγὸς
ἀ βαρὺς ἐπὶ υἱοὺς Ἀδὰμ ἀφ᾽ ἡμέρας ἐξόδου ἐκ γαστρὸς
μητρὸς αὐτῶν ἕως ἡμέρας ἐπὶ ταφῇ εἰς μητέρα πάν-
των. τοὺς διαλογισμοὺς αὐτῶν, καὶ φόβον καρδίας ἐπίνοια προσ-
δοκίας, ἡμέρα τελευτῆς. ἀπὸ καθημένου ἐπὶ θρόνου ἐν δόξῃ. καὶ
ἕως τεταπεινωμένου ἐν γῇ, καὶ σποδῷ. ἀπὸ φοροῦντος ὑάκιν-
θον, καὶ στέφανον. καὶ ἕως περιβαλλομένου ἐν μόλινον. θυμὸς
καὶ ζῆλος καὶ ταραχή, καὶ σάλος καὶ φόβος θανάτου, καὶ μη-
νίαμα καὶ ἔρις. καὶ ἐν καιρῷ ἀναπαύσεως ἐπὶ κοίτης. ὕπνος νυ-
κτὸς ἀλλοιοῖ γνῶσιν αὐτοῦ. ὀλίγον ὡς οὐδὲν ἐν ἀναπαύσει, καὶ ἀ-
π᾽ ἐκείνου ἐν ὕπνοις. ὡς ἐν ἡμέραις κοπιᾶς. τεθορυβημένος ἐν ὁρά-
σει καρδίας αὐτοῦ. ὡς ἐκπεφευγὼς ἀπὸ προσώπου πολέμου
ἐν καιρῷ σωτηρίας αὐτοῦ ἐξηγέρθη καὶ ἀποθαυμάζων εἰς οὐδέ-
να φόβον, μετὰ πάσης ἀπὸ ἀνθρώπου ἕως κτήνους. καὶ ἐπὶ ἁμαρ-
τωλῶν ἑπταπλασία. πρὸς ταῦτα, θάνατος καὶ αἷμα καὶ ἔρις καὶ

ῥομφαία, ἐπαγωγαὶ λιμὸς καὶ σύντριμμα, καὶ μάστιξ. ἐπὶ τοὺς ἀνόμους ἐκτίσθη ταῦτα πάντα. καὶ δι᾽ αὐτοὺς ἐγένετο ὁ κατακλυσμός. πάντα ὅσα ἀπὸ γῆς εἰς γῆν ἀναστρέφει. καὶ ἀπὸ ὑδάτων εἰς θάλασσαν ἀνακάμπτει. πᾶν δῶρον καὶ ἀδικία ἐξαλειφθήσεται. καὶ πίστις εἰς τὸν αἰῶνα στήσεται. χρήματα ἀδίκων ὡς ποταμὸς ξηρανθήσεται, καὶ ὡς βροντὴ μεγάλη ἐν ὑετῷ ἐξηχήσει. ἐν τῷ ἀνοῖξαι αὐτὸν χεῖρας εὐφρανθήσεται. οὕτως οἱ παραβαίνοντες εἰς συντέλειαν ἐκλείψουσιν. ἔκγονα ἀσεβῶν, οὐ πληθυνεῖ κλάδους. καὶ ῥίζαι ἀκάθαρτοι, ἐπ᾽ ἀκροτόμου πέτρας. ἄχει ἐπὶ παντὸς ὕδατος, καὶ χείλους ποταμοῦ. πρὸ παντὸς χόρτου ἐκτιλήσεται. χάρις, ὡς παράδεισος ἐν εὐλογίαις, καὶ ἐλεημοσύνη εἰς τὸν αἰῶνα διαμενεῖ. ζωὴ αὐτάρκους ἐργάτου γλυκανθήσεται. καὶ ὑπὲρ ἀμφότερα ὁ εὑρίσκων θησαυρόν. τέκνα καὶ οἰκοδομὴ πόλεως, στηρίζουσιν ὄνομα. καὶ ὑπὲρ ἀμφότερα γυνὴ ἄμωμος λογίζεται. οἶνος καὶ μουσικὰ εὐφραίνουσι καρδίαν. καὶ ὑπὲρ ἀμφότερα ἀγάπησις σοφίας. αὐλὸς καὶ ψαλτήριον, ἡδύνουσιν μέλη. καὶ ὑπὲρ ἀμφότερα γλῶσσα ἡδεῖα. χάριν καὶ κάλλος ἐπιθυμήσει ὁ ὀφθαλμός σου. καὶ ὑπὲρ ἀμφότερα χλόην σπόρου. φίλος καὶ ἑταῖρος εἰς καιρὸν ἀπαντῶντες. καὶ ὑπὲρ ἀμφότερα γυνὴ μετὰ ἀνδρός. ἀδελφοὶ καὶ βοήθεια εἰς καιρὸν θλίψεως. καὶ ὑπὲρ ἀμφότερα, ἐλεημοσύνη ῥύσεται, χρυσίον καὶ ἀργύριον ἐπιστήσουσιν πόδα, καὶ ὑπὲρ ἀμφότερα βουλὴ εὐδοκιμεῖται. χρήματα καὶ ἰσχύς, ἀνυψώσουσιν καρδίαν. καὶ ὑπὲρ ἀμφότερα φόβος κυρίου. οὐκ ἔστι φόβῳ κυρίῳ ἐλάττωσις. καὶ οὐκ ἔστιν ἐπιζητῆσαι ἐν αὐτῷ βοήθεια, φόβος κυρίου ὡς παράδεισος εὐλογίας. καὶ ὑπὲρ πᾶσαν δόξαν, ἐκάλυψαν αὐτόν. τέκνον ζωὴν ἐπαιτήσεως μὴ βιώσῃς. κρεῖσσον ἀποθανεῖν, ἢ ἐπαιτεῖν. ἀνὴρ βλέπων εἰς τράπεζαν ἀλλοτρίαν, οὐκ ἔστιν αὐτοῦ ὁ βίος ἐν λογισμῷ ζωῆς, ἀλισγήσει τὴν ψυχὴν αὐτοῦ ἐν ἐδέσμασιν ἀλλοτρίοις. ἀνὴρ

δὲ ἐπιστήμων. καὶ πεπαιδευμένος φυλάξεται. ἐν στόματι ἀναιδοῦς, γλυκανθήσεται ἐπαίτησις. καὶ ἐν κοιλίᾳ αὐτοῦ, πῦρ καήσεται.

Κεφ. μα. 14.

Ὦ Θάνατε ὡς πικρόν σου τὸ μνημόσυνόν ἐστι. ἀνθρώπῳ εἰρηνεύοντι ἐν τοῖς ὑπάρχουσιν αὐτοῦ. ἀνδρὶ ἀπερισπάστῳ καὶ εὐοδουμένῳ ἐν πᾶσιν, καὶ ἔτι ἰσχύοντι ἐπιδέξασθαι τροφήν. ὦ θάνατε καλόν σου τὸ κρίμα ἐστί, ἀνθρώπῳ ἐπιδεομένῳ καὶ ἐλαττουμένῳ ἰσχύϊ, ἐσχάτῳ γήρᾳ, καὶ περισπωμένῳ περὶ πάντων καὶ ἀπειθοῦντι καὶ ἀπολωλεκότι ὑπομονήν. μὴ εὐλαβοῦ κρίμα θανάτου. μνήσθητι προτέρων σου. καὶ ἐσχάτων τοῦτο τὸ κρίμα παρὰ κυρίου. πάσῃ σαρκί. καί τί ἀπαναίνῃ ἐν εὐδοκίᾳ ὑψίστου. εἴτε δέκα εἴτε ἑκατὸν, εἴτε χίλια ἔτη. οὐκ ἔστιν ἐν ᾅδου ἐλεγμὸς ζωῆς. τέκνα βδελυκτὰ γίνεται τέκνα ἁμαρτωλῶν. καὶ συναναστρεφόμενα παροικίαις ἀσεβῶν. τέκνων ἁμαρτωλῶν ἀπολεῖται κληρονομία. καὶ μετὰ τοῦ σπέρματος αὐτῶν, ἐνδελεχιεῖ ὄνειδος. πατρὶ ἀσεβεῖ μέμψεται τέκνα. ὅτι δι' αὐτὸν ὀνειδισθήσονται. οὐαὶ ὑμῖν ἄνδρες ἀσεβεῖς. οἵτινες ἐγκατελίπετε νόμον θεοῦ ὑψίστου, καὶ ἐὰν γεννηθῆτε εἰς κατάραν γεννηθήσεσθε. καὶ ἐὰν ἀποθάνητε, εἰς κατάραν μερισθήσεσθε. πάντα ὅσα ἐκ γῆς, εἰς γῆν ἀπελεύσεται, οὕτως ἀσεβεῖς ἀπὸ κατάρας εἰς ἀπώλειαν. πένθος ἀνθρώπων ἐν σώμασιν αὐτῶν, ὄνομα δὲ ἁμαρτωλῶν οὐκ ἀγαθὸν ἐξαλειφθήσεται, φρόντισον περὶ ὀνόματος. αὐτὸ γάρ σοι διαμενεῖ, ἢ χίλιοι μεγάλοι θησαυροὶ χρυσίου. ἀγαθῆς ζωῆς ἀριθμὸς ἡμερῶν. καὶ ἀγαθὸν ὄνομα εἰς αἰῶνα διαμενεῖ. παιδείαν ἐν εἰρήνῃ συντηρήσατε τέκνα. σοφία δὲ κεκρυμμένη, καὶ θησαυρὸς ἀφανής, τίς ὠφέλεια ἐν ἀμφοτέροις. κρείσσων ἄνθρωπος ἀποκρύπτων τὴν μωρίαν αὐτοῦ, ἢ ἄνθρωπος ἀποκρύπτων τὴν σοφίαν αὐτοῦ. τοιγαροῦν ἐντράπητε ἐπὶ τῷ ῥήματί μου. οὐ γάρ ἐστι πᾶσαν αἰσχύνην διαφυλάξαι καλόν, καὶ

ὑ παντάπασιν, ἐν πίστει εὐδοκιμῆτε. αἰσχύνεσθε ἀπὸ πατρὸς καὶ μητρὸς περὶ πορνείας. καὶ ἀπὸ ἡγουμένου, καὶ δυνάστου περὶ ψεύδους. ἀπὸ κριτοῦ καὶ ἄρχοντος περὶ πλημμελείας. ἀπὸ συναγωγῆς καὶ λαοῦ περὶ ἀνομίας. ἀπὸ κοινωνοῦ καὶ φίλου περὶ ἀδικίας, καὶ ἀπὸ τόπου οὗ παροικεῖς περὶ κλοπῆς. καὶ ἀπὸ ἀληθείας θεοῦ καὶ διαθήκης. καὶ ἀπὸ πήξεως ἀγκῶνος ἐπ' ἄρτοις. ἀπὸ σκορακισμοῦ λήψεως. καὶ δόσεως. καὶ ἀπὸ ἀσπαζομένων περὶ σιωπῆς. ἀπὸ ὁράσεως γυναικὸς ἑταίρας. καὶ ἀπὸ ἀποστροφῆς προσώπου συγγενοῦς. ἀπὸ ἀφαιρέσεως μερίδος καὶ δόσεως, καὶ ἀπὸ κατανοήσεως γυναικὸς ὑπάνδρου. ἀπὸ περιεργίας παιδίσκης αὐτοῦ, καὶ μὴ ἐπιστῇς, ἐπὶ τὴν κοίτην αὐτῆς. ἀπὸ φίλων περὶ λόγων ὀνειδισμοῦ. καὶ μετὰ τὸ δοῦναι μὴ ὀνείδιζε.

Κεφ. μβ. 42.

Πὸ δευτερώσεως καὶ λόγου ἀκοῆς. καὶ ἀπὸ ἀπο-
α καλύψεως λόγων κρυφίων. καὶ αἰσχυντηρὸς ἀληθι-
νῶς. καὶ εὑρίσκων χάριν ἔναντι παντὸς ἀνθρώπου.
μὴ περὶ τούτων αἰσχυνθῇς, καὶ μὴ λάβῃς πρόσωπον τοῦ ἁμαρτάνειν. περὶ νόμου ὑψίστου, καὶ διαθήκης, καὶ περὶ κρίματος δικαιῶσαι τὸν ἀσεβῆ. περὶ λόγου κοινωνοῦ καὶ ὁδοιπόρων, καὶ περὶ δόσεως κληρονομίας ἑταίρων. περὶ ἀκριβείας ζυγοῦ καὶ σταθμιῶν. περὶ κτήσεως πολλῶν καὶ ὀλίγων περὶ ἀδιαφόρου πράσεως, καὶ ἐμπόρων. καὶ περὶ παιδείας τέκνων πολλῆς, καὶ οἰκέτῃ πονηρῷ πλευρὰν αἱμάξαι. ἐπὶ γυναικὶ πονηρᾷ, καλὸν σφραγίς. καὶ ὅπου χεῖρες πολλαὶ κλεῖσον. ὃ ἐὰν παραδιδῷς ἐν ἀριθμῷ, καὶ σταθμῷ καὶ δόσις, καὶ λῆψις παντὶ ἐν γραφῇ. περὶ παιδείας ἀνοήτου, καὶ μωροῦ. καὶ ἐσχατογήρως κρινομένου πρὸς νέους, καὶ ἔσῃ πεπαιδευμένος ἀληθινῶς. καὶ δεδοκιμασμένος ἔναντι παντὸς ζῶντος. θυγάτηρ πατρὶ ἀπόκρυφος ἀγρυπνία. καὶ ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον. ἐν νεότητι αὐτῆς μήποτε παρακμάσῃ. καὶ συνῳκηκυῖα μήποτε μισηθῇ. ἐν παρ-

θενίᾳ· μήποτε βεβηλωθῇ· καὶ ἐν τοῖς πατρικοῖς αὐτῆς ἔγγυος
γένηται. μετὰ ἀνδρὸς οὖσα μήποτε παραβῇ· καὶ συνῳκηκυῖα
μήποτε τηρώς· ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ στερέωσον φυλακήν,
μήποτε ποιήσῃς ἐπίχαρμα ἐχθροῖς. λαλιὰν ἐν πόλει, καὶ
ἔκκλητον λαοῦ, καὶ καταισχύνῃ σε ἐν πλήθει πολλῶν. παντὶ ἀν-
θρώπῳ μὴ ἔμβλεπε ἐν κάλλει. καὶ ἐν μέσῳ γυναικῶν, μὴ συνέ-
δρευε. ἀπὸ γὰρ ἱματίων, ἐκπορεύεται σής. καὶ ἀπὸ γυναικὸς
πονηρία. κρείσσων πονηρία ἀνδρός, ἢ ἀγαθοποιὸς γυνή. καὶ
γυνὴ καταισχύνουσα εἰς ὀνειδισμόν. μνησθήσομαι δὲ τὰ ἔργα κυ-
ρίου, καὶ ἃ ἑώρακα ἐκδιηγήσομαι. ἐν λόγοις κυρίου τὰ ἔργα αὐ-
τοῦ. ἥλιος φωτίζων κατὰ πᾶν ἐπέβλεψε. καὶ τῆς δόξης αὐτοῦ
πλήρης τὸ ἔργον αὐτοῦ. οὐκ ἐνεποίησε τοῖς ἁγίοις κύριος ἐκδι-
ηγήσασθαι πάντα τὰ θαυμάσια αὐτοῦ, ἃ ἐστερέωσε κύριος ὁ
παντοκράτωρ. στηριχθῆναι ἐν δόξῃ αὐτοῦ τὸ πᾶν. ἄβυσσον, καὶ
καρδίαν ἐξίχνευσε. καὶ ἐν πανουργεύμασιν αὐτῶν διενοήθη.
ἔγνω γὰρ ὁ κύριος πᾶσαν εἴδησιν, καὶ ἐνέβλεψεν εἰς σημεῖον αἰ-
ῶνος. ἀπαγγέλλων τὰ παρεληλυθότα καὶ ἐπεσόμενα, καὶ ἀπο-
καλύπτων ἴχνη ἀποκρύφων. οὐ παρῆλθεν αὐτὸν πᾶν διανόημα
οὐκ ἐκρύβη ἀπ᾽ αὐτοῦ, οὐδὲ εἷς λόγος. τὰ μεγαλεῖα τῆς σοφίας
αὐτοῦ ἐκόσμησε. καὶ ἕως ἐστὶ πρὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα.
οὔτε προσετέθη, οὔτε ἠλαττώθη. καὶ οὐ προσεδεήθη οὐδενὸς
συμβούλου. ὡς πάντα τὰ ἔργα αὐτοῦ ἐπιθυμητά, καὶ ὡς σπιν-
θῆρός ἐστι θεωρῆσαι. πάντα ταῦτα ζῇ, καὶ μένει εἰς τὸν αἰῶνα
ἐν πάσαις χρείαις καὶ πάντα ὑπακούει. πάντα δισσὰ ἓν κα-
τέναντι τοῦ ἑνός, καὶ οὐκ ἐποίησεν οὐδὲν ἐλλεῖπον. ἓν τοῦ ἑνός,
ἐστερέωσε τὰ ἀγαθά. καὶ τίς πλησθήσεται ὁρῶν δόξαν αὐτοῦ;

Κεφάλαιον. μγ. 43.

Αυρίαμα ὕψους στερέωμα καθαριότητος. εἶδος οὐρα-
γ νοῦ ἐν ὁράματι δόξης. ἥλιος ἐν ὀπτασίᾳ διαγγέλλων
ἐν ἐξόδῳ. σκεῦος θαυμαστὸν ἔργον ὑψίστου. ἐν με-

ημβρίᾳ αὐτοῦ ἀναξηραίνει χώραν. καὶ ἐναντίον καύματος αὐτοῦ τίς ὑποστήσεται κάμινον φυλάσσων ἐν ἔργοις καύματος τριπλασίως ἥλιος ἐκκαίων ὄρη. ἀτμίδας πυρώδεις ἐμφυσῶν. καὶ ἐκλάμπων ἀκτῖνας ἀμαυροῖ ὀφθαλμούς. μέγας κύριος ὁ ποιήσας αὐτόν. καὶ ἐν λόγοις αὐτοῦ κατέσπευσεν πορείαν, καὶ ἡ σελήνη ἐν πᾶσιν εἰς καιρὸν αὐτῆς. ἀνάδειξιν χρόνου, καὶ σημεῖον αἰῶνος. ἀπὸ σελήνης σημεῖον ἑορτῆς. φωστὴρ μειούμενος ἐπὶ συντελείας. μὴν κατὰ τὸ ὄνομα αὐτῆς ἐστιν. αὐξανομένη θαυμαστὸς ἐν ἀλλοιώσει. σκεῦος παραβολῶν ἐν ὕψει. ἐν στερεώματι οὐρανοῦ ἐκλάμπων. κάλλος οὐρανοῦ δόξα ἄστρων. κόσμος φωτίζων, ἐν ὑψίστοις κύριος. ἐν λόγοις ἁγίοις στήσονται κατὰ κρίμα. καὶ οὐ μὴ ἐκλυθῶσιν ἐν φυλακαῖς αὐτῶν. ἴδε τόξον καὶ εὐλόγησον τὸν ποιήσαντα αὐτό. σφόδρα ὡραῖον ἐν τῷ αὐγάσματι αὐτοῦ. ἐγύρωσεν οὐρανὸν ἐγκυκλώσει δόξης. χεῖρες ὑψίστου ἐτάνυσαν αὐτό. προστάγματι αὐτοῦ κατέσπευσεν χιόνα. καὶ ταχύνει ἀστραπὰς κρίματος αὐτοῦ. διὰ τοῦτο ἠνεῴχθησαν θησαυροί. καὶ ἐξέπτησαν νεφέλαι ὡς πετεινά. ἐν μεγαλείῳ αὐτοῦ ἴσχυσεν νεφέλας καὶ διεθρύβησαν λίθοι χαλάζης. καὶ ἐν ὀπτασίαις αὐτοῦ σαλευθήσεται ὄρη. ἐν θελήματι πνεύσεται νότος. φωνὴ βροντῆς αὐτοῦ ὠνείδισεν ὀργήν. καὶ καταιγὶς βορέου καὶ συστροφὴ πνεύματος ὡς πετεινὰ καθιπτάμενα πάσσει χιόνα. καὶ ὡς ἀκρὶς καταλύουσα ἡ κατάβασις αὐτῆς. κάλλος λευκότητος αὐτῆς ἐκθαυμάσει ὀφθαλμός. καὶ ἐπὶ τοῦ ὑετοῦ αὐτῆς, ἐκστήσεται καρδία. καὶ πάχνην ὡς ἅλα ἐπὶ γῆς χέει. καὶ παγεῖσα γίνεται σκολόπων ἄκρα. ψυχρὸς ἄνεμος βορέης πνεύσει, καὶ παγήσεται κρύσταλλος ἀφ' ὕδατος. ἐπὶ πᾶσαν συναγωγὴν ὕδατος καταλύσει. καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ. καταφάγεται ὄρη, καὶ ἔρημον ἐκκαύσει. καὶ ἀποσβέσει χλόην, ὡς πῦρ. ἴασις πάντων κατασπουδὴν ὁμίχλη. δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει. λογισμῷ αὐτοῦ, ἐκόπασεν ἄβυσσον. καὶ ἐφύτευ-

σεν αὐτὴν Ἰησοῦς. οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται τὸν
κίνδυνον αὐτῆς· καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν· καὶ ἐκεῖ
τὰ παράδοξα καὶ θαυμάσια ἔργα· ποικιλία παντὸς ζώου κτί-
σις κητῶν· δι᾽ αὐτῶν εὐωδία τέλος αὐτοῦ. καὶ ἐν λόγῳ αὐτοῦ
σύγκειται πάντα· πολλὰ ἐροῦμεν, καὶ οὐ μὴ ἀφικώμεθα· καὶ συν-
τέλεια λόγων τὸ πᾶν ἐστιν αὐτός. δοξάζοντες ποῦ ἰσχύσομεν·
αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ. φοβερὸς κύ-
ριος, καὶ σφόδρα μέγας καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ. δοξά-
ζοντες κύριον ὑψώσατε· καθ᾽ ὅσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ
ἔτι. καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύϊ. μὴ κοπιᾶτε, οὐ γὰρ
μὴ ἀφίκεσθε. τίς ἑώρακεν αὐτὸν καὶ ἐκδιηγήσεται· καὶ τίς μεγα-
λυνεῖ αὐτὸν καθώς ἐστι; πολλὰ ἀπόκρυφά ἐστι μείζονα τούτων·
ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ. πάντα γὰρ ἐποίησεν
ὁ κύριος· καὶ τοῖς εὐσεβέσιν ἔδωκε σοφίαν. πατέρων ὕμνος.

## Κεφάλαιον. μδ. 44.

Ινέσωμεν δὴ ἄνδρας ἐνδόξους· καὶ τοὺς πατέρας ἡ-
α μῶν τῇ γενέσει. πολλὴν δόξαν ἔκτισεν ὁ κύριος
τὴν μεγαλωσύνην αὐτοῦ, ἐπ᾽ αἰῶνος. κυριεύοντες
ἐν ταῖς βασιλείαις αὐτῶν καὶ ἄνδρες ὀνομαστοὶ ἐν δυνάμει, βου-
λεύσονται ἐν συνέσει αὐτῶν· ἀπηγγελκότες ἐν προφητείαις,
ἡγούμενοι λαοῦ ἐν διαβουλίοις, καὶ συνέσει γραμματείας λαοῦ·
σοφοὶ λόγοι ἐν παιδείᾳ αὐτῶν ἐκζητοῦντες μέλη μουσικῶν· δι-
ηγούμενοι ἔπη ἐν γραφῇ· ἄνδρες πλούσιοι κεχορηγημένοι ἰσχύϊ
εἰρηνεύοντες ἐν παροικίαις αὐτῶν. πάντες οὗτοι ἐν γενεαῖς,
ἐδοξάσθησαν· καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καύχημα. εἰσὶν αὐτῶν
οἳ κατέλιπον ὄνομα τοῦ ἐκδιηγήσασθαι ἐπαίνους, καὶ εἰσὶν ὧν
οὐκ ἔστιν μνημόσυνον· καὶ ἀπώλοντο, ὡς οὐχ ὑπάρξαντες, καὶ
ἐγένοντο ὡς οὐ γεγονότες· καὶ τὰ τέκνα αὐτῶν μετ᾽ αὐτούς. ἀλλ᾽
οὗτοι ἄνδρες ἐλέη, ὧν αἱ δικαιοσύναι οὐκ ἐπελήσθησαν μετὰ
τοῦ σπέρματος αὐτῶν διαμενεῖ· ἀγαθὴ κληρονομία, ἔκγονα αὐ-

τῶν. ἐν ταῖς διαθήκαις ἔστη σπέρμα αὐτῶν, καὶ τέκνα αὐτῶν δι' αὐτούς. ἕως αἰῶνος μενεῖ σπέρμα αὐτῶν. καὶ ἡ δόξα αὐτῶν οὐκ ἐξαλειφθήσεται. τὸ σῶμα αὐτῶν ἐν εἰρήνῃ ἐτάφη. καὶ τὸ ὄνομα αὐτῶν ζῇ, εἰς γενεάς. σοφίαν αὐτῶν διηγήσονται λαοί. καὶ τὸν ἔπαινον ἐξαγγελεῖ ἐκκλησία. ἐνὼχ εὐηρέστησεν κυρίῳ. καὶ μετετέθη ὑπόδειγμα μετανοίας, ταῖς γενεαῖς. νῶε εὑρέθη τέλειος δίκαιος. ἐν καιρῷ ὀργῆς ἐγένετο ἀντάλλαγμα. διὰ τοῦτον ἐγενήθη κατάλειμμα τῇ γῇ. διὰ τοῦτο ἐγένετο κατακλυσμός. διαθῆκαι αἰῶνος ἐτέθησαν πρὸς αὐτόν, ἵνα μὴ ἐξαλειφθῇ κατακλυσμῷ πᾶσα σάρξ. ἀβραὰμ μέγας πατὴρ πλήθους ἐθνῶν, καὶ οὐχ εὑρέθη ὅμοιος ἐν τῇ δόξῃ. ὡς συνετήρησεν νόμον ὑψίστου. καὶ ἐγένετο ἐν διαθήκῃ μετ' αὐτοῦ, καὶ ἐν σαρκὶ αὐτοῦ ἔστησε διαθήκην. καὶ ἐν πειρασμῷ εὑρέθη πιστός, διὰ τοῦτο ἐν ὅρκῳ ἔστησεν αὐτῷ ἐνευλογηθῆναι ἔθνη, ἐν τῷ σπέρματι αὐτοῦ. πληθῦναι αὐτόν, ὡς χοῦν τῆς γῆς. καὶ ὡς ἄστρα ἀνυψῶσαι τὸ σπέρμα αὐτοῦ. καὶ κατακληρονομῆσαι αὐτοὺς ἀπὸ θαλάσσης, ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως ἄκρου γῆς. καὶ ἐν τῷ ἰσαάκ. ἔστησεν οὕτως. δι' ἀβραὰμ τὸν πατέρα αὐτοῦ, εὐλογίαν πάντων ἀνθρώπων. καὶ διαθήκην. καὶ κατέπαυσεν ἐπὶ κεφαλὴν ἰακώβ. ἐπέγνω αὐτὸν ἐν εὐλογίαις αὐτοῦ. καὶ ἔδωκεν αὐτῷ ἐν κληρονομίᾳ, καὶ διέστειλεν μερίδας αὐτοῦ. ἐν φυλαῖς ἐμέρισεν δεκαδύο.

Κεφάλαιον. με. 45.

κ Αἱ ἐξήγαγεν ἐξ αὐτοῦ ἄνδρα ἐλέους εὑρίσκοντα χάριν ἐν ὀφθαλμοῖς πάσης σαρκός. ἠγαπημένον ὑπὸ θεοῦ καὶ ἀνθρώπων. μωϋσῆν, οὗ τὸ μνημόσυνον ἐν εὐλογίαις ὡμοίωσεν αὐτὸν δόξῃ ἁγίων. καὶ ἐμεγάλυνεν αὐτὸν ἐν φόβοις ἐχθρῶν. ἐν λόγοις αὐτοῦ σημεῖα κατέπαυσεν. ἐδόξασεν αὐτὸν κατὰ πρόσωπον βασιλέων. ἐνετείλατο αὐτῷ πρὸς λαὸν αὐτοῦ καὶ ἔδειξεν αὐτῷ τῆς δόξης αὐτοῦ. ἐν πίστει καὶ πραΰτητι αὐτοῦ ἡγίασεν. ἐξελέξατο αὐτὸν ἐκ πάσης σαρκός, ἠκούτισεν αὐτὸν τῆς φωνῆς αὐτοῦ. καὶ εἰσήγαγεν αὐτὸν

εἰς τὸν γνόφον. καὶ ἔδωκεν αὐτῷ κατὰ πρόσωπον ἐντολὰς, νό-
μον ζωῆς ἐπιστήμης διδάξαι τὸν ἰακὼβ διαθήκην. καὶ κρίματα
αὐτοῦ τὸν ἰσραήλ. ἀαρὼν ὕψωσεν ἅγιον ὅμοιον αὐτῷ. ἀδελφὸν
αὐτοῦ ἐκ φυλῆς λευὶ, ἔστησεν αὐτὸν διαθήκην αἰῶνος. καὶ ἔδω-
κεν αὐτῷ ἱερατείαν λαοῦ. ἐμακάρισεν αὐτὸν ἐν εὐκοσμίᾳ καὶ
περιέζωσεν αὐτὸν στολὴν δόξης. ἐνέδυσεν αὐτὸν συντέλειαν καυ-
χήματος. καὶ ἐστερέωσεν αὐτὸν σκεύεσιν ἰσχύος. περισκελῆ
καὶ ποδήρη, καὶ ἐπωμίδα. καὶ ἐκύκλωσεν αὐτὸν ῥοΐσκοις χρυ-
σοῖς κώδωσιν πλείστοις κυκλόθεν ἠχῆσαι φωνὴν ἐν βήμασιν
αὐτοῦ. ἀκουστὸν ποιῆσαι ἦχον ἐν κυρίῳ εἰς μνημόσυνον υἱοῖς λα-
οῦ αὐτοῦ. στολῇ ἁγίᾳ χρυσῷ καὶ ὑακίνθῳ καὶ πορφύρᾳ ἔργον ποι-
κιλτοῦ λογίῳ κρίσεως δήλοις ἀληθείας. κεκλωσμένῃ ἔργῳ τεχ-
νίτου. λίθοις πολυτελέσιν γλύμματος σφραγῖδος, ἐν δέσει
χρυσίου ἔργον λιθουργοῦ, εἰς μνημόσυνον ἐν γραφῇ κεκολαμμέ-
νῃ. κατ' ἀριθμὸν φυλῶν ἰσραήλ. στέφανον χρυσοῦν ἐπάνω κιδά-
ρεως. ἐκτύπωμα σφραγῖδος ἁγιάσματος. καύχημα τιμῆς ἔρ-
γον ἰσχύος ἐπιθυμήματα ὀφθαλμῶν κοσμούμενα. ὡραῖα πρὸ
αὐτοῦ ἐγένοντο τοιαῦτα, ἕως αἰῶνος, οὐκ ἐνεδύσατο ἀλλογενής,
πλὴν τῶν υἱῶν αὐτοῦ μόνον, καὶ τὰ ἔκγονα αὐτοῦ διαπαντός.
θυσίαι αὐτοῦ ὁλοκαρπωθήσονται. καθημέραν ἐνδελεχῶς δίς.
ἐπλήρωσεν μωϋσῆς. τὰς χεῖρας καὶ ἔχρισεν αὐτὸν ἐν ἐλαίῳ
ἁγίῳ. ἐγενήθη αὐτῷ εἰς διαθήκην αἰώνιον, καὶ ἐν τῷ σπέρ-
ματι αὐτοῦ ἐν ἡμέραις οὐρανοῦ λειτουργεῖν αὐτῷ ἅμα, καὶ ἱερα-
τεύειν καὶ εὐλογεῖν τὸν λαὸν αὐτοῦ ἐν τῷ ὀνόματι. ἐξελέξατο αὐ-
τὸν ἀπὸ παντὸς ζῶντος. προσαγαγεῖν κάρπωσιν κυρίῳ. θυμί-
αμα, καὶ εὐωδίαν εἰς μνημόσυνον. ἐξιλάσκεσθαι περὶ τοῦ λαοῦ
σου. ἔδωκεν αὐτὸν ἐντολαῖς αὐτοῦ ἐξουσίαν ἐν διαθήκαις κριμά-
των διδάξαι τὸν ἰακὼβ τὰ μαρτύρια. καὶ ἐν νόμῳ αὐτοῦ φωτί-
σαι ἰσραήλ. ἐπισυνέστησαν αὐτῷ ἀλλότριοι, καὶ ἐζήλωσαν αὐ-
τὸν ἐν τῇ ἐρήμῳ, ἄνδρες οἱ περὶ δαθὰν, καὶ ἀβειρὼν, καὶ ἡ

συναγωγὴ κορὲ ἐν θυμῷ καὶ ὀργῇ. εἶδε κύριος καὶ οὐκ εὐδό
κησεν. καὶ συνετελέσθησαν ἐν θυμῷ ὀργῆς. ἐποίησεν αὐτοῖς τέ
ρατα καταναλῶσαι ἐν πυρὶ φλογὸς αὐτοῦ. καὶ προσέθηκεν ἀα
ρὼν δόξαν. καὶ ἔδωκεν αὐτῷ κληρονομίαν, ἀπαρχὰς πρωτο
γεννημάτων ἐμέρισεν αὐτοῖς. ἄρτον πρώτοις ἡτοίμασεν πλησμο
νὴν, καὶ γὰρ θυσίας κυρίου φάγονται. ἃς ἔδωκεν αὐτῷ τε, καὶ
τῷ σπέρματι αὐτοῦ. πλὴν ἐν γῇ λαοῦ κληρονομήσει. καὶ μερὶς
οὐκ ἔστιν αὐτῷ ἐν λαῷ. αὐτὸς γὰρ μερίς σου κληρονομία καὶ φι
νεὲς υἱὸς ἐλεάζαρ τρίτος εἰς δόξαν, ἐν τῷ ζηλῶσαι αὐτὸν ἐν φόβῳ
κυρίου. καὶ στῆσαι αὐτὸν ἐν τροπῇ λαοῦ ἐν ἀγαθότητι προθυμίας ψυ
χῆς αὐτοῦ. καὶ ἐξιλάσατο περὶ τοῦ ἰσραήλ. διὰ τοῦτο ἐστάθη αὐτῷ
διαθήκη εἰρήνης. προστάτην ἁγίων, καὶ λαῷ αὐτοῦ. ἵνα αὐτῷ καὶ
τῷ σπέρματι αὐτοῦ, ἱερωσύνης μεγαλεῖον εἰς τοὺς αἰῶνας. καὶ δι
αθήκην τοῦ δαβὶδ υἱῷ ἐκ φυλῆς ἰούδα, κληρονομία βασιλέως
υἱοῦ ἐξ υἱοῦ μόνου. κληρονομία ἀαρὼν καὶ τῷ σπέρματι αὐτοῦ.
δώη ἡμῖν σοφίαν ἐν καρδίᾳ ἡμῶν, κρίνειν τὸν λαὸν αὐτοῦ ἐν δι
καιοσύνῃ. ἵνα μὴ ἀφανισθῇ τὰ ἀγαθὰ αὐτῶν. καὶ τὴν δόξαν
αὐτῶν. εἰς γενεὰς αὐτῶν. Κεφ. μϛ. 46.

Ραταιὸς ἐν πολέμοις ἰησοῦς ναυῆ, καὶ διάδοχος ἐν
κ μωϋσῇ προφητείαις. ὃς ἐγένετο κατὰ τὸ ὄνομα αὐτοῦ
μέγας ἐπὶ σωτηρίᾳ ἐκλεκτῶν αὐτοῦ. ἐκδικῆσαι ἐπε
γειρομένους ἐχθροὺς ὅπως κληρονομήσῃ τὸν ἰσραήλ. ὡς ἐδοξά
σθη ἐν τῷ ἐπᾶραι χεῖρας αὐτοῦ. καὶ τῷ ἐκκλῖναι ῥομφαίαν ἐπὶ
πόλεις. τίς πρότερον αὐτοῦ οὕτως ἔστη; τοὺς γὰρ πολεμίους κύρι
ος αὐτὸς ἐπήγαγεν. οὐχὶ ἐν χειρὶ αὐτοῦ ἀνεπόδισεν ὁ ἥλιος.
καὶ μία ἡμέρα ἐγενήθη πρὸς δύο. ἐπεκαλέσατο τὸν ὕψιστον δυνά
στην, ἐν τῷ θλίψαι αὐτὸν ἐχθροὺς κυκλόθεν. καὶ ἐπήκουσεν αὐ
τὸν μέγας κύριος ἐν λίθοις χαλάζης δυνάμεως κραταιᾶς κα
τέρραξεν ἐπ᾽ ἔθνος πόλεμον καὶ ἐν καταβάσει ἀπώλεσεν ἀν
θεστηκότας. ἵνα γνῶσιν ἔθνη πανοπλίαν αὐτῶν. ὅτι ἐναντίον κυ

ρίου πόλεμος αὐτοῦ· καὶ γὰρ ἐπηκολούθησεν ὀπίσω δυνάστου·
καὶ ἐν ἡμέραις μωϋσέως ἐποίησεν ἔλεος αὐτὸς καὶ χαλὲβ υἱὸς
ἰεφοννῆ. ἀντιστῆναι ἔναντι ἐχθροῦ. κωλῦσαι λαὸν ἀπὸ ἁμαρτίας
καὶ κοπάσαι γογγυσμὸν πονηρίας. καὶ αὐτοὶ δύο ὄντες διε-
σώθησαν ἀπὸ. χ´, χιλιάδων πεζῶν. εἰσαγαγεῖν αὐτοὺς εἰς κλη-
ρονομίαν. εἰς γῆν ῥέουσαν, γάλα καὶ μέλι. καὶ ἔδωκεν ὁ κύριος
τῷ χαλὲβ ἰσχύν. καὶ ἕως γήρους διέμεινεν αὐτῷ ἐπιβῆναι αὐ-
τὸν ἐπὶ ὕψος τῆς γῆς. καὶ τὸ σπέρμα αὐτοῦ κατέσχεν κληρονο-
μίαν. ὅπως ἴδωσιν πάντες οἱ υἱοὶ ἰσραήλ. ὅτι καλὸν τὸ πορεύ-
εσθαι ὀπίσω κυρίου. καὶ οἱ κριταὶ ἑκάστῳ τῷ αὐτοῦ ὀνόματι. ὅ-
σων οὐκ ἐξεπόρνευσεν ἡ καρδία. καὶ ὅσοι οὐκ ἀπεστράφησαν ἀπὸ
κυρίου, εἴη τὸ μνημόσυνον αὐτῶν ἐν εὐλογίαις. τὰ ὀστᾶ αὐτῶν ἀνα-
θάλλοι ἐκ τοῦ τόπου αὐτῶν. καὶ τὸ ὄνομα αὐτῶν ἀντικαταλλασ-
σόμενον. ἐφ᾽ υἱοῖς δεδοξασμένων αὐτῶν. ἠγαπημένος, ὑπὸ κυ-
ρίου αὐτοῦ. προφήτης κυρίου κατέστησεν βασιλείαν. καὶ ἔχρισεν
ἄρχοντας ἐπὶ τὸν λαὸν αὐτοῦ. ἐν νόμῳ κυρίου ἔκρινεν συναγωγήν
καὶ ἐπεσκέψατο κύριος τὸν ἰακώβ, ἐν πίστει αὐτοῦ. ἠκριβάσθη προ-
φήτης. καὶ ἐγνώσθη ἐν πίστει αὐτοῦ πιστὸς ὁράσεως. καὶ ἐπεκα-
λέσατο τὸν κύριον δυνάστην. ἐν τῷ θλῖψαι ἐχθροὺς αὐτοῦ κυ-
κλόθεν. ἐν προσφορᾷ ἀρνὸς γαλαθηνοῦ. καὶ ἐβρόντησεν ἀπ᾽ οὐ-
ρανοῦ κύριος. καὶ ἐν ἤχῳ μεγάλῳ, ἀκουστὴν ἐποίησεν τὴν φω-
νὴν αὐτοῦ. καὶ ἐξέτριψεν ἡγουμένους τυρίων καὶ πάντας ἄρχον-
τας φυλιστιείμ. καὶ πρὸ καιροῦ κοιμήσεως αἰῶνος. ἐπεμαρτύ-
ρατο ἔναντι κυρίου, καὶ χριστοῦ. χρήματα καὶ ἕως ὑποδημάτων
ἀπὸ πάσης σαρκὸς, οὐκ εἴληφεν. καὶ οὐκ ἐνεκάλεσεν αὐτῷ ἄν-
θρωπος καὶ μετὰ τὸ ὑπνῶσαι αὐτὸν προεφήτευσεν. καὶ ὑπέδει-
ξεν βασιλεῖ τὴν τελευτὴν αὐτοῦ, καὶ ἀνύψωσεν ἐκ γῆς τὴν
φωνὴν αὐτοῦ ἐν προφητείᾳ ἐξαλεῖψαι ἀνομίαν λαοῦ.

Κεφάλαιον. μζ. 47.

Αἱ μετὰ τοῦτον ἀνέστη νάθαν προφητεύειν ἐν ἡμέραις
κ δαβίδ. ὥσπερ στέαρ ἀφωρισμένον ἀπὸ σωτηρίου, οὕτως δαβὶδ ἀπὸ τῶν υἱῶν ἰσραήλ. ἐν λέουσιν ἔπαιξεν, ὡς ἐν ἐρίφοις. καὶ ἐν ἄρκοις, ὡς ἐν ἄρνεσι προβάτων. ἐν νεότητι αὐτοῦ. οὐχὶ ἀπέκτεινεν γίγαντα. καὶ ἐξῆρεν ὀνειδισμὸν ἐκ λαοῦ ἐν τῷ ἐπᾶραι χεῖρα ἐν λίθῳ σφενδόνης. καὶ καταβαλεῖν γαυρίαμα τοῦ γολιάθ. ἐπεκαλέσατο γὰρ κύριον τὸν ὕψιστον καὶ ἔδωκεν. ἐν τῇ δεξιᾷ αὐτοῦ κράτος ἐξᾶραι ἄνθρωπον δυνατὸν, ἐν πολέμῳ. ἀνυψῶσαι κέρας λαοῦ αὐτοῦ. οὕτως ἐν μυριάσιν ἐδόξασεν αὐτόν. καὶ ᾔνεσεν αὐτὸν ἐν εὐλογίαις κυρίου. ἐν τῷ φέρεσθαι αὐτῷ διάδημα δόξης. ἐξέτριψεν γὰρ ἐχθροὺς κυκλόθεν. καὶ ἐξουδένωσεν φυλιστιεὶμ τοὺς ὑπεναντίους. ἕως σήμερον, συνέτριψεν αὐτῶν κέρας. ἐν παντὶ ἔργῳ αὐτοῦ ἔδωκεν ἐξομολόγησιν ἁγίῳ ὑψίστῳ ῥήματι δόξης ἐν πάσῃ καρδίᾳ αὐτοῦ ὕμνησεν καὶ ἠγάπησεν τὸν ποιήσαντα αὐτόν. καὶ ἔστησεν ψαλτῳδοὺς κατέναντι τοῦ θυσιαστηρίου. καὶ ἐξ ἤχου αὐτῶν γλυκαίνειν μέλη. ἔδωκεν ἐν ἑορταῖς, εὐπρέπειαν, καὶ ἐκόσμησεν καιροὺς μέχρι συντελείας, ἐν τῷ αἰνεῖν αὐτοὺς τὸ ὄνομα αὐτοῦ. καὶ ἀπὸ πρωῒ ἠχεῖν τὸ ἁγίασμα. κύριος ἀφεῖλεν τὰς ἁμαρτίας αὐτοῦ καὶ ἀνύψωσεν εἰς αἰῶνα τὸ κέρας αὐτοῦ καὶ ἔδωκεν αὐτῷ διαθήκην βασιλέων. καὶ θρόνον δόξης ἐν τῷ ἰσραήλ. μετὰ τοῦτο ἀνέστη υἱὸς ἐπιστήμων. καὶ δι᾽ αὐτὸν κατέλυσεν ἐν πλατυσμῷ. σαλομὼν ἐβασίλευσεν ἐν ἡμέραις εἰρήνης. ᾧ ὁ θεὸς κατέπαυσεν κυκλόθεν. ἵνα στήσῃ οἶκον ἐπ᾽ ὀνόματι αὐτοῦ, καὶ ἑτοιμάσῃ ἁγίασμα εἰς τὸν αἰῶνα. ὡς ἐσοφίσθης ἐν νεότητί σου, καὶ ἐνεπλήσθης ὡς ποταμὸς συνέσεως. γῆν ἐπεκάλυψεν ἡ ψυχή σου. καὶ ἐνέπλησας ἐν παραβολαῖς αἰνιγμάτων. εἰς νήσους πόρρω ἀφίκετο τὸ ὄνομά σου. καὶ ἠγαπήθης ἐν τῇ εἰρήνῃ σου. ἐν ᾠδαῖς καὶ παροιμίαις καὶ παραβολαῖς. καὶ ἐν ἑρμηνείᾳ ἀπεθαύμασάν σε χῶραι. ἐν ὀνόματι κυρίου τοῦ θεοῦ τοῦ ἐπικεκλημένου θεοῦ ἰηλ. συνήγαγες ὡς κασίτερον τὸ

χρυσίον καὶ ὡς μόλιβδον ἐπλήθυνας ἀργύριον· παρανέκλινας τὰς λαγόνας σου γυναιξίν· καὶ ἐνεξουσιάσθης ἐν τῷ σώματί σου· ἔδωκας μῶμον ἐν τῇ δόξῃ σου, καὶ ἐβεβήλωσας τὸ σπέρμα σου ἀπαγαγεῖν ὀργὴν ἐπὶ τὰ τέκνα σου· καὶ κατενύγην ἐπὶ τῇ ἀφροσύνῃ σου γενέσθαι δίχα τυραννίδα· καὶ ἐξ ἐφραὶμ ἄρξαι βασιλείαν ἀπειθῆ· ὁ δὲ κύριος, οὐ μὴ καταλίπῃ τὸ ἔλεος αὐτοῦ καὶ οὐ μὴ διαφθαρῇ ἀπὸ τῶν ἔργων αὐτοῦ οὐδὲ μὴ ἐξαλείψῃ ἐκ τῶν αὐτοῦ ἔκγονα· καὶ σπέρμα τοῦ ἀγαπήσαντος αὐτὸν οὐ μὴ ἐξάρῃ· καὶ τῷ ἰακὼβ ἔδωκεν κατάλειμμα· καὶ τῷ δαβὶδ ἐξ αὐτοῦ ῥίζαν· καὶ ἀνεπαύσατο σαλομὼν μετὰ τῶν πατέρων· καὶ κατέλιπεν μετ᾽ αὐτὸν ἐκ τοῦ σπέρματος αὐτοῦ λαοῦ ἀφροσύνην· καὶ ἐλασσούμενον συνέσει· ῥοβοάμ, ὃς ἀπέστησεν λαὸν ἐκ βουλῆς αὐτοῦ· καὶ ἱεροβοὰμ υἱὸν ναβὰτ ὃς ἐξήμαρτεν τὸν ἰσραήλ· καὶ ἔδωκεν τῷ ἐφραὶμ ὁδὸν ἁμαρτίας· καὶ ἐπληθύνθησαν αἱ ἁμαρτίαι αὐτῶν σφόδρα ἀποστῆσαι αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν· καὶ πᾶσαν πονηρίαν ἐξεζήτησαν ἕως ἐκδίκησις ἔλθῃ ἐπ᾽ αὐτούς.

Κεφάλαιον. μη. 48.

κ αὶ ἀνέστη ἠλίας προφήτης ὡς πῦρ· καὶ ὁ λόγος αὐτοῦ ὡς λαμπὰς ἐκαίετο· ὃς ἐπήγαγεν ἐπ᾽ αὐτοὺς λιμόν· καὶ τῷ ζήλῳ αὐτοῦ ὠλιγοποίησεν αὐτούς· ἐν λόγῳ κυρίου ἀνέσχεν οὐρανὸν καὶ κατήγαγεν οὕτως τρὶς πῦρ· ὡς ἐδοξάσθης ἠλία, ἐν τοῖς θαυμασίοις σου· καὶ τίς ὅμοιός σου καυχᾶσθαι· ὁ ἐγείρας νεκρὸν ἐκ θανάτου· καὶ ἐξ ᾅδου ἐν λόγῳ ὑψίστου· ὁ καταγαγὼν βασιλεῖς εἰς ἀπώλειαν· καὶ δεδοξασμένους ἀπὸ κλίνης αὐτῶν· ἀκούων ἐν σινᾶ ἐλεγμόν· καὶ ἐν χωρὴβ κρίματα ἐκδικήσεως· ὁ χρίων βασιλεῖς εἰς ἀνταπόδομα· καὶ προφήτας διαδόχους μετ᾽ αὐτόν· ὁ ἀναληφθεὶς ἐν λαίλαπι πυρὸς ἐν ἅρματι ἵππων πυρίνων, ὁ καταγραφεὶς ἐν ἐλεγμοῖς εἰς καιρούς, κοπάσαι ὀργὴν πρὸ θυμοῦ· καὶ ἐπιστρέψαι καρδίαν πατρὸς πρὸς υἱόν· καὶ καταστῆσαι φυλὰς ἰακώβ· μακάριοι οἱ

ἰδόντες

ἰδόντες σε. καὶ οἱ ἐν ἀγαπήσει κεκοσμημένοι, καὶ γὰρ ἡμεῖς ζωῇ ζησόμεθα. ἠλίας. ὃς ἐν λαίλαπι ἐσκεπάσθη. καὶ ἐλισαιὲ ἐνεπλήθη στόματος αὐτοῦ. καὶ ἐν ἡμέραις αὐτοῦ, οὐκ ἐσαλεύθη ὑπὸ ἄρχοντος. καὶ οὐ κατεδυνάστευσεν αὐτὸν οὐδείς. πᾶς λόγος οὐχ ὑπῆρεν αὐτόν, καὶ ἐν κοιμήσει ἐπροφήτευσε τὸ σῶμα αὐτοῦ. καὶ ἐν ζωῇ αὐτοῦ ἐποίησε τέρατα, καὶ ἐν τελευτῇ θαυμάσια τὰ ἔργα αὐτοῦ. ἐν πᾶσι τούτοις οὐ μετενόησεν ὁ λαός. καὶ οὐκ ἀπέστησαν ἀπὸ τῶν ἁμαρτιῶν ἕως ἐπρονομεύθησαν ἀπὸ τῆς γῆς αὐτῶν. καὶ ἐσκορπίσθησαν ἐν πάσῃ τῇ γῇ, καὶ κατελείφθη ὁ λαὸς ὀλιγοστός. καὶ ἄρχων τῷ οἴκῳ δαβίδ. τινὲς μὲν αὐτῶν ἐποίησαν τὸ ἀρεστον. τινὲς ἐπλήθυναν ἁμαρτίας. ἐζεκίας ὠχύρωσε τὴν πόλιν αὐτοῦ. καὶ εἰσήγαγεν ἐν μέσῳ αὐτῶν τὸν γώγ. ὤρυξε σιδήρῳ ἀκρότομον καὶ ᾠκοδόμησεν κρήνας εἰς ὕδατα. ἐν ἡμέραις αὐτοῦ, ἀνέβη σενναχηρείμ. καὶ ἀπέστειλε ῥαψάκην, καὶ ἀπῆρεν ἡ χεὶρ αὐτοῦ ἐπὶ σιών. καὶ ἐμεγαλαύχησεν ὑπερηφανίᾳ αὐτοῦ. τότε ἐσαλεύθησαν καρδίαι, καὶ χεῖρες αὐτῶν, καὶ ὠδίνησαν ὡς αἱ τίκτουσαι καὶ ἐπεκαλέσαντο τὸν κύριον τὸν ἐλεήμονα ἐκπετάσαντες τὰς χεῖρας αὐτῶν πρὸς αὐτόν. καὶ ὁ ἅγιος ἐξ οὐρανοῦ ταχὺ ἐπήκουσεν αὐτῶν. καὶ ἐλυτρώσατο αὐτοὺς ἐν χειρὶ ἠσαΐου. ἐπάταξε τὴν παρεμβολὴν τῶν ἀσσυρίων. καὶ ἐξέτριψεν αὐτοὺς ὁ ἄγγελος αὐτοῦ. ἐποίησε γὰρ ἐζεκίας τὸ ἀρεστὸν κυρίῳ. καὶ ἐνίσχυσεν ἐν ὁδοῖς δαβίδ τοῦ πατρὸς αὐτοῦ. ἃς ἐνετείλατο ἠσαΐας ὁ προφήτης, ὁ μέγας καὶ πιστὸς ἐν ὁράσει αὐτοῦ, ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀνεπόδισεν ὁ ἥλιος. καὶ προσέθηκεν ζωὴν βασιλέως πνεύματι μεγάλῳ. ἴδεν τὰ ἔσχατα καὶ παρεκάλεσεν τοὺς πενθοῦντας ἐν σιὼν ἕως τοῦ αἰῶνος. ὑπέδειξε τὰ ἐσόμενα, καὶ τὰ ἀπόκρυφα πρὶν ἢ παραγενέσθαι αὐτά.

Κεφαλ. μθ. 49.

μ Μνημόσυνον ἰωσίου εἰς σύνθεσιν θυμιάματος, ἐσκευασμένον ἔργῳ μυρεψοῦ ἐν παντὶ στόματι ὡς

μέλι γλυκανθήσεται. καὶ ὡς μουσικὰ ἐν συμποσίῳ οἴνου, αὐτὸς κατευθύνθη ἐν ἐπιστροφῇ λαοῦ. καὶ ἐξῆρεν βδελύγματα ἀνομίας κατεύθυνεν πρὸς κύριον τὴν καρδίαν αὐτοῦ, ἐν ἡμέραις ἀνόμων κατίσχυσεν τὴν εὐσέβειαν πάρεξ δαβὶδ καὶ ἐζεκίου, καὶ ἰωσίου. πάντες πλημμέλειαν ἐπλημμέλησαν κατέλιπον γὰρ τὸν νόμον τοῦ ὑψίστου οἱ βασιλεῖς ἰούδα ἐξέλιπον. ἔδωκαν γὰρ τὸ κέρας αὐτῶν ἑτέροις. καὶ τὴν δόξαν αὐτῶν ἔθνει ἀλλοτρίῳ. ἐνεπύρισαν ἐκλεκτὴν πόλιν ἁγιάσματος καὶ ἠρήμωσαν τὰς ὁδοὺς αὐτῆς, ἐν χειρὶ ἱερεμίου. ἐκάκωσαν γὰρ αὐτὸν καὶ αὐτὸς ἐν μήτρᾳ ἡγιάσθη, προφήτης. ἐκριζοῦν καὶ κακοῦν καὶ ἀπολλύειν. ὡσαύτως οἰκοδομεῖν καὶ καταφυτεύειν. ἰεζεκιὴλ ὃς εἶδεν ὅρασιν δόξης. ἣν ὑπέδειξεν αὐτῷ ἐπὶ ἅρματος χερουβείμ. καὶ γὰρ ἐμνήσθη τῶν ἐχθρῶν ἐν ὄμβρῳ καὶ ἀγαθῶσαι τοὺς εὐθύνοντας ὁδούς. καὶ τῶν δώδεκα προφητῶν τὰ ὀστᾶ ἀναθάλοι ἐκ τοῦ τόπου αὐτῶν. παρεκάλεσε δὲ τὸν ἰακώβ. καὶ ἐλυτρώσατο αὐτοὺς, ἐν πίστει ἐλπίδος. πῶς μεγαλύνωμεν τὸν ζοροβάβελ καὶ αὐτὸς ὡς σφραγὶς ἐπὶ δεξιᾶς χειρός. οὕτως ἰησοῦς υἱὸς ἰωσεδέκ. οἳ ἐν ἡμέραις οἰκοδόμησαν οἶκον. καὶ ἀνύψωσαν λαὸν ἅγιον κυρίῳ. ἡτοιμασμένον εἰς δόξαν αἰῶνος. καὶ νεεμίου ἐπὶ πολὺ τὸ μνημόσυνον τοῦ ἐγείροντος ἡμῖν τείχη πεπτωκότα. καὶ στήσαντος πύλας καὶ μοχλοὺς καὶ ἀνεγείραντος τὰ οἰκόπεδα ἡμῶν. οὐδὲ εἷς ἐκτίσθη οἷος ἐνὼχ τοιοῦτος ἐπὶ τῆς γῆς καὶ γὰρ αὐτὸς ἀνελήφθη ἀπὸ τῆς γῆς. οὐδὲ ὡς ἰωσὴφ, ἐγεννήθη ἀνὴρ ἡγούμενος ἀδελφῶν. στήριγμα λαοῦ. καὶ τὰ ὀστᾶ αὐτοῦ ἐπεσκέπησαν. σὴμ καὶ σὴθ ἐν ἀνθρώποις ἐδοξάσθησαν. καὶ ὑπὲρ πᾶν ζῶον ἐν τῇ κτίσει ἀδάμ.

Κεφ. ν. 50.

Ιμων ὀνίου υἱὸς ἱερεὺς ὁ μέγας, ὃς ἐν ζωῇ αὐτοῦ
a ὑπέρραψεν οἶκον, καὶ ἐν ἡμέραις αὐτοῦ ἐστερέωσε
τὸν ναόν. καὶ ὑπ' αὐτοῦ ἐθεμελιώθη ὕψος διπλῆς.
ἀνάλημμα ὑψηλὸν περιβόλου ἱεροῦ ἐν ἡμέραις αὐτοῦ ἠλατ-
τώθη ἀποδοχεῖον ὑδάτων. χαλκὸς ὡσεὶ θαλάσσης τὸ περί-

μετρον. ὁ φροντίζων τοῦ λαοῦ αὐτοῦ ἀπὸ πτώσεως. καὶ ἐνισχύσας πόλιν ἐμπολιορκῆσαι. ὡς ἐδοξάσθη ἐν περιστροφῇ λαοῦ. ἐν ἐξόδῳ οἴκου καταπετάσματος. ὡς ἀστὴρ ἑωθινὸς ἐν μέσῳ νεφέλης. ὡς σελήνη πλήρης ἐν ἡμέραις. ὡς ἥλιος ἐκλάμπων ἐπὶ ναὸν ὑψίστου. καὶ ὡς τόξον φωτίζων ἐν νεφέλαις δόξης. ὡς ἄνθος ῥόδων ἐν ἡμέραις νέων. ὡς κρίνα ἐπ᾽ ἐξόδων ὕδατος. ὡς βλαστὸς λιβάνου ἐν ἡμέραις θέρους. ὡς πῦρ. καὶ λίβανος ἐπὶ κυρίου. ὡς σκεῦος χρυσίου, ὁλοσφύρητον κεκοσμημένον παντὶ λίθῳ πολυτελεῖ. ὡς ἐλαία ἀναθάλλουσα καρπούς. καὶ ὡς κυπάρισσος ὑψουμένη ἐν νεφέλαις. ἐν τῷ ἀναλαμβάνειν αὐτὸν στολὴν δόξης. καὶ ἐνδιδύσκεσθαι αὐτὸν συντέλειαν καυχήματος. ἐν ἀναβάσει θυσιαστηρίου ἁγίου. ἐδόξασεν περιβολὴν ἁγιάσματος, ἐν δὲ τῷ δέχεσθαι μέλη ἐκ χειρῶν ἱερέων, καὶ αὐτὸς ἑστὼς παρ᾽ ἐσχάρᾳ βωμοῦ κυκλόθεν αὐτοῦ στέφανος ἀδελφῶν. ὡς βλάστημα κέδρου ἐν τῷ λιβάνῳ. καὶ ἐκύκλωσαν αὐτὸν ὡς στελέχη φοινίκων. καὶ πάντες οἱ υἱοὶ ἀαρὼν ἐν δόξῃ αὐτῶν καὶ προσφορὰ κυρίου χερσὶν αὐτῶν ἔναντι πάσης ἐκκλησίας ἰσραήλ. καὶ συντέλειαν λειτουργῶν ἐπὶ βωμῷ κοσμῆσαι προσφορὰν ὑψίστου παντοκράτορος. ἐξέτεινεν ἐπὶ σπονδείου χεῖρα αὐτοῦ. καὶ ἔσπεισεν ἐξ αἵματος σταφυλῆς. ἐξέχεεν εἰς θεμέλια θυσιαστηρίου ὀσμὴν εὐωδίας ὑψίστῳ παμβασιλεῖ. τότε ἀνέκραγον υἱοὶ ἀαρών. ἐν σάλπιγξιν ἐλαταῖς ἤχησαν. ἀκουστὴν ἐποίησαν φωνὴν μεγάλην εἰς μνημόσυνον ἔναντι ὑψίστου. τότε πᾶς ὁ λαὸς κοινῇ κατέσπευσαν. καὶ ἔπεσαν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν προσκυνῆσαι τῷ κυρίῳ αὐτῶν, παντοκράτορι θεῷ τῷ ὑψίστῳ. καὶ ἤνεσαν οἱ ψαλμῳδοὶ ἐν φωναῖς αὐτῶν. ἐν πλείστῳ οἴκῳ ἐγλυκάνθη μέλος. καὶ ἐδεήθη ὁ λαὸς κυρίου ὑψίστου ἐν προσευχῇ κατέναντι ἐλεήμονος, ἕως συντελεσθῇ κόσμος κυρίου. καὶ τὴν λειτουργίαν αὐτοῦ ἐτελείωσαν. τότε καταβὰς ἐπῆρεν

χεῖρας αὐτοῦ, ἐπὶ πᾶσαν ἐκκλησίαν υἱῶν ἰσραὴλ δοῦναι εὐλο-
γίαν κυρίῳ, ἐκ χειλέων αὐτοῦ καὶ ἐν ὀνόματι αὐτοῦ καυχᾶσθαι.
καὶ ἐδευτέρωσεν ἐν προσκυνήσει τοῦ δέξασθαι τὴν εὐλογίαν
παρὰ ὑψίστου. καὶ νῦν εὐλογήσατε τῷ θεῷ πάντων τῷ μεγα-
λοποιοῦντι πάντη. τὸν ὑψοῦντα ἡμέρας ἡμῶν ἐκ μήτρας. καὶ ποι-
οῦντα μεθ᾽ ἡμῶν κατὰ τὸ ἔλεος αὐτοῦ. δῴη ἡμῖν εὐφροσύνην καρ-
δίας καὶ γενέσθαι εἰρήνην ἐν ἡμέραις ἡμῶν. ἐν ἰσραὴλ κατὰ
τὰς ἡμέρας τοῦ αἰῶνος ἐμπιστεῦσαι μεθ᾽ ἡμῶν τὸ ἔλεος αὐτοῦ
καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ λυτρωσάσθω ἡμᾶς. ἐν δυσὶν ἔθνε-
σιν προσώχθισεν ἡ ψυχή μου, καὶ τὸ τρίτον οὐκ ἔστιν ἔθνος. οἱ
καθήμενοι ἐν ὄρει σαμαρείας φυλιστιεὶμ. καὶ ὁ λαὸς μωρὸς ὁ κα-
τοικῶν ἐν σικίμοις. παιδείαν συνέσεως καὶ ἐπιστήμης ἐχάραξα
ἐν τῷ βιβλίῳ τούτῳ. ἰησοῦς υἱὸς σειρὰχ ἐλεαζάρου ἱεροσολυ-
μίτης. ὃς ἀνώμβρησεν σοφίαν καρδίας αὐτοῦ. μακάριος ὃς ἐν τού-
τοις ἀναστραφήσεται. καὶ θεὶς αὐτὰ ἐπὶ καρδίας αὐτοῦ σοφισθή-
σεται. ἐὰν γὰρ αὐτὰ ποιήσῃ πρὸς πάντα ἰσχύσει ὅτι φῶς κυ-
ρίου τὸ ἴχνος αὐτοῦ.

## ΠΡΟΣΕΥΧΗ ΙΗΣΟΥ ΥΙΟΥ ΣΕΙΡΑΧ.

Κεφ. να. 51.

Ξομολογήσομαί σοι κύριε βασιλεῦ. καὶ αἰνέσω σε
ξ θεὸν τὸν σωτῆρά μου. ἐξομολογοῦμαι τῷ ὀνόματί
σου ὅτι σκεπαστὴς καὶ βοηθὸς ἐγένου μοι. καὶ ἐλυτρώσω
τὸ σῶμά μου ἐξ ἀπωλείας. καὶ ἐκ παγίδος διαβολῆς γλώσσης ἀ-
πὸ χειλέων ἐργαζομένων ψεῦδος. καὶ ἔναντι τῶν παρεστηκότων ἐ-
γένου βοηθὸς καὶ ἐλυτρώσω με, κατὰ τὸ πλῆθος ἐλέους καὶ ὀνόματός
σου. ἐκ βρυγμῶν ἑτοίμους εἰς βρῶμα ἐκ χειρὸς ζητούντων τὴν ψυ-
χήν μου. ἐκ πλειόνων θλίψεων ὧν ἔσχον ἀπὸ πνιγμοῦ πυρᾶς κυ-
κλόθεν. καὶ ἐκ μέσου πυρὸς οὗ οὐκ ἐξέκαυσα. ἐκ βάθους κοιλίας ᾅ-
δου καὶ ἀπὸ γλώσσης ἀκαθάρτου καὶ λόγου ψευδοῦς. βασιλεῖ διαβο-
λὴ γλώσσης ἀδίκου. ἤγγισεν ἕως θανάτου ἡ ψυχή μου ἡ ζωή μου

ἦν σύνεγγυς ᾅδου κάτω. περιέσχον με πάντοθεν, καὶ οὐκ ἦν ὁ βοη-
θῶν. ἐμβλέπων εἰς ἀντίληψιν ἀνθρώπων καὶ οὐκ ἦν. καὶ ἐμνήσθην
τοῦ ἐλέους σου κύριε καὶ τῆς ἐργασίας σου. τῆς ἀπ' αἰῶνος. ὅτι ἐξελῇ
τοὺς ὑπομένοντάς σε. καὶ σῴζεις αὐτοὺς, ἐκ χειρὸς ἐθνῶν καὶ ἀνύ-
ψωσα ἀπὸ γῆς ἱκετείαν μου καὶ ὑπὲρ θανάτου ῥύσεως ἐδεήθην. ἐ-
πεκαλεσάμην κύριον πατέρα κυρίου μου, μή με ἐγκαταλιπεῖν
ἐν ἡμέραις θλίψεως. ἐν καιρῷ ὑπερηφανιῶν ἀβοηθησίας. αἰνέ-
σω τὸ ὄνομά σου ἐνδελεχῶς. καὶ ὑμνήσω ἐν ἐξομολογήσει. καὶ
εἰσηκούσθη ἡ δέησίς μου. ἔσωσας γάρ με ἐξ ἀπωλείας. καὶ ἐξεί-
λου με ἐκ καιροῦ πονηροῦ. διὰ τοῦτο ἐξομολογήσομαι καὶ αἰνέ-
σω σε καὶ εὐλογήσω τῷ ὀνόματι κυρίου. ἔτι ὢν νεώτερος
πρὶν ἢ πλανηθῆναί με, ἐζήτησα σοφίαν προφανῶς ἐν προσευ-
χῇ μου ἔναντι ναοῦ ἠξίουν περὶ αὐτῆς. καὶ ἕως ἐσχάτων ἐκζη-
τήσω αὐτήν. ἐξάνθου ὡς περκαζούσης σταφυλῆς. εὐφράνθη ἡ
καρδία μου ἐν αὐτῇ. ἐπέβη ὁ πούς μου ἐν εὐθύτητι. ἐκ νεότη-
τός μου ἴχνευσα αὐτήν. ἔκλινα ὀλίγον τὸ οὖς μου καὶ ἐδεξά-
μην. καὶ πολλὴν εὗρον ἐμαυτῷ παιδείαν. προκοπὴ, ἐγένετό
μοι ἐν αὐτῇ. τῷ διδόντι μοι σοφίαν δώσω δόξαν. διενοήθην
γὰρ τοῦ ποιῆσαι αὐτήν καὶ ἐζήλωσα τὸ ἀγαθὸν, καὶ οὐ μὴ αἰσχυν-
θῶ. διαμεμάχισται ἡ ψυχή μου ἐν αὐτῇ καὶ ἐν ποιήσει μου, διη-
κριβωσάμην. τὰς χεῖράς μου ἐξεπέτασα πρὸς ὕψος. καὶ τὰ ἀγνοή-
ματα αὐτῆς ἀπενοήθην. τὴν ψυχήν μου κατεύθυνα εἰς αὐτήν.
καρδίαν ἐκτησάμην μετ' αὐτῆς ἀπαρχῆς. καὶ ἐν καθαρισμῷ εὗ-
ρον αὐτήν. διὰ τοῦτο οὐ μὴ ἐγκαταλειφθῶ. καὶ ἡ κοιλία μου ἐτα-
ράχθη ἐκζητῆσαι αὐτήν. διὰ τοῦτο ἐκτησάμην ἀγαθὸν κτῆμα. ἔ-
δωκεν κύριος γλῶσσάν μοι μισθόν μου καὶ ἐν αὐτῇ αἰνέσω αὐτόν.
ἐγγίσατε πρός με ἀπαίδευτοι καὶ αὐλίσθητε ἐν οἴκῳ παιδείας. καὶ
ὅτι ὑστερεῖσθε λέγετε ἐν τούτοις. καὶ αἱ ψυχαὶ ὑμῶν διψῶσι σφό-
δρα. ἤνοιξα τὸ στόμα μου, καὶ ἐλάλησα. κτήσασθε αὐτῆς ἄνευ
ἀργυρίου. τὸν τράχηλον ὑμῶν, ὑπόθετε ὑπὸ ζυγόν. καὶ ἐπιδε-

ξάσθω ἡ ψυχὴ ὑμῶν παιδείαν, ἐγγύς ἐστιν εὑρεῖν αὐτήν, ἴδε-
τε ἐν ὀφθαλμοῖς ὑμῶν, ὅτι ὀλίγον ἐκοπίασα. καὶ εὗρον ἐμαυ-
τῷ πολλὴν ἀνάπαυσιν. μετάσχετε παιδείαν ἐν πολλῷ ἀρι-
θμῷ ἀργυρίου καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ. εὐφραν-
θείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ. καὶ μὴ αἰσχυνθείητε ἐν
αἰνέσει αὐτοῦ. ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ καὶ δώσει
τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

Τέλος τῆς σοφίας Ἰησοῦ τοῦ υἱοῦ σιράχ.

## ΣΩΣΑΝΝΗΣ ΙΣΤΟΡΙΑ.

παρὰ τῆς τοῦ Δανιὴλ ἀρχῆς ἀφωρισμένη διὰ τὸ μὴ
εἶναι αὐτήν, ὥσπερ καὶ τό, τοῦ δράκον-
τος τοῦ Βὴλ, διήγημα, ἐν τοῖς
βιβλίοις τῶν ἑβραίων.

Καὶ ἦν ἀνὴρ οἰκῶν ἐν βαβυλῶνι. καὶ ὄ-
νομα αὐτῷ ἰωακείμ. καὶ ἔλαβε γυναῖ-
κα ᾗ ὄνομα σωσάννα. θυγάτηρ χελκίου
καλὴ σφόδρα. καὶ φοβουμένη τὸν κύ-
ριον. καὶ οἱ γονεῖς αὐτῆς δίκαιοι. καὶ ἐ-
δίδαξαν τὴν θυγατέρα αὐτῶν, κατὰ
τὸν νόμον μωϋσῆ. καὶ ἦν ἰωακείμ. καὶ
πλούσιος σφόδρα. καὶ ἦν αὐτῷ παράδεισος γειτνιῶν τῷ οἴ-
κῳ αὐτοῦ. καὶ πρὸς αὐτὸν προσήγοντο οἱ ἰουδαῖοι διὰ τὸ εἶναι αὐτὸν
ἐνδοξότερον πάντων. καὶ ἀπεδείχθησαν δύο πρεσβύτεροι ἐκ

τοῦ λαοῦ κριταὶ ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. περὶ ὧν ἐλάλησε ὁ δεσπότης, ὅτι ἐξῆλθεν ἀνομία ἐκ βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν. οἱ ἐδόκουν κυβερνᾶν τὸν λαόν. οὗτοι προσεκαρτέρουν ἐν τῇ οἰκίᾳ ἰωακείμ. καὶ ἤρχοντο πρὸς αὐτοὺς, πάντας οἱ κρινόμενοι. καὶ ἐγένετο ἡνίκα ἀπέτρεχεν ὁ λαὸς μέσον ἡμέρας. εἰσεπορεύετο σωσάννα. καὶ περιεπάτει ἐν τῷ παραδείσῳ τοῦ ἀνδρὸς αὐτῆς, καὶ ἐθεώρουν αὐτὴν οἱ δύο πρεσβύτεροι καθημέραν εἰσπορευομένην, καὶ περιπατοῦσαν, καὶ ἐγένοντο ἐν ἐπιθυμίᾳ αὐτῆς. καὶ διέστρεψαν τὸν ἑαυτῶν νοῦν, καὶ ἐξέκλιναν τοὺς ὀφθαλμοὺς αὐτῶν, τοῦ μὴ βλέπειν εἰς τὸν οὐρανόν. μηδὲ μνημονεύειν κριμάτων δικαίων. καὶ ἦσαν ἀμφότεροι κατανενυγμένοι περὶ αὐτῆς. καὶ οὐκ ἀπήγγειλαν ἀλλήλοις τὴν ὀδύνην αὐτῶν, ὅτι ᾐσχύνοντο ἀπαγγεῖλαι τὴν ἐπιθυμίαν αὐτῶν, ὅτι ἤθελον συγγενέσθαι αὐτῇ. καὶ παρετηροῦσαν φιλοτίμως καθημέραν ὁρᾶν αὐτήν. καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ. πορευθῶμεν δὴ εἰς οἶκον, ὅτι ἀρίστου ὥρα ἐστί. καὶ ἐξελθόντες διεχωρίσθησαν ἀπ' ἀλλήλων. καὶ ἀνακάμψαντες, ἦλθον ἐπὶ τὸ αὐτὸ, καὶ ἀνετάζοντες ἀλλήλους τὴν αἰτίαν, ὡμολόγησαν τὴν ἐπιθυμίαν αὐτῶν. τότε κοινῇ συνετάξαντο καιρὸν, ὅτε αὐτὴν δυνήσονται εὑρεῖν μόνην. Καὶ ἐγένετο ἐν τῷ παρατηρεῖν αὐτοὺς ἡμέραν εὔθετον, εἰσῆλθε καθὼς χθὲς, καὶ τρίτης ἡμέρας, μετὰ δύο κορασίων καὶ ἐπεθύμησε λούσασθαι ἐν τῷ παραδείσῳ. ὅτι καῦμα ἦν. καὶ οὐκ ἦν οὐδεὶς ἐκεῖ πλὴν οἱ δύο πρεσβύτεροι κεκρυμμένοι. καὶ παρατηροῦντες αὐτήν. καὶ εἶπε τοῖς κορασίοις. ἐνέγκατε δή μοι ἔλαιον καὶ σμῆγμα. καὶ τὰς θύρας τοῦ παραδείσου κλείσατε, ὅπως λούσωμαι. καὶ ἐποίησαν καθὼς εἶπε, καὶ ἀπέκλεισαν τὰς θύρας τοῦ παραδείσου. καὶ ἐξῆλθον κατὰ τὰς πλαγίας θύρας, ἐνέγκαι τὰ προστεταγμένα αὐτοῖς, καὶ οὐκ εἶδον τοὺς πρεσβυτέρους, ὅτι ἦσαν κεκρυμμένοι. καὶ ἐγένετο ὡς ἐξῆλθον τὰ κοράσια. καὶ ἀνέστησαν οἱ δύο πρεσβύτεροι, καὶ ἐπέδραμον αὐτῇ καὶ εἶπον. ἰδοὺ αἱ θύραι τοῦ παραδείσου κέκλεινται. καὶ οὐδεὶς θεωρεῖ ἡμᾶς. καὶ

ἐν ἐπιθυμίᾳ σου ἐσμέν· διὸ συγκατάθου ἡμῖν, καὶ γενοῦ μεθ' ἡμῶν. εἰ δὲ μή, καταμαρτυρήσομέν σου, ὅτι ἦν μετὰ σοῦ νεανίσκος· καὶ διὰ τοῦτο ἐξαπέστειλας τὰ κοράσια ἀπὸ σοῦ. καὶ ἀνεστέναξε σωσάννα καὶ εἶπε· στενά μοι πάντοθεν. ἐάν τε γὰρ τοῦτο πράξω, θάνατός μοι ἐστίν· ἐάν τε μὴ πράξω οὐκ ἐκφεύξομαι τὰς χεῖρας ὑμῶν. αἱρετόν μοι ἐστὶ μὴ πράξασαν ἐμπεσεῖν εἰς τὰς χεῖρας ὑμῶν, ἢ ἁμαρτεῖν ἐνώπιον κυρίου. καὶ ἀνεβόησε φωνῇ μεγάλῃ σωσάννα. ἐβόησαν δὲ καὶ οἱ δύο πρεσβύτεροι κατέναντι αὐτῆς. καὶ δραμὼν ὁ εἷς ἤνοιξε τὰς θύρας τοῦ παραδείσου. ὡς δὲ ἤκουσαν τὴν κραυγὴν ἐν τῷ παραδείσῳ οἱ ἐκ τῆς οἰκίας, εἰσεπήδησαν διὰ τῆς πλαγίας θύρας ἰδεῖν τί τὸ συμβεβηκὸς αὐτῇ. ἡνίκα δὲ εἶπον οἱ πρεσβύτεροι τοὺς λόγους αὐτῶν, κατῃσχύνθησαν οἱ δοῦλοι σφόδρα· ὅτι πώποτε οὐκ ἐῤῥέθη λόγος τοιοῦτος περὶ σωσάννης. Καὶ ἐγένετο τῇ ἐπαύριον ὡς συνῆλθεν ὁ λαὸς πρὸς τὸν ἄνδρα αὐτῆς ἰωακείμ. ἦλθον οἱ δύο πρεσβύτεροι πλήρεις τῆς ἀνόμου ἐννοίας κατὰ σωσάννης, τοῦ θανατῶσαι αὐτήν· καὶ εἶπον ἔμπροσθεν τοῦ λαοῦ. ἀποστείλατε ἐπὶ σωσάνναν θυγατέρα χελκίου· ἥ ἐστι γυνὴ ἰωακείμ. οἱ δὲ ἀπέστειλαν. καὶ ἦλθεν αὐτή, καὶ οἱ γονεῖς αὐτῆς, καὶ τὰ τέκνα αὐτῆς· καὶ πάντες οἱ συγγενεῖς αὐτῆς. ἡ δὲ σωσάννα ἦν τρυφερὰ σφόδρα καὶ καλὴ τῷ εἴδει. οἱ δὲ παράνομοι, ἐκέλευσαν ἀποκαλυφθῆναι αὐτήν· ἦν γὰρ κατακεκαλυμμένη, ὅπως ἐμπλησθῶσι τοῦ κάλλους αὐτῆς. ἔκλαιον δὲ οἱ παρ' αὐτήν, καὶ πάντες οἱ εἰδότες αὐτήν. ἀναστάντες δὲ οἱ δύο πρεσβύτεροι ἐν μέσῳ τοῦ λαοῦ. ἔθηκαν τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτῆς. ἡ δὲ κλαίουσα ἀνέβλεψεν εἰς τὸν οὐρανόν, ὅτι ἦν ἡ καρδία αὐτῆς πεποιθυῖα ἐπὶ τὸν κύριον. εἶπον δὲ οἱ πρεσβύτεροι. περιπατούντων ἡμῶν ἐν τῷ παραδείσῳ μόνων, εἰσῆλθεν αὕτη μετὰ δύο παιδισκῶν. καὶ ἀπέκλεισε τὰς θύρας τοῦ παραδείσου, καὶ ἀπέλυσε τὰς παιδίσκας. καὶ ἦλθε πρὸς αὐτὴν νεανίσκος ὃς ἦν κεκρυμμένος. καὶ ἀνέπεσε μετ'

αὐτῆς. ἡμεῖς δὲ ὄντες ἐν τῇ γωνίᾳ τοῦ παραδείσου ἰδόντες τὴν
ἀνομίαν, ἐδράμομεν ἐπ' αὐτούς. καὶ ἰδόντες συγγινομένους αὐ-
τοὺς ἐκείνου μὲν οὐκ ἠδυνήθημεν ἐγκρατεῖς γενέσθαι διὰ τὸ ἰσχύ-
ειν αὐτὸν ὑπὲρ ἡμᾶς. καὶ ἀνοίξαντα τὰς θύρας ἐκπεπηδηκέναι.
ταύτης δὲ ἐπιλαβόμενοι, ἐπηρωτῶμεν τίς ἦν ὁ νεανίσκος. καὶ
οὐκ ἠθέλησεν ἀπαγγεῖλαι ἡμῖν. ταῦτα μαρτυροῦμεν. καὶ ἐπίστευ-
σεν αὐτοῖς ἡ συναγωγή, ὡς πρεσβυτέροις τοῦ λαοῦ καὶ κριταῖς.
καὶ κατέκριναν αὐτὴν ἀποθανεῖν. ἀνεβόησε δὲ φωνῇ μεγάλῃ
σωσάννα καὶ εἶπεν. ὁ θεὸς ὁ αἰώνιος τῶν κρυπτῶν γνώστης. ὁ εἰδὼς
τὰ πάντα πρὶν γενέσεως αὐτῶν, σὺ ἐπίστῃ ὅτι ψευδῆ μου κα-
τεμαρτύρησαν. καὶ ἰδοὺ ἀποθνήσκω μὴ ποιήσασα μηδὲν ὧν
οὗτοι ἐπονηρεύσαντο κατ' ἐμοῦ. καὶ εἰσήκουσεν ὁ θεὸς τῆς φωνῆς
αὐτῆς. καὶ ἀγομένης αὐτῆς ἀπολέσθαι, ὁ θεὸς ἐξήγειρε τὸ ἅγι-
ον παιδαρίου νεωτέρου, ᾧ ὄνομα δανιήλ. καὶ ἀνεβόησε φωνῇ με-
γάλῃ καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος ταύτης, ἐπέστρεψε δὲ πᾶς
ὁ λαὸς πρὸς αὐτὸν, καὶ εἶπε τίς ὁ λόγος οὗτος. ὃν σὺ λελάληκας;
ὁ δὲ στὰς ἐν μέσῳ αὐτῶν εἶπεν. οὕτως μωροὶ ἰσραήλ. οὐκ ἀνα-
κρίναντες οὐδὲ τὸ σαφὲς ἐπιγνόντες. κατεκρίνατε θυγατέρα ἰσ-
ραήλ. ἀναστρέψατε εἰς τὸ κριτήριον. ψευδῆ γὰρ οὗτοι κατεμαρ-
τύρησαν αὐτῆς. καὶ ἀνέστρεψε πᾶς ὁ λαὸς μετὰ σπουδῆς. καὶ
εἶπον αὐτῷ οἱ πρεσβύτεροι. δεῦρο κάθισον ἐν μέσῳ ἡμῶν.
καὶ ἀπάγγειλον ἡμῖν. ὅτι σοὶ δέδωκεν ὁ θεὸς τὸ πρεσβυτέρι-
ον. καὶ εἶπε πρὸς αὐτοὺς δανιήλ. διαχωρίσατε αὐτοὺς ἀπ' ἀλ-
λήλων μακρὰν, καὶ ἀνακρινῶ αὐτούς. ὡς δὲ ἐχωρίσθησαν εἷς ἀπὸ
τοῦ ἑνὸς ἐκάλεσε τὸν ἕνα αὐτῶν, καὶ εἶπε πρὸς αὐτόν. πεπαλαι-
ωμένε ἡμερῶν κακῶν. νῦν ἥκασιν αἱ ἁμαρτίαι σου ἃς ἐποίεις τὸ
πρότερον κρίνων κρίσεις ἀθώους. καὶ τοὺς μὲν ἀθώους, κατακρί-
νων. ἀπολύων δὲ τοὺς αἰτίους. λέγοντος τοῦ κυρίου, ἀθῶον, καὶ δί-
καιον, οὐκ ἀποκτενεῖς. νῦν οὖν ταύτην εἴπερ εἶδες, εἰπόν. ὑπὸ τί
δένδρον εἶδες αὐτοὺς ὁμιλοῦντας ἀλλήλοις. ὁ δὲ εἶπεν ὑπὸ σχῖ-

νόν. εἶπε δὲ δανιήλ· ὀρθῶς ἐψεύσω εἰς τὴν σεαυτοῦ κεφαλήν·
ἤδη γὰρ ἄγγελος θεοῦ λαβὼν φάσιν παρὰ τοῦ θεοῦ, σχίσει σε μέ-
σον. καὶ μεταστήσας αὐτὸν, ἐκέλευσε προσαγαγεῖν τὸν ἕτερον
καὶ εἶπεν αὐτῷ· σπέρμα χαναὰν, καὶ οὐκ ἰούδα. τὸ κάλλος ἐξ-
ηπάτησέ σε καὶ ἡ ἐπιθυμία διέστρεψε τὴν καρδίαν σου. οὕτως
ἐποιεῖτε θυγατράσιν ἰσραήλ. καὶ ἐκεῖναι φοβούμεναι, ὡμίλουν
ὑμῖν. ἀλλ' οὐ θυγάτηρ ἰούδα ὑπέμεινε τὴν ἀνομίαν ὑμῶν. νῦν
οὖν λέγε μοι ὑπὸ τί δένδρον κατέλαβες αὐτοὺς ὁμιλοῦντας
ἀλλήλοις. ὁ δὲ εἶπεν· ὑπὸ πρῖνον. εἶπε δὲ αὐτῷ δανιήλ· ὀρθῶς
ἐψεύσω καὶ σὺ εἰς τὴν σεαυτοῦ κεφαλήν· μένει γὰρ ὁ ἄγγελος
τοῦ θεοῦ τὴν ῥομφαίαν ἔχων πρίσαι σε μέσον ὅπως ἐξολοθρεύ-
σῃ ὑμᾶς. καὶ ἀνεβόησε πᾶσα ἡ συναγωγὴ φωνῇ μεγάλῃ. καὶ
εὐλόγησαν τὸν θεὸν τὸν σώζοντα τοὺς ἐλπίζοντας ἐπ' αὐτόν. καὶ
ἀνέστησαν ἐπὶ τοὺς δύο πρεσβυτέρους. ὅτι συνέστησεν αὐτοὺς δα-
νιὴλ, ἐκ τοῦ στόματος αὐτῶν ψευδομαρτυρήσαντας. καὶ ἐποί-
ησαν αὐτοῖς ὃν τρόπον ἐπονηρεύσαντο τῷ πλησίον ποιῆσαι κα-
τὰ τὸν νόμον μωϋσῆ. καὶ ἀπέκτειναν αὐτοὺς, καὶ ἐσώθη αἷμα
ἀναίτιον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. χελκίας δὲ καὶ ἡ γυνὴ αὐτοῦ
ᾔνεσαν τὸν θεὸν, περὶ τῆς θυγατρὸς αὐτῶν σωσάννης με-
τὰ ἰωακεὶμ τοῦ ἀνδρὸς αὐτῆς καὶ τῶν συγγενῶν
πάντων, ὅτι οὐχ εὑρέθη ἐν αὐτῇ ἄσχη-
μον πρᾶγμα. καὶ δανιὴλ ἐγένε-
το μέγας, ἐνώπιον τοῦ λα-
οῦ ἀπὸ τῆς ἡμέ-
ρας ἐκεί-
νης,
καὶ ἐπέκεινα.

Τέλος τῆς περὶ τῆς Σωσάννης
ἱστορίας.

# ΠΕΡΙ ΔΡΑΚΟΝΤΟΣ
## τοῦ Βὴλ ἀναλώσεως, παρὰ τέλους τοῦ Δανιήλ, ἀναπριαθὲν παράδειγμα.

ΚΑὶ ὁ βασιλεὺς ἀστυάγης, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. καὶ παρέλαβε κῦρος ὁ πέρσης τὴν βασιλείαν αὐτοῦ. καὶ ἦν δανιὴλ συμβιωτὴς τοῦ βασιλέως, καὶ ἔνδοξος, ὑπὲρ πάντας τοὺς φίλους αὐτοῦ, καὶ ἦν εἴδωλον τοῖς βαβυλωνίοις ᾧ ὄνομα βήλ. καὶ ἐδαπανῶντο εἰς αὐτὸν, ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι, ιβ. καὶ πρόβατα μ. καὶ οἴνου μετρηταὶ ἕξ. καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτό. καὶ ἐπορεύετο καθ᾽ ἑκάστην ἡμέραν προσκυνεῖν αὐτῷ. δανιὴλ δὲ προσεκύνει τῷ θεῷ αὐτοῦ. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. διατί οὐ προσκυνεῖς τῷ βήλ; ὁ δὲ εἶπεν. ὅτι οὐ σέβομαι εἴδωλα χειροποίητα. ἀλλὰ τὸν ζῶντα θεὸν, τὸν κτίσαντα τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ ἔχοντα πάσης σαρκὸς κυρείαν. καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς. οὐ δοκεῖ σοι ὁ βὴλ εἶναι ζῶν θεός; οὐχ ὁρᾷς ὅσα ἐσθίει καὶ πίνει καθ᾽ ἑκάστην ἡμέραν, καὶ εἶπε δανιὴλ γελάσας. μὴ πλανῶ βασιλεῦ. οὗτος ἔσωθεν μὲν ἐστὶ πηλός. ἔξωθεν δὲ χαλκός. καὶ οὐ βέβρωκεν. οὐδὲ πώποτε. θυμωθεὶς δὲ ὁ βασιλεὺς ἐκάλεσε τοὺς ἱερεῖς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς. ἐὰν μὴ εἴπητέ μοι τίς ὁ κατεσθίων τὴν δαπάνην ταύτην, ἀποθανεῖσθε. ἐὰν δὲ ἀποδείξητε. ὅτι ὁ βὴλ κατεσθίει αὐτὰ ὁ δανιὴλ ἀποθάνῃ. ὅτι ἐβλασφήμησεν εἰς τὸν βὴλ καὶ

εἶπε δανιὴλ τῷ βασιλεῖ, γινέσθω κατὰ τὸ ῥῆμά σου. καὶ ἦσαν οἱ ἱερεῖς τοῦ βὴλ ἑβδομήκοντα χωρὶς γυναικῶν καὶ τέκνων, καὶ ἦλθεν ὁ βασιλεὺς μετὰ δανιὴλ, εἰς τὸν οἶκον τοῦ βὴλ. καὶ εἶπον οἱ ἱερεῖς τοῦ βὴλ. ἰδοὺ ἡμεῖς ἀποτρεχόμεθα ἔξω. σὺ δὲ βασιλεῦ, παράθου τὰ βρώματα καὶ τὸν οἶνον κεράσας θὲς. καὶ ἀπόκλεισον τὴν θύραν καὶ σφράγισον τῷ δακτυλίῳ σου. καὶ ἐλθὼν πρωΐ. ἐὰν μὴ εὕρῃς πάντα βεβρωμένα ὑπὸ τοῦ βὴλ, ἀποθανούμεθα ἢ δανιὴλ ὁ ψευσάμενος καθ' ἡμῶν. αὐτοὶ δὲ κατεφρόνουν, ὅτι πεποιήκεσαν ὑπὸ τὴν τράπεζαν κεκρυμμένην εἴσοδον. καὶ δι' αὐτῆς εἰσεπορεύοντο διόλου, καὶ ἀνήλουν αὐτά. καὶ ἐγένετο ὡς ἐξήλθοσαν ἐκεῖνοι, καὶ ὁ βασιλεὺς παρέθηκε τὰ βρώματα τῷ βὴλ. καὶ ἐπέταξε δανιὴλ τοῖς παισὶν αὐτοῦ, καὶ ἤνεγκαν καὶ τέφραν. καὶ κατέσρωσαν ὅλον τὸν ναὸν, ἐνώπιον τοῦ βασιλέως μόνου. καὶ ἐξελθόντες, ἔκλεισαν τὴν θύραν. καὶ ἐσφραγίσαντο ἐν τῷ δακτυλίῳ τοῦ βασιλέως, καὶ ἀπῆλθον. οἱ δὲ ἱερεῖς, ἦλθον τὴν νύκτα κατὰ τὸ ἔθος αὐτῶν. καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ κατέφαγον πάντα καὶ ἐξέπιον. καὶ ὤρθρισεν ὁ βασιλεὺς τὸ πρωῒ καὶ δανιὴλ μετ' αὐτοῦ. καὶ εἶπεν ὁ βασιλεὺς, σῷοι αἱ σφραγῖδες δανιὴλ; ὁ δὲ εἶπε. καὶ σῷοι ὦ βασιλεῦ. καὶ ἐγένετο ἅμα τῷ ἀνοῖξαι τὰς θύρας, ἐπιβλέψας ἐπὶ τὴν τράπεζαν ὁ βασιλεὺς, ἐβόησε φωνῇ μεγάλῃ, μέγας εἶ βὴλ. καὶ οὐκ ἔστι παρὰ σοὶ δόλος οὐδὲ εἷς. καὶ ἐγέλασε δανιήλ. καὶ ἐκράτησε τὸν βασιλέα, τοῦ μὴ εἰσελθεῖν αὐτὸν ἔσω. καὶ εἶπεν. ἴδε δὴ τὸ ἔδαφος, καὶ γνῶθι τίνος τὰ ἴχνη ταῦτα. ὁρῶ τὰ ἴχνη ἀνδρῶν καὶ γυναικῶν, καὶ παιδίων. καὶ ὀργισθεὶς ὁ βασιλεὺς τότε, συνέλαβε τοὺς ἱερεῖς, καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα αὐτῶν. καὶ ἔδειξαν αὐτῷ τὰς κρυπτὰς θύρας, δι' ὧν εἰσεπορεύοντο, καὶ ἐδαπάνων τὰ ἐν τῇ τραπέζῃ. καὶ ἀπέκτεινεν αὐτοὺς ὁ βασιλεύς. καὶ ἔδωκε τὸν βὴλ, ἔκδοτον τῷ δανιὴλ, καὶ κατέστρεψεν αὐτὸν, καὶ τὸ ἱερὸν αὐτοῦ. καὶ ἦν δράκων μέγας ἐν τῷ τόπῳ καὶ ἐσέβοντο αὐτὸν οἱ βαβυλώνιοι. καὶ εἶπεν ὁ βασιλεὺς τῷ δανιὴλ. μὴ, καὶ τοῦτον ἐρεῖς ὅτι

χαλκοῦς ἐστιν. ἰδοὺ ζῇ, καὶ ἐσθίει, καὶ πίνει. οὐ δύνασαι εἰπεῖν. ὅτι
οὐκ ἔστιν οὗτος θεὸς ζῶν, καὶ προσκύνησον αὐτῷ. καὶ εἶπε δανιήλ.
κυρίῳ τῷ θεῷ μου προσκυνήσω. ὅτι οὗτός ἐστι θεὸς ζῶν. σὺ δὲ βα-
σιλεῦ δός μοι ἐξουσίαν, καὶ ἀποκτενῶ τὸν δράκοντα, ἄνευ μα-
χαίρας. καὶ ῥάβδου, καὶ εἶπεν ὁ βασιλεύς. δίδωμί σοι. καὶ ἔλα-
βεν ὁ δανιήλ. πίσσαν, καὶ στέαρ καὶ τρίχας, καὶ ἥψησεν ἐπὶ τὸ αὐ-
τό. καὶ ἐποίησε μάζας. καὶ ἔδωκεν, εἰς τὸ στόμα τοῦ δράκοντος.
καὶ διεῤῥάγη ὁ δράκων. καὶ εἶπεν. ἴδετε τὰ σεβάσματα ὑμῶν.
καὶ ἐγένετο, ὡς ἤκουσαν οἱ βαβυλώνιοι ἠγανάκτησαν λίαν. καὶ
συνεστράφησαν ἐπὶ τὸν βασιλέα, καὶ εἶπαν. ἰουδαῖος γέγονεν ὁ βα-
σιλεύς. καὶ τὸν βὴλ κατέσπασε. καὶ τὸν δράκοντα ἀπέκτεινε. καὶ
τοὺς ἱερεῖς κατέσφαξε. καὶ εἶπαν ἐλθόντες πρὸς τὸν βασιλέα. πα-
ράδος ἡμῖν τὸν δανιήλ. εἰ δὲ μή, ἀποκτενοῦμέν σε. καὶ τὸν οἶ-
κόν σου. καὶ εἶδεν ὁ βασιλεύς, ὅτι ἐπείγουσιν αὐτὸν σφόδρα, καὶ
ἀναγκασθεὶς παρέδωκεν αὐτοῖς τὸν δανιήλ. οἱ δὲ ἐνέβαλον αὐ-
τὸν εἰς τὸν λάκκον τῶν λεόντων. καὶ ἦν ἐκεῖ, ἡμέρας ἕξ. ἦσαν δὲ
ἐν τῷ λάκκῳ ἑπτὰ λέοντες. καὶ ἐδίδοτο αὐτοῖς τὸ καθ' ἡμέραν
δύο σώματα. καὶ δύο πρόβατα. τότε δὲ οὐκ ἐδόθη αὐτοῖς ἵνα κα-
ταφάγωσι τὸν δανιήλ. καὶ ἦν ἀβακοὺμ ὁ προφήτης ἐν τῇ ἰου-
δαίᾳ. καὶ αὐτὸς ἥψησεν ἕψημα, καὶ ἐνέθριψεν ἄρτον εἰς σκάφην
καὶ ἐπορεύετο εἰς τὸ πεδίον ἀπενέγκαι τοῖς θερισταῖς. καὶ εἶπεν
ὁ ἄγγελος κυρίου τῷ ἀββακούκ. ἀπένεγκε τὸ ἄριστον ὃ ἔχεις εἰς
βαβυλῶνα τῷ δανιήλ. εἰς τὸν λάκκον τῶν λεόντων. καὶ εἶπεν
ἀββακούμ. κύριε βαβυλῶνα οὐχ ἑώρακα, τὸν λάκκον οὐ γινώ-
σκω. ποῦ ἐστι. καὶ ἐπελάβετο ὁ ἄγγελος τῆς κορυφῆς αὐτοῦ. καὶ
βαστάσας τῆς κόμης τῆς κεφαλῆς αὐτοῦ, ἔθηκεν αὐτὸν εἰς βαβυλῶ-
να ἐπάνω τοῦ λάκκου. ἐν τῷ ῥοίζῳ τοῦ πνεύματος αὐτοῦ. καὶ ἐβό-
ησεν ἀββακούμ, λέγων. δανιήλ δανιήλ. λάβε τὸ ἄριστον ὃ ἀπέ-
στειλέ σοι ὁ θεός. καὶ εἶπε δανιήλ. ἐμνήσθης γάρ μου ὁ θεός. καὶ
οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, καὶ ἀγαπῶντάς σε. καὶ

ἀναστὰς δανιὴλ ἔφαγεν. ὁ δὲ ἄγγελος τοῦ θεοῦ ἀποκατέστησεν τὸν ἀββακοὺμ παραχρῆμα εἰς τὸν τόπον αὐτοῦ. ὁ δὲ βασιλεὺς ἦλθε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πενθῆσαι τὸν δανιήλ. καὶ ἦλθεν ἐπὶ τὸν λάκκον, καὶ ἐνέβλεψε. καὶ ἰδοὺ δανιὴλ καθήμενος, καὶ ἀναβοήσας φωνῇ μεγάλῃ ὁ βασιλεὺς εἶπε. μέγας εἶ κύριος ὁ θεὸς τοῦ δανιήλ. καὶ οὐκ ἔστιν ἄλλος πλὴν σοῦ. καὶ ἀνέσπασεν αὐτόν. τοὺς δὲ αἰτίους τῆς ἀπωλείας αὐτοῦ, ἐνέβαλεν εἰς τὸν λάκκον. καὶ κατεβρώθησαν παραχρῆμα ἐνώπιον αὐτοῦ.

Τέλος τοῦ περὶ βὴλ διηγήματος.

# ΜΑΚΚΑΒΑΙΩΝ ΠΡΩΤΟΣ ΛΟΓΟΣ.

Κεφάλαιον. α. ι.

κ αὶ ἐγένετο μετὰ τὸ πατάξαι ἀλέξανδρον τὸν φίλιππον τὸν μακεδόνα ὃς ἐξῆλθεν ἐκ τῆς γῆς χεττιεὶμ καὶ ἐπάταξε τὸν δαρεῖον βασιλέα περσῶν, καὶ μήδων. καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ πρότερον ἐπὶ τὴν ἑλλάδα. καὶ συνεστήσατο πολέμους πολλούς. καὶ ἐκράτησεν ὀχυρωμάτων, καὶ ἔσφαξε βασιλεῖς τῆς γῆς. καὶ διῆλθεν, ἕως ἄκρων τῆς γῆς, καὶ ἔλαβε σκῦλα πλήθους ἐθνῶν, καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ. καὶ ὑψώθη, καὶ ἐπήρθη ἡ καρδία αὐτοῦ, καὶ συνήγαγε δύναμιν ἰσχυρὰν σφόδρα. καὶ ἦρξε χωρῶν καὶ ἐθνῶν καὶ τυῤῥαννικῶν, καὶ ἐγένοντο αὐτῷ εἰς φόρον. καὶ μετὰ ταῦτα ἔπεσεν ἐπὶ τὴν κοίτην

καὶ ἔγνω, ὅτι ἀποθνήσκει. καὶ ἐκάλεσε τοὺς παῖδας αὐτοῦ τοὺς
ἐνδόξους τοὺς συνεκτρόφους αὐτοῦ ἀπὸ νεότητος. καὶ διεῖλεν αὐτοῖς
τὴν βασιλείαν αὐτοῦ ἔτι ζῶντος αὐτοῦ. καὶ ἐβασίλευσεν ἀλέξανδρος
ἔτη δώδεκα, καὶ ἀπέθανε. καὶ ἐπεκράτησαν οἱ παῖδες αὐτοῦ ἕκα
στος ἐν τῷ τόπῳ αὐτοῦ, καὶ ἐπέθεντο πάντες διαδήματα με
τὰ τὸ ἀποθανεῖν αὐτόν. καὶ οἱ υἱοὶ αὐτῶν ὀπίσω αὐτῶν ἔτη πολ
λά, καὶ ἐπλήθυναν κακά, ἐν τῇ γῇ. καὶ ἐξῆλθεν ἐξ αὐτῶν ῥίζα
ἁμαρτωλὸς ἀντίοχος ἐπιφανὴς υἱὸς ἀντιόχου βασιλέως. ὃς ἦν
ὅμηρα ἐν τῇ ῥώμῃ. καὶ ἐβασίλευσεν ἔτει ἑκατοστῷ, καὶ τριακο
στῷ, καὶ ἑβδόμῳ βασιλείας ἑλλήνων. ἐν ταῖς ἡμέραις ἐκείναις
ἐξῆλθον ἐξ ἰσραὴλ υἱοὶ παράνομοι, καὶ ἀνέπεισαν πολλοὺς λέ
γοντες πορευθῶμεν, καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐ
θνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ᾽ ἧς ἐχωρίσθημεν ἀπ᾽ αὐτῶν εὗ
ρεν ἡμᾶς κακὰ πολλά. καὶ ἠγαθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς αὐ
τῶν. καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ λαοῦ, καὶ ἐπορεύθησαν
πρὸς τὸν βασιλέα. καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν ποιῆσαι τὰ δι
καιώματα τῶν ἐθνῶν. καὶ ᾠκοδόμησαν γυμνάσιον ἐν ἱεροσο
λύμοις κατὰ τὰ νόμιμα τῶν ἐθνῶν. Καὶ ἐποίησαν ἑαυτοῖς ἀκρο
βυστίας. καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας, καὶ ἐζεύχθησαν ἐν
τοῖς ἔθνεσι καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν. καὶ ἡτοιμά
σθη ἡ βασιλεία ἐναντίον ἀντιόχου, καὶ ὑπέλαβε βασιλεῦσαι τῆς
αἰγύπτου. ὅπως βασιλεύσῃ ἐπὶ τὰς δύο βασιλείας. καὶ εἰσῆλ
θεν εἰς αἴγυπτον ἐν ὄχλῳ βαρεῖ. ἐν ἅρμασι, καὶ ἐλέφασι, καὶ ἐν
ἱππεῦσι, καὶ ἐν στόλῳ μεγάλῳ. καὶ συνεστήσατο πόλεμον πρὸς
πτολεμαῖον βασιλέα αἰγύπτου, καὶ ἐνετράπη πτολεμαῖος ἀπὸ προ
σώπου αὐτοῦ. καὶ ἔφυγε. καὶ ἔπεσον τραυματίαι πολλοί. καὶ κατε
λάβοντο τὰς πόλεις τὰς ὀχυρὰς ἐν γῇ αἰγύπτῳ. καὶ ἔλαβε τὰ
σκῦλα γῆς αἰγύπτου. καὶ ἐπέστρεψεν ἀντίοχος μετὰ τὸ πατάξαι
αἴγυπτον ἐν τῷ ἑκατοστῷ καὶ τεσσαρακοστῷ, καὶ τρίτῳ ἔτει. καὶ ἀνέ
βη ἐπὶ ἰσραὴλ. καὶ ἱεροσόλυμα ἐν ὄχλῳ βαρεῖ, καὶ εἰσῆλθεν εἰς

τὸ ἁγίασμα ἐν ὑπερηφανίᾳ, καὶ ἔλαβε τὸ θυσιαστήριον τὸ χρυ-
σοῦν, καὶ τὴν λυχνίαν τοῦ φωτὸς, καὶ πάντα τὰ σκεύη αὐτῆς
καὶ τὴν τράπεζαν τῆς προθέσεως. καὶ τὰ σπονδεῖα καὶ τὰς φιά-
λας. καὶ τὰς θυΐσκας τὰς χρυσᾶς. καὶ τὸ καταπέτασμα. καὶ
τοὺς στεφάνους καὶ τὸν κόσμον χρυσοῦν τὸν κατὰ πρόσωπον
τοῦ ναοῦ. καὶ ἐλέπισε πάντα καὶ ἔλαβε τὸ ἀργύριον, καὶ τὸ χρυ-
σίον, καὶ τὰ σκεύη τὰ ἐπιθυμητά. καὶ ἔλαβε τοὺς θησαυροὺς
τοὺς ἀποκρύφους οὓς εὗρε. καὶ λαβὼν πάντα ἀπῆλθεν εἰς τὴν
γῆν αὐτοῦ. καὶ ἐποίησε φονοκτονίαν, καὶ ἐλάλησεν ὑπερη-
φανίαν μεγάλην. καὶ ἐγένετο τὸ πένθος ἐπὶ ἰσραὴλ μέγα ἐν
παντὶ τόπῳ αὐτῶν, καὶ ἐστέναξαν ἄρχοντες καὶ πρεσβύτεροι.
παρθένοι καὶ νεανίσκοι ἠσθένησαν, καὶ τὸ κάλλος τῶν γυναικῶν
ἠλλοιώθη. πᾶς νυμφίος ἀνέλαβε θρῆνον. καθημένη ἐν παστῷ ἐ-
γένετο ἐν πένθει. καὶ ἐσείσθη ἡ γῆ ἐπὶ τοὺς κατοικοῦντας αὐτὴν.
καὶ πᾶς ὁ οἶκος ἰακὼβ ἐνεδύσατο αἰσχύνην. μετὰ δύο ἔτη ἡμε-
ρῶν ἀπέστειλεν ὁ βασιλεὺς ἄρχοντα φορολογίας εἰς τὰς πόλεις
ἰούδα. καὶ ἦλθεν εἰς ἱερουσαλὴμ ἐν ὄχλῳ βαρεῖ. καὶ ἐλάλη-
σεν αὐτοῖς λόγους εἰρηνικοὺς ἐν δόλῳ, καὶ ἐνεπίστευσαν αὐτῷ.
καὶ ἐπέπεσεν ἐπὶ τὴν πόλιν ἐξάπινα, καὶ ἐπάταξεν αὐτὴν πλη-
γὴν μεγάλην. καὶ ἀπώλεσε λαὸν πολὺν ἐξ ἰσραήλ. καὶ ἔλα-
βε τὰ σκῦλα τῆς πόλεως. καὶ ἐνεπύρισεν αὐτὴν πυρί. καὶ κα-
θεῖλε τοὺς οἴκους αὐτῆς, καὶ τὰ τείχη αὐτῆς κύκλῳ. καὶ ᾐχμα-
λώτευσαν τὰς γυναῖκας, καὶ τὰ τέκνα. καὶ τὰ κτήνη ἐκληρο-
νόμησαν αὐτούς. καὶ ᾠκοδόμησαν τὴν πόλιν δαβὶδ τείχει μεγά-
λῳ. καὶ ἰσχυρῷ πύργοις ὀχυροῖς. καὶ ἐγένετο αὐτοῖς εἰς ἄκραν. καὶ
ἔθηκαν ἐκεῖ ἔθνος ἁμαρτωλόν. ἄνδρας παρανόμους. καὶ ἐνίσχυ-
σαν ἐν αὐτῇ. καὶ παρέθεντο ὅπλα καὶ τροφὴν καὶ συναγαγόντες
τὰ σκῦλα ἱερουσαλὴμ ἀπέθεντο ἐκεῖ. καὶ ἐγένοντο εἰς μεγά-
λην παγίδα. καὶ ἐγένετο εἰς ἔνεδραν τῷ ἁγιάσματι, καὶ εἰς διά-
βολον πονηρὸν τῷ ἰσραὴλ διὰ παντός. καὶ ἐξέχεαν αἷμα ἀθῷ-
ον κύκλῳ

ον κύκλῳ τοῦ ἁγιάσματος. καὶ ἐμόλυναν τὸ ἁγίασμα, καὶ ἔ-
φυγον οἱ κάτοικοι ἱερουσαλὴμ, δι' αὐτούς. καὶ ἐγένετο κατοικία
ἀλλοτρίων, καὶ ἐγένετο ἀλλοτρία τοῖς γεννήμασιν αὐτῆς, καὶ
τὰ τέκνα αὐτῆς ἐγκατέλιπον αὐτὴν, τὸ ἁγίασμα αὐτῆς ἠρη-
μώθη ὡς ἔρημος. αἱ ἑορταὶ αὐτῆς ἐστράφησαν εἰς πένθος. τὰ σάβ-
βατα αὐτῆς εἰς ὀνειδισμόν. ἡ τιμὴ αὐτῆς εἰς ἐξουδένωσιν. κατὰ τὴν
δόξαν αὐτῆς ἐπληθύνθη ἀτιμασμὸς αὐτῆς. καὶ τὸ ὕψος αὐτῆς ἐστρά-
φη εἰς πένθος. καὶ ἔγραψεν ὁ βασιλεὺς πάσῃ τῇ βασιλείᾳ αὐτοῦ
εἶναι πάντας εἰς λαὸν ἕνα. καὶ ἐγκαταλιπεῖν ἕκαστον τὰ νόμιμα αὐ-
τοῦ. καὶ ἐπεδέξαντο πάντα τὰ ἔθνη κατὰ τὸν λόγον τοῦ βασιλέως. καὶ
πολλοὶ ἀπὸ ἰσραὴλ εὐδόκησαν τῇ λατρείᾳ αὐτοῦ, καὶ ἔθυσαν τοῖς
εἰδώλοις, καὶ ἐβεβήλωσαν τὸ σάββατον. καὶ ἀπέστειλεν ὁ βασι-
λεὺς βιβλία ἐν χειρὶ ἀγγέλων εἰς ἱερουσαλὴμ, καὶ τὰς πόλεις ἰ-
ούδα πορευθῆναι ὀπίσω νομίμων ἀλλοτρίων τῆς γῆς. καὶ κω-
λῦσαι ὁλοκαυτώματα καὶ θυσίαν, καὶ σπονδὴν ἐκ τοῦ ἁγιά-
σματος. καὶ βεβηλῶσαι σάββατα καὶ ἑορτάς. καὶ μιᾶναι ἁγί-
ασμα καὶ ἁγίους. οἰκοδομῆσαι βωμοὺς καὶ τεμένη, καὶ εἰδω-
λεῖα. καὶ θύειν ὕεια, καὶ κτήνη κοινά. καὶ ἀφιέναι τοὺς υἱοὺς αὐ-
τῶν ἀπεριτμήτους βδελύξαι τὰς ψυχὰς αὐτῶν ἐν παντὶ ἀκα-
θάρτῳ, καὶ βεβηλῶσαι αὐτούς, ὥστε ἐπιλαθέσθαι τοῦ νόμου, καὶ ἀλλά-
ξαι πάντα τὰ δικαιώματα. καὶ ὃς ἂν μὴ ποιήσῃ κατὰ τὸ ῥῆμα τοῦ
βασιλέως, ἀποθανεῖται. κατὰ πάντας τοὺς λόγους τούτους ἔγραψε
πάσῃ τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐποίησεν ἐπισκόπους ἐπὶ πάντα
τὸν λαὸν, καὶ ἐνετείλατο ταῖς πόλεσιν ἰούδα θυσιάζειν κατὰ πό-
λιν, καὶ πόλιν. καὶ συνηθροίσθησαν ἀπὸ τοῦ λαοῦ πρὸς αὐτοὺς
πολλοὶ πᾶς ὁ ἐγκαταλιπὼν τὸν νόμον. καὶ ἐποίησαν κακὰ ἐν
τῇ γῇ, καὶ ἔθεντο τὸν ἰσραὴλ ἐν κρύφοις ἐν παντὶ φυγαδευ-
τηρίῳ αὐτῶν. καὶ πεντεκαιδεκάτῃ ἡμέρᾳ χασελεῦ τοῦ πέμ-
πτῳ. καὶ τεσσαρακοστῷ ἔτει ᾠκοδόμησαν βδέλυγμα ἐρημώσε-
ως ἐπὶ τὸ θυσιαστήριον. καὶ ἐν πόλεσιν ἰούδα κύκλῳ ᾠκοδόμησαν

βωμοὺς, καὶ ἐπὶ τῶν θυρῶν τῶν οἰκιῶν, καὶ ἐν ταῖς πλατείαις ἐθυμίων καὶ τὰ βιβλία τοῦ νόμου ἃ εὗρον ἐνεπύρισαν πυρὶ κατασχίσαντες καὶ ὅπου εὑρίσκετο παρά τινι βιβλίον διαθήκης, καὶ εἴ τις συνευδόκει τῷ νόμῳ, τὸ σύγκριμα τοῦ βασιλέως ἐθανάτου αὐτόν. ἐν ἰσχύι αὐτῶν ἐποίουν οὕτως τοῦ ἰσραὴλ τοῖς εὑρισκομένοις ἐν παντὶ μηνὶ καὶ μηνὶ ἐν ταῖς πόλεσι. καὶ πέμπτῃ καὶ εἰκάδι τοῦ μηνὸς θυσιάζοντες ἐπὶ τὸν βωμὸν ὃς ἦν ἐπὶ τοῦ θυσιαστηρίου. καὶ τὰς γυναῖκας τὰς περιτετμηκυίας τὰ τέκνα αὐτῶν ἐθανάτωσαν, καὶ τὰ προστάγματα. καὶ ἐκρέμασαν τὰ βρέφη ἐκ τῶν τραχήλων αὐτῶν καὶ τοὺς οἴκους αὐτῶν προνομεύσαν, καὶ τοὺς περιτετμηκότας αὐτοὺς ἐθανάτωσαν. καὶ πολλοὶ ἐν ἰσραὴλ ἐκραταιώθησαν καὶ ὠχυρώθησαν ἐν αὑτοῖς τοῦ μὴ φαγεῖν κοινά. καὶ ἐπεδέξαντο ἀποθανεῖν, ἵνα μὴ μιανθῶσι τοῖς βρώμασι. καὶ μὴ βεβηλώσωσι διαθήκην ἁγίαν καὶ ἀπέθανον. καὶ ἐγένετο ὀργὴ μεγάλη ἐπὶ ἰσραὴλ σφόδρα.

Κεφάλαιον β. 2.

ΕΝ ταῖς ἡμέραις ἐκείναις, ἀνέστη ματταθίας Ἰωάννου τοῦ συμεὼν. ἱερεὺς τῶν υἱῶν ἰωαρὶβ ἀπὸ ἱερουσαλὴμ καὶ ἐκάθισεν ἐν μωδεῒν, καὶ αὐτῷ υἱοὶ, πέντε ἰωαννὰν ὁ ἐπικαλούμενος, γαδδὶς. σίμων ὁ καλούμενος, θασί. ἰούδας ὁ ἐπικαλούμενος, μακκαβαῖος, ἐλεάζαρ ὁ ἐπικαλούμενος, αὐαράν. ἰωνάθαν ὁ ἐπικαλούμενος, ἀπφοῦς. καὶ εἶδε τὰς βλασφημίας τὰς γινομένας ἐν ἰούδα, καὶ ἱερουσαλὴμ, καὶ εἶπεν οἴμοι ἵνα τί τοῦτο ἐγεννήθην ἰδεῖν τὸ σύντριμμα τοῦ λαοῦ μου, καὶ τὸ σύντριμμα τῆς πόλεως τῆς ἁγίας. καὶ καθίσαι ἐκεῖ ἐν τῷ δοθῆναι αὐτὴν ἐν χειρὶ ἐχθρῶν. καὶ τὸ ἁγίασμα ἐν χειρὶ ἀλλοτρίων. ἐγένετο ὁ ναὸς αὐτῆς, ὡς ἀνὴρ ἄδοξος. τὰ σκεύη τῆς δόξης αὐτῆς, αἰχμάλωτα ἀπήχθη. ἀπεκτάνθη τὰ νήπια αὐτῆς ἐν ταῖς πλατείαις. οἱ νεανίσκοι αὐτῆς ἐν ῥομφαίᾳ αὐτοῦ. ποῖον ἔθνος οὐκ ἐκληρονόμησε βασιλείαν, καὶ οὐκ ἐκράτη-

σε τῶν σκύλων αὐτῆς. πᾶς ὁ κόσμος αὐτῆς ἀφῃρέθη. ἀντὶ ἐλευθέρας, ἐγένετο εἰς δούλην. καὶ ἰδοὺ τὰ ἅγια ἡμῶν, καὶ ἡ καλλονὴ ἡμῶν, καὶ ἡ δόξα ἡμῶν ἠρημώθη, καὶ ἐβεβήλωσαν αὐτὰ τὰ ἔθνη. ἵνα τί ἡμῖν ἔτι ζῆν. καὶ διέῤῥηξε ματταθίας, καὶ υἱοὶ αὐτοῦ τὰ ἱμάτια αὐτῶν. καὶ περιεβάλλοντο σάκκους καὶ ἐπένθησαν σφόδρα. καὶ ἦλθον οἱ παρὰ τοῦ βασιλέως οἱ καταναγκάζοντες τὴν ἀποστασίαν εἰς μωδεῒν τὴν πόλιν. ἵνα θυσιάσωσι. καὶ πολλὴ ἀπὸ ἰσραὴλ πρὸς αὐτοὺς προσῆλθον. καὶ ματταθίας καὶ οἱ υἱοὶ αὐτοῦ συνήχθησαν. καὶ ἀπεκρίθησαν οἱ παρὰ τοῦ βασιλέως, καὶ εἶπον τῷ ματταθίᾳ λέγοντες. ἄρχων καὶ ἔνδοξος καὶ μέγας εἶ ἐν τῇ πόλει ταύτῃ, καὶ ἐστηριγμένος ἐν υἱοῖς, καὶ ἀδελφοῖς. νῦν οὖν πρόσελθε πρῶτος, καὶ ποίησον τὸ πρόσταγμα τοῦ βασιλέως, ὡς ἐποίησαν πάντα τὰ ἔθνη, καὶ οἱ ἄνδρες ἰούδα, καὶ οἱ καταλειφθέντες ἐν ἱερουσαλήμ. καὶ ἔσῃ σὺ καὶ ὁ οἶκός σου τῶν φίλων τοῦ βασιλέως. καὶ σὺ καὶ οἱ υἱοί σου δοξασθήσεσθε ἀργυρίῳ, καὶ χρυσίῳ, καὶ ἀποστολαῖς πολλαῖς. καὶ ἀπεκρίθη ματταθίας, καὶ εἶπε φωνῇ μεγάλῃ. εἰ πάντα τὰ ἔθνη τὰ ἐν οἴκῳ τῆς βασιλείας τοῦ βασιλέως ἀκούουσιν αὐτοῦ ἀποστῆναι ἕκαστος ἀπὸ λατρείας πατέρων αὐτοῦ, καὶ ᾑρετίσαντο ἐν ταῖς ἐντολαῖς αὐτοῦ, κἀγὼ καὶ οἱ υἱοί μου, καὶ οἱ ἀδελφοί μου πορευσόμεθα ἐν διαθήκῃ πατέρων ἡμῶν. ἵλεως ἡμῖν καταλιπεῖν νόμον, καὶ δικαιώματα. τῶν λόγων τοῦ βασιλέως, οὐκ ἀκουσόμεθα τοῦ παρελθεῖν τὴν λατρείαν ἡμῶν δεξιὰν, ἢ ἀριστεράν. καὶ ὡς ἐπαύσατο λαλῶν τοὺς λόγους τούτους, προσῆλθεν ἀνὴρ ἰουδαῖος ἐν ὀφθαλμοῖς πάντων θυσιάσαι ἐπὶ τοῦ βωμοῦ τοῦ ἐν μωδεῒν κατὰ τὸ πρόσταγμα τοῦ βασιλέως. καὶ εἶδε ματταθίας, καὶ ἐζήλωσε, καὶ ἐτρόμησαν οἱ νεφροὶ αὐτοῦ. καὶ ἀνήνεγκε θυμὸν κατὰ τὸ κρίμα, καὶ δραμὼν, ἔσφαξεν αὐτὸν ἐπὶ τὸν βωμόν. καὶ τὸν ἄνδρα τοῦ βασιλέως τὸν ἀναγκάζοντα θύειν, ἀπέκτεινεν. ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ τὸν βωμὸν καθεῖλε καὶ ἐζήλωσε τῷ νόμῳ καθὼς ἐποίησε φινεὲς τῷ ζαμβρὶ υἱῷ

σαλώμ. καὶ ἀνέκραξε ματταθίας ἐν τῇ πόλει φωνῇ μεγάλῃ. πᾶς ὁ
ζηλῶν τῷ νόμῳ, καὶ ἱστῶν διαθήκην, ἐξελθέτω ὀπίσω μου. καὶ
ἔφυγον αὐτὸς, καὶ οἱ υἱοὶ αὐτοῦ ὡς τὰ ὄρη, καὶ ἐγκατέλιπον ὅ-
σα εἶχον ἐν τῇ πόλει. τότε κατέβησαν πολλοὶ ζητοῦντες δικαι-
οσύνην, καὶ κρίμα εἰς τὴν ἔρημον καθίσαι ἐκεῖ. αὐτοὶ καὶ οἱ υἱοὶ
αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν, ὅτι ἐπληθύν-
θη ἐπ' αὐτοὺς τὰ κακά. καὶ ἀνηγγέλη τοῖς ἀνδράσι τοῦ βασιλέ-
ως, καὶ ταῖς δυνάμεσιν αἳ ἦσαν ἐν ἱερουσαλὴμ πόλει δαβὶδ
ὅτι κατέβησαν ἄνδρες οἵτινες διεσκέδασαν τὴν ἐντολὴν τοῦ βα-
σιλέως, εἰς τοὺς κρύφους ἐν τῇ ἐρήμῳ. καὶ ἔδραμον ὀπίσω αὐ-
τῶν πολλοὶ, καὶ καταλαβόντες αὐτοὺς, παρενέβαλον ἐπ' αὐτοὺς
καὶ συνεστήσαντο πρὸς αὐτοὺς πόλεμον ἐν τῇ ἡμέρᾳ τῶν
σαββάτων. καὶ εἶπον πρὸς αὐτοὺς, ἕως τοῦ νῦν ἱκανόν. ἐξέλθετε
καὶ ποιήσατε κατὰ τὸν λόγον τοῦ βασιλέως, καὶ ζήσεσθε. καὶ εἶπον
οὐκ ἐξελευσόμεθα οὐδὲ ποιήσομεν τὸν λόγον τοῦ βασιλέως τοῦ
βεβηλῶσαι τὴν ἡμέραν τῶν σαββάτων. καὶ ἐτάχυναν ἐπ' αὐτοὺς
πόλεμον καὶ οὐκ ἀπεκρίθησαν αὐτοῖς, οὐδὲ λίθον ἐνετίναξαν
αὐτοῖς. οὐδὲ ἐνέφραξαν τοὺς κρύφους. λέγοντες. ἀποθάνωμεν
ἐν τῇ ἁπλότητι ἡμῶν πάντες. μαρτυρεῖ ἐφ' ἡμᾶς ὁ οὐρανὸς καὶ ἡ
γῆ, ὅτι ἀκρίτως ἀπόλλυτε ἡμᾶς. καὶ ἀνέστησαν ἐπ' αὐτοὺς ἐν τῷ
πολέμῳ τοῖς σάββασι. καὶ ἀπέθανον αὐτοὶ. καὶ αἱ γυναῖκες αὐ-
τῶν. καὶ τὰ τέκνα αὐτῶν. καὶ τὰ κτήνη αὐτῶν, ἕως χιλίων ψυ-
χῶν ἀνθρώπων. καὶ ἔγνω ματταθίας καὶ οἱ φίλοι αὐτοῦ, καὶ ἐπένθησαν
ἐπ' αὐτοὺς, ἕως σφόδρα. καὶ εἶπεν ἀνὴρ τῷ πλησίον αὐτοῦ. ἐ-
ὰν πάντες ποιήσωμεν, ὡς οἱ ἀδελφοὶ ἡμῶν ἐποίησαν, καὶ μὴ
πολεμήσωμεν πρὸς τὰ ἔθνη ὑπὲρ τῶν ψυχῶν ἡμῶν, καὶ τῶν δι-
καιωμάτων νῦν τάχιον ἡμᾶς ἐξολοθρεύσουσιν ἀπὸ τῆς γῆς. καὶ
ἐβουλεύσαντο τῇ ἡμέρᾳ ἐκείνῃ λέγοντες πᾶς ἄνθρωπος ὃς ἐὰν
ἔλθῃ πρὸς ἡμᾶς εἰς πόλεμον τῇ ἡμέρᾳ τῶν σαββάτων πολεμή-
σωμεν κατέναντι αὐτοῦ, καὶ οὐ μὴ ἀποθάνωμεν πάντες καθὼς αἱ

πέθανον οἱ ἀδελφοὶ ἡμῶν ἐν τοῖς κρύφοις· τότε συνήχθησαν πρὸς αὐτοὺς συναγωγὴ ἀσιδαίων ἰσχυροὶ δυνάμει ἀπὸ ἰσραὴλ πᾶς ὁ ἑκουσιαζόμενος τῷ νόμῳ, καὶ πάντες οἱ φυγαδεύοντες ἀπὸ τῶν κακῶν προσετέθησαν αὐτοῖς· καὶ ἐγένοντο αὐτοῖς εἰς στήριγμα· καὶ συνεστήσαντο δύναμιν· καὶ ἐπάταξαν ἁμαρτωλοὺς ἐν ὀργῇ αὐτῶν, καὶ ἄνδρας ἀνόμους ἐν θυμῷ αὐτῶν· καὶ οἱ λοιποὶ ἔφυγον εἰς τὰ ἔθνη σωθῆναι· καὶ ἐκύκλωσε ματταθίας, καὶ οἱ φίλοι αὐτοῦ, καὶ καθεῖλον τοὺς βωμούς· καὶ περιέτεμον τὰ παιδάρια τὰ ἀπερίτμητα ὅσα εὗρον ἐν ὁρίοις ἰσραὴλ ἐν ἰσχύϊ· καὶ ἐδίωξαν τοὺς υἱοὺς τῆς ὑπερηφανίας, καὶ κατευοδώθη τὸ ἔργον ἐν χειρὶ αὐτῶν· καὶ ἀντελάβοντο τοῦ νόμου ἐκ χειρὸς τῶν ἐθνῶν, καὶ ἐκ χειρὸς τῶν βασιλέων, καὶ οὐκ ἔδωκαν κέρας τῷ ἁμαρτωλῷ. καὶ ἤγγισαν αἱ ἡμέραι τοῦ ματταθίου ἀποθανεῖν· καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ· νῦν ἐστηρίχθη ὑπερηφανία, καὶ ἐλεγμός. καὶ καιρὸς καταστροφῆς, καὶ ὀργὴ θυμοῦ. καὶ νῦν τέκνα ζηλώσατε τῷ νόμῳ, καὶ δότε τὰς ψυχὰς ὑμῶν ὑπὲρ διαθήκης πατέρων ἡμῶν· μνήσθητε τῶν πατέρων ἡμῶν τὰ ἔργα ἃ ἐποίησαν ἐν ταῖς γενεαῖς αὐτῶν· καὶ δέξασθε δόξαν μεγάλην, καὶ ὄνομα αἰώνιον· ἀβραὰμ οὐκ ἐν πειρασμῷ εὑρέθη πιστὸς καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην; ἰωσὴφ ἐν καιρῷ στενοχωρίας αὐτοῦ ἐφύλαξεν ἐντολήν, καὶ ἐγένετο κύριος αἰγύπτου· φινεὲς ὁ πατὴρ ἡμῶν ἐν τῷ ζηλῶσαι ζῆλον· ἔλαβε διαθήκην ἱερωσύνης αἰωνίας· Ἰησοῦς ἐν τῷ πληρῶσαι λόγον, ἐγένετο κριτὴς ἐν ἰσραήλ· χάλεφ ἐν τῷ ἐπιμαρτύρασθαι ἐν τῇ ἐκκλησίᾳ, ἔλαβε γῆς κληρονομίαν· δαβὶδ ἐν τῷ ἐλέει αὐτοῦ, ἐκληρονόμησε θρόνον βασιλείας εἰς αἰῶνα αἰῶνος· ἠλίας ἐν τῷ ζηλῶσαι ζῆλον νόμου, ἀνελήφθη ὡς εἰς τὸν οὐρανόν· ἀνανίας· ἀζαρίας, μισαήλ, πιστεύσαντες, ἐσώθησαν ἐκ φλογός, δανιὴλ ἐν τῇ ἁπλότητι αὐτοῦ, ἐρρύσθη ἐκ στόματος λεόντων· καὶ οὕτως ἐννοήθητε κατὰ γενεὰν καὶ γενεάν, ὅτι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτὸν, οὐκ ἀσθενήσουσι· καὶ

ἀπὸ λόγων ἀνδρὸς ἁμαρτωλοῦ μὴ φοβηθῆτε· ὅτι ἡ δόξα αὐτοῦ εἰς κόπρια καὶ εἰς σκώληκας· σήμερον ἐπαρθήσεται· καὶ αὔριον οὐ μὴ εὑρεθῇ· ὅτι ἐπέστρεψεν εἰς τὸν χοῦν αὐτοῦ· καὶ ὁ διαλογισμὸς αὐτοῦ ἀπώλετο· καὶ ὑμεῖς τέκνα ἰσχύσατε, καὶ ἀνδρίζεσθε ἐν τῷ νόμῳ, ὅτι ἐν αὐτῷ δοξασθήσεσθε· καὶ ἰδοὺ συμεὼν ὁ ἀδελφὸς ὑμῶν· εἶδα ὅτι ἀνὴρ βουλῆς ἐστιν, αὐτοῦ ἀκούετε πάσας τὰς ἡμέρας· αὐτὸς ὑμῖν ἔσται εἰς πατέρα· καὶ ἰούδας μακκαβαῖος αὐτὸς ἰσχυρὸς δυνάμει καὶ ἐκ νεότητος αὐτοῦ· οὗτος ὑμῖν ἔσται ἄρχων στρατιᾶς, καὶ πολεμήσετε πόλεμον λαῶν· καὶ ὑμεῖς προσάξατε πρὸς ὑμᾶς πάντας τοὺς ποιητὰς τοῦ νόμου, καὶ ἐκδικήσατε ἐκδίκησιν τοῦ λαοῦ ὑμῶν· ἀνταπόδοτε ἀνταπόδομα τοῖς ἔθνεσι, καὶ προσέχετε εἰς τὰ προστάγματα τοῦ νόμου· καὶ εὐλόγησεν αὐτοὺς καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ ἀπέθανεν ἐν τῷ ἕκτῳ, καὶ τεσσαρακοστῷ καὶ ἑκατοστῷ ἔτει· καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν τάφοις πατέρων αὐτοῦ ἐν μωδεΐν, καὶ ἐκόψαντο αὐτὸν πᾶς ἰσραὴλ κοπετὸν μέγαν.

## Κεφάλαιον γ. 3

Αι ἀνέστη ἰούδας ὁ καλούμενος μακκαβαῖος υἱὸς
κ αὐτοῦ ἀντ' αὐτοῦ· καὶ ἐβοήθουν αὐτῷ πάντες οἱ ἀδελφοὶ αὐτοῦ· καὶ πάντες ὅσοι ἐκολλήθησαν τῷ πατρὶ αὐτοῦ, καὶ ἐπολέμουν τὸν πόλεμον ἰσραὴλ μετ' εὐφροσύνης· καὶ ἐπλάτυνε δόξαν τῷ λαῷ αὐτοῦ, καὶ ἐνεδύσατο θώρακα, ὡς γίγας· καὶ συνεζώσατο τὰ σκεύη αὐτοῦ, τὰ πολεμικά, πολέμους καὶ συνεστήσατο σκεπάζων παρεμβολὴν ἐν ῥομφαίᾳ· καὶ ὡμοιώθη λέοντι ἐν τοῖς ἔργοις αὐτοῦ· καὶ ὡς σκύμνος ἐρευγόμενος εἰς θήραν· καὶ ἐδίωξεν ἀνόμους ἐξερευνῶν, καὶ τοὺς ταράσσοντας τὸν λαὸν αὐτοῦ ἐφλόγισε· καὶ συνεστάλησαν οἱ ἄνομοι ἀπὸ τοῦ φόβου αὐτοῦ, καὶ πάντες οἱ ἐργάται τῆς ἀνομίας συνεταράχθησαν· καὶ εὐοδώθη σωτηρία ἐν χειρὶ αὐτοῦ· καὶ ἐπίκρανε βασιλεῖς πολλούς· καὶ εὔφρανε τὸν ἰακὼβ ἐν τοῖς ἔργοις αὐτοῦ· καὶ

ἕως τοῦ αἰῶνος τὸ μνημόσυνον αὐτοῦ εἰς εὐλογίαν. καὶ διῆλθεν ἐν πόλεσιν Ἰούδα. καὶ ἐξωλόθρευσεν ἀσεβεῖς ἐξ αὐτῆς. καὶ ἀπέστρεψεν ὀργὴν ἀπὸ Ἰσραήλ. καὶ ὠνομάσθη ἕως ἐσχάτου τῆς γῆς. καὶ συνήγαγεν ἀπολλυμένους. καὶ συνήγαγεν Ἀπολλώνιος ἔθνη, καὶ ἀπὸ Σαμαρείας δύναμιν μεγάλην τοῦ πολεμῆσαι πρὸς Ἰσραήλ. καὶ ἔγνω Ἰούδας καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἀπέκτεινεν αὐτόν. καὶ ἔπεσον τραυματίαι πολλοί. καὶ οἱ ἐπίλοιποι ἔφυγον. καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ τὴν μάχαιραν Ἀπολλωνίου ἔλαβεν Ἰούδας. καὶ ἦν πολεμῶν ἐν αὐτῇ πάσας τὰς ἡμέρας. καὶ ἤκουσε Σήρων ὁ ἄρχων τῆς δυνάμεως Συρίας, ὅτι ἤθροισεν Ἰούδας ἄθροισμα, καὶ ἐκκλησίαν πιστῶν μετ' αὐτοῦ, καὶ ἐκπορευομένων εἰς πόλεμον. καὶ εἶπε ποιήσω ἐμαυτῷ ὄνομα, καὶ δοξασθήσομαι ἐν τῇ βασιλείᾳ. καὶ πολεμήσω τὸν Ἰούδαν, καὶ τοὺς σὺν αὐτῷ, καὶ τοὺς ἐξουδενοῦντας τὸν λόγον τοῦ βασιλέως. καὶ προσέθετο τοῦ ἀναβῆναι καὶ ἀνέβη μετ' αὐτοῦ παρεμβολὴ ἀσεβῶν ἰσχυρὰ βοηθῆσαι αὐτῷ, καὶ ποιῆσαι τὴν ἐκδίκησιν ἐν υἱοῖς Ἰσραήλ. καὶ ἤγγισεν ἕως ἀναβάσεως Βαιθωρῶν. καὶ ἐξῆλθεν Ἰούδας εἰς συνάντησιν αὐτῷ ὀλιγοστός. ὡς δὲ εἶδον τὴν παρεμβολὴν ἐρχομένην εἰς συνάντησιν αὐτοῖς, εἶπον τῷ Ἰούδᾳ. τί δυνησόμεθα ὀλιγοστοὶ ὄντες πολεμῆσαι πρὸς πλῆθος τοσοῦτον ἰσχυρόν. καὶ ἡμεῖς ἐκλελύμεθα ἀσιτοῦντες σήμερον. καὶ εἶπεν Ἰούδας εὔκοπόν ἐστι συγκλεισθῆναι πολλοὺς ἐν χερσὶν ὀλίγων. καὶ οὐκ ἔστι διαφορὰ ἐναντίον τοῦ οὐρανοῦ σώζειν ἐν πολλοῖς, ἢ ἐν ὀλίγοις. ὅτι οὐκ ἐν πλήθει δυνάμεως νίκη πολέμου ἐστὶν, ἀλλ' ἡ ἐκ τοῦ οὐρανοῦ ἡ ἰσχύς. αὐτοὶ ἔρχονται πρὸς ἡμᾶς ἐν πλήθει ὕβρεως καὶ ἀνομίας τοῦ ἐξᾶραι ἡμᾶς, καὶ τὰς γυναῖκας ἡμῶν καὶ τὰ τέκνα ἡμῶν τοῦ σκυλεῦσαι ἡμᾶς, ἡμεῖς δὲ πολεμοῦμεν περὶ τῶν ψυχῶν ἡμῶν, καὶ τῶν νομίμων ἡμῶν. καὶ αὐτὸς συντρίψει αὐτοὺς κατὰ πρόσωπον ἡμῶν. ὑμεῖς δὲ μὴ φοβεῖσθε ἀπ' αὐτῶν. ὡς δὲ ἐπαύσατο λα-

λῶν, ἐνήλλατο εἰς αὐτοὺς ἄφνω. καὶ συνετρίβη σήρων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἐνώπιον αὐτοῦ. καὶ ἐδίωκον αὐτοὺς ἐν τῇ καταβάσει βαιθωρῶν, ἕως τοῦ πεδίου, καὶ ἔπεσον ἀπ' αὐτῶν εἰς ἄνδρας, ὀκτακοσίους. οἱ δὲ λοιποὶ, ἔφυγον εἰς γῆν φυλιστιίμ, καὶ ἤρξατο ὁ φόβος ἰούδα, καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἡ πτόησις ἐπιπίπτεν ἐπὶ τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν. καὶ ἤγγισεν ἕως τοῦ βασιλέως τὸ ὄνομα αὐτοῦ. καὶ ὑπὲρ τῶν παρατάξεων ἰούδα ἐξηγεῖτο πᾶν ἔθνος. ὡς δὲ ἤκουσεν ἀντίοχος ὁ βασιλεὺς τοὺς λόγους τούτους, ὠργίσθη θυμῷ, καὶ ἀπέστειλε καὶ συνήγαγε τὰς δυνάμεις πάσας τῆς βασιλείας αὐτοῦ παρεμβολὴν ἰσχυρὰν σφόδρα. καὶ ἤνοιξε τὸ γαζοφυλάκιον αὐτοῦ, καὶ ἔδωκεν ὀψώνια ταῖς δυνάμεσιν αὐτοῦ εἰς ἐνιαυτόν. καὶ ἐνετείλατο αὐτοῖς εἰς ἐνιαυτὸν εἶναι ἑτοίμους εἰς πᾶσαν χρείαν. καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ἀργύριον ἀπὸ τῶν θησαυρῶν. καὶ οἱ φορολόγοι τῆς χώρας ὀλίγοι, χάριν τῆς διχοστασίας, καὶ πληγῆς ἧς κατεσκεύασεν ἐν τῇ γῇ τοῦ ἆραι τὰ νόμιμα ἃ ἦσαν ἀφ' ἡμερῶν τῶν πρώτων, καὶ εὐλαβήθη μὴ οὐκ ἔχῃ ὡς ἅπαξ, καὶ δὶς εἰς τὰς δαπάνας, καὶ τὰ δόματα ἃ ἐδίδου ἔμπροσθεν δαψιλεῖ χειρί. καὶ ἐπερίσσευσεν ὑπὲρ τοὺς βασιλεῖς τοὺς πρώτους δαψιλεῖ χειρί. καὶ ἠπορεῖτο τῇ ψυχῇ αὐτοῦ σφόδρα, καὶ ἐβουλεύσατο τοῦ πορευθῆναι εἰς τὴν περσίδα, καὶ λαβεῖν τοὺς φόρους τῶν χωρῶν. καὶ συναγαγεῖν ἀργύριον πολύ. καὶ κατέλιπε λυσίαν ἄνθρωπον ἔνδοξον, καὶ ἀπὸ γένους τῆς βασιλείας ἐπὶ τῶν πραγμάτων τοῦ βασιλέως ἀπὸ τοῦ ποταμοῦ εὐφράτου, ἕως τῶν ὁρίων αἰγύπτου. καὶ τρέφειν ἀντίοχον τὸν υἱὸν αὐτοῦ, ἕως τοῦ ἐπιστρέψαι αὐτόν. καὶ παρέδωκεν αὐτῷ τὰς ἡμίσεις τῶν δυνάμεων, καὶ τοὺς ἐλέφαντας. καὶ ἐνετείλατο αὐτῷ περὶ πάντων ὧν ἐβούλετο, καὶ περὶ τῶν κατοικούντων τὴν ἰουδαίαν, καὶ ἱερουσαλὴμ ἀποστεῖλαι ἐπ' αὐτοὺς δύναμιν τοῦ ἐκτρίψαι καὶ ἐξᾶραι τὴν ἰσχὺν ἰσραὴλ, καὶ τὸ κατάλειμμα ἱερουσαλὴμ.

καὶ ἆραι τὸ μνημόσυνον αὐτῶν ἀπὸ τοῦ τόπου. καὶ κατοικῆσαι υἱοὺς ἀλλογενεῖς ἐν πᾶσι τοῖς ὁρίοις αὐτῶν, καὶ κατακληροδοτῆσαι τὴν γῆν αὐτῶν. καὶ ὁ βασιλεὺς παρέλαβε τὰς ἡμίσεις τῶν δυνάμεων τὰς καταλειφθείσας, καὶ ἀπῆρεν ἀπὸ ἀντιοχείας ἀπὸ πόλεως βασιλείας αὐτοῦ, ἔτους ἑβδόμου καὶ τεσσαρακοστοῦ καὶ ἑκατοστοῦ. καὶ διεπέρασε τὸν εὐφράτην ποταμὸν, καὶ διεπορεύετο τὰς ἐπάνω χώρας. καὶ ἐπέλεξε λυσίας πτολεμαῖον τὸν, δορυμένους, καὶ νικάνορα καὶ γοργίαν ἄνδρας δυνατοὺς τῶν φίλων τοῦ βασιλέως. καὶ ἀπέστειλε μετ᾿ αὐτῶν τεσσαράκοντα χιλιάδας ἀνδρῶν. καὶ ἑπτακισχιλίαν ἵππον τοῦ ἐλθεῖν εἰς γῆν ἰούδα, καὶ καταφθεῖραι αὐτὴν κατὰ τὸν λόγον τοῦ βασιλέως. καὶ ἀπῆραν σὺν πάσῃ τῇ δυνάμει αὐτῶν, καὶ ἦλθον καὶ παρενέβαλον πλησίον ἐμμαοὺμ ἐν τῇ γῇ τῇ πεδινῇ. καὶ ἤκουσαν οἱ ἔμποροι τῆς χώρας τὸ ὄνομα αὐτῶν. καὶ ἔλαβον ἀργύριον, καὶ χρυσίον πολὺ σφόδρα, καὶ παῖδας καὶ ἦλθον εἰς τὴν παρεμβολὴν τοῦ λαβεῖν τοὺς υἱοὺς ἰσραὴλ εἰς παῖδας. καὶ προσεγεννήθησαν πρὸς αὐτοὺς δύναμις συρίας καὶ γῆς ἀλλοφύλων. καὶ εἶδεν ἰούδας, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι ἐπληθύνθη τὰ κακά. καὶ αἱ δυνάμεις παρεμβάλλουσιν ἐν τοῖς ὁρίοις αὐτῶν. καὶ ἐπέγνωσαν τοὺς λόγους τοῦ βασιλέως οὓς ἐνετείλατο ποιῆσαι τῷ λαῷ εἰς ἀπώλειαν, καὶ συντέλειαν, καὶ εἶπον ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, ἀναστήσωμεν τὴν καθαίρεσιν τοῦ λαοῦ ἡμῶν. καὶ πολεμήσωμεν περὶ τοῦ λαοῦ ἡμῶν, καὶ τῶν ἁγίων. καὶ ἠθροίσθη ἡ συναγωγὴ τοῦ εἶναι ἑτοίμους εἰς πόλεμον. καὶ τοῦ προσεύξασθαι, καὶ αἰτῆσαι ἔλεον, καὶ οἰκτιρμούς. Καὶ ἱερουσαλὴμ ἦν ἀοίκητος ὡς ἔρημος. οὐκ ἦν ὁ εἰσπορευόμενος, καὶ ἐκπορευόμενος ἐκ τῶν γεννημάτων αὐτῆς. καὶ τὸ ἁγίασμα καταπατούμενον, καὶ υἱοὶ ἀλλογενῶν ἐν τῇ ἄκρᾳ. κατάλυμα ἐν τοῖς ἔθνεσι. καὶ ἐξήρθη τέρψις ἐξ ἰακώβ. καὶ ἐξέλιπεν αὐλὸς καὶ κινύρα. καὶ συνήχθησαν καὶ ἦλθοσαν εἰς μασσηφὰ κατέ-

ναντι ἱλήμ. ὅτι τόπος προσευχῆς εἰς μασιφὰ τὸ πρότερον τῷ ἰηλ. καὶ ἐνήστευσαν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ περιεβάλοντο σάκκους, καὶ σποδὸν ἐπὶ τὰς κεφαλὰς αὐτῶν. καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν. καὶ ἐξεπέτασαν τὸ βιβλίον τοῦ νόμου περὶ ὧν ἐξηρεύνων τὰ ἔθνη τοῦ ἐπιγράφειν ἐπ' αὐτῶν τὰ ὁμοιώματα τῶν εἰδώλων αὐτῶν. καὶ ἤνεγκαν τὰ ἱμάτια τῆς ἱερωσύνης, καὶ τὰ πρωτογενήματα καὶ τὰς δεκάτας. Καὶ ἤγειραν τοὺς ναζιραίους οἳ ἐπλήρωσαν τὰς ἡμέρας, καὶ ἐβόησαν φωνῇ εἰς τὸν οὐρανὸν λέγοντες· τί ποιήσωμεν τούτοις, καὶ ποῦ αὐτοὺς ἀπαγάγωμεν, καὶ τὰ ἅγιά σου καταπεπάτηνται, καὶ βεβήλωται. καὶ οἱ ἱερεῖς σου, ἐν πένθει καὶ ταπεινώσει. καὶ ἰδοὺ τὰ ἔθνη συνῆκται ἐφ' ἡμᾶς τοῦ ἐξᾶραι ἡμᾶς. σὺ οἶδας ἃ λογίζονται ἐφ' ἡμᾶς. πῶς δυνησόμεθα ὑποστῆναι κατὰ πρόσωπον αὐτῶν ἐὰν μὴ σὺ βοηθήσῃς ἡμῖν. καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν φωνῇ μεγάλῃ. καὶ μετὰ τοῦτο, κατέστησεν ἰούδας ἡγουμένους τοῦ λαοῦ χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους. καὶ εἶπον τοῖς οἰκοδομοῦσιν οἰκίας καὶ μνηστευομένοις γυναῖκας. καὶ φυτεύουσιν ἀμπελῶνας, καὶ δειλοῖς. ἀποστρέφειν ἕκαστον εἰς τὸν οἶκον αὐτοῦ κατὰ τὸν νόμον. καὶ ἀπῆρεν ἡ παρεμβολή, καὶ παρενέβαλε κατὰ νότον ἐμμαούμ. καὶ εἶπεν ἰούδας, περιζώσασθε καὶ γίνεσθε εἰς υἱοὺς δυνατούς. καὶ γίνεσθε ἕτοιμοι εἰς τὸ πρωῒ τοῦ πολεμῆσαι ἐν τοῖς ἔθνεσι τούτοις τοῖς ἐπισυνηγμένοις ἐφ' ἡμᾶς ἐξᾶραι ἡμᾶς καὶ τὰ ἅγια ἡμῶν, ὅτι κρεῖσσον ἡμᾶς ἀποθανεῖν ἐν τῷ πολέμῳ, ἢ ἐπιδεῖν ἐπὶ τὰ κακὰ τοῦ ἔθνους ἡμῶν. καὶ τῶν ἁγίων. ὡς δ' ἂν ᾖ θέλημα ἐν οὐρανῷ, οὕτω ποιήσει.

Κεφάλαιον δ'. 4.

Καὶ παρενέβαλε γοργίας πεντακισχιλίους ἄνδρας καὶ χιλίαν ἵππον ἐκλεκτήν. καὶ ἀπῆρεν ἡ παρεμβολὴ νυκτὸς ὥστε ἐπιβαλεῖν ἐπὶ τὴν παρεμβολὴν τῶν ἰουδαίων. καὶ πατάξαι αὐτοὺς ἄφνω. καὶ οἱ υἱοὶ τῆς ἄ-

κρας ἦσαν αὐτῷ ὁδηγοί. καὶ ἤκουσεν ἰούδας καὶ ἀπῆρεν αὐτὸς καὶ οἱ δυνατοὶ πατάξαι τὴν δύναμιν τοῦ βασιλέως τὴν ἐν ἐμμαούμ. ἕως ἔτι αἱ δυνάμεις ἐσκορπισμέναι ἦσαν ἀπὸ τῆς παρεμβολῆς. καὶ ἦλθε γοργίας εἰς τὴν παρεμβολὴν ἰούδα νυκτός, καὶ οὐδένα εὗρε. καὶ ἐζήτει αὐτοὺς ἐν τοῖς ὄρεσιν. ὅτι εἶπε φεύγουσιν οὗτοι ἀφ᾽ ἡμῶν. καὶ ἅμα τῇ ἡμέρᾳ, ὤφθη ἰούδας ἐν τῷ πεδίῳ ἐν τρισχιλίοις ἀνδράσι. πλὴν, καλυμμάτων καὶ μαχαιρῶν οὐκ εἶχον καθὼς ἠβούλοντο. καὶ εἶδον παρεμβολὴν ἐθνῶν ἰσχυρὰν τεθωρακισμένην. καὶ ἵππον κυκλοῦσαν αὐτὴν, καὶ οὗτοι διδακτοὶ πολέμου. καὶ εἶπεν ἰούδας τοῖς ἀνδράσι τοῖς μετ᾽ αὐτοῦ, μὴ φοβεῖσθε τὸ πλῆθος αὐτῶν. καὶ τὸ ὅρμημα αὐτῶν μὴ δειλωθῆτε. μνήσθητε ὡς ἐσώθησαν οἱ πατέρες ἡμῶν ἐν θαλάσσῃ ἐρυθρᾷ. ὅτε ἐδίωξεν αὐτοὺς φαραὼ ἐν δυνάμει. καὶ νῦν βοήσωμεν εἰς τὸν οὐρανὸν εἰ πῶς ἐλεήσει ἡμᾶς. καὶ μνησθήσεται διαθήκης πατέρων. καὶ συντρίψει τὴν παρεμβολὴν ταύτην κατὰ πρόσωπον ἡμῶν σήμερον. καὶ γνώσονται πάντα τὰ ἔθνη, ὅτι ἔστιν ὁ λυτρούμενος, καὶ ὁ σώζων τὸν ἰσραήλ, καὶ ἦραν οἱ ἀλλόφυλοι τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον αὐτοὺς ἐρχομένους ἐξ ἐναντίας, καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς εἰς πόλεμον. καὶ ἐσάλπισαν οἱ μετὰ ἰούδου, καὶ συνῆψαν καὶ συνετρίβησαν τὰ ἔθνη, καὶ ἔφυγον εἰς τὸ πεδίον. οἱ δὲ ἔσχατοι πάντες ἔπεσον ἐν ῥομφαίᾳ. καὶ ἐδίωξαν αὐτούς, ἕως ἀσαρημώθ, καὶ ἕως τῶν πεδίων τῆς ἰδουμαίας, καὶ ἀζώτου καὶ ἰαμνίας. καὶ ἔπεσον αὐτῶν εἰς ἄνδρας τρισχιλίους. καὶ ἐπέστρεψεν ἰούδας καὶ ἡ δύναμις ἀπὸ τοῦ διώκειν ὄπισθεν αὐτῶν, καὶ εἶπε πρὸς τὸν λαόν. μὴ ἐπιθυμήσητε τῶν σκύλων, ὅτι πόλεμος ἐξ ἐναντίας ἡμῶν. καὶ γοργίας καὶ ἡ δύναμις ἐν τῷ ὄρει ἐγγὺς ἡμῶν. ἀλλὰ στῆτε νῦν ἐναντίον τῶν ἐχθρῶν ἡμῶν, καὶ πολεμήσατε αὐτούς. καὶ μετὰ ταῦτα, λήψετε τὰ σκῦλα μετὰ παῤῥησίας. ἔτι λαλοῦντος ἰούδα ταῦτα, ὤφθη μέρος τι ἐκκύπτον ἐκ τοῦ

ὄρους καὶ εἶδον, ὅτι τετρόπωνται καὶ ἐμπυρίζουσιν οἱ περὶ ἰού-
δαν τὴν παρεμβολήν, ὁ γὰρ καπνὸς θεωρούμενος, ἐνεφάνιζε
τὸ γεγονός. οἱ δὲ ταῦτα συνιδόντες, ἐδειλώθησαν σφόδρα·
συνιδόντες δὲ καὶ τὴν ἰούδα παρεμβολὴν ἐν τῷ πεδίῳ ἑτοί-
μην εἰς παράταξιν, ἔφυγον πάντες εἰς γῆν ἀλλοφύλων. καὶ ἀνέ-
στρεψεν ἰούδας ἐπὶ τὴν σκυλείαν τῆς παρεμβολῆς. καὶ ἔλαβον
χρυσίον πολύ, καὶ ἀργύριον, καὶ ὑάκινθον καὶ πορφύραν θα-
λασσίαν καὶ πλοῦτον μέγαν. καὶ ἐπιστραφέντες ὕμνουν καὶ εὐ-
λόγουν εἰς οὐρανόν, ὅτι καλὸν ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.
καὶ ἐγένετο σωτηρία μεγάλη τῷ ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
ὅσοι δὲ τῶν ἀλλοφύλων διεσώθησαν, παραγενηθέντες ἀπήγ-
γειλαν τῷ λυσίᾳ πάντα τὰ συμβεβηκότα. ὁ δέ, ἀκούσας,
συνεχύθη καὶ ἠθύμει, ὅτι οὐχ οἷα ἤθελε τοιαῦτα γεγόνει τῷ ἰ-
σραήλ. καὶ οὐχ οἷα ἐνετείλατο αὐτῷ ὁ βασιλεὺς τοιαῦτα ἐξέ-
βη. καὶ ἐν τῷ ἐρχομένῳ ἐνιαυτῷ, συνελόχησεν ὁ λυσίας ἀν-
δρῶν ἐπιλέκτων, ξ' χιλιάδας, καὶ πεντακισχιλίαν ἵππον ὥστε
ἐκπολεμῆσαι ἰερουσαλήμ. καὶ ἦλθον εἰς τὴν ἰδουμαίαν, καὶ
παρενέβαλον ἐν βαιθσούροις. καὶ συνήντησεν αὐτοῖς ἰούδας
ἐν δέκα χιλιάσιν ἀνδρῶν, καὶ εἶδε τὴν παρεμβολὴν ἰσχυράν.
καὶ προσηύξατο καὶ εἶπεν εὐλογητὸς εἶ ὁ σωτὴρ τοῦ ἰσραὴλ ὁ συν-
τρίψας τὸ ὅρμημα τοῦ δυνατοῦ ἐν χειρὶ τοῦ δούλου σου δαβὶδ
καὶ παρέδωκας τὴν παρεμβολὴν τῶν ἀλλοφύλων εἰς χεῖρας ἰω-
νάθαν υἱοῦ σαοὺλ, καὶ τοῦ αἴροντος τὰ σκεύη αὐτοῦ. συγκλεὶς τὴν
παρεμβολὴν ταύτην ἐν χειρὶ λαοῦ σου ἰσραήλ. καὶ αἰσχυνθή-
τωσαν ἐπὶ τῇ δυνάμει καὶ τῇ ἵππῳ αὐτῶν. δὸς αὐτοῖς δει-
λίαν, καὶ τῆξον θράσος ἰσχύος αὐτῶν. καὶ σαλευθήτωσαν
τῇ συντριβῇ αὐτῶν. κατάβαλε αὐτοὺς ῥομφαίᾳ ἀγαπώντων
σε, καὶ αἰνεσάτωσάν σε πάντες οἱ εἰδότες τὸ ὄνομά σου, ἐν
ὕμνοις. καὶ συνέβαλον ἀλλήλοις καὶ ἔπεσον ἐκ τῆς παρεμβο-
λῆς λυσίου, εἰς πεντακισχιλίους ἄνδρας, καὶ ἔπεσον ἐξ ἐναντίας

αὐτῶν. ἰδὼν δὲ λυσίας τὴν γενομένην τροπὴν τῆς αὐτοῦ συντάξεως. τῆς δὲ ἰούδα τὸ γεγενημένον θάρσος, καὶ ὡς ἕτοιμοί εἰσιν, ἢ ζῆν ἢ τεθνάναι γενναίως, ἀπῆρεν εἰς ἀντιόχειαν καὶ ἐξενολόγει. καὶ πλεονάσας τὸν γεννηθέντα στρατὸν, ἐλογίζετο πάλιν γεννηθέντα παραγενέσθαι εἰς τὴν ἰουδαίαν. εἶπε δὲ ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ἰδοὺ συνετρίβησαν οἱ ἐχθροὶ ἡμῶν, ἀναβῶμεν καθαρίσαι τὰ ἅγια, καὶ ἐγκαινίσαι. καὶ συνήχθη ἡ παρεμβολὴ πᾶσα, καὶ ἀνέβησαν εἰς ὄρος σιών. καὶ εἶδον τὸ ἁγίασμα ἠρημωμένον, καὶ τὸ θυσιαστήριον βεβηλωμένον. καὶ τὰς πύλας κατακεκαυμένας, καὶ ἐν ταῖς αὐλαῖς φυτὰ πεφυκότα, ὡς ἐν δρυμῷ, ἢ ὡς ἐν ἑνὶ τῶν ὀρέων. καὶ τὰ παστοφόρια καθῃρημένα. καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν, καὶ ἐκόψαντο κοπετὸν μέγαν. καὶ ἐπέθεντο σποδὸν ἐπὶ τὴν κεφαλὴν αὐτῶν, καὶ ἔπεσον ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν. καὶ ἐσάλπισαν ταῖς σάλπιγξι τῶν σημασιῶν, καὶ ἐβόησαν εἰς τὸν οὐρανόν. τότε ἐπέταξεν ἰούδας ἄνδρασι πολεμεῖν τοὺς ἐν τῇ ἄκρᾳ, ἕως ἂν καθαρίσῃ τὰ ἅγια. καὶ ἐπέλεξεν ἱερεῖς ἀμώμους θελητὰς νόμου, καὶ ἐκαθάρισαν τὰ ἅγια. καὶ ἦραν τοὺς λίθους τοῦ μιασμοῦ εἰς τόπον ἀκάθαρτον καὶ ἐβουλεύσαντο περὶ τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως τοῦ βεβηλωμένου, τί αὐτῷ ποιήσωσι. καὶ ἔπεσεν αὐτοῖς βουλὴ ἀγαθὴ καθελεῖν αὐτὸ μήποτε γένηται αὐτοῖς εἰς ὄνειδος, ὅτι ἐμίαναν τὰ ἔθνη, αὐτό. καὶ καθεῖλον τὸ θυσιαστήριον, καὶ ἀπέθεντο τοὺς λίθους ἐν τῷ ὄρει τοῦ οἴκου ἐν τόπῳ ἐπιτηδείῳ, μέχρι τοῦ παραγενηθῆναι προφήτην τοῦ ἀποκριθῆναι περὶ αὐτῶν. καὶ ἔλαβον λίθους ὁλοκλήρους κατὰ τὸν νόμον καὶ ᾠκοδόμησαν τὸ θυσιαστήριον καινὸν, κατὰ τὸ πρότερον καὶ ᾠκοδόμησαν τὰ ἅγια, καὶ τὰ ἐντὸς τοῦ οἴκου. καὶ τὰς αὐλὰς, καὶ πάντα. καὶ ἐποίησαν τὰ σκεύη τὰ ἅγια καινὰ, καὶ εἰσήνεγκαν τὴν λυχνίαν καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων, καὶ θυμιαμάτων. καὶ τὴν τράπεζαν εἰς τὸν ναὸν, καὶ ἐθυ-

μίασαν ἐπὶ τὸ θυσιαστήριον καὶ ἐξῆψαν τοὺς λύχνους τοὺς ἐπὶ τῆς λυ-
χνίας, καὶ ἐφαίνοσαν ἐν τῷ ναῷ. καὶ ἐπέθηκαν ἐπὶ τὴν τράπε-
ζαν ἄρτους. καὶ ἐξεπέτασαν τὰ καταπετάσματα, καὶ ἐτέλεσαν
πάντα τὰ ἔργα ἃ ἐποίησαν. καὶ ὤρθρισαν τοπρωῒ τῇ πέμπτῃ
καὶ εἰκάδι τοῦ μηνὸς τοῦ ἐννάτου. οὗτος ὁ μὴν χασελεῦ τοῦ ὀγδό-
ου, καὶ τεσσαρακοστοῦ, καὶ ἑκατοστοῦ ἔτους. καὶ ἀνήνεγκαν θυσί-
αν κατὰ τὸν νόμον ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων τὸ
καινὸν ὃ ἐποίησαν κατὰ τὸν καιρὸν κατὰ τὴν ἡμέραν ἐν ᾗ ἐ-
βεβήλωσαν αὐτὸ τὰ ἔθνη. ἐν ἐκείνῃ ἐνεκαινίσθη ἐν ᾠδαῖς, καὶ
κιθάραις, καὶ κινύραις, καὶ ἐν κυμβάλοις. καὶ ἔπεσον πᾶς ὁ λαὸς
ἐπὶ πρόσωπον, καὶ προσεκύνησαν, καὶ εὐλόγησαν εἰς οὐρανὸν
τὸν εὐοδώσαντα αὐτοῖς. καὶ ἐποίησαν τὸν ἐγκαινισμὸν τοῦ θυσια-
στηρίου ἡμέρας ὀκτώ. καὶ προσήνεγκαν ὁλοκαυτώματα μετ' εὐ-
φροσύνης καὶ ἔθυσαν θυσίαν σωτηρίου, καὶ αἰνέσεως. καὶ κατε-
κόσμησαν τὸ κατὰ πρόσωπον τοῦ ναοῦ, στεφάνοις χρυσοῖς καὶ
ἀσπιδίσκαις. καὶ ἐνεκαίνισαν τὰς πύλας, καὶ τὰ παστοφορία,
καὶ ἐθύρωσαν αὐτά. καὶ ἐγενήθη εὐφροσύνη μεγάλη ἐν τῷ
λαῷ σφόδρα, καὶ ἀπεστράφη ὄνειδος ἐθνῶν. καὶ ἔστησεν ἰού-
δας καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἐκκλησία ἰσραήλ. ἵνα ἄγων-
ται αἱ ἡμέραι ἐγκαινισμοῦ τοῦ θυσιαστηρίου ἐν τοῖς καιροῖς αὐ-
τῶν ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἡμέρας ὀκτώ. ἀπὸ τῆς πέμπτης, καὶ εἰκά-
δος τοῦ μηνὸς χασελεῦ, μετ' εὐφροσύνης καὶ χαρᾶς καὶ ᾠκοδόμη-
σαν ἐν τῷ καιρῷ ἐκείνῳ τὸ ὄρος σιὼν κυκλόθεν τείχη ὑψηλὰ
καὶ πύργοις ἰσχυροῖς. μή ποτε παραγενηθέντα τὰ ἔθνη καταπα-
τήσωσιν αὐτὰ, ὡς ἐποίησαν τὸ πρότερον. καὶ ἐπέταξεν ἐκεῖ
δύναμιν τηρεῖν αὐτό. καὶ ὠχύρωσαν αὐτὸ τηρεῖν τὴν βαιθσού-
ραν τοῦ ἔχειν τὸν λαὸν ὀχύρωμα κατὰ πρόσωπον τῆς ἰδουμαίας.

Κεφάλαιον ε. 5.

K. Αἱ ἐγένετο ὅτι ἤκουσαν τὰ ἔθνη κυκλόθεν, ὅτι ᾠ-
κοδομήθη τὸ θυσιαστήριον, καὶ ἐκαινίσθη τὸ ἁγίασμα

ὡς τὸ πρότερον. καὶ ὠργίσθησαν σφόδρα, καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος ἰακὼβ τοὺς ὄντας ἐν μέσῳ αὐτῶν. καὶ ἤρξαντο τοῦ θανατοῦν ἐν τῷ λαῷ, καὶ ἐξαίρειν. καὶ ἐπολέμει ἰούδας πρὸς τοὺς υἱοὺς ἡσαῦ ἐν τῇ ἰδουμαίᾳ τὴν ἀκραβαττίνην, ὅτι περιεκάθηντο τὸν ἰσραήλ. καὶ ἐπάταξεν αὐτοὺς πληγὴν μεγάλην. καὶ συνέστειλεν αὐτοὺς, καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν, καὶ ἐμνήσθη τῆς κακίας υἱῶν βαιὰν οἳ ἦσαν τῷ λαῷ εἰς παγίδα, καὶ εἰς σκάνδαλον ἐν τῷ ἐνεδρεύειν αὐτοὺς ἐν ταῖς ὁδοῖς, καὶ συνεκλείσθησαν ὑπ' αὐτοῦ ἐν τοῖς πύργοις. καὶ παρενέβαλεν ἐπ' αὐτοὺς, καὶ ἀνεθεμάτισεν αὐτοὺς, καὶ ἐνεπύρισε τοὺς πύργους αὐτῆς ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐνοῦσι. καὶ διεπέρασεν ἐπὶ τοὺς υἱοὺς ἀμμὼν καὶ εὗρε χεῖρα κραταιὰν, καὶ λαὸν πολὺν, καὶ τιμόθεον ἡγούμενον αὐτῶν. καὶ συνῆψε πρὸς αὐτοὺς πολέμους πολλοὺς καὶ συνετρίβησαν πρὸ προσώπου αὐτοῦ, καὶ ἐπάταξεν αὐτούς. καὶ προκατελάβετο τὴν ἰαζὴρ, καὶ τὰς θυγατέρας αὐτῆς. καὶ ἀνέστρεψεν εἰς τὴν ἰουδαίαν, καὶ ἐπισυνήχθησαν τὰ ἔθνη τὰ ἐν τῇ γαλαὰδ ἐπὶ τὸν ἰσραὴλ τοὺς ὄντας ἐπὶ τοῖς ὁρίοις αὐτῶν τοῦ ἐξᾶραι αὐτούς. καὶ ἔφυγον εἰς διάθεμα τὸ ὀχύρωμα. καὶ ἀπέστειλαν γράμματα πρὸς ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λέγοντες. ἐπισυνηγμένα ἐστὶν ἐφ' ἡμᾶς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν τοῦ ἐξᾶραι ἡμᾶς. καὶ ἑτοιμάζονται ἐλθεῖν, καὶ προκαταλαβέσθαι τὸ ὀχύρωμα εἰς ὃ κατεφύγομεν. καὶ τιμόθεος ἡγεῖται τῆς παρεμβολῆς αὐτῶν. νῦν οὖν ἐλθὼν ἐξελοῦ ἡμᾶς ἐκ χειρὸς αὐτῶν. ὅτι πέπτωκεν ἐξ ἡμῶν πλῆθος, καὶ πάντες οἱ ἀδελφοὶ ἡμῶν οἱ ὄντες ἐν τοῖς τοῦ βίου τεθανάτωνται. καὶ ᾐχμαλωτεύκασι τὰς γυναῖκας αὐτῶν. καὶ τὰ τέκνα αὐτῶν, καὶ τὰς ἀποσκευὰς, καὶ ἀπώλεσεν ἐκεῖ ὡς μίαν χιλιαρχίαν ἀνδρῶν ἔτι αἱ ἐπιστολαὶ ἀνεγινώσκοντο. καὶ ἰδοὺ ἄγγελοι ἕτεροι παρεγένοντο ἐκ τῆς γαλιλαίας διεῤῥηχότες τὰ ἱμάτια. ἀπαγγέλλοντες κατὰ τὰ ῥήματα ταῦτα λέγοντες. ἐπισυνήχθη ἐπ' αὐτοὺς ἐκ

πτολεμαΐδος, καὶ τύρου καὶ σιδῶνος καὶ πάσης γαλιλαίας ἀλλοφύλων τοῦ ἐξαναλῶσαι ἡμᾶς. ὡς δὲ ἤκουσεν ἰούδας, καὶ ὁ λαὸς τοὺς λόγους τούτους, ἐπισυνήχθη ἐκκλησία μεγάλη βουλεύσασθαι τί ποιήσωσι τοῖς ἀδελφοῖς αὐτῶν τοῖς οὖσιν ἐν θλίψει, καὶ πολεμουμένοις ὑπ᾽ αὐτῶν. καὶ εἶπεν ἰούδας σίμωνι τῷ ἀδελφῷ αὐτοῦ. ἐπίλεξον σεαυτῷ ἄνδρας. καὶ πορεύου καὶ ῥῦσαι τοὺς ἀδελφούς σου τοὺς ἐν τῇ γαλιλαίᾳ. ἐγὼ δὲ καὶ ἰωνάθαν ὁ ἀδελφός μου, πορευσόμεθα εἰς τὴν γαλααδῖτιν. καὶ κατέλιπεν σῆφον τὸν τοῦ ζαχαρίου, καὶ ἀσαίαν ἡγουμένους τοῦ λαοῦ μετὰ τῶν ἐπιλοίπων τῆς δυνάμεως ἐν τῇ ἰουδαίᾳ εἰς τήρησιν. καὶ ἐνετείλατο αὐτοῖς λέγων, πρόστητε τοῦ λαοῦ τούτου, καὶ μὴ συνάψητε πόλεμον πρὸς τὰ ἔθνη, ἕως τοῦ ἐπιστρέψαι ἡμᾶς. καὶ ἐμερίσθησαν σίμωνι ἄνδρες, τρισχίλιοι τοῦ πορευθῆναι εἰς τὴν γαλιλαίαν. ἰούδᾳ δὲ ἄνδρες ὀκτακισχίλιοι εἰς τὴν γαλααδῖτιν. καὶ ἐπορεύθη σίμων εἰς τὴν γαλιλαίαν, καὶ συνῆψε πολέμους πολλοὺς πρὸς τὰ ἔθνη. καὶ συνετρίβη τὰ ἔθνη ἀπὸ προσώπου αὐτοῦ. καὶ ἐδίωξεν αὐτούς, ἕως τῶν πύλων πτολεμαΐδος. καὶ ἔπεσον ἐκ τῶν ἐθνῶν, εἰς τρισχιλίους ἄνδρας. καὶ ἔλαβεν τὰ σκῦλα αὐτῶν καὶ παρέλαβον αὐτοὺς ἐκ τῆς γαλιλαίας. καὶ ἐν ἀρβάττοις σὺν ταῖς γυναιξὶ, καὶ τοῖς τέκνοις, καὶ πάντα ὅσα ἦν αὐτοῖς. καὶ ἤγαγεν εἰς τὴν ἰουδαίαν μετ᾽ εὐφροσύνης μεγάλης. καὶ ἰούδας ὁ μακκαβαῖος καὶ ἰωνάθαν ὁ ἀδελφὸς αὐτοῦ διέβησαν τὸν ἰορδάνην, καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν ἐν τῇ ἐρήμῳ, καὶ συνήντησαν τοῖς ναβαταίοις καὶ ἀπήντησαν αὐτοῖς εἰρηνικῶς. καὶ διηγήσαντο αὐτοῖς ἅπαντα τὰ συμβάντα τοῖς ἀδελφοῖς αὐτῶν ἐν τῇ γαλααδίτιδι καὶ ὅτι πολλοὶ ἐξ αὐτῶν συνειλημμένοι εἰσὶν εἰς βόσορα καὶ βοσὸρ ἐν ἀλέμοις χάσκωρ μάκεδ, καὶ καρναΐν. πᾶσαι αἱ πόλεις αὗται ὀχυραὶ, καὶ μεγάλαι. καὶ ἐν ταῖς λοιπαῖς πόλεσι τῆς γαλααδίτιδος εἰσὶ συνειλημμένοι εἰς αὔριον τάσσονται πα

ρεμβαλεῖν

ρεμβαλεῖν ἐπὶ τὰ ὀχυρώματα καὶ καταλαβέσθαι καὶ ἐξᾶραι πάν-
τας τούτους ἐν ἡμέρᾳ μιᾷ. καὶ ἀπέστρεψεν ἰούδας, καὶ ἡ παρ-
εμβολὴ αὐτοῦ ὁδὸν εἰς τὴν ἔρημον εἰς βόσορρα ἄφνω, καὶ κατε-
λάβετο τὴν πόλιν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομ-
φαίας. καὶ ἔλαβε πάντα τὰ σκῦλα αὐτῶν. καὶ ἐνέπρησεν αὐ-
τὴν πυρί. καὶ ἀπῆρεν ἐκεῖθεν νυκτός, καὶ ἐπορεύετο ὡς ἐπὶ τὸ ὀ-
χύρωμα, καὶ ἐγένετο ἑωθινή. καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν
καὶ ἰδοὺ λαὸς πολὺς οὗ οὐκ ἦν ἀριθμός. αἴροντες κλίμακας καὶ
μηχανὰς καταλαβέσθαι τὸ ὀχύρωμα καὶ ἐπολέμουν αὐτούς.
καὶ εἶδεν ἰούδας, ὅτι ἤρκται ὁ πόλεμος. καὶ ἡ κραυγὴ τῆς
πόλεως ἀνέβη ἕως τοῦ οὐρανοῦ σάλπιγξι καὶ φωνῇ μεγάλῃ. καὶ
εἶπε τοῖς ἀνδράσι τῆς δυνάμεως, πολεμήσατε σήμερον ὑ-
πὲρ τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐξῆλθεν ἐν τρισὶν ἀρχαῖς ἐξόπι-
σθεν αὐτῶν. καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐβόησαν ἐν προ-
σευχῇ. καὶ ἐπέγνω ἡ παρεμβολὴ τιμοθέου, ὅτι μακκαβαῖός ἐ-
στι καὶ ἔφυγον ἀπὸ προσώπου αὐτοῦ. καὶ ἐπάταξεν αὐτοὺς πλη-
γὴν μεγάλην. καὶ ἔπεσον ἐξ αὐτῶν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς ὀκτα-
κισχιλίους ἄνδρας. καὶ ἀπέκλινεν εἰς μασφά. καὶ ἐπολέμησεν αὐτὴν
καὶ προκατελάβετο αὐτὴν καὶ ἀπέκτεινε πᾶν ἀρσενικὸν αὐτῆς. καὶ
ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ ἐνέπρησεν αὐτὴν πυρί. ἐκεῖθεν ἀ-
πῆρε, καὶ προκατελάβετο τὴν χασφὼν μακὲδ βοσόρ. καὶ τὰς
λοιπὰς πόλεις τῆς γαλααδίτιδος. μετὰ δὲ τὰ ῥήματα ταῦτα,
συνήγαγε τιμόθεος παρεμβολὴν ἄλλην, καὶ παρενέβαλε κατὰ
πρόσωπον ῥαφὼν ἐκ πέραν τοῦ χειμάρρου. καὶ ἀπέστειλεν ἰού-
δας κατασκοπεῦσαι τὴν παρεμβολήν. καὶ ἀπήγγειλαν αὐτῷ
λέγοντες, ἐπισυνηγμένα εἰσὶ πρὸς αὐτοὺς πάντα τὰ ἔθνη τὰ
κύκλῳ ἡμῶν. δύναμις πολλὴ σφόδρα. καὶ ἄραβας μεμίσθων-
ται εἰς βοήθειαν αὐτοῖς. καὶ παρεμβάλλουσι πέραν τοῦ χει-
μάρρου ἑτοίμοι τοῦ ἐλθεῖν ἐπὶ σὲ εἰς πόλεμον. καὶ ἐπορεύθη ἰού-
δας εἰς συνάντησιν αὐτῶν, καὶ εἶπε τιμόθεος τοῖς ἄρχουσι τῆς

δυνάμεως αὐτοῦ ἐν τῷ ἐγγίζειν ἰούδαν, καὶ τὴν παρεμβολὴν αὐτοῦ ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος. ἐὰν διαβῇ πρὸς ἡμᾶς πρότερος, οὐ δυνησόμεθα ὑποστῆναι αὐτόν. ὅτι δυνάμενος δυνήσεται πρὸς ἡμᾶς. ἐὰν δὲ δειλωθῇ καὶ παρεμβάλῃ πέραν τοῦ ποταμοῦ, διαπεράσομεν πρὸς αὐτὸν καὶ δυνησόμεθα πρὸς αὐτόν. ὡς δὲ ἤγγισεν ἰούδας ἐπὶ τὸν χειμάῤῥουν τοῦ ὕδατος, ἔστησε τοὺς γραμματεῖς τοῦ λαοῦ ἐπὶ τοῦ χειμάῤῥου, καὶ ἐνετείλατο αὐτοῖς λέγων· μὴ ἀφῆτε πάντα ἄνθρωπον παρεμβαλεῖν, ἀλλ' ἐρχέσθωσαν πάντες εἰς τὸν πόλεμον. καὶ διεπέρασεν ἐπ' αὐτοὺς πρότερος, καὶ πᾶς ὁ λαὸς αὐτοῦ ὄπισθεν αὐτοῦ. καὶ συνετρίβησαν πρὸς προσώπου αὐτοῦ πάντα τὰ ἔθνη. καὶ ἔῤῥιψαν τὰ ὅπλα αὐτῶν, καὶ ἔφυγον εἰς τὸ τέμενος ἐν καρναΐν. καὶ προκατελάβοντο τὴν πόλιν, καὶ τὸ τέμενος ἐνεπύρισαν ἐν πυρὶ σὺν πᾶσι τοῖς ἐν αὐτῷ. καὶ ἐτροπώθη ἡ καρναΐν, καὶ οὐκ ἐδύναντο ἔτι ὑποστῆναι κατὰ πρόσωπον ἰούδα. καὶ συνήγαγεν ἰούδας πάντα ἰσραὴλ τοὺς ἐν τῇ γαλααδίτιδι ἀπὸ μικροῦ ἕως μεγάλου καὶ τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ τὴν ἀποσκευὴν παρεμβολὴν μεγάλην σφόδρα. ἐλθεῖν εἰς γῆν ἰούδα. καὶ ἦλθον ἕως ἐφρών. καὶ αὕτη ἡ πόλις μεγάλη ἐπὶ τῆς εἰσόδου ὀχυρὰ σφόδρα. οὐκ ἦν ἐκκλῖναι ἀπ' αὐτῆς δεξιὰν, ἢ ἀριστερὰν ἀλλ' ἢ διὰ μέσον αὐτῆς πορεύεσθαι. καὶ ἀπέκλεισαν αὐτοὺς οἱ ἐκ τῆς πόλεως. καὶ ἐνέφραξαν τὰς πύλας λίθοις. καὶ ἀπέστειλε πρὸς αὐτοὺς ἰούδας λόγοις εἰρηνικοῖς λέγων· διελευσόμεθα διὰ τῆς γῆς σου τοῦ ἀπελθεῖν εἰς τὴν γῆν ἡμῶν. καὶ οὐδεὶς κακοποιήσει ἡμᾶς, πλὴν τοῖς ποσὶ παρελευσόμεθα. καὶ οὐκ ἠβούλοντο ἀνοῖξαι αὐτῷ. καὶ ἐπέταξεν ἰούδας κηρύξαι ἐν τῇ παρεμβολῇ τοῦ παρεμβαλεῖν ἕκαστον ἐν ᾧ ἐστι τόπῳ, καὶ παρενέβαλον οἱ ἄνδρες τῆς δυνάμεως, καὶ ἐπολέμησαν τὴν πόλιν, ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα. καὶ παρεδόθη ἡ πόλις ἐν χερσὶν αὐτοῦ. καὶ ἀπώλεσε πᾶν ἀρσενικὸν ἐν στόματι ῥομ-

φαίας καὶ ἐξεῤῥίζωσεν αὐτήν· καὶ ἔλαβε τὰ σκῦλα αὐτῆς, καὶ διῆλθε διὰ τῆς πόλεως ἐπάνω τῶν ἀπεκταμμένων, καὶ διέβησαν τὸν ἰορδάνην εἰς τὸ πεδίον τὸ μέγα κατὰ πρόσωπον βαιθσάν· καὶ ἦν ἰούδας ἐπισυνάγων τοὺς ἐσχατίζοντας, καὶ παρακαλῶν τὸν λαὸν κατὰ πᾶσαν τὴν ὁδὸν, ἕως ἦλθεν εἰς γῆν ἰούδα· καὶ ἀνέβησαν εἰς τὸ ὄρος σιὼν ἐν εὐφροσύνῃ καὶ χαρᾷ· καὶ προσήγαγον ὁλοκαυτώματα, ὅτι οὐκ ἔπεσεν ἐξ αὐτῶν οὐθεὶς, ἕως τοῦ ἐπιστρέψαι ἐν εἰρήνῃ· καὶ ἐν ταῖς ἡμέραις αἷς ἦν ἰούδας, καὶ ἰωνάθαν ἐν τῇ γαλααδ, καὶ σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ γαλιλαίᾳ κατὰ πρόσωπον πτολεμαΐδος, ἤκουσεν ἰωσὴφ ὁ τοῦ ζαχαρίου, καὶ ἀζαρίας ἄρχοντες τῆς δυνάμεως τῶν ἀνδραγαθιῶν, καὶ τοῦ πολέμου οἷα ἐποίησαν καὶ εἶπον ποιήσωμεν· καὶ αὐτοὶ ἑαυτοῖς ὄνομα, καὶ πορευθῶμεν πολεμῆσαι πρὸς τὰ ἔθνη τὰ κύκλῳ ἡμῶν· καὶ παρήγγειλαν τοῖς ἀπὸ τῆς δυνάμεως τῆς μετ᾽ αὐτῶν· καὶ ἐπορεύθησαν ἐπὶ ἰάμνειαν· καὶ ἐξῆλθε γοργίας ἐκ τῆς πόλεως, καὶ οἱ ἄνδρες αὐτοῦ εἰς συνάντησιν αὐτοῖς εἰς πόλεμον· καὶ ἐτροπώθη ἰώσηφος καὶ ἀζαρίας, καὶ ἐδιώχθησαν, ἕως τῶν ὁρίων τῆς ἰουδαίας· καὶ ἔπεσον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ τοῦ λαοῦ ἰσραὴλ εἰς δισχιλίους ἄνδρας· καὶ ἐγενήθη τροπὴ μεγάλη ἐν τῷ λαῷ ἰσραήλ· ὅτι οὐκ ἤκουσαν ἰούδα, καὶ τῶν ἀδελφῶν αὐτοῦ οἰόμενοι ἀνδραγαθῆσαι· αὐτοὶ δὲ οὐκ ἦσαν ἐκ τοῦ σπέρματος τῶν ἀνδρῶν ἐκείνων οἷς ἐδόθη σωτηρία ἰσραὴλ διὰ χειρὸς αὐτῶν· καὶ ὁ ἀνὴρ ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐδοξάσθησαν σφόδρα ἐναντίον παντὸς ἰσραὴλ, καὶ τῶν ἐθνῶν πάντων· οὗ ἠκούετο τὸ ὄνομα αὐτῶν· καὶ ἐπισυνήγοντο πρὸς αὐτοὺς εὐφημοῦντες· καὶ ἐξῆλθεν ἰούδας, καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ ἐπολέμουν τοὺς υἱοὺς ἡσαῦ ἐν τῇ γῇ πρὸς νότον· καὶ ἐπάταξε τὴν χεβρὼν· καὶ τὰς θυγατέρας αὐτῆς· καὶ καθεῖλε τὸ ὀχύρωμα αὐτῆς, καὶ τοὺς πύργους αὐτῆς ἐνέπρησε κυκλόθεν· καὶ ἀπῆρε τοῦ πορευθῆναι εἰς γῆν ἀλλοφύλων, καὶ διεπορεύετο τὴν σα-

μάρεαν. ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔπεσον ἱερεῖς πόλεων βουλομένου
αὐτοῦ ἀνδραγαθῆσαι. ἐν τῷ αὐτὸν ἐξελθεῖν εἰς πόλεμον ἀβουλεύ
τως. καὶ ἐξέκλινεν ἰούδας εἰς ἄζωτον γῆν ἀλλοφύλων. καὶ καθεῖ
λε τοὺς βωμοὺς αὐτῶν. καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν. καὶ κα
τέκαυσε πυρί. καὶ ἐσκύλευσε τὰ σκῦλα τῶν πόλεων. καὶ ἐ
πέστρεψεν εἰς τὴν γῆν ἰούδα.

Κεφάλαιον ϛ. 6.

Καὶ ὁ βασιλεὺς ἀντίοχος διεπορεύετο τὰς ἐπάνω
κ χώρας. καὶ ἤκουσεν ὅτι ἐστὶν ἐν ἐλύμαις ἐν τῇ περ
σίδι πόλις ἔνδοξος πλούτῳ ἀργυρίῳ καὶ χρυσίῳ. καὶ
τὸ ἱερὸν τὸ ἐν αὐτῇ πλούσιον σφόδρα, καὶ ἐκεῖ καλύμματα χρυ
σᾶ. καὶ θώρακες καὶ ὅπλα ἃ κατέλιπεν ἐκεῖ ἀλέξανδρος ὁ φι
λίππου ὁ βασιλεὺς μακεδών. ὃς ἐβασίλευσε πρῶτος ἐν τοῖς
ἕλλησι. καὶ ἦλθε καὶ ἐζήτει καταλαβέσθαι τὴν πόλιν. καὶ προ
νομεῦσαι αὐτήν, καὶ οὐκ ἠδυνάσθη. ὅτι ἐγνώσθη ὁ λόγος τοῖς
ἐκ τῆς πόλεως. καὶ ἀνέστησαν αὐτῷ εἰς πόλεμον, καὶ ἔφυγε
καὶ ἀπῆρεν ἐκεῖθεν μετὰ λύπης μεγάλης ἀποστρέψαι εἰς βαβυ
λῶνα. καὶ ἦλθεν ἀπαγγέλλων τις αὐτῷ εἰς τὴν περσίδα, ὅτι τε
τρόπωνται αἱ παρεμβολαὶ αἱ πορευθεῖσαι εἰς γῆν ἰούδα. καὶ ἐπο
ρεύθη λυσίας δυνάμει ἰσχυρᾷ ἐν πρώτοις, καὶ ἀνετράπη ἀπὸ προ
σώπου αὐτῶν. καὶ ἐπίσχυσαν ὅπλοις καὶ δυνάμει, καὶ σκύλοις
πολλοῖς οἷς ἔλαβον ἀπὸ τῶν παρεμβολῶν ὧν ἐξέκοψαν. καὶ κα
θεῖλον τὸ βδέλυγμα ὃ ᾠκοδόμησεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν ἱε
ρουσαλήμ. καὶ τὸ ἁγίασμα καθὼς τὸ πρότερον ἐκύκλωσαν τεί
χεσιν ὑψηλοῖς, καὶ τὴν βαιθσούραν πόλιν αὐτοῦ. καὶ ἐγένετο ὡς ἤκου
σεν ὁ βασιλεὺς τοὺς λόγους τούτους, ἐθαμβήθη καὶ ἐσαλεύθη
σφόδρα. καὶ ἔπεσεν ἐπὶ τὴν κοίτην, καὶ ἐνέπεσεν εἰς ἀρρωσί
αν ἀπὸ τῆς λύπης, ὅτι οὐκ ἐγένετο αὐτῷ καθὼς ἐνεθυμεῖτο. καὶ
ἦν ἐκεῖ ἡμέρας πλείους, ὅτι ἀνεκαινίσθη ἐπ' αὐτὸν λύπη μεγάλη.
καὶ ἐλογίσατο, ὅτι ἀποθνήσκει, καὶ ἐκάλεσε πάντας τοὺς φί

λους αὐτοῦ, καὶ εἶπε πρὸς αὐτούς· ἀφίσταται ὁ ὕπνος ἀπὸ τῶν ὀφθαλμῶν μου, καὶ συμπέπτωκα τῇ καρδίᾳ ἀπὸ τῆς μερίμνης· καὶ εἶπα τῇ καρδίᾳ, ἕως τίνος θλίψεως ἦλθον καὶ κλύδωνος μεγάλου ἐν ᾧ νῦν εἰμι, ὅτι χρηστὸς καὶ ἀγαπώμενος ἤμην ἐν τῇ ἐξουσίᾳ μου. νῦν δὲ μιμνήσκομαι τῶν κακῶν ὧν ἐποίησα ἐν ἱερουσαλήμ, καὶ ἔλαβον πάντα τὰ σκεύη τὰ χρυσᾶ, καὶ τὰ ἀργυρᾶ τὰ ἐν αὐτῇ, καὶ ἐξαπέστειλα ἐξᾶραι τοὺς κατοικοῦντας ἰούδα διακενῆς. ἔγνων ὅτι χάριν τούτων εὗρόν με τὰ κακὰ ταῦτα. καὶ ἰδοὺ ἀπόλλυμαι λύπῃ μεγάλῃ, καὶ ἐν γῇ ἀλλοτρίᾳ. καὶ ἐκάλεσε φίλιππον ἕνα τῶν φίλων αὐτοῦ. καὶ κατέστησεν αὐτὸν ἐπὶ πάσης τῆς βασιλείας αὐτοῦ. καὶ ἔδωκεν αὐτῷ τὸ διάδημα, καὶ τὴν στολὴν αὐτοῦ, καὶ τὸν δακτύλιον τοῦ ἀγαγεῖν ἀντίοχον τὸν υἱὸν αὐτοῦ, καὶ ἐκθρέψαι αὐτὸν τοῦ βασιλεύειν. καὶ ἀπέθανεν ἐκεῖ ἀντίοχος ὁ βασιλεὺς ἔτους ἐννάτου, καὶ τεσσαρακοστοῦ, καὶ ἑκατοστοῦ. καὶ ἐπέγνω λυσίας, ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ κατέστησε βασιλεύειν ἀντίοχον τὸν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ ὃν ἐξέθρεψε νεώτερον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ εὐπάτωρ. καὶ οἱ ἐκ τῆς ἄκρας ἦσαν συγκλείοντες τὸν ἰσραὴλ κύκλῳ τῶν ἁγίων, καὶ ζητοῦντες τὰ κακὰ δι' ὅλου. καὶ στήριγμα τοῖς ἔθνεσι, καὶ ἐλογίσατο ἰούδας ἐξᾶραι αὐτούς, καὶ ἐξεκκλησίασε πάντα τὸν λαὸν τοῦ περικαθίσαι ἐπ' αὐτούς. καὶ συνήχθησαν ἅμα καὶ περιεκάθισαν ἐπ' αὐτοὺς ἔτους πεντηκοστοῦ, καὶ ἑκατοστοῦ. καὶ ἐποίησεν ἐπ' αὐτοὺς βελοστάσεις, καὶ μηχανάς. καὶ ἐξῆλθον ἐξ αὐτῶν ἐκ τοῦ συγκλεισμοῦ. καὶ ἐκολλήθησαν αὐτοῖς τινὲς τῶν ἀσεβῶν ἐξ ἰσραήλ, καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα καὶ εἶπον· ἕως πότε οὐ ποιήσῃ κρίσιν. καὶ ἐκδικήσεις τοὺς ἀδελφοὺς ἡμῶν. ἡμᾶς εὐδοκοῦμεν δουλεύειν τῷ πατρί σου, καὶ πορεύεσθαι τοῖς ὑπ' αὐτοῦ λεγομένοις, καὶ κατακολουθεῖν τοῖς προστάγμασιν αὐτοῦ. ὅτι οἱ τοῦ λαοῦ τούτου χάριν τούτου ἠλλοτριοῦντο ἀφ' ἡμῶν. πλὴν ὅσοι εὑρίσκοντο ἀφ' ἡμῶν ἐθανατοῦντο καὶ

αἱ κληρονομίαι ἡμῶν διηρπάζοντο. καὶ οὐκ ἐφ' ἡμᾶς μόνον ἐ-
ξέτειναν χεῖρα, ἀλλὰ καὶ ἐπὶ πάντα τὰ ὅρια αὐτῶν. καὶ ἰδοὺ
παρεμβεβλήκασι σήμερον ἐπὶ τὴν ἄκραν ἐν ἱερουσαλὴμ, τοῦ
καταλαβέσθαι αὐτὴν, καὶ τὸ ἁγίασμα. καὶ τὴν βαιθσούραν ὠ-
χύρωσεν. καὶ ἐὰν μὴ προκαταλάβῃ αὐτοὺς διὰ τάχους, μείζονα
τούτων ποιήσουσι, καὶ οὐ δυνήσῃ τοῦ κατασχεῖν αὐτῶν. καὶ ὠργί-
σθη ὁ βασιλεὺς ὅτε ἤκουσε. καὶ συνήγαγε πάντας τοὺς φίλους αὐ-
τοῦ. ἄρχοντας δυνάμεως αὐτοῦ. καὶ τοὺς ἐπὶ τῶν ἡνιῶν. καὶ ἀ-
πὸ βασιλειῶν ἑτέρων. καὶ ἀπὸ νήσων θαλασσῶν, ἦλθον πρὸς αὐ-
τὸν δυνάμεις μισθωταί. καὶ ἦν ὁ ἀριθμὸς τῶν δυνάμεων αὐτοῦ,
ἑκατὸν χιλιάδες πεζῶν. καὶ εἴκοσι χιλιάδες ἵππων. καὶ ἐλέφαν-
τες δύο, καὶ τριάκοντα εἰδότες πόλεμον. καὶ ἦλθοσαν διὰ τῆς
ἰδουμαίας. καὶ παρενεβάλοσαν ἐπὶ βαιθσούραν, καὶ ἐπολέμη-
σαν ἐπὶ ἡμέρας πολλάς. καὶ ἐποίησαν μηχανὰς, καὶ ἐξῆλθον. καὶ
ἐνεπύρισαν αὐτὰς ἐν πυρί. καὶ ἐπολέμησαν ἀνδρωδῶς. καὶ ἀ-
πῆρεν ἰούδας ἀπὸ τῆς ἄκρας. καὶ παρενέβαλεν, εἰς βαιθζαχα-
ρία. ἀπέναντι τῆς παρεμβολῆς τοῦ βασιλέως. καὶ ὤρθρισεν ὁ
βασιλεὺς τοπρωΐ. καὶ ἀπῆρε τὴν παρεμβολὴν ἐν ὁρμήματι
αὐτῆς κατὰ τὴν ὁδὸν βαιθζαχαρία. καὶ διεσκευάσθησαν αἱ
δυνάμεις εἰς τὸν πόλεμον. καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ
τοῖς ἐλέφασιν ἔδειξαν αἷμα σταφυλῆς, καὶ μόρων, τοῦ παραστῆ-
σαι αὐτοὺς εἰς τὸν πόλεμον, καὶ διεῖλον τὰ θηρία εἰς τὰς φάραγ-
γας. καὶ παρέστησαν ἑκάστῳ ἐλέφαντι, χιλίους ἄνδρας τεθωρα-
κισμένους, ἐν ἁλυσιδωτοῖς. καὶ περικεφαλαῖαι χαλκαῖ ἐπὶ τῆς
κεφαλῆς αὐτῶν. καὶ πεντακοσία ἵππος διατεταγμένη ἑκάστῳ θη-
ρίῳ ἐκλελεγμένη. οὗτοι πρὸ καιροῦ οὗ ἐὰν ᾖ τὸ θηρίον ἦσαν.
καὶ οὗ ἐὰν ἐπορεύετο, ἐπορεύοντο ἅμα. οὐκ ἀφίσταντο ἀπ'
αὐτοῦ. καὶ πύργοι ξύλινοι ἐπ' αὐτοὺς ὀχυροὶ, σκεπαζόμενοι ἐφ'
ἑκάστου θηρίου. ἐζωσμένοι ἐπ' αὐτοῦ μηχαναῖς. καὶ ἐφ' ἑκάστου
ἄνδρες δύο, καὶ τριάκοντα οἱ πολεμοῦντες ἐπ' αὐτοῖς καὶ ὁ

ἰνδὸς αὐτοῦ. καὶ τὴν ἐπίλοιπον ἵππον, ἔνθεν καὶ ἔνθεν ἔστησεν ἐπὶ τὰ δύο μέρη τῆς παρεμβολῆς κατασείοντες, καὶ καταφρασσόμενοι, ἐν ταῖς φάραγξιν. ὡς δὲ ἔστιλβεν ὁ ἥλιος ἐπὶ τὰς χρυσᾶς ἀσπίδας, ἔστιλβε τὰ ὄρη ἀπ' αὐτῶν καὶ κατηύγαζεν ὡς λαμπάδες πυρός. καὶ ἐξετάθη μέρος τι τῆς παρεμβολῆς τοῦ βασιλέως ἐπὶ τὰ ὑψηλὰ ὄρη, καί τινες ἐπὶ ταπεινά. καὶ ἤρχοντο ἀσφαλῶς καὶ τεταγμένως. καὶ ἐσαλεύοντο πάντες οἱ ἀκούοντες φωνῆς πλήθους αὐτῶν. καὶ ὁδοιπορίας τοῦ πλήθους καὶ συγκρουσμοῦ τῶν ὅπλων. ἦν γὰρ παρεμβολὴ μεγάλη σφόδρα, καὶ ἰσχυρά. καὶ ἤγγισε ἰούδας καὶ ἡ παρεμβολὴ αὐτοῦ, εἰς παράταξιν καὶ ἔπεσον ἀπὸ τῆς παρεμβολῆς τοῦ βασιλέως ἑξακόσιοι ἄνδρες. καὶ εἶδεν ἐλεάζαρ ἀβαρὰν ἓν τῶν θηρίων τεθωρακισμένων θώρακι βασιλικῷ καὶ ἦν ὑπεράγον πάντα τὰ θηρία. καὶ ὤφθη ὅτι ἐν αὐτῷ ἐστιν ὁ βασιλεύς. καὶ ἔδωκεν ἑαυτὸν τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ. καὶ περιποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον καὶ ἐπέδραμεν αὐτῷ θράσει εἰς μέσον τῆς φάλαγγος καὶ ἐθανάτου δεξιὰ καὶ εὐώνυμα. καὶ ἐσχίζοντο ἀπ' αὐτοῦ ἔνθα καὶ ἔνθα καὶ εἰσέδυ ὑπὸ τὸν ἐλέφαντα καὶ ὑπέθηκεν αὐτῷ καὶ ἀνεῖλεν αὐτόν, καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἐπάνω αὐτοῦ καὶ ἀπέθανεν ἐκεῖ. καὶ εἶδον τὴν ἰσχὺν τῆς βασιλείας καὶ τὸ ὅρμημα τῶν δυνάμεων καὶ ἐξέκλιναν ἀπ' αὐτῶν. οἱ δὲ ἐκ τῆς παρεμβολῆς τοῦ βασιλέως ἀνέβαινον εἰς συνάντησιν αὐτῶν εἰς ἱερουσαλήμ. καὶ παρενέβαλεν ὁ βασιλεὺς εἰς τὴν ἰουδαίαν καὶ εἰς τὸ ὄρος σιών. καὶ ἐποίησεν εἰρήνην μετὰ τῶν ἐκ βαιθσούρων. καὶ ἐξῆλθον ἐκ τῆς πόλεως, ὅτι οὐκ ἦν αὐτοῖς ἐκεῖ διατροφὴ τοῦ συγκεκλεῖσθαι ἐν αὐτῇ ὅτι σάββατον ἦν τῇ γῇ. καὶ κατελάβετο βασιλεὺς τὴν βαιθσούραν καὶ ἐπέταξεν ἐκεῖ φρουρὰν τηρεῖν αὐτὴν καὶ παρενέβαλεν ἐπὶ τὸ ἁγίασμα ἡμέρας πολλάς. καὶ ἔστησεν ἐκεῖ βελοστάσεις καὶ μηχανὰς καὶ πυρόβολα καὶ λιθόβολα καὶ σκορπίδια εἰς τὸ βάλλεσθαι βέλη καὶ σφενδόνας. καὶ ἐποίησαν καὶ αὐτοὶ μηχα-

νὰς πρὸς τὰς μηχανὰς αὐτῶν καὶ ἐπολέμησαν ἡμέρας πολλάς·
βρώματα δὲ οὐκ ἦν ἐν τοῖς ἀγγείοις διὰ τὸ ἕβδομον ἔτος εἶναι
καὶ οἱ ἀνασωζόμενοι εἰς τὴν ἰουδαίαν ἀπὸ τῶν ἐθνῶν κατέφα-
γον τὸ ὑπόλειμμα τῆς παραθέσεως· καὶ ὑπελείφθησαν ἐν τοῖς
ἁγίοις ἄνδρες ὀλίγοι ὅτι κατεκράτησεν αὐτῶν ὁ λιμὸς, καὶ ἐ-
σκορπίσθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ. καὶ ἤκουσε λυσίας,
ὅτι φίλιππος ὃν κατέστησεν ὁ βασιλεὺς ἀντίοχος ἔτι ζῶντος
αὐτοῦ ἐκθρέψαι ἀντίοχον τὸν υἱὸν αὐτοῦ εἰς τὸ βασιλεῦσαι αὐ-
τόν· ἀπέστρεψεν ἀπὸ τῆς περσίδος καὶ μηδείας, καὶ αἱ δυνά-
μεις αἱ πορευθεῖσαι τοῦ βασιλέως μετ' αὐτοῦ· καὶ ὅτι ζητεῖ πα-
ραλαβεῖν μετὰ τῶν πραγμάτων, καὶ κατέσπευδεν, καὶ ἐπανύσ-
σοντο ἐκ τῆς ἄκρας τοῦ ἀπελθεῖν καὶ εἶπεν πρὸς τὸν βασιλέα καὶ
τοὺς ἡγεμόνας τῆς δυνάμεως καὶ τοὺς ἄνδρας· ἐκλείπομεν καθ'
ἡμέραν καὶ ἡ τροφὴ ἡμῖν ὀλίγη· καὶ ὁ τόπος οὗ παρεμβάλλομεν
ἐστὶ ὀχυρὸς, καὶ ἐπίκειται ἡμῖν τὰ τῆς βασιλείας· νῦν οὖν δῶ-
μεν δεξιὰν τοῖς ἀνθρώποις τούτοις καὶ ποιήσωμεν μετ' αὐτῶν
εἰρήνην καὶ μετὰ παντὸς ἔθνους αὐτῶν, καὶ στήσωμεν αὐτοῖς τοῦ
πορεύεσθαι τοῖς νόμοις αὐτῶν ὡς τὸ πρότερον· χάριν γὰρ
τῶν νομίμων αὐτῶν ὧν διεσκεδάσαμεν ὠργίσθησαν καὶ ἐποίη-
σαν ταῦτα πάντα. καὶ ἤρεσεν ὁ λόγος ἐναντίον τοῦ βασιλέ-
ως καὶ τῶν ἀρχόντων καὶ ἀπέστειλε πρὸς αὐτοὺς εἰρηνεῦσαι,
καὶ ἐπεδέξαντο καὶ ὤμοσεν αὐτοῖς ὁ βασιλεὺς καὶ οἱ ἄρχοντες·
ἐπὶ τούτοις ἐξῆλθον ἐκ τοῦ ὀχυρώματος καὶ εἰσῆλθεν ὁ βασιλεὺς
εἰς τὸ ὄρος σιὼν καὶ εἶδε τὸ ὀχύρωμα τοῦ τόπου· καὶ ἠθέτησε
τὸν ὁρκισμὸν ὃν ὤμοσε, καὶ ἐνετείλατο καὶ καθεῖλε τὸ τεῖχος
κυκλόθεν· καὶ ἀπῆρε κατὰ σπουδὴν καὶ ἀπέστρεψεν εἰς ἀντιό-
χειαν· καὶ εὗρε φίλιππον κυριεύοντα τῆς πόλεως καὶ ἐπολέμη-
σε πρὸς αὐτὸν καὶ κατελάβετο τὴν πόλιν βίᾳ.

Κεφάλαιον ζ. 7.

ζ Τους ἑνὸς καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ, ἐξῆλθε δημ-
ήτριος ὁ τοῦ σελεύκου ἐκ ῥώμης. ἀνέβη σὺν ἀν-
δράσιν ὀλίγοις εἰς πόλιν παραθαλασσίαν καὶ ἐβα-
σίλευσεν ἐκεῖ. καὶ ἐγένετο ὡς εἰσεπορεύετο εἰς οἶκον βασιλείας
πατέρων αὐτοῦ, συνέλαβον αἱ δυνάμεις τὸν ἀντίοχον καὶ τὸν λυ-
σίαν ἄγειν αὐτοὺς αὐτῷ. καὶ ἐγνώσθη αὐτῷ τὸ πρᾶγμα καὶ
εἶπε. μή μοι δείξητε τὰ πρόσωπα αὐτῶν καὶ ἀπέκτειναν αὐ-
τοὺς αἱ δυνάμεις. καὶ ἐκάθισε δημήτριος ἐπὶ θρόνου βασιλεί-
ας αὐτοῦ. καὶ ἦλθον πρὸς αὐτὸν πάντες ἄνδρες ἄνομοι καὶ ἀ-
σεβεῖς ἐξ ἰσραήλ. καὶ ἄλκιμος ἡγεῖτο αὐτῶν βουλόμενος ἱε-
ρατεύειν, καὶ κατηγόρησαν τοῦ λαοῦ πρὸς τὸν βασιλέα λέγον-
τες. ἀπώλεσεν ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πάντας τοὺς φί-
λους σου καὶ ἡμᾶς ἐσκόρπισαν ἀπὸ τῆς γῆς ἡμῶν. νῦν οὖν ἀ-
πόστειλον ἄνδρα ᾧ πιστεύεις. καὶ πορευθεὶς ἰδέτω τὴν ἐξολόθρευ-
σιν πᾶσαν, ἣν ἐποίησεν ἡμῖν, καὶ τῇ χώρᾳ τοῦ βασιλέως. καὶ κο-
λασάτω αὐτοὺς καὶ πάντας τοὺς ἐπιβοηθοῦντας αὐτοῖς. καὶ ἐπέ-
λεξεν ὁ βασιλεὺς τὸν βακχίδην τὸν φίλον τοῦ βασιλέως. κυρι-
εύοντα ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ μέγαν ἐν τῇ βασιλείᾳ
καὶ πιστὸν τῷ βασιλεῖ. καὶ ἀπέστειλεν αὐτὸν καὶ ἄλκιμον τὸν ἀ-
σεβῆ καὶ ἔστησεν αὐτῷ τὴν ἱερωσύνην. καὶ ἐνετείλατο αὐτῷ
ποιῆσαι τὴν ἐκδίκησιν ἐν τοῖς υἱοῖς ἰσραὴλ καὶ ἀπῆλθον. καὶ ἦλ-
θον μετὰ δυνάμεως πολλῆς εἰς γῆν ἰούδα. καὶ ἀπέστειλεν ἀγ-
γέλους πρὸς ἰούδαν καὶ τοὺς ἀδελφοὺς αὐτοῦ λόγοις εἰρηνικοῖς
μετὰ δόλου. καὶ οὐ προσέσχον τοῖς λόγοις αὐτῶν, εἶδον γὰρ ὅ-
τι ἦλθον μετὰ δυνάμεως πολλῆς. καὶ ἐπισυνήχθησαν πρὸς ἄλ-
κιμον καὶ βακχίδην συναγωγὴ γραμματέων ἐκζητῆσαι δίκαια
καὶ πρῶτοι οἱ ἀσιδαῖοι ἦσαν ἐν υἱοῖς ἰσραήλ. καὶ ἐπεζήτουν πα-
ρὰ αὐτῶν εἰρήνην. εἶπαν γὰρ ἄνθρωπος ἱερεὺς ἐκ τοῦ σπέρμα-
τος ἀαρὼν ἦλθεν ἐν ταῖς δυνάμεσι καὶ οὐκ ἀδικήσει ἡμᾶς.
καὶ ἐλάλησε μετ' αὐτῶν λόγους εἰρηνικοὺς καὶ ὤμοσεν αὐ-

τοῖς λέγων· οὐκ ἐκζητήσομεν ὑμῖν κακὰ, καὶ τοῖς φίλοις ὑ-
μῶν· καὶ ἐνεπίστευσαν αὐτῷ· καὶ συνέλαβεν ἐξ αὐτῶν ξ΄ ἄνδρας
καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τοὺς λόγους οὓς ἔγρα-
ψε· σάρκας ὁσίων σου καὶ αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ ἱερου-
σαλήμ· καὶ οὐκ ἦν αὐτοῖς ὁ θάπτων· καὶ ἐπέπεσεν αὐτῶν ὁ φό-
βος καὶ ὁ τρόμος ἐπὶ πάντα τὸν λαόν· ὅτι εἶπον· ὅτι οὐκ ἔ-
στιν αὐτοῖς ἀλήθεια καὶ κρίσις· παρέβησαν γὰρ τὴν στάσιν καὶ
τὸν ὅρκον ὃν ὤμοσαν· καὶ ἀπῆρε βακχίδης ἀπὸ ἱερουσαλὴμ
καὶ παρενέβαλεν ἐν βηζέθ· καὶ ἀπέστειλε καὶ συνέλαβε πολ-
λοὺς ἀπὸ τῶν μετ᾽ αὐτοῦ αὐτομολησάντων ἀνδρῶν καί τινας
τοῦ λαοῦ, καὶ ἔθυσεν αὐτοὺς εἰς τὸ φρέαρ τὸ μέγα, καὶ κατέ-
στησε τὴν χώραν τῷ ἀλκίμῳ· καὶ ἀφῆκε μετ᾽ αὐτοῦ δύναμιν
τοῦ βοηθεῖν αὐτῷ· καὶ ἀπῆλθε βακχίδης πρὸς τὸν βασιλέα·
καὶ ἠγωνίσατο ἄλκιμος περὶ τῆς ἀρχιερωσύνης· καὶ συνή-
χθησαν πρὸς αὐτὸν πάντες οἱ ταράσσοντες τὸν λαὸν αὐτῶν·
καὶ κατεκράτησαν γῆν ἰούδα, καὶ ἐποίησαν πληγὴν μεγά-
λην ἐν ἰσραήλ· καὶ εἶδεν ἰούδας πᾶσαν τὴν κακίαν ἣν ἐποίη-
σεν ἄλκιμος, καὶ οἱ μετ᾽ αὐτοῦ ἐν υἱοῖς ἰσραὴλ ὑπὲρ τὰ ἔθνη
καὶ ἐξῆλθεν εἰς πάντα τὰ ὅρια τῆς ἰουδαίας κυκλόθεν, καὶ
ἐποίησεν ἐκδίκησιν ἐν τοῖς ἀνδράσι τοῖς αὐτομολήσασι, καὶ
ἀνεστάλησαν τοῦ πορεύεσθαι εἰς τὴν χώραν· ὡς δὲ εἶδεν ἄλκι-
μος, ὅτι ἐνίσχυσεν ἰούδας, καὶ οἱ μετ᾽ αὐτοῦ· καὶ ἔγνω ὅτι οὐ
δύναται ὑποστῆναι αὐτούς, καὶ ἐπέστρεψε πρὸς τὸν βασιλέα, καὶ
κατηγόρησεν αὐτῶν πονηρά· καὶ ἀπέστειλεν ὁ βασιλεὺς νικάνορα
ἕνα τῶν ἀρχόντων αὐτοῦ τῶν ἐνδόξων, καὶ μισοῦντα, καὶ ἐχθραίνοντα
τῷ ἰσραήλ, καὶ ἐνετείλατο αὐτῷ ἐξᾶραι τὸν λαόν· καὶ ἦλθε νικά-
νωρ εἰς ἱερουσαλὴμ δυνάμει πολλῇ· καὶ ἀπέστειλε πρὸς ἰούδαν, καὶ
τοὺς ἀδελφοὺς αὐτοῦ μετὰ δόλου λόγοις εἰρηνικοῖς λέγων· μὴ ἔ-
στω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, ἥξω ἐν ἀνδράσιν ὀλίγοις ἵνα
ὑμῶν ἴδω τὰ πρόσωπα μετ᾽ εἰρήνης· καὶ ἦλθε πρὸς ἰούδαν, καὶ

ἠσπάσαντο ἀλλήλους εἰρηνικῶς· καὶ οἱ πολέμιοι ἦσαν ἕτοιμοι ἐξαρπάσαι τὸν ἰούδαν. καὶ ἐγνώσθη ὁ λόγος τῷ ἰούδᾳ, ὅτι μετὰ δόλου ἦλθεν ἐπ᾽ αὐτόν· καὶ ἐπτοήθη ἀπ᾽ αὐτοῦ, καὶ οὐκ ἐβουλήθη ἔτι ἰδεῖν τὸ πρόσωπον αὐτοῦ. καὶ ἔγνω νικάνωρ, ὅτι ἀπεκαλύφθη ἡ βουλὴ αὐτοῦ, καὶ ἐξῆλθεν εἰς συνάντησιν τῷ ἰούδᾳ κατὰ χαφαρσαραμά. καὶ ἔπεσον τῶν παρὰ νικάνορος ὡσεὶ πεντακόσιοι ἄνδρες, καὶ ἔφυγον εἰς τὴν πόλιν δαβίδ. καὶ μετὰ τοὺς λόγους τούτους, ἀνέβη νικάνωρ εἰς τὸ ὄρος σιών. καὶ ἐξῆλθον ἀπὸ τῶν ἱερέων ἐκ τῶν ἁγίων, καὶ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ ἀσπάσασθαι αὐτὸν εἰρηνικῶς, καὶ δεῖξαι αὐτῷ τὴν ὁλοκαύτωσιν τὴν προσφερομένην ὑπὲρ τοῦ βασιλέως. καὶ ἐμυκτήρισεν αὐτούς, καὶ κατεγέλασεν αὐτῶν, καὶ ἐμίανεν αὐτούς. καὶ ἐλάλησεν ὑπερηφάνως, καὶ ὤμοσε μετὰ θυμοῦ λέγων· ἐὰν μὴ παραδοθῇ ἰούδας, καὶ ἡ παρεμβολὴ αὐτοῦ εἰς χεῖράς μου τὸ νῦν, καὶ ἔσται ἐὰν ἐπιστρέψω ἐν εἰρήνῃ, ἐμπυριῶ τὸν οἶκον τοῦτον, καὶ ἐξῆλθε μετὰ θυμοῦ μεγάλου. καὶ εἰσῆλθον οἱ ἱερεῖς, καὶ ἔστησαν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου, καὶ τοῦ ναοῦ, καὶ ἔκλαυσαν καὶ εἶπον· σὺ ἐξελέξας τὸν οἶκον τοῦτον ἐπικληθῆναι τὸ ὄνομά σου ἐπ᾽ αὐτοῦ, εἶναι οἶκον προσευχῆς, καὶ δεήσεως τῷ λαῷ σου. ποίησον ἐκδίκησιν ἐν τῷ ἀνθρώπῳ τούτῳ, καὶ ἐν τῇ παρεμβολῇ αὐτοῦ, καὶ πεσέτωσαν ἐν ῥομφαίᾳ. μνήσθητι τῶν δυσφημιῶν αὐτῶν, καὶ μὴ δῷς αὐτοῖς μονήν. καὶ ἐξῆλθε νικάνωρ ἐξ ἱερουσαλήμ, καὶ παρενέβαλεν ἐν βαιθωρῶν, καὶ συνήντησεν αὐτῷ δύναμις συρίας. καὶ ἰούδας παρενέβαλεν ἐν ἀδασὰ ἐν τρισχιλίοις ἀνδράσι. καὶ προσηύξατο ἰούδας καὶ εἶπεν· οἱ παρὰ τοῦ βασιλέως ὅτε ἐδυσφήμησαν ἐξῆλθεν ἄγγελός σου, καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. οὕτως σύντριψον τὴν παρεμβολὴν ταύτην ἐνώπιον ἡμῶν σήμερον, καὶ γνώτωσαν οἱ ἐπίλοιποι, ὅτι κακῶς ἐλάλησεν ἐπὶ τὰ ἅγιά σου. καὶ κρῖνον αὐτὸν κατὰ τὴν κακίαν αὐτοῦ, καὶ

συνῆψαν αἱ παρεμβολαὶ εἰς πόλεμον τῇ τρισκαιδεκάτῃ τοῦ μη-
νὸς ἀδάρ· καὶ συνετρίβη ἡ παρεμβολὴ νικάνορος, καὶ ἔπεσεν αὐ-
τὸς πρῶτος ἐν τῷ πολέμῳ. ὡς δὲ εἶδεν ἡ παρεμβολὴ αὐτοῦ, ὅ-
τι τέθνηκε νικάνωρ, ῥίψαντες τὰ ὅπλα αὐτῶν ἔφυγον. καὶ κατε-
δίωκον αὐτοὺς ὁδὸν ἡμέρας μιᾶς ἀπὸ ἀδασὰ, ἕως τοῦ ἐλθεῖν
εἰς γάσηρα. καὶ ἐσάλπιζον ὀπίσω αὐτῶν ταῖς σάλπιγξι τῶν ση-
μασιῶν. καὶ ἐξῆλθον ἐκ πασῶν τῶν κωμῶν τῆς ἰουδαίας κυ-
κλόθεν. καὶ ὑπερεκέρων αὐτούς. καὶ ἀνέστρεφον οὗτοι πρὸς τού-
τους, καὶ ἔπεσον πάντες ῥομφαίᾳ, καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐ-
δὲ εἷς. καὶ ἔλαβον τὰ σκῦλα, καὶ τὴν προνομήν. καὶ τὴν κεφαλὴν
νικάνορος ἀφεῖλον καὶ τὴν δεξιὰν αὐτοῦ ἣν ἐξέτεινεν ὑπερηφά-
νως, καὶ ἤνεγκαν, καὶ ἐξέτειναν παρὰ τὴν ἱερουσαλήμ. καὶ εὐφράν-
θη ὁ λαὸς σφόδρα, καὶ ἤγαγον τὴν ἡμέραν ἐκείνην ἡμέραν εὐ-
φροσύνης μεγάλης. καὶ ἔστησαν τοῦ ἄγειν κατὰ ἐνιαυτὸν τὴν ἡμέ-
ραν ταύτην τὴν τρισκαιδεκάτην τοῦ ἀδάρ. καὶ ἡσύχασεν ἡ
γῆ ἰούδα ἡμέρας ὀλίγας.

Κεφάλαιον η. 8.

Καὶ ἤκουσεν ἰούδας τὸ ὄνομα τῶν ῥωμαίων, ὅτι εἰσὶ
κ δυνατοὶ ἰσχύϊ. καὶ αὐτοὶ εὐδοκοῦσιν ἐν πᾶσι τοῖς
προστιθεμένοις αὐτοῖς. καὶ ὅσοι ἂν προσέλθωσιν αὐ-
τοῖς ἱστῶσιν αὐτοῖς φιλίαν. καὶ ὅτι εἰσὶ δυνατοὶ ἰσχύϊ. καὶ διη-
γήσαντο αὐτῷ τοὺς πολέμους αὐτῶν, καὶ τὰς ἀνδραγαθίας
ἃς ποιοῦσιν ἐν τοῖς γαλάταις. καὶ ὅτι κατεκράτησαν αὐτῶν, καὶ
ἤγαγον αὐτοὺς ὑπὸ φόρον. καὶ ὅσα ἐποίησαν ἐν χώρᾳ ἱσπανίας
τοῦ κατακρατῆσαι τῶν μετάλλων τοῦ ἀργυρίου, καὶ τοῦ χρυσίου
τοῦ ἐκεῖ. καὶ κατεκράτησαν τοῦ τόπου παντὸς τῇ βουλῇ αὐτῶν, καὶ
τῇ μακροθυμίᾳ. καὶ ὁ τόπος ἦν μακρὰν ἀπέχων ἀπ' αὐτῶν
σφόδρα, καὶ τῶν βασιλέων τῶν ἐπελθόντων ἐπ' ἄκρου τῆς γῆς,
ἕως συνέτριψαν αὐτούς, καὶ ἐπάταξαν ἐν αὐτοῖς πληγὴν με-
γάλην. καὶ οἱ ἐπίλοιποι διδόασιν αὐτοῖς φόρον κατ' ἐνιαυτόν.

καὶ τὸν φίλιππον, καὶ τὸν περσέα κιτιέων βασιλέα, καὶ τοὺς ἐπηρμένους ἐπ' αὐτοὺς συνέτριψαν αὐτοὺς πολέμῳ, καὶ κατεκράτησαν αὐτῶν. καὶ ἀντίοχον τὸν μέγαν βασιλέα τῆς ἀσίας τὸν πορευθέντα ἐπ' αὐτοὺς εἰς πόλεμον. ἔχοντα ρκ'. ἐλέφαντας, καὶ ἵππον καὶ ἅρματα καὶ δύναμιν πολλὴν σφόδρα. καὶ συνετρίβη ἀπ' αὐτῶν, καὶ ἔλαβον αὐτὸν ζῶντα. καὶ ἔστησαν αὐτοῖς διδόναι αὐτόν τε, καὶ τοὺς βασιλεύοντας μετ' αὐτὸν φόρον μέγαν διδόναι ὅμηρα, καὶ διαστολὴν καὶ χώραν τὴν ἰνδικὴν, καὶ μήδειαν καὶ λυδίαν, καὶ ἀπὸ τῶν καλλίστων χωρῶν αὐτῶν. καὶ λαβόντες αὐτὰς παρ' αὐτοῦ ἔδωκαν αὐτὰς εὐμένει τῷ βασιλεῖ. καὶ ὅτι οἱ ἐκ τῆς ἑλλάδος ἐβουλεύσαντο ἐλθεῖν, καὶ ἐξᾶραι αὐτούς, καὶ ἐγνώσθη ὁ λόγος αὐτοῖς. καὶ ἀπέστειλαν ἐπ' αὐτοὺς στρατηγὸν ἕνα, καὶ ἐπολέμησαν πρὸς αὐτούς. καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί. καὶ ἠχμαλώτισαν πολλοὺς τὰς γυναῖκας αὐτῶν, καὶ τὰ τέκνα αὐτῶν, καὶ προενόμευσαν αὐτούς. καὶ κατεκράτησαν τῆς γῆς αὐτῶν. καὶ καθεῖλον τὰ ὀχυρώματα αὐτῶν καὶ προενόμευσαν αὐτούς. καὶ κατεδουλώσαντο αὐτούς, ἕως τῆς ἡμέρας ταύτης. καὶ τὰς ἐπιλοίπους βασιλείας καὶ τὰς νήσους ὅσοι ποτὲ ἀντέστησαν αὐτοῖς, κατέφθειραν καὶ ἐδούλωσαν αὐτούς. μετὰ δὲ τῶν φίλων αὐτῶν, καὶ τῶν ἐπαναπαυομένων αὐτοῖς συνετήρησαν αὐτοῖς φιλίαν. καὶ κατεκράτησαν τῶν βασιλέων τῶν ἐγγὺς, καὶ τῶν μακρὰν. καὶ ὅσοι ἤκουον τὸ ὄνομα αὐτῶν ἐφοβοῦντο ἀπ' αὐτῶν. ὅσοις δ' ἂν βούλωνται βοηθεῖν, καὶ βασιλεύειν βασιλεύουσιν. οὓς δ' ἂν βούλωνται μεθιστῶσι, καὶ ὑψώθησαν σφόδρα. καὶ ἐν πᾶσι τούτοις οὐκ ἐπέθετο οὐδεὶς αὐτῶν διάδημα, καὶ οὐ περιεβάλλοντο πορφύραν ὥστε ἁδρυνθῆναι ἐν αὐτῇ. καὶ βουλευτήριον ἐποίησαν ἑαυτοῖς. καὶ καθ' ἡμέραν ἐβουλεύοντο τριακόσιοι, καὶ εἴκοσι βουλευόμενοι διαπαντὸς περὶ τοῦ πλήθους τοῦ εὐκοσμεῖν αὐτούς. καὶ πιστεύουσιν ἑνὶ ἀνθρώπῳ ἄρχειν αὐτῶν κατ' ἐνιαυτὸν, καὶ κυ-

ευειν πάσης τῆς γῆς αὐτῶν. καὶ πάντες ἀκούουσι τοῦ ἑνὸς, καὶ οὐκ ἔστι φθόνος οὐδὲ ζῆλος ἐν αὐτοῖς. καὶ ἐπελέξατο ἰούδας τὸν εὐπόλεμον υἱὸν ἰωάννου τοῦ ἀκκὼς, καὶ ἰάσονα υἱὸν ἐλεαζάρου, καὶ ἀπέστειλεν αὐτοὺς, εἰς ῥώμην· στῆσαι αὐτοῖς φιλίαν, καὶ συμμαχίαν καὶ τοῦ ἆραι τὸν ζυγὸν ἀπ' αὐτῶν. ὅτι εἶδον τὴν βασιλείαν τῶν ἑλλήνων καταδουλουμένους τὸν ἰσραὴλ δουλείαν. καὶ ἐπορεύθησαν εἰς ῥώμην, καὶ ἡ ὁδὸς πολλὴ σφόδρα· καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον, καὶ ἀπεκρίθησαν καὶ εἶπον· ἰούδας ὁ καὶ μακκαβαῖος, καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ τὸ πλῆθος τῶν ἰουδαίων ἀπέστειλαν ἡμᾶς πρὸς ὑμᾶς· στῆσαι μεθ' ὑμῶν συμμαχίαν, καὶ εἰρήνην· καὶ γραφῆναι ἡμᾶς συμμάχους καὶ φίλους ὑμῶν. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον αὐτῶν. καὶ τοῦτο τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἀντέγραψαν ἐπὶ δέλτοις χαλκοῖς. καὶ ἀπέστειλαν εἰς ἱερουσαλὴμ εἶναι παρ' αὐτοῖς ἐκεῖ μνημόσυνον εἰρήνης. καὶ σύμμαχος καλῶς γένοιτο ῥωμαίοις, καὶ τῷ ἔθνει ἰουδαίων ἐν τῇ θαλάσσῃ, καὶ ἐπὶ τῆς ξηρᾶς εἰς τὸν αἰῶνα· καὶ ῥομφαία καὶ ἐχθρὸς μακρωθείη ἀπ' αὐτῶν. ἐὰν δὲ ἐνστῇ πόλεμος ἐν ῥώμῃ προτέρᾳ, ἢ πᾶσι τοῖς συμμάχοις αὐτῶν ἐν πάσῃ κυρίᾳ αὐτῶν, συμμαχήσει τὸ ἔθνος τῶν ἰουδαίων, ὡς ἂν ὁ καιρὸς ὑπογραφῇ αὐτοῖς καρδίᾳ πλήρει· καὶ τοῖς πολεμοῦσιν οὐ δώσουσιν οὐδὲ ἐπαρκέσουσι σῖτον ὅπλα· ἀργύριον πλοῖα, ὡς ἔδοξε ῥωμαίοις· καὶ φυλάξονται τὰ φυλάγματα αὐτῶν οὐθὲν λαβόντες. κατὰ τὰ αὐτὰ δὲ ἐὰν ἔθνει ἰουδαίων συμβῇ προτέροις πόλεμος; συμμαχήσουσιν οἱ ῥωμαῖοι ἐκ ψυχῆς ὡς ἂν αὐτοῖς ὁ καιρὸς ὑπογραφῇ· καὶ τοῖς συμμαχοῦσιν οὐ δοθήσεται σῖτος· ὅπλα· ἀργύριον· πλοῖα ὡς ἔδοξε ῥώμῃ· καὶ φυλάξονται τὰ φυλάγματα ταῦτα, καὶ οὐ μετὰ δόλου· κατὰ τοὺς λόγους τούτους ἔστησαν ῥωμαῖοι τῷ δήμῳ τῶν ἰουδαίων. ἐὰν δὲ μετὰ τοὺς λόγους τούτους βουλεύσονται οὗτοι, καὶ οὗτοι προσθεῖναι, ἢ ἀφελεῖν, ποιήσονται ἐξ αἱρέσεως αὐτῶν· καὶ ὃ ἐὰν προσθῶσιν

ἢ ἀφέλωσιν ἔσται κύρια. καὶ περὶ τῶν κακῶν ὧν ὁ βασιλεὺς δημήτριος συντελεῖται εἰς αὐτοὺς ἐγράψαμεν αὐτῷ λέγοντες. διατί ἐβάρυνας τὸν ζυγόν σου ἐπὶ τοὺς φίλους ἡμῶν τοὺς συμμάχους ἰουδαίους. ἐὰν οὖν ἔτι ἐντύχωσι κατὰ σοῦ, ποιήσομεν αὐτοῖς τὴν κρίσιν, καὶ πολεμήσομέν σε διὰ τῆς θαλάσσης, καὶ διὰ τῆς ξηρᾶς.

Κεφάλαιον θ. 9.

Αἰ ἤκουσε δημήτριος, ὅτι ἐποίησε νικάνωρ, καὶ
κ αἱ δυνάμεις αὐτοῦ πόλεμον. καὶ προσέθετο τὸν
βακχίδην, καὶ τὸν ἄλκιμον ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν ἰούδα, καὶ τὸ δεξιὸν κέρας μετ' αὐτῶν. καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς γάλγαλα, καὶ παρενέβαλον ἐπὶ μαισαλὼθ τὴν ἐν ἀρβήλοις. καὶ προκατελάβοντο αὐτήν, καὶ ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. καὶ τοῦ μηνὸς τοῦ πρώτου ἔτους τοῦ δευτέρου, καὶ πεντηκοστοῦ, καὶ ἑκατοστοῦ παρενέβαλον ἐπὶ ἱερουσαλήμ. καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς βόριαν ἐν εἴκοσι χιλιάσιν ἀνδρῶν. καὶ δισχιλίᾳ ἵππῳ. καὶ ἰούδας ἦν παρεμβεβληκὼς ἐν ἐλεασᾷ, καὶ τρισχίλιοι ἄνδρες ἐκλεκτοὶ μετ' αὐτοῦ. καὶ εἶδον τὸ πλῆθος τῶν δυνάμεων, ὅτι πολλοί εἰσι, καὶ ἐφοβήθησαν σφόδρα. καὶ ἐξερρύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς. οὐ κατελείφθησαν ἐξ αὐτῶν, ἀλλ' ἢ ὀκτακόσιοι ἄνδρες. καὶ εἶδεν ἰούδας, ὅτι ἀπερρύη ἡ παρεμβολὴ αὐτοῦ. καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν; καὶ συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ εἶχε καιρὸν συναγαγεῖν αὐτούς. καὶ ἐξελύθη, καὶ εἶπε τοῖς καταλειφθεῖσιν ἀναστῶμεν, καὶ ἀναβῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι αὐτούς. καὶ ἀπέστρεφον αὐτὸν λέγοντες οὐ μὴ δυνώμεθα, ἀλλ' ἢ σώζωμεν τὰς ἑαυτῶν ψυχὰς. τὸ νῦν ἐπίστρεψον. καὶ οἱ ἀδελφοὶ ἡμῶν ἀπερρύησαν, καὶ πολεμήσομεν πρὸς αὐτούς. ἡμεῖς δὲ ὀλίγοι. καὶ εἶπεν ἰούδας μή μοι γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦ φυγεῖν ἀπ' αὐτῶν. καὶ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἐν ἀνδρείας χάριν τῶν ἀδελφῶν ἡμῶν. καὶ

μὴ καταλίπωμεν αἰτίαν τῇ δόξῃ ἡμῶν. καὶ ἀπῆρεν ἡ δύνα-
μις ἀπὸ τῆς παρεμβολῆς, καὶ ἔστησαν, εἰς συνάντησιν αὐτοῖς. καὶ
ἐμερίσθη ἡ ἵππος. δύο μέρη. καὶ οἱ σφενδονῆται, καὶ οἱ τοξόται
προεπορεύοντο τῆς δυνάμεως. καὶ οἱ πρωταγωνισταὶ πάντες
οἱ δυνατοί. βακχίδης δὲ ἦν ἐν τῷ δεξιῷ κέρατι. καὶ ἤγγισεν ἡ
φάλαγξ ἐκ τῶν δύο μερῶν. καὶ ἐφώνουν ταῖς σάλπιγξι καὶ ἐ-
σάλπισαν οἱ παρὰ ἰούδα καὶ αὐτοί, ταῖς σάλπιγξι, καὶ ἐσαλεύ-
θη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρεμβολῶν. καὶ ἐγένετο ὁ πόλε-
μος συνημμένος ἀπὸ πρωΐθεν, ἕως ἑσπέρας. καὶ εἶδεν ἰούδας
ὅτι βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς ἐν τοῖς δεξιοῖς,
καὶ συνῆλθον αὐτῷ, πάντες οἱ ἄψυχοι τῇ καρδίᾳ, καὶ συνετρί-
βη τὸ δεξιὸν κέρας ἀπ᾽ αὐτῶν. καὶ ἐδίωκον ὀπίσω αὐτῶν, ἕως
ἀζώτου ὄρους. καὶ οἱ εἰς τὸ ἀριστερὸν κέρας, εἶδον ὅτι συνετρίβη τὸ
δεξιὸν κέρας, καὶ ἐπέστρεψαν κατὰ πόδας ἰούδα, καὶ τῶν μετ᾽
αὐτοῦ ἐκ τῶν ὄπισθεν. καὶ ἐβαρύνθη ὁ πόλεμος. καὶ ἔπεσον τραυ-
ματίαι πολλοί, ἐκ τούτων καὶ ἐκ τούτων. καὶ ἰούδας ἔπεσε, καὶ οἱ
λοιποὶ ἔφυγον. καὶ ἦραν ἰωνάθαν, καὶ σίμων, ἰούδαν τὸν ἀδελ-
φὸν αὐτῶν. καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν πατέρων αὐ-
τοῦ, ἐν μωδεεὶμ. καὶ ἔκλαυσαν αὐτόν. καὶ ἐκόψαντο αὐτὸν πᾶς ἰ-
σραήλ, κοπετὸν μέγαν. καὶ ἐπένθουν ἡμέρας πολλὰς καὶ εἶπον
πῶς ἔπεσε δυνατὸς σώζων τὸν ἰσραήλ. καὶ τὰ περισσὰ τῶν λό-
γων ἰούδα, καὶ τῶν πολέμων καὶ τῶν ἀνδραγαθιῶν, ὧν ἐποίη-
σε. καὶ τῆς μεγαλωσύνης αὐτῶν οὐ κατεγράφη πολλὰ γὰρ ἦν σφό-
δρα. καὶ ἐγένετο μετὰ τὴν τελευτὴν ἰούδου, ἐξέκυψαν οἱ ἄνο-
μοι ἐν πᾶσι τοῖς ὁρίοις ἰσραήλ. καὶ ἀνέτειλαν πάντες οἱ ἐργα-
ζόμενοι τὴν ἀδικίαν. ἐν ταῖς ἡμέραις ἐκείναις ἐγενήθη λιμὸς
μέγας σφόδρα. καὶ ηὐτομόλησεν ἡ χώρα μετ᾽ αὐτῶν. καὶ ἐξέ-
λεξε βακχίδης τοὺς ἀσεβεῖς ἄνδρας καὶ κατέστησεν αὐτούς, κυρί-
ους τῆς χώρας. καὶ ἐξεζήτουν καὶ ἐξηρεύνων τοὺς φίλους ἰούδου
καὶ ἦγον αὐτούς, πρὸς βακχίδην. καὶ ἐξεδίκει αὐτούς, καὶ ἐνέπαι-

ζον αὐτοῖς. καὶ ἐγένετο θλίψις μεγάλη ἐν τῷ ἰσραὴλ, ἥτις οὐκ
ἐγένετο, ἀφ᾽ ἧς ἡμέρας οὐκ ὤφθη προφήτης ἐν αὐτοῖς. Καὶ
ἠθροίσθησαν πάντες οἱ φίλοι ἰούδου καὶ εἶπον τῷ ἰωνάθαν.
ἀφ᾽ οὗ ὁ ἀδελφός σου ἰούδας τετελεύτηκε, καὶ ἀνὴρ ὅμοιος αὐ-
τῷ οὐκ ἔστιν ἐξελθεῖν πρὸς τοὺς ἐχθροὺς, καὶ βακχίδην. καὶ ἐν
τοῖς ἐχθραίνουσι τοῦ ἔθνους ἡμῶν. νῦν οὖν σὲ ἡρετισάμεθα σή-
μερον, τοῦ εἶναι ἀντ᾽ αὐτοῦ ἡμῖν εἰς ἄρχοντα καὶ ἡγούμενον τοῦ πο-
λεμῆσαι τὸν πόλεμον ἡμῶν. καὶ ἐπεδέξατο ἰωνάθαν ἐν τῷ και-
ρῷ ἐκείνῳ τὴν ἥγησιν. καὶ ἀνέστη ἀντὶ ἰούδου τοῦ ἀδελφοῦ αὐτοῦ
καὶ ἔγνω βακχίδης, καὶ ἐζήτει αὐτὸν, ἀποκτεῖναι. καὶ ἔγνω ἰωνάθαν
καὶ σίμων ὁ ἀδελφὸς αὐτοῦ, καὶ πάντες οἱ μετ᾽ αὐτοῦ, καὶ ἔφυγον
εἰς τὴν ἔρημον θεκωέ. καὶ παρενέβαλον ἐπὶ τὸ ὕδωρ λάκκου ἀσ-
φάρ. καὶ ἔγνω βακχίδης τῇ ἡμέρᾳ τῶν σαββάτων, καὶ ἦλθεν
αὐτὸς καὶ τὸ στράτευμα αὐτοῦ πέραν τοῦ ἰορδάνου. καὶ ἀπέστει-
λε τὸν ἀδελφὸν αὐτοῦ ἡγούμενον τοῦ ὄχλου καὶ παρεκάλεσε τοὺς
ναβαταίους φίλους αὐτοῦ, παραθέσθαι αὐτοῖς τὴν ἀποσκευὴν
αὐτῶν τὴν πολλήν. καὶ ἐξῆλθον υἱοὶ ἰαμβρὶ ἐκ μηδαβᾶ, καὶ
συνέλαβον ἰωάννην, καὶ πάντα ὅσα εἶχεν καὶ ἀπῆλθον ἔχοντες.
μετὰ δὲ τοὺς λόγους τούτους ἀπήγγειλαν τῷ ἰωνάθαν, καὶ σίμω-
νι τῷ ἀδελφῷ αὐτοῦ, ὅτι οἱ υἱοὶ ἰαμβρὶ ποιοῦσι γάμον μέγαν
καὶ ἄγουσι τὴν νύμφην ἀπὸ ναδαβὰθ, θυγατέρα ἑνὸς τῶν μεγι-
στάνων μεγάλων τῶν χανάαν μετὰ παραπομπῆς μεγάλης. καὶ ἐμνή-
σθησαν ἰωάννου τοῦ ἀδελφοῦ αὐτῶν, καὶ ἀνέβησαν καὶ ἐκρύβησαν ὑπὸ
τὴν σκέπην τοῦ ὄρους. καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον.
καὶ ἰδοὺ θροῦς καὶ ἀποσκευὴ πολλή. καὶ ὁ νυμφίος ἐξῆλθε καὶ οἱ
φίλοι αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ εἰς συνάντησιν αὐτῶν μετὰ
τυμπάνων, καὶ μουσικῶν καὶ ὅπλων πολλῶν. καὶ ἐξανέστησαν ἐπ᾽
αὐτοὺς ἀπὸ τοῦ ἐνέδρου, οἱ περὶ τὸν ἰωνάθαν καὶ ἀπέκτειναν αὐτοὺς
καὶ ἔπεσον τραυματίαι πολλοί. καὶ οἱ ἐπίλοιποι ἔφυγον εἰς τὸ ὄρος
καὶ ἔλαβον πάντα τὰ σκῦλα αὐτῶν, καὶ μετεστράφη ὁ γάμος εἰς

πένθος καὶ ἡ φωνὴ μουσικῶν αὐτῶν εἰς θρῆνον. καὶ ἐξεδίκησαν τὴν ἐκ-
δίκησιν αἵματος ἀδελφοῦ αὐτῶν. καὶ ἀπέστρεψαν εἰς τὸ ἕλος τοῦ ἰ-
ορδάνου. καὶ ἤκουσεν βακχίδης καὶ ἦλθε τῇ ἡμέρᾳ τῶν σαββά-
των, ἕως τῶν κρηπίδων τοῦ ἰορδάνου ἐν δυνάμει πολλῇ. καὶ εἶπεν
ἰωνάθαν τοῖς παρ' αὐτοῦ. ἀναστῶμεν νῦν, καὶ πολεμήσωμεν ὑπὲρ
τῶν ψυχῶν ἡμῶν. οὐ γάρ ἐστι σήμερον ὡς ἐχθὲς καὶ τρίτην ἡμέ-
ραν. ἰδοὺ γὰρ ὁ πόλεμος ἐξ ἐναντίας ἡμῶν, καὶ ἐξόπισθεν ἡμῶν
τὸ δὲ ὕδωρ τοῦ ἰορδάνου ἔνθεν καὶ ἔνθεν. καὶ ἕλος καὶ δρυμός. οὐκ
ἔστι τόπος τοῦ ἐκκλῖναι. νῦν οὖν κεκράξατε εἰς οὐρανὸν ὅπως δι-
ασωθῆτε ἐκ χειρὸς ἐχθρῶν ἡμῶν. καὶ συνῆψεν πόλεμος, καὶ
ἐξέτεινεν ἰωνάθαν τὴν χεῖρα αὐτοῦ πατάξαι τὸν βακχίδην, καὶ
ἐξέκλινεν ἀπ' αὐτοῦ εἰς τὰ ὀπίσω. καὶ ἐνεπήδησεν ἰωνάθαν,
καὶ οἱ μετ' αὐτοῦ καὶ τὸν ἰορδάνην, καὶ διεκολύμβησαν εἰς τὸ
πέραν. καὶ οὐ διέβησαν ἐπ' αὐτοὺς τὸν ἰορδάνην. καὶ διέπεσον
παρὰ βακχίδου τῇ ἡμέρᾳ ἐκείνῃ εἰς χιλίους ἄνδρας. καὶ ἐπέ-
στρεψεν εἰς ἱερουσαλὴμ καὶ ᾠκοδόμησε πόλεις ὀχυρὰς ἐν τῇ ἰ-
ουδαίᾳ. τὸ ὀχύρωμα τὸ ἐν ἱεριχῷ, καὶ τὴν ἐμμαοὺμ. καὶ τὴν
βαιθωρῶν, καὶ τὴν βαιθὴλ καὶ τὴν θαμναθὰ φαραθωνί, καὶ τὴν
τεφῶν ἐν τείχεσιν ὑψηλοῖς, καὶ πύλαις καὶ μοχλοῖς. καὶ ἔθετο
φρουρὰν ἐν αὐτοῖς τοῦ ἐχθραίνειν τῷ ἰσραήλ, καὶ ὠχύρωσε τὴν
πόλιν τὴν ἐν βαιθσούρᾳ, καὶ τὴν γάζαρα καὶ τὴν ἄκραν καὶ ἔθετο
ἐν αὐταῖς δυνάμεις, καὶ παραθέσεις βρωμάτων. καὶ ἔλαβε
τοὺς υἱοὺς τῶν ἡγουμένων τῆς χώρας ὅμηρα, καὶ ἔθετο αὐτοὺς ἐν
τῇ ἄκρᾳ ἐν ἱερουσαλὴμ ἐν φυλακῇ. καὶ ἐν ἔτει τρίτῳ, καὶ πεν-
τηκοστῷ, καὶ ἑκατοστῷ μηνὶ τῷ δευτέρῳ ἐπέταξεν ἄλκιμος κα-
θαιρεῖν τὸ τεῖχος τῆς αὐλῆς τῶν ἁγίων τῆς ἐσωτέρας. καὶ καθεῖ-
λε τὰ ἔργα τῶν προφητῶν καὶ ἐνήρξατο τοῦ καθαιρεῖν. ἐν τῷ
καιρῷ ἐκείνῳ ἐπλήγη ἄλκιμος, καὶ ἐνεποδίσθη τὰ ἔργα αὐτοῦ. καὶ
ἀπεφράγη τὸ στόμα αὐτοῦ, καὶ παρελύθη. καὶ οὐκ ἐδύνατο ἔτι
λαλῆσαι λόγον, καὶ ἐντείλασθαι περὶ τοῦ οἴκου αὐτοῦ. καὶ ἀπέθα-

νεν Ἄλκιμος ἐν τῷ καιρῷ ἐκείνῳ μετὰ βασάνου μεγάλης, καὶ εἶδε Βακχίδης, ὅτι ἀπέθανεν Ἄλκιμος, καὶ ἀπέστρεψε πρὸς τὸν βασιλέα, καὶ ἡσύχασεν ἡ γῆ Ἰούδα ἔτη δύο, καὶ ἐβουλεύσαντο πάντες οἱ ἄνομοι λέγοντες. ἰδοὺ Ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ ἐν ἡσυχίᾳ κατοικοῦσι πεποιθότες. νῦν οὖν ἄξομεν τὸν Βακχίδην, καὶ συλλήψεται αὐτοὺς πάντας ἐν νυκτὶ μιᾷ. καὶ πορευθέντες συνεβουλεύσαντο αὐτῷ, καὶ ἀπῆρε τοῦ ἐλθεῖν μετὰ δυνάμεως πολλῆς. καὶ ἀπέστειλεν ἐπιστολὰς λάθρα πᾶσι τοῖς συμμάχοις αὐτοῦ τοῖς ἐν τῇ Ἰουδαίᾳ ὅπως συλλάβωσι τὸν Ἰωνάθαν, καὶ τοὺς μετ' αὐτοῦ, καὶ οὐκ ἐδύναντο, ὅτι ἐγνώσθη αὐτοῖς ἡ βουλὴ αὐτῶν. καὶ συνελάβοντο ἀπὸ τῶν ἀνδρῶν τῆς χώρας τῶν ἀρχηγῶν τῆς κακίας εἰς πεντήκοντα ἄνδρας, καὶ ἀπέκτειναν αὐτούς. καὶ ἐξεχώρησεν Ἰωνάθαν, καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ εἰς Βαιθβασὶ τὴν ἐν τῇ ἐρήμῳ, καὶ ᾠκοδόμησε τὰ καθῃρημένα αὐτῆς, καὶ ἐστερέωσαν αὐτήν. καὶ ἔγνω Βακχίδης καὶ συνήγαγε πᾶν τὸ πλῆθος αὐτοῦ. καὶ τοῖς ἐκ τῆς Ἰουδαίας παρήγγειλε. καὶ ἐλθὼν παρενέβαλεν ἐπὶ Βαιθβασί, καὶ ἐπολέμησεν αὐτὴν ἡμέρας πολλάς, καὶ ἐποίησε μηχανάς. καὶ ἀπέλιπεν Ἰωνάθαν Σίμωνα τὸν ἀδελφὸν αὐτοῦ ἐν τῇ πόλει καὶ ἐξῆλθεν εἰς τὴν χώραν. καὶ ἐξῆλθεν ἐν ἀριθμῷ καὶ ἐπάταξεν Ὀδομηρὰ, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τοὺς υἱοὺς Φασιρὼν ἐν τῷ σκηνώματι αὐτῶν. καὶ ἐξήρξατο τύπτειν, καὶ ἀνέβαινον ἐν ταῖς δυνάμεσι. καὶ Σίμων καὶ οἱ μετ' αὐτοῦ ἐξῆλθον ἐκ τῆς πόλεως, καὶ ἐνεπύρισαν τὰς μηχανάς. καὶ ἐπολέμησαν πρὸς τὸν Βακχίδην καὶ συνετρίβη ὑπ' αὐτῶν. καὶ ἔθλιβον αὐτὸν σφόδρα. ὅτι ἦν ἡ βουλὴ αὐτοῦ, καὶ ἡ ἔφοδος αὐτοῦ κενή. καὶ ὠργίσθησαν θυμῷ τοῖς ἀνδράσι τοῖς ἀνόμοις τοῖς συμβουλεύσασιν αὐτῷ ἐλθεῖν εἰς τὴν χώραν. καὶ ἀπέκτειναν ἐξ αὐτῶν πολλούς. καὶ ἐβουλεύσατο τοῦ ἀπελθεῖν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἐπέγνω Ἰωνάθαν καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις, τοῦ συνθέσθαι πρὸς αὐτὸν εἰρήνην καὶ ἀποδοῦναι αὐ-

τοῖς τὴν αἰχμαλωσίαν. καὶ ἀπεδέξατο καὶ ἐποίησε κατὰ τοὺς
λόγους αὐτοῦ. καὶ ὤμοσεν αὐτῷ μὴ ἐκζητῆσαι αὐτῷ κακὸν
πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ ἀπέδωκεν αὐτῷ τὴν
αἰχμαλωσίαν ἣν ᾐχμαλώτευσε τὸ πρότερον ἐκ γῆς ἰούδα. καὶ
ἀποστρέψας ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. καὶ οὐ προσέθετο ἔτι ἐλ-
θεῖν εἰς τὰ ὅρια αὐτῶν. καὶ κατέπαυσε ῥομφαία ἐξ ἰσραήλ. καὶ
ᾤκησεν ἰωνάθαν ἐν μαχμάς. καὶ ἤρξατο ἰωνάθας κρίνειν τὸν λα-
όν, καὶ ἠφάνισε τοὺς ἀσεβεῖς ἐξ ἰσραήλ.

Κεφάλαιον ι. 10.

Αἰ ἐν ἔτει ἑξηκοστῷ, καὶ ἑκατοστῷ ἀνέβη ἀλέξανδρος
κ ὁ τοῦ ἀντιόχου ὁ ἐπιφανής. καὶ κατελάβετο πτολε-
μαΐδα. καὶ ἐπεδέξαντο αὐτὸν καὶ ἐβασίλευσεν ἐ-
κεῖ. καὶ ἤκουσε δημήτριος ὁ βασιλεὺς καὶ συνήγαγε δυνάμεις
πολλὰς σφόδρα, καὶ ἀνῆλθεν εἰς συνάντησιν αὐτῷ εἰς πόλε-
μον. καὶ ἀπέστειλε δημήτριος πρὸς ἰωνάθαν ἐπιστολὰς λόγοις
εἰρηνικοῖς ὥστε μεγαλῦναι αὐτόν. εἶπε γὰρ προφθάσωμεν τοῦ
εἰρήνην θεῖναι μετ' αὐτῶν πρὶν ἢ θεῖναι αὐτὸν μετὰ ἀλεξάνδρου
καθ' ἡμῶν. μνησθήσεται γὰρ πάντων τῶν κακῶν ὧν συνετελέσα-
μεν πρὸς αὐτόν, καὶ εἰς τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ εἰς τὸ ἔθνος αὐ-
τοῦ. καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν συναγαγεῖν δυνάμεις, καὶ κα-
τασκευάζειν ὅπλα καὶ εἶναι αὐτὸν σύμμαχον αὐτοῦ. καὶ τὰ ὅ-
μηρα τὰ ἐν τῇ ἄκρᾳ εἶπε παραδοῦναι αὐτῷ. καὶ ἦλθεν ἰωνά-
θαν εἰς ἱερουσαλήμ. καὶ ἀνέγνω τὰς ἐπιστολὰς εἰς τὰ ὦτα παντὸς
τοῦ λαοῦ, καὶ τῶν ἐκ τῆς ἄκρας. καὶ ἐφοβήθησαν φόβον μέγαν
ὅτι ἤκουσαν ὅτι ἔδωκεν αὐτῷ ὁ βασιλεὺς ἐξουσίαν συναγα-
γεῖν δυνάμεις. καὶ παρέδωκαν οἱ ἐκ τῆς ἄκρας ἰωνάθαν τὰ ὅ-
μηρα. οὐκ ἀπέδωκεν αὐτοὺς τοῖς γονεῦσιν αὐτῶν. καὶ ᾤκησεν
ἰωνάθαν ἐν ἱερουσαλήμ. καὶ ἤρξατο οἰκοδομεῖν, καὶ καινίζειν
τὴν πόλιν. καὶ εἶπε πρὸς τοὺς ποιοῦντας τὰ ἔργα οἰκοδομεῖν τὰ
τείχη καὶ τὸ ὄρος σιὼν κυκλόθεν ἐκ λίθων τετραγώνων εἰς ὀχύ-

φωσιν. καὶ ἐποίησεν οὕτως. καὶ ἔφυγον οἱ ἀλλογενεῖς οἱ ὄντες ἐν
τοῖς ὀχυρώμασιν οἷς ᾠκοδόμησε βακχίδης. καὶ κατέλιπεν ἕ-
κασος τὸν τόπον αὐτοῦ, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ. πλὴν ἐν
βαιθσούροις ὑπελείφθησάν τινες τῶν καταλιπόντων τὸν νόμον. καὶ
τὰ προστάγματα· ἦν γὰρ αὐτοῖς φυγαδευτήριον. καὶ ἤκουσεν ἀ-
λέξανδρος ὁ βασιλεὺς τὰς ἐπαγγελίας ὅσας ἀπέστειλε δημήτριος
τῷ ἰωνάθαν. καὶ διηγήσαντο αὐτῷ τοὺς πολέμους, καὶ τὰς ἀνδραγα-
θίας ἃς ἐποίησεν αὐτός, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ τοὺς κόπους οὓς ἔ-
σχον καὶ εἶπε. μὴ εὑρήσομεν ἄνδρα τοιοῦτον ἕνα; καὶ νῦν ποιήσομεν
αὐτὸν φίλον, καὶ σύμμαχον ἡμῶν. καὶ ἔγραψεν ἐπιστολάς, καὶ ἀπέστει-
λεν αὐτῷ κατὰ τοὺς λόγους τούτους λέγων. Βασιλεὺς Ἀλέ-
ξανδρος τῷ ἀδελφῷ ἰωνάθαν χαίρειν. ἀκηκόαμεν περὶ σοῦ, ὅ-
τι ἀνὴρ δυνατὸς ἰσχύϊ, καὶ ἐπιτήδειος εἶ τοῦ εἶναι ἡμῖν φίλος. καὶ
νῦν καθεστάκαμέν σε σήμερον ἀρχιερέα τοῦ ἔθνους σου. καὶ φί-
λον βασιλέως καλεῖσθαι. καὶ ἀπέστειλεν αὐτῷ πορφύραν, καὶ στέ-
φανον χρυσοῦν. καὶ φρονεῖν τὰ ἡμῶν καὶ συντηρεῖν φιλίαν πρὸς
ἡμᾶς. καὶ ἐνεδύσατο ἰωνάθας τὴν ἁγίαν στολὴν τῷ ἑβδόμῳ μη-
νὶ ἔτους ἑξηκοστοῦ, καὶ ἑκατοστοῦ ἐν ἑορτῇ σκηνοπηγίας. καὶ συνή-
γαγε δυνάμεις, καὶ κατεσκεύασεν ὅπλα πολλά. καὶ ἤκουσε
δημήτριος τοὺς λόγους τούτους, καὶ ἐλυπήθη καὶ εἶπε. τί τοῦτο ἐ-
ποιήσαμεν, ὅτι προέφθακεν ἡμᾶς ὁ ἀλέξανδρος τοῦ φιλίαν κα-
ταλαβεῖν τοῖς ἰουδαίοις εἰς στήριγμα. γράψω αὐτοῖς κἀγὼ λόγους
παρακλήσεως, καὶ ὕψους καὶ δομάτων. ὅπως ὦσι σὺν ἐμοὶ
εἰς βοήθειαν, καὶ ἀπέστειλεν αὐτοῖς κατὰ τοὺς λόγους. Βασιλεὺς
δημήτριος τῷ ἔθνει τῶν ἰουδαίων χαίρειν. ἐπεὶ συνετηρήσα-
τε τὰς πρὸς ἡμᾶς συνθήκας, καὶ ἐνεμείνατε τῇ φιλίᾳ ἡμῶν, καὶ
οὐ προσεχωρήσατε τοῖς ἐχθροῖς ἡμῶν. ἠκούσαμεν καὶ ἐχάρ-
ημεν. καὶ νῦν ἐμμείνατε ἔτι τοῦ συντηρῆσαι πρὸς ἡμᾶς πίστιν.
καὶ ἀνταποδώσομεν ὑμῖν ἀγαθὰ ἀνθ' ὧν ποιεῖτε μεθ' ἡμῶν. καὶ
ἀφήσομεν ὑμῖν ἀφέματα πολλά. καὶ δώσομεν ὑμῖν δόματα, καὶ

νῦν ἀπολύω ὑμᾶς, καὶ ἀφίημι ὑμῖν πάντας τοὺς ἰουδαίους ἀπὸ
τῶν φόρων, καὶ τῆς τιμῆς τοῦ ἁλὸς, καὶ ἀπὸ τῶν στεφάνων. καὶ
ἀντὶ τοῦ τρίτου τῆς σπορᾶς, καὶ ἀντὶ τοῦ ἡμίσεος τοῦ καρποῦ τοῦ
ξυλίνου τοῦ ἐπιβάλλοντός μοι λαβεῖν, ἀφίημι ἀπὸ τῆς σήμε-
ρον, καὶ ἐπέκεινα, τοῦ λαβεῖν ἀπὸ τῆς γῆς ἰούδα. καὶ ἀπὸ τῶν
τριῶν νόμων τῶν προστεθειμένων αὐτῇ ἀπὸ τῆς σαμαρείτιδος καὶ
γαλιλαίας, καὶ ἀπὸ τῆς σήμερον ἡμέρας, καὶ εἰς τὸν αἰῶνα χρό-
νον. καὶ ἱερουσαλὴμ ἔστω ἁγία, καὶ ἀφημένη, καὶ τὰ ὅρια αὐτῆς.
αἱ δεκάται καὶ τὰ τέλη. ἀφίημι καὶ τὴν ἐξουσίαν τῆς ἄκρας
τῆς ἐν ἱερουσαλὴμ, καὶ δίδωμι τῷ ἀρχιερεῖ ὅπως ἂν κατα-
στήσῃ ἐν αὐτῇ, ἄνδρας οὓς ἂν ἐκλέξηται αὐτὸς τοῦ φυλάσσειν
αὐτήν. καὶ πᾶσαν ψυχὴν ἰουδαίων τὴν αἰχμαλωτισθεῖσαν ἀ-
πὸ γῆς ἰούδα εἰς πᾶσαν βασιλείαν μου ἀφίημι ἐλευθέραν δω-
ρεάν. καὶ πάντες ἀφιέτωσαν τοὺς φόρους, καὶ κτηνῶν αὐτῶν.
καὶ πᾶσαι αἱ ἑορταὶ καὶ τὰ σάββατα, καὶ νουμηνίαι. καὶ ἡμέ-
ραι ἀποδεδειγμέναι. καὶ τρεῖς ἡμέραι πρὸ ἑορτῆς καὶ τῶν ἡμε-
ρῶν μετὰ ἑορτήν; ἔστωσαν πᾶσαι αἱ ἡμέραι ἀτελείας, καὶ ἀφέσε-
ως πᾶσι τοῖς ἰουδαίοις τοῖς οὖσιν ἐν τῇ βασιλείᾳ μου, καὶ οὐχ ἕ-
ξει ἐξουσίαν οὐδεὶς πράσσειν καὶ παρενοχλεῖν τινὰ αὐτῶν περὶ
παντὸς πράγματος. καὶ προγραφήτωσαν τῶν ἰουδαίων εἰς τὰς
δυνάμεις τοῦ βασιλέως εἰς τριάκοντα χιλιάδας ἀνδρῶν. καὶ δο-
θήσεται αὐτοῖς ξένια, ὡς καθήκει πάσαις ταῖς δυνάμεσι τοῦ βα-
σιλέως. καὶ κατασταθήσεται ἐξ αὐτῶν ἐν τοῖς ὀχυρώμασι τοῦ
βασιλέως τοῖς μεγάλοις. καὶ ἐκ τούτων κατασταθήσεται ἐπὶ
χρειῶν τῆς βασιλείας τῶν οὐσῶν εἰς πίστιν. Καὶ οἱ ἐπ᾽ αὐ-
τῶν καὶ οἱ ἄρχοντες ἔστωσαν ἐξ αὐτῶν καὶ πορευέσθωσαν τοῖς
νόμοις αὐτῶν καθὰ καὶ προσέταξεν ὁ βασιλεὺς ἐν γῇ ἰούδα.
καὶ τοὺς τρεῖς νόμους τοὺς προστεθέντας τῇ ἰουδαίᾳ ἀπὸ τῆς χώ-
ρας σαμαρείας. προστεθήτω τῇ ἰουδαίᾳ πρὸς τὸ λογισθῆναι τοῦ
γενέσθαι ὑφ᾽ ἕνα, τοῦ μὴ ὑπακοῦσαι ἄλλης ἐξουσίας, ἀλλ᾽ ἢ τοῦ

ἀρχιερέως. Πτολεμαΐδα καὶ τὴν προσκυροῦσαν αὐτῇ, δέδωκα δόμα τοῖς ἁγίοις τοῖς ἐν ἱερουσαλὴμ εἰς τὴν προσήκουσαν δαπάνην τοῖς ἁγίοις. κἀγὼ δίδωμι κατ' ἐνιαυτὸν δεκαπέντε χιλιάδας σίκλων ἀργυρίου, ἀπὸ τῶν λόγων τοῦ βασιλέως ἀπὸ τῶν τόπων τῶν ἀνηκόντων. καὶ πᾶν τὸ πλεονάζον ὃ οὐκ ἀπεδίδοσαν ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσιν, ἀπὸ τοῦ νῦν δώσουσιν εἰς τὰ ἔργα τοῦ οἴκου. καὶ ἐπὶ τούτοις, πεντακισχιλίους σίκλους ἀργυρίου οὓς ἐλάμβανον ἀπὸ τῶν χρειῶν, ὡς ἐν τοῖς πρώτοις ἔτεσι τοῦ ἁγίου ἀπὸ τοῦ λόγου κατ' ἐνιαυτόν. καὶ ταῦτα ἀφίεται διὰ τὸ ἀνήκειν αὐτὰ τοῖς ἱερεῦσι τοῖς λειτουργοῦσι. καὶ ὅσοι ἐὰν φύγωσιν εἰς τὸ ἱερὸν τὸ ἐν ἱεροσολύμοις, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτοῦ ὀφείλοντες βασιλικά, καὶ πᾶν πρᾶγμα, ἀπολελύσθωσαν. καὶ πάντα ὅσα ἐστὶν αὐτοῖς ἐν τῇ βασιλείᾳ μου. καὶ τοῦ οἰκοδομηθῆναι καὶ τοῦ ἐπικαινισθῆναι τὰ ἔργα τῶν ἁγίων. καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως. καὶ τοῦ οἰκοδομηθῆναι τὰ τείχη ἱερουσαλήμ, καὶ ὀχυρῶσαι κυκλόθεν. καὶ ἡ δαπάνη δοθήσεται ἐκ τοῦ λόγου τοῦ βασιλέως. καὶ τὸ οἰκοδομηθῆναι τὰ τείχη τὰ ἐν τῇ ἰουδαίᾳ. ὡς δὲ ἤκουσεν ἰωνάθας, καὶ ὁ λαὸς τοὺς λόγους τούτους, οὐκ ἐπίστευσαν αὐτοῖς οὐδὲ ἐπεδέξαντο, ὅτι ἐπεμνήσθησαν τῆς κακίας τῆς μεγάλης ἧς ἐποίησεν ἐν ἰσραήλ, καὶ ἔθλιψεν αὐτοὺς σφόδρα. καὶ εὐδόκησαν ἐν ἀλεξάνδρῳ, ὅτι αὐτὸς ἐγένετο αὐτοῖς ἀρχηγὸς λόγων εἰρηνικῶν. καὶ συνεμάχουν αὐτῷ πάσας τὰς ἡμέρας. καὶ συνήγαγεν ἀλέξανδρος ὁ βασιλεὺς δυνάμεις μεγάλας, καὶ παρενέβαλεν ἐξ ἐναντίας δημητρίου. καὶ συνῆψαν πόλεμον οἱ δύο βασιλεῖς, καὶ ἔφυγεν ἡ παρεμβολὴ δημητρίου, καὶ ἐδίωξεν αὐτὸν ὁ ἀλέξανδρος καὶ ἴσχυσεν ἐπ' αὐτούς. καὶ ἐστερέωσε τὸν πόλεμον σφόδρα, ἕως ἔδυ ὁ ἥλιος. καὶ ἔπεσεν ὁ δημήτριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἀπέστειλεν ἀλέξανδρος πρὸς Πτολεμαῖον βασιλέα αἰγύπτου πρέσβεις κατὰ τοὺς λόγους τούτους λέγων. ἐπεὶ ἀνέστρεψα εἰς

γὴν βασιλείαν μου, καὶ ἐκάθισα ἐπὶ θρόνου πατέρων μου. καὶ
ἐκράτησα τῆς ἀρχῆς, καὶ συνέτριψα τὸν δημήτριον. καὶ ἐπικρά
τησα τῆς χώρας ἡμῶν, καὶ συνῆψα πρὸς αὐτὸν μάχην, καὶ συνε-
τρίβη αὐτός. καὶ ἡ παρεμβολὴ αὐτοῦ ὑφ' ἡμῶν, καὶ ἐκαθίσαμεν
ἐπὶ θρόνου βασιλείας αὐτοῦ, καὶ νῦν στήσωμεν πρὸς ἑαυτὸν φι
λίαν. καὶ νῦν δὸς μοι τὴν θυγατέρα σου εἰς γυναῖκα, καὶ ἐπιγαμ
βρεύσω σοι καὶ δώσω σοι δόματα. καὶ αὐτῆ ἀξία σου. καὶ ἀ-
πεκρίθη πτολεμαῖος ὁ βασιλεὺς λέγων. ἀγαθὴ ἡμέρα ἐν ᾗ ἀνέ
στρεψας εἰς γῆν πατέρων σου, καὶ ἐκάθισας ἐπὶ θρόνου βασιλεί
ας αὐτῶν καὶ νῦν ποιήσω σοι ἃ ἔγραψας. ἀλλ' ἀπάντησον εἰς
πτολεμαΐδα ὅπως ἴδωμεν ἀλλήλους, καὶ ἐπιγαμβρεύσω σοι
καθὼς εἴρηκας. καὶ ἐξῆλθε πτολεμαῖος ἐξ αἰγύπτου αὐτὸς, καὶ κλε-
οπάτρα ἡ θυγάτηρ αὐτοῦ, καὶ ἦλθον πτολεμαΐδα ἔτους δευτέ-
ρου καὶ ἑξηκοστοῦ, καὶ ἑκατοστοῦ, καὶ ἀπήντησεν αὐτῷ ἀλέ-
ξανδρος ὁ βασιλεὺς, καὶ ἐξέδοτο αὐτῷ κλεοπάτραν τὴν
θυγατέρα αὐτοῦ. καὶ ἐποίησε τὸν γάμον αὐτῆς ἐν πτολεμαΐδι
καθὼς οἱ βασιλεῖς, ἐν δόξῃ μεγάλῃ. καὶ ἔγραψεν ἀλέξανδρος
ὁ βασιλεὺς τῷ ἰωνάθαν ἐλθεῖν εἰς συνάντησιν αὐτῷ. καὶ ἐπορεύ
θη μετὰ δόξης εἰς πτολεμαΐδα, καὶ ἀπήντησε τοῖς δυσὶ βασιλεῦ
σι, καὶ ἔδωκεν αὐτοῖς ἀργύριον, καὶ χρυσίον καὶ τοῖς φίλοις αὐτῶν
καὶ δόματα. καὶ εὗρε χάριν ἐναντίον αὐτοῦ. καὶ ἐπισυνήχθησαν
πρὸς αὐτὸν ἄνδρες λοιμοὶ ἐξ ἰσραὴλ ἄνδρες παράνομοι ἐν-
τυχεῖν κατ' αὐτοῦ. καὶ οὐ προσέσχεν αὐτοῖς ὁ βασιλεύς. καὶ
προσέταξεν ὁ βασιλεὺς καὶ ἐξέδυσαν ἰωνάθαν τὰ ἱμάτια αὐ
τοῦ, καὶ ἐνέδυσαν αὐτὸν πορφύραν, καὶ ἐποίησαν οὕτως. καὶ ἐ-
κάθισεν ὁ βασιλεὺς μετ' αὐτοῦ, καὶ εἶπε τοῖς ἄρχουσιν αὐτοῦ.
ἐξέλθετε μετ' αὐτοῦ εἰς μέσον τῆς πόλεως, καὶ κηρύξατε τοῦ
μηδένα ἐντυγχάνειν κατ' αὐτοῦ περὶ μηδενὸς πράγματος, καὶ
μηδεὶς αὐτῷ παρενοχλείτω περὶ παντὸς λόγου. καὶ ἐγένετο ὡς
εἶδον οἱ ἐντυγχάνοντες τὴν δόξαν αὐτοῦ καθὼς ἐκήρυξαν, καὶ

περιβεβλημένον αὐτὸν πορφύραν, καὶ ἔφυγον πάντες. καὶ ἐδό-
ξασεν αὐτὸν ὁ βασιλεὺς, καὶ ἔγραψεν αὐτὸν τῶν πρώτων φίλων.
καὶ ἔθετο αὐτὸν στρατηγὸν, καὶ μεριδάρχην. καὶ ἐπέστρεψεν Ἰω-
νάθας εἰς Ἱερουσαλὴμ μετ' εἰρήνης, καὶ εὐφροσύνης. καὶ ἐν ἔτει
πέμπτῳ, καὶ ἑξηκοστῷ καὶ ἑκατοστῷ ἦλθε Δημήτριος υἱὸς Δημη-
τρίου ἐκ Κρήτης εἰς τὴν γῆν τῶν πατέρων αὐτοῦ. καὶ ἤκουσεν
Ἀλέξανδρος ὁ βασιλεὺς, καὶ ἐλυπήθη σφόδρα, καὶ ἀπέστρεψεν
εἰς Ἀντιόχειαν. καὶ κατέστησε Δημήτριος Ἀπολλώνιον τὸν ὄντα ἐ-
πὶ κοίλης Συρίας. καὶ συνήγαγε δύναμιν μεγάλην, καὶ παρε-
νέβαλεν ἐν Ἰαμνείᾳ. καὶ ἀπέστειλε πρὸς Ἰωνάθαν τὸν ἀρχιερέα
λέγων. σὺ μονώτατος ἐπαίρῃ ἐφ' ἡμᾶς; ἐγὼ δὲ ἐγενήθην εἰς
καταγέλωτα, καὶ εἰς ὀνειδισμὸν διὰ σέ. καὶ διατί ἐξουσιάζῃ
ἐφ' ἡμᾶς ἐν τοῖς ὄρεσι. νῦν οὖν εἰ πέποιθας ἐπὶ ταῖς δυνάμε-
σί σου. κατάβηθι πρὸς ἡμᾶς εἰς τὸ πεδίον. καὶ συγκριθῶμεν ἐν
αὐτοῖς ἐκεῖ, ὅτι μετ' ἐμοῦ ἐστι δύναμις τῶν πόλεων. ἐρώτησον
καὶ μάθε τίς εἰμι, καὶ οἱ λοιποὶ οἱ βοηθοῦντες ἡμῖν. καὶ λέγουσιν
οὐκ ἔστιν ὑμῖν στάσις ποδὸς κατὰ πρόσωπον ἡμῶν, ὅτι δὶς ἐτρο-
πώθησαν οἱ πατέρες σου, ἐν τῇ γῇ αὐτῶν. καὶ νῦν οὐ δυνήσῃ ὑ-
ποστῆναι τὴν ἵππον, καὶ δύναμιν τοιαύτην ἐν τῷ πεδίῳ, ὅπου οὐκ
ἔστι λίθος οὐδὲ κόχλαξ οὐδὲ τόπος τοῦ φυγεῖν. ὡς δὲ ἤκουσεν Ἰω-
νάθαν τῶν λόγων Ἀπολλωνίου, ἐκινήθη τῇ διανοίᾳ, καὶ ἐπέλε-
ξε δέκα χιλιάδας ἀνδρῶν, καὶ ἐξῆλθεν ἐξ Ἱερουσαλήμ. καὶ συ-
νήντησεν αὐτῷ Σίμων ὁ ἀδελφὸς αὐτοῦ ἐπὶ βοήθειαν αὐτοῦ. καὶ
παρενέβαλεν ἐπὶ Ἰόππην. καὶ ἀπέκλεισαν αὐτὸν ἐκ τῆς πόλε-
ως, ὅτι φρουρὰ Ἀπολλωνίου ἐν Ἰόππῃ. καὶ ἐπολέμησαν αὐτήν.
καὶ φοβηθέντες ἤνοιξαν οἱ ἐκ τῆς πόλεως, καὶ ἐκυρίευσεν Ἰω-
νάθαν Ἰόππης. καὶ ἤκουσεν Ἀπολλώνιος καὶ παρενέβαλε τρισ-
χιλίαν ἵππον, καὶ δύναμιν πολλήν. καὶ ἐπορεύθη εἰς Ἄζωτον
ὡς διοδεύων. καὶ ἅμα προῆγεν εἰς τὸ πεδίον διὰ τὸ ἔχειν αὐτὸν
πλῆθος ἵππου, καὶ πεποιθέναι ἐπ' αὐτήν. καὶ κατεδίωξεν Ἰωνάθαν

ὀπίσω αὐτοῦ εἰς ἄζωτον. καὶ συνῆψαν αἱ παρεμβολαὶ ὀπίσω αὐτοῦ εἰς πόλεμον. καὶ ἀπέλιπεν ἀπολλώνιος χιλίαν ἵππον κρυπτῶς κατόπισθεν αὐτῶν. καὶ ἔγνω ἰωνάθαν, ὅτι ἐστὶν ἔνεδρον κατόπισθεν αὐτοῦ. καὶ ἐκύκλωσαν αὐτοῦ τὴν παρεμβολὴν καὶ ἐξετίναξαν τὰς σχίζας εἰς τὸν λαὸν ἐκ πρωΐθεν, ἕως δείλης. ὁ δὲ λαὸς εἱστήκει καθὼς ἐπέταξεν ἰωνάθαν, καὶ ἐκοπίασαν οἱ ἵπποι αὐτῶν. καὶ εἵλκυσε σίμων τὴν δύναμιν αὐτοῦ καὶ συνῆψε πρὸς τὴν φάλαγγα. ἡ γὰρ ἵππος ἐξελύθη, καὶ συνετρίβησαν ὑπ' αὐτοῦ. καὶ ἔφυγον, καὶ ἡ ἵππος ἐσκορπίσθη ἐν τῷ πεδίῳ. καὶ ἔφυγον εἰς ἄζωτον, καὶ εἰσῆλθον εἰς βηθδαγὼν τὸ εἰδωλεῖον αὐτῶν τοῦ σωθῆναι. καὶ ἐνεπύρισεν ἰωνάθαν τὴν ἄζωτον, καὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῆς. καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. καὶ τὸ ἱερὸν δαγὼν καὶ τοὺς συμφυγόντας εἰς αὐτὸ ἐνεπύρισε πυρί. καὶ ἐγένοντο οἱ πεπτωκότες μαχαίρᾳ σὺν τοῖς ἐμπυρισθεῖσιν, εἰς ἄνδρας ὀκτακισχιλίους. καὶ ἀπῆρεν ἐκεῖθεν ἰωνάθαν καὶ παρενέβαλεν ἐπὶ ἀσκάλωνα. καὶ ἐξῆλθον οἱ ἐκ τῆς πόλεως εἰς συνάντησιν αὐτῷ ἐν δόξῃ μεγάλῃ. καὶ ἐπέστρεψεν ἰωνάθαν εἰς ἱερουσαλὴμ σὺν τοῖς παρ' αὐτοῦ ἔχοντες σκῦλα πολλά. καὶ ἐγένετο ὡς ἤκουσεν ἀλέξανδρος ὁ βασιλεὺς τοὺς λόγους τούτους, καὶ προσέθετο δοξάσαι τὸν ἰωνάθαν. καὶ ἀπέστειλεν αὐτῷ πόρπην χρυσῆν, ὡς ἔθος ἐστὶ δίδοσθαι τοῖς συγγενέσι τῶν βασιλέων. καὶ ἔδωκεν αὐτῷ τὴν ἀκκαρὼν, καὶ πάντα τὰ ὅρια αὐτῆς εἰς κληροδοσίαν.

Κεφάλαιον. ια. 11.

Καὶ ὁ βασιλεὺς αἰγύπτου ἤθροισε δυνάμεις πολλὰς
κ ὡς τὴν ἄμμον, τὴν περὶ τὸ χεῖλος τῆς θαλάσσης
καὶ πλοῖα πολλά. καὶ ἐζήτησε κατακρατῆσαι τῆς βασιλείας ἀλεξάνδρου δόλῳ, καὶ προσθεῖναι αὐτὴν τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐξῆλθεν εἰς συρίαν λόγοις εἰρηνικοῖς. καὶ ἤνοιγον αὐτῷ οἱ ἀπὸ τῶν πόλεων, καὶ συνήντων αὐτῷ. ὅτι ἐντολὴ ἦν ἀλεξάνδρου τοῦ βασιλέως συναντᾶν αὐτῷ, διὰ τὸ πενθερὸν αὐτοῦ εἶναι.

ὡς δὲ εἰσεπορεύετο εἰς τὰς πόλεις πτολεμαῖος, ἀπέτασσε τὰς δυνάμεις καὶ φρουρὰν ἐν ἑκάστῃ πόλει. ὡς δὲ ἤγγισαν ἀζώτῳ ἔδειξαν αὐτῷ τὸ ἱερὸν δαγὼν ἐμπεπυρισμένον. καὶ ἄζωτον καὶ τὰ περιπόλια αὐτῆς καθῃρημένα, καὶ τὰ σώματα ἐρριμμένα. καὶ τοὺς ἐμπεπυρισμένους οὓς ἐνεπύρισεν ἐν τῷ πολέμῳ. ἐποίησαν δὲ θημωνίας αὐτῶν ἐν τῇ ὁδῷ αὐτοῦ. καὶ διηγήσαντο τῷ βασιλεῖ ἃ ἐποίησεν ἰωνάθαν εἰς τὸ ψογῆσαι αὐτόν, καὶ ἐσίγησεν ὁ βασιλεύς. καὶ συνήντησεν ἰωνάθαν τῷ βασιλεῖ εἰς ἰόππην μετὰ δόξης. καὶ ἠσπάσαντο ἀλλήλους καὶ ἐκοιμήθησαν ἐκεῖ. καὶ ἐπορεύθη ἰωνάθαν μετὰ τοῦ βασιλέως, ἕως τοῦ τόπου τοῦ καλουμένου ἐλευθέρου, καὶ ἐπέστρεψεν εἰς ἱερουσαλήμ. ὁ δὲ βασιλεὺς πτολεμαῖος ἐκυρίευσε τῶν πόλεων τῆς παραλίας, ἕως σελευκίας τῆς παραθαλασσίας. καὶ διελογίζετο περὶ ἀλεξάνδρου λογισμοὺς πονηρούς. καὶ ἀπέστειλε πρέσβεις πρὸς δημήτριον τὸν βασιλέα λέγων. δεῦρο συνθώμεθα πρὸς ἑαυτοὺς διαθήκην. καὶ δώσω σοι τὴν θυγατέρα μου, ἣν εἶχεν ἀλέξανδρος. καὶ βασιλεύσεις τῆς βασιλείας τοῦ πατρός σου. μεταμεμέλημαι γὰρ δοὺς αὐτῷ τὴν θυγατέρα μου, ἐζήτησε γὰρ ἀποκτεῖναί με. καὶ ἐψόγησεν αὐτὸν χάριν τοῦ ἐπιθυμῆσαι αὐτὸν τῆς βασιλείας αὐτοῦ. καὶ ἀφελόμενος αὐτοῦ τὴν θυγατέρα ἔδωκεν αὐτὴν τῷ δημητρίῳ, καὶ ἠλλοιώθη τοῦ ἀλεξάνδρου, καὶ ἐφάνη ἔχθρα αὐτῶν. καὶ εἰσῆλθε πτολεμαῖος εἰς ἀντιόχειαν, καὶ περιέθετο δύο διαδήματα περὶ τὴν κεφαλὴν αὐτοῦ, τὸ τῆς ἀσίας, καὶ αἰγύπτου. ἀλέξανδρος δὲ ὁ βασιλεὺς ἦν ἐν κιλικίᾳ κατὰ τοὺς καιροὺς ἐκείνους, ὅτι ἀπεστάτουν οἱ ἀπὸ τῶν τόπων ἐκείνων. καὶ ἤκουσεν ἀλέξανδρος, καὶ ἦλθεν ἐπ' αὐτὸν πολέμῳ. καὶ ἐξήγαγε πτολεμαῖος, καὶ ἀπήντησεν αὐτῷ ἐν χειρὶ ἰσχυρᾷ, καὶ ἐτροπώσατο αὐτόν. καὶ ἔφυγεν ἀλέξανδρος εἰς τὴν ἀραβίαν τοῦ σκεπασθῆναι αὐτὸν ἐκεῖ. ὁ δὲ βασιλεὺς πτολεμαῖος ὑψώθη. καὶ ἀφεῖλε ζαβδιὴλ ὁ ἄραψ τὴν κατὰ ἀλεξάνδρου, καὶ ἀπέστειλε τῷ πτολεμαίῳ. καὶ ὁ βασιλεὺς

πτολεμαῖος ἀπέθανε ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ οἱ ὄντες ἐν τοῖς ὀχυρώμασιν ἀπώλοντο ὑπὸ τῶν ἐν τοῖς ὀχυρώμασι. καὶ ἐβασίλευσε δημήτριος ἔτους ἑβδόμου, καὶ ἑξηκοστοῦ καὶ ἑκατοστοῦ ἐν ταῖς ἡμέραις ἐκείναις συνήγαγεν ἰωνάθαν τοὺς ἐκ τῆς ἰουδαίας, τοῦ ἐκπολεμῆσαι τὴν ἄκραν τὴν ἐν ἱερουσαλήμ. καὶ ἐποίησεν ἐπ᾽ αὐτὴν μηχανὰς πολλάς. καὶ ἐπορεύθησάν τινες μισοῦντες τὸ ἔθνος αὐτῶν ἄνδρες παράνομοι πρὸς τὸν βασιλέα. καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι ἰωνάθαν περικάθηται τὴν ἄκραν, καὶ ἀκούσας ὠργίσθη. ὡς δὲ ἤκουσεν εὐθέως ἀναζεύξας ἦλθεν εἰς πτολεμαΐδα. καὶ ἔγραψεν ἰωνάθαν. τοῦ μὴ περικαθῆσθαι. καὶ τοῦ ἀπαντῆσαι αὐτὸν αὐτῷ συμμίσγειν εἰς πτολεμαΐδα τὴν ταχίστην. ὡς δὲ ἤκουσεν ἰωνάθαν ἐκέλευσε περικαθῆσθαι. καὶ ἐπέλεξε τῶν πρεσβυτέρων ἰσραὴλ καὶ τῶν ἱερέων, καὶ ἔδωκεν ἑαυτὸν τῷ κινδύνῳ. καὶ λαβὼν ἀργύριον καὶ χρυσίον καὶ ἱματισμὸν καὶ ἕτερα ξένια πλείονα, ἐπορεύθη πρὸς τὸν βασιλέα εἰς πτολεμαΐδα. καὶ εὗρε χάριν ἐνώπιον αὐτοῦ. καὶ ἐνετύγχανον κατ᾽ αὐτοῦ τινες ἄνομοι τῆς ἐκ τοῦ ἔθνους. καὶ ἐποίησεν αὐτῷ ὁ βασιλεὺς καθὼς ἐποίησαν αὐτῷ οἱ πρὸ αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν ἐναντίον πάντων τῶν φίλων αὐτοῦ. καὶ ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην, καὶ ὅσα ἄλλα εἶχε τίμια τὸ πρότερον. καὶ ἐποίησεν αὐτὸν τῶν πρώτων φίλων ἡγεῖσθαι. καὶ ἠξίωσεν ἰωνάθαν τὸν βασιλέα ποιῆσαι τὴν ἰουδαίαν ἀφορολόγητον, καὶ τὰς τρεῖς τοπαρχίας, καὶ τὴν σαμαρεῖτιν. καὶ ἐπηγγείλατο αὐτῷ τάλαντα τριακόσια, καὶ εὐδόκησεν ὁ βασιλεὺς, καὶ ἔγραψε τῷ ἰωνάθαν ἐπιστολὰς περὶ πάντων τούτων ἐχούσας τὸν τρόπον τοῦτον. Βασιλεὺς Δημήτριος ἰωνάθαν τῷ ἀδελφῷ χαίρειν, καὶ ἔθνει ἰουδαίων τὸ ἀντίγραφον τῆς ἐπιστολῆς ἧς ἐγράψαμεν λασθένει τῷ συγγενεῖ ἡμῶν περὶ ὑμῶν γεγράφαμεν καὶ πρὸς ὑμᾶς ὅπως εἰδῆτε. Βασιλεὺς δημήτριος λασθένει τῷ πατρὶ χαίρειν. τῷ ἔθνει τῶν ἰουδαίων φίλοις ἡμῶν, καὶ συντηροῦσι τὰ πρὸς ἡμᾶς δίκαια ἐ

κρίναμεν ἀγαθοποιῆσαι χάριν τῆς ἐξ αὐτῶν εὐνοίας πρὸς ἡμᾶς. ἑστάκαμεν αὐτοῖς τά τε ὅρια τῆς ἰουδαίας τοὺς τρεῖς νομοὺς ἀφαίρεμα καὶ λύδδαν, καὶ ῥαμαθὲμ αἳ τινὲς προσετέθησαν τῇ ἰουδαίᾳ ἀπὸ τῆς σαμαρείτιδος. καὶ πάντα τὰ συγκυροῦντα αὐτοῖς πᾶσι τοῖς θυσιάζουσιν εἰς ἱεροσόλυμα. ἀντὶ τῶν βασιλικῶν ὧν ἐλάμβανεν ὁ βασιλεὺς παρ᾽ αὐτῶν τὸ πρότερον κατ᾽ ἐνιαυτὸν ἀπὸ τῶν γεννημάτων τῆς γῆς, καὶ ἀπὸ τῶν ἀκροδρύων. καὶ τὰ ἄλλα τὰ ἀνήκοντα ἡμῖν ἀπὸ τοῦ νῦν τῶν δεκατῶν, καὶ τῶν τελῶν τῶν ἀνηκόντων ἡμῖν. καὶ τὰς τοῦ ἁλὸς λίμνας, καὶ τοὺς ἀνήκοντας ἡμῖν στεφάνους, πάντα ἐπαρκέσομεν αὐτοῖς. καὶ οὐκ ἀθετηθήσεται οὐδὲ ἓν τούτων ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν ἅπαντα χρόνον. νῦν οὖν ἐπιμελήθητε τοῦ ποιῆσαι τούτων ἀντίγραφον. καὶ δοθήτω ἰωνάθαν, καὶ τεθήτω ἐν τῷ ὄρει τῷ ἁγίῳ ἐν τόπῳ ἐπισήμῳ. καὶ εἶδε δημήτριος ὁ βασιλεύς, ὅτι ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ, καὶ οὐδὲν αὐτῷ ἀνθειστήκει. καὶ ἀπέλυσε πάσας τὰς δυνάμεις αὐτοῦ ἕκαστον εἰς τὸν ἴδιον τόπον. πλὴν τῶν ξένων δυνάμεων ὧν ἐξενολόγησεν ἀπὸ τῶν νήσων τῶν ἐθνῶν. καὶ ἤχθραναν αὐτῷ πᾶσαι αἱ δυνάμεις αἱ ἀπὸ τῶν πατέρων. Τρύφων δὲ ἦν τῶν παρὰ ἀλεξάνδρου τὸ πρότερον. καὶ εἶδεν, ὅτι πᾶσαι αἱ δυνάμεις καταγογγύζουσιν τοῦ δημητρίου. καὶ ἐπορεύθη πρὸς σιμαλκουαὶ τὸν ἄραβα ὃς ἔτρεφε τὸν ἀντίοχον τὸ παιδάριον τὸ τοῦ ἀλεξάνδρου. καὶ προσήδρευεν αὐτῷ ὅπως παραδοῖ αὐτὸν αὐτῷ ὅπως βασιλεύσῃ ἀντὶ τοῦ πατρὸς αὐτοῦ. καὶ ἀπήγγελεν αὐτῷ ὅσα συνετέλεσε δημήτριος. καὶ τὴν ἔχθραν ἣν ἐχθραίνουσιν αὐτῷ αἱ δυνάμεις αὐτοῦ. καὶ ἔμεινεν ἐκεῖ ἡμέρας πολλάς. καὶ ἀπέστειλεν ἰωνάθαν πρὸς δημήτριον τὸν βασιλέα, ἵνα ἐκβάλῃ τοὺς ἐκ τῆς ἄκρας ἐξ ἱερουσαλήμ, καὶ τοὺς ἐν τοῖς ὀχυρώμασιν. ἦσαν γὰρ πολεμοῦντες τὸν ἰσραήλ. καὶ ἀπέστειλε δημήτριος πρὸς ἰωνάθαν λέγων. οὐ μόνον ταῦτα ποιήσω σοι, καὶ τῷ ἔθνει σου, ἀλλὰ δόξῃ δοξάσω σε, καὶ τὸ ἔθνος σου ἐὰν εὐκαιρίας

τοῦχοῦ. νῦν οὖν ὀρθῶς ποιήσεις ἀποστείλας μοι ἄνδρας οἳ συμ-
μαχήσουσιν, ὅτι ἀπέστησαν πᾶσαι αἱ δυνάμεις μου. καὶ ἀπέ-
στειλεν ἰωνάθαν ἄνδρας τρισχιλίους δυνατοὺς ἰσχύϊ αὐτῷ εἰς ἀν-
τιόχειαν, καὶ ἤλθοσαν πρὸς τὸν βασιλέα. καὶ εὐφράνθη ὁ βασι-
λεὺς ἐπὶ τῇ ἐφόδῳ αὐτῶν. καὶ ἐπισυνήχθησαν οἱ ἐκ τῆς πόλεως εἰς
μέσον τῆς πόλεως, εἰς ἀνδρῶν, δώδεκα μυριάδας. καὶ ἠβούλον-
το ἀνελεῖν τὸν βασιλέα. καὶ ἔφυγεν ὁ βασιλεὺς εἰς τὴν αὐλὴν
καὶ κατελάβοντο οἱ ἐκ τῆς πόλεως τὰς διόδους τῆς πόλεως. καὶ
ἤρξαντο πολεμεῖν. καὶ ἐκάλεσεν ὁ βασιλεὺς τοὺς ἰουδαίους ἐπὶ
βοήθειαν καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πάντες ἅμα. καὶ διε-
σπάρησαν ἐν τῇ πόλει, καὶ ἀπέκτειναν ἐν τῇ πόλει ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ, εἰς μυριάδας δέκα. καὶ ἐνεπύρισαν τὴν πόλιν. καὶ
ἐλάβοσαν σκῦλα πολλὰ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἔσωσαν τὸν βα-
σιλέα. καὶ εἶδον οἱ ἀπὸ τῆς πόλεως, ὅτι κατεκράτησαν οἱ ἰου-
δαῖοι τῆς πόλεως ὡς ἠβούλοντο. καὶ ἠσθένησαν ταῖς διανοί-
αις αὐτῶν, καὶ ἐκέκραξαν πρὸς τὸν βασιλέα μετὰ δεήσεως λέγον-
τες. δὸς ἡμῖν δεξιάς, καὶ παυσάσθωσαν οἱ ἰουδαῖοι πολεμοῦν-
τες ἡμᾶς, καὶ τὴν πόλιν. καὶ ἔρριψαν τὰ ὅπλα, καὶ ἐποίησαν εἰρή-
νην. καὶ ἐδοξάσθησαν οἱ ἰουδαῖοι ἐναντίον τοῦ βασιλέως, καὶ ἐνώπι-
ον πάντων τῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ. καὶ ἐπέστρεψαν εἰς ἱερουσαλὴμ
ἔχοντες σκῦλα πολλά. καὶ ἐκάθισε δημήτριος ὁ βασιλεὺς ἐπὶ
θρόνου τῆς βασιλείας. καὶ ἡσύχασεν ἡ γῆ ἐνώπιον αὐτοῦ. καὶ ἐ-
ψεύσατο πάντα ὅσα εἶπε, καὶ ἠλλοτριώθη τῷ ἰωνάθαν, καὶ οὐκ
ἀνταπέδωκε κατὰ τὰς εὐνοίας ἃς ἀνταπέδωκεν αὐτῷ, καὶ
ἔθλιβεν αὐτὸν σφόδρα. μετὰ δὲ ταῦτα ἀπέστρεψε τρύφων, καὶ
ἀντίοχος μετ' αὐτοῦ παιδάριον νεώτερον, καὶ ἐβασίλευσε, καὶ ἐ-
πέθετο διάδημα. καὶ ἐπισυνήχθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυ-
νάμεις ἃς ἀπεσκόρπισε δημήτριος. καὶ ἐπολέμησαν πρὸς αὐ-
τόν, καὶ ἔφυγε καὶ ἐτροπώθη. καὶ ἔλαβε τρύφων τὰ θηρία,
καὶ κατεκράτησεν ἀντιοχείας. καὶ ἔγραψεν ἀντίοχος ὁ νεώ-

πρὸς τὸν ἰωνάθαν λέγων· ἵστημί σοι τὴν ἀρχιερωσύνην, καὶ καθίστημί σε ἐπὶ τῶν τεσσάρων νομῶν. καὶ εἶναί σε τῶν φίλων τοῦ βασιλέως. καὶ ἀπέστειλεν αὐτῷ χρυσώματα, καὶ διακονίαν. καὶ ἔδωκεν αὐτῷ ἐξουσίαν πίνειν ἐν χρυσώμασι. καὶ εἶναι ἐν πορφύρᾳ, καὶ ἔχειν πόρπην χρυσῆν. καὶ σίμωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησε στρατηγὸν ἀπὸ τῆς κλίμακος τύρου, ἕως τῶν ὁρίων αἰγύπτου. καὶ ἐξῆλθεν ἰωνάθαν, καὶ διεπορεύετο πέραν τοῦ ποταμοῦ, καὶ ἐν ταῖς πόλεσι. καὶ ἠθροίσθησαν πρὸς αὐτὸν πᾶσαι αἱ δυνάμεις συρίας εἰς συμμαχίαν. καὶ ἦλθεν εἰς ἀσκάλωνα καὶ ἀπήντησαν αὐτῷ οἱ ἐκ τῆς πόλεως ἐνδόξως. καὶ ἀπῆλθεν ἐκεῖθεν εἰς γάζαν. καὶ ἀπέκλεισαν οἱ ἀπὸ γάζης, καὶ περιεκάθισεν περὶ αὐτήν. καὶ ἐνεπύρισε τὰ περιπόλια αὐτῆς πυρὶ, καὶ ἐσκύλευσεν αὐτά. καὶ ἠξίωσαν οἱ ἀπὸ γάζης ἰωνάθαν καὶ ἔδωκεν αὐτοῖς δεξιάς. καὶ ἔλαβε τοὺς υἱοὺς ἀρχόντων αὐτῶν εἰς ὅμηρα, καὶ ἐξαπέστειλεν αὐτοὺς εἰς ἱερουσαλήμ, καὶ διῆλθε τὴν χώραν, ἕως δαμασκοῦ. καὶ ἤκουσεν ἰωνάθαν, ὅτι παρῆσαν οἱ ἄρχοντες δημητρίου, εἰς καδης τὴν ἐν τῇ γαλιλαίᾳ μετὰ δυνάμεως πολλῆς. βουλόμενοι μεταστῆσαι αὐτὸν ἐκ τῆς χώρας, καὶ συνήντησεν αὐτοῖς. τὸν δὲ ἀδελφὸν αὐτοῦ σίμωνα κατέλιπε τῇ χώρᾳ. καὶ παρενέβαλε σίμων ἐπὶ βαιθσούρα, καὶ ἐπολέμει αὐτὴν ἡμέρας πολλάς, καὶ συνέκλεισεν αὐτήν. καὶ ἠξίωσαν αὐτὸν τοῦ δεξιὰς λαβεῖν. καὶ ἔδωκεν αὐτοῖς, καὶ ἐξέβαλεν αὐτοὺς ἐκεῖθεν. καὶ κατελάβετο τὴν πόλιν, καὶ ἔθετο ἐπ' αὐτὴν φρουράν. καὶ ἰωνάθαν, καὶ ἡ παρεμβολὴ αὐτοῦ παρενέβαλεν ἐπὶ τὸ ὕδωρ γεννησάρ. καὶ ὤρθρισαν πρωῒ, εἰς τὸ πεδίον νασώρ. καὶ ἰδοὺ παρεμβολὴ ἀλλοφύλων ἀπήντα αὐτῷ ἐν τῷ πεδίῳ, καὶ ἐξέβαλον ἔνεδρον ἐπ' αὐτὸν ἐν τοῖς ὄρεσιν. αὐτοὶ δὲ ἀπήντησαν ἐξ ἐναντίας. τὰ δὲ ἔνεδρα ἐξανέστησαν ἐκ τῶν τόπων αὐτῶν, καὶ συνῆψαν πόλεμον. καὶ ἔφυγον οἱ παρὰ ἰωνάθαν πάντες οὐ δὲ εἷς κατελείφθη ἀπ' αὐτῶν. πλὴν ματταθίας

ὁ τοῦ ἀβεσσαλώμου, καὶ ἰούδας ὁ τοῦ χαλφὶ ἄρχοντες τῆς στρα-
τιᾶς τῶν δυνάμεων. καὶ διέῤῥηξεν ἰωνάθαν τὰ ἱμάτια αὐτοῦ, καὶ
ἐπέθηκε γῆν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ προσηύξατο. καὶ ὑπέ-
στρεψε πρὸς αὐτοὺς πολέμῳ, καὶ ἐτροπώσατο αὐτοὺς καὶ ἔφυ-
γον. καὶ εἶδον οἱ φεύγοντες οἱ παρ' αὐτοῦ, καὶ ἐπέστρεψαν πρὸς
αὐτὸν καὶ ἐδίωκον μετ' αὐτοῦ, ἕως κάδης ἕως τῆς παρεμβολῆς αὐ-
τῶν, καὶ παρενέβαλον ἐκεῖ. καὶ ἔπεσον ἐκ τῶν ἀλλοφύλων ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ εἰς ἄνδρας τρισχιλίους καὶ ἐπέστρεψεν ἰωνάθαν
εἰς ἱερουσαλήμ.

## Κεφάλαιον ιβ 12.

Αὶ εἶδεν ἰωνάθαν. ὅτι ὁ καιρὸς αὐτῷ συνεργεῖ, καὶ
κ ἐπέλεξεν ἄνδρας καὶ ἀπέστειλεν εἰς ῥώμην στῆσαι καὶ
ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν. καὶ πρὸς σπαρ-
τιάτας, καὶ τόπους ἑτέρους ἀπέστειλεν ἐπιστολὰς κατὰ ταῦτα.
καὶ ἐπορεύθησαν εἰς ῥώμην, καὶ εἰσῆλθον εἰς τὸ βουλευτήριον
καὶ εἶπον. ἰωνάθαν ὁ ἀρχιερεὺς καὶ τὸ ἔθνος τῶν ἰουδαίων ἀ-
πέστειλεν ἡμᾶς ἀνανεώσασθαι τὴν φιλίαν αὐτοῖς, καὶ τὴν συμ-
μαχίαν κατὰ τὸ πρότερον. καὶ ἔδωκαν ἐπιστολὰς αὐτοῖς πρὸς
αὐτοὺς κατὰ τόπον. ὅπως προπέμπωσιν αὐτοὺς εἰς γῆν ἰού-
δα μετ' εἰρήνης. καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἔγρα-
ψεν ἰωνάθαν τοῖς σπαρτιάταις. Ἰωνάθαν ἀρχιερεὺς καὶ ἡ γε-
ρουσία τοῦ ἔθνους, καὶ οἱ ἱερεῖς καὶ ὁ λοιπὸς δῆμος τῶν ἰουδαί-
ων, σπαρτιάταις τοῖς ἀδελφοῖς χαίρειν. ἐπεὶ τὸ πρότερον ἀπε-
στάλησαν ἐπιστολαὶ πρὸς ὀνίαν τὸν ἀρχιερέα παρὰ δαρείου τοῦ βα-
σιλεύοντος ἐν ὑμῖν, ὅτι ἐστὲ ἀδελφοὶ ἡμῶν, ὡς τὸ ἀντίγρα-
φον ὑπόκειται. καὶ ἐπεδέξατο ὀνίας τὸν ἄνδρα τὸν ἀπεσταλμέ-
νον ἐνδόξως, καὶ ἔλαβε τὰς ἐπιστολὰς ἐν αἷς διεσαφεῖτο περὶ
συμμαχίας καὶ φιλίας. καὶ ἡμεῖς οὖν ἀπροσδεεῖς τούτων ὄν-
τες. παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερ-
σὶν ἡμῶν, ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφό-

τητα καὶ φιλίαν ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν. πολλοὶ γὰρ καιροὶ διῆλθον ἀφ' οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. ἡμεῖς οὖν ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς, καὶ ταῖς λοιπαῖς καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν. ἐφ' ὧν προσφέρομεν θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς ὡς δέον ἐστὶ, καὶ πρέπον μνημονεύειν ἀδελφῶν. εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. ὑμᾶς δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις, καὶ πόλεμοι πολλοί. καὶ ἐπολέμησαν ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. καὶ οὐκ ἠβουλόμεθα οὖν παρενοχλεῖν ὑμῖν, καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν τοῖς πολέμοις τούτοις. ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοήθειαν βοηθοῦσαν ἡμῖν, καὶ ἐρρύσθημεν ἀπὸ τῶν ἐχθρῶν ἡμῶν καὶ ἐταπεινώθησαν οἱ ἐχθροὶ ἡμῶν. ἐπελέξαμεν οὖν νουμήνιον ἀντιόχου, καὶ ἀντίπατρον ἰάσωνος. καὶ ἀπεστάλκαμεν πρὸς ῥωμαίους ἀνανεώσασθαι τὴν πρὸς αὐτοὺς φιλίαν, καὶ συμμαχίαν τὴν προτέραν καὶ ἐνετειλάμεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς. καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ' ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως, καὶ τῆς ἀδελφότητος ἡμῶν. καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνήσαντες ἡμῖν πρὸς ταῦτα. καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλεν ὀνιάρης. Βασιλεὺς σπαρτιατῶν, ὀνίᾳ ἱερεῖ μεγάλῳ χαίρειν. εὑρέθη ἐν γραφῇ περί τε τῶν σπαρτιατῶν καὶ ἰουδαίων, ὅτι εἰσὶν ἀδελφοὶ, καὶ ὅτι εἰσὶν ἐκ γένους ἀβραάμ. καὶ νῦν ἀφ' οὗ ἔγνωμεν ταῦτα, καλῶς ποιήσετε γράφοντες ἡμῖν, περὶ τῆς εἰρήνης ὑμῶν. καὶ ἡμεῖς δὲ, ἀντιγράφομεν ὑμῖν τὰ κτήνη ὑμῶν καὶ ἡ ὕπαρξις ὑμῶν, ἡμῖν ἐστι. καὶ τὰ ἡμῶν, ὑμῖν ἐστιν. ἐντελλόμεθα οὖν ὅπως ἀπαγγείλωσιν ὑμῖν κατὰ ταῦτα. καὶ ἤκουσεν ἰωνάθαν, ὅτι ἐπέστρεψαν οἱ ἄρχοντες δημητρίου μετὰ δυνάμεως πολλῆς ὑπὲρ τὸ πρότερον τοῦ πολεμῆσαι πρὸς αὐτὸν, καὶ ἀπῆρεν ἐξ ἱερουσαλὴμ, καὶ ἀπήντησεν αὐτοῖς εἰς τὴν ἀμαθῖτιν χώραν. οὐ γὰρ ἔδωκεν αὐτοῖς

ἀνοχὴν ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτοῦ, καὶ ἀπέστειλε κατασκόπους εἰς τὴν παρεμβολὴν αὐτοῦ. καὶ ἀπέστρεψαν καὶ ἀπήγγειλαν αὐτῷ, ὅτι οὕτω τάσσονται ἐπιπεσεῖν ἐπ' αὐτοὺς τὴν νύκτα, ὡς δὲ ἔδυ ὁ ἥλιος, ἐπέταξεν ἰωνάθαν τοῖς παρ' αὐτοῦ γρηγορεῖν, καὶ εἶναι ἐπὶ τοῖς ὅπλοις. καὶ ἑτοιμάζεσθαι εἰς πόλεμον δι' ὅλης τῆς νυκτός. καὶ ἐξέβαλε προφύλακας κύκλῳ τῆς παρεμβολῆς. καὶ ἤκουσαν οἱ ὑπεναντίοι, ὅτι ἡτοίμασται ἰωνάθαν καὶ οἱ παρ' αὐτοῦ εἰς πόλεμον. καὶ ἐφοβήθησαν καὶ ἔπτηξαν τῇ καρδίᾳ αὐτῶν καὶ ἀνέκαυσαν πυρὰς ἐν τῇ παρεμβολῇ αὐτῶν. ἰωνάθαν δὲ καὶ οἱ παρ' αὐτοῦ, οὐκ ἔγνωσαν, ἕως πρωΐ. ἔβλεπον γὰρ τὰ φῶτα καιόμενα. καὶ κατεδίωξεν ἰωνάθαν ὀπίσω αὐτῶν, καὶ οὐ κατέλαβεν αὐτούς. διέβησαν γὰρ τὸν ἐλεύθερον ποταμόν. καὶ ἐξέκλινεν ἰωνάθαν ἐπὶ τοὺς ἄραβας τοὺς καλουμένους ζαβεδαίους, καὶ ἐπάταξεν αὐτούς. καὶ ἔλαβε τὰ σκῦλα αὐτῶν. καὶ ἀναζεύξας ἦλθεν εἰς δαμασκὸν καὶ διώδευσεν ἐν πάσῃ τῇ χώρᾳ. καὶ σίμων ἐξῆλθε. καὶ διώδευσεν ἕως ἀσκάλωνος. καὶ τῶν πλησίον ὀχυρωμάτων. καὶ ἐξέκλινεν εἰς ἰόππην, καὶ προκατελάβετο αὐτήν. ἤκουσε γὰρ ὅτι βούλονται τὸ ὀχύρωμα παραδοῦναι τοῖς παρὰ δημητρίου. καὶ ἔθετο ἐκεῖ φρουρὰν ὅπως φυλάσσωσιν αὐτήν. καὶ ἐπέστρεψεν ἰωνάθαν, καὶ ἐξεκκλησίασε τοὺς πρεσβυτέρους τοῦ λαοῦ. καὶ ἐβουλεύσατο μετ' αὐτῶν τοῦ οἰκοδομῆσαι ὀχυρώματα ἐν τῇ ἰουδαίᾳ. καὶ προσυψῶσαι τὰ τείχη ἱερουσαλήμ. καὶ ὑψῶσαι ὕψος μέγα ἀνὰ μέσον τῆς ἄκρας, καὶ τῆς πόλεως. εἰς τὸ διαχωρίζειν αὐτὴν τῆς πόλεως, ἵνα ᾖ αὐτὴ κατὰ μόνας. ὅπως μήτε ἀγοράζωσι μήτε πωλῶσι. καὶ συνήχθησαν τοῦ οἰκοδομεῖν τὴν πόλιν, καὶ ἔπεσε τοῦ τείχους τοῦ χειμάρρου τοῦ ἐξ ἀφηλιώτου, καὶ ἐπεσκεύασε τὸ καλούμενον χαφεναθά. καὶ σίμων ᾠκοδόμησε τὴν ἀδιδὰ ἐν τῇ σεφήλᾳ καὶ ὠχύρωσε θύρας καὶ μοχλούς. καὶ ἐζήτησε τρύφων βασιλεῦσαι τῆς ἀσίας, καὶ περιθέ-

θεῖναι τὸ διάδημα, καὶ ἐκτεῖναι χεῖρα ἐπὶ ἀντίοχον τὸν βασιλέα. καὶ εὐλαβήθη μήποτε οὐκ ἐάσῃ αὐτὸν ἰωνάθαν, καὶ μήποτε πολεμήσῃ πρὸς αὐτ. καὶ ἐζήτει πόρον τοῦ συλλαβεῖν τὸν ἰωνάθαν τοῦ ἀπολέσαι αὐτόν. καὶ ἀπάρας ἦλθεν εἰς βαιθσάν. καὶ ἐξῆλθεν ἰωνάθαν εἰς ἀπάντησιν αὐτῷ ἐν τεσσαράκοντα χιλιάσιν ἀνδρῶν ἐπιλελεγμέναις εἰς παράταξιν, καὶ ἦλθεν εἰς βαιθσάν. καὶ εἶδε τρύφων, ὅτι πάρεστι μετὰ δυνάμεως πολλῆς. καὶ ἐκτεῖναι χεῖρας ἐπ' αὐτὸν εὐλαβήθη. καὶ ἐπεδέξατο αὐτὸν ἐνδόξως, καὶ συνέστησεν αὐτὸν πᾶσι τοῖς φίλοις αὐτοῦ. καὶ ἔδωκεν αὐτῷ δόματα, καὶ ἐπέταξε τοῖς φίλοις αὐτοῦ, καὶ ταῖς δυνάμεσιν αὐτοῦ ὑπακούειν αὐτῷ ὡς ἑαυτῷ. καὶ εἶπε τῷ ἰωνάθαν, ἵνα τί ἔκοψας πάντα τὸν λαὸν τοῦτον πολέμου μὴ ἐνεστηκότος ἡμῖν. καὶ νῦν ἀπόστειλον αὐτοὺς εἰς τοὺς οἴκους αὐτῶν. ἐπίλεξαι δὲ σεαυτῷ ἄνδρας ὀλίγους, οἵτινες ἔσονται μετὰ σοῦ, καὶ δεῦρο μετ' ἐμοῦ εἰς πτολεμαΐδα, καὶ παραδώσω σοι αὐτήν, καὶ τὰ λοιπὰ ὀχυρώματα καὶ τὰς δυνάμεις τὰς λοιπάς, καὶ πάντας τοὺς ἐπὶ τῶν χρειῶν. καὶ ἀποστρέψας ἀπελεύσομαι. τούτου γὰρ χάριν πάρειμι. καὶ ἐμπιστεύσας αὐτῷ ἐποίησε καθὼς εἶπε. καὶ ἐξαπέστειλε τὰς δυνάμεις καὶ ἀπῆλθον εἰς γῆν ἰούδα. κατέλιπε δὲ μεθ' ἑαυτοῦ ἄνδρας τρισχιλίους. ὧν δισχιλίους ἀφῆκεν ἐν τῇ γαλιλαίᾳ, χίλιοι δὲ συνῆλθον αὐτῷ. ὡς δὲ εἰσῆλθεν ἰωνάθαν εἰς πτολεμαΐδα, ἀπέκλεισαν οἱ πτολεμαεῖς τὰς πύλας, καὶ συνέλαβον αὐτόν. καὶ πάντας τοὺς εἰσελθόντας μετ' αὐτοῦ ἀπέκτειναν ἐν ῥομφαίᾳ. καὶ ἀπέστειλε τρύφων δυνάμεις, καὶ ἵππον εἰς τὴν γαλιλαίαν, καὶ τὸ πεδίον τὸ μέγα, τοῦ ἀπολέσαι πάντας τοὺς περὶ ἰωνάθου. καὶ ἐπέγνωσαν ὅτι συνελήφθη ἰωνάθαν καὶ ἀπόλωλε, καὶ οἱ μετ' αὐτοῦ, καὶ παρεκάλεσαν ἑαυτούς, καὶ ἐπορεύοντο συνεστραμμένοι ἕτοιμοι εἰς πόλεμον. καὶ εἶδον οἱ διώκοντες, ὅτι περὶ ψυχῆς αὐτοῖς ἐστί, καὶ ἐπέστρεψαν καὶ ἦλθον πάντες μετ' εἰρήνης εἰς γῆν ἰούδα. καὶ ἐπένθησαν τὸν ἰωνάθαν, καὶ τοὺς μετ' αὐτοῦ. καὶ ἐφοβήθησαν

σφόδρα, καὶ ἐπένθησαν πᾶς ἰσραὴλ πένθος μέγα. καὶ ἐζήτησαν
πάντα τὰ ἔθνη τὰ κύκλῳ αὐτῶν ἐκτρῖψαι αὐτούς. εἶπαν γὰρ οὐκ ἔ-
χουσιν ἄρχοντα, καὶ βοηθοῦντα. νῦν οὖν πολεμήσωμεν αὐτούς, καὶ
ἐξάρωμεν ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν.

Κεφάλαιον ιγ΄. 13.

Αὶ ἤκουσε σίμων ὅτι συνήγαγε τρύφων δύναμιν
κ πολλὴν τοῦ ἐλθεῖν εἰς γῆν ἰούδα, καὶ ἐκτρῖψαι αὐτήν
καὶ εἶδε τὸν λαόν, ὅτι ἐστὶν ἔντρομος, καὶ ἔμφοβος, καὶ
ἀνέβη εἰς ἱερουσαλήμ, καὶ ἤθροισε τὸν λαὸν καὶ παρεκάλεσεν
αὐτούς, καὶ εἶπεν αὐτοῖς. αὐτοὶ οἴδατε ὅσα ἐγώ. καὶ οἱ ἀδελ-
φοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου ἐποιήσαμεν περὶ τῶν νό-
μων καὶ τῶν ἁγίων. καὶ τοὺς πολέμους καὶ τὰς στενοχωρίας ἃς εἴ-
δομεν. τούτου χάριν ἀπώλοντο οἱ ἀδελφοί μου πάντες χάριν τοῦ
ἰσραήλ. καὶ κατελείφθην ἐγὼ μόνος. καὶ νῦν μή μοι γένοιτο φεί-
σασθαί μου, τῆς ψυχῆς ἐν παντὶ καιρῷ θλίψεως οὐ γάρ εἰμι κρείσ-
σων τῶν ἀδελφῶν μου. πλὴν ἐκδικήσω περὶ τοῦ ἔθνους μου, καὶ
περὶ τῶν ἁγίων, καὶ περὶ τῶν γυναικῶν καὶ τῶν τέκνων ἡμῶν. ὅ-
τι συνήχθησαν πάντα τὰ ἔθνη ἐκτρῖψαι ἡμᾶς ἔχθρας χάριν, καὶ
ἀνεζωπύρησε τὸ πνεῦμα τοῦ λαοῦ ἅμα τῷ ἀκοῦσαι τῶν λόγων
τούτων καὶ ἀπεκρίθησαν φωνῇ μεγάλῃ λέγοντες. σὺ εἶ ἡμῶν
ἡγούμενος ἀντὶ ἰούδα, καὶ ἰωνάθαν τοῦ ἀδελφοῦ σου πολέμη-
σον τὸν πόλεμον ἡμῶν, καὶ πάντα ὅσα ἂν εἴπῃς ἡμῖν ποιήσο-
μεν. καὶ συνήγαγε πάντας τοὺς ἄνδρας τοὺς πολεμιστάς, καὶ ἐ-
τάχυνε τοῦ τελέσαι τὰ τείχη ἱερουσαλήμ, καὶ ὠχύρωσεν αὐτὴν
κυκλόθεν. καὶ ἀπέστειλεν ἰωνάθαν τὸν τοῦ ἀβεσσαλώμου. καὶ με-
τ' αὐτοῦ δύναμιν ἱκανὴν εἰς ἰόππην. καὶ ἐξέβαλε τοὺς ὄντας ἐν
αὐτῇ, καὶ ἔμεινεν ἐκεῖ ἐν αὐτῇ. καὶ ἀπῆρε τρύφων ἀπὸ πτολε-
μαΐδος μετὰ δυνάμεως πολλῆς εἰσελθεῖν εἰς γῆν ἰούδα. καὶ ἰω-
νάθαν μετ' αὐτοῦ ἐν φυλακῇ. σίμων δὲ παρενέβαλεν ἐν ἀδιδοῖς
κατὰ πρόσωπον τοῦ πεδίου. καὶ ἐπέγνω τρύφων, ὅτι ἀνέστη σί-

υἱῶν αὐτοῦ ἰωνάθου τοῦ ἀδελφοῦ αὐτοῦ. καὶ ὅτι συνάπτειν αὐτῷ μέλλει πόλεμον. καὶ ἀπέστειλε πρὸς αὐτὸν πρέσβεις λέγων. περὶ ἀργυρίου οὗ ὤφειλεν ἰωνάθαν ὁ ἀδελφός σου, εἰς τὸ βασιλικόν. δι' ἃς εἶχε χρείας, συνέχομεν αὐτόν. καὶ νῦν ἀπόστειλον ἀργυρίου τάλαντα ἑκατὸν, καὶ δύο τῶν υἱῶν αὐτοῦ ὅμηρα. ὅπως μὴ ἀφεθεὶς ἀποστατήσῃ ἀφ' ἡμῶν. καὶ ἀφήσομεν αὐτόν. καὶ ἔγνω σίμων, ὅτι δόλῳ λαλοῦσι πρὸς αὐτόν. καὶ πέμπει τὸ ἀργύριον. καὶ τὰ παιδάρια. καὶ μήποτε ἔχθραν ἄρῃ μεγάλην πρὸς τὸν λαὸν λέγοντες. ὅτι οὐκ ἀπέστειλα αὐτῷ τὸ ἀργύριον. καὶ τὰ παιδάρια καὶ ἀπώλετο. καὶ ἀπέστειλε τὰ παιδάρια. καὶ τὰ ἑκατὸν τάλαντα. καὶ διεψεύσατο καὶ οὐκ ἀφῆκε τὸν ἰωνάθαν. καὶ μετὰ ταῦτα ἦλθε τρύφων τοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν. καὶ ἐκτρῖψαι αὐτήν. καὶ ἐκύκλωσεν ὁδὸν τὴν εἰς ἄδωρα. καὶ σίμων καὶ ἡ παρεμβολὴ αὐτοῦ ἀντιπαρῆγεν αὐτῷ εἰς πάντα τόπον οὗ ἂν ἐπορεύετο. οἱ δὲ ἐκ τῆς ἄκρας, ἀπέστελλον πρὸς τρύφωνα πρεσβεύτας, κατασπεύδοντας αὐτὸν τοῦ ἐλθεῖν πρὸς αὐτοὺς διὰ τῆς ἐρήμου, καὶ ἀποστεῖλαι αὐτοῖς τροφάς. καὶ ἡτοίμασε τρύφων πᾶσαν τὴν ἵππον αὐτοῦ ἐλθεῖν. καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ ἦν χιὼν πολλὴ σφόδρα, καὶ οὐκ ἦλθε διὰ τὴν χιόνα. καὶ ἀπῆρε καὶ ἦλθεν εἰς γαλααδῖτιν. ὡς δὲ ἤγγισε τῇ βασκαμᾷ, ἀπέκτεινε τὸν ἰωνάθαν, καὶ ἐτάφη ἐκεῖ. καὶ ἐπέστρεψε τρύφων καὶ ἀπῆρεν εἰς τὴν γῆν αὐτοῦ. καὶ ἀπέστειλε σίμων, καὶ ἔλαβε τὰ ὀστᾶ ἰωνάθαν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν μωδεεὶν πόλει τῶν πατέρων αὐτοῦ. καὶ ἐκόψαντο αὐτὸν πᾶς ἰσραὴλ κοπετὸν μέγαν, καὶ ἐπένθησαν αὐτὸν ἡμέρας πολλάς. καὶ ᾠκοδόμησε σίμων ἐπὶ τὸν τάφον τοῦ πατρὸς αὐτοῦ, καὶ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ὕψωσεν αὐτὸν τῇ ὁράσει, λίθῳ ξεστῷ ἐκ τῶν ὄπισθεν καὶ ἐκ τῶν ἔμπροσθεν, καὶ ἔστησεν ἑπτὰ πυραμίδας, μίαν κατέναντι τῆς μιᾶς, τῷ πατρὶ. καὶ τῇ μητρὶ, καὶ τοῖς τέσσαρσιν ἀδελφοῖς. καὶ ταύταις ἐποίησε μηχανήματα περιθεὶς στύλους

μεγάλους. καὶ ἐποίησεν ἐπὶ τοῖς στύλοις πανοπλίας εἰς ὄ-
νομα αἰώνιον. καὶ παρὰ ταῖς πανοπλίαις, πλοῖα ἐπιγεγλυμ-
μένα εἰς τὸ θεωρεῖσθαι ὑπὸ πάντων τῶν πλεόντων τὴν θάλασ-
σαν. οὗτος ὁ τάφος ὃν ἐποίησεν ἐν μωδεῒν, ἕως τῆς ἡμέρας
ταύτης. ὁ δὲ τρύφων ἐπορεύετο δόλῳ μετὰ ἀντιόχου τοῦ βασιλέ-
ως τοῦ νεωτέρου, καὶ ἀπέκτεινεν αὐτὸν, καὶ ἐβασίλευσεν ἀντ᾽ αὐ-
τοῦ. καὶ περιέθετο διάδημα τῆς ἀσίας, καὶ ἐποίησε πληγὴν με-
γάλην ἐπὶ τῆς γῆς. καὶ ᾠκοδόμησε σίμων τὰ ὀχυρώματα τῆς
ἰουδαίας. καὶ περιετείχισε πύργοις ὑψηλοῖς καὶ τείχεσι μεγάλοις
καὶ πύργοις καὶ πύλαις, καὶ μοχλοῖς, καὶ ἔθετο βρώματα ἐν τοῖς
ὀχυρώμασι. καὶ ἐπέλεξε σίμων ἄνδρας, καὶ ἀπέστειλε πρὸς δη-
μήτριον τὸν βασιλέα τοῦ ποιῆσαι ἄφεσιν τῇ χώρᾳ, ὅτι πᾶσαι
αἱ πράξεις τρύφωνος ἦσαν ἁρπαγαί. καὶ ἀπέστειλεν αὐτῷ δη-
μήτριος ὁ βασιλεὺς κατὰ τοὺς λόγους τούτους. καὶ ἀπεκρίθη αὐ-
τῷ καὶ ἔγραψεν αὐτῷ ἐπιστολὴν τοιαύτην. Βασιλεὺς Δημή-
τριος, Σίμωνι ἀρχιερεῖ, καὶ πρεσβυτέροις καὶ ἔθνει ἰουδαίων
χαίρειν. τὸν στέφανον τὸν χρυσοῦν, καὶ τὴν βαΐνην ἣν ἀπεστείλατε
κεκομίσμεθα, καὶ ἑτοιμοί ἐσμεν τοῦ ποιεῖν ὑμῖν εἰρήνην μεγάλην
καὶ γράφειν τοῖς ἐπὶ τῶν χρειῶν, τοῦ ἀφιέναι ὑμῖν ἀφέματα. καὶ
ὅσα ἐστήκαμεν πρὸς ὑμᾶς ἕστηκε. καὶ τὰ ὀχυρώματα ἃ ᾠκοδο-
μήκατε, ὑπαρχέτω ὑμῖν. ἀφίεμεν δὲ ἀγνοήματα καὶ τὰ ἁμαρτή-
ματα, ἕως τῆς σήμερον ἡμέρας. καὶ τὸν στέφανον ὃν ὠφείλετε
καὶ εἴ τι ἄλλο ἐτελωνεῖτο ἐν ἱερουσαλήμ. μηκέτι τελωνείσθω. καὶ
εἴτινες ἐπιτήδειοι ὑμῶν γραφῆναι εἰς τοὺς περὶ ἡμᾶς. ἐγγρα-
φέσθωσαν καὶ γινέσθω ἀνὰ μέσον ἡμῶν εἰρήνη, ἔτους ἑβδομηκο-
στοῦ, καὶ ἑκατοστοῦ, ἤρθη ὁ ζυγὸς τῶν ἐθνῶν ἀπὸ τοῦ ἰσραήλ. καὶ
ἤρξατο ὁ λαὸς ἰσραὴλ γράφειν ἐν ταῖς συγγραφαῖς, καὶ συναλ-
λάγμασιν. ἔτους πρώτου ἐπὶ σίμωνος ἀρχιερέως μεγάλου
καὶ στρατηγοῦ, καὶ ἡγουμένου ἰουδαίων. ἐν ταῖς ἡμέραις ἐκεί-
ναις παρενέβαλεν ἐπὶ γάζαν. καὶ ἐκύκλωσεν αὐτὴν παρεμβολαῖς

καὶ ἐποίησεν ἑλέπολιν, καὶ προσήγαγε τῇ πόλει. καὶ ἐπάτα-
ξε πύργον ἕνα, καὶ κατελάβετο. καὶ ἐξήλλοντο οἱ ἐν τῇ ἑλεπό-
λει εἰς τὴν πόλιν. καὶ ἐγένετο κίνημα μέγα ἐν τῇ πόλει. καὶ ἀ-
νέβησαν οἱ ἐν τῇ πόλει σὺν ταῖς γυναιξὶ, καὶ τοῖς τέκνοις ἐπὶ τὸ
τεῖχος διεῤῥηχότες τὰ ἱμάτια αὐτῶν. καὶ ἐβόησαν φωνῇ μεγά-
λῃ ἀξιοῦντες σίμωνα δεξιὰς αὐτοῖς δοῦναι. καὶ εἶπον. μὴ ἡμῖν
χρήσῃ κατὰ τὰς πονηρίας ἡμῶν ἀλλὰ κατὰ τὸ ἔλεός σου. καὶ συ-
νελύθη σίμων αὐτοῖς, καὶ οὐκ ἐπολέμησεν αὐτούς. καὶ ἐξέ-
βαλεν αὐτοὺς ἐκ τῆς πόλεως, καὶ ἐκαθάρισε τὰς οἰκίας ἐν αἷς ἦν
τὰ εἴδωλα. καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν.
καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν, καὶ κατῴκισεν ἐν
αὐτῇ ἄνδρας οἵτινες τὸν νόμον ποιοῦσι. καὶ προσωχύρωσεν αὐ-
τὴν, καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν. οἱ δὲ ἐκ τῆς ἄ-
κρας ἐν ἱερουσαλὴμ ἐκωλύοντο ἐκπορεύεσθαι, καὶ εἰσπορεύεσθαι
εἰς τὴν χώραν. καὶ ἀγοράζειν καὶ πωλεῖν. καὶ ἐπείνασαν σφόδρα.
καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῷ λιμῷ. καὶ ἐβόησαν πρὸς σίμω-
να δεξιὰς λαβεῖν. καὶ ἔδωκεν αὐτοῖς καὶ ἐξέβαλε τοὺς ἐκεῖθεν.
καὶ ἐκαθάρισε τὴν ἄκραν ἀπὸ τῶν μιασμάτων. καὶ εἰσῆλθεν
εἰς αὐτὴν τῇ τρίτῃ, καὶ εἰκάδι τοῦ δευτέρου μηνὸς, ἔτους ἑνὸς.
καὶ ἑβδομηκοστοῦ, καὶ ἑκατοστοῦ μετὰ αἰνέσεως, καὶ βαΐων. καὶ ἐν
κιννύραις. καὶ ἐν κυμβάλοις, καὶ ἐν νάβλαις, καὶ ἐν ὕμνοις καὶ ἐν
ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ ἰσραήλ. καὶ ἔστησε κατ'
ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετ' εὐφροσύνης. καὶ προ-
σωχύρωσε τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν ἄκραν, καὶ ᾤκει ἐ-
κεῖ αὐτὸς, καὶ οἱ παρ' αὐτοῦ. καὶ εἶδε σίμων ὅτι ἰωάννης υἱὸς αὐτοῦ, ὅ-
τι ἀνήρ ἐστι, καὶ ἔθετο αὐτὸν ἡγούμενον τῶν δυνάμεων πασῶν. καὶ
ᾤκει ἐν γαζάροις.

Κεφ. ιδ. 14.

Καὶ ἐν ἔτει δευτέρῳ, καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συ-
a νήγαγε δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ

καὶ ἐπορεύθη εἰς μηδίαν τοῦ ἐπισπάσασθαι βοήθειαν αὐτῷ,
ὅπως πολεμήσῃ τὸν τρύφωνα. καὶ ἤκουσεν ἀρσάκης ὁ βασιλεὺς
τῆς περσίδος. καὶ μηδίας, ὅτι ἦλθε δημήτριος εἰς τὰ ὅρια αὐ-
τοῦ. καὶ ἀπέστειλεν ἕνα τῶν ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶν-
τα. καὶ ἐπορεύθη καὶ ἐπάταξε τὴν παρεμβολὴν δημητρίου
καὶ συνέλαβεν αὐτόν. καὶ ἤγαγεν αὐτὸν πρὸς ἀρσάκην. καὶ ἔ-
θετο αὐτὸν ἐν φυλακῇ. καὶ ἡσύχασεν ἡ γῆ πάσας τὰς ἡμέρας
σίμωνος. καὶ ἐζήτησεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ. καὶ ἤρεσεν αὐ-
τοῖς ἡ ἐξουσία αὐτοῦ, καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας. καὶ
μετὰ πάσης τῆς δόξης αὐτοῦ, ἔλαβε τὴν ἰόππην εἰς λιμένα. Καὶ
ἐποίησεν εἴσοδον ταῖς νήσοις τῆς θαλάσσης. καὶ ἐπλάτυνε τὰ ὅ-
ρια τῷ ἔθνει αὐτοῦ, καὶ ἐκράτησε τῆς χώρας. καὶ συνήγαγεν
αἰχμαλωσίαν πολλήν. καὶ ἐκυρίευσε γαζάρων. καὶ βαιθσούρων.
καὶ τῆς ἄκρας. καὶ ἐξῆρε τὰς ἀκαθαρσίας ἐξ αὐτῆς. καὶ οὐκ ἦν ὁ
ἀντικείμενος αὐτῷ. καὶ ἦσαν γεωργοῦντες τὴν γῆν αὐτῶν
μετ' εἰρήνης. καὶ ἡ γῆ ἐδίδου τὰ γενήματα αὐτῆς. καὶ τὰ ξύλι-
να τῶν πεδίων τὸν καρπὸν αὐτῶν. πρεσβύτεροι ἐν ταῖς πλα-
τείαις ἐκάθηντο. πάντες περὶ ἀγαθῶν ἐκοινολογοῦντο. καὶ οἱ
νεανίσκοι ἐνεδύσαντο δόξας. καὶ στολὰς πολέμου. ταῖς πόλε-
σιν ἐχορήγησε βρώματα. καὶ ἔταξεν αὐτὰς ἐν σκεύεσιν ὀχυ-
ρώσεως, ἕως ὅτου ὠνομάσθη τὸ ὄνομα τῆς δόξης αὐτοῦ. ἕως ἄκρου
τῆς γῆς. ἐποίησε τὴν εἰρήνην ἐπὶ τῆς γῆς. καὶ εὐφράνθη ἰσραὴλ
εὐφροσύνην μεγάλην. καὶ ἐκάθισεν ἕκαστος ὑπὸ τὴν ἄμπελον
αὐτοῦ, καὶ τὴν συκῆν αὐτοῦ. καὶ οὐκ ἦν ὁ ἐκφοβῶν αὐτούς. καὶ ἐ-
ξέλιπε πολεμῶν αὐτοὺς ἐπὶ τῆς γῆς. καὶ οἱ βασιλεῖς καὶ συνετρί-
βησαν ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐστήρισε πάντας τοὺς τα-
πεινοὺς τοῦ λαοῦ αὐτοῦ. τὸν νόμον ἐξεζήτησε καὶ ἐξῆρε πάντα ἄ-
νομον, καὶ πονηρόν. τὰ ἅγια ἐδόξασε. καὶ ἐπλήθυνε τὰ σκεύη
τῶν ἁγίων. καὶ ἤκουσαν ἐν ῥώμῃ. ὅτι ἀπέθανεν ἰωνάθαν. καὶ ἕως
σπάρτης ἠκούσθη, καὶ ἐλυπήθησαν σφόδρα. ὡς δὲ ἤκουσαν ὅτι σίμων

ὁ ἀδελφὸς αὐτοῦ γέγονεν ἀντ' αὐτοῦ ἀρχιερεὺς, καὶ ἐπικρατεῖ τῆς χώρας, καὶ τῶν πολέμων τῶν ἐν αὐτῇ, ἔγραψαν πρὸς αὐτὸν δέλτοις χαλκαῖς τοῦ, ἀνανεώσασθαι πρὸς αὐτὸν φιλίαν καὶ τὴν συμμαχίαν ἣν ἔστησαν πρὸς ἰούδαν, καὶ ἰωνάθαν τοὺς ἀδελφοὺς αὐτοῦ. καὶ ἀνεγνώσθησαν ἐνώπιον τῆς ἐκκλησίας ἐν ἱερουσαλὴμ, καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν ὧν ἀπέστειλαν οἱ σπαρτιᾶται. σπαρτιατῶν ἄρχοντες καὶ ἡ πόλις, σίμωνι ἱερεῖ μεγάλῳ, καὶ τοῖς πρεσβυτέροις, καὶ τοῖς ἱερεῦσι, καὶ τῷ λοιπῷ δήμῳ τῶν ἰουδαίων ἀδελφοῖς, χαίρειν. οἱ πρεσβευταὶ, οἱ ἀποσταλέντες πρὸς τὸν δῆμον ἡμῶν ἀπήγγειλαν ἡμῖν περὶ τῆς δόξης ὑμῶν καὶ τιμῆς. καὶ εὐφράνθημεν ἐπὶ τῇ ἐφόδῳ αὐτῶν, καὶ ἀνεγράψαμεν τὰ ὑπ' αὐτῶν εἰρημένα ἐν ταῖς βουλαῖς τοῦ δήμου οὕτως. Νουμένιος ἀντιόχου, καὶ ἀντίπατρος ἰάσωνος πρεσβευταὶ ἰουδαίων ἦλθοσαν πρὸς ἡμᾶς ἀνανεούμενοι τὴν πρὸς ἡμᾶς φιλίαν. καὶ ἤρεσε τῷ δήμῳ ἐπιδέξασθαι τοὺς ἄνδρας ἐνδόξως, καὶ τοῦ θέσθαι τὸ ἀντίγραφον τῶν λόγων αὐτῶν ἐν τοῖς ἀποδεδειγμένοις τῷ δήμῳ βιβλίοις. τοῦ ἔχειν μνημόσυνον τὸν δῆμον τῶν σπαρτιατῶν. τὸ δὲ ἀντίγραφον τούτων ἔγραψαν σίμωνι τῷ ἀρχιερεῖ. μετὰ ταῦτα ἀπέστειλε σίμων τὸν νουμήνιον εἰς ῥώμην ἔχοντα ἀσπίδα χρυσῆν μεγάλην, ὁλκῆς μνῶν χιλίων εἰς τὸ στῆσαι πρὸς αὐτοὺς τὴν συμμαχίαν. ὡς δὲ ἤκουσεν ὁ δῆμος τῶν λόγων τούτων εἶπον. τίνα χάριν ἀποδώσομεν σίμωνι καὶ τοῖς υἱοῖς αὐτοῦ. ἐστήριξε γὰρ αὐτὸς, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ, καὶ ἐπολέμησαν τοὺς ἐχθροὺς ἰσραὴλ ἀπ' αὐτῶν, καὶ ἔστησαν αὐτῷ ἐλευθερίαν. καὶ κατέγραψαν ἐν δέλτοις χαλκαῖς καὶ ἔθεντο ἐν στήλαις ἐν ὄρεσι σιών. καὶ τοῦτο τὸ ἀντίγραφον τῆς γραφῆς. ὀκτωκαιδεκάτῃ ἐλούλ. ἔτους δευτέρου, καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ. καὶ τοῦτο τρίτον ἔτος. ἐπὶ σίμωνος ἀρχιερέως ἐν σαραμέλ. ἐν συναγωγῆς μεγάλης ἱερέων, καὶ λαοῦ καὶ ἀρχόντων ἔθνους, καὶ τῶν πρεσβυ

τέρων τῆς χώρας, ἐγνωρίσαμεν ὑμῖν. ἐπεὶ πολλάκις ἐγενήθησαν πόλεμοι ἐν τῇ χώρᾳ. σίμων δὲ ὁ υἱὸς ματταθίου ὁ υἱὸς τῶν υἱῶν ἰαρὶβ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, ἔδωκαν ἑαυτοὺς τῷ κινδύνῳ καὶ ἀντέστησαν τοῖς ὑπεναντίοις τοῦ ἔθνους αὐτῶν, ὅπως σταθῇ τὰ ἅγια αὐτῶν καὶ ὁ νόμος. καὶ δόξῃ μεγάλῃ ἐδόξασαν τὸ ἔθνος αὐτῶν. καὶ ἤθροισεν ἰωνάθαν τὸ ἔθνος αὐτῶν καὶ ἐγενήθη αὐτοῖς ἀρχιερεύς. καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ καὶ ἐβουλήθησαν οἱ ἐχθροὶ αὐτοῦ ἐμβατεῦσαι εἰς τὴν χώραν αὐτῶν τοῦ ἐκτρίψαι τὴν χώραν αὐτῶν, καὶ ἐκτεῖναι χεῖρας ἐπὶ τὰ ἅγια αὐτοῦ. τότε ἀνέστη σίμων καὶ ἐπολέμησε περὶ τοῦ ἔθνους αὐτοῦ. καὶ ἐδαπάνησε χρήματα πολλὰ τῶν ἑαυτοῦ καὶ ὡπλοδότησε τοὺς ἄνδρας τῆς δυνάμεως τοῦ ἔθνους αὐτοῦ. καὶ ἔδωκεν αὐτοῖς ὀψώνια. καὶ ὠχύρωσε τὰς πόλεις τῆς ἰουδαίας. καὶ τὴν βεθσοῦραν τὴν ἐπὶ τῶν ὁρίων τῆς ἰουδαίας οὗ ἦν τὰ ὅπλα τῶν πολεμίων τὸ πρότερον, καὶ ἔθετο ἐκεῖ φρουρὰν ἄνδρας ἰουδαίους. καὶ ἰόππην ὠχύρωσε τὴν ἐπὶ τῆς θαλάσσης. καὶ τὴν γάζαρα τὴν ἐπὶ τῶν ὁρίων ἀζώτου ἐν ᾗ ᾤκουν οἱ πολέμιοι τὸ πρότερον ἐκεῖ. καὶ κατῴκισεν ἐκεῖ ἰουδαίους. καὶ ὅσα ἐπιτήδεια ἦν πρὸς τὴν τούτων ἐπανόρθωσιν ἔθετο ἐν αὐτοῖς. καὶ εἶδεν ὁ λαὸς τὴν πίστιν τοῦ σίμωνος, καὶ τὴν δόξαν ἣν ἐβουλεύσατο ποιῆσαι τῷ ἔθνει αὐτοῦ. καὶ ἔθεντο αὐτὸν ἡγούμενον αὐτῶν, καὶ ἀρχιερέα διὰ τὸ αὐτὸν πεποιηκέναι πάντα ταῦτα. καὶ τὴν δικαιοσύνην. καὶ τὴν πίστιν ἣν συνετήρησε τῷ ἔθνει αὐτοῦ. καὶ ἐζήτησε παντὶ τρόπῳ ὑψῶσαι τὸν λαὸν αὐτοῦ. καὶ ἐν ταῖς ἡμέραις αὐτοῦ εὐοδώθη ἐν ταῖς χερσὶν αὐτοῦ. τοῦ ἐξαρθῆναι τὰ ἔθνη ἐκ τῆς χώρας αὐτῶν, καὶ τοὺς ἐν τῇ πόλει δαβὶδ τοὺς ἐν ἱερουσαλήμ. οἳ ἐποίησαν ἑαυτοῖς ἄκραν ἐξ ἧς ἐξεπορεύοντο, καὶ ἐμίαινον κύκλῳ τῶν ἁγίων. καὶ ἐποίουν πληγὴν μεγάλην ἐν τῇ ἁγνείᾳ, καὶ κατῴκισεν ἐν αὐτῇ ἄνδρας ἰουδαίους. καὶ ὠχύρωσεν αὐτὴν πρὸς ἀσφάλειαν τῆς χώρας, καὶ τῆς πόλεως. καὶ ὕψωσε τὰ

τ' ἔχῃ ἱερουσαλήμ. καὶ ὁ βασιλεὺς δημήτριος ἔστησεν αὐτῷ τὴν ἀρχιερωσύνην κατὰ ταῦτα. καὶ ἐποίησεν αὐτὸν τῶν φίλων αὐτοῦ. καὶ ἐδόξασεν αὐτὸν δόξῃ μεγάλῃ. ἠκούσθη γάρ, ὅτι προσαγορεύονται οἱ ἰουδαῖοι ὑπὸ ῥωμαίων φίλοι, καὶ σύμμαχοι. καὶ ὅτι καὶ ἀπήντησαν τοῖς πρεσβύταις σίμωνος ἐνδόξως. καὶ ὅτι εὐδόκησαν οἱ ἰουδαῖοι, καὶ οἱ ἱερεῖς τοῦ εἶναι αὐτῶν, σίμωνα ἡγούμενον καὶ ἀρχιερέα εἰς τὸν αἰῶνα, ἕως τοῦ ἀναστῆναι προφήτην πιστὸν καὶ τοῦ εἶναι ἐπ' αὐτῶν στρατηγόν. καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων καθιστάναι αὐτοὺς ἐπὶ τῶν ἔργων αὐτῶν, καὶ ἐπὶ τῆς χώρας, καὶ ἐπὶ τῶν ὅπλων, καὶ ἐπὶ τῶν ὀχυρωμάτων καὶ ὅπως μέλοι αὐτῷ περὶ τῶν ἁγίων. καὶ ὅπως ἀκούηται ὑπὸ πάντων. καὶ ὅπως γράφωνται ἐπὶ τῷ ὀνόματι αὐτοῦ πᾶσαι συγγραφαὶ ἐν τῇ χώρᾳ, καὶ ὅπως περιβάλληται πορφύραν καὶ χρυσοφορῇ, καὶ οὐκ ἐξέσται οὐδενὶ τοῦ λαοῦ, καὶ τῶν ἱερέων ἀθετῆσαί τι τούτων, καὶ ἀντειπεῖν τοῖς ὑπ' αὐτοῦ ῥηθησομένοις. καὶ ἐπισυστρέψαι συστροφὴν ἐν τῇ χώρᾳ ἄνευ αὐτοῦ. καὶ περιβαλέσθαι πορφύραν καὶ ἐμπορπᾶσθαι πόρπην χρυσῆν. ὃς δ' ἂν παρὰ ταῦτα ποιήσῃ, ἢ ἀθετήσῃ τι τούτων, ἔνοχος ἔσται. καὶ εὐδόκησε πᾶς ὁ λαὸς θέσθαι σίμωνι ποιῆσαι κατὰ τοὺς λόγους τούτους. καὶ ἐπεδέξατο σίμων καὶ εὐδόκησεν ἀρχιερατεύειν, καὶ εἶναι στρατηγὸς, καὶ ἐθνάρχης τῶν ἰουδαίων, καὶ ἱερέων καὶ τοῦ προστατῆσαι πάντων. καὶ τὴν γραφὴν ταύτην εἶπον θέσθαι ἐν δέλτοις χαλκαῖς, καὶ στῆσαι αὐτὰς ἐν περιβόλῳ τῶν ἁγίων ἐν τόπῳ ἐπισήμῳ. τὰ δὲ ἀντίγραφα αὐτῶν θέσθαι ἐν τῷ γαζοφυλακίῳ ὅπως ἔχῃ σίμων, καὶ οἱ υἱοὶ αὐτοῦ.

Κεφάλαιον ιε. 15.

κ Αὶ ἀπέστειλεν ὁ ἀντίοχος υἱὸς δημητρίου τοῦ βασιλέως ἐπιστολὰς ἀπὸ τῶν νήσων τῆς θαλάσσης σίμωνι ἱερεῖ, καὶ ἐθνάρχῃ τῶν ἰουδαίων, καὶ παντὶ τῷ ἔθνει. καὶ ἦσαν περιέχουσαι τὸν τρόπον τοῦτον. βασιλεὺς ἀντίοχος σίμωνι ἱερεῖ μεγάλῳ, καὶ

ἐθνάρχῃ, καὶ ἔθνει ἰουδαίων χαίρειν. ἐπειδὴ ἄνδρες λοιμοὶ
κατεκράτησαν τῆς βασιλείας τῶν πατέρων ἡμῶν. βούλομαι δὲ
ἀντιποιήσασθαι τῆς βασιλείας ὅπως ἀποκαταστήσω αὐτὴν, ὡς
ἦν πρότερον, ἐξενολόγησα δὲ πλῆθος δυνάμεων καὶ κατεσκεύα
σα πλοῖα πολεμικά. βούλομαι δὲ ἐκβῆναι κατὰ τὴν χώραν
ὅπως μετέλθω τοὺς κατεφθαρκότας τὴν χώραν ἡμῶν, καὶ τοὺς
ἠρημωκότας πόλεις πολλὰς ἐν τῇ βασιλείᾳ, νῦν οὖν ἵστημί σοι
πάντα τὰ ἀφαιρέματα ἃ ἀφῆκάν σοι οἱ πρὸ ἐμοῦ βασιλεῖς. καὶ ὅ
σα ἄλλα δόματα ἀφῆκάν σοι. καὶ ἐπέτρεψά σοι ποιῆσαι κόμ
μα ἴδιον νόμισμα τῇ χώρᾳ σου. ἱερουσαλὴμ δὲ καὶ τὰ ἅγια εἶ
ναι ἐλεύθερα. καὶ πάντα τὰ ὅπλα ὅσα κατεσκεύασας καὶ τὰ
ὀχυρώματα ἃ ᾠκοδόμησας, ὧν κρατεῖς μενέτω σοι. καὶ πᾶν ὀ
φείλημα βασιλικόν. καὶ τὰ ἐσόμενα βασιλικὰ ἀπὸ τοῦ νῦν, καὶ
εἰς τὸν ἅπαντα χρόνον ἀφιέσθω σοι, ὡς δ' ἂν καταστήσωμεν τὴν
βασιλείαν ἡμῶν δοξάσομέν σε, καὶ τὸ ἔθνος σου, καὶ τὸ ἱερὸν δό
ξῃ μεγάλῃ. ὥστε φανερὰν γενέσθαι τὴν δόξαν ὑμῶν ἐν πάσῃ τῇ
γῇ. ἔτους τετάρτου. καὶ ἑβδομηκοστοῦ, καὶ ἑκατοστοῦ ἐξῆλθεν ἀντίοχος
εἰς τὴν γῆν πατέρων αὐτοῦ, καὶ συνῆλθον πρὸς αὐτὸν πᾶσαι αἱ
δυνάμεις ὥστε ὀλίγους εἶναι τοὺς καταλειφθέντας σὺν τρύφω
νι καὶ ἐδίωξεν αὐτὸν ἀντίοχος ὁ βασιλεὺς, καὶ ἦλθεν φεύγων εἰς
δωρᾶ τὴν ἐπὶ τῆς θαλάσσης. εἶδε γὰρ ὅτι συνῆκται ἐπ' αὐτὸν τὰ
κακὰ, καὶ ἀφῆκαν αὐτὸν αἱ δυνάμεις. καὶ παρενέβαλεν ἀντίοχος
ἐπὶ δωρᾶ, καὶ σὺν αὐτῷ, ιβ' μυριάδες ἀνδρῶν πολεμιστῶν, καὶ ὀ
κτακισχιλία ἵππος. καὶ ἐκύκλωσε τὴν πόλιν. καὶ τὰ πλοῖα, ἀπὸ
θαλάσσης συνῆψαν, καὶ ἔθλιβε τὴν πόλιν ἀπὸ τῆς γῆς, καὶ τῆς θα
λάσσης. καὶ οὐκ εἴασεν οὐδένα ἐκπορεύεσθαι, καὶ εἰσπορεύεσθαι. καὶ ἦλ
θε Νουμήνιος καὶ οἱ παρ' αὐτοῦ ἐκ ῥώμης ἔχοντες ἐπιστολὰς τοῖς
βασιλεῦσι, καὶ ταῖς χώραις, ἐν αἷς ἐγέγραπτο τάδε. Λούκιος
ὕπατος ῥωμαίων, Πτολεμαίῳ βασιλεῖ χαίρειν. οἱ πρεσβυταὶ τῶν
ἰουδαίων ἦλθον πρὸς ἡμᾶς φίλοι ἡμῶν, καὶ σύμμαχοι ἀνανεούμε

νοι τὴν ἐξ ἀρχῆς φιλίαν, καὶ συμμαχίαν. ἀπεσταλμένοι ἀπὸ σί-
μωνος τοῦ ἀρχιερέως, καὶ τοῦ δήμου τῶν ἰουδαίων. ἤνεγκαν δὲ ἀσπί-
δα χρυσῆν ἀπὸ μνῶν χιλίων. ἤρεσεν οὖν ἡμῖν γράψαι τοῖς βα-
σιλεῦσι, καὶ ταῖς χώραις ὅπως μὴ ἐκζητήσωσιν αὐτοῖς κακά.
καὶ μὴ πολεμήσωσιν αὐτοὺς, καὶ τὰς πόλεις αὐτῶν καὶ τὴν χώραν
αὐτῶν καὶ ἵνα μὴ συμμαχήσωσι τοῖς πολεμοῦσιν αὐτούς. ἔδοξε
δὲ ἡμῖν δέξασθαι τὴν ἀσπίδα παρ' αὐτῶν. εἴ τινες οὖν λοιμοὶ δια-
πεφεύγασιν ἐκ τῆς χώρας αὐτῶν πρὸς ὑμᾶς, παράδοτε αὐτοὺς σί-
μωνι τῷ ἀρχιερεῖ ὅπως ἐκδικήσῃ ἐν αὐτοῖς κατὰ τὸν νόμον αὐ-
τῶν. καὶ ταῦτα ἔγραψε δημητρίῳ τῷ βασιλεῖ, καὶ ἀττάλῳ, καὶ
ἀράθῃ, καὶ ἀρσάκῃ, καὶ εἰς πάσας τὰς χώρας, καὶ σαμψάκῃ, καὶ
σπαρτιάταις. καὶ εἰς δῆλον, καὶ εἰς μύνδον εἰς σικυῶνα. καὶ εἰς τὴν
καρίαν, καὶ εἰς σάμον. καὶ εἰς τὴν παμφυλίαν. καὶ εἰς τὴν λυκίαν
καὶ εἰς ἁλικαρνασσόν. καὶ εἰς ῥόδον. καὶ εἰς χασιλίδα. καὶ εἰς κῶ.
καὶ εἰς σίδην. καὶ εἰς γόρτυναν. καὶ κνίδον καὶ κύπρον καὶ κυρήνην
τὸ δὲ ἀντίγραφον αὐτῶν ἔγραψαν σίμωνι τῷ ἀρχιερεῖ. Ἀντίο-
χος δὲ ὁ βασιλεὺς παρενέβαλεν ἐπὶ δώρα ἐν τῇ δευτέρᾳ. προ-
σάγων διαπαντὸς αὐτῇ τὰς χεῖρας. καὶ μηχανὰς ποιούμενος.
καὶ συνέκλεισε τὸν τρύφωνα τοῦ μὴ ἐσπορεύεσθαι καὶ ἐκπορεύεσθαι
καὶ ἀπέστειλεν αὐτῷ σίμων δισχιλίους ἄνδρας ἐκλεκτοὺς συμμα-
χῆσαι αὐτῷ, καὶ ἀργύριον καὶ χρυσίον, καὶ σκεύη ἱκανά. καὶ οὐκ
ἠβούλετο αὐτὰ δέξασθαι. ἀλλ' ἠθέτησε πάντα ὅσα συνέθετο αὐ-
τῷ τὸ πρότερον. καὶ ἠλλοτριοῦτο αὐτῷ, καὶ ἀπέστειλε πρὸς αὐ-
τὸν ἀθηνόβιον ἕνα τῶν φίλων αὐτοῦ κοινολογησάμενον αὐτῷ
λέγων. ὑμεῖς κατακρατεῖτε τῆς ἰόππης, καὶ γαζάρων καὶ τῆς
ἄκρας τῆς ἐν ἱερουσαλὴμ πόλει τῆς βασιλείας μου. τὰ ὅρια αὐ-
τῶν ἠρημώσατε, καὶ ἐποιήσατε πληγὴν μεγάλην ἐπὶ τῆς γῆς,
καὶ ἐκυριεύσατε τόπων πολλῶν ἐν τῇ βασιλείᾳ μου. νῦν οὖν πα-
ράδοτε τὰς πόλεις ἃς κατελάβετε, καὶ τοὺς φόρους τῶν τό-
πων ὧν κατεκυριεύσατε. ἐκτὸς τῶν ὁρίων τῆς ἐκτὸς τῆς ἰουδαίας.

εἰ δὲ μή, δότε ἀντ' αὐτῶν πεντακόσια τάλαντα ἀργυρίου, καὶ τῆς καταφθορᾶς ἧς κατεφθάρκατε καὶ τῶν φόρων τῶν τόπων, ἄλλα τάλαντα πεντακόσια. εἰ δὲ μή, παραγενόμενοι ἐκπολεμήσομεν ὑμᾶς. καὶ ἦλθεν ἀθηνόβιος φίλος τοῦ βασιλέως εἰς ἱερουσαλήμ, καὶ εἶδε τὴν δόξαν σίμωνος. καὶ κυλίκια χρυσᾶ μετὰ χρυσωμάτων καὶ ἀργυρωμάτων. καὶ παράστασιν ἱκανήν, καὶ ἐξίστατο. καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τοῦ βασιλέως. καὶ ἀποκριθεὶς σίμων εἶπεν αὐτῷ. οὔτε γῆν ἀλλοτρίαν εἰλήφαμεν, οὔτε ἀλλοτρίων κεκρατήκαμεν, ἀλλὰ τῆς κληρονομίας τῶν πατέρων ἡμῶν. ὑπὸ δὲ ἐχθρῶν ὑμῶν, ἔν τινι καιρῷ ἀκρίτως κατεκρατήθη. ἡμεῖς δὲ καιρὸν ἔχοντες, ἀντεχόμεθα τῆς κληρονομίας τῶν πατέρων ἡμῶν. περὶ δὲ ἰόππης καὶ γαζάρων ὧν αἰτεῖς, αὗται ἐποίουν ἐν τῷ λαῷ πληγὴν μεγάλην, κατὰ τὴν χώραν ἡμῶν. τούτων δώσομεν τάλαντα ἑκατόν. καὶ οὐκ ἀπεκρίθη αὐτῷ ἀθηνόβιος λόγον. ἀπέστρεψε δὲ μετὰ θυμοῦ πρὸς τὸν βασιλέα καὶ ἀπήγγειλεν αὐτῷ τοὺς λόγους τούτους. καὶ τὴν δόξαν σίμωνος, καὶ πάντα ὅσα εἶδε. καὶ ὠργίσθη ὁ βασιλεὺς ὀργὴν μεγάλην. τρύφων δὲ ἐμβὰς εἰς πλοῖον, ἔφυγεν εἰς ὀρθωσιάδα. καὶ κατέστησεν ὁ βασιλεὺς τὸν κενδεβαῖον ὑποστράτηγον τῆς παραλίας. καὶ δυνάμεις πεζικὰς καὶ ἱππικὰς ἔδωκεν αὐτῷ. καὶ ἐνετείλατο αὐτῷ παρεμβαλεῖν κατὰ πρόσωπον τῆς ἰουδαίας. καὶ ἐνετείλατο αὐτῷ οἰκοδομῆσαι τὴν κεδρῶν, καὶ ὀχυρῶσαι τὰς πύλας, ὅπως πολεμήσῃ τὸν λαόν. ὁ δὲ βασιλεὺς ἐδίωκε τὸν τρύφωνα, καὶ παρεγενήθη κενδεβαῖος εἰς ἰάμνειαν καὶ ἤρξατο τοῦ ἐρεθίζειν τὸν λαόν, καὶ ἐμβατεύειν εἰς τὴν ἰουδαίαν, καὶ αἰχμαλωτίζειν τὸν λαὸν καὶ φονεύειν. καὶ ᾠκοδόμησε τὴν κεδρῶν καὶ ἔταξεν ἐκεῖ ἱππεῖς, καὶ δυνάμεις ὅπως ἐκπορευόμενοι ἐξοδεύωσι τὰς ὁδοὺς τῆς ἰουδαίας καθὰ συνέταξεν αὐτῷ ὁ βασιλεύς.

## Κεφάλαιον. ις 16.

κ Καὶ ἀνέβη ἰωάννης ἐκ γαζάρων καὶ ἀπήγγειλε σίμωνι τῷ πατρὶ αὐτοῦ ἃ συνετέλεσε κενδεβαῖος. καὶ

ἐκάλεσε σίμων, τοὺς δύο υἱοὺς αὐτοῦ τοὺς πρεσβυτέρους ἰούδαν, καὶ ἰωάννην καὶ εἶπεν αὐτοῖς. ἐγὼ καὶ οἱ ἀδελφοί μου, καὶ ὁ οἶκος τοῦ πατρός μου ἐπολεμήσαμεν τοὺς πολεμίους ἰσραὴλ ἀπὸ νεότητος, ἕως τῆς σήμερον ἡμέρας. καὶ εὐοδώθη ἐν ταῖς χερσὶν ἡμῶν, ῥύσασθαι τὸν ἰσραὴλ πλεονάκις. νῦν δὲ γεγήρακα. καὶ ὑμᾶς δὲ ἐν τῷ ἐλέει, ἱκανοί ἐστε ἐν τοῖς ἔτεσι γίνεσθε ἀντ' ἐμοῦ καὶ τοῦ ἀδελφοῦ μου, καὶ ἐξελθόντες ὑπερμαχεῖτε ὑπὲρ τοῦ ἔθνους ἡμῶν. ἡ δὲ ἐκ τοῦ οὐρανοῦ βοήθεια, ἔστω μεθ' ὑμῶν. καὶ ἐπέλεξεν ἐκ τῆς χώρας, εἴκοσι χιλιάδας ἀνδρῶν πολεμιστῶν, καὶ ἱππεῖς, καὶ ἐπορεύθησαν ἐπὶ τὸν κενδεβαῖον. καὶ ἐκοιμήθησαν ἐν μωδεΐμ. καὶ ἀναστάντες τὸ πρωῒ, ἐπορεύοντο εἰς τὸ πεδίον. καὶ ἰδοὺ δύναμις πολλὴ εἰς συνάντησιν αὐτοῖς πεζικὴ καὶ ἱππεῖς. καὶ ἦν χειμάρρους ἀνὰ μέσον αὐτῶν, καὶ παρενέβαλε κατὰ πρόσωπον αὐτοῦ, καὶ ὁ λαὸς αὐτοῦ. καὶ εἶδε τὸν λαὸν δειλούμενον διαπερᾶσαι τὸν χειμάρρουν, καὶ διεπέρασε πρῶτος, καὶ εἶδον αὐτὸν οἱ ἄνδρες, καὶ διεπέρασαν κατόπισθεν αὐτοῦ. καὶ διεῖλε τὸν λαὸν, καὶ τοὺς ἱππεῖς ἐν μέσῳ τῶν πεζῶν. ἦν δὲ ἵππος τῶν ὑπεναντίων, πολλὴ σφόδρα. καὶ ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ἐτροπώθη κενδεβαῖος, καὶ ἡ παρεμβολὴ αὐτοῦ, καὶ ἔπεσον ἐξ αὐτῶν τραυματίαι πολλοί. οἱ δὲ καταλειφθέντες, ἔφυγον εἰς τὸ ὀχύρωμα. τότε ἐτραυματίσθη ἰούδας ὁ ἀδελφὸς ἰωάννου, ἰωάννης δὲ κατεδίωξεν αὐτοὺς ἕως ἦλθεν εἰς κεδρὼν ἣν ᾠκοδόμησε. καὶ ἔφυγον ἕως εἰς τοὺς πύργους, τοὺς ἐν τῷ ἀγρῷ ἀζώτου. καὶ ἐνεπύρισαν αὐτὴν ἐν πυρί. καὶ ἔπεσον ἐξ αὐτῶν εἰς ἄνδρας, δισχιλίους. καὶ ἀπέστρεψεν εἰς γῆν ἰούδα μετ' εἰρήνης. καὶ πτολεμαῖος ὁ τοῦ ἀβούβου ἦν καθεσταμένος στρατηγὸς εἰς τὸ πεδίον ἱεριχώ. καὶ εἶχεν ἀργύριον, καὶ χρυσίον πολύ. ἦν γὰρ γαμβρὸς τοῦ ἀρχιερέως. καὶ ὑψώθη ἡ καρδία αὐτοῦ, καὶ ἠβουλήθη κατακρατῆσαι τῆς χώρας. καὶ ἐβουλεύετο δόλῳ κατὰ σίμωνος, καὶ τῶν υἱῶν αὐτοῦ ἆραι αὐτούς. ἀ-

μὼν δὲ ἦν ἐφοδεύων τὰς πόλεις τὰς ἐν τῇ χώρᾳ, καὶ φροντίζων τῆς ἐπιμελείας αὐτῶν. καὶ κατέβη εἰς ἱεριχὼ αὐτὸς, καὶ ματταθίας καὶ ἰούδας οἱ υἱοὶ αὐτοῦ. ἔτους ἑβδόμου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ ἐν μηνὶ ἑνδεκάτῳ. οὗτος ὁ μὴν σαβάτ. καὶ ὑπεδέξατο αὐτοὺς ὁ τοῦ ἀβούβου εἰς τὸ ὀχυρωμάτιον τὸ καλούμενον δῶκος μετὰ δόλου ὃ ᾠκοδόμησε. καὶ ἐποίησεν αὐτοῖς πότον μέγαν, καὶ ἐνέκρυψεν ἐκεῖ ἄνδρας. καὶ ὅτε ἐμεθύσθη σίμων, καὶ οἱ υἱοὶ αὐτοῦ, ἐξανέστη πτολεμαῖος, καὶ οἱ παρ᾽ αὐτοῦ, καὶ ἔλαβοσαν τὰ ὅπλα αὐτῶν, καὶ ἐπεισήλθοσαν τῷ σίμωνι εἰς τὸ συμπόσιον, καὶ ἀπέκτειναν αὐτὸν καὶ τοὺς δύο υἱοὺς αὐτοῦ καί τινας τῶν παιδαρίων αὐτοῦ καὶ ἐποίησεν ἀθεσίαν μεγάλην, καὶ ἀπέδωκε κακὰ ἀντὶ ἀγαθῶν. καὶ ἔγραψε ταῦτα πτολεμαῖος, καὶ ἀπέστειλε τῷ βασιλεῖ ὅπως ἀποστείλῃ αὐτῷ δυνάμεις εἰς βοήθειαν, καὶ παραδῷ αὐτῷ τὴν χώραν αὐτῶν, καὶ τὰς πόλεις. καὶ ἀπέστειλεν ἑτέρους εἰς γάζαρ ἆραι τὸν ἰωάννην. καὶ τοῖς χιλιάρχοις ἀπέστειλεν ἐπιστολὰς παραγενέσθαι πρὸς αὐτὸν ὅπως δῷ αὐτοῖς ἀργύριον, καὶ χρυσίον καὶ δόματα. καὶ ἑτέρους ἀπέστειλε καταλαβέσθαι τὴν ἱερουσαλὴμ καὶ τὸ ὄρος τοῦ ἱεροῦ. καὶ προδραμών τις ἀπήγγειλεν ἰωάννῃ εἰς γάζαρα, ὅτι ἀπώλετο ὁ πατὴρ αὐτοῦ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ ὅτι ἀπέσταλκε, καὶ σὲ ἀποκτεῖναι. καὶ ἀκούσας ἐξέστη σφόδρα. καὶ συνέλαβε τοὺς ἄνδρας τοὺς ἐλθόντας ἀπολέσαι αὐτὸν, καὶ ἀπέκτεινεν αὐτούς. ἐπέγνω γὰρ, ὅτι ἐζήτουν αὐτὸν ἀποκτεῖναι. καὶ τὰ λοιπὰ τῶν λόγων ἰωάννου, καὶ τῶν πολέμων αὐτοῦ, καὶ τῶν ἀνδραγαθιῶν αὐτοῦ ὧν ἠνδραγάθησε, καὶ τῆς οἰκοδομῆς τῶν τειχέων ὧν ᾠκοδόμησε, καὶ τῶν πράξεων αὐτοῦ. ἰδοὺ ταῦτα γέγραπται ἐπὶ βιβλίῳ ἡμερῶν ἀρχιερωσύνης αὐτοῦ, ἀφ᾽ οὗ ἐγενήθη ἀρχιερεὺς μετὰ τὸν πατέρα αὐτοῦ.

ΤΕΛΟΣ Α.

# ΜΑΚΚΑΒΑΙΩΝ ΛΟΓΟΣ Β.

Κεφάλαιον α. 1.

Τοῖς ἀδελφοῖς τοῖς κατ' Αἴγυπτον Ἰουδαίοις χαίρειν. οἱ ἀδελφοὶ οἱ ἐν Ἱεροσολύμοις Ἰουδαῖοι καὶ οἱ ἐν τῇ χώρᾳ τῆς Ἰουδαίας, εἰρήνην ἀγαθήν. καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ θεός. καὶ μνησθείη τῆς διαθήκης αὐτοῦ τῆς πρὸς ἀβραάμ. καὶ ἰσαὰκ καὶ ἰακὼβ τῶν δούλων αὐτοῦ τῶν πιστῶν. καὶ δῴη ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ σέβεσθαι αὐτὸν, καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ, καὶ ψυχῇ βουλομένῃ. καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ αὐτοῦ, καὶ ἐν τοῖς προστάγμασι. καὶ εἰρήνην ποιήσαι, καὶ ἐπακούσαι ὑμῶν τῶν δεήσεων. καὶ καταλλαγείη ὑμῖν, καὶ μὴ ὑμᾶς ἐγκαταλίποι ἐν καιρῷ πονηρῷ. καὶ νῦν ὧδε ἐσμὲν προσευχόμενοι περὶ ὑμῶν. βασιλεύοντος δημητρίου ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐννάτου. ἡμεῖς οἱ ἰουδαῖοι γεγράφηκαμεν ὑμῖν ἐν τῇ θλίψει, καὶ ἐν τῇ ἀκμῇ τῇ ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσι τούτοις ἀφ' οὗ ἀπέστη ἰάσων, καὶ οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς, καὶ τῆς βασιλείας. καὶ ἐνεπύρισαν τὸν πυλῶνα καὶ ἐξέχεον αἷμα ἀθῷον. καὶ ἐδεήθημεν τοῦ κυρίου καὶ εἰσηκούσθημεν. καὶ προσηνέγκαμεν θυσίας, καὶ σεμίδαλιν, καὶ ἐξήψαμεν τοὺς λύχνους, καὶ προεθήκαμεν τοὺς ἄρτους. καὶ νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ χασελεῦ μηνός. ἔτους ὀγδόου ἑκατοστοῦ καὶ ὀγδοηκοστοῦ. οἱ ἐν ἱεροσολύμοις, καὶ οἱ ἐν τῇ ἰουδαίᾳ, καὶ ἡ γερουσία, καὶ ἰούδας, ἀριστοβούλῳ διδασκά-

λῳ πτολεμαίου τοῦ βασιλέως. ὄντι δὲ ἀπὸ τοῦ τῶν χρισῶν ἱερέ-
ων γένους. καὶ τοῖς ἐν αἰγύπτῳ ἰουδαίοις χαίρειν καὶ ὑγιαίνειν.
ἐκ μεγάλων κινδύνων ὑπὸ τοῦ θεοῦ σεσωσμένοι μεγάλως εὐχα-
ριστοῦμεν αὐτῷ, ὡς ἂν πρὸς βασιλέα παρατασσόμενοι. αὐτὸς γὰρ
ἐξέβρασε τοὺς παραταξαμένους ἐν τῇ ἁγίᾳ πόλει εἰς τὴν περσί-
δα. γενόμενος γὰρ ὁ ἡγεμὼν, καὶ ἡ περὶ αὐτὸν ἀνυπόστατος
δοκοῦσα εἶναι δύναμις, κατεκόπησαν ἐν τῷ τῆς ναναίας ἱερῷ.
παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν ναναίαν ἱερέων. ὡς
γὰρ συνοικήσων αὐτῇ παραγίνεται εἰς τὸν τόπον ὅτε ἀντίοχος
καὶ οἱ σὺν αὐτῷ φίλοι χάριν τοῦ λαβεῖν τὰ χρήματα εἰς φερ-
νῆς λόγον. καὶ προθέντων αὐτὰ τῶν ἱερέων τοῦ ναναίου. κἀκεί-
νου προσελθόντος μετ' ὀλίγων εἰς τὸν περίβολον τοῦ τεμένους,
συγκλείσαντες τὸ ἱερὸν, ὡς εἰσῆλθεν ἀντίοχος ἀνοίξαντες
τὴν τοῦ φατνώματος κρυπτὴν θύραν βάλλοντες πέτρους συν-
εκεραύνωσαν τὸν ἡγεμόνα. καὶ μέλη ποιήσαντες, καὶ τὰς κε-
φαλὰς ἀφελόντες τοῖς ἔξω παρέῤῥιψαν, κατὰ πάντα εὐλογη-
τὸς ἡμῶν ὁ θεὸς ὃς ἔδωκε τοὺς ἀσεβήσοντας. μέλλοντες ἄγειν
ἐν τῷ χασελεῦ πέμπτῃ καὶ εἰκάδι τὸν καθαρισμὸν τοῦ ἱεροῦ
δέον ἡγησάμεθα διασαφῆσαι ὑμῖν, ἵνα καὶ αὐτοὶ ἄγητε ἕως σκη-
νοπηγίας, καὶ τοῦ πυρὸς ὅτε νεεμίας οἰκοδομήσας τό τε ἱερὸν
καὶ τὸ θυσιαστήριον ἀνήνεγκε θυσίαν. καὶ γὰρ ὅτε εἰς τὴν περσι-
κὴν ἤγοντο οἱ πατέρες ὑμῶν, οἱ τό τε ἀσεβεῖς ἱερεῖς λαβόν-
τες ἀπὸ τοῦ πυρὸς τοῦ θυσιαστηρίου λαθραίως κατέκρυψαν ἐν
κοιλώματι φρέατος τάξιν ἔχοντος ἄνυδρον ἐν ᾧ κατησφαλί-
σαντο ὥστε πᾶσιν ἄγνωστον εἶναι τὸν τόπον. διελθόντων δὲ ἐτῶν
ἱκανῶν ὅτε ἔδοξε τῷ θεῷ, ἀποσταλεὶς νεεμίας ὑπὸ τοῦ βασιλέ-
ως τῆς περσίδος, τοὺς ἐκγόνους τῶν ἱερέων τῶν ἀποκρυψάν-
των ἔπεμψεν ἐπὶ τὸ πῦρ. ὡς δὲ διεσάφησαν ἡμῖν, μὴ εὑρηκέναι πῦρ
ἀλλὰ ὕδωρ παχὺ, ἐκέλευσεν αὐτοὺς ἀποβάψαντας φέρειν, ὡς
δὲ ἀνηνέχθη τὰ τῶν θυσιῶν, ἐκέλευσε τοὺς ἱερεῖς νεεμίας ἐπιῤ-

ἐφάνη τῷ ὕδατι τά τε ξύλα, καὶ τὰ ἐπικείμενα. ὡς δὲ ἐγένετο καὶ χρόνος διῆλθεν ὅτε ἥλιος ἀνέλαμψε πρότερον ἐπινεφὴς ὤν, ἀνήφθη πυρὰ μεγάλη ὥστε θαυμάσαι πάντας. προσευχὴν δὲ ἐποιήσαντο οἱ ἱερεῖς δαπανωμένης δὲ τῆς θυσίας οἵ τε ἱερεῖς, καὶ πάντες, καταρχομένου ἰωνάθου. τῶν δὲ λοιπῶν ἐπιφωνούντων, ὡς νεεμίου. ἦν δὲ ἡ προσευχὴ τὸν τρόπον ἔχουσα τοῦτον. ΠΡΟΣΕΥΧΗ. Κύριε κύριε ὁ θεὸς ὁ πάντων κτίστης. ὁ φοβερὸς, καὶ ἰσχυρὸς καὶ δίκαιος, καὶ ἐλεήμων. καὶ ὁ μόνος βασιλεὺς καὶ χρηστός. ὁ μόνος χορηγός. ὁ μόνος δίκαιος καὶ παντοκράτωρ καὶ αἰώνιος. ὁ διασώζων ἐν ἰσραὴλ ἐκ παντὸς κακοῦ. ὁ ποιήσας τοὺς πατέρας ἐκλεκτοὺς καὶ ἁγιάσας αὐτούς. πρόσδεξαι τὴν θυσίαν ὑπὲρ παντὸς τοῦ λαοῦ σου ἰσραὴλ, καὶ διαφύλαξον τὴν μερίδα σου, καὶ καθαγίασον. ἐπισυνάγαγε τὴν διασπορὰν ἡμῶν. ἐλευθέρωσον τοὺς δουλεύοντας ἐν τοῖς ἔθνεσι. τοὺς ἐξουθενημένους καὶ βδελυκτοὺς ἔπιδε. καὶ γνώτωσαν τὰ ἔθνη, ὅτι σὺ εἶ ὁ θεὸς ἡμῶν. βασάνισον τοὺς καταδυναστεύοντας καὶ ἐξυβρίζοντας ἐν ὑπερηφανίᾳ. καταφύτευσον τὸν λαόν σου, εἰς τὸν τόπον τὸν ἅγιόν σου καθὼς εἶπε μωϋσῆς. οἱ δὲ ἱερεῖς ἐπέψαλλον τοὺς ὕμνους. καθὼς δὲ ἀνηλώθη τὰ τῆς θυσίας, καὶ τὸ περιλειπόμενον ὕδωρ. ὁ νεεμίας ἐκέλευσε λίθους μείζονας καταχεῖν. ὡς δὲ τοῦτο ἐγενήθη φλὸξ ἀνήφθη. τοῦ δὲ ἀπὸ τοῦ θυσιαστηρίου ἀντιλάμψαντος φωτὸς, ἐδαπανήθη. ὡς δὲ φανερὸν ἐγενήθη τὸ πρᾶγμα. καὶ διηγγέλη τῷ βασιλεῖ τῶν περσῶν, ὅτι εἰς τὸν τόπον οὗ τὸ πῦρ ἀπέκρυψαν οἱ μεταχθέντες ἱερεῖς, τὸ ὕδωρ ἐφάνη ἀφ' οὗ καὶ οἱ περὶ τὸν νεεμίαν ἥγνισαν τὰ τῆς θυσίας. περιφράξας δὲ ὁ βασιλεὺς τὸν τόπον ἱερὸν ἐποίησε, δοκιμάσας τὸ πρᾶγμα. καὶ οἷς ἐχαρίζετο ὁ βασιλεὺς πολλὰ διάφορα ἐλάμβανε, καὶ μετεδίδου. προσηγόρευσαν δὲ οἱ περὶ τὸν νεεμίαν, τὸν νεφθάρ. ὁ διερμηνεύεται καθαρισμός. καλεῖται δὲ παρὰ τοῖς πολλοῖς νεφθάρ.

Κεφάλαιον β'. 2.

Ὑρίσκεται δὲ ἐν ταῖς ἀπογραφαῖς ἱερεμίας ὁ προφήτης, ὅτι ἐκέλευσε τοῦ πυρὸς λαβεῖν τοὺς μεταγινομένους, ὡς σεσήμανται· καὶ ὡς ἐνετείλατο τοῖς μεταγινομένοις ὁ προφήτης δοὺς αὐτοῖς τὸν νόμον· ἵνα μὴ ἐπιλάθωνται τῶν προσταγμάτων τοῦ κυρίου· καὶ ἵνα μὴ ἀποπλανηθῶσι ταῖς διανοίαις· βλέποντες ἀγάλματα χρυσᾶ, καὶ ἀργυρᾶ, καὶ τὸν περὶ αὐτὰ κόσμον· καὶ ἕτερα τοιαῦτα λέγων παρεκάλει μὴ ἀποστῆναι τὸν νόμον ἀπὸ τῆς καρδίας αὐτῶν· ἦν δὲ ἐν τῇ γραφῇ, ὡς τὴν σκηνὴν, καὶ τὴν κιβωτὸν ἐκέλευσεν ὁ προφήτης χρηματισμοῦ γενηθέντος αὐτῷ· συνακολουθεῖν· ὡς δὲ ἐξῆλθεν εἰς τὸ ὄρος οὗ ὁ μωϋσῆς ἀναβὰς ἐθεάσατο τὴν τοῦ θεοῦ κληρονομίαν· καὶ ἐλθὼν ὁ ἱερεμίας εὗρεν οἶκον ἀντρώδη· καὶ τὴν σκηνὴν, καὶ τὴν κιβωτόν· καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος εἰσήνεγκεν ἐκεῖ, καὶ τὴν θύραν ἐνέφραξε· καὶ προσελθόντες τινὲς τῶν συνακολουθούντων ὥστε ἐπισημήνασθαι τὴν ὁδὸν, καὶ οὐκ ἠδυνήθησαν εὑρεῖν· ὡς δὲ ἱερεμίας ἔγνω· μεμψάμενος αὐτοῖς εἶπεν· ὅτι καὶ ἄγνωστος ὁ τόπος ἔσται, ἕως ἂν συναγάγῃ ὁ θεὸς ἐπὶ συναγωγὴν τοῦ λαοῦ, καὶ ἵλεως γένηται· καὶ τότε ὁ κύριος ἀναδείξει ταῦτα· καὶ ὀφθήσεται ἡ δόξα τοῦ κυρίου· καὶ ἡ νεφέλη, ὡς καὶ ἐπὶ μωϋσῇ ἐδηλοῦτο· ὡς καὶ ὁ σαλωμὼν ἠξίωσεν, ἵνα ὁ τόπος καθαγιασθῇ μεγάλως· διεσάφητο δὲ, καὶ ὡς σοφίαν ἔχων ἀνήνεγκε θυσίαν ἐγκαινισμοῦ, καὶ τῆς τελειώσεως τοῦ ἱεροῦ· καθὼς καὶ μωϋσῆς προσηύξατο πρὸς κύριον καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ τὰ τῆς θυσίας ἐδαπάνησεν, οὕτως καὶ σαλωμὼν προσηύξατο καὶ καταβὰν πῦρ ἀνάλωσε τὰ ὁλοκαυτώματα· καὶ εἶπε μωϋσῆς, διὰ τὸ μὴ βεβρῶσθαι τὸ περὶ τῆς ἁμαρτίας ἀναλώθη· ὡσαύτως καὶ ὁ σαλωμὼν τὰς ὀκτὼ ἡμέρας ἤγαγεν· ἐξηγεῖτο δὲ καὶ ἐν ταῖς ἀναγραφαῖς καὶ ἐν τοῖς ὑπομνηματισμοῖς τοῖς κατὰ τὸν νεεμίαν, τὰ αὐτά· καὶ ὡς κατα-

βαλλόμενος βιβλιοθήκην ἐπισυνήγαγε τὰ περὶ τῶν βασιλέων καὶ προφητῶν, καὶ τὰ τοῦ δαβίδ, καὶ ἐπιστολὰς βασιλέων περὶ ἀναθεμάτων. ὡσαύτως δὲ καὶ ἰούδας, τὰ διαπεπτωκότα διὰ τὸν πόλεμον τὸν γεγονότα ἡμῖν ἐπισυνήγαγε πάντα, καὶ ἔστι παρ' ἡμῖν· ὧν οὖν ἐὰν χρείαν ἔχητε, τοὺς ἀποκομιοῦντας ὑμῖν ἀποστέλλετε. μέλλοντες οὖν ἄγειν τὸν καθαρισμὸν ἐγράψαμεν ὑμῖν· καλῶς οὖν ποιήσετε ἄγοντες τὰς ἡμέρας. ὁ δὲ θεὸς ὁ σώσας τὸν πάντα λαὸν αὐτοῦ, καὶ ἀποδοὺς τὴν κληρονομίαν πᾶσι, καὶ τὸ βασίλειον, καὶ τὸ ἱεράτευμα, καὶ τὸν ἁγιασμὸν καθὼς ἐπηγγείλατο διὰ τοῦ νόμου, ἐλπίζομεν γὰρ ἐπὶ τῷ θεῷ, ὅτι ταχέως ἡμᾶς ἐλεήσει καὶ ἐπισυνάξει ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν εἰς τὸν ἅγιον τόπον, ἐξείλετο γὰρ ἡμᾶς ἐκ μεγάλων κακῶν, καὶ τὸν τόπον ἐκαθάρισε. τὰ δὲ κατὰ τὸν ἰούδαν τὸν μακκαβαῖον, καὶ τοὺς τούτου ἀδελφοὺς, καὶ τὸν τοῦ ἱεροῦ τοῦ μεγάλου καθαρισμὸν, καὶ τὸν τοῦ βωμοῦ ἐγκαινισμόν. ἔτι δὲ τοὺς πρὸς ἀντίοχον τὸν ἐπιφανῆ, καὶ τὸν τούτου υἱὸν εὐπάτορα πολέμους, καὶ τὰς ἐξ οὐρανοῦ γενομένας ἐπιφανείας τοῖς ὑπὲρ τοῦ ἰουδαϊσμοῦ φιλοτίμως ἀνδραγαθήσασιν, ὥστε τὴν ὅλην χώραν ὀλίγους ὄντας λεηλατεῖν, καὶ τὰ βάρβαρα πλήθη διώκειν, καὶ τὸ περιβόητον καθ' ὅλην τὴν οἰκουμένην ἱερὸν ἀνοικοδομῆσθαι καὶ τὴν πόλιν ἐλευθερῶσαι, καὶ τοὺς μέλλοντας καταλύεσθαι νόμους ἐπανορθῶσαι τοῦ κυρίου, μετὰ πάσης ἐπιεικείας ἵλεω γενομένου αὐτοῖς, τὰ ὑπὸ ἰάσωνος τοῦ κυρηναίου δεδηλωμένα διὰ πέντε βιβλίων, πειρασόμεθα δι' ἑνὸς συντάγματος ἐπιτεμεῖν. συνορῶντες γὰρ τὸ χύμα τῶν ἀριθμῶν, καὶ τὴν οὖσαν δυσχέρειαν τοῖς θέλουσιν εἰσκυκλεῖσθαι τοῖς τῆς ἱστορίας διηγήμασι διὰ τὸ πλῆθος τῆς ὕλης, ἐφροντίσαμεν τοῖς μὲν βουλομένοις ἀναγινώσκειν, ψυχαγωγίαν, τοῖς δὲ φιλοφρονοῦσιν εἰς τὸ διὰ μνήμης ἀναλαβεῖν, εὐκοπίαν, πᾶσι δὲ τοῖς ἐντυγχάνουσιν, ὠφέλειαν. καὶ ἡμῖν μὲν τοῖς τὴν κακοπάθειαν ἐπιδεδεγμένοις, τῆς ἐπιτομῆς, οὐ ῥάδιον, ἱδρῶτος δὲ καὶ ἀγρυπνίας τὸ πρᾶγμα.

καθάπερ τῷ παρασκευάζοντι συμπόσιον, καὶ ζητοῦντι τὴν ἑ-
τέρων λυσιτέλειαν οὐκ εὐχερές ἐστιν, ὅμως διὰ τὴν τῶν πολλῶν
εὐχαριστίαν ἡδέως τὴν κακοπάθειαν ὑποίσομεν. τὸ μὲν διακρι-
βοῦν περὶ ἑκάστων, τῷ συγγραφεῖ παραχωρήσαντες. τὸ δὲ ἐπιπο-
ρεύεσθαι τοῖς ὑπογραμμοῖς τῆς ἐπιτομῆς διαπονοῦντες. καθά-
περ γὰρ τῆς καινῆς οἰκίας ἀρχιτέκτονι τῆς ὅλης καταβολῆς φρον-
τιστέον. τῷ δὲ ἐγκαίειν, καὶ ζωγραφεῖν ἐπιχειροῦντι τὰ ἐπιτήδεια
πρὸς διακόσμησιν ἐξεταστέον. οὕτως δοκῶ, καὶ ἐπὶ ἡμῶν. τὸ
μὲν ἐμβατεύειν, καὶ περὶ πάντων ποιεῖσθαι λόγων, καὶ πολυ-
πραγμονεῖν ἐν τοῖς κατὰ μέρος. τῷ τῆς ἱστορίας ἀρχηγέτῃ καθή-
κει. τὸ δὲ σύντομον τῆς λέξεως μεταδιώκειν. καὶ τὸ ἐξεργαστικὸν τῆς
πραγματείας παραιτεῖσθαι, τῷ τὴν μετάφρασιν ποιουμένῳ συγ-
χωρητέον. ἐντεῦθεν οὖν ἀρξώμεθα τῆς διηγήσεως, τοῖς προειρη-
μένοις τοσοῦτον ἐπιζεύξαντες. εὔηθες γὰρ τὸ μὲν πρὸ τῆς ἱστορίας
πλεονάζειν, τὴν δὲ ἱστορίαν ἐπιτεμεῖν.

## Κεφάλαιον γ΄. 3.

Ης ἁγίας πόλεως κατοικουμένης μετὰ πάσης εἰρήνης
γ καὶ τῶν νόμων, ὅτι κάλλιστα συντηρουμένων διὰ
τὴν Ὀνίου τοῦ ἀρχιερέως εὐσέβειάν τε, καὶ μισοπο-
νηρίαν. συνέβαινε, καὶ αὐτοὺς τοὺς βασιλεῖς τιμᾶν τὸν τόπον
καὶ τὸ ἱερὸν ἀποστολαῖς ταῖς κρατίσταις δοξάζειν. ὥστε καὶ σέ-
λευκον τὸν τῆς ἀσίας βασιλέα χορηγεῖν ἐκ τῶν ἰδίων προσόδων
πάντα τὰ πρὸς τὰς λειτουργίας τῶν θυσιῶν ἐπιβάλλοντα
δαπανήματα. σίμων δέ τις ἐκ τῆς βενιαμὶν φυλῆς προστά-
της τοῦ ἱεροῦ καθεσταμένος διηνέχθη τῷ ἀρχιερεῖ περὶ τῆς
κατὰ τὴν πόλιν παρανομίας. καὶ νικῆσαι τὸν ὀνίαν μὴ δυνά-
μενος, ἦλθε πρὸς ἀπολλώνιον θρασαίου τὸν κατ᾽ ἐκεῖνον τὸν και-
ρὸν κοίλης συρίας καὶ φοινίκης στρατηγόν. καὶ προσήγγειλε πε-
ρὶ τοῦ χρημάτων ἀμυθήτων γέμειν, τὸ ἐν ἱεροσολύμοις γαζο-
φυλάκιον. ὥς τε τὸ πλῆθος τῶν διαφόρων ἐναρίθμητον εἶναι.

καὶ μὴ προσήκειν αὐτὰ πρὸς τὸν τῶν θυσιῶν λόγον, εἶναι δὲ δυνατὸν ὑπὸ τὴν τοῦ βασιλέως ἐξουσίαν πεσεῖν ταῦτα. συμμίξας δὲ ὁ ἀπολλώνιος τῷ βασιλεῖ, περὶ τῶν μηνυθέντων αὐτῷ χρημάτων ἐνεφάνισεν. ὁ δὲ προχειρισάμενος ἡλιόδωρον ὄντα ἐπὶ τῶν χρημάτων, ἀπέστειλε δοὺς ἐντολὰς, τὴν τῶν προειρημένων χρημάτων ἐκκομιδὴν ποιήσασθαι. εὐθέως δὲ ὁ ἡλιόδωρος ἐποιεῖτο τὴν πορείαν. τῇ μὲν ἐμφάσει, ὡς τὰς κατὰ κοίλην συρίαν, καὶ φοινίκην πόλεις ἐφοδεύσων. τῷ πράγματι δὲ τὴν τοῦ βασιλέως πρόθεσιν ἐπιτελέσων. παραγενηθεὶς δὲ εἰς ἱεροσόλυμα, καὶ φιλοφρόνως ὑπὸ τοῦ ἀρχιερέως τῆς πόλεως ἀποδεχθεὶς, ἀνέθετο περὶ τοῦ γεγονότος ἐμφανισμοῦ. καὶ τίνος ἕνεκεν πάρεστι διεσάφησεν. ἐπυνθάνετο δὲ εἰ ταῖς ἀληθείαις ταῦτα οὕτως ἔχοντα τυγχάνει. τοῦ δὲ ἀρχιερέως ὑποδείξαντος παραθήκας εἶναι χηρῶν τε, καὶ ὀρφανῶν τινὰ δὲ καὶ ὑρκανοῦ τοῦ τωβίου, σφόδρα ἀνδρὸς ἐν ὑπεροχῇ κειμένου. οὐχ ὥσπερ ἦν διεβάλλων ὁ δυσσεβὴς σίμων. τὰ δὲ πάντα, ἀργυρίου τετρακόσια τάλαντα, χρυσίου δὲ, διακόσια. ἀδικηθῆναι δὲ τοὺς πεπιστευκότας τῇ τοῦ τόπου ἁγιωσύνῃ, καὶ τῇ τοῦ τετιμημένου κατὰ τὸν σύμπαντα κόσμον ἱεροῦ σεμνότητι, καὶ ἀσυλίᾳ, παντελῶς ἀμήχανον εἶναι. ὁ δὲ ἡλιόδωρος δι' ἃς εἶχε βασιλικὰς ἐντολὰς πάντως ἔλεγεν εἰς τὸ βασιλικὸν ἀναληπτέα ταῦτα εἶναι. ταξάμενος δὲ ἡμέραν εἰσῄει τὴν περὶ τούτων ἐπίσκεψιν οἰκονομήσων ἦν δὲ οὐ μικρὰ καθ' ὅλην τὴν πόλιν ἀγωνία. οἱ δὲ ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου ἐν ταῖς ἱερατικαῖς στολαῖς ῥίψαντες ἑαυτοὺς, ἐπεκαλοῦντο εἰς οὐρανὸν τὸν περὶ παραθήκης νομοθετήσαντα τοῖς παρακαταθεμένοις ταῦτα σῶα διαφυλάξαι. ἦν δὲ ὁρῶντα τὴν τοῦ ἀρχιερέως ἰδέαν, τιτρώσκεσθαι τὴν διάνοιαν. ἡ γὰρ ὄψις καὶ τὸ τῆς χρόας παρηλλαγμένον ἐνέφαινε τὴν κατὰ ψυχὴν ἀγωνίαν. περιεκέχυτο γὰρ περὶ τὸν ἄνδρα δέος τι καὶ φρικασμὸς σώματος, δι' ὧν πρόδηλον ἐγίνετο τοῖς θεωροῦσι τὸ κατὰ καρδίαν

ἐνεστὸς ἄλγος. οἱ δὲ ἐκ τῶν οἰκιῶν, ἀγεληδὸν ἐξεπήδων ἐπὶ πάνδημον ἱκετείαν. διὰ τὸ μέλλειν εἰς καταφρόνησιν ἔρχεσθαι τὸν τόπον. ὑπεζωσμέναι δὲ ὑπὸ τοὺς μασοὺς αἱ γυναῖκες σάκκους. κατὰ τὰς ὁδοὺς ἐπλήθυνον. αἱ δὲ κατάκλειστοι τῶν παρθένων, αἱ μὲν συνέτρεχον ἐπὶ τοὺς πυλῶνας. αἱ δὲ ἐπὶ τὰ τείχη. τινὲς δὲ διὰ τῶν θυρίδων διεξέκυπτον. πᾶσαι δὲ προτείνουσαι τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἐποιοῦντο τὴν λιτανείαν. ἐλεεῖν δ' ἦν τὸ τὴν πλήθους παμμιγῆ πρόπτωσιν. τήν τε τοῦ μεγάλως ἀγωνιῶντος ἀρχιερέως προσδοκίαν. οἱ μὲν οὖν, ἐπεκαλοῦντο τὸν παγκρατῆ κύριον τὰ πεπιστευμένα τοῖς πεπιστευκόσι σῶα διαφυλάσσειν μετὰ πάσης ἀσφαλείας. ὁ δὲ ἡλιόδωρος, τὸ διεγνωσμένον ἐπετέλει. αὐτόθι δὲ αὐτοῦ σὺν τοῖς δορυφόροις κατὰ τὸ γαζοφυλάκιον ἤδη παρόντος. ὁ τῶν πατέρων κύριος καὶ πάσης ἐξουσίας δυνάστης, ἐπιφάνειαν μεγάλην ἐποίησεν ὥστε πάντας τοὺς κατατολμήσαντας συνελθεῖν. καταπλαγέντας τὴν τοῦ θεοῦ δύναμιν εἰς ἔκλυσιν καὶ δειλίαν τραπῆναι. ὤφθη γάρ τις ἵππος αὐτοῖς φοβερὸν ἔχων τὸν ἐπιβάτην καὶ καλλίστῃ σαγῇ διακεκοσμημένος. φερόμενος δὲ ῥύδην ἐνέσεισε τῷ ἡλιοδώρῳ τὰς ἐμπροσθίους ὁπλάς. ὁ δὲ ἐπικαθήμενος, ἐφαίνετο χρυσῆν πανοπλίαν ἔχων. ἕτεροι δὲ δύο προεφάνησαν αὐτῷ νεανίαι τῇ ῥώμῃ μὲν ἐκπρεπεῖς. κάλλιστοι δὲ, τῇ δόξῃ. διαπρεπεῖς δὲ τὴν περιβολήν. οἳ καὶ παραστάντες ἐξ ἑκατέρου μέρους ἐμαστίγουν αὐτὸν ἀδιαλείπτως, πολλὰς ἐπιρριπτοῦντες αὐτῷ πληγάς. ἄφνω δὲ πεσόντα πρὸς τὴν γῆν, καὶ πολλῷ σκότει περιχυθέντα, συναρπάσαντες δὲ καὶ εἰς φορεῖον ἐνθέντες τὸν ἄρτι, μετὰ πολλῆς παραδρομῆς, καὶ πάσης δορυφορίας εἰς τὸ προειρημένον εἰσελθόντα γαζοφυλάκιον, ἔφερον ἀβοήθητον ἑαυτῷ τοῖς ὅπλοις καθεστῶτα, φανερῶς τὴν τοῦ θεοῦ δυναστείαν ἐπεγνωκότες. καὶ ὁ μὲν διὰ τὴν θείαν ἐνέργειαν ἄφωνος, καὶ πάσης ἐστερημένος ἐλπίδος, καὶ σωτηρίας ἔρριπτο. οἱ δὲ τὸν κύριον εὐλόγουν τὸν παραδοξά-

ζοντα τὸν ἑαυτοῦ τόπον. καὶ τὸ μικρῷ πρότερον δέους καὶ ταραχῆς γέμον ἱερόν. τοῦ παντοκράτορος ἐπιφανέντος κυρίου, χαρᾶς καὶ εὐφροσύνης ἐπεπλήρωτο. ταχὺ δέ τινες τῶν τοῦ ἡλιοδώρου συνήθων ἠξίουν τὸν ὀνίαν ἐπικαλέσασθαι τὸν ὕψιστον, καὶ τὸ ζῆν χαρίσασθαι τῷ παντελῶς ἐν ἐσχάτῃ πνοῇ κειμένῳ. ὕποπτος δὲ γενόμενος ὁ ἀρχιερεὺς μήποτε διαλῆψιν ὁ βασιλεὺς σχῇ κακουργίαν τινὰ περὶ τὸν ἡλιόδωρον ὑπὸ τῶν ἰουδαίων συντετελέσθαι, προσήγαγε θυσίαν ὑπὲρ τῆς τοῦ ἀνδρὸς σωτηρίας. ποιουμένου δὲ τοῦ ἀρχιερέως τὸν ἱλασμὸν, οἱ αὐτοὶ νεανίαι πάλιν ἐφάνησαν τῷ ἡλιοδώρῳ ἐν ταῖς αὐταῖς ἐσθήσεσιν ἐστολισμένοι, καὶ στάντες εἶπον πολλὰς ὀνίᾳ τῷ ἀρχιερεῖ χάριτας ἔχε. διὰ γὰρ αὐτὸν σοὶ κεχάρισται τὸ ζῆν ὁ κύριος. σὺ δὲ ἐξ οὐρανοῦ μεμαστιγωμένος διάγγελλε πᾶσι τὸ μεγαλεῖον τοῦ θεοῦ κράτος. ταῦτα δὲ εἰπόντες, ἀφανεῖς ἐγένοντο. ὁ δὲ ἡλιόδωρος θυσίαν ἀνενέγκας τῷ κυρίῳ, καὶ εὐχὰς μεγίστας εὐξάμενος τῷ τὸ ζῆν περιποιήσαντι. καὶ τὸν ὀνίαν ἀποδεξάμενος, ἀνεστρατοπέδευσε πρὸς τὸν βασιλέα. ἐξεμαρτύρει δὲ πᾶσιν, ἅπερ ἦν ὑπ᾽ ὄψιν τεθεαμένος ἔργα τοῦ μεγίστου θεοῦ. τοῦ δὲ βασιλέως ἐπερωτήσαντος τὸν ἡλιόδωρον ποῖός τις εἴη ἐπιτήδειος ἔτι ἅπαξ διαπεμφθῆναι εἰς ἱεροσόλυμα, ἔφησεν, εἴ τινα ἔχεις πολέμιον, ἢ πραγμάτων ἐπίβουλον πέμψον αὐτὸν ἐκεῖ. καὶ μεμαστιγωμένον αὐτὸν προσδέξῃ ἐάνπερ καὶ διασωθείη. διὰ τὸ περὶ τὸν τόπον ἀληθῶς εἶναί τινα θεοῦ δύναμιν. αὐτὸς γὰρ ὁ τὴν κατοικίαν ἐπουράνιον ἔχων ἐπόπτης ἐστὶ καὶ βοηθὸς ἐκείνου τοῦ τόπου. καὶ τοὺς παραγινομένους ἐπὶ κακώσει, τύπτων ἀπολλύει. καὶ τὰ μὲν κατὰ ἡλιόδωρον, καὶ τὴν τοῦ γαζοφυλακίου τήρησιν οὕτως ἐχώρησεν.

## Κεφάλαιον δ. 4.

ὁ Δὲ προειρημένος σίμων ὁ τῶν χρημάτων, καὶ τῆς πατρίδος ἐνδείκτης γεγονὼς ἐκακολόγει τὸν ὀνίαν. ὡς αὐτός τε εἴη τὸν ἡλιόδωρον ἐπισεσεικὼς, καὶ τῶν κακῶν

δημιουργὸς καθεστηκώς· καὶ τὸν εὐεργέτην τῆς πόλεως καὶ τὸν
κηδεμόνα τῶν ὁμοεθνῶν, καὶ ζηλωτὴν τῶν νόμων ἐπίβουλον τῶν
πραγμάτων ἐτόλμα λέγειν. τῆς δὲ ἔχθρας ἐπὶ τοσοῦτον προ-
βαινούσης ὥστε, καὶ διά τινος τῶν ὑπὸ τοῦ σίμωνος δεδοκιμα-
σμένων φόνους συντελεῖσθαι, συνορῶν ὁ ὀνίας τὸ χαλεπὸν τῆς
φιλονεικίας καὶ ἀπολλώνιον μαίνεσθαι, ὡς τὸν κοίλης συρίας, καὶ
φοινίκης στρατηγὸν συναύξοντα τὴν κακίαν τοῦ σίμωνος, ὡς τὸν
βασιλέα διεκομίσθη· οὐ γινόμενος τῶν πολιτῶν κατήγορος·
τὸ δὲ συμφέρον κοινῇ, καὶ κατιδίαν παντὶ τῷ πλήθει σκοπῶν
ἑώρα γὰρ ἄνευ βασιλικῆς προνοίας ἀδύνατον εἶναι τυχεῖν εἰρή-
νης ἔτι τὰ πράγματα. καὶ τὸν σίμωνα, παῦλαν οὐ ληψόμενον τῆς
ἀνοίας. μεταλλάξαντος δὲ τὸν βίον σελεύκου, καὶ παραλα-
βόντος τὴν βασιλείαν ἀντιόχου τοῦ προσαγορευθέντος ἐπιφα-
νοῦς· ὑπενόθευσεν ἰάσων ὁ ἀδελφὸς ὀνίου τὴν ἀρχιερωσύνην·
ἐπαγγειλάμενος τῷ βασιλεῖ δι' ἐντεύξεως ἀργυρίου τάλαν-
τα ἑξήκοντα πρὸς τοῖς τριακοσίοις. καὶ προσόδου τινὸς ἄλλης
τάλαντα ὀγδοήκοντα. πρὸς δὲ τούτοις ὑπισχνεῖτο καὶ ἕτερα δια-
γράψαι πεντήκοντα πρὸς τοῖς ἑκατόν. ἐὰν ἐπιχωρηθῇ διὰ τῆς
ἐξουσίας αὐτοῦ, γυμνάσιον καὶ ἐφηβίαν αὐτῷ συστήσασθαι. καὶ
τοὺς ἐν ἱεροσολύμοις ἀντιοχεῖς ἀναγράψαι. ἐπινεύσαντος δὲ
τοῦ βασιλέως, καὶ τῆς ἀρχῆς κρατήσας, εὐθέως ἐπὶ τὸν ἑλληνι-
κὸν χαρακτῆρα τοὺς ὁμοφύλους μετῆγε. καὶ τὰ κείμενα τοῖς ἰου-
δαίοις φιλάνθρωπα βασιλικὰ διὰ ἰωάννου τοῦ πατρὸς εὐπολέ-
μου τοῦ ποιησαμένου τὴν πρεσβείαν ὑπὲρ φιλίας, καὶ συμμα-
χίας πρὸς τοὺς ῥωμαίους, παρώσατο. καὶ τὰς μὲν νομίμους
καταλύων πολιτείας, παρανόμους ἐθισμοὺς ἐκαίνιζεν. ἀσμέ-
νως γὰρ ὑπ' αὐτὴν τὴν ἀκρόπολιν γυμνάσιον καθίδρυσε, καὶ
τοὺς κρατίστους τῶν ἐφήβων ὑποτάσσων ὑπὸ πέτασον ἦγεν. ἦν
δ' οὕτως ἀκμή τις ἑλληνισμοῦ, καὶ πρόσβασις ἀλλοφυλισμοῦ
διὰ τὴν τοῦ ἀσεβοῦς, καὶ οὐκ ἀρχιερέως ἰάσωνος ὑπερβάλ-

λουσαν ἀναγνείαν, ὥστε μηκέτι περὶ τὰς τοῦ θυσιαστηρίου λειτουργίας προθύμους εἶναι τοὺς ἱερεῖς. ἀλλὰ τοῦ μὲν ναοῦ καταφρονοῦντες, καὶ τῶν θυσιῶν ἀμελοῦντες, ἔσπευδον μετέχειν τῆς ἐν παλαίστρᾳ παρανόμου χορηγίας μετὰ τὴν τοῦ δίσκου πρόκλησιν. καὶ τὰς μὲν πατρῴους τιμὰς ἐν οὐδενὶ τιθέμενοι, τὰς δὲ ἑλληνικὰς δόξας καλλίστας ἡγούμενοι. ὧν καὶ χάριν, περιέσχεν αὐτοὺς χαλεπὴ περίστασις. καὶ ὧν ἐζήλουν τὰς ἀγωγὰς καὶ κατὰ πᾶν ἤθελον ἐξομοιοῦσθαι, τούτους πολεμίους, καὶ τιμωρητὰς ἔσχον. ἀσεβεῖν γὰρ εἰς τοὺς θείους νόμους οὐ ῥᾴδιον. ἀλλὰ ταῦτα ὁ ἀκόλουθος καιρὸς δηλώσει. ἀγομένου δὲ πενταετηρικοῦ ἀγῶνος ἐν τύρῳ, καὶ τοῦ βασιλέως παρόντος, ἀπέστειλεν ἰάσων ὁ μιαρὸς θεωροὺς, ὡς ἀπὸ ἱεροσολύμων ἀντιοχεῖς ὄντας παρακομίζοντας ἀργυρίου δραχμὰς τριακοσίας, εἰς τὴν τοῦ ἡρακλέους θυσίαν. ἃς καὶ ἠξίωσαν οἱ παρακομίζοντες μὴ χρῆσθαι πρὸς θυσίαν διὰ τὸ μὴ καθήκειν. εἰς ἑτέραν δὲ καταθέσθαι δαπάνην. ἔπεμψεν οὖν ταῦτα διὰ μὲν τὸν ἀποστείλαντα εἰς τὴν τοῦ ἡρακλέους θυσίαν. ἕνεκεν δὲ τῶν παρακομιζόντων εἰς τὰς τῶν τριήρων κατασκευάς. ἀποσταλέντος δὲ εἰς αἴγυπτον ἀπολλωνίου τοῦ μενεσθέως διὰ τὰ πρωτοκλήσια πτολεμαίου τοῦ φιλομήτορος βασιλέως. μεταλαβὼν ἀντίοχος, ἀλλότριον αὐτὸν τῶν αὐτῶν γεγονέναι πραγμάτων, τῆς κατ᾽ αὐτὸν ἀσφαλείας ἐφρόντιζεν. ὅθεν εἰς ἰόππην παραγενόμενος κατήντησεν εἰς ἱεροσόλυμα. μεγαλοπρεπῶς δὲ ὑπὸ τοῦ ἰάσωνος, καὶ τῆς πόλεως ἀποδεχθεὶς, μετὰ δᾳδουχίας καὶ βοῶν εἰσεδέχθη. εἶθ᾽ οὕτως εἰς τὴν φοινίκην κατεστρατοπέδευσε. μετὰ δὲ τριετῆ χρόνον, ἀπέστειλεν ἰάσων, μενέλαον τὸν τοῦ προσημαινομένου σίμωνος ἀδελφὸν παρακομίζοντα τὰ χρήματα τῷ βασιλεῖ. καὶ περὶ πραγμάτων ἀναγκαίων ὑπομνηματισμοὺς τελέσοντα. ὁ δὲ, συσταθεὶς τῷ βασιλεῖ, καὶ δοξάσας αὐτὸν τῷ προσώπῳ τῆς ἐξουσίας, εἰς ἑαυτὸν κατήντησε τὴν ἀρχιερωσύνην ὑπερβαλὼν τὸν ἰάσωνα τα-

τάλαντα ἀργυρίου τριακόσια. λαβὼν δὲ τὰς βασιλικὰς ἐντολὰς παρεγένετο, τῆς μὲν ἀρχιερωσύνης οὐδὲν ἄξιον φέρων· θυμοὺς δὲ ὠμοῦ τυράννου καὶ θηρὸς βαρβάρου ὀργὰς ἔχων. καὶ ὁ μὲν ἰάσων ὁ τὸν ἴδιον ἀδελφὸν ὑπονοθεύσας, ὑπονοθευθεὶς ὑφ᾽ ἑτέρου, φυγὰς εἰς τὴν ἀμμανῖτιν χώραν συνήλαστο. ὁ δὲ Μενέλαος, τῆς μὲν ἀρχῆς ἐκράτει. τῶν δὲ ἐπηγγελμένων τῷ βασιλεῖ χρημάτων, οὐδὲν, εὐτάκτει. ποιουμένου δὲ τὴν ἀπαίτησιν σωστράτου τοῦ τῆς ἀκροπόλεως ἐπάρχου, πρὸς τοῦτον γὰρ ἦν ἡ τῶν διαφόρων πρᾶξις. δι᾽ ἣν αἰτίαν οἱ δύο ὑπὸ τοῦ βασιλέως προσεκλήθησαν. καὶ ὁ μὲν μενέλαος, ἀπέλιπε τῆς ἀρχιερωσύνης διάδοχον λυσίμαχον τὸν ἑαυτοῦ ἀδελφόν. σώστρατος δὲ, κράτητα τὸν ἐπὶ τῶν κυπρίων. τοιούτων δὲ συνεστηκότων, συνέβη ταρσεῖς, καὶ μαλλώτας στασιάζειν. διὰ τὸ, ἀντιοχίδι τῇ παλλακῇ τοῦ βασιλέως, ἐν δωρεᾷ δεδόσθαι. θᾶττον οὖν ὁ βασιλεὺς ἦλθε καταστεῖλαι τὰ πράγματα καταλιπὼν τὸν διαδεχόμενον ἀνδρόνικον τῶν ἐν ἀξιώματι κειμένων. νομίσας δὲ ὁ μενέλαος εἰληφέναι, καιρὸν εὐφυῆ, χρυσώματά τινα τῶν τοῦ ἱεροῦ νοσφισάμενος, ἐχαρίσατο τῷ ἀνδρονίκῳ. καὶ ἕτερα ἐτύγχανε πεπρακὼς εἴς τε τύρον καὶ τὰς κύκλῳ πόλεις. καὶ σαφῶς ἐπεγνωκὼς ὁ ὀνίας, παρήλεγχεν ἀποκεχωρηκὼς εἰς ἄσυλον τόπον. ἐπὶ δάφνης τῆς πρὸς ἀντιοχείαν κειμένης. ὅθεν ὁ μενέλαος λαβὼν ἰδίᾳ τὸν ἀνδρόνικον παρεκάλει χειρώσασθαι τὸν ὀνίαν. ὁ δὲ παραγενόμενος ἐπὶ τὸν ὀνίαν καὶ πεισθεὶς ἐπὶ δόλῳ, καὶ δεξιὰς, μεθ᾽ ὅρκων δοὺς, καίπερ ἐν ὑποψίᾳ κείμενος, ἔπεισεν ἐκ τοῦ ἀσύλου προελθεῖν. ὃν καὶ παραχρῆμα παρέκλεισεν, οὐκ αἰδεσθεὶς τὸ δίκαιον. δι᾽ ἣν αἰτίαν οὐ μόνον ἰουδαῖοι, πολλοὶ δὲ καὶ τῶν ἄλλων ἐθνῶν ἐδείναζον καὶ ἐδυσφόρουν ἐπὶ τῷ τοῦ ἀνδρὸς ἀδίκῳ φόνῳ. τοῦ δὲ βασιλέως ἐπανελθόντος ἀπὸ τῶν κατὰ κιλικίαν τόπων, ἐνετύγχανον οἱ κατὰ πόλιν ἰουδαῖοι συμμισοπονηρούντων, καὶ τῶν ἑλλήνων ὑπὲρ τοῦ παρὰ λόγον τὸν ὀνίαν ἀπεκτάνθαι. ψυχικῶς οὖν ὁ ἀντιο-

χος ἐπιλυπηθεὶς, καὶ τραπεὶς εἰς ἔλεον, καὶ δακρύσας διὰ τὴν τοῦ μετηλλαχότος σωφροσύνην, καὶ πολλὴν εὐταξίαν, καὶ πυρωθεὶς τοῖς θυμοῖς, παραχρῆμα τὴν τοῦ ἀνδρονίκου πορφύραν περιελόμενος, καὶ τοὺς χιτῶνας περιῤῥήξας, περιαγαγὼν καθ' ὅλην τὴν πόλιν, ἐπ' αὐτὸν τὸν τόπον οὗπερ τὸν ὀνίαν ἠσέβησεν, ἐκεῖ τὸν μιαφόνον ἀπέκτεινε, τοῦ κυρίου τὴν ἀξίαν αὐτῷ κόλασιν ἀποδόντος. γενομένων δὲ πολλῶν ἱεροσυλημάτων κατὰ τὴν πόλιν ὑπὸ τοῦ λυσιμάχου μετὰ τῆς μενελάου γνώμης, καὶ διαδοθείσης ἔξω τῆς φήμης, ἐπισυνήχθη τὸ πλῆθος ἐπὶ τὸν λυσίμαχον, χρυσωμάτων ἤδη πολλῶν διενηνεγμένων. ἐπεγειρομένων δὲ τῶν ὄχλων, καὶ ταῖς ὀργαῖς διεμπιπλαμένων, καθοπλίσας ὁ λυσίμαχος πρὸς τρισχιλίους κατήρξατο χειρῶν ἀδίκων, προηγησαμένου τινὸς τυράννου προβεβηκότος τὴν ἡλικίαν, οὐδὲν δὲ ἧττον, καὶ τῇ ἀνοίᾳ. συνιδόντες δὲ καὶ τὴν ἐπίθεσιν τοῦ λυσιμάχου, συναρπάσαντες οἱ μὲν πέτρους, οἱ δὲ ξύλων πάχη, τινὲς δὲ ἐκ τῆς παρακειμένης σποδοῦ δρασσόμενοι, φύρδην ἐνετίνασσον εἰς τοὺς περὶ τὸν λυσίμαχον καὶ τοὺς ἐπιτιθεμένους, δι' ἣν αἰτίαν πολλοὺς μὲν αὐτῶν τραυματίας ἐποίησαν, τινὰς δὲ κατέβαλον, πάντας δὲ εἰς φυγὴν συνήλασαν. αὐτὸν δὲ τὸν ἱερόσυλον παρὰ τὸ γαζοφυλάκιον, ἐχειρώσαντο. περὶ δὲ τούτων, ἐνέστη κρίσις πρὸς τὸν μενέλαον. καταντήσαντος δὲ τοῦ βασιλέως εἰς τύρον, ἐπ' αὐτοῦ τὴν δικαιολογίαν ἐποιήσαντο οἱ πεμφθέντες ἄνδρες τρεῖς ὑπὸ τῆς γερουσίας. ἤδη δὲ λελειμμένος ὁ μενέλαος, ἐπηγγείλατο χρήματα ἱκανὰ τῷ πτολεμαίῳ, δορυμένους πρὸς τὸ πεῖσαι τὸν βασιλέα. ὅθεν ἀπολαβὼν ὁ πτολεμαῖος, εἴς τι περίστυλον, ὡς ἀναψύξοντα τὸν βασιλέα, μετέθηκε. καὶ τὸν μὲν τῆς ὅλης κακίας αἴτιον μενέλαον ἀπέλυσε τῶν κατηγορημένων. τοῖς δὲ ταλαιπώροις οἵτινες εἰ καὶ ἐπὶ σκυθῶν ἔλεγον, ἀπελύθησαν ἂν ἀκατάγνωστοι, τούτοις θάνατον ἐπέκρινε. ταχέως οὖν τὴν ἄδικον ζημίαν ὑπέσχον οἱ περὶ πόλεως καὶ δήμων καὶ τῶν ἱερῶν σκευῶν προηγορήσαντες. δι' ἣν αἰτίαν

καὶ τύριοι μισοπονηρήσαντες. τὰ πρὸς τὴν κηδείαν αὐτῶν μεγαλοπρεπῶς ἐχορήγησαν. ὁ δὲ μενέλαος διὰ τὰς τῶν κρατούντων πλεονεξίας, ἔμενεν ἐπὶ τῆς ἀρχῆς, ἐπιφυόμενος τῇ κακίᾳ· μέγας τῶν πολιτῶν ἐπίβουλος καθεστώς. Κεφάλαιον ε.

Περὶ δὲ τὸν καιρὸν τοῦτον τὴν δευτέραν ἔφοδον ἀν-
π τίοχος εἰς αἴγυπτον ἐστείλατο. συνέβη δὲ καθ' ὅλην τὴν πόλιν σχεδὸν ἐφ' ἡμέρας τεσσαράκοντα, φαίνεσθαι διὰ τοῦ ἀέρος τρέχοντας ἱππεῖς, διαχρύσους στολὰς ἔχοντας· καὶ λόγχας σπειρηδὸν ἐξωπλισμένους, καὶ ἴλας ἵππων διατεταγμένων· καὶ προσβολὰς γινομένας καὶ καταδρομὰς ἑκατέρων καὶ ἀσπίδων κινήσεις· καὶ καμάκων πλήθη, καὶ μαχαιρῶν σπασμούς, καὶ βελῶν βολάς· καὶ χρυσῶν κόσμων ἐκλάμψεις· καὶ παντοίους θωρακισμούς. διὸ πάντες ἠξίουν ἐπ' ἀγαθῷ τὴν ἐπιφάνειαν γενέσθαι. γενομένης δὲ λαλιᾶς ψευδοῦς ὡς μετηλλαχότος τὸν βίον ἀντιόχου, παραλαβὼν ὁ ἰάσων οὐκ ἐλάττους τῶν χιλίων αἰφνιδίως ἐπὶ τὴν πόλιν συνετελέσατο ἐπίθεσιν. τῶν δὲ ἐπὶ τῷ τείχει συνελασθέντων· καὶ τέλος ἤδη καταλαμβανομένης τῆς πόλεως, ὁ μενέλαος εἰς τὴν ἀκρόπολιν ἐφυγάδευσεν. ὁ δὲ ἰάσων ἐποιεῖτο σφαγὰς τῶν πολιτῶν τῶν ἰδίων ἀφειδῶς. οὐ συνοῶν τὴν εἰς τοὺς συγγενεῖς εὐημερίαν, δυσημερίαν εἶναι τὴν μεγίστην. δοκῶν δὲ πολεμίων καὶ οὐχ ὁμοεθνῶν, τρόπαια καταβάλλεσθαι. τῆς μὲν ἀρχῆς οὐκ ἐκράτησε. τὸ δὲ τέλος τῆς ἐπιβουλῆς αἰσχύνην λαβών, φυγὰς πάλιν εἰς τὴν ἀμμανῖτιν ἀπίει. πέρας οὖν κακῆς ἀναστροφῆς ἔτυχεν. ἐγκλεισθεὶς πρὸς ἀρέταν τὸν τῶν ἀράβων τύραννον, πόλιν ἐκ πόλεως φεύγων, διωκόμενος ὑπὸ πάντων· καὶ στυγούμενος ὡς τοῦ νόμου ἀποστάτης· καὶ βδελυσσόμενος, ὡς πατρίδος, καὶ πολιτῶν δήμιος, εἰς αἴγυπτον συνεβράσθη, καὶ ὁ συχνοὺς τῆς πατρίδος ἀποξενώσας, ἐπὶ ξένης ἀπώλετο. πρὸς λακεδαιμονίους ἀναχθείς, ὡς διὰ τὴν συγγένειαν τευξόμενος σκέπης· καὶ ὁ, πλῆθος ἀτάφων ἐκρίψας, ἀπένθητος ἐγενήθη· καὶ κηδείας οὐδ' ἡστινοσοῦν, οὔτε

πατρώου τάφου μετέσχε. προσπεσόντων δὲ τῷ βασιλεῖ περὶ τῶν
γεγονότων, διέλαβεν ἀποστατεῖν τὴν ἰουδαίαν. ὅθεν ἀναζεύξας
ἐξ αἰγύπτου τεθηριωμένος τῇ ψυχῇ, ἔλαβε τὴν μὲν πόλιν δορι-
άλωτον. καὶ ἐκέλευσε τοῖς στρατιώταις κόπτειν ἀφειδῶς τοὺς
ἐμπίπτοντας. καὶ τοὺς εἰς τὰς οἰκίας ἀναβαίνοντας κατασφά-
ζειν. ἐγίνοντο δὲ νέων καὶ πρεσβυτέρων ἀναιρέσεις, ἀνδρῶν τε
καὶ γυναικῶν, καὶ τέκνων ἀφανισμός. παρθένων τε καὶ νηπίων
σφαγαί. ὀκτὼ δὲ μυριάδες ἐν ταῖς πάσαις ἡμέραις τρισὶ κα-
τεφθάρησαν. τέσσαρες μὲν χειρῶν νομαῖς. οὐχ ἧττον τῶν ἐσφαγ-
μένων ἐπράθησαν. καὶ οὐκ ἀρκεσθεὶς δὲ τούτοις, κατετόλμησεν εἰς
τὸ πάσης τῆς γῆς ἁγιώτατον ἱερὸν εἰσελθεῖν. ὁδηγὸν ἔχων τὸν μενέ-
λαον τὸν καὶ τῶν νόμων καὶ τῆς πατρίδος προδότην γεγονότα. καὶ
ταῖς μιαραῖς χερσὶ τὰ ἱερὰ σκεύη λαμβάνων. καὶ τὰ ὑπ' ἄλλων βα-
σιλέων ἀνατεθέντα πρὸς αὔξησιν καὶ δόξαν τοῦ τόπου, καὶ τιμήν.
καὶ ταῖς βεβήλοις χερσὶ συσσύρων ἐπεδίδου. καὶ ἐμετεωρίζετο τὴν
διάνοιαν ὁ ἀντίοχος. οὐ συνορῶν, ὅτι διὰ τὰς ἁμαρτίας τῶν τὴν
πόλιν οἰκούντων ἀπώργισται βραχέως ὁ δεσπότης. διὸ γέγονε
περὶ τὸν τόπον παρόρασις. εἰ δὲ μὴ συνέβαινε προσενέχεσθαι πολ-
λοῖς ἁμαρτήμασι καθάπερ ὁ ἡλιόδωρος ὁ πεμφθεὶς ὑπὸ σελεύ-
κου τοῦ βασιλέως ἐπὶ τὴν ἐπίσκεψιν τοῦ γαζοφυλακίου. οὗτος προα-
χθεὶς παραχρῆμα μαστιγωθεὶς ἀνετράπη τοῦ θράσους. ἀλλ' οὐ διὰ τὸν
τόπον τὸ ἔθνος, ἀλλὰ διὰ τὸ ἔθνος τὸν τόπον ὁ κύριος ἐξελέ-
ξατο. διόπερ καὶ αὐτὸς ὁ τόπος συμμετασχὼν τῶν τοῦ ἔθνους
δυσπετημάτων γενομένων, ὕστερον εὐεργετημάτων ὑπὸ τοῦ
κυρίου ἐκοινώνησε. καὶ ὁ καταλειφθεὶς ἐν τῇ τοῦ παντοκράτο-
ρος ὀργῇ. πάλιν ἐν τῇ τοῦ μεγάλου δεσπότου καταλλαγῇ, με-
τὰ πάσης δόξης ἐπανωρθώθη. ὁ γοῦν ἀντίοχος ὀκτακόσια πρὸς
τοῖς χιλίοις ἀπενεγκάμενος ἐκ τοῦ ἱεροῦ τάλαντα, θᾶττον
εἰς ἀντιόχειαν ἐχωρίσθη, οἰόμενος ἀπὸ τῆς ὑπερηφανίας
τὴν μὲν γῆν πλωτὴν, καὶ τὸ πέλαγος πορευτὸν θέσθαι, διὰ
τὸν μετεωρισμὸν τῆς καρδίας. κατέλιπε δὲ καὶ ἐπιστάτας

τοῦ κακοῦν τὸ γένος. ἐν μὲν ἱεροσολύμοις, φίλιππον, τὸ μὲν γένος φρύγα. τὸν δὲ τρόπον βαρβαρώτερον ἔχοντα τοῦ καταστήσαντος. ἐν δὲ γαριζὶν ἀνδρόνικον. πρὸς δὲ τούτοις μενέλαον, ὃς χείριστα τῶν ἄλλων ὑπερῄρετο τοῖς πολίταις. ἀπεχθῆ δὲ πρὸς τοὺς πολίτας ἰουδαίους ἔχων διάθεσιν. ἔπεμψε δὲ τὸν μυσάρχην ἀπολλώνιον μετὰ στρατεύματος. δισμυρίων πρὸς τοῖς δισχιλίοις. προστάξας τοὺς ἐν ἡλικίᾳ πάντας κατασφάξαι. τὰς δὲ γυναῖκας καὶ νεωτέρους πωλεῖν. οὗτος δὲ παραγενόμενος εἰς ἱεροσόλυμα καὶ τὸν εἰρηνικὸν ὑποκριθεὶς, ἐπέσχεν ἕως τῆς ἁγίας ἡμέρας τοῦ σαββάτου. καὶ λαβὼν ἀργοῦντας τοὺς ἰουδαίους, τοῖς ὑφ' ἑαυτὸν ἐξοπλησίαν παρήγγειλε. καὶ τοὺς ἐξελθόντας πάντας ἐπὶ τὴν θεωρίαν συνεξεκέντησε. καὶ εἰς τὴν πόλιν σὺν τοῖς ὅπλοις εἰσδραμὼν, ἱκανὰ κατέστρωσε πλήθη. ἰούδας δὲ ὁ μακκαβαῖος δέκατός που γενηθεὶς καὶ ἀναχωρήσας εἰς τὴν ἔρημον θηρίων τρόπον ἐν τοῖς ὄρεσι διέζη σὺν τοῖς μεθ' ἑαυτοῦ. καὶ τὴν χορτώδη τροφὴν σιτούμενοι διετέλουν, πρὸς τὸ μὴ μετασχεῖν τοῦ μολυσμοῦ.

## Κεφάλαιον ·ς· 6.

μ Ετ' οὐ πολὺν δὲ χρόνον ἐξαπέστειλεν ὁ βασιλεὺς γέροντα ἀθηναῖον ἀναγκάζειν τοὺς ἰουδαίους μεταβαίνειν ἐκ τῶν πατρῴων νόμων, καὶ τοῖς τοῦ θεοῦ νόμοις μὴ πολιτεύεσθαι. μολῦναι δὲ καὶ τὸν ἐν ἱεροσολύμοις νεὼν, καὶ προσονομάσαι διὸς ὀλυμπίου. καὶ τὸν ἐν γαριζὶν καθὼς ἐτύγχανον οἱ τὸν τόπον οἰκοῦντες, διὸς ξενίου. χαλεπὴ δὲ καὶ τοῖς ὄχλοις ἦν καὶ δυσχερὴς ἡ ἐπίτασις τῆς κακίας. τὸ μὲν γὰρ ἱερὸν ἀσωτίας, καὶ κώμων ἐπεπληροῦτο ὑπὸ τῶν ἐθνῶν. ῥαθυμούντων μεθ' ἑταιρῶν, καὶ ἐν τοῖς ἱεροῖς περιβόλοις, γυναιξὶ πλησιαζόντων, ἔτι δὲ τὰ μὴ καθήκοντα ἔνδον φερόντων. τὸ δὲ θυσιαστήριον τοῖς ἀποδιεσταλμένοις ἀπὸ τῶν νόμων ἀθεμίτοις ἐπεπλήρωτο. ἦν δ' οὔτε σαββατίζειν, οὔτε πατρῴους ἑορτὰς διαφυλάττειν. οὔτε ἁπλῶς ἰουδαῖον ὁμολογεῖν εἶναι. ἤγοντο δὲ μετὰ πικρᾶς ἀνάγκης εἰς τὴν κατὰ

μῆνα

μῆνα, τοῦ βασιλέως γενέθλιον ἡμέραν, εἰς σπλαγχνισμόν. γενομένης δὲ διονυσίων ἑορτῆς· ἠναγκάζοντο οἱ ἰουδαῖοι κισσοὺς ἔχοντες πομπεύειν τῷ διονύσῳ. ψήφισμα δὲ ἐξέπεσεν εἰς τὰς ἀστυγείτονας πόλεις ἑλληνίδας. Πτολεμαίου ὑποτιθεμένου τὴν αὐτὴν ἀγωγὴν κατὰ τῶν ἰουδαίων ἄγειν. καὶ σπλαγχνίζειν. τοὺς δὲ μὴ προαιρουμένους μεταβαίνειν εἰς τὰ ἑλληνικὰ, κατασφάζειν. παρῆν οὖν ὁρᾶν τὴν ἐνεστῶσαν ταλαιπωρίαν. δύο γὰρ γυναῖκες ἀνήχθησαν περιτετμηκυῖαι τὰ τέκνα αὐτῶν. τούτων δὲ ἐκ τῶν μαστῶν κρεμάσαντες τὰ βρέφη καὶ δημοσίᾳ περιαγαγόντες αὐτὰς τὴν πόλιν, καὶ τὰ τοῦ τείχους ἐκρήμνισαν. ἕτεροι δὲ πλησίον συνδραμόντες εἰς τὰ σπήλαια λεληθότως ἄγειν τὴν ἑβδομάδα. μηνυθέντες τῷ φιλίππῳ συνεφλογίσθησαν, διὰ τὸ εὐλαβῶς ἔχειν βοηθῆσαι ἑαυτοῖς κατὰ τὴν δόξαν τῆς σεμνοτάτης ἡμέρας. παρακαλῶ οὖν τοὺς ἐντυγχάνοντας τῇ δὲ τῇ βίβλῳ μὴ συστέλλεσθαι διὰ τὰς συμφοράς. λογίζεσθαι δὲ τὰς τιμωρίας μὴ πρὸς ὄλεθρον, ἀλλὰ πρὸς παιδείαν τοῦ γένους ἡμῶν εἶναι. καὶ γὰρ μὴ πολὺν χρόνον ἐᾶσθαι τοὺς δυσσεβοῦντας ἀλλ' εὐθέως περιπίπτειν ἐπιτιμίοις. μεγάλης εὐεργεσίας σημεῖόν ἐστιν. οὐ γὰρ καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἐθνῶν ἀναμένει μακροθυμῶν ὁ δεσπότης, μέχρι τοῦ καταντήσαντας αὐτοὺς πρὸς ἐκπλήρωσιν ἁμαρτιῶν κολάσαι, οὕτω καὶ ἐφ' ἡμῶν ἔκρινεν εἶναι. ἵνα μὴ πρὸς τέλος ἀφικομένων ἡμῶν τῶν ἁμαρτιῶν. ὕστερον ἡμᾶς ἐκδικῇ. διόπερ οὐδέποτε μὲν τὸν ἔλεον ἀφ' ἡμῶν ἀφίστησι. παιδεύων δὲ μετὰ συμφορᾶς οὐκ ἐγκαταλείπει τὸν ἑαυτοῦ λαόν. πλὴν ἕως ὑπομνήσεως ταῦθ' ἡμῖν εἰρήσθω. δι' ὀλίγων δ' ἐλευστέον ἐπὶ τὴν διήγησιν. Ἐλεάζαρός τις τῶν πρωτευόντων γραμματέων, ἀνὴρ ἤδη προβεβηκὼς τὴν ἡλικίαν. καὶ τὴν πρόσοψιν τοῦ προσώπου κάλλιστος τυγχάνων, ἀναχανὼν ἠναγκάζετο φαγεῖν ὕειον κρέας. ὁ δὲ τὸν μετ' εὐκλείας θάνατον μᾶλλον, ἢ τὸν μετὰ μύσους βίον ἀναδεξάμε-

μενος, αὐθαιρέτως ἐπὶ τὸ τύμπανον προσῆγε. προπτύσας δὲ καθ' ὃν ἔδει τρόπον προσέρχεσθαι τοὺς ὑπομένοντας ἀμύνεσθαι. ὧν οὐθέμις γεύσασθαι διὰ τὴν πρὸς τὸ ζῆν φιλοστοργίαν. οἱ δὲ πρὸς τῷ παρανόμῳ σπλαγχνισμῷ τεταγμένοι, διὰ τὴν ἐκ τῶν παλαιῶν χρόνων πρὸς τὸν ἄνδρα γνῶσιν, ὑπολαβόντες αὐτὸν, κατ' ἰδίαν παρεκάλουν. ἐνέγκαντα κρέα οἷς καθῆκον αὐτῷ χρήσασθαι δι' αὐτοῦ παρασκευασθέντα. ὑποκριθῆναι δὲ ὡς ἐσθίοντα τὰ ὑπὸ τοῦ βασιλέως προστεταγμένα τῶν ἀπὸ τῆς θυσίας κρεῶν. ἵνα τοῦτο πράξας ἀπολυθῇ τοῦ θανάτου. καὶ διὰ τὴν ἀρχαίαν πρὸς αὐτοὺς φιλίαν, τύχῃ φιλανθρωπίας. ὁ δὲ, λογισμὸν ἀστεῖον ἀναλαβὼν, καὶ ἄξιον τῆς ἡλικίας. καὶ τῆς τοῦ γήρως ὑπεροχῆς, καὶ τῆς ἐπικτήτου, καὶ ἐπιφανοῦς πολιᾶς. καὶ τῆς ἐκ παιδὸς καλλίστης ἀναστροφῆς. μᾶλλον δὲ τῆς ἁγίας καὶ θεοκτίστου νομοθεσίας ἀκολούθως, ἀπεφήνατο ταχέως. λέγων προπέμπειν εἰς τὸν ᾅδην. οὐ γὰρ τῆς ἡμετέρας ἡλικίας ἄξιόν ἐστιν ὑποκριθῆναι. ἵνα πολλοὶ τῶν νέων ὑπολαβόντες, Ἐλεάζαρον τὸν ἐνενηκονταετῆ μεταβεβηκέναι εἰς ἀλλοφυλισμόν. καὶ αὐτοὶ διὰ τὴν ἐμὴν ὑπόκρισιν καὶ διὰ τὸ μικρὸν, καὶ ἀκαίρεον ζῆν. πλανηθῶσι δι' ἐμέ. καὶ μῦσος καὶ κηλῖδα τοῦ γήρως κατακτήσωμαι. εἰ γὰρ καὶ ἐπὶ τοῦ παρόντος ἐξελοῦμαι τὴν ἐξ ἀνθρώπων τιμωρίαν, ἀλλὰ τὰς τοῦ παντοκράτορος χεῖρας. οὔτε ζῶν, οὔτε ἀποθανὼν ἐκφεύξομαι. διόπερ ἀνδρείως μὲν νῦν διαλλάξας τὸν βίον, τοῦ μὲν γήρως ἄξιος φανήσομαι, τοῖς δὲ νέοις, ὑπόδειγμα γενναῖον καταλελοιπὼς εἰς τὸ προθύμως, καὶ γενναίως ὑπὲρ τῶν σεμνῶν καὶ ἁγίων νόμων, ἀπευθανατίζειν. τοσαῦτα δὲ εἰπὼν ἐπὶ τὸ τύμπανον εὐθέως ἦλθε. τῶν δὲ ἀγόντων πρὸς αὐτὸν τὴν μικρῷ πρότερον εὐμένειαν, εἰς δυσμένειαν μεταβαλόντων διὰ τῶν προειρημένων λόγων, ὡς αὐτοὶ διελάμβανον ἀπόνοιαν εἶναι. μέλλων δὲ ταῖς πληγαῖς τελευτᾶν. ἀναστενάξας εἶπε. τῷ κυρίῳ τῷ τὴν ἁγίαν γνῶσιν ἔχοντι, φανερόν ἐστιν, ὅτι δυνάμενος ἀπολυθῆναι

τοῦ θανάτου, σκληρὰς ὑποφέρω κατὰ τὸ σῶμα ἀλγηδόνας μασ-
τιγούμενος· κατὰ ψυχὴν δὲ, ἡδέως διὰ τὸν αὐτοῦ φόβον ταῦτα
πάσχω. καὶ οὗτος οὖν τοῦτον τὸν τρόπον μετήλλαξεν. οὐ μόνον τοῖς
νέοις, ἀλλὰ καὶ τοῖς πλείοσι τοῦ ἔθνους τὸν ἑαυτοῦ θάνατον, ὑπό-
δειγμα γενναιότατος καὶ μνημόσυνον ἀρετῆς καταλιπών.

Κεφ. ζ. 7.

Συνέβη δὲ καὶ ἑπτὰ ἀδελφοὺς μετὰ τῆς μητρὸς συλλη-
φθέντας ἀναγκάζεσθαι ὑπὸ τοῦ βασιλέως ἀπὸ τῶν ἀ-
θεμίτων ὑείων κρεῶν ἐφάπτεσθαι, μάστιξι καὶ νευ-
ραῖς αἰκιζομένους. εἷς δὲ αὐτῶν γενόμενος προήγορος, οὕτως
ἔφη· τί μέλλεις ἐρωτᾶν, καὶ μανθάνειν παρ᾿ ἡμῶν. ἕτοιμοι γὰρ
ἀποθνήσκειν ἐσμὲν, ἢ παραβαίνειν τοὺς πατρίους νόμους. ἔκθυ-
μος δὲ γενόμενος ὁ βασιλεὺς, προσέταξε τήγανα, καὶ λέβη-
τας ἐκπυροῦν. τῶν δὲ, ἐκπυρωθέντων παραχρῆμα τὸν γενόμε-
νον αὐτῶν προήγορον, προσέταξε γλωσσοτομεῖν. καὶ περισκυθί-
σαντας, ἀκρωτηριάζειν. τῶν λοιπῶν ἀδελφῶν, καὶ τῆς μητρὸς συ-
νορώντων ἄχρηστον δὲ αὐτὸν τοῖς ὅλοις γενόμενον, ἐκέλευσε τῇ
πυρᾷ προσάγειν ἔμπνουν, καὶ τηγανίζειν. τῆς δὲ ἀτμίδος, ἐφ᾿
ἱκανὸν διαδιδούσης τοῦ τηγάνου, ἀλλήλους παρεκάλουν σὺν
τῇ μητρὶ γενναίως τελευτᾶν. λέγοντες οὕτως. ὁ κύριος ὁ θε-
ὸς ἐφορᾷ, καὶ ταῖς ἀληθείαις ἐφ᾿ ἡμῖν παρακαλεῖται. καθά-
περ διὰ τῆς κατὰ πρόσωπον ἀντιμαρτυρούσης ᾠδῆς, διεσά-
φησε μωϋσῆς λέγων. καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθή-
σεται. μεταλλάξαντος δὲ τοῦ πρώτου τὸν τρόπον τοῦτον, τὸν
δεύτερον ἦγον ἐπὶ τὸν ἐμπαιγμόν. καὶ τὸ τῆς κατὰ δέρμης σὺν
ταῖς θριξὶ περισύραντες, ἐπηρώτων, εἰ φάγεσαι πρὸ τοῦ τι-
μωρηθῆναι τὸ σῶμα κατὰ μέλος. ὁ δὲ ἀποκριθεὶς τῇ πα-
τρίῳ φωνῇ προσεῖπεν, οὐχί. διόπερ καὶ οὗτος τὴν ἑξῆς ἔλα-
βε βάσανον, ὡς ὁ πρῶτος. ἐν ἐσχάτῃ δὲ πνοῇ γενόμενος εἶπε.
σὺ μὲν ἀλάστορ ἐκ τοῦ παρόντος ἡμᾶς ζῆν ἀπολύεις. ὁ δὲ τοῦ κό-

σμου βασιλεὺς, ἀποθανόντας ἡμᾶς ὑπὲρ τῶν αὐτοῦ νόμων, εἰς
αἰώνιον ἀναβίωσιν ζωῆς ἡμᾶς ἀναστήσει. μετὰ δὲ τοῦτον, ὁ τρί
τος ἐνεπαίζετο. καὶ τὴν γλῶσσαν αἰτηθεὶς ταχέως προέβαλε,
καὶ τὰς χεῖρας εὐθαρσῶς προέτεινε, καὶ γενναίως εἶπεν, ἐξ οὐ
ρανοῦ ταῦτα κέκτημαι καὶ διὰ τοὺς αὐτοῦ νόμους ὑπερορῶ
ταῦτα. καὶ παρ᾽ αὐτοῦ ταῦτα πάλιν ἐλπίζω κομίσασθαι. ὥσ
τε αὐτὸν τὸν βασιλέα καὶ τοὺς σὺν αὐτῷ, ἐκπλήττεσθαι
τὴν τοῦ νεανίσκου ψυχήν. ὡς ἐν οὐδενὶ τὰς ἀλγηδόνας ἐτίθετο.
καὶ τούτου δὲ μεταλλάξαντος, τὸν τέταρτον ὡσαύτως ἐβασά
νιζον αἰκιζόμενοι. καὶ γενόμενος πρὸς τὸ τελευτᾶν, οὕτως ἔ
φη. αἱρετὸν μεταλλάσσοντα τὰς ἀπ᾽ ἀνθρώπων, τὰς ὑπὸ τοῦ θεοῦ
προσδοκᾶν ἐλπίδας, πάλιν ἀναστήσεσθαι ὑπ᾽ αὐτοῦ. σοὶ μὲν
γὰρ ἀνάστασις εἰς ζωὴν οὐκ ἔσται. ἐχομένως δὲ τὸν πέμπτον προ
σάγοντες ἠκίζοντο. ὁ δὲ πρὸς αὐτὸν ἰδὼν εἶπεν. ἐξουσίαν ἐν
ἀνθρώποις ἔχων φθαρτὸς ὤν, ὃ θέλεις ποιεῖς. μὴ δόκει δὲ τὸ
γένος ἡμῶν, ὑπὸ τοῦ θεοῦ καταλελεῖφθαι. σὺ δὲ καρτέρει. καὶ
θεώρει τὸ μεγαλεῖον αὐτοῦ κράτος. ὡς σὲ καὶ τὸ σπέρμα σου βα
σανιεῖ. μετὰ δὲ τοῦτον, ἦγον τὸν ἕκτον. καὶ μέλλων ἀποθνή
σκειν ἔφη. μὴ πλανῶ μάτην. ἡμεῖς καὶ δι᾽ ἑαυτοὺς ταῦτα πά
σχομεν ἁμαρτάνοντες εἰς τὸν ἑαυτῶν θεὸν, ἄξια καὶ θαυμα
σμοῦ γέγονε. σὺ δὲ μὴ νομίσῃς ἀθῶος ἔσεσθαι θεομαχεῖν ἐ
πιχειρήσας. ὑπεραγόντως δὲ ἡ μήτηρ θαυμαστὴ, καὶ μνήμης
ἀγαθῆς ἀξία. ἥτις ἀπολλυμένους υἱοὺς ἑπτὰ συνορῶσα μιᾶς ὑ
πὸ καιρὸν ἡμέρας, εὐψύχως ἔφερε διὰ τὰς ἐπὶ κύριον ἐλπί
δας. ἕκαστον δὲ αὐτῶν, παρεκάλει τῇ πατρίῳ φωνῇ γενναίῳ πε
πληρωμένη φρονήματι. καὶ τὸν θῆλυν λογισμὸν ἄρσενι θυμῷ
διεγείρασα. λέγουσα πρὸς αὐτοὺς οὐκ οἶδ᾽ ὅπως εἰς τὴν ἐ
μὴν ἐφάνητε κοιλίαν οὐ δὲ ἐγὼ τὸ πνεῦμα, καὶ τὴν ζωὴν ὑ
μῖν ἐχαρισάμην. καὶ τὴν ἑκάστου στοιχείωσιν οὐκ ἐγὼ διερρύθμι
σα. τοιγαροῦν ὁ τοῦ κόσμου κτίσης, ὁ πλάσας ἀνθρώπου γένεσιν,

καὶ πάντων ἐξευρὼν γένεσιν, καὶ τὸ πνεῦμα καὶ τὴν ζωὴν ὑμῖν, πάλιν ἀποδίδωσι μετ' ἐλέους. ὡς νῦν ὑπερορᾶτε ἑαυτοὺς διὰ τοὺς αὐτοῦ νόμους. ὁ δὲ Ἀντίοχος οἰόμενος καταφρονεῖσθαι, καὶ τὴν ὀνειδίζουσαν ὑφορώμενος φωνὴν, ἔτι τοῦ νεωτέρου περιόντος. οὐ μόνον διὰ λόγων ἐποιεῖτο τὴν παράκλησιν, ἀλλὰ καὶ δι' ὅρκων ἐπίσου, ἅμα πλουτιεῖν, καὶ μακαριστὸν ποιήσειν. μεταθέμενον ἀπὸ τῶν πατρίων, καὶ φίλον ἕξειν καὶ χρείας ἐμπιστεύσειν. τοῦ δὲ νεανίου μηδαμῶς προσέχοντος, προσκαλεσάμενος ὁ βασιλεὺς τὴν μητέρα παρῄνει τοῦ μειρακίου γενέσθαι σύμβουλον ἐπὶ σωτηρίᾳ. πολλὰ δὲ αὐτοῦ παραινέσαντος, ἐπεδέξατο πείσειν τὸν υἱὸν, προσκύψασα δὲ αὐτῷ χλευάσασα τὸν ὠμοτύραννον, οὕτως ἔφησε τῇ πατρίῳ φωνῇ. υἱὲ ἐλέησόν με τὴν ἐν γαστρὶ περιενέγκασάν σε μῆνας ἐννέα, καὶ θηλάσασάν σε ἔτη τρία, καὶ ἐκθρέψασάν σε, καὶ ἀγαγοῦσαν εἰς τὴν ἡλικίαν ταύτην, καὶ τροφορήσασάν σε. ἀξιῶ σε τέκνον ἀναβλέψαντα εἰς τὸν οὐρανὸν, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα ἰδόντα. γνῶναι ὅτι ἐξ οὐκ ὄντων ἐποίησεν αὐτὰ ὁ θεός. καὶ τὸ τῶν ἀνθρώπων γένος οὕτως γεγένηται. μὴ φοβηθῇς τὸν δήμιον τοῦτον, ἀλλὰ τῶν ἀδελφῶν ἄξιος γενόμενος ἐπίδεξαι τὸν θάνατον ἵνα ἐν τῷ ἐλέει σὺν τοῖς ἀδελφοῖς σου κομίσωμαί σε. ἔτι δὲ ταύτης καταλεγούσης ὁ νεανίας εἶπε. τίνα μένετε, οὐχ ὑπακούω τοῦ προστάγματος τοῦ βασιλέως. τοῦ δὲ προστάγματος ἀκούω τοῦ νόμου τοῦ δοθέντος τοῖς πατράσιν ἡμῶν διὰ Μωϋσέως. σὺ δὲ πάσης κακίας εὑρετὴς γενόμενος εἰς τοὺς Ἑβραίους, οὐ μὴ διαφύγῃς τὰς χεῖρας τοῦ θεοῦ. ἡμεῖς γὰρ διὰ τὰς ἑαυτῶν ἁμαρτίας πάσχομεν. εἰ δὲ χάριν ἐπιπλήξεως καὶ παιδείας ὁ ζῶν κύριος ἡμῶν βραχέως ἐπώργισαι. καὶ πάλιν καταλλαγήσεται τοῖς ἑαυτοῦ δούλοις. σὺ δὲ ὦ ἀνόσιε. καὶ πάντων ἀνθρώπων μιαρώτατε, μὴ μάτην μετεωρίζου φρυαττόμενος ἀδήλοις ἐλπίσιν, ἐπὶ τοὺς οὐρανίους παῖδας ἐπαιρόμενος χεῖρα. οὔπω γὰρ τὴν τοῦ παντο-

κράτορος ἐπόπτου θεοῦ κρίσιν ἐκπέφευγας. οἱ μὲν γὰρ νῦν ἡμέ-
τεροι ἀδελφοὶ βραχὺν ὑπενέγκαντες πόνον. ἀενάου ζωῆς ὑπὸ
διαθήκην θεοῦ πεπτώκασι. σὺ δὲ τῇ τοῦ θεοῦ κρίσει δίκαια τὰ πρό-
στιμα τῆς ὑπερηφανίας ἀποίσῃ. ἐγὼ δὲ καθάπερ οἱ ἀδελφοί,
καὶ σῶμα καὶ ψυχὴν προδίδωμι περὶ τῶν πατρίων νόμων. ἐ-
πικαλούμενος τὸν θεὸν ἵλεων ταχὺ τῷ ἔθνει γενέσθαι. καὶ σὲ με-
τὰ ἐτασμῶν καὶ μαστίγων ἐξομολογήσασθαι. διότι μόνος αὐ-
τὸς θεός ἐστιν. ἐν ἐμοὶ δὲ καὶ τοῖς ἀδελφοῖς μου στῆσαι τὴν τοῦ
παντοκράτορος ὀργὴν τὴν ἐπὶ τὸ σύμπαν ἡμῶν γένος δικαί-
ως ἐπηγμένην. ἔκθυμος δὲ γενόμενος ὁ βασιλεὺς, τούτῳ πα-
ρὰ τοὺς ἄλλους χειρίστως ἀπήντησε πικρῶς φέρων ἐπὶ τῷ μυ-
κτηρισμῷ. καὶ οὗτος οὖν καθαρῶς τὸν βίον μετήλλαξε παντελῶς
ἐπὶ τῷ κυρίῳ πεποιθώς. ἐσχάτη δὲ τῶν υἱῶν ἡ μήτηρ ἐτελεύ-
τησε. τὰ μὲν οὖν περὶ σπλαγχνισμοὺς, καὶ τὰς ὑπερβαλλού-
σας αἰκίας ἐπὶ τοσοῦτον δεδηλώσθω.

Κεφάλ. η. S.

Ἰούδας δὲ ὁ μακκαβαῖος καὶ οἱ σὺν αὐτῷ παρει-
ε σπορευόμενοι λεληθότως εἰς τὰς κώμας, προσεκα-
λοῦντο τοὺς συγγενεῖς, καὶ τοὺς μεμενηκότας ἐν τῷ
ἰουδαϊσμῷ προσλαβόμενοι συνήγαγον εἰς ἑξακισχιλίους, καὶ
ἐπεκαλοῦντο τὸν κύριον ἐπιδεῖν τὸν ὑπὸ πάντων καταπονούμε-
νον λαόν. οἰκτεῖραι δὲ καὶ τὸν ναὸν τὸν ὑπὸ τῶν ἀσεβῶν ἀνθρώ-
πων βεβηλωθέντα. ἐλεῆσαι δὲ καὶ τὴν καταφθειρομένην πό-
λιν καὶ μέλλουσαν ἰσόπεδον γίνεσθαι. καὶ τῶν καταβοώντων
πρὸς αὐτὸν αἱμάτων εἰσακοῦσαι. μνησθῆναι δὲ καὶ τῆς τῶν
ἀμαρτημάτων νηπίων παρανόμου ἀπωλείας. καὶ περὶ τῶν γενομέ-
νων εἰς τὸ ὄνομα αὐτοῦ βλασφημιῶν. καὶ μισοπονηρῆσαι. γενόμε-
νος δὲ ἐν συστήματι ὁ μακκαβαῖος ἀνυπόστατος ἤδη τοῖς ἔθνεσιν
ἐγίνετο. τῆς ὀργῆς τοῦ κυρίου εἰς ἔλεον τραπείσης. πόλεις δὲ καὶ κώ-
μας ἀπροσδοκήτως ἐρχόμενος, ἐνεπίμπρα. καὶ τοὺς ἐπικαίρους

τόπους ἀπολαμβάνων. οὐκ ὀλίγους τῶν πολεμίων ἐνίκα τροπού-
μενος. μάλιστα τὰς νύκτας πρὸς τὰς τοιαύτας ἐπιβουλὰς συνερ-
γοὺς ἐλάμβανε. καὶ λαλιά τις τῆς εὐανδρίας αὐτοῦ διεχεῖτο παντα-
χῆ. συνορῶν δὲ ὁ Φίλιππος κατὰ μικρὸν εἰς προκοπὴν ἐρχό-
μενον τὸν ἄνδρα, πυκνότερον δὲ ἐν ταῖς εὐημερίαις προβαίνον-
τα. πρὸς Πτολεμαῖον τὸν κοίλης Συρίας καὶ Φοινίκης στρατηγὸν
ἔγραψεν ἐπιβοηθεῖν τοῖς τοῦ βασιλέως πράγμασιν. ὁ δὲ, τα-
χέως προχειρισάμενος Νικάνορα τὸν τοῦ Πατρόκλου τῶν πρώτων
φίλων ἀπέστειλεν. ὑποτάξας παμφύλων οὐκ ἔθνη ἐλάττους τῶν δι-
σμυρίων, τὸ σύμπαν τῶν Ἰουδαίων ἐξᾶραι γένος. συνέστησε δὲ
αὐτῷ καὶ Γοργίαν. ἄνδρα στρατηγὸν, καὶ ἐν πολεμικαῖς χρεί-
αις πεῖραν ἔχοντα. διεστήσατο δὲ ὁ Νικάνωρ τὸν φόρον τῷ βα-
σιλεῖ, τοῖς Ῥωμαίοις ὄντα ταλάντων δισχιλίων ἐκ τῆς τῶν Ἰου-
δαίων αἰχμαλωσίας ἐκπλήρωσιν. εὐθέως δὲ εἰς τὰς παραθα-
λασσίους πόλεις ἀπέστειλε προσκαλούμενος ἐπ' ἀγορασμὸν Ἰου-
δαίων σωμάτων. ὑπισχνούμενος ἐνενήκοντα σώματα ταλάν-
του παραχωρήσειν. οὐ προσδεχόμενος τὴν παρὰ τοῦ παντο-
κράτορος μέλλουσαν παρακολουθήσειν ἐπ' αὐτῷ δίκην. τῷ δὲ
Ἰούδᾳ προσέπεσε περὶ τῆς τοῦ Νικάνορος ἐφόδου. καὶ μεταδόντος
αὐτοῦ τοῖς σὺν αὐτῷ τὴν παρουσίαν τοῦ στρατοπέδου οἱ δειλαν-
δροῦντες καὶ ἀπιστοῦντες τὴν τοῦ θεοῦ δίκην, διεδίδρασκον, καὶ ἐξε-
τόπιζον ἑαυτούς. οἱ δὲ, τὰ περιλελειμμένα πάντα ἐπώλουν. ὁμοῦ
δὲ τὸν κύριον ἠξίουν, ῥύσασθαι τοὺς ὑπὸ τοῦ δυσσεβοῦς Νικάνορος
πρὶν συντυχεῖν πεπραμένους. καὶ εἰ μὴ δι' αὐτοὺς, ἀλλὰ διὰ τὰς
πρὸς τοὺς πατέρας αὐτῶν διαθήκας. καὶ ἕνεκεν τῆς ἐπ' αὐτοὺς ἐ-
πικλήσεως τοῦ σεμνοῦ καὶ μεγαλοπρεποῦς ὀνόματος αὐτοῦ. συ-
ναγαγὼν δὲ ὁ Μακκαβαῖος τοὺς περὶ αὐτὸν, ὄντας τὸν ἀριθμὸν ἑξα-
κισχιλίους, παρεκάλει μὴ καταπλαγῆναι τοὺς πολεμίους. μη-
δὲ εὐλαβεῖσθαι τὴν τῶν ἀδίκως παραγινομένων ἐπ' αὐτοὺς ἐ-
θνῶν πολυπλήθειαν. ἀγωνίσασθαι δὲ γενναίως πρὸ ὀφθαλμῶν

λαβόντες τὴν ἀνόμως εἰς τὸν ἅγιον τόπον συντετελεσμένην
ὑπ' αὐτῶν ὕβριν· καὶ τὸν τῆς ἐμπεπαιγμένης πόλεως αἰκισμόν
ἔτι δὲ, τὴν τῆς προγονικῆς πολιτείας κατάλυσιν. οἱ μὲν καὶ ὅ
πλοις πεποίθασιν ἅμα, καὶ τόλμαις ἔφησαν. ἡμεῖς καὶ ἐπὶ τῷ
παντοκράτορι θεῷ δυναμένῳ καὶ τοὺς ἐρχομένους ἐφ' ἡμᾶς, καὶ
τὸν ὅλον κόσμον ἐν ἑνὶ νεύματι καταβαλεῖν, πεποίθαμεν. προσα
ναλεξάμενος δὲ αὐτοῖς καὶ τὰς ἐπὶ τῶν προγόνων γενομένας ἀν
τιλήψεις, καὶ τὴν ἐπὶ σενναχηρεὶμ ἑκατὸν ὀγδοηκονταπέντε,
ὡς ἀπώλοντο καὶ τὴν ἐν τῇ βαβυλωνίᾳ τὴν πρὸς αὐτοὺς γαλά
τας παράταξιν γενομένην, ὡς οἱ πάντες ἐπὶ τὴν χρείαν ἦλθον
ὀκτακισχίλιοι σὺν μακεδόσι, τετρακισχιλίοις τῶν μακεδόνων
ἀπορουμένων, οἱ ὀκτακισχίλιοι, τὰς δώδεκα μυριάδας ἀπώλε
σαν διὰ τὴν γενομένην αὐτοῖς ἀπ' οὐρανοῦ βοήθειαν, καὶ ὠφέ
λειαν πολλὴν ἔλαβον ὑπερπαμπληθῆ ἐφ' οἷς εὐθαρσεῖς αὐ
τοὺς παραστήσας, καὶ ἑτοίμους ὑπὲρ τῶν νόμων, καὶ τῆς πατρίδος
ἀποθνήσκειν. τετραμερές τε τὸ στράτευμα ἐποίησε. τάξας καὶ
τοὺς ἀδελφοὺς αὐτοῦ προηγουμένους ἑκατέρας τάξεως σίμωνα, καὶ
ἰώσηφον, καὶ ἰωνάθαν. ὑποτάξας ἑκάστῳ χιλίους πρὸς τοῖς πεν
τακοσίοις. ἔτι δὲ καὶ ἐλεάζαρον παραγνῶναι τὴν ἱερὰν βίβλον
καὶ δοὺς σύνθημα θεοῦ βοηθείας, τῆς πρώτης σπείρας, αὐτὸς προη
γούμενος, συνέβαλε τῷ νικάνορι. γενομένου δὲ αὐτοῖς τοῦ παν
τοκράτορος συμμάχου, κατέσφαξαν τῶν πολεμίων ὑπὲρ τοὺς
ἐννακισχιλίους. τραυματίας, καὶ τοῖς μέλεσιν ἀναπήρους, τὸ πλεῖ
στον μέρος τῆς τοῦ νικάνορος στρατιᾶς ἐποίησαν, πάντας δὲ, φυ
γεῖν ἠνάγκασαν. τὰ δὲ χρήματα τῶν παραγεγονότων ἐπὶ τὸν ἀγο
ρασμὸν αὐτῶν ἔλαβον συνδιώξαντες δὲ αὐτοὺς ἐφ' ἱκανὸν ἀνέ
λυσαν, ὑπὸ τῆς ὥρας συγκλειόμενοι. ἦν γὰρ ἡ πρὸ τοῦ σαββάτου
δι' ἣν αἰτίαν, οὐκ ἐμακροθύμησαν κατατρέχοντες αὐτούς. ὁπλολο
γήσαντες αὐτοὺς καὶ τὰ σκῦλα ἐκδύσαντες τῶν πολεμίων πε
ρὶ τὸ σάββατον ἐγίνοντο περισσῶς εὐλογοῦντες, καὶ ἐξομολογοῦ

μενοι τῷ κυρίῳ τῷ διασώσαντι εἰς τὴν ἡμέραν ταύτην, ἀρχὴν ἐλέους τάξαντι αὐτοῖς. μετὰ δὲ τὸ σάββατον τοῖς ᾐκισμένοις, καὶ ταῖς χήραις καὶ ὀρφανοῖς μερίσαντες ἀπὸ τῶν σκύλων, τὰ λοιπὰ αὐτοὶ καὶ τὰ παιδία ἐμερίσαντο. ταῦτα καὶ διαπραξάμενοι, καὶ κοινὴν ἱκετείαν ποιησάμενοι, τὸν ἐλεήμονα κύριον ἠξίουν, εἰς τέλος, καταλλαγῆναι τοῖς αὐτοῦ δούλοις. καὶ τοὺς περὶ τιμόθεον καὶ βακχίδην συνερείσαντες, ὑπὲρ τοὺς δισμυρίους αὐτῶν ἀνεῖλον. καὶ ὀχυρωμάτων ὑψηλῶν εὖ μάλα ἐγκρατεῖς ἐγένοντο. καὶ λάφυρα πλεῖστα ἐμερίσαντο. ἰσομοίρους ἑαυτοὺς καὶ τοῖς ᾐκισμένοις καὶ ὀρφανοῖς καὶ χήραις ἔτι δὲ καὶ πρεσβυτέροις ποιήσαντες. ὁπλολογήσαντες δὲ αὐτοὺς, ἐπιμελῶς, πάντα συνέθηκαν εἰς τοὺς ἐπικαίρους τόπους. τὰ δὲ λοιπὰ τῶν σκύλων ἤνεγκαν εἰς ἱεροσόλυμα. τὸν δὲ φυλάρχην τῶν περὶ τιμόθεον ἀνεῖλον. ἀνοσιώτατον ἄνδρα, καὶ πολλὰ τοὺς ἰουδαίους ἐπιλελυπηκότα. ἐπινίκια δὲ ἄγοντες ἐν τῇ πατρίδι, τὸν ἐμπρήσαντα τοὺς ἱεροὺς πυλῶνας καλλισθένην ὑφῆψαν εἰς ἓν οἰκίδιον πεφευγότα, καὶ τὸν ἄξιον τῆς δυσσεβείας ἐκομίσατο μισθόν. ὁ δὲ τρισαλιτήριος νικάνωρ ὁ τοὺς χιλίους ἐμπόρους ἐπὶ τὴν πρᾶσιν τῶν ἰουδαίων ἀγαγών, ταπεινωθεὶς ὑπὸ τῶν κατ᾽ αὐτὸν νομιζομένων ἐλαχίστων εἶναι, τῇ τοῦ κυρίου βοηθείᾳ τὴν δοξικὴν ἀποθέμενος ἐσθῆτα. διὰ τῆς μεσογείου δραπέτου τρόπον ἔρημον ἑαυτὸν ποιήσας ἧκεν εἰς ἀντιόχειαν ὑπεράγαν δυσημερήσας ἐπὶ τῇ τοῦ στρατοῦ διαφθορᾷ. καὶ ὁ τοῖς ῥωμαίοις ἀναδεξάμενος φόρον ἀπὸ τῆς τῶν ἐν ἱεροσολύμοις αἰχμαλωσίας κατορθώσασθαι, κατήγγελλεν ὑπέρμαχον ἔχειν τοὺς ἰουδαίους. καὶ διὰ τὸν τρόπον τοῦτον ἀτρώτους εἶναι τοὺς ἰουδαίους. διὰ τὸ ἀκολουθεῖν τοῖς ὑπ᾽ αὐτοῦ προτεταγμένοις νόμοις.

Κεφάλαιον. θ. 9.

Περὶ δὲ τὸν καιρὸν ἐκεῖνον ἐτύγχανεν ἀντίοχος ἀναλελυκὼς ἀκόσμως ἐκ τῶν κατὰ τὴν περσίδα τόπων. εἰσεληλύθει γὰρ εἰς τὴν λεγομένην περσέπολιν, καὶ ἐπεχείρησεν ἱεροσυλεῖν καὶ τὴν πόλιν συνέχειν. διὸ δὴ τῶν πληθῶν ὁρμησάντων, ἐπὶ τὴν τῶν ὅπλων βοήθειαν, ἐτράπησαν. καὶ συνέβη τροπωθέντα τὸν ἀντίοχον ὑπὸ τῶν ἐγχωρίων, ἀσχήμονα τὴν ἀναζυγὴν ποιήσασθαι. ὄντι δὲ αὐτῷ κατ' ἐκβάτανα προσέπεσε τὰ κατὰ νικάνορα, καὶ τοὺς περὶ τιμόθεον γεγονότα. ἐπαρθεὶς δὲ τῷ θυμῷ, ᾤετο καὶ τὴν τῶν πεφυγαδευκότων αὐτὸν κακίαν εἰς τοὺς ἰουδαίους ἐναπερείσασθαι. διὸ συνέταξε τὸν ἁρματηλάτην ἀδιαλείπτως ἐλαύνοντα κατανύειν τὴν πορείαν. τῆς ἐξ οὐρανοῦ δὴ κρίσεως συνούσης αὐτῷ. οὕτω γὰρ ὑπερηφάνως εἶπε. πολυάνδριον ἰουδαίων ἱεροσόλυμα ποιήσω παραγενόμενος ἐκεῖ. ὁ δὲ παντοκράτωρ κύριος ὁ θεὸς τοῦ ἰσραὴλ ἐπάταξεν αὐτὸν ἀνιάτῳ, καὶ ἀοράτῳ πληγῇ. ἄρτι δὲ αὐτοῦ καταλήξαντος τὸν λόγον, ἔλαβεν αὐτὸν ἀνήκεστος τῶν σπλάγχνων ἀλγηδὼν, καὶ πικραὶ τῶν ἔνδον βάσανοι. πάνυ δικαίως τὸν πολλαῖς, καὶ ξενιζούσαις συμφοραῖς ἑτέρων σπλάγχνα βασανίσαντα. ὁ δ' οὐδαμῶς τῆς ἀγερωχίας ἔληγεν. ἔτι δὲ καὶ τῆς ὑπερηφανίας ἐπεπλήρωτο, πῦρ πνέων τοῖς θυμοῖς ἐπὶ τοὺς ἰουδαίους. καὶ κελεύων ἐποξύνειν τὴν πορείαν. συνέβη δὲ καὶ πεσεῖν αὐτὸν ἀπὸ τοῦ ἅρματος φερομένου ῥοίζῳ. καὶ δυσχερεῖ πτώματι περιπεσόντα πάντα τὰ μέλη τοῦ σώματος ἀποστρεβλοῦσθαι. ὁ δ' ἄρτι δοκῶν τοῖς τῆς θαλάσσης κύμασιν ἐπιτάσσειν διὰ τὴν ὑπὲρ ἄνθρωπον ἀλαζονείαν. καὶ πλάστιγγι τὰ πλάτη τῶν ὀρέων οἰόμενος ὕψη στήσειν. κατὰ γῆν γενόμενος ἐν φορείῳ παρεκομίζετο φανερὰν τοῦ θεοῦ πᾶσι τὴν δύναμιν ἐνδεικνύμενος. ὥστε καὶ ἐκ τοῦ σώματος τοῦ δυσσεβοῦς σκώληκας ἀναζεῖν. καὶ ζῶντος ἐν ὀδύναις, καὶ ἀλγηδόσι τὰς σάρκας αὐτοῦ διαπίπτειν. ὑπὸ δὲ τῆς ὀσμῆς αὐτοῦ πᾶν τὸ στρατόπεδον βαρύνεσθαι τὴν σα-

πρίαν. καὶ τὸν μικρῷ πρότερον τῶν οὐρανίων ἄστρων ἅπτεσθαι δοκοῦντα παρακομίζειν οὐδεὶς ἐδύνατο διὰ τὸ τῆς ὀσμῆς ἀφόρητον βάρος. ἐνταῦθα οὖν ἤρξατο τὸ πολὺ τῆς ὑπερηφανίας καὶ αὐτοῦ λήγειν· ὑποτεθραυσμένος καὶ εἰς ἐπίγνωσιν ἔρχεσθαι θείᾳ μάστιγι κατὰ στιγμὴν ἐπιτεινόμενος ταῖς ἀλγηδόσι, καὶ μηδὲ τῆς ὀσμῆς αὐτοῦ δυνάμενος ἀνέχεσθαι ταῦτ' ἔφη· δίκαιον ὑποτάσσεσθαι τῷ θεῷ· καὶ μὴ θνητὸν ὄντα ἰσόθεα φρονεῖν ὑπερηφάνως. ηὔχετο δὲ ὁ μιαρὸς πρὸς τὸν οὐκέτι αὐτὸν ἐλεήσοντα δεσπότην οὕτω λέγων· τὴν μὲν ἁγίαν πόλιν ἣν σπεύδων παρεγίνετο ἰσόπεδον ποιῆσαι, καὶ πολυάνδριον οἰκοδομῆσαι, ἐλευθέραν ἀναδεῖξαι· τοὺς δὲ ἰουδαίους οὓς διεγνώκει μηδὲ ταφῆς ἀξιῶσαι, οἰωνοβρώτους δὲ σὺν τοῖς νηπίοις ἐκρίψειν θηρίοις, πάντας αὐτοὺς ἴσους ἀθηναίοις ποιήσειν· ὃν δὲ πρότερον ἐσκύλευσεν ἅγιον νεὼν καλλίστοις ἀναθήμασι κοσμήσειν, καὶ τὰ ἱερὰ σκεύη πολυπλάσια πάντα ἀποδώσειν· τὰς δὲ ἐπιβαλλούσας πρὸς τὰς θυσίας προστάξεις ἐκ τῶν ἰδίων προσόδων χορηγήσειν· πρὸς δὲ τούτοις καὶ ἰουδαῖον ἔσεσθαι καὶ πάντα τόπον οἰκητὸν ἐπελεύσεσθαι καταγγέλλοντα τὸ τοῦ θεοῦ κράτος. οὐδαμῶς δὲ ληγόντων τῶν πόνων· ἐπεληλύθει γὰρ ἐπ' αὐτὸν δικαία ἡ τοῦ θεοῦ κρίσις· τὰ κατ' αὐτὸν ἀπελπίσας, ἔγραψε πρὸς τοὺς ἰουδαίους τὴν ὑπογεγραμμένην ἐπιστολὴν ἱκετηρίας τάξιν ἔχουσαν, περιέχουσαν δὲ οὕτως· Τοῖς χρηστοῖς ἰουδαίοις τοῖς πολίταις, πολλὰ χαίρειν, καὶ ὑγιαίνειν καὶ εὖ πράττειν, βασιλεὺς καὶ στρατηγὸς ἀντίοχος. Εἰ ἔρρωσθε καὶ τὰ τέκνα καὶ τὰ ἴδια κατὰ γνώμην ἐστὶν ὑμῖν, εὐχόμενος μὲν τῷ θεῷ τὴν μεγίστην χάριν εἰς οὐρανὸν τὴν ἐλπίδα ἔχων, κἀγὼ δὲ ἀσθενῶς διεκείμην, ὑμῶν τὴν τιμὴν, καὶ τὴν εὔνοιαν ἂν ἐμνημόνευον φιλοστόργως, ἐπανάγων ἐκ τῶν περὶ τὴν περσίδα τόπων καὶ περιπεσὼν ἀσθενείᾳ δυσχερείαν ἐχούσῃ, ἀναγκαῖον ἡγησά-

μην φροντίσαι τῆς κοινῆς πάντων ἀσφαλείας. οὐκ ἀπογινώσκων
τὰ κατ᾽ ἐμαυτὸν, ἀλλὰ ἔχων πολλὴν ἐλπίδα ἐκφεύξεσθαι τὴν
ἀσθένειαν. θεωρῶν δὲ ὅτι καὶ ὁ πατὴρ καθ᾽ οὓς καιροὺς εἰς τοὺς
ἄνω τόπους ἐστρατοπέδευσεν ἀνέδειξε τὸν διαδεξόμενον. ὅπως
ἐάν τι παράδοξον ἀποβαίνῃ, ἢ καὶ προσαγγελθῇ τι δυσχερές.
εἰδότες οἱ κατὰ τὴν χώραν, ᾧ καταλέλειπται τὰ πράγματα
μὴ ἐπιταράσσωνται. πρὸς δὲ τούτοις κατανοῶν τοὺς παρακειμέ-
νους δυνάστας καὶ γειτνιῶντας τῇ βασιλείᾳ τοῖς καιροῖς ἐπέχον-
τας, προσδεχομένους τὸ ἀποβησόμενον, ἀναδέδειχα τὸν υἱὸν ἀν-
τίοχον βασιλέα. ὃν πολλάκις ἀνατρέχων εἰς τὰς ἐπάνω σατρα-
πείας, τοῖς πλείστοις ὑμῶν παρακατετιθέμην, καὶ συνιστῶν. γέ-
γραφα δὲ πρὸς αὐτὸν τὰ ὑπογεγραμμένα. παρακαλῶ οὖν ὑμᾶς
καὶ ἀξιῶ μεμνημένους τῶν εὐεργεσιῶν κοινῇ, καὶ κατ᾽ ἰδίαν ἕκα-
στον συντηρεῖν τὴν οὖσαν εὔνοιαν εἰς ἐμὲ καὶ τὸν υἱόν. πέπεισμαι
γὰρ αὐτὸν ἐπιεικῶς καὶ φιλανθρώπως παρακολουθοῦντα τῇ ἐμῇ
προαιρέσει συμπεριενεχθήσεσθαι ὑμῖν. ὁ μὲν οὖν ἀνδροφόνος,
καὶ βλάσφημος τὰ χείριστα παθὼν, ὡς ἑτέρους διέθηκεν, ἐπὶ ξέ-
νης, ἐν τοῖς ὄρεσιν οἰκτίστῳ μόρῳ κατέστρεψε τὸν βίον. παρεκομί-
ζετο δὲ σῶμα φίλιππος ὁ σύντροφος αὐτοῦ. ὃς καὶ διευλαβηθεὶς
τὸν υἱὸν ἀντιόχου πρὸς πτολεμαῖον τὸν φιλομήτορα εἰς αἴγυπτον
διεκομίσθη.

Κεφάλαιον. ι. 10.

Ακκαβαῖος δὲ καὶ οἱ σὺν αὐτῷ, τοῦ κυρίου προά-
μ γοντος αὐτοὺς, τὸ μὲν ἱερὸν ἐκομίσαντο, καὶ τὴν πό-
λιν, τοὺς δὲ κατὰ τὴν ἀγορὰν βωμοὺς ὑπὸ τῶν ἀλλο-
φύλων δεδημιουργημένους, ἔτι δὲ τεμένη καθεῖλον. καὶ τὸν νεὼν
καθαρίσαντες, ἕτερον θυσιαστήριον ἐποίησαν. καὶ πυρώσαντες
λίθους καὶ πῦρ ἐκ τούτων λαβόντες ἀνήνεγκαν θυσίαν μετὰ δι-
ετῆ χρόνον προσέτι καὶ μῆνας ἕξ καὶ θυμίαμα, καὶ λύχνους καὶ
τῶν ἄρτων τὴν πρόθεσιν ἐποιήσαντο. ταῦτα δὲ ποιήσαντες ἠξί-

ἠξίωσαν τὸν κύριον πεσόντες ἐπὶ κοιλίαν, μηκέτι περιπεσεῖν τοιούτοις κακοῖς· ἀλλ' ἐάν ποτε καὶ ἁμάρτωσιν, ὑπ' αὐτοῦ μετ' ἐπιεικείας παιδεύεσθαι, καὶ μὴ βλασφήμοις, καὶ βαρβάροις ἔθνεσι παραδίδοσθαι. ἐν ᾗ δὲ ἡμέρᾳ ὁ νεὼς ὑπὸ ἀλλοφύλων ἐβεβηλώθη, συνέβη κατὰ τὴν αὐτὴν ἡμέραν τὸν καθαρισμὸν γενέσθαι τοῦ ναοῦ τῇ πέμπτῃ καὶ εἰκάδι τοῦ αὐτοῦ μηνός, ὅς ἐστι Χασελεῦ, καὶ μετ' εὐφροσύνης ἦγον ἡμέρας ὀκτώ, σκηνωμάτων τρόπον μνημονεύοντες, ὡς πρὸ μικροῦ χρόνου τὴν τῶν σκηνῶν ἑορτὴν, ἐν τοῖς ὄρεσι, καὶ ἐν τοῖς σπηλαίοις θηρίων τρόπον ἦσαν νεμόμενοι, διὸ θύρσους καὶ κλάδους ὡραίους, ἔτι δὲ φοίνικας ἔχοντες, ὕμνους ἀνέφερον τῷ εὐοδώσαντι καθαρισθῆναι τὸν ἑαυτοῦ τόπον. ἐδογμάτισαν δὲ μετὰ κοινοῦ προστάγματος καὶ ψηφίσματος παντὶ τῷ τῶν Ἰουδαίων ἔθνει κατ' ἐνιαυτὸν ἄγειν τάσδε τὰς ἡμέρας. καὶ τὰ μὲν τῆς Ἀντιόχου τοῦ προσαγορευθέντος ἐπιφανοῦς τελευτῆς οὕτως εἶχε. νυνὶ δὲ τὰ κατὰ τὸν Εὐπάτορα Ἀντίοχον υἱὸν δὲ τοῦ ἀσεβοῦς γενόμενον δηλώσομεν, αὐτὰ συντέμνοντες τὰ συνέχοντα τῶν πολέμων κακά. οὗτος γὰρ λαβὼν βασιλείαν ἀνέδειξεν ἐπὶ τῶν πραγμάτων Λυσίαν τινά, κοίλης δὲ Συρίας καὶ Φοινίκης στρατηγὸν πρώταρχον. Πτολεμαῖος γὰρ ὁ καλούμενος Μάκρων, τὸ δίκαιον συντηρεῖν προηγούμενος εἰς τοὺς Ἰουδαίους διὰ τὴν γεγονυῖαν εἰς αὐτοὺς ἀδικίαν, καὶ ἐπειρᾶτο τὰ πρὸς αὐτοὺς εἰρηνικῶς διεξάγειν. ὅθεν κατηγορούμενος ὑπὸ τῶν φίλων πρὸς τὸν Εὐπάτορα, καὶ προδότης παρέκαστα ἀκούων διὰ τὸ τὴν Κύπρον ἐμπιστευθέντα ἀπὸ τοῦ Φιλομήτορος ἐκλιπεῖν, καὶ πρὸς Ἀντίοχον τὸν Ἐπιφανῆ ἀναχωρῆσαι, μήτ' εὐγενῆ τὴν ἐξουσίαν ἔχων ὑπ' ἀθυμίας, φαρμακεύσας ἑαυτὸν, ἐξέλιπε τὸν βίον. Γοργίας δὲ γενόμενος στρατηγὸς τῶν τόπων ἐξενοτρόφει. καὶ παρέκαστα πρὸς τοὺς Ἰουδαίους ἐπολεμοτρόφει. ὁμοῦ δὲ τούτῳ, καὶ οἱ Ἰδουμαῖοι ἐγκρατεῖς ἐπὶ καιρῶν ὀχυρωμάτων ὄντες ἐγύμναζον τοὺς Ἰουδαίους, καὶ τοὺς φυγαδευθέντας ἀπὸ

ἱεροσολύμων προσλαβόμενοι, πολεμοτροφεῖν ἐπεχείρουν· οἱ δὲ
περὶ τὸν μακκαβαῖον ποιησάμενοι λιτανείαν, καὶ ἀξιώσαντες τὸν
θεὸν σύμμαχον αὐτοῖς γενέσθαι, ἐπὶ τὰ τῶν ἰδουμαίων ὀχυρώ
ματα ὥρμησαν· οἷς καὶ προσβαλόντες εὐρώστως, ἐγκρατεῖς ἐγέ
νοντο τῶν τόπων· πάντας τε τοὺς ἐπὶ τῷ τείχει μαχομένους ἠμύ
ναντο· κατέσφαζον δὲ τοὺς ἐμπίπτοντας πάντας· ἀνεῖλον δὲ οὐκ
ἔλαττον τῶν δισμυρίων. συμφυγόντων δέ τινων οὐκ ἔλαττον τῶν
ἐννακισχιλίων εἰς δύο πύργους ὀχυροὺς εὖ μάλα, καὶ πάντα τὰ
πρὸς πολιορκίαν ἔχοντας· ὁ μακκαβαῖος εἰς ἐπείγοντας τόπους
ἀπολιπὼν, σίμωνα καὶ ἰώσηφον ἔτι δὲ καὶ ζακχαῖον, καὶ τοὺς
σὺν αὐτῷ ἱκανοὺς πρὸς τὴν τούτων πολιορκίαν, αὐτὸς ἐχωρίσθη·
οἱ δὲ περὶ τὸν σίμωνα, φιλαργυρήσαντες ὑπό τινων τῶν ἐν τοῖς
πύργοις ἐπείσθησαν ἀργυρίῳ· ἑπτάκις δὲ μυριάδας δραχμὰς
λαβόντες, ἐάσαν τινὰς διαρρυῆναι. προσαγγελθέντος δὲ τῷ
μακκαβαίῳ περὶ τοῦ γεγονότος, συναγαγὼν τοὺς ἡγουμένους τοῦ
λαοῦ κατηγόρησεν, ὡς ἀργυρίου πεπράκασι τοὺς ἀδελφοὺς, τοὺς
πολεμίους κατ' αὐτῶν ἀπολύσαντες. τούτους μὲν οὖν προδότας
γενομένους ἀπέκτεινε· καὶ παραχρῆμα τοὺς δύο πύργους κατε
βάλετο· τοῖς δὲ ὅπλοις τὰ πάντα ἐν ταῖς χερσὶν εὐοδούμε
νος, ἀπώλεσεν ἐν τοῖς δυσὶν ὀχυρώμασι, πλείους τῶν δισμυρί
ων. τιμόθεος δὲ ὁ πρότερον ἡττηθεὶς ὑπὸ τῶν ἰουδαίων, συνα
γαγὼν ξένας δυνάμεις παμπληθεῖς καὶ τοὺς τῆς ἀσίας γενομέ
νους ἵππους συναθροίσας οὐκ ὀλίγους, παρῆν, ὡς δοριάλωτον λη
ψόμενος τὴν ἰουδαίαν. οἱ δὲ περὶ τὸν μακκαβαῖον συνεγγί
ζοντος αὐτοῦ πρὸς ἱκετείαν τοῦ θεοῦ ἐτράπησαν· γῇ τὰς κεφαλὰς
καταπάσαντες καὶ τὰς ὀσφύας σάκκοις ζώσαντες ἐπὶ τὴν
ἀπέναντι τοῦ θυσιαστηρίου κρηπῖδα προσπεσόντες, ἠξίουν ἵλεων
αὐτοῖς γενόμενον ἐχθρεῦσαι τοῖς ἐχθροῖς αὐτῶν, καὶ ἀντικεῖ
σθαι τοῖς ἀντικειμένοις, καθὼς ὁ νόμος διασαφεῖ. γενόμενοι δὲ
ἀπὸ τῆς δεήσεως, ἀναλαβόντες τὰ ὅπλα προῆλθον ἀπὸ τῆς

πόλεως ἐπὶ πλέον. συνεγγίσαντες δὲ τοῖς πολεμίοις, ἐφ' ἑαυτῶν ἦσαν. ἄρτι δὲ τῆς ἀναβολῆς διαδεχομένης, προσέβαλον ἑκάτεροι. οἱ μὲν, ἔγγυον ἔχοντες εὐημερίας καὶ νίκης μετ' ἀρετῆς, τὴν ἐπὶ τὸν κύριον καταφυγήν. οἱ δὲ, καθηγεμόνα τῶν ἀγώνων τασσόμενοι τὸν θυμόν. γενομένης δὲ καρτερᾶς μάχης, ἐφάνησαν τοῖς ὑπεναντίοις ἐξ οὐρανοῦ ἐφ' ἵππων χρυσῶν χαλίνων, ἄνδρες πέντε διαπρεπεῖς καὶ ἀφηγούμενοι τῶν ἰουδαίων. οἱ δύο καὶ τὸν μακκαβαῖον μέσον λαβόντες καὶ σκεπάζοντες τοῖς ἑαυτῶν πανοπλίαις, ἄτρωτον διεφύλαττον. εἰς δὲ τοὺς ὑπεναντίους τοξεύματα καὶ κεραυνοὺς ἐξερρίπτουν. διὸ συγχυθέντες ἀορασίᾳ, κατεκόπτοντο ταραχῆς πεπληρωμένοι. κατεσφάγησαν καὶ δυσμύριοι πρὸς τοῖς πεντακοσίοις. ἱππεῖς δὲ ἑξακόσιοι. αὐτὸς δὲ ὁ τιμόθεος ἀπέφυγεν εἰς γάζαρα λεγόμενον, ὀχύρωμα εὖ μάλα φρούριον, στρατηγοῦντος ἐκεῖ χαιρέου. οἱ δὲ περὶ τὸν μακκαβαῖον, ἄσμενοι περιεκάθισαν τὸ φρούριον ἡμέρας τέσσαρας. οἱ δὲ ἔνδον, ἐν τῇ κρημνότητι τοῦ τόπου πεποιθότες, ὑπεράγαν ἐβλασφήμουν καὶ λόγους ἀθεμίτους προΐοντο. ὑποφαυούσης δὲ τῆς πέμπτης καὶ εἰκοστῆς ἡμέρας, νεανίαι τῶν περὶ τὸν μακκαβαῖον πυρωθέντες τοῖς θυμοῖς διὰ τὰς βλασφημίας, προσβαλόντες τῷ τείχει ἀρρενωδῶς, καὶ θυειώδει θυμῷ τὸν ἐμπίπτοντα ἔκοπτον. ἕτεροι δὲ ὁμοίως προσαναβάντες ἐν τῷ περισπασμῷ πρὸς τοὺς ἔνδον, ἐνεπίμπρων τοὺς πύργους. καὶ πυρὰς ἀνάψαντες, ζῶντας τοὺς βλασφήμους κατέκαιον. οἱ δὲ τὰς πύλας διέκοπτον. εἰσδεξάμενοι δὲ τὴν λοιπὴν τάξιν, προκατελάβοντο τὴν πόλιν. καὶ τὸν τιμόθεον ἀποκεκρυμμένον ἔν τινι λάκκῳ, κατέσφαξαν. καὶ τὸν ἀδελφὸν χαιρέαν. καὶ τὸν ἀπολλοφανῆ. ταῦτα δὲ διαπραξάμενοι, μεθ' ὕμνων καὶ ἐξομολογήσεων εὐλόγουν τῷ κυρίῳ τῷ μεγάλως εὐεργετοῦντι τὸν ἰσραήλ, καὶ τὸ νῖκος αὐτοῖς διδόντι.

## Κεφάλαιον. ια. 11.

Ετ᾽ ὀλίγον δὲ παντελῶς χρόνον λυσίας ἐπίτροπος τοῦ
μ βασιλέως καὶ συγγενὴς καὶ ἐπὶ τῶν πραγμάτων,
λίαν βαρέως φέρων ἐπὶ τοῖς γεγονόσι, συναθροίσας
περὶ τὰς ὀκτὼ μυριάδας, καὶ τὴν ἵππον πᾶσαν, παρεγένετο ἐπὶ
τοὺς ἰουδαίους λογιζόμενος τὴν μὲν πόλιν ἕλλησιν οἰκητήριον
ποιήσειν, τὸ δὲ ἱερὸν, ἀργυρολόγητον, καθὼς τὰ λοιπὰ τῶν ἐ-
θνῶν τεμένη. περὶ τὴν δὲ τὴν ἀρχιερωσύνην κατ᾽ ἔτος ποιή-
σειν. οὐδαμῶς δὲ λογιζόμενος τὸ τοῦ θεοῦ κράτος πεφρενωμέ-
νος δὲ ταῖς μυριάσι τῶν πεζῶν, καὶ ταῖς χιλιάσι τῶν ἱππέων
καὶ τοῖς ἐλέφασι τοῖς ὀγδοήκοντα, εἰσελθὼν εἰς τὴν ἰουδαίαν,
καὶ συνεγγίσας τῷ βαιθσούρῳ. ὄντι μὲν ἐν ἐρυμνῷ χωρίῳ τῶν
δὲ ἱεροσολύμων δὲ ἀπέχοντι ὡσεὶ σταδίους πέντε, τοῦτο ἔθλιβεν.
ὡς δὲ μετέλαβον οἱ περὶ τὸν μακκαβαῖον πολιορκοῦντα αὐτὸν
τὰ ὀχυρώματα, μετ᾽ ὀδυρμῶν καὶ δακρύων ἱκέτευον σὺν τοῖς
ὄχλοις τὸν κύριον ἀγαθὸν ἄγγελον ἀποστεῖλαι πρὸς σωτηρίαν
τῷ ἰσραήλ. αὐτὸς δὲ πρῶτος ὁ μακκαβαῖος ἀναλαβὼν τὰ ὅ-
πλα προετρέψατο τοὺς ἄλλους ἅμα αὐτῷ συγκινδυνεύοντας ἐ-
πιβοηθεῖν τοῖς ἀδελφοῖς αὐτῶν. ὁμοῦ δὲ καὶ προθύμως ἐξώρ-
μησαν. αὐτόθι δὲ καὶ πρὸς τοῖς ἱεροσολύμοις ὄντων. ἐφάνη προη-
γούμενος αὐτῶν ἔφιππος ἐν λευκῇ ἐσθῆτι πανοπλίαν χρυσῆν
κραδαίνων. ὁμοῦ δὲ πάντες εὐλόγησαν τὸν ἐλεήμονα θεόν. καὶ
ἐπερρώσθησαν ταῖς ψυχαῖς. οὐ μόνον ἀνθρώπους, ἀλλὰ καὶ θῆ-
ρας τοὺς ἀγριωτάτους καὶ σιδηρᾶ τείχη, πρὸς τὸ κεντεῖν. ὄντες ἕτοι-
μοι προῆγον ἐν διασκευῇ. τὸν ἀπ᾽ οὐρανοῦ σύμμαχον ἔχοντες
ἐλεήσαντος αὐτοὺς τοῦ κυρίου. λεοντηδὸν δὲ ἐντινάξαντες εἰς
τοὺς πολεμίους κατέστρωσαν αὐτῶν χιλίους πρὸς τοῖς μυρίοις.
ἱππεῖς δὲ ἑξακοσίους πρὸς τοῖς χιλίοις. τοὺς πάντας ἠνάγκασαν
φεύγειν. οἱ πλείονες δὲ αὐτῶν τραυματίαι γυμνοὶ διεσώθη-
σαν. καὶ αὐτὸς δὲ ὁ λυσίας αἰσχρῶς φεύγων διεσώθη. οὐκ ἄνους
δὲ ὑπάρχων, πρὸς ἑαυτὸν ἀντιβάλλων τὸ γεγονὸς περὶ ἑαυ-

τὸ ἐλάττωμα.

τὸν ἐλάττωμα. καὶ συννοήσας ἀνικήτους εἶναι τοὺς ἑβραίους.
τοῦ πάντα δυναμένου θεοῦ συμμαχοῦντος αὐτοῖς, προσαπο-
στείλας, ἔπειθε συλλύεσθαι ἐπὶ πᾶσι τοῖς δικαίοις. καὶ ὅτι τὸν βα-
σιλέα πείσειν φίλον αὐτοῖς ἀναγκάζειν γενέσθαι. ἐπένευσε δὲ
ὁ μακκαβαῖος ἐπὶ πᾶσιν οἷς ὁ λυσίας παρεκάλει τοῦ συμφέ-
ροντος φροντίζων. ὅσα γὰρ ὁ μακκαβαῖος ἐπέδωκε τῷ λυσίᾳ
διὰ γραπτῶν περὶ τῶν ἰουδαίων συνεχώρησεν ὁ βασιλεύς. ἦ-
σαν γὰρ αἱ γεγραμμέναι τοῖς ἰουδαίοις ἐπιστολαὶ παρὰ μὲν λυ-
σίου περιέχουσαι τὸν τρόπον τοῦτον. Λυσίας τῷ πλήθει τῶν ἰου-
δαίων χαίρειν. Ἰωάννης καὶ Ἀβεσαλὼμ οἱ πεμφθέντες παρ'
ὑμῶν. ἐπιδόντες τὸν ὑπογεγραμμένον χρηματισμὸν ἠξίουν πε-
ρὶ τῶν δι' αὐτοὺς σημαινομένων. ὅσα μὲν οὖν ἔδει καὶ τῷ βα-
σιλεῖ προσενεχθῆναι διεσάφησα. ἃ δὲ ἦν ἐνδεχόμενα, συνε-
χώρησα. ἐὰν μὲν οὖν συντηρήσητε τὴν εἰς τὰ πράγματα
εὔνοιαν. καὶ εἰς τὸ λοιπὸν πειράσομαι παραίτιος ὑμῖν ἀγαθῶν
γενέσθαι. ὑπὲρ δὲ τούτων κατὰ μέρος. ἐντέταλμαι τούτοις τε
καὶ τοῖς παρ' ἐμοῦ, διαλεχθῆναι ὑμῖν, ἔρρωσθε. ἔτους ρμη'.
Διοσκορινθίου εἰκοστῇ τετάρτῃ. ἡ δὲ τοῦ βασιλέως ἐπιστολὴ πε-
ριεῖχεν οὕτως. βασιλεὺς ἀντίοχος τῷ ἀδελφῷ λυσίᾳ χαίρειν.
τοῦ πατρὸς ἡμῶν εἰς θεοὺς μεταστάντος. βουλομένου τοὺς ἐκ τῆς
βασιλείας ἀταράχους ὄντας, γενέσθαι πρὸς τὴν τῶν ἰδίων ἐπι-
μέλειαν, ἀκηκοότες τοὺς ἰουδαίους μὴ συνευδοκοῦντας τῇ τοῦ
πατρὸς ἐπὶ τὰ ἑλληνικὰ μεταθέσει, ἀλλὰ τὴν ἑαυτῶν ἀγωγὴν
αἱρετίζοντας. διὰ τὸ ἀξιοῦντας συγχωρηθῆναι αὐτοῖς τὰ
νόμιμα αὐτῶν. αἱρούμενοι οὖν καὶ τοῦτο τὸ ἔθνος ἐκτὸς ταρα-
χῆς εἶναι. κρίνομεν τό τε ἱερὸν αὐτοῖς ἀποκατασταθῆναι, καὶ
πολιτεύεσθαι κατὰ τὰ ἐπὶ τῶν προγόνων αὐτῶν ἔθη. εὖ οὖν ποιή-
σεις διαπεμψάμενος πρὸς αὐτοὺς καὶ δοὺς δεξιάς. ὅπως εἰδό-
τες τὴν ἡμετέραν προαίρεσιν, εὔθυμοί τε ὦσι, καὶ ἡδέως δια-
γίνονται πρὸς τὴν τῶν ἰδίων ἀντίληψιν. πρὸς δὲ τὸ ἔθνος. ἡ τοῦ

βασιλέως ἐπιστολὴ τοιαύτη ἦν. Βασιλεὺς ἀντίοχος τῇ γερουσίᾳ τῶν ἰουδαίων καὶ τοῖς ἄλλοις ἰουδαίοις χαίρειν. εἰ ἔρρωσθε, εἴη ἂν ὡς βουλόμεθα. καὶ αὐτοὶ δὲ ὑγιαίνομεν. ἐνεφάνισεν ἡμῖν ὁ Μενέλαος βούλεσθαι κατελθόντας ὑμᾶς γίνεσθαι πρὸς τοῖς ἰδίοις. τοῖς οὖν καταπορευομένοις μέχρι τριακάδος ξανθικοῦ, ὑπάρξει δεξιὰ μετὰ τῆς ἀδείας, χρῆσθαι τοὺς ἰουδαίους τοῖς ἑαυτῶν δαπανήμασι, καὶ νόμοις, καθὰ καὶ τὸ πρότερον. καὶ οὐδεὶς αὐτῶν κατ᾽ οὐδένα τρόπον ὀχληθήσεται περὶ τῶν ἠγνοημένων. πέπομφα καὶ τὸν μενέλαον παρακαλέσοντα ὑμᾶς. ἔρρωσθε. ἔτους ρμη. ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ. ἔπεμψαν δὲ καὶ οἱ ῥωμαῖοι πρὸς αὐτοὺς ἐπιστολὴν ἔχουσαν οὕτως. Κόϊντος μέμμιος τίτος μάνιος πρεσβῦται ῥωμαίων, τῷ δήμῳ τῶν ἰουδαίων χαίρειν. ὑπὲρ ὧν λυσίας ὁ συγγενὴς τοῦ βασιλέως συνεχώρησεν ὑμῖν, καὶ ἡμεῖς συνευδοκοῦμεν. ἃ δὲ ἔκρινε προσαχθῆναι τῷ βασιλεῖ, πέμψατέ τινα παραχρῆμα ἐπισκεψάμενοι περὶ τούτων, ἵνα ἐκθῶμεν ὡς καθήκει ὑμῖν. ἡμεῖς γὰρ προσάγομεν πρὸς ἀντιόχειαν. διὸ σπεύσατε καὶ πέμψατέ τινας, ὅπως καὶ ἡμεῖς ἐπιγνῶμεν ὁποίας ἐστὲ γνώμης, ὑγιαίνετε.

Κεφ. ιβ. 12.

Τους ρμη. ξανθικοῦ, πέμπτῃ καὶ δεκάτῃ. γενομένων καὶ τῶν συνθηκῶν τούτων, ὁ μὲν λυσίας ἀπῄει πρὸς τὸν βασιλέα. οἱ δὲ ἰουδαῖοι περὶ τὴν γεωργίαν ἐγίνοντο. τῶν δὲ κατὰ τόπον στρατηγῶν τιμόθεος καὶ ἀπολλώνιος ὁ τοῦ γενναίου, ἔτι δὲ ἱερώνυμος καὶ δημοφῶν, πρὸς δὲ τούτοις νικάνωρ ὁ κυπριάρχης, οὐκ εἴων αὐτοὺς εὐσταθεῖν, καὶ τὰ τῆς ἡσυχίας ἄγειν. ἰοππῖται δὲ τοιοῦτον συνετέλεσαν τὸ δυσσέβημα. παρακαλέσαντες τοὺς σὺν αὐτοῖς οἰκοῦντας ἰουδαίους, ἐμβῆναι εἰς τὰ παρασταθέντα ὑπ᾽ αὐτῶν σκάφη, σὺν γυναιξὶ καὶ τέκνοις, ὡς μηδεμιᾶς ἐνεστώσης πρὸς αὐτοὺς δυσμενείας, μετὰ δὲ τὸ κοινὸν τῆς πόλεως ψήφισμα, καὶ τούτων ἐπιδεξαμένων, ὡς ἂν εἰρη-

νεῦσαι θελόντων, καὶ μηδὲν ὕποπτον ἐχόντων, ἐπαναχθέντας αὐτοὺς ἐβύθισαν, ὄντας οὐκ ἔλαττον τῶν διακοσίων. μεταλαβὼν δὲ ἰούδας τὴν γενομένην εἰς τοὺς ὁμοεθνεῖς ὠμότητα, παραγγείλας τοῖς περὶ αὐτὸν ἀνδράσι, καὶ ἐπικαλεσάμενος τὸν δίκαιον κριτὴν θεὸν, παρεγένετο ἐπὶ τοὺς μιαιφόνους τῶν ἀδελφῶν. καὶ τὸν μὲν λιμένα, νύκτωρ ἐνέπρησε, καὶ τὰ σκάφη κατέφλεξε. τοὺς δὲ ἐκεῖ συμφυγόντας ἐξεκέντησε. τοῦ δὲ χωρίου συγκλεισθέντος, ἀνέλυσε ὡς πάλιν ἥξων καὶ τὸ σύμπαν τῶν ἰοππιτῶν ἐκριζῶσαι πολίτευμα. μεταλαβὼν δὲ καὶ τοὺς ἐν ἰαμνείᾳ τὸν αὐτὸν ἐπιτελεῖν βουλομένους τρόπον τοῖς παροικοῦσιν ἰουδαίοις, καὶ τοῖς ἰαμνίταις νυκτὸς ἐπιβαλὼν, ὑφῆψε τὸν λιμένα σὺν τῷ στόλῳ, ὥστε φαίνεσθαι τὰς αὐγὰς τοῦ φέγγους εἰς τὰ ἱεροσόλυμα σταδίων ὄντων σμʹ. ἐκεῖθεν δὲ ἀποσπασθέντων σταδίους ἐννέα, ποιουμένων τὴν πορείαν ἐπὶ τὸν τιμόθεον, προσέβαλον ἄραβες αὐτῷ οὐκ ἐλάττους τῶν πεντακισχιλίων. ἱππεῖς δὲ πεντακόσιοι. γενομένης δὲ καρτερᾶς μάχης, καὶ τῶν περὶ τὸν ἰούδαν διὰ τὴν παρὰ τοῦ θεοῦ βοήθειαν εὐημερησάντων. ἐλαττωθέντες οἱ νομάδες ἠξίουν δοῦναι τὸν ἰούδαν δεξιὰς αὐτοῖς ὑπισχνούμενοι, καὶ βοσκήματα δώσειν καὶ ἐν τοῖς λοιποῖς ὠφελήσειν αὐτούς. ἰούδας δὲ ὑπολαβὼν, ὡς ἀληθῶς ἐν πολλοῖς, αὐτοὺς χρησίμους ἐπεχώρησεν εἰρήνην ἄξειν πρὸς αὐτούς. καὶ λαβόντες δεξιὰς, εἰς τὰς σκηνὰς αὐτῶν ἐχωρίσθησαν. ἐπέβαλε δὲ καὶ ἐπί τινα πόλιν γεφυροῦν ὀχυρὰν, τείχεσι περιπεφραγμένην, καὶ παμμιγέσιν ἔθνεσι κατοικουμένην, ὄνομα δὲ κάσπιν. οἱ δ᾽ ἔνδον πεποιθότες τῇ τῶν τειχῶν ἐρυμνότητι. τῇ τε τῶν βρωμάτων παραθέσει, ἀναγωγότερον ἐχρῶντο τοῖς περὶ τὸν ἰούδαν. λοιδοροῦντες καὶ προσέτι βλασφημοῦντες καὶ λαλοῦντες ἃ μὴ θέμις. οἱ δὲ περὶ τὸν ἰούδαν, ἐπικαλεσάμενοι τὸν μέγαν τοῦ κόσμου δυνάστην, τὸν ἄτερ κριῶν καὶ μηχανῶν ὀργανικῶν κατακρημνίσαντα τὴν ἱεριχὼ κατὰ τοὺς ἰησοῦ χρόνους. ἐνέσειον θηριωδῶς τῷ τείχει. καταλαβό-

μενοί τε τὴν πόλιν τῇ τοῦ θεοῦ θελήσει, ἀμυθήτους ἐποιήσαν-
το σφαγάς, ὥστε τὴν παρακειμένην λίμνην τὸ πλάτος ἔχουσαν
σταδίων δύο, κατάῤῥυτον αἵματι πεπληρωμένην φαίνεσθαι. ἐκεῖ-
θεν δὲ ἀποσπάσαντες σταδίους ἑπτακοσίους πεντήκοντα διή-
νυσαν εἰς τὴν χάρακα πρὸς τοὺς λεγομένους τουβιήνους ἰουδαί-
ους. καὶ τιμόθεον μὲν ἐπὶ τῶν τόπων οὐ κατέλαβον. ἄπρακτόν
τε ἀπὸ τῶν τόπων ἐκλελυκότα, καταλελοιπότα δὲ φρουρὰν
ἔν τινι τόπῳ, καὶ μάλα ὀχυράν. Δοσίθεος δὲ καὶ σωσίπα-
τρος τῶν περὶ τὸν μακκαβαῖον ἡγεμόνων, ἐξοδεύσαντες ἀπώ-
λεσαν τοὺς ὑπὸ τιμοθέου καταλειφθέντας ἐν τῷ ὀχυρώματι,
πλείους τῶν μυρίων ἀνδρῶν. ὁ δὲ μακκαβαῖος διατάξας τὴν
ἑαυτοῦ στρατιὰν, σπειρηδὸν κατέστησεν αὐτοὺς ἐπὶ τῶν σπειρῶν.
καὶ ἐπὶ τὸν τιμόθεον ὥρμησεν ἔχοντα περὶ αὐτὸν μυριάδας δώ-
δεκα πεζῶν. ἱππεῖς δὲ χιλίους πρὸς τοῖς πεντακοσίοις. τὴν δὲ
ἔφοδον μεταλαβὼν ἰούδου προσεξαπέστειλεν ὁ τιμόθεος τὰς
γυναῖκας, καὶ τὰ τέκνα καὶ τὴν ἄλλην ἀποσκευὴν εἰς τὸ λεγό-
μενον καρνίον. ἦν γὰρ δυσπολιόρκητον, καὶ δυσπρόσιτον τὸ χω-
ρίον διὰ τὴν τῶν πάντων τῶν τόπων στενότητα. ἐπιφανείσης
δὲ τῆς ἰούδου σπείρας πρώτης. καὶ γενομένου δέους ἐπὶ τοὺς πο-
λεμίους, φόβου τε ἐκ τῆς τοῦ πάντα ἐφορῶντος ἐπιφανείας γε-
νομένου ἐπ' αὐτοὺς, εἰς φυγὴν ὥρμησαν ἄλλος ἀλλαχῇ φερό-
μενος. ὥστε πολλάκις ὑπὸ τῶν ἰδίων βλάπτεσθαι, καὶ ταῖς τῶν
ξιφῶν ἀκμαῖς ἀναπειρᾶσθαι. ἐποιεῖτο δὲ τὸν διωγμὸν εὐτονώ-
τερον ἰούδας, συγκεντῶν τοὺς ἀλιτηρίους διέφθειρέ τε εἰς μυ-
ριάδας τρεῖς ἀνδρῶν. αὐτὸς δὲ ὁ τιμόθεος ἐμπεσὼν τοῖς περὶ
τὸν δοσίθεον καὶ σωσίπατρον. ἠξίου μετὰ πολλῆς γοητείας, ἐξ-
αφεῖναι σῶον αὐτόν. διὰ τὸ πλειόνων μὲν γονεῖς τινῶν δὲ ἀ-
δελφοὺς ἔχειν. καὶ τούτοις ἀλογηθῆναι συμβήσεται. εἰ ἀπο-
θάνοι πιστώσαντος δὲ αὐτοῦ διὰ πλειόνων τὸν ὁρισμὸν ἀποκατα-
στῆσαί τε αὐτοὺς ἀπημάντους, ἀπέλυσαν αὐτὸν ἕνεκα τῆς τῶν ἀδελ-

φῶν σωτηρίας. ἐξελθὼν δὲ τοῦ καρνίου, καὶ τὸ ἀταργάτιον ὁ μακκαβαῖος κατέσφαξε μυριάδας σωμάτων δύο, καὶ πεντακισχιλίους καὶ μετὰ τὴν τούτων τροπὴν καὶ ἀπώλειαν ἐπεστράτευσεν ἰούδας, καὶ τὴν ἐφρὼν πόλιν ὀχυρὰν ἐν ᾗ κατῴκει λυσίας καὶ πάμφυλα πλήθη. νεανίαι δὲ πρὸ τῶν τειχῶν καθεστῶτες ῥωμαλέοι ἀπεμάχοντο εὐρώστως. ἔνθα δὲ ὀργάνων καὶ βελῶν παραθέσεις ὑπῆρχον ἐπικαλεσάμενοι δὲ τὸν δύναμιν τὴν μετὰ κράτους συντρίβοντα τὰς τῶν πολεμίων ἀλκὰς, ἔλαβον τὴν πόλιν ὑποχείριον. καὶ κατέστρωσαν τῶν ἔνδον, εἰς μυριάδας δύο πεντακισχιλίους. ἀναζεύξαντες δὲ ἐκεῖθεν ὥρμησαν τὴν σκυθῶν πόλιν, ἀπέχουσαν ἀπὸ ἱεροσολύμων σταδίους ἑξακοσίους. ἀπομαρτυρησάντων δὲ τῶν ἐκεῖ κατοικούντων ἰουδαίων ἣν οἱ σκυθοπολῖται ἔσχον πρὸς αὐτοὺς εὔνοιαν καὶ ἐν τοῖς τῆς ἀτυχίας καιροῖς ἥμερον ἀπάντησιν ἐποιοῦντο εὐχαριστήσαντες αὐτοῖς καὶ προσπαρακαλέσαντες, καὶ εἰς τὰ λοιπὰ πρὸς τὸ γένος εὐμενεῖς διαεῖναι, παρεγένοντο εἰς ἱεροσόλυμα τῆς τῶν ἑβδομάδων ἑορτῆς οὔσης ὑπογύου. μετὰ δὲ τὴν λεγομένην πεντηκοστὴν, ὥρμησαν πρὸς γοργίαν τὸν τῆς ἰδουμαίας στρατηγόν. ἐξῆλθον δὲ μετὰ πεζῶν τρισχιλίων, ἱππέων δὲ τετρακοσίων καὶ παραταξαμένων συνέβη πεσεῖν ὀλίγους τῶν ἰδουμαίων. Δοσίθεος δέ τις τῶν τοῦ βακήνορος, ἔφιππος ἀνὴρ καὶ καρτερὸς, ἥψατο τοῦ γοργίου. καὶ λαβόμενος τῆς χλαμίδος, ἦγεν αὐτὸν εὐρώστως, καὶ βουλόμενος τὸν κατάρατον λαβεῖν ζωγρίαν, τῶν ἱππέων θρακῶν τινὸς ἐπενεχθέντος αὐτῷ, καὶ τὸν ὦμον καθελόντος, διέφυγεν ὁ γοργίας εἰς μαρισά. τῶν δὲ περὶ τὸν γοργίαν τὸ πλεῖον μαχομένων, καὶ κατακόπων ὄντων, ἐπικαλεσάμενος ὁ ἰούδας τὸν κύριον σύμμαχον φανῆναι καὶ προοδηγὸν τοῦ πολέμου καταρξάμενος τῇ πατρίῳ φωνῇ τὴν μετ' ὕμνων κραυγὴν, ἀναβοήσας, καὶ ἀπροσδοκήτως τοῖς περὶ τὸν γοργίαν τροπὴν αὐτῶν ἐποιήσατο. ἰούδας δὲ ἀναλαβὼν τὸ στράτευμα ἦγεν εἰς ὀδολλὰμ πόλιν. τῇ δὲ ἑβδομάδι

δος ἐπιβαλλούσης, κατὰ τὸν ἐθισμὸν ἁγνισθέντες, αὐτόθι τὸ σάββατον διήγαγον. τῇ δὲ ἐχομένῃ ἦλθον οἱ περὶ τὸν ἰούδαν καθ' ὃν τρόπον τὸ τῆς χρείας ἐγεγόνει, τὰ τῶν προπεπτωκότων σώματα ἀνακομίσασθαι, καὶ μετὰ τῶν συγγενῶν ἀποκαταστῆσαι εἰς τοὺς πατρῴους τάφους. εὗρον δὲ ἑκάστου τῶν τεθνηκότων ὑπὸ τοὺς χιτῶνας, ἱερώματα τῶν ἀπὸ ἰαμνείας εἰδώλων. ἀφ' ὧν ὁ νόμος ἀπείργει τοὺς ἰουδαίους. τοῖς δὲ πᾶσι σαφὲς ἐγένετο, διὰ τήνδε τὴν αἰτίαν τούσδε πεπτωκέναι. πάντες οὖν εὐλογήσαντες, τοῦ δικαιοκρίτου κυρίου τοῦ τὰ κεκρυμμένα φανερὰ ποιοῦντος εἰς ἱκετείαν τραπέντες, ἠξίωσαν μὴ διὰ τὸ γεγονὸς ἁμάρτημα τελείως ἐξαλειφθῆναι. ὁ δὲ γενναῖος ἰούδας παρεκάλεσε τὸ πλῆθος συντηρεῖν ἑαυτοὺς ἀναμαρτήτους εἶναι, ὑπ' ὄψιν ἑωρακότας τὰ γεγονότα διὰ τὴν τῶν προπεπτωκότων ἁμαρτίαν. ποιησάμενός τε κατανδρολογίαν κατασκευάσματα εἰς ἀργυρίου δραχμὰς δισχιλίας. ἀπέστειλεν εἰς ἱεροσόλυμα προσαγαγεῖν περὶ ἁμαρτίας θυσίαν πάνυ καλῶς καὶ ἀστείως πράττων, ὑπὲρ ἀναστάσεως διαλογιζόμενος. εἰ γὰρ μὴ τοὺς προπεπτωκότας ἀναστῆναι προσεδόκα. περισσὸν ἂν ἦν καὶ ληρῶδες ὑπὲρ νεκρῶν προσεύχεσθαι, εἶτ' ἐμβλέπων τοῖς εὐσεβείας κοιμωμένοις κάλλιστον ἀποκείμενον χαριστήριον. ὁσία καὶ εὐσεβὴς ἡ ἐπίνοια. ὅθεν περὶ τῶν τεθνηκότων τὸν ἐξιλασμὸν ἐποιήσατο τῆς ἁμαρτίας ἀπολυθῆναι.

Κεφάλαιον. ιγ. 13.

Ω δὲ ἐννάτῳ καὶ τεσσαρακοστῷ, καὶ ἑκατοστῷ ἔτει προσέπεσε τοῖς περὶ τὸν ἰούδαν, ἀντίοχον τὸν εὐπάτορα παραγίνεσθαι σὺν πλήθεσιν ἐπὶ τὴν ἰουδαίαν, καὶ σὺν αὐτῷ λυσίαν τὸν ἐπίτροπον, καὶ ἐπὶ τῶν πραγμάτων. ἕκαστον ἔχοντι δύναμιν ἑλληνικὴν πεζῶν μυριάδας ἕνδεκα. καὶ ἱππεῖς πεντακισχιλίους τριακοσίους, καὶ ἐλέφαντας εἴκοσι δύο ἅρματα δὲ δρεπανηφόρα τριακόσια. καὶ μενέλαος δὲ συν,

συνέμιξεν αὐτοῖς καὶ παρεκάλει μετὰ πολλῆς εἰρωνείας τὸν ἀντίοχον οὐκ ἐπὶ σωτηρίᾳ τῆς πατρίδος. οἰόμενος δὲ ἐπὶ τῆς ἀρχῆς κατασταθήσεσθαι. ὁ δὲ βασιλεὺς τῶν βασιλέων ἐξήγειρε τὸν θυμὸν τοῦ ἀντιόχου ἐπὶ τὸν ἀλιτήριον. καὶ λυσίου ὑποδείξαντος τοῦτον αἴτιον τῶν κακῶν εἶναι, πάντων προσέταξεν ὡς ἔθος ἐστὶν ἐν τῷ τόπῳ προσαπολέσθαι ἀγαγόντας αὐτὸν εἰς βέροιαν. ἔστι δὲ ἐν τῷ τόπῳ πύργος πεντήκοντα πηχῶν πλήρης σποδοῦ. οὗτος δὲ ὄργανον εἶχε περιφερὲς πάντοθεν ἀπόκρημνον εἰς τὴν σποδόν. ἐνταῦθα τὸν ἱεροσυλίας ἔνοχον ὄντα, ἢ καί τινων ἄλλων κακῶν ὑπεροχὴν πεποιημένον ἅπαντες προσωθοῦσιν εἰς ὄλεθρον. τοιούτῳ μόρῳ τὸν παράνομον συνέβη θανεῖν μηδὲ τῆς ταφῆς τυχόντα μενέλαον. πάνυ δικαίως. ἐπεὶ γὰρ συνετελέσατο πολλὰ περὶ τὸν βωμὸν ἁμαρτήματα οὗ τὸ πῦρ ἁγνὸν ἦν καὶ ἡ σποδὸς ἐν σποδῷ τὸν θάνατον ἐκομίσατο. τοῖς δὲ φρονήμασιν ὁ βασιλεὺς βεβαρβαρωμένος ἤρχετο, τὰ χείριστα τῶν ἐπὶ τοῦ πατρὸς αὐτοῦ γεγονότων ἐνδειξόμενος τοῖς ἰουδαίοις. μεταλαβὼν δὲ ἰούδας ταῦτα, παρήγγειλε τῷ πλήθει δι᾽ ἡμέρας, καὶ νυκτὸς ἐπικαλεῖσθαι τὸν κύριον. εἴποτε, καὶ ἄλλοτε καὶ νῦν ἐπιβοηθεῖν τοῖς τοῦ νόμου, καὶ πατρίδος καὶ ἱεροῦ ἁγίου στερεῖσθαι μέλλουσι. καὶ τὸν ἄρτι βραχέως ἀνεψυχότα λαὸν μὴ ἐᾶσαι τοῖς δυσφήμοις ἔθνεσιν ὑποχειρίους γενέσθαι, πάντων δὲ τὸ αὐτὸ ποιησάντων ὁμοῦ, καὶ καταξιωσάντων τὸν ἐλεήμονα κύριον μετὰ κλαυθμοῦ καὶ νηστειῶν, καὶ προπτώσεως ἐφ᾽ ἡμέρας τρεῖς ἀδιαλείπτως παρακαλέσας αὐτοὺς ὁ ἰούδας, ἐκέλευσε παραγίνεσθαι. καθ᾽ ἑαυτὸν δὲ σὺν τοῖς πρεσβυτέροις γενόμενος ὁ ἰούδας ἐβουλεύσατο πρὶν εἰσβαλεῖν τοῦ βασιλέως τὸ στράτευμα εἰς τὴν ἰουδαίαν καὶ γενέσθαι τῆς πόλεως ἐγκρατεῖς ἐξελθόντας κρῖναι τὰ πράγματα τῇ τοῦ κυρίου βοηθείᾳ. δοὺς δὲ τὴν ἐπιτροπὴν τῷ κυρίῳ τοῦ κόσμου. παρακαλέσας τοὺς σὺν αὐτῷ γενναίως ἀγωνίσασθαι μέχρι θανάτου περὶ νόμων, περὶ ἱεροῦ, πόλεως,

πατρίδος, πολιτείας, ἐποιήσατο περὶ μωδεῒν τὴν στρατοπεδεί-
αν. δοὺς δὲ τοῖς περὶ αὐτοὺς σύνθημα θεοῦ νίκην. μετὰ νεανίσκων
ἀρίστων κεκριμένων ἐπιβαλὼν νύκτωρ ἐπὶ τὴν βασιλικὴν αὐ-
λὴν τὴν παρεμβολὴν ἀνεῖλεν εἰς ἄνδρας τετρακισχιλίους. καὶ τὸν
πρωτεύοντα τῶν ἐλεφάντων σὺν τῷ κατ' οἰκίαν ὄχλῳ συνέ-
θηκε, καὶ τὸ τέλος, τὴν παρεμβολὴν δέους, καὶ ταραχῆς ἐπλή-
ρωσαν, καὶ ἐξέλυσαν εὐημεροῦντες. ὑποφαινούσης δὲ ἤδη τῆς
ἡμέρας τοῦτ' ἐγεγόνει. διὰ τὴν ἐπαρήγουσαν αὐτῷ τοῦ κυρίου
σκέπην. ὁ δὲ βασιλεὺς εἰληφὼς γεῦσιν τῆς τῶν ἰουδαίων εὐτολ-
μίας κατεπείρασε διὰ μεθόδων τοὺς τόπους. καὶ ἐπὶ βαιθσού-
ροις ἀφρούριον ὀχυρὸν τῶν ἰουδαίων προσῆγεν. καὶ ἐτροποῦτο
προσέκρουε καὶ ἠλαττοῦτο. τοῖς δὲ ἔνδον ἰούδας τὰ δέοντα εἰσέ-
πεμψε. προσήγγειλε δὲ τὰ μυστήρια τοῖς πολεμίοις, ῥόδοκος
ἐκ τῆς ἰουδαϊκῆς τάξεως. ἀνεζητήθη δὲ καὶ κατελήφθη. καὶ ἐξε-
κλείσθη. ἐδευτερολόγησεν ὁ βασιλεὺς τοῖς ἐν βαιθσουρᾷ δεξιὰν
ἔδωκεν. ἔλαβεν, ἀπῄει, προσέβαλε. τοῖς περὶ τὸν ἰούδαν. ἥττων ἐ-
γένετο, μετέλαβεν γοῦν ἀπονενοῆσθαι τὸν φίλιππον ἐν ἀντιο-
χείᾳ τὸν ἀπολελειμμένον ἐπὶ τῶν πραγμάτων, συνεχύθη. τοὺς
ἰουδαίους παρεκάλεσεν. ὑπετάγη καὶ ὤμοσεν ἐπὶ πᾶσι τοῖς δι-
καίοις. συνελύθη, καὶ θυσίαν προσήγαγεν. ἐτίμησε τὸν νεὼν, καὶ
τὸν τόπον ἐφιλανθρώπησε, καὶ τὸν μακκαβαῖον ἀπεδέξατο. κα-
τέλιπε στρατηγὸν ἀπὸ πτολεμαΐδος, ἕως τῶν γερρήνων ἡγεμο-
νίδην. ἦλθεν εἰς πτολεμαΐδα. ἐδυσφόρουν περὶ τῶν συνθηκῶν
οἱ πτολεμαεῖς, ἐδείναζον γὰρ ὑπὲρ ὧν ἠθέτησαν ἀθετεῖν τὰς δια-
στάσεις. προσῆλθεν ἐπὶ τὸ βῆμα λυσίας ἀπελογήσατο ἐνδε-
χομένως συνέπεισε, κατεπράϋνεν. εὐμενεῖς ἐποίησεν, ἀνέζευ-
ξεν εἰς ἀντιόχειαν. οὕτω τὰ τοῦ βασιλέως τῆς ἐφόδου, καὶ τῆς
ἀναζυγῆς ἐχώρησε.

Κεφάλαιον. ιδ. 14.

μ ετὰ δὲ τριετῆ χρόνον προσέπεσε τοῖς περὶ τὸν ἰούδαν δημήτριον τὸν τοῦ σελεύκου διὰ τοῦ κατὰ τρίπολιν λιμένος ἐκπλεύσαντα μετὰ πλήθους ἰσχυροῦ, καὶ στόλου, κεκρατηκέναι τῆς χώρας· ἐπανελόμενον ἀντίοχον, καὶ τὸν τούτου ἐπίτροπον λυσίαν. ἄλκιμος δέ τις προγενόμενος ἀρχιερεύς, ἑκουσίως δὲ μεμολυσμένος ἐν τοῖς τῆς ἐπιμιξίας χρόνοις, συννοήσας, ὅτι καθ' ὅν τινα οὖν τρόπον οὐκ ἔστιν αὐτῷ σωτηρία οὐδὲ πρὸς ἅγιον θυσιαστήριον ἔτι πρόσοδος ἧκε πρὸς τὸν βασιλέα δημήτριον πρώτῳ, καὶ πεντηκοστῷ· καὶ ἑκατοστῷ ἔτει προσάγων αὐτῷ στέφανον χρυσοῦν, καὶ φοίνικα· πρὸς δὲ τούτοις, τῶν νομιζομένων θαλλῶν τοῦ ἱεροῦ, καὶ τὴν ἡμέραν ἐκείνην ἡσυχίαν ἔσχε· καιρὸν λαβὼν τῆς ἰδίας ἀνοίας συνεργόν· προσκληθεὶς εἰς συνέδριον ὑπὸ τοῦ δημητρίου· καὶ ἐπερωτηθεὶς ἐν τίνι διαθέσει, καὶ βουλῇ καθεστήκασιν οἱ ἰουδαῖοι· πρὸς ταῦτα ἔφη· οἱ δὲ λεγόμενοι τῶν ἰουδαίων ἀσιδαῖοι ὧν ἀφηγεῖται ἰούδας· καὶ ὁ μακκαβαῖος πολεμοτροφοῦσι, καὶ στασιάζουσιν οὐκ ἐῶντες τὴν βασιλείαν εὐσταθείας τυχεῖν· ὅθεν ἀφελόμενος τὴν προγονικὴν δόξαν, λέγω δὴ τὴν ἀρχιερωσύνην, δεῦρο νῦν ἐλήλυθα· πρῶτον μὲν ὑπὲρ τῶν ἀνηκόντων τῷ βασιλεῖ γνησίως φρονῶν· δεύτερον δὲ καὶ τῶν ἰδίων πολιτῶν στοχαζόμενος· τῇ μὲν γὰρ τῶν προειρημένων ἀλογιστίᾳ τὸ σύμπαν ἡμῶν γένος οὐ μικρῶς ἀκληρεῖ· ἕκαστα δὲ τούτων ἐπεγνωκὼς σὺ βασιλεῦ· καὶ τῆς χώρας καὶ τοῦ περιισταμένου γένους ἡμῶν προνοήθητι· καθ' ἣν ἔχεις πρὸς ἅπαντας εὐαπάντητον φιλανθρωπίαν, ἄχρι γὰρ ἰούδας περίεστιν ἀδύνατον εἰρήνης τυχεῖν τὰ πράγματα. τοιούτων δὲ ῥηθέντων ὑπὸ τούτου, θᾶττον οἱ λοιποὶ φίλοι δυσμενῶς ἔχοντες τὰ πρὸς τὸν ἰούδαν προσεπύρωσαν τὸν δημήτριον προσκαλεσάμενος δὲ εὐθέως νικάνορα τὸν γενόμενον ἐλεφαντάρχην, καὶ στρατηγὸν ἀναδείξας τῆς ἰουδαίας, ἐξαπέστειλε δοὺς ἐντολάς, αὐτὸν μὲν τὸν ἰούδαν ἐπανελέσθαι· τοὺς δὲ σὺν αὐτῷ σκορπίσαι· και

τασῆσαι δὲ ἄλκιμον ἀρχιερέα τοῦ μεγίστου ἱεροῦ. οἱ δὲ ἐπὶ τῆς ἰου-
δαίας πεφυγαδευκότα τὸν ἰούδαν, ἔθνη συνέσμιγον ἀγελη-
δὸν τῷ νικάνορι. τὰς τῶν ἰουδαίων ἀτυχίας, καὶ συμφορὰς,
ἰδίας εὐημερίας δοκοῦντες ἔσεσθαι. ἀκούσαντες δὲ τὴν τοῦ
νικάνορος ἔφοδον, καὶ τὴν ἐπίθεσιν τῶν ἐθνῶν, καταπασά-
μενοι γῆν, ἐλιτάνευον τὸν ἄχρι αἰῶνος συστήσαντα τὸν ἑαυτοῦ λα-
όν, ἀεὶ δὲ μετ᾽ ἐπιφανείας ἀντιλαμβανόμενον τῆς ἑαυτοῦ μερί-
δος. προστάξαντος δὲ τοῦ ἡγουμένου ἐκεῖθεν εὐθέως ἀνέζευξαν, καὶ
συμμίσγουσιν αὐτοῖς, ἐπὶ κώμην δεσσαοῦ, σίμων δὲ ὁ ἀδελ-
φὸς ἰούδα συμβεβληκὼς ἦν τῷ νικάνορι. βραχέως δὲ διὰ τὴν
αἰφνίδιον τῶν ἀντιπάλων ἀφασίαν ἐπταικώς, ὅμως δὲ ἀκούων
ὁ νικάνωρ ἣν εἶχον οἱ περὶ τὸν ἰούδαν ἀνδραγαθίαν, καὶ ἐν τοῖς
ὑπὲρ τῆς πατρίδος ἀγῶσιν εὐψυχίαν, ἐπευλαβεῖτο τὴν κρίσιν
δι᾽ αἱμάτων ποιήσασθαι. διόπερ ἔπεμψε ποσιδώνιον, καὶ θεό-
δοτον, καὶ ματταθίαν δοῦναι, καὶ λαβεῖν δεξιάς. πλείονος δὲ γε-
νομένης περὶ τούτων ἐπισκέψεως. καὶ τοῦ ἡγεμόνος τοῖς πλήθε-
σιν ἀνακοινωσαμένου καὶ φανείσης ὁμοψήφου γνώμης ἐπένευσαν
ταῖς συνθήκαις. ἐτάξαντο δὲ ἡμέραν ἐν ᾗ κατ᾽ ἰδίαν ἥξουσιν εἰς
τὸ αὐτὸ, καὶ προῆλθε, καὶ παρ᾽ ἑκάστου διαφόρους ἔθεσαν δίφρους
διέταξεν ἰούδας ἐνόπλους ἑτοίμους ἐν τοῖς ἐπικαίροις τόποις
μήποτε ἐκ τῶν πολεμίων αἰφνιδίως κακουργία γένηται, τὴν
ἁρμόζουσαν ἐποιήσαντο κοινολογίαν. διέτριβεν ὁ νικάνωρ ἐν ἱε-
ροσολύμοις, καὶ ἔπραττεν οὐθὲν ἄτοπον. τοὺς δὲ συναχθέντας
ἀγελαίους ὄχλους, ἀπέλυσε. καὶ εἶχε τὸν ἰούδαν διαπαντὸς, ἐν
προσώπῳ. ψυχικῶς τῷ ἀνδρὶ προσεκέκλιτο. παρεκάλεσεν αὐτὸν
γῆμαι, καὶ παιδοποιήσασθαι. ἐγάμησεν, εὐστάθησεν, ἐκοινώνη-
σε βίου. ὁ δὲ ἄλκιμος συνιδὼν τὴν πρὸς ἀλλήλους εὔνοιαν, καὶ
τὰς γενομένας συνθήκας ἀναλαβὼν, ἧκε πρὸς τὸν δημήτριον.
καὶ ἔλεγε τὸν νικάνορα ἀλλότρια φρονεῖν τῶν πραγμάτων. τὸν γὰρ
ἐπίβουλον τῆς βασιλείας ἑαυτοῦ ἰούδαν διάδοχον ἀναδεῖξαι. ὁ

ὁ δὲ βασιλεὺς ἔκθυμος γενόμενος, καὶ ταῖς τοῦ παμπονήρου ἐρεθισθεὶς διαβολαῖς, ἔγραψε νικάνορι φάσκων. ὑπὲρ μὲν τῶν συνθηκῶν βαρέως φέρειν. κελεύων δὲ τὸν μακκαβαῖον δέσμιον ἐξαποστέλλειν ταχέως εἰς ἀντιόχειαν. προσπεσόντων δὲ τούτων τῷ νικάνορι συνεκέχυτο, καὶ δυσφόρως ἔφερεν εἰ τὰ διεσταλμένα ἀθετήσει, μηδὲν τοῦ ἀνδρὸς ἠδικηκότος. ἐπεὶ δὲ τῷ βασιλεῖ ἀντιπράττειν οὐκ ἦν, εὔκαιρον ἐτήρει στρατηγήματι τοῦτ' ἐπιτελέσαι. ὁ δὲ μακκαβαῖος αὐστηρότερον διεξάγοντα συνιδὼν τὸν νικάνορα πρὸς αὐτὸν καὶ τὴν εἰθισμένην ἀπάντησιν ἀγροιότερον ἐσχηκότα. νοήσας οὐκ ἀπὸ τοῦ βελτίστου τὴν αὐστηρίαν εἶναι, συστρέψας οὐκ ὀλίγους τῶν περὶ ἑαυτὸν συνεκρύπτετο τὸν νικάνορα. συγγνοὺς δὲ ὁ ἕτερος, ὅτι γενναίως ὑπὸ τοῦ ἀνδρὸς ἐστρατήγηται παραγενόμενος ἐπὶ τὸ μέγιστον, καὶ ἅγιον ἱερὸν τῶν ἱερέων τὰς καθηκούσας θυσίας προσαγόντων ἐκέλευσε παραδιδόναι τὸν ἄνδρα. τῶν δὲ μετ' ὅρκων φασκόντων μὴ γινώσκειν ποῦ ποτ' ἐστὶν ὁ ζητούμενος, προτείνας τὴν δεξιὰν εἰς τὸν νεὼν ταῦτα ὤμοσε. ἐὰν μὴ δέσμιόν μοι τὸν ἰούδαν παραδῶτε, τόνδε τὸν τοῦ θεοῦ οἶκον εἰς πεδίον ποιήσω. καὶ τὸ θυσιαστήριον κατασκάψω καὶ ἱερὸν ἐνταῦθα τῷ διονύσῳ ἐπιφανὲς ἀναστήσω. ταῦτα δὲ εἰπὼν ἀπῆλθεν. οἱ δὲ ἱερεῖς προτείναντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλοῦντο τὸν διαπαντὸς ὑπέρμαχον τοῦ ἔθνους ἡμῶν, ταῦτα λέγοντες. σὺ κύριε τῶν ὅλων ἀπροσδεὴς ὑπάρχων εὐδόκησας ναὸν τῆς σῆς κατασκηνώσεως ἐν ἡμῖν γενέσθαι. καὶ νῦν ἅγιε παντὸς ἁγιασμοῦ κύριε διατήρησον εἰς αἰῶνα ἀμίαντον τόνδε τὸν προσφάτως κεκαθαρισμένον οἶκον. φράξεις δὲ πᾶν στόμα ἄδικον. ῥαζὶς δέ τις τῶν ἀπὸ ἱεροσολύμων πρεσβυτέρων ἐμηνύθη τῷ νικάνορι. ἀνὴρ φιλοπολίτης, καὶ σφόδρα καλῶς ἀκούων. καὶ κατὰ τὴν εὔνοιαν πατὴρ τῶν ἰουδαίων προσαγορευόμενος. ἦν γὰρ ἐν τοῖς ἔμπροσθεν χρόνοις τῆς ἀμιξίας, κρίσιν εἰσενηνεγμένος ἰουδαϊσμοῦ. καὶ σῶμα καὶ ψυχὴν ὑπὲρ τοῦ ἰουδαϊσμοῦ

παραβεβλημένος, μετὰ πάσης ἐκτενίας. βουλόμενος δὲ νικά-
νωρ πρόδηλον ποιῆσαι ἣν εἶχε πρὸς τοὺς ἰουδαίους δυσμένειαν,
ἀπέστειλε στρατιώτας ὑπὲρ τοὺς πεντακοσίους συλλαβεῖν αὐτόν.
ἔδοξε γὰρ ἐκεῖνον συλλαβὼν τούτοις ἐργάσασθαι συμφοράν. τῶν δὲ
πληθῶν μελλόντων τὸν πύργον καταλαβέσθαι, καὶ τὴν αὐλαίαν θύ-
ραν βιαζομένων. καὶ κελευόντων πῦρ προσάγειν, καὶ τὰς θύρας
ὑφάπτειν περικατάληπτος γενόμενος ὑπέθηκεν ἑαυτῷ τὸ ξί-
φος. εὐγενῶς θέλων ἀποθανεῖν ἤπερ τοῖς ἀλητηρίοις ὑποχείριος
γενέσθαι, καὶ τῆς ἰδίας εὐγενείας ἀναξίως ὑβρισθῆναι. τῇ δὲ πλη-
γῇ μὴ κατευθικτήσας διὰ τὴν τοῦ ἀγῶνος σπουδήν, καὶ τῶν ὄχλων
ἔσω τῶν θυρωμάτων εἰσβαλόντων, ἀναδραμὼν γενναίως ἐπὶ τὸ
τεῖχος κατεκρήμνισεν ἑαυτὸν ἀνδρείως εἰς τοὺς ὄχλους. τῶν δὲ ταχέ-
ως ἀναποδισάντων γενομένου διαστήματος ἦλθε κατὰ μέσον τὸν
κενεῶνα. ἔτι δὲ ἔμπνους ὑπάρχων, καὶ πεπυρωμένος τοῖς θυμοῖς
ἐξαναστὰς φερομένων κρουνηδὸν τῶν αἱμάτων. καὶ δυσχερῶν ὄντων
τῶν τραυμάτων δρόμῳ τοὺς ὄχλους διελθών. καὶ στὰς ἐπί τινος πέ-
τρας ἀπορωγάδος παντελῶς ἔξαιμος ἤδη γενόμενος προβαλὼν
τὰ ἔντερα, καὶ λαβὼν ἑκατέραις ταῖς χερσὶν ἐνέσεισε τοῖς ὄ-
χλοις. καὶ ἐπικαλεσάμενος τὸν δεσπόζοντα τῆς ζωῆς. καὶ τοῦ πνεύμα-
τος ταῦτα αὐτῷ πάλιν ἀποδοῦναι, τὸν δὲ τρόπον μετήλλα-
ξεν.

Κεφάλαιον. ιε. 15.

Δὲ νικάνωρ μεταλαβὼν τοὺς περὶ τὸν ἰούδαν ὄντας ἐν
ὁ τοῖς κατὰ σαμάρειαν τόποις, ἐβουλεύσατο τῇ τῆς κα-
ταπαύσεως ἡμέρᾳ μετὰ πάσης ἀσφαλείας αὐτοῖς
ἐπιβαλεῖν. τῶν δὲ κατ' ἀνάγκην συνεπομένων αὐτῷ ἰουδαίων λε-
γόντων, μηδαμῶς οὕτως ἀγρίως καὶ βαρβάρως ἀπολέσῃς. δό-
ξαν δὲ ἀπομέρισον τῇ προτετιμημένῃ ὑπὸ τοῦ πάντα ἐφορῶντος
μεθ' ἁγιότητος ἡμέρᾳ. ὁ δὲ τρισαλιτήριος ἐπηρώτησεν. εἰ ἐστὶν ἐν οὐ-
ρανῷ ὁ δυνάστης ὁ προστεταχὼς ἄγειν τὴν τῶν σαββάτων ἡμέ-
ραν. τῶν δὲ ἀποφηναμένων ἐστὶν ὁ κ͞ς ζῶν. αὐτὸς ἐν οὐρανῷ ὁ δυνά-

στης ὁ κελεύσας ἀσκεῖν τὴν ἑβδομάδα. ὁ δ᾽ ἕτερος κἀγὼ φησὶ δυνάστης ἐπὶ τῆς γῆς, ὁ προστάσσων αἴρειν ὅπλα καὶ τὰς βασιλικὰς χρείας ἐπιτελεῖν. ὅμως οὐκ ἀπέσχεν ἐπιτελέσαι τὸ σχέτλιον αὐτοῦ βούλημα. καὶ ὁ μὲν νικάνωρ μετὰ πάσης ἀλαζονείας ὑψαυχενῶν, διεγνώκει κοινὸν τὸ περὶ τὸν ἰούδαν συστήσασθαι τρόπαιον. ὁ δὲ μακκαβαῖος ἦν ἀδιαλείπτως πεποιθὼς μετὰ πάσης ἐλπίδος ἀντιλήψεως τεύξασθαι παρὰ τοῦ κυρίου. καὶ παρεκάλει τοὺς σὺν αὐτῷ μὴ δειλιᾶν τὴν τῶν ἐθνῶν ἔφοδον, ἔχοντας δὲ κατὰ νοῦν τὰ προγεγονότα αὐτοῖς ἀπ᾽ οὐρανοῦ βοηθήματα. καὶ τὰ νῦν προσδοκᾶν τὴν περὶ τοῦ παντοκράτορος ἐσομένην αὐτοῖς νίκην καὶ βοήθειαν. καὶ παραμυθούμενος αὐτοὺς ἐκ τοῦ νόμου καὶ τῶν προφητῶν, προσυπομνήσας δὲ αὐτοὺς, καὶ τοὺς ἀγῶνας οὓς ἦσαν ἐκτετελεκότες προθυμοτέρους αὐτοὺς κατέστησε. καὶ τοῖς θυμοῖς διεγείρας αὐτοὺς παρήγγελλεν, ἅμα παρεπιδεικνὺς τὴν τῶν ἐθνῶν ἀθεσίαν καὶ τὴν τῶν ὅρκων παράβασιν. ἕκαστον δὲ αὐτῶν καθοπλίσας. οὐ τὴν ἀσπίδων καὶ λογχῶν ἀσφάλειαν, ὡς τὴν ἐν τοῖς ἀγαθοῖς λόγοις παράκλησιν. καὶ προσεξηγησάμενος ὄνειρον ἀξιόπιστον ὕπαρ τι πάντας εὔφρανεν. ἦν δὲ ἡ τούτου θεωρία τοιάδε. Ὠνίαν τὸν γενόμενον ἀρχιερέα ἄνδρα καλὸν, καὶ ἀγαθόν. αἰδήμονα μὲν τὴν ἀπάντησιν. πρᾶον δὲ τὸν τρόπον. καὶ λαλιὰν προϊέμενον πρεπόντως, καὶ ἐκ παιδὸς ἐκμεμελετηκότα πάντα τὰ τῆς ἀρετῆς οἰκεῖα. τοῦτον τὰς χεῖρας προτείναντα κατεύχεσθαι τῷ παντὶ τῶν ἰουδαίων συστήματι. εἶθ᾽ οὕτως ἐπιφανῆναι ἄνδρα πολιᾷ καὶ δόξῃ διαφέροντα θαυμαστὴν δέ τινα. καὶ μεγαλοπρεπεστάτην εἶναι τὴν περὶ αὐτὸν ὑπεροχήν. ἀποκριθέντα δὲ τὸν ὠνίαν εἰπεῖν, ὁ φιλάδελφος οὗτος ἐστὶν ὁ πολλὰ προσευχόμενος περὶ τοῦ λαοῦ, καὶ τῆς ἁγίας πόλεως ἱερεμίας ὁ τοῦ θεοῦ προφήτης. προτείναντα δὲ τὸν ἱερεμίαν τὴν δεξιὰν παραδοῦναι τῷ ἰούδᾳ ῥομφαίαν χρυσῆν. διδόντα δὲ προσφωνῆσαι τάδε. λάβε τὴν ἁγίαν ῥομφαίαν δῶρον παρὰ τοῦ θεοῦ δι᾽ οὗ θραύσεις τοὺς ὑπεναντίους.

παρακληθέντες δὲ τοῖς ἰούδου λόγοις πάνυ καλοῖς. καὶ δυναμένοις ἐπ᾽ ἀρετὴν παρορμῆσαι καὶ ψυχὰς νέων ἐπανορθῶσαι, διέγνωσαν μὴ στρατοπεδεύεσθαι γενναίως δὲ ἐμφέρεσθαι. καὶ μετὰ πάσης εὐανδρίας ἐμπλακέντες καὶ ἐπιφυέντας κρῖναι τὰ πράγματα. διὰ τὸ καὶ τὴν πόλιν καὶ τὰ ἅγια καὶ τὸ ἱερὸν κινδυνεύειν. ἦν γὰρ ὁ περὶ γυναικῶν καὶ τέκνων ἔτι δὲ ἀδελφῶν καὶ συγγενῶν ἐν ἥττονι μέρει κείμενος αὐτοῖς κίνδυνος. μέγιστος δὲ καὶ πρῶτος. ὁ περὶ τοῦ καθηγιασμένου ναοῦ φόβος. ἦν δὲ καὶ τοῖς ἐν τῇ πόλει κατειλημμένοις οὐ πάρεργος ἀγωνία ταρασσομένοις, τῆς ἐν ὑπαίθρῳ προσβολῆς. καὶ πάντων ἤδη προσδοκώντων τὴν ἐσομένην κρίσιν. καὶ ἤδη συμμιξάντων τῶν πολεμίων καὶ τῆς στρατιᾶς ἐκταγείσης. καὶ τῶν θηρίων ἐπὶ μέρος εὔκαιρον ἀποκατασταθέντων. τῆς τε ἵππου κατὰ κέρας τεταγμένης. συνιδὼν ὁ μακκαβαῖος τὴν τῶν πληθῶν παρουσίαν, καὶ τῶν ὅπλων τὴν ποικίλην παρασκευήν. τήν τε τῶν θηρίων ἀγριότητα. προτείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐπεκαλέσατο τὸν τερατοποιὸν κύριον τὸν κατόπτην. γινώσκων ὅτι οὐκ ἔστι δι᾽ ὅπλων. ἡνίκα καθὼς δὲ ἂν αὐτῷ κριθείη τοῖς ἀξίοις περιποιεῖται τὴν νίκην. ἔλεγε δὲ ἐπικαλούμενος τόνδε τὸν τρόπον σὺ δέσποτα ἀπέστειλας τὸν ἄγγελόν σου ἐπὶ ἐζεκίου τοῦ βασιλέως τῆς ἰουδαίας. καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς σενναχηρεὶμ εἰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας. καὶ νῦν δυνάστα τῶν οὐρανῶν ἀπόστειλον ἄγγελον ἀγαθὸν ἔμπροσθεν ἡμῶν εἰς δέος, καὶ τρόμον αὐτῶν μεγέθει βραχίονός σου καταπλαγείησαν οἱ μετὰ βλασφημίας παραγινόμενοι ἐπὶ τὸν ἅγιόν σου λαόν, καὶ οὗτος μὲν ἐν τούτοις ἔληξεν. οἱ δὲ περὶ τὸν νικάνορα μετὰ σαλπίγγων, καὶ παιάνων προσῆγον. οἱ δὲ περὶ τὸν ἰούδαν μετ᾽ ἐπικλήσεως, καὶ εὐχῶν συνέμιξαν τοῖς πολεμίοις. καὶ ταῖς μὲν χερσὶν ἀγωνιζόμενοι. ταῖς δὲ καρδίαις πρὸς τὸν θεὸν εὐχόμενοι κατέστρωσαν οὐδὲν ἧττον μυριάδων τριῶν, καὶ πεντακισχιλίων τῇ τοῦ θεοῦ μεγάλως εὐφρανθέντες ἐπιφανείᾳ. γενόμενοι δὲ ἀπὸ τῆς χρείας καὶ μετὰ χαρᾶς ἀναλύ-

ὄντες ἐπέγνωσαν προπεπτωκότα νικάνορα σὺν τῇ πανοπλίᾳ. γενομένης δὲ κραυγῆς καὶ ταραχῆς, εὐλόγουν τὸν δυνάστην τῇ πατρίῳ φωνῇ, καὶ προσέταξεν ὁ καθ᾽ ἅπαν σώματι καὶ ψυχῇ πρωταγωνιστὴς, ὑπὲρ τῶν πολιτῶν. ὁ τὴν τῆς ἡλικίας εὔνοιαν εἰς ὁμοεθνεῖς διαφυλάξας, τὴν τοῦ νικάνορος κεφαλὴν ἀποτεμόντας καὶ τὴν χεῖρα σὺν τῷ ὤμῳ, φέρειν εἰς ἱεροσόλυμα. καὶ παραγενόμενος δὲ ἐκεῖ, καὶ συγκαλέσας τοὺς ὁμοεθνεῖς, καὶ τοὺς ἱερεῖς πρὸ τοῦ θυσιαστηρίου στήσας, μετεπέμψατο τοὺς ἐκ τῆς ἄκρας. καὶ ἐπιδειξάμενος τὴν τοῦ μιαροῦ νικάνορος κεφαλὴν καὶ τὴν χεῖρα τοῦ δυσφήμου ἣν ἐκτείνας ἐπὶ τὸν ἅγιον τοῦ παντοκράτορος οἶκον ἐμεγαλαύχησε. καὶ τὴν γλῶσσαν τοῦ δυσσεβοῦς νικάνορος ἐκτεμὼν, ἔφη κατὰ μέρος δώσειν τοῖς ὀρνέοις. τὰ δὲ ἐπίχειρα τῆς ἀνοίας κατέναντι τοῦ ναοῦ κρεμάσαι. οἱ δὲ πάντες εἰς τὸν οὐρανὸν εὐλόγησαν τὸν ἐπιφανῆ κύριον λέγοντες. εὐλογητὸς ὁ διατηρήσας τὸν ἑαυτοῦ τόπον ἀμίαντον. ἐξέδησε δὲ τὴν τοῦ νικάνορος κεφαλὴν ἐκ τῆς ἄκρας ἐπίδηλον πᾶσι, καὶ φανερὸν τῆς τοῦ κυρίου βοηθείας σημεῖον. καὶ ἐδογμάτισαν πάντες μετὰ κοινοῦ ψηφίσματος μηδαμῶς ἐᾶσαι ἀπαρασήμαντον τήνδε τὴν ἡμέραν. ἔχειν δὲ ἐπίσημον τὴν τρισκαιδεκάτην τοῦ δωδεκάτου μηνός. ἀδὰρ λέγεται τῇ συριακῇ φωνῇ. πρὸ μιᾶς ἡμέρας τῆς μαρδοχαϊκῆς ἡμέρας. τῶν οὖν κατὰ νικάνορα χωρησάντων οὕτως καὶ ἀπ᾽ ἐκείνων τῶν καιρῶν κρατηθείσης τῆς πόλεως ὑπὸ τῶν ἑβραίων καὶ αὐτὸς αὐτόθι καταπαύσω τὸν λόγον. καὶ εἰ μὲν καλῶς εὐθίκτως τῇ συντάξει, τοῦτο καὶ αὐτὸς ἤθελον. εἰ δὲ εὐτελῶς καὶ μετρίως, τοῦτο ἐφικτὸν ἦν μοι. καθάπερ γὰρ οἶνον κατὰ μόνας πίνειν, ὡσαύτως δὲ καὶ ὕδωρ πάλιν πολέμιον. ὃν δὲ τρόπον οἶνος ὕδατι συγκερασθεὶς ἡδὺς, καὶ ἐπιτερπῆ τὴν χάριν ἀποτελεῖ, οὕτω καὶ τὸ τῆς κατασκευῆς τοῦ λόγου τέρπει τὰς ἀκοὰς τῶν ἐντυγχανόντων τῇ συντάξει. ἐνταῦθα δὲ ἔσται ἡ τελευτή.

Τέλος τοῦ δευτέρου λόγου τῶν Μακκαβαίων.

# ΜΑΚΚΑΒΑΙΏΝ ΛΌΓΟΣ ΤΡΊΤΟΣ.

Κεφάλαιον. α. ι.

Ὁ δὲ φιλοπάτωρ μαθὼν παρὰ τῶν ἀνακομισθέντων τὴν γενομένην τῶν ὑπ' αὐτοῦ κρατουμένων τόπων ἀφαίρεσιν ὑπὸ ἀντιόχου, παραγγείλας ταῖς πάσαις δυνάμεσι πεζικαῖς τε, καὶ ἱππικαῖς αὐτοῦ, καὶ τὴν ἀδελφὴν ἀρσινόην συμπαραλαβὼν, ἐξώρμησε μέχρι τῶν κατὰ ῥαφίαν τόπων ὅπου παρεμβεβλήκεισαν οἱ περὶ ἀντίοχον. θεόδοτος δέ τις ἐκπληρῶσαι τὴν ἐπιβουλὴν διανοηθεὶς παραλαβὼν τῶν προϋποτεταγμένων αὐτῷ ὅπλων πτολεμαϊκῶν τὰ κράτιστα, διεκομίσθη νύκτωρ ἐπὶ τὴν τοῦ πτολεμαίου σκηνὴν, ὡς μόνος κτεῖναι αὐτὸν, καὶ ἐν τούτοις διαλῦσαι τὸν πόλεμον. τοῦτον δὲ διαγαγὼν δοσίθεος ὁ δριμύλου λεγόμενος τὸ γένος ἰουδαῖος, ὕστερον δὲ μεταβαλὼν τὰ νόμιμα καὶ τῶν πατρίων δογμάτων ἀπηλλοτριωμένος, ἄσημόν τινα κατέκλινεν ἐν τῇ σκηνῇ. ὃν συνέβη κομίσασθαι τὴν ἐκείνου κόλασιν. γενομένης δὲ καρτερᾶς μάχης καὶ τῶν πραγμάτων μᾶλλον ἐρρωμένων τῷ ἀντιόχῳ. ἱκανῶς ἡ ἀρσινόη ἐπιπορευομένη τὰς δυνάμεις παρεκάλει μετὰ οἴκτου, καὶ δακρύων τοὺς πλοκάμους λελυμένη βοηθεῖν ἑαυτοῖς τε καὶ τοῖς τέκνοις καὶ γυναιξὶ θαρραλέως ἐπαγγελλομένη δώσειν νικήσασιν, ἑκάστῳ δύο μνᾶς χρυσίου, καὶ οὕτω συνέβη τοὺς ἀντιπάλους ἐν χειρονομίαις διαφθαρῆναι.

διαφθαρῆναι. πολλοὺς δὲ καὶ δοριαλώτους συλληφθῆναι. κα
τακρατήσας δὲ τῆς ἐπιβουλῆς ἔκρινε τὰς πλησίον κώμας ἐπελ
θὼν παρακαλέσαι, ποιήσας δὲ τοῦτο καὶ τοῖς τεμένεσι δωρε
ὰς ἀπονείμας εὐθαρσεῖς τοὺς ὑποτεταγμένους κατέστησε. τῶν δὲ
Ἰουδαίων διαπεμψαμένων πρὸς τὸν φιλοπάτορα ἀπὸ τῆς γε
ρουσίας, καὶ τῶν πρεσβυτέρων τοὺς ἀσπασομένους αὐτὸν, καὶ ξέ
νια κομιοῦντας, καὶ ἐπὶ τοῖς συμβεβηκόσι συγχαρησομένους, συ
νέβη μᾶλλον αὐτὸν προθυμηθῆναι ὡς τάχιστα πρὸς αὐτοὺς δια
κομισθῆναι. παραγενόμενος εἰς ἱεροσόλυμα. καὶ θύσας τῷ με
γίστῳ θεῷ, καὶ χάριτας ἀποδοὺς καὶ τῶν ἑξῆς τι τῷ τόπῳ ποιή
σας, καὶ δὴ παραγενόμενος εἰς τὸν τόπον καὶ τῇ σπουδαιότη
τι, καὶ εὐπρεπείᾳ καταπλαγεὶς ἐν τῷ παραγενέσθαι. θαυμάσας
δὲ καὶ τὴν τοῦ ἱεροῦ εὐταξίαν ἐνεθυμήθη βουλεύσασθαι εἰσελθεῖν εἰς
τὸν ναόν. τῶν δὲ εἰπόντων μὴ καθήκειν γενέσθαι τοῦτο, διὰ τὸ μὴ δὲ
τοῖς ἐκ τοῦ ἔθνους ἐξεῖναι. μὴ δὲ πᾶσι τοῖς ἱερεῦσιν ἀλλ' ἢ μόνῳ
τῷ προηγουμένῳ πάντων ἀρχιερεῖ. καὶ τούτῳ ἅπαξ κατ' ἐνιαυ
τὸν οὐδαμῶς ἠβούλετο πείθεσθαι. τοῦ τε νόμου παραναγνωσθέντος
οὐδαμῶς ἀπέλιπε προφερόμενος ἑαυτὸν δεῖν εἰσελθεῖν λέγων.
καὶ εἰ ἐκεῖνοι ἐστέρηνται ταύτης τῆς τιμῆς, ἐμὲ οὐ δεῖ. καὶ ἐπυνθά
νετο διὰ τίνα αἰτίαν εἰσερχόμενον αὐτὸν εἰς πᾶν τέμενος, οὐ
θεὶς ἐκώλυσε τῶν παρόντων. καί τις ἀπρονοήτως ἔφη κακῶς
αὐτὸ τοῦτο πράττεσθαι. γενομένου δὲ φησὶ τούτου διά τινα αἰτίαν,
οὐχὶ πάντως εἰσελεύσεσθαι καὶ θελόντων αὐτῶν, καὶ μή.
τῶν δὲ ἱερέων ἐν πάσαις ταῖς ἐσθήσεσι προσπεσόντων, καὶ δεο
μένων τοῦ μεγίστου θεοῦ βοηθεῖν τῇ ἐνεστώσῃ ἀνάγκῃ, καὶ τὴν ὁρ
μὴν τοῦ κακῶς ἐπιβαλλομένου μεταθεῖναι. κραυγῆς τε μετὰ δα
κρύων τὸ ἱερὸν ἐμπλησάντων. οἱ κατὰ τὴν πόλιν ἀπολειπόμε
νοι ταραχθέντες ἐξεπήδησαν ἄδηλον τιθέμενοι τὸ γινόμενον.
αἵ τε κατάκλειστοι παρθένοι ἐν θαλάμοις σὺν ταῖς τεκούσαις
ἐξώρμησαν. καὶ σποδῷ καὶ κόνει τὰς κεφαλὰς πασάμεναι γόων

τε καὶ στεναγμῶν τὰς πλατείας ἐνεπίμπλων. αἱ δὲ, καὶ προσάρτως ἐσταλμέναι τοὺς πρὸς ἀπάντησιν διατεταγμένους παστοὺς καὶ τὴν ἁρμόζουσαν αἰδῶ παραλείπουσαι, δρόμον ἄτακτον ἐν πόλει συνίσταντο. τά τε νεογνὰ τῶν τέκνων αἱ πρὸς τούτοις μητέρες, καὶ τιθηνοὶ παραλιπόμεναι καὶ ἄλλως, αἱ μὲν κατ᾽ οἴκους αἱ δὲ κατὰ τὰς ἀγυιὰς ἀνεπιστρέπτως εἰς τὸ πανυπέρτατον ἱερὸν ἠθροίζοντο. ποικίλη δὲ ἦν τῶν εἰς τοῦτο συλλεγομένων ἡ δέησις ἐπὶ τοῖς ἀνοσίως ὑπ᾽ ἐκείνου κατεγχειρουμένοις. σύν τε τούτοις οἱ τῶν πολιτῶν θρασυνθέντες, οὐκ ἠνείχοντο τέλεον αὐτοῦ ἐπικειμένου. καὶ τὸ τῆς προαιρέσεως αὐτοῦ ἐκπληροῦν διανοουμένου, φωνήσαντες δὲ τὴν ὁρμὴν ἐπὶ τὰ ὅπλα ποιήσασθαι καὶ θαῤῥαλέως ὑπὲρ τοῦ πατρῴου νόμου τελευτᾶν, ἱκανὴν ἐποίησαν ἐν τῷ τόπῳ τραχύτητα μόλις τε ἀπό τε τῶν ἱερέων, καὶ τῶν πρεσβυτέρων ἀποτραπέντες ἐπὶ τὴν αὐτὴν τῆς δεήσεως παρῆσαν στάσιν. καὶ τὸ μὲν πλῆθος, ὡς ἔμπροσθεν ἐν τούτοις ἀνεστρέφετο δεόμενον. οἱ δὲ περὶ τὸν βασιλέα πρεσβύτεροι πολλὰ ἐπειρῶντο, τὸν ἀγέρωχον αὐτοῦ νοῦν ἐξιστᾶν τῆς ἐνθυμημένης βουλῆς. θρασυνθεὶς δὲ καὶ πάντα παραπέμψας ἤδη, καὶ πρόσβασιν ἐποιεῖτο τέλος ἐπιθήσειν δοκῶν τῷ προειρημένῳ. ταῦτ᾽ οὖν, καὶ οἱ περὶ αὐτὸν ὄντες θεωροῦντες ἐτράπησαν, εἰς τὸ σὺν τοῖς ἡμετέροις ἐπικαλεῖσθαι τὸν πᾶν κράτος ἔχοντα τοῖς παροῦσιν ἐπαμῦναι μὴ παριδόντα τὴν ἄνομον καὶ ὑπερήφανον πρᾶξιν. ἐκ δὲ τῆς πυκνότητός τε, καὶ ἐμπόνου τῶν ὄχλων, συναγομένης κραυγῆς, ἀνείκαστός τις ἦν βοή. δοκεῖν γὰρ ἦν μὴ μόνον τοὺς ἀνθρώπους ἀλλὰ καὶ τὰ τείχη, καὶ τὸ πᾶν ἔδαφος ἠχεῖν. ἅτε δὴ τῶν πάντων τότε θάνατον ἀλλασσομένων, ἀντὶ τῆς τοῦ τόπου βεβηλώσεως. ὁ μὲν οὖν ἀρχιερεὺς Σίμων ἐξ ἐναντίας τοῦ ναοῦ κάμψας τὰ γόνατα καὶ τὰς χεῖρας προτείνας εὐτάκτως ἐποιήσατο τὴν δέησιν τοιαύτην. κύριε κύριε βασιλεῦ τῶν οὐρανῶν καὶ δέσποτα πάσης κτίσεως. ἅγιε ἐν ἁγίοις. μόναρχε.

παντοκράτορ· πρόσχες ἡμῖν καταπονουμένοις ὑπὸ ἀνοσίου, καὶ βεβήλου θράσει, καὶ δεινῇ πεφρυαγμένου. σὺ γὰρ ὁ κτίσας τὰ πάντα, καὶ τῶν ὅλων ἐπικρατῶν δυνάστης δίκαιος εἶ· καὶ τοὺς ὕβρει, καὶ ἀγερωχίᾳ πράσσοντάς τι κρίνεις, σὺ τοὺς ἔμπροσθεν ἀδικίαν ποιήσαντας, ἐν οἷς καὶ γίγαντες ἦσαν, ῥώμῃ καὶ θράσει πεποιθότες. διέφθειρας ἐπαγαγὼν αὐτοῖς ἀμέτρητον ὕδωρ. σὺ τοὺς ὑπερηφανίαν ἐργαζομένους σοδομίτας διαδήλους ταῖς κακίαις γενομένους πυρὶ καὶ θείῳ κατέφλεξας· παράδειγμα τοῖς ἐπιγινομένοις καταστήσας. σὺ τὸν θρασὺν φαραὼ καταδουλωσάμενον τὸν λαόν σου τὸν ἅγιον ἰσραὴλ ποικίλαις καὶ πολλαῖς δοκιμάσας τιμωρίαις· ἐγνώρισας τὴν σὴν δυναστείαν· ἀφ' αἷς ἐγνώρισας τὸ μέγα σου κράτος· καὶ ἐπιδιώξαντα αὐτὸν σὺν ἅρμασι, καὶ ὄχλων πλήθει, ἐπέκλυσας βάθει θαλάσσης· τοὺς δὲ ἐμπιστεύσαντας ἐπὶ σοὶ τῷ τῆς ἁπάσης κτίσεως δυναστεύοντι, σώους διεκόμισας. οἳ καὶ συνειδότες ἔργα σῆς χειρὸς, ᾔνεσάν σε τὸν παντοκράτορα. σὺ βασιλεῦ κτίσας τὴν ἀπέραντον καὶ ἀμέτρητον γῆν· ἐξελέξω τὴν πόλιν ταύτην, καὶ ἡγίασας τὸν τόπον τοῦτον εἰς ὄνομά σοι τῷ τῶν ἁπάντων ἀπροσδεῖ· καὶ παρεδόξασας ἐν ἐπιφανείᾳ μεγαλοπρεπεῖ σύστασιν ποιησάμενος ἑαυτοῦ πρὸς δόξαν τοῦ μεγάλου, καὶ ἐντίμου ὀνόματός σου. καὶ ἀγαπῶν τὸν οἶκον τοῦ ἰσραὴλ ἐπηγγείλω δή, ὅτι ἐὰν γένηται ἡμῶν ἀποστροφή· καὶ καταλάβῃ ἡμᾶς στενοχωρία· καὶ ἐλθόντες εἰς τὸν τόπον τοῦτον δεηθῶμεν, εἰσακούσῃ τῆς δεήσεως ἡμῶν καὶ δὴ πιστὸς εἶ καὶ ἀληθινός. ἐπεὶ δὲ πλεονάκις θλιβέντων τῶν πατέρων ἡμῶν ἐβοήθησας αὐτοῖς ἐν τῇ ταπεινώσει· καὶ ἐρρύσω αὐτοὺς ἐκ μεγάλων κινδύνων. ἰδοὺ δὲ νῦν ἅγιε βασιλεῦ διὰ τὰς πολλὰς καὶ μεγάλας ἡμῶν ἁμαρτίας καταπονούμεθα, καὶ ὑποτάγημεν τοῖς ἐχθροῖς ἡμῶν, καὶ παρείμεθα ἐν ἀδυναμίαις. ἐν τῇ ἡμετέρᾳ καταπτώσει. ὁ δὲ θρασὺς καὶ βέβηλος οὗτος ἐπιτηδεύει καθυβρίσαι τὸν ἐπὶ τῆς

γῆς ἀναδεδειγμένον τῷ ὀνόματι τῆς δόξης σου ἅγιον τόπον. τὸ μὲν γὰρ οἰκητήριόν σου οὐρανὸς τοῦ οὐρανοῦ ἀνέφικτος ἀνθρώποις ἐστίν. ἀλλ' ἐπεὶ εὐδοκήσας τὴν δόξαν σου ἐν τῷ λαῷ σου ἰσραὴλ ἡγίασας τὸν τόπον τοῦτον. μὴ καταδικάσῃς ἡμᾶς ἐν τῇ τούτων ἀκαθαρσίᾳ. μηδὲ εὐθύνῃς ἡμᾶς ἐν βεβηλώσει. ἵνα μὴ καυχήσωνται οἱ παράνομοι ἐν θυμῷ αὐτῶν. ἡμεῖς κατεπατήσαμεν τὸν οἶκον τοῦ ἁγιασμοῦ, ὡς καταπατοῦνται οἱ οἶκοι τῶν προσοχθισμάτων. ἀπάλειψον τὰς ἁμαρτίας ἡμῶν, καὶ διασκέδασον τὰς ἀμπλακίας ἡμῶν; καὶ ἐπίφανον τὸ ἔλεός σου κατὰ τὴν ὥραν ταύτην. ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου. καὶ δὸς αἰνέσεις ἐν στόματι τῶν καταπεπτωκότων καὶ συντετριμμένων τὰς ψυχὰς ποιήσας ἡμῖν εἰρήνην ἐν ταῦθα. ὁ δὲ πάντων ἐπόπτης καὶ θεὸς πρὸ πάντων ἅγιος ἐν ἁγίοις εἰσακούσας τῆς ἐνθέσμου λιτανείας, τὸν ὕβρει καὶ θράσει μεγάλως ἐπηρμένον. ἐμάστιξεν αὐτόν. ἔνθεν καὶ ἔνθεν κραδάνας αὐτόν. ὡς κάλαμον ὑπὸ ἀνέμου, ὥστε καθ' ἐδάφους ἄπρακτον κεῖσθαι ἔτι, καὶ τοῖς μέλεσι παραλελυμένον. ὥστε μὴ φωνῆσαι δύνασθαι, δικαίᾳ περιπεπληγμένον κρίσει. ὅθεν οἵ τε φίλοι καὶ οἱ σωματοφύλακες αὐτοῦ ταχεῖαν καὶ ὀξεῖαν ἰδόντες τὴν καταλαβοῦσαν αὐτὸν εὐθύνην. φοβούμενοι μὴ καὶ τὸ ζῆν ἐκλείπῃ, ταχέως αὐτὸν ἐξείλκυσαν ὑπερβαλλόντως καταπεπληγμένοι φόβῳ. ἐν χρόνῳ δὲ ὕστερον ἀναλεξάμενος ἑαυτόν, οὐδαμῶς εἰς μεταμέλειαν ἦλθεν ἐπιτιμηθείς. μετ' ἀπειλῆς δὲ πικρᾶς ἀνέλυσε. διακομισθεὶς δὲ εἰς τὴν αἴγυπτον καὶ τὰ τῆς κακίας ἐπαύξων. διά τε τῶν προϋποδεδειγμένων συμπότων, καὶ ἑταίρων τοῦ παντὸς δικαίου κεχωρισμένων οὐ μόνον ταῖς ἀναριθμήτοις ἀσελγείαις διηρκέσθη. ἀλλὰ καὶ ἐπὶ τοσοῦτον θράσους προῆλθεν, ὥστε δυσφημίας ἐν τοῖς τόποις συνίστασθαι. καὶ πολλοὺς τῶν φίλων ἀτενίζοντας εἰς τὴν τοῦ βασιλέως πρόθεσιν, καὶ αὐτοὺς ἕπεσθαι τῇ ἐκείνου θελήσει. προέθετο δὲ ὁ βασιλεὺς δημοσίᾳ κατὰ τοῦ ἔθνους διαδοῦναι ψόγον. καὶ ἐπὶ τοὺς κατὰ

τὴν αὐλὴν πύργους στήλην ἀναστήσας ἐξεκόλαψε γραφὴν μηδένα τῶν μὴ θυόντων εἰς τὰ ἱερὰ αὐτῶν εἰσιέναι· πάντας δὲ τοὺς ἰουδαίους εἰς λαογραφίαν, καὶ οἰκετικὴν διάθεσιν ἀχθῆναι· τοὺς δὲ ἀντιλέγοντας βίᾳ φερομένους τοῦ ζῆν μεταστῆσαι. τούς τε ἀπογραφομένους χαράττεσθαι, διά τε πυρὸς εἰς τὸ σῶμα παρασήμῳ διονύσου κισσοφύλλῳ· οὓς καὶ κατεχώρισεν εἰς τὴν προνομησαμένην αὐθεντίαν. ἵνα δὲ μὴ τοῖς πᾶσιν ἀπεχθόμενος φαίνηται, ὑπέγραψεν· ἐὰν δέ τινες ἐξ αὐτῶν προαιρῶνται ἐν τοῖς κατὰ τὰς τελετὰς μεμυημένοις ἀναστρέφεσθαι, τούτους ἰσοπολίτας ἀλεξανδρεῦσιν εἶναι. ἔνιοι μὲν οὖν ἐπὶ πόλεων τὰς τῆς πόλεως εὐσεβείας ἐπιβάθρας στυγοῦντες εὐχερῶς ἑαυτοὺς ἐδίδοσαν· ὡς μεγάλης τινὸς κοινωνήσοντες εὐκλείας ἀπὸ τῆς ἐσομένης τῷ βασιλεῖ συναναστροφῆς. οἱ δὲ πλεῖστοι γενναίᾳ ψυχῇ ἐνίσχυσαν, καὶ οὐ διέστησαν τῆς εὐσεβείας· τά τε χρήματα περὶ τοῦ ζῆν ἀντικαταλλασσόμενοι ἀδεῶς ἐπειρῶντο ἑαυτοὺς ῥύσασθαι ἐκ τῶν ἀπογραφῶν. εὐέλπιδες δὲ καθειστήκεισαν ἀντιλήψεως τεύξεσθαι, καὶ τοὺς ἀποχωροῦντας ἐξ αὐτῶν ἐβδελύσσοντο· καὶ ὡς πολεμίους τοῦ ἔθνους ἔκρινον, καὶ τῆς κοινῆς συναναστροφῆς, καὶ εὐχρηστίας ἐστέρουν. ἃ καὶ μεταλαμβάνων ὁ δυσσεβὴς ἐπὶ τοσοῦτον ἐχόλεσεν, ὥστε οὐ μόνον κατ' ἀλεξανδρεῦσιν διοργίζεσθαι, ἀλλὰ καὶ τοῖς ἐν τῇ χώρᾳ βαρυτέρως ἐναντιωθῆναι καὶ προστάξαι σπεύσαντας συναγαγεῖν πάντας ἐπὶ τὸ αὐτὸ καὶ χειρίστῳ μόρῳ τοῦ ζῆν μεταστῆσαι. τούτων δὲ οἰκονομουμένων φήμη δυσμενὴς ἐξήχετο κατὰ τοῦ γένους, ἀνθρώποις συμφρονοῦσιν εἰς κακοποίησιν ἀφορμῆς διδομένης εἰς διάθεσιν, ὡς ἂν ἀπὸ τῶν νομίμων αὐτοὺς κωλυόντων. οἱ δὲ ἰουδαῖοι τὴν μὲ τὰ πρὸς τοὺς βασιλεῖς εὔνοιαν καὶ πίστιν ἀδιάστροφον ἦσαν διαφυλάσσοντες. σεβόμενοι δὲ τὸν θεὸν, καὶ τῷ τούτου νόμῳ πολιτευόμενοι, χωρισμὸν ἐποίουν ἐπ' αὐτοῖς καταστροφάς· δι' ἣν αἰτίαν ἐνίοις ἀπεχθεῖς ἐφαίνοντο. τῇ δὲ τῶν δικαίων εὐπραξίᾳ

κοσμοῦντες τὴν συναστροφὴν ἅπασιν ἀνθρώποις εὐδόκιμοι καθεστήκεισαν. τὴν μὲν οὖν περὶ τοῦ γένους ἐν πᾶσι θρυλλουμένην εὐπραξίαν, οἱ ἀλλόφυλοι οὐδαμῶς διηριθμήσαντο. τὴν δὲ περὶ τῶν προσκυνήσεων καὶ τροφῶν διάστασιν, ἐθρύλλουν φάσκοντες μήτε τῷ βασιλεῖ μήτε ταῖς δυνάμεσιν ὁμοσπόνδους τοὺς ἀνθρώπους γίνεσθαι. δυσμενεῖς δὲ εἶναι καὶ μέγα τι τοῖς πράγμασιν ἐναντιουμένους, καὶ οὐ τῷ τυχόντι περιῆψαν ψόγῳ. οἱ δὲ κατὰ τὴν πόλιν Ἕλληνες οὐδὲν ἠδικημένοι ταραχὴν ἀπροσδόκητον περὶ τοὺς ἀνθρώπους θεωροῦντες καὶ συνδρομὰς ἀπροσκόπους γινομένας, βοηθεῖν μὲν οὐκ ἔσθενον, τυραννικὴ γὰρ ἦν ἡ διάθεσις. παρεκάλουν δὲ καὶ δυσφόρως εἶχον καὶ μεταπεσεῖσθαι ταῦτα ὑπελάμβανον. μὴ γὰρ οὕτως παραστήσεσθαι τηλικοῦτο σύστημα μηδὲν, ἠγνοηκός. ἤδη δὲ καί τινες γείτονές τε, καὶ φίλοι καὶ συμπραγματευόμενοι μυστικῶς τινας ἐπισπώμενοι πίστεις ἐδίδουν συνασπίζειν, καὶ πᾶν ἐκτενὲς προσοίσεσθαι πρὸς ἀντίληψιν. ἐκεῖνος μὲν οὖν τῇ κατὰ τὸ παρὸν εὐημερίᾳ γεγαυρωμένος, καὶ οὐκ ἀθορῶν τὸ τοῦ μεγίστου θεοῦ κράτος ὑπολαμβάνων δὲ διηνεκῶς ἐν τῇ αὐτῇ διαμένειν βουλῇ. ἔγραψε κατ' αὐτῶν ἐπιστολὴν τήνδε. βασιλεὺς Πτολεμαῖος φιλοπάτωρ τοῖς κατ' αἴγυπτον, καὶ κατὰ τόπον στρατηγοῖς, καὶ στρατιώταις χαίρειν. καὶ ἐῤῥῶσθαι, ἔῤῥωμαι δὲ καὶ ἐγὼ αὐτὸς, καὶ τὰ πράγματα ἡμῶν. ἐκ τῆς εἰς τὴν ἀσίαν γενομένης ἡμῖν ἐπιστρατείας ἧς ἴστε, καὶ αὐτοὶ τῇ τῶν θεῶν πρὸς ἡμᾶς ἀπροσπτώτῳ συμμαχίᾳ καὶ τῇ ἡμετέρᾳ δὲ ῥώμῃ κατὰ λόγον ἐπ' ἄριστον τέλος ἀχθείσης. ἡγησάμεθα οὐ μὴ βίᾳ δόρατος ἐπιεικείᾳ δὲ καὶ πολλῇ φιλανθρωπίᾳ τιθηνήσασθαι τὰ κατοικοῦντα κοίλην συρίαν καὶ φοινίκην ἔθνη. εὐποιῆσαί τε ἀσμένως, καὶ τοῖς κατὰ πόλιν ἱεροῖς ἀπονείμαντες προσόδους πλείστας, προήχθημεν καὶ εἰς τὰ ἱεροσόλυμα ἀναβάντες τιμῆσαι τὸ ἱερὸν τῶν ἀλιτηρίων καὶ μηδέποτε ληγόντων ἀνοίας. οἱ δὲ λόγῳ μὲν τὴν ἡμετέραν ἀποδεξάμενοι

παρουσίαν, τῷ δὲ πράγματι νόθως. προθυμηθέντων ἡμῶν εἰ-
σελθεῖν εἰς τὸν ναὸν αὐτῶν, καὶ τοῖς ἐκπρεπέσι καὶ καλλίστοις ἀνα-
θήμασι τιμῆσαι. τύφοις φερόμενοι παλαιοτέροις, εἶρξαν ἡμᾶς
τῆς εἰσόδου. ἀπολειπόμενοι τῆς ἡμετέρας ἀλκῆς, δι' ἣν ἔχομεν
πρὸς ἅπαντας ἀνθρώπους φιλανθρωπίαν. τὴν δὲ αὐτῶν εἰς ἡ-
μᾶς δυσμένειαν ἔκδηλον καθιστάντες, ὡς μονώτατοι τῶν ἐθνῶν.
βασιλεῦσι, καὶ τοῖς ἑαυτῶν εὐεργέταις ὑψαυχενοῦντες οὐδὲν
γνήσιον βούλονται φέρειν ἡμεῖς δὲ τῇ τούτων ἀνοίᾳ, συμπε-
ριενεχθέντες μετὰ νίκης διακομισθέντες, καὶ εἰς τὴν αἴγυπτον
τοῖς πᾶσιν ἔθνεσι φιλανθρώπως ἀπαντήσαντες καθὼς ἔπρεπεν
ἐποιήσαμεν. ἐν δὲ τούτοις πρὸς τοὺς ὁμοφύλους αὐτῶν ἀμνησι-
κακίαν ἅπασι γνωρίζοντες διά τε τὴν συμμαχίαν καὶ τὰ
πεπιστευμένα μετὰ ἁπλότητος αὐτοῖς καὶ τὰ ἀπαρχῆς μυρία
πράγμασι τολμήσαντες. ἐξαλλοιῶσαι ἐβουλήθημεν καὶ πολιτείας
αὐτοὺς ἀλεξανδρέων καταξιῶσαι καὶ μετόχους τῶν ἀεὶ ἱερέων
καταστῆσαι. οἱ δὲ τοὐναντίον ἐκδεχόμενοι καὶ τῇ συμφύτῳ
κακοηθείᾳ τὸ καλὸν ἀπωσάμενοι, διηνεκῶς δὲ εἰς τὸ φαῦλον ἐκ-
νεύοντες. οὐ μόνον ἀπέστρεψαν τὴν ἀτίμητον πολιτείαν. ἀλ-
λὰ καὶ βδελύσσονται λόγῳ τε καὶ ἔργῳ τοὺς ἐν αὐτοῖς ὀλί-
γους. πρὸς ἡμᾶς γνησίως διακειμένους. παρέκαστα ὑφορώμενοι
διὰ τῆς δυσκλεεστάτης ἐμβιώσεως διατάχους ἡμᾶς κατα-
στρέψαι τὰ κατορθώματα. διὸ καὶ τεκμηρίοις καλῶς πεπει-
σμένοι τούτους κατὰ πάντα δυσνοεῖν ἡμῖν τρόπον. καὶ προ-
νοούμενοι μήποτε αἰφνιδίου μετέπειτα ταραχῆς ἐνστάσης ἡ-
μῖν τοὺς δυσσεβεῖς τούτους κατὰ νώτου προδότας, καὶ βαρ-
βάρους ἔχωμεν πολεμίους. προστετάχαμεν οὖν ἅμα τὸ προ-
σπεσεῖν τὴν ἐπιστολὴν τήνδε. αὐθημερὸν τοὺς ἐν σημαινομέ-
νους σὺν γυναιξὶ, καὶ τέκνοις μετὰ ὕβρεων, καὶ σκυλμῶν ἀποστεῖλαι
πρὸς ἡμᾶς ἐν δεσμοῖς σιδηροῖς πάντοθεν κατακεκλεισμένους εἰς
ἀνήκεστον, συμφορὰν καὶ δυσκλεῆ καὶ πρέποντα δυσμενέσι φό-

ρον τούτων ὁμοῦ κολασθέντων, διειλήφαμεν εἰς τὸν ἐπίλοιπον χρό-
νον τελείως ἡμῖν τὰ πράγματα ἐν εὐσταθείᾳ, καὶ βελτίστῃ διαθέ-
σει κατασταθήσεσθαι. ὃς δ' ἂν σκεπάσῃ τινὰ τῶν ἰουδαίων ἀπὸ γε-
ραιοῦ μέχρι νηπίου, μέχρι τῶν ὑπομασθίων αἰσχίστοις βασάνοις ἀπο-
τυμπανισθήσεται πανοικί. μηνύειν δὲ τὸν βουλόμενον ἐφ' ᾧ τὴν
οὐσίαν τοῦ ἐμπίπτοντος ὑπὸ τὴν εὐθύνην λήψεται. καὶ ἐκ τοῦ βα-
σιλικοῦ ἀργυρίου δραχμὰς δισχιλίας. καὶ τῆς ἐλευθερίας στεφα-
νωθήσεται. πᾶς δὲ τόπος οὗ ἐὰν φωραθῇ τὸ σύνολον σκεπαζόμε-
νος ἰουδαῖος ἄβατος καὶ πυριφλεγὴς γινέσθω. καὶ πάσῃ θνητῇ
φύσει κατὰ πᾶν ἄχρηστος φανήσεται εἰς τὸν ἀεὶ χρόνον. καὶ ὁ μὲν
τῆς ἐπιστολῆς τύπος οὕτως ἐγέγραπτο. πάντη δὲ ὅπου προσέ-
πιπτε τοῦτο πρόσταγμα δημοτελὴς συνίστατο τοῖς ἔθνεσιν εὐω-
χία μετὰ ἀλαλαγμῶν καὶ χαρᾶς, ὡς ἂν τῆς προκατεσκιρρω-
μένης αὐτοῖς πάλαι κατὰ διάνοιαν μετὰ παρρησίας νῦν ἐκ-
φαινομένης ἀπεχθείας. τοῖς δὲ ἰουδαίοις ἀνήκεστον πένθος ἦν, καὶ
πανόδυρτος μετὰ δακρύων βοὴ στεναγμοῖς. πεπυρωμένης τῶν αὐ-
τῶν πάντοθεν καρδίας. ὀλοφυρομένων τὴν ἀπροσδόκητον ἐξαί-
φνης ἐπικριθεῖσαν αὐτοῖς ὀλεθρίαν. τίς νομὸς, ἢ πόλις, ἢ τίς τὸ
σύνολον οἰκητὸς τόπος οὐ τινὲς ἀγυιαὶ κοπετοῦ, καὶ γόων ἐπ' αὐ-
τοῖς οὐκ ἐμπιπλῶντο. οὕτω γὰρ μετὰ πικρίας ἀνοίκτου ψυχῆς
ὑπὸ τῶν κατὰ πόλιν στρατηγῶν ὁμοθυμαδὸν ἐξαπεστέλλοντο ὥσ-
τε ἐπὶ ταῖς ἐξ ἄλλοις τιμωρίαις καί τινας τῶν ἐχθρῶν λαμβά-
νοντας πρὸ τῶν ὀφθαλμῶν τὸν κοινὸν ἔλεον, καὶ λογιζομένους
τὴν ἄδηλον τοῦ βίου καταστροφὴν δακρύειν αὐτῶν τὴν δυσά-
θλιον ἐξαποστολήν. ἤγετο γὰρ γεραιῶν πλῆθος πολιᾷ πεπυκα-
σμένων τὴν ἐκ τοῦ γήρως νωθρότητα ποδῶν ἐπίκυφον ἀνατρο-
πῆς ὁρμῇ βιαίας ἀπαλῆς αἰδοῦς ἄνευ πρὸς ὀξεῖαν καταχρωμέ-
νων πορείαν. αἱ δὲ ἄρτι πρὸς βίου κοινωνίαν γαμικὸν ὑπεληλυ-
θυῖαι παστὸν νεάνιδες, ἀντὶ τέρψεως μεταλαβοῦσαι γόους. καὶ
κόνει τὴν μυροβραχῆ πεφυρμέναι κόμην. ἀκαλύπτως δὲ ἀγό-

μέναι θρῆνον ἀνθ' ὑμεναίων, ὁμοθυμαδὸν ἐξῆρχον, ὡς ἐσπαραγμέναι σκυλμοῖς ἀλλοεθνέσι. δέσμιαι δὲ δημόσιαι μέχρι τῆς εἰς τὸ πλοῖον ἐμβολῆς εἵλκοντο μετὰ βίας. οἵ τε τούτων συζυγεῖς βρόχοις ἀντὶ στεφέων τοὺς αὐχένας πεπληγμένοι μετὰ ἀλκμαίας νεανικῆς ἡλικίας ἀντὶ εὐωχίας, καὶ νεωτερικῆς ῥᾳθυμίας τὰς ἐπιλοίπους τῶν γάμων ἡμέρας ἐν θρήνοις διῆγον. παρὰ πόδας ἤδη τὸν ᾅδην ὁρῶντες κείμενον. κατήχθησαν δὲ θηρίων τρόπον ἀγόμενοι σιδηροδέσμοις ἀνάγκαις. οἱ μὲν τοῖς ζυγοῖς τῶν πλοίων προσηλωμένοι τοὺς τραχήλους. οἱ δὲ τοὺς πόδας ἀρρήκτοις κατησφαλισμένοι πέδαις. ἔτι καὶ τῷ καθύπερθεν πυκνῷ σανιδώματι σφηκωμένῳ. ὅπως πάντοθεν ἐσκοτισμένοι τοὺς ὀφθαλμοὺς, ἀγωγὴν ἐπιβούλων ἐν παντὶ τῷ κατάπλῳ λαμβάνων. τούτων δὲ ἐπὶ τὴν λεγομένην σχεδίαν ἀχθέντων, καὶ τοῦ παράπλου πέρας θέντος, καθὼς ἦν δεδογματισμένον τῷ βασιλεῖ προσέταξεν αὐτοὺς, ἐν τῷ πρὸ τῆς πόλεως ἱπποδρομίῳ παρεμβαλεῖν ἀπλάτῳ καθεστῶτι περιμέτρῳ, καὶ πρὸς παραδειγματισμὸν ἄγαν εὐχειροτάτῳ καθεστῶτι πᾶσι τοῖς καταπορευομένοις εἰς τὴν πόλιν καὶ τοῖς ἐκ τούτων εἰς τὴν χώραν στελλομένοις πρὸς ἐκδημίαν. πρὸς τὸ μὴ δὲ ταῖς δυνάμεσιν αὐτοῦ κοινωνεῖν μὴ δὲ τὸ σύνολον καταξιῶσαι περίβολον, ὡς δὲ τοῦτο ἐγενήθη, ἀκούσας τοὺς ἐκ τῆς πόλεως ὁμοεθνεῖς κρυβῆ ἐκπορευομένους πυκνότερον ἀποδύρεσθαι τὴν ἀκλεᾶ τῶν ἀδελφῶν ταλαιπωρίαν, διοργισθεὶς προσέταξε, καὶ τούτοις ὁμοῦ τὸν αὐτὸν τρόπον ἐπιμελῶς, ὡς ἐκείνοις ποιῆσαι λειπομένοις κατὰ μηδένα τρόπον τῆς ἐκείνων τιμωρίας. ἀπογραφῆναι δὲ πᾶν τὸ φῦλον ἐξ ὀνόματος. οὐ γὰρ τὴν ἔμπροσθεν βραχεῖ προδεδηλωμένην τῶν ἔργων κατὰ πόνον λατρείαν. στρεβλωθέντας δὲ παρηγγελμέναις αἰκίαις τὸ τέλος ἀφανίσαι μιᾶς ὑπὸ καιρὸν ἡμέρας. ἐγένετο μὲν οὖν ἡ τούτων ἀπογραφὴ μετὰ πικρᾶς σπουδῆς, καὶ φιλοτίμου προσεδρείας ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν

συνόνυμον λαμβάνουσα τὸ τέλος ἐπὶ ἡμέρας τεσσαράκοντα. μεγάλως δὲ καὶ διηνεκῶς ὁ βασιλεὺς χαρᾷ πεπληρωμένος συμπόσια ἐπὶ πάντων τῶν εἰδώλων συνιστάμενος πεπλανημένοι πόρρω τῆς ἀληθείας φρενὶ, καὶ βεβήλῳ στόματι· τὰ μὲν κωφὰ, καὶ μὴ δυνάμενα αὐτοῖς λαλεῖν, ἢ ἀρήγειν ἐπαινῶν. εἰς δὲ τὸν μέγιστον θεὸν τὰ μὴ καθήκοντα λαλῶν. μετὰ δὲ τὸ προειρημένον τοῦ χρόνου διάστημα προσηνέγκαντο οἱ γραμματεῖς τῷ βασιλεῖ. μηκέτι ἰσχύειν τὴν τῶν ἰουδαίων ἀπογραφὴν ποιεῖσθαι διὰ τὴν ἀμέτρητον αὐτῶν πληθὺν, καίπερ ὄντων κατὰ τὴν χώραν ἔτι τῶν πλειόνων. τῶν μὲν κατὰ τὰς οἰκίας ἔτι συνεστηκότων. τῶν δὲ κατὰ τόπον, ὡς ἀδυνάτου καθεστῶτος πᾶσι τοῖς ἐπ᾽ αἴγυπτον στρατηγοῖς. ἀπειλήσαντος δὲ αὐτοῖς σκληρότερον ὡς δεδωροκοπημένοις εἰς μηχανὴν τῆς ἐκφυγῆς. συνέβη σαφῶς αὐτὸν περὶ τούτου πιστωθῆναι λεγόντων μετὰ ἀποδείξεως. καὶ τὴν χαρτηρίαν ἤδη, καὶ τοὺς γραφικοὺς καλάμους. ἐν οἷς ἐχρῶντο ἐκλελοιπέναι. τοῦτο δὲ ἦν ἐνέργεια τῆς τοῦ βοηθοῦντος τοῖς ἰουδαίοις ἐξ οὐρανοῦ προνοίας ἀνικήτου. τότε προσκαλεσάμενος ἕρμωνα τὸν πρὸς τῇ τῶν ἐλεφάντων ἐπιμελείᾳ, βαρείᾳ μεμεστωμένος ὀργῇ, καὶ χόλῳ κατὰ πᾶν ἀμετάθετος. ἐκέλευσεν ὑπὸ τὴν ἐρχομένην ἡμέραν δαψιλέσι δράκεσι λιβανωτοῦ, καὶ οἴνῳ πλείονι ἀκράτῳ ἅπαντας τοὺς ἐλέφαντας ποτίσαι. ὄντας τὸν ἀριθμὸν πεντακοσίους. καὶ ἀγριωθέντας τῇ τοῦ πόματος ἀφθόνῳ χορηγίᾳ, εἰσαγαγεῖν πρὸς συνάντησιν τοῦ μόρου τῶν ἰουδαίων. ὁ μὲν τάδε προστάσσων ἐτρέπετο πρὸς τὴν εὐωχίαν συναγαγὼν τοὺς μάλιστα τῶν φίλων. καὶ τῆς στρατιᾶς ἀπεχθῶς ἔχοντας πρὸς τοὺς ἰουδαίους. ὁ δὲ ἐλεφαντάρχης τὸ προσταγὲν ἀραρότως ἕρμων συνετέλει. οἵ τε πρὸς τούτοις λειτουργοὶ κατὰ τὴν ἑσπέραν ἐξιόντες τὰς τῶν ταλαιπώρων ἐδέσμευον χεῖρας τήν τε λοιπὴν ἐμηχανῶντο περὶ αὐτοὺς ἀσφάλειαν. ἔννυχον δόξαντες ὁμοῦ λήψεσθαι τὸ φῦλον πέρας τῆς ὀλεθρίας. οἱ δὲ πάσης

σκέπης ἔρημοι δοκοῦντες εἶναι τοῖς ἔθνεσιν ἰουδαῖοι διὰ τὴν πάντοθεν περιέχουσαν αὐτοὺς μετὰ δεσμῶν ἀνάγκην. τὸν παντοκράτορα κύριον, καὶ πάσης δυνάμεως δυναστεύοντα ἐλεήμονα θεὸν αὐτῶν, καὶ πατέρα δυσκαταπαύστῳ βοῇ πάντες μετὰ δακρύων ἐπεκαλέσαντο δεόμενοι τὴν κατ᾿ αὐτῶν μεταστρέψαι βουλὴν ἀνοσίαν. καὶ ῥύσασθαι αὐτοὺς μετὰ μεγαλομεροῦς ἐπιφανείας ἐκ τοῦ παραπόδας ἐν ἑτοίμῳ μόρου. τούτων μὲν ἐκτενῶς ἡ λιτανεία ἀνέβαινεν εἰς οὐρανόν. ὁ δὲ ἕρμων τοὺς ἀνηλεεῖς ἐλέφαντας ποτίσας πεπληρωμένους τῆς τοῦ οἴνου πολλῆς χορηγίας, καὶ τοῦ λιβάνου μεμεστωμένους, ὄρθριος ἐπὶ τὴν αὐλὴν παρῆν περὶ τούτων προσαγγεῖλαι τῷ βασιλεῖ. τοῦτο δὲ ἀπ᾿ αἰῶνος χρόνου κτίσμα καλὸν ἐν νυκτὶ, καὶ ἡμέρᾳ ὑποβαλλόμενον ὑπὸ τοῦ χαριζομένου πᾶσιν οἷς ἂν αὐτὸς θελήσῃ ὕπνου μέρος ἀπέστειλε πρὸς τὸν βασιλέα. καὶ ἡδίστῳ. καὶ βαθεῖ κατεσχέθη τῇ ἐνεργείᾳ τοῦ δεσπότου. τῆς ἀθέσμου μὲν προθέσεως πολὺ διεσφαλμένος, τοῦ δὲ μεταθέτου λογισμοῦ μεγάλως διεψευσμένος. οἱ δὲ ἰουδαῖοι τὴν προσημανθεῖσαν ὥραν διαφυγόντες, τὸν ἅγιον ᾔνουν θεὸν αὐτῶν. καὶ πάλιν. ἠξίουν τὸν εὐκατάλλακτον δεῖξαι μεγαλοσθενοῦς αὐτοῦ χειρὸς κράτος ἔθνεσιν ὑπερηφάνοις. μεσούσης δὲ ἤδη δεκάτης ὥρας σχεδὸν ὁ πρὸς ταῖς κλήσεσι τεταγμένος ἀθρόως τοὺς κλητοὺς ἰδὼν, ἔνυξε προσελθὼν τὸν βασιλέα καὶ μόλις διεγείρας ὑπέδειξε τὸν τῆς συμποσίας καιρὸν ἤδη παρατρέχοντα τὸν περὶ τούτων λόγον ποιούμενος. ὃν ὁ βασιλεὺς λογισάμενος, καὶ τραπεὶς εἰς τὸν τόπον ἐκέλευσε τοὺς παραγεγονότας εἰς τὴν συμποσίαν ἄντικρυς ἀνακλιθῆναι αὐτοῦ. οὗ καὶ γενομένου παρῄνει εἰς εὐωχίαν δόντας ἑαυτοὺς τὸν παρόντα τῆς συμποσίας ἐπὶ πολὺ γεραιρομένους εἰς εὐφροσύνην καταθέσθαι μέρος. ἐπὶ πλεῖον δὲ προβαινούσης τῆς ὁμιλίας τὸν ἕρμωνα μεταπεμψάμενος ὁ βασιλεὺς μετὰ πικρᾶς ἀπειλῆς

ἐπυνθάνετο τίνος ἕνεκεν αἰτίας εἰάθησαν οἱ ἰουδαῖοι τὴν περι-
οῦσαν ἡμέραν περιβεβιωκότες. τοῦ δὲ ὑποδείξαντος νυκτὸς τὸ
προσταγὲν, ἐπὶ τέλος ἠγηοχέναι. καὶ τῶν φίλων αὐτῶν προσ-
μαρτυρησάντων τὴν ὠμότητα χείρονα φαλάριδος. ἐσχηκὼς
ἔφη τοῦ τῆς σήμερον ὕπνῳ χάριν ἔχειν αὐτούς. ἀνυπερθέτως
δὲ εἰς τὴν ἐπιτέλλουσαν ἡμέραν, κατὰ τὸ ὅμοιον ἑτοίμασον τοὺς
ἐλέφαντας ἐπὶ τὸν τῶν ἀθεμίτων ἰουδαίων ἀφανισμόν. εἰπόντος
δὲ τοῦ βασιλέως ἀσμένως πάντες μετὰ χαρᾶς οἱ πάντες ὁ-
μοῦ συναινέσαντες εἰς τὸν ἴδιον οἶκον ἕκαστος ἀνέλυσε. καὶ οὐκ
οὕτως εἰς ὕπνον κατεχρήσαντο τὸν χρόνον τῆς νυκτός. ὡς εἰς τὸ
παντοίους μηχανᾶσθαι τοῖς ταλαιπώροις δοκοῦσιν ἐμπαιγμούς.
ἄρτι δὲ ἀλεκτρυὼν ἐκέκραγεν ὄρθριος, καὶ τὰ θηρία καθωπλι-
κὼς ὁ ἕρμων, ἐν τῷ μεγάλῳ περιστύλῳ διεκίνει. τὰ δὲ κατὰ
τὴν πόλιν πλήθη συνήθροιστο πρὸς τὴν οἰκτροτάτην θεωρίαν.
προσδοκῶντα τὴν πρωΐαν μετὰ σπουδῆς. οἱ δὲ ἰουδαῖοι κατὰ
τὸν ἀμερῆ ψυχουλκούμενοι χρόνον, πολυδάκρυον ἱκετείαν ἐν μέ-
λεσι γοεροῖς τείνοντες τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἐδέοντο τοῦ με-
γίστου θεοῦ, πάλιν αὐτοῖς βοηθῆσαι συντόμως. οὔπω δὲ ἡλίου βο-
λαὶ κατεσπείροντο, καὶ τοῦ βασιλέως, τοὺς φίλους ἐκδεχομένου ὁ
ἕρμων παραστὰς ἐκάλει πρὸς τὴν ἔξοδον, ὑποδεικνύων τὸ πρό-
θυμον τοῦ βασιλέως ἐν ἑτοίμῳ κεῖσθαι. τοῦ δὲ ἀποδεξαμένου. καὶ
καταπλαγέντος ἐπὶ τῇ παρανόμῳ ἐξόδῳ κατὰ πᾶν ἀγνωσίᾳ κε-
κρατημένος, ἐπυνθάνετο τί τὸ πρᾶγμα ἐφ' οὗ τοῦτ' αὐτῷ κατα-
σπουδῆς τετέλεσται. τοῦτο δὲ ἦν ἡ ἐνέργεια τοῦ πάντα δεσποτεύ-
οντος θεοῦ. τῶν πρὶν αὐτῷ μεμηχανημένων, λήθην κατὰ διά-
νοιαν ἐντεθεικότος, ὑπεδείκνυεν ὁ ἕρμων. καὶ πάντες οἱ φίλοι
τὰ θηρία καὶ τὰς δυνάμεις ἡτοιμάσθαι βασιλεῦ κατὰ τὴν σὴν
ἐκτενῆ πρόθεσιν. ὁ δὲ ἐπὶ τοῖς ῥηθεῖσι πληρωθεὶς βαρεῖ χόλῳ
διὰ τὸ περὶ τούτων προνοίᾳ θεοῦ διεσκεδάσθαι πᾶν αὐτοῦ τὸ νό-
ημα, ἐνατενίσας μετὰ ἀπειλῆς εἶπεν. ὅσοι γονεῖς παρῆσαν, ἢ παί-

δων γόνοι τὴν δὲ θηρσὶν ἀγρίοις ἐσκεύασαν δαψιλῆ θοίναν ἀντὶ τῶν ἀνεγκλήτων ἐμοὶ καὶ προγόνοις ἐμοῖς ἀποδεδειγμένων ὁλοσχερῆ βεβαίαν πίστιν ἐξόχως Ἰουδαίων. καίπερ εἰ μὴ διὰ τὴν τῆς συντροφίας στοργὴν, καὶ τῆς χρείας, τὸ ζῆν ἀντὶ τούτων ἐστερήθη, οὕτως ὁ Ἕρμων ἀπροσδόκητον ἐπικίνδυνον ἐπήνεγκεν ἀπειλήν. καὶ τῇ ὁράσει καὶ τῷ προσώπῳ συνεστάλη. ὁ καθεὶς δὲ τῶν φίλων σκυθρωπῶς ὑπεκρέων τοὺς συνηθροισμένους ἀπέλυσεν ἕκαστον ἐπὶ τὴν ἰδίαν ἀσχολίαν. οἵ τε Ἰουδαῖοι τὰ παρὰ τοῦ βασιλέως ἀκούσαντες, τὸν ἐπιφανῆ θεὸν κύριον βασιλέα τῶν βασιλέων ᾔνουν, καὶ τῆς δὲ τῆς βοηθείας αὐτοῦ τετευχότες. κατὰ δὲ τοὺς τοὺς νόμους ὁ βασιλεὺς συστησάμενος πάλιν τὸ συμπόσιον εἰς εὐφροσύνην τραπῆναι παρεκάλει. τὸν δὲ Ἕρμωνα προσκαλεσάμενος μετὰ ἀπειλῆς εἶπε. ποσάκις σοι δοκεῖ περὶ τούτων αὐτῶν προστάττειν ἀθλιώτατε. τοὺς ἐλέφαντας ἔτι καὶ νῦν καθόπλισον εἰς τὴν αὔριον ἐπὶ τὸν τῶν Ἰουδαίων ἀφανισμόν. οἱ δὲ συνανακείμενοι συγγενεῖς τὴν ἀσταθῆ διάνοιαν αὐτοῦ θαυμάζοντες προεφέροντο τάδε. βασιλεῦ μέχρι τίνος ὡς ἀλόγους ἡμᾶς διαπειράζεις προστάσσων ἤδη τρίτον αὐτοὺς ἀφανίσαι. καὶ πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ σοι δεδογμένα. ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ. καὶ πληθύνουσα συστροφαῖς ἤδη, καὶ κινδυνεύει πολλάκις διαρπασθῆναι. ὅθεν ὁ κατὰ πάντα φάλαρις βασιλεὺς ἐμπλησθεὶς ἀλογιστίας, καὶ τὰς γινομένας πρὸς ἐπισκοπὴν τῶν Ἰουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς ψυχῆς παρ' οὐδὲν ἡγούμενος, ἀτελέστατον βεβαίως ὅρκον ὁρισάμενος τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην ἐν γόνασι, καὶ ποσὶ θηρίων ᾐκισμένους. ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ἰουδαίαν ἰσόπεδον πυρὶ, καὶ δόρατι θήσεσθαι διὰ τάχους. καὶ τὸν ἄβατον αὐτῶν ἡμῖν ναὸν πυρὶ πρηνέα, τάχιστα τῶν συντελούντων ἐκεῖ θυσιῶν εἰς τὸν ἅπαντα χρόνον κατασήσειν. τότε περιχαρεῖς ἀναλύσαντες οἱ φίλοι. καὶ συγγενεῖς μετὰ πί

στιως. διέτασσον τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους
τῆς πόλεως πρὸς τήρησιν. ὁ δὲ ἐλεφαντάρχης τὰ θηρία σχε-
δὸν, ὡς εἰπεῖν εἰς κατάστημα μανιῶδες ἀγηοχὼς εὐωδεστάτοις
πόμασιν οἴνῳ λελιβανωμένῳ φοβερῶς κεκοσμημένα κατασκευ-
αῖς περὶ τὴν ἕω τῆς πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κα-
τὰ τοῦ ἱπποδρόμου καταμεμεστωμένης. εἰσελθὼν εἰς τὴν αὐλὴν
ἐπὶ τὸ προκείμενον ὤτρυνε τὸν βασιλέα. ὁ δὲ ὀργῇ βαρείᾳ γεμί-
σας δυσσεβῆ φρένα παντὶ τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμη-
σε βουλόμενος ἀτρώτῳ καρδίᾳ, καὶ κόραις ὀφθαλμῶν θεάσασθαι
τὴν ἐπίπονον, καὶ ταλαίπωρον τῶν προσσεσημαμένων κατα-
στροφήν. ὡς δὲ τῶν ἐλεφάντων ἐξιόντων περὶ πύλην, καὶ τῆς συνε-
πομένης ἐνόπλου δυνάμεως, τῆς τε τοῦ πλήθους πορείας κονιορ-
τὸν ἰδόντες. καὶ βαρυηχῆ θόρυβον ἀκούσαντες οἱ ἰουδαῖοι. ὑστά-
την βίου ῥοπὴν αὐτοῖς ἐκείνην δόξαντες εἶναι τὸ τέλος τῆς ἀθλι-
ωτάτης προσδοκίας, εἰς οἶκτον, καὶ γόους τραπέντες κατεφίλουν
ἀλλήλους περιπλεκόμενοι τοῖς συγγενέσιν ἐπὶ τοὺς τραχήλους
ἐπιπίπτοντες γονεῖς παισὶ, καὶ μητέρες νεάνισιν. ἕτεραι δὲ νε-
ογνὰ πρὸς μαστοὺς ἔχουσαι βρέφη τελευταῖον ἕλκοντα γάλα. οὐ
μὴν δὲ ἀλλὰ καὶ τὴν ἔμπροσθεν αὐτῶν γεγενημένας ἀντιλή-
ψεις ἐξ οὐρανοῦ συνιδόντες, πρηνεῖς ὁμοθυμαδὸν ῥίψαντες ἑαυ-
τοὺς, καὶ τὰ νήπια χωρίσαντες τῶν μαστῶν, ἀνεβόησαν φωνῇ με-
γάλῃ σφόδρα τὸν τῆς ἁπάσης δυνάστην ἱκετεύοντες. οἰκτεῖραι
μετὰ ἐπιφανείας αὐτοὺς ἤδη πρὸς πύλαις ᾅδου καθεστῶτας. ἐλε-
άζαρος δέ τις ἀνὴρ ἐπίσημος τῶν ἀπὸ τῆς χώρας ἱερέων ἐν πρε-
σβείᾳ τὴν ἡλικίαν ἤδη λελογχὼς. καὶ πάσῃ τῇ κατὰ τὸν βίον
ἀρετῇ κεκοσμημένος. τοὺς περὶ αὐτὸν καταστείλας πρεσβυτέ-
ρους ἐπικαλεῖσθαι τὸν ἅγιον θεὸν προσηύξατο τάδε. Βασιλεῦ
μεγαλοκράτορ ὕψιστε παντοκράτορ θεὲ, τὴν πᾶσαν διακυβερ-
νῶν ἐν οἰκτιρμοῖς κτίσιν, ἔπιδε ἐπὶ ἀβραὰμ σπέρμα. ἐπὶ ἡγια-
σμένου τέκνα ἰακώβ. μερίδος ἡγιασμένης σου λαόν. ἐν ξένῃ γῇ

ξένον, ἀδίκως ἀπολλύμενον πάτερ. σὺ φαραὼ πληθύνοντα ἅρ
μασι τὸν πρὶν αἰγύπτου ταύτης δυνάστην ἐπαρθέντα ἀνοίκῳ θρά
σει καὶ γλώσσῃ μεγαλορήμονι σὺν τῇ ὑπερηφάνῳ στρατιᾷ πον
τοβράχους ἀπώλεσας. φέγγος ἐπιφάνας ἐλέους ἰσραὴλ γένει. σὺ
τὸν ἀναριθμήτοις δυνάμεσι γαυρωθέντα σεναχηρεὶμ βαρὺν
ἀσσυρίων βασιλέα. δόρατι τὴν πᾶσαν ὑποχείριον ἤδη λαβόν
τα γῆν, καὶ μετεωρισθέντα ἐπὶ τὴν ἁγίαν σου πόλιν βαρέα λα
λοῦντα κόμπῳ, καὶ θράσει, σὺ δέσποτα ἔθραυσας. ἔκδηλον δει
κνὺς ἔθνεσι πολλοῖς τὸ σὸν κράτος. σὺ τοὺς κατὰ τὴν βαβυλω
νίαν τρεῖς ἑταίρους πυρὶ τὴν ψυχὴν αὐθαιρέτως δεδωκότας εἰς
τὸ μὴ λατρεῦσαι τοῖς κενοῖς. διάπυρον δροσίσας κάμινον ἐρρύ
σω μέχρι τριχὸς ἀπημάντους. φλόγα πᾶσιν ἐπιπέμψας τοῖς ὑ
πεναντίοις. σὺ τὸν διαβολαῖς φθόνου λέουσι κατὰ γῆς ῥιφέντα
θηρσὶ βορὰν δανιὴλ εἰς φῶς ἀνήγαγες ἀσινῆ. τόν τε βυθοτρε-
φοῦς ἐν γαστρὶ κήτους ἰωνᾶν τηκόμενον ἀφιδὼς ἀπήμαντον πᾶ
σιν οἰκείοις ἀνέδειξας πάτερ. καὶ νῦν μὴ βάρδυνε πολυέλεε τῶν
ὅλων σκεπαστά, τὸ τάχος ἐπιφανήθητι τοῖς ἀπὸ ἰσραὴλ γένους
ὑπὸ δὲ ἐβδελυγμένων ἀνόμων ἐθνῶν ὑβριζομένοις. εἰ δὲ ἀσεβεί
ας, κατὰ τὴν ἀποικίαν ὁ βίος ἡμῶν ἐνέσχηται. ῥυσάμενος ἡμᾶς
ἀπὸ ἐχθρῶν χειρὸς, ὡς προαιρῇ δέσποτα ἀπόλεσον ἡμᾶς μό
ρῳ. μὴ τοῖς ματαίοις οἱ ματαιόφρονες εὐλογησάτωσαν ἐπὶ τῇ
τῶν ἀγαπημένων σου ἀπωλείᾳ λέγοντες οὐ δὲ ὁ θεὸς αὐτῶν ἐρρύσα
το αὐτούς. σὺ δὲ ὁ πᾶσαν ἀλκὴν, καὶ δυναστείαν ἔχων ἅπασαν αἰ
ώνιε, νῦν ἔπιδε ἐλέησον ἡμᾶς τοὺς καθ᾽ ὕβριν ἀνόμων ἀλόγιστον ἐκ
τοῦ ζῆν μεθισταμένους ἐν ἐπιβούλων τρόπῳ. πτηξάτω δὲ ἔθνη σὴν δύ
ναμιν ἀνίκητον σήμερον ἔντιμε δύναμιν ἔχων ἐπὶ σωτηρίᾳ ἰακὼβ
γένους ἱκετεύει σε τὸ πᾶν πλῆθος τῶν νηπίων καὶ οἱ τούτων γονεῖς με
τὰ δακρύων δειχθήτω πᾶσιν ἔθνεσιν, ὅτι μεθ᾽ ἡμῶν εἶ κύριε. καὶ οὐκ
ἀπέστρεψας τὸ πρόσωπόν σου ἀφ᾽ ἡμῶν. ἀλλὰ καθὼς εἶπας, ὅτι
οὐδ᾽ ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν ὄντων ὑπερεῖδον αὐτούς. οὕτως ἐπιτέ

λεσον κύριε. τοῦ δὲ ἐλεαζάρου λήγοντος ἄρτι τῆς προσευχῆς, ὁ
βασιλεὺς σὺν τοῖς θηρίοις, καὶ παντὶ τῷ τῆς δυνάμεως φρυά-
γματι κατὰ τὸν ἱππόδρομον παρῆγε. θεωρήσαντες οἱ ἰουδαῖοι
μέγα εἰς οὐρανὸν ἀνέκραξαν. ὥστε, καὶ τοὺς παρακειμένους αὐ-
λῶνας συνηχήσαντα. ἀκατάσχετον οἰμωγὴν ποιῆσαι παντὶ τῷ
στρατοπέδῳ. τότε ὁ μεγαλόδοξος παντοκράτωρ, καὶ ἀληθινὸς
θεὸς ἐπιφάνας τὸ ἅγιον αὐτοῦ πρόσωπον ἠνέωξε τὰς οὐρανίους
πύλας ἐξ ὧν δεδοξασμένοι δύο φοβεροειδεῖς ἄγγελοι κατέβη-
σαν φανεροὶ πᾶσι πλὴν τοῖς ἰουδαίοις. καὶ ἀντέστησαν καὶ τὴν δύ-
ναμιν τῶν ὑπεναντίων ἐπλήρωσαν ταραχῆς, καὶ δειλίας, καὶ ἀ-
κινήτοις ἔδησαν πέδαις, καὶ ὑπόφρικον, καὶ τὸ τοῦ βασιλέως σῶ-
μα ἐγενήθη, καὶ λήθη τὸ θράσος αὐτοῦ τὸ βαρύθυμον ἔλαβε, καὶ
ἀπέστρεψαν τὰ θηρία ἐπὶ τὰς συνεπομένας ἐνόπλους δυνάμεις,
καὶ κατεπάτουν αὐτούς, καὶ ὠλέθρευον. καὶ μετεστράφη τοῦ βα-
σιλέως ἡ ὀργὴ εἰς οἶκτον καὶ δάκρυα ὑπὲρ τῶν ἔμπροσθεν αὐ-
τῷ μεμηχανημένων. ἀκούσας γὰρ τῆς κραυγῆς, καὶ συνιδὼν
πρηνεῖς ἅπαντας εἰς τὴν ἀπώλειαν, δακρύσας μετὰ ὀργῆς τοῖς
φίλοις διηπειλεῖτο λέγων. παραβασιλεύετε καὶ τυράννους ὑ-
περβεβήκατε ὠμότητι. καὶ ἐμὲ αὐτὸν τὸν ὑμῶν εὐεργέτην ἐ-
πιχειρεῖτε τῆς ἀρχῆς ἤδη, καὶ τοῦ πνεύματος μεθιστᾶν λάθρα
μηχανώμενοι τὰ μὴ συμφέροντα τῇ βασιλείᾳ. τίς τοὺς κρατή-
σαντας ἡμῶν ἐν πίστει τὰ τῆς χώρας ὀχυρώματα τῆς οἰκείας
ἀποστήσας ἕκαστον ἀλόγως ἤθροισεν ἐνθάδε. τίς τοὺς ἐξ ἀρχῆς
εὐνοίᾳ πρὸς ἡμᾶς κατὰ πάντα διαφέροντας πάντων ἐθνῶν,
καὶ τοὺς χειρίστους πλεονάκις ἀνθρώπων ἐπιδεδεγμένους κινδύ-
νους οὕτως ἀθέσμοις περιέβαλεν αἰκίαις. λύσατε ἐκλύσατε ἄ-
δικα δεσμά. εἰς τὰ ἴδια μετ' εἰρήνης ἐξαποστείλατε τὰ προπε-
πραγμένα παραιτησάμενοι, ἀπολύσατε τοὺς υἱοὺς τοῦ παντο-
κράτορος ἐπ' οὐρανίου θεοῦ ζῶντος. ὃς ἀφ' ἡμετέρων μέχρι τοῦ
νῦν προγόνων ἀπαραπόδιστον μετὰ δόξης εὐστάθειαν παρέχει

τοῖς ἡμε-

τοῖς ἀμέτροις πράγμασιν. ὁ μὲν οὖν ταῦτα ἔλεξαν· οἱ δὲ ἐν ἀμερεῖ χρόνῳ λυθέντες, τὸν ἅγιον σωτῆρα θεὸν αὐτῶν εὐλόγουν ἄρτι τὸν θάνατον ἐκπεφευγότες. εἶτα ὁ βασιλεὺς εἰς τὴν πόλιν ἀπαλλαγεὶς τὸν ἐπὶ τῶν προσόδων προσκαλεσάμενος ἐκέλευσεν οἴνους τε καὶ τὰ λοιπὰ πρὸς εὐωχίαν ἐπιτήδεια τοῖς ἰουδαίοις χορηγεῖν, ἐπὶ ἡμέρας ἑπτὰ κρίνας αὐτοὺς ἐν ᾧ τόπῳ ἔδοξαν τὸν ὄλεθρον ἀναλαμβάνειν ἐν τούτῳ ἐν εὐφροσύνῃ πάσῃ σωτηρίᾳ ἄγειν. τότε οἱ πρὶν ἐπονείδιστοι, καὶ πλησίον τοῦ ᾅδου μᾶλλον δ' ἐπ' αὐτοῦ βεβηκότες ἀντὶ πικροῦ, καὶ δυστάκτου μόρου. κώθωνα σωτήριον συστησάμενοι. τὸν εἰς πτῶσιν αὐτοῖς καὶ τάφον ἡτοιμασμένον τόπον κλισίαις κατεμέρισαν πλήρεις χαρμονῆς. καταλήξαντες δὲ θρήνου πανόδυρτον μέλος ἀνέλαβον ᾠδὴν πάτριον τὸν σωτῆρα, καὶ τερατοποιὸν αἰνοῦντες θεόν. οἰμωγήν τε πᾶσαν καὶ κωκυτὸν ἀπωσάμενοι· χοροὺς συνίσταντο εὐφροσύνης εἰρηνικῆς σημεῖον. ὡσαύτως δὲ καὶ ὁ βασιλεὺς περὶ τούτων συμπόσιον βαρὺ συναγαγών. ἀδιαλείπτως εἰς οὐρανὸν ἀνθωμολογεῖτο μεγαλοπρεπῶς ἐπὶ τῇ παραδόξῳ γενηθείσῃ σωτηρίᾳ, οἵ τε πρὶν εἰς ὄλεθρον, καὶ οἰνοβρώτους αὐτοὺς ἔσεσθαι τιθέμενοι, καὶ μετὰ χαρᾶς ἀπογραψάμενοι· κατεστέναξαν αἰσχύνην ἐφ' ἑαυτοῖς περιβαλόμενοι, καὶ τὴν πυρίπνουν τόλμαν ἀκλεῶς ἐσβεσμένοι. οἵ τε ἰουδαῖοι καθὼς προειρήκαμεν συστησάμενοι τὸν προειρημένον χορὸν μετ' εὐωχίας ἐν ἐξομολογήσεσιν ἱλαροῖς καὶ ψαλμοῖς διῆγον, καὶ κοινὸν δεισάμενοι περὶ τούτων θεσμὸν ἐπὶ πᾶσαν τὴν παροικίαν αὐτῶν εἰς γενεάς. τὰς προειρημένας ἡμέρας ἄγειν ἔστησαν εὐφροσύνους. οὐ πότου χάριν καὶ λιχνείας. σωτηρίας δὲ τῆς διὰ θεὸν γενομένης αὐτοῖς. ἐνέτυχον δὲ τῷ βασιλεῖ, τὴν ἀπόλυσιν αὐτῶν εἰς τὰ ἴδια αἰτούμενοι. ἀπογράφονται δὲ αὐτοὺς ἀπὸ πέμπτης, καὶ εἰκάδος τοῦ παχών, ἕως τῆς τετάρτης τοῦ ἐπιφ. ἐπὶ ἡμέρας τεσσαράκοντα. συνί-

ἔσταντο δὲ αὐτῶν τὴν ἀπώλειαν ἀπὸ πέμπτης τοῦ ἐπιφὶ, ἕως ἑβδόμης. ἡμέραις τρισὶν ἐν αἷς καὶ μεγαλοδόξως ἐπιφάνας τὸ ἔλεος αὐτοῦ ὁ τῶν ὅλων δυνάστης ἀπταίστους αὐτοὺς ἐρρύσατο ὁμοθυμαδὸν. εὐωχοῦντο δὲ πάνθ' ὑπὸ τοῦ βασιλέως χορηγούμενοι μέχρι τῆς τεσσαρεσκαιδεκάτης. ἐν ᾗ καὶ τὴν ἐντυχίαν ἐποιήσαντο περὶ τῆς ἀπολύσεως αὐτῶν. συναινέσας τε αὐτοῖς ὁ βασιλεὺς ἔγραψεν αὐτοῖς τὴν ὑπογεγραμμένην ἐπιστολὴν πρὸς τοὺς κατὰ πόλιν στρατηγοὺς μεγαλοψύχως τὴν ἐκτένειαν ἔχουσαν. Βασιλεὺς Πτολεμαῖος ὁ φιλοπάτωρ τοῖς κατ' αἴγυπτον στρατηγοῖς. καὶ πᾶσι τοῖς τεταγμένοις ἐπὶ πραγμάτων χαίρειν καὶ ἐρρῶσθαι. ἐρρώμεθα δὲ καὶ αὐτοὶ καὶ τὰ τέκνα ἡμῶν. κατευθύναντος ἡμῖν τοῦ μεγάλου θεοῦ τὰ πράγματα καθὼς προαιρούμεθα. τῶν φίλων τινὲς κακοηθείᾳ πυκνότερον ἡμῖν παρακείμενοι, συνέπεισαν ἡμᾶς εἰς τὸ τοὺς ὑπὸ τὴν βασιλείαν ἰουδαίους συναθροίσαντας σύστημα κολάσασθαι ξενιζούσαις ἀποστατῶν τιμωρίαις. προφερόμενοι μήποτε εὐσταθεῖσιν τὰ πράγματα ἡμῶν δι' ἣν ἔχουσιν οὗτοι πρὸς πάντα τὰ ἔθνη δυσμένειαν μέχρις ἂν συντελεσθῇ τοῦτ' οἳ καὶ δεσμίους καταγαγόντες αὐτοὺς μετὰ σκυλμῶν ὡς ἀνδράποδα, μᾶλλον δὲ ὡς ἐπιβούλους ἄνευ πάσης ἀνακρίσεως καὶ ἐξετάσεως ἐπεχείρησαν ἀνελεῖν. νόμου σκυθῶν ἀγριωτέραν ἐμπεπορτημένοι ὠμότητα. ἡμεῖς δὲ ἐπὶ τούτοις σκληρότερον διαπειλησάμενοι. καθ' ἣν ἔχομεν πρὸς ἅπαντας ἀνθρώπους ἐπιείκειαν μόλις τὸ ζῆν αὐτοῖς χαρισάμενοι. καὶ τὸν ἐπουράνιον θεὸν ἐγνωκότες ἀσφαλῶς ὑπερησπικότα τῶν ἰουδαίων, ὡς πατέρα ὑπὲρ υἱῶν διαπαντὸς συμμαχοῦντα. τήν τε τοῦ φίλου δι' ἣν ἔχουσι πρὸς ἡμᾶς βεβαίαν, καὶ τοὺς προγόνους ἡμῶν εὔνοιαν ἀναλογισάμενοι δικαίως ἀπολελύκαμεν πάσης καθ' ὃν τινοῦν αἰτίας τρόπον, καὶ προστετάχαμεν ἑκάστῳ πάντας εἰς τὰ ἴδια ἐπιστρέφειν ἐν παντὶ τόπῳ μηθενὸς αὐτοὺς τὸ συνο-

λεῖν καταβλαβήσοντος. μή τε ὀνειδίζειν περὶ τῶν γεγενημένων παρὰ λόγον. γινώσκετε γὰρ ὅτι κατὰ τούτων ἐάν τι κακοτεχνήσωμεν πονηρὸν, ἢ ἐπιλυπήσωμεν αὐτοὺς τὸ σύνολον, οὐκ ἄνθρωπον ἀλλὰ τὸν πάσης δεσπόζοντα δυνάμεως θεὸν ὕψιστον ἀντικείμενον ἡμῖν ἐπὶ ἐκδικήσει τῶν πραγμάτων κατὰ πᾶν ἀφεύκτως, διαπαντὸς ἕξομεν. ἔρρωσθε. λαβόντες δὲ τὴν ἐπιστολὴν ταύτην οὐκ ἐσπούδασαν εὐθέως γενέσθαι περὶ τὴν ἄφοδον, ἀλλὰ τὸν βασιλέα προσηξίωσαν τοὺς ἐκ τοῦ γένους τῶν ἰουδαίων τὸν ἅγιον θεὸν αὐθαιρέτως παραβεβηκότας, καὶ τοῦ θεοῦ τὸν νόμον, τυχεῖν δι' αὐτῶν τῆς ὀφειλομένης κολάσεως. προφερόμενοι τοὺς γαστρὸς ἕνεκεν τὰ θεῖα παραβεβηκότας προστάγματα μηδέποτε εὐνοήσειν μή δε τοῖς τοῦ βασιλέως προστάγμασι. ὁ δὲ τ' ἀληθὲς αὐτοὺς λέγειν παραδεξάμενος, καὶ συναινέσας, ἔδωκεν αὐτοῖς ἄδειαν πάντων, ὅπως τοὺς παραβεβηκότας τοῦ θεοῦ τὸν νόμον ἐξολοθρεύσωσι κατὰ πάντα τὸν ὑπὸ τὴν βασιλείαν αὐτοῦ τόπον μετὰ παῤῥησίας ἄνευ πάσης βασιλικῆς ἐξουσίας, ἢ ἐπισκέψεως. τό τε κατευφημήσαντες αὐτὸν ὡς πρέπον ἦν οἱ τούτων ἱερεῖς. καὶ πᾶν τὸ πλῆθος ἐπιφωνήσαντες τὸ ἀλληλούϊα, μετὰ χαρᾶς ἀνέλυσαν. οὕτω τε τὸν ἐμπεσόντα τῶν μεμιασμένων ὁμοεθνῆ κατὰ τὴν ὁδὸν ἐκόλαζον, καὶ μετὰ παραδειγματισμὸν ἀνῄρουν. ἐκείνῃ δὲ τῇ ἡμέρᾳ ἀνεῖλον ὑπὲρ τοὺς τριακοσίους ἄνδρας. καὶ ἤγαγον εὐφροσύνην μετὰ χαρᾶς τοὺς βεβήλους χειρωσάμενοι. αὐτοὶ δὲ οἱ μέχρι θανάτου τὸν θεὸν ἐσχηκότες, παντελῆ σωτηρίας ἀπόλαυσιν εἰληφότες ἀνέζευξαν ἐκ τῆς πόλεως παντοίοις εὐωδεστάτοις ἄνθεσι κατεστεμμένοι. μετ' εὐφροσύνης, καὶ βοῆς ἐν αἴνοις, καὶ παμμέλεσιν ὕμνοις εὐχαριστοῦντες τῷ θεῷ τῶν πατέρων αὐτῶν ἁγίῳ σωτῆρι τοῦ ἰσραὴλ, παραγενηθέντες εἰς πτολεμαΐδα τὴν ὀνομαζομένην διὰ τὴν τοῦ τόπου ἰδιότητα ῥοδοφόρον ἐν ᾗ

προσέμειναν αὐτοὺς ὁ στόλος κατὰ κοινὴν αὐτῶν βουλὴν ἡμέρας ἑπτά. ἐκεῖ ἐποίησαν πότον σωτήριον. τοῦ βασιλέως χορηγήσαντος αὐτοῖς εὐψύχως τὰ πρὸς τὴν ἄφιξιν πάντα ἑκάστῳ, ἕως εἰς τὴν ἰδίαν οἰκίαν. καταχθέντες δὲ μετ' εἰρήνης ἐν ταῖς πρεπούσαις ἐξομολογήσεσιν, ὡσαύτως κἀκεῖ ἔστησαν, καὶ ταύτας ἄγειν τὰς ἡμέρας ἐπὶ τὸν τῆς παροικίας αὐτῶν χρόνον εὐφροσύνης. ἃς καὶ ἀνιερώσαντες ἐν στήλῃ κατὰ τὸν συμποσίας τόπον προσευχῆς καθιδρύσαντες, ἀνέλυσαν ἀσινεῖς ἐλεύθεροι ὑπερχαρεῖς, διά τε γῆς, καὶ θαλάσσης. καὶ ποταμοῦ. ἀνασωζόμενοι τῇ τοῦ βασιλέως ἐπιταγῇ, ἕκαστος εἰς τὴν ἰδίαν, καὶ πλείστην, ἢ ἔμπροσθεν ἐν τοῖς ἐχθροῖς ἐξουσίαν ἐσχηκότες μετὰ δόξης, καὶ φόβου, τὸ σύνολον ὑπὸ μηδενὸς διασεισθέντες τῶν ὑπαρχόντων. καὶ πάντα τὰ ἑαυτῶν πάντες ἐκομίσαντο ἐξ ἀπογραφῆς ὥστε τοὺς ἔχοντάς τι μετὰ φόβου μεγίστου ἀποδοῦναι αὐτοῖς τὰ μεγαλεῖα τοῦ μεγίστου θεοῦ ποιήσαντος τελείως ἐπὶ σωτηρίᾳ αὐτῶν. εὐλογητὸς ὁ ῥύστης ἰσραὴλ εἰς τοὺς ἀεὶ χρόνους ἀμήν.

Τέλος τοῦ τῶν Μακκαβαίων λόγου τρίτου.

# ΙΩΣΙΠΠΟΥ ΕΙΣ ΤΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ ΒΙΒΛΙΟΝ.

Κεφ. α. ι.

Φιλοσοφώτατον λόγον ἐπιδείκνυσθαι μέλλων, εἰ αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμὸς, συμβουλεύσαιμ' ἂν ὑμῖν ὀρθῶς. ὅπως προσέχητε προθύμως τῇ φιλοσοφίᾳ, καὶ γὰρ ἀναγκαῖος εἰς ἐπιστήμην παντὶ ὁ λόγος καὶ ἄλλως τῆς μεγίστης ἀρετῆς. λέγω δὴ φρονήσεως περιέχει ἔπαινον, εἰ ἄρα τῶν σωφροσύνης κωλυτικῶν παθῶν ὁ λογισμὸς φαίνεται ἐπικρατεῖν γαστριμαργίας τε καὶ ἐπιθυμίας, ἀλλὰ καὶ τῶν τῆς δικαιοσύνης ἐμποδιστικῶν παθῶν κυριεύειν ἀναφαίνεται. οἷον κακοηθείας, καὶ τῶν τῆς ἀνδρείας ἐμποδιστικῶν παθῶν. θυμοῦ τε καὶ φόνου καὶ πόνου πῶς οὖν ἴσως εἴποιεν ἄν τινες εἰ τῶν παθῶν ὁ λογισμὸς κρατεῖ λήθης. καὶ ἀγνοίας οὐ δεσπόζει, γελοῖον ἐπιχειροῦντες λέγειν, οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς κρατεῖ. ἀλλὰ τῶν τῆς δικαιοσύνης καὶ ἀνδρείας καὶ σωφροσύνης ἐναντίων καὶ τούτων οὐχ ὥστε αὐτὰ καταλῦσαι, ἀλλ' ὥστε αὐτοῖς μὴ εἶξαι. πολλαχόθεν μὲν οὖν καὶ ἀλλαχόθεν, ἔχοιμ' ἂν ὑμῖν ἐπιδεῖξαι ὅτι αὐτοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμὸς, πολὺ δὲ πλέον τοῦτ' ἀποδεῖξαι ἀπὸ τῆς ἀνδραγαθίας τῶν ὑπὲρ ἀρετῆς ἀποθανόντων, ἐλεαζάρου τε καὶ τῶν ἑπτὰ ἀδελφῶν. καὶ τῆς τούτων μητρὸς ἅπαντες γὰρ οὗτοι τοὺς

ἕως θανάτου πόνους ὑπεισδύντες, ἐπεδείξαντο, ὅτι περικρατεῖ τῶν
παθῶν ὁ λογισμός. τῶν μὲν οὖν ἀρετῶν ἔπεστί μοι ἐπαινεῖν τοὺς
κατ᾽ ἐκεῖνον τὸν καιρόν. ὑπὲρ τῆς καλοκἀγαθίας ἀποθανόντας με-
τὰ τῆς μητρὸς ἄνδρας· τῶν δὲ τιμῶν μακαρίσαιμ᾽ ἄν, θαυμασθέν-
τες γὰρ οὐ μόνον ὑπὸ πάντων ἀνθρώπων ἐπ᾽ ἀνδρείᾳ καὶ ὑπομονῇ
ἀλλὰ καὶ ὑπὸ τῶν αἰκισαμένων αἴτιοι κατέστησαν τοῦ καταλυθῆναι
τὴν κατὰ τοῦ ἔθνους τυραννίδα. νικήσαντες τὸν τύραννον τῇ ὑ-
πομονῇ. ὥστε καθαρισθῆναι δι᾽ αὐτῶν τὴν πατρίδα. ἀλλὰ καὶ περὶ
τοῦ ζητουμένου αὐτίκα δὴ λέγειν ἔξεσται, ἀρξαμένῳ τῆς ὑποθέ-
σεως ὥσπερ εἰώθαμεν ποιεῖν. καὶ οὕτως εἰς τὸν περὶ αὐτὸν τρέψομαι λό-
γον. δόξαν διδοὺς τῷ πανσόφῳ θεῷ. ζητοῦμεν δὴ τοίνυν, εἰ αὐ-
τοκράτωρ ἐστὶ τῶν παθῶν ὁ λογισμός. καὶ διακρίνομεν τί πο-
τέ ἐστι λογισμός. καὶ τί πάθος, καὶ πόσαι παθῶν ἰδέαι. καὶ εἰ πάν-
των ἐπικρατεῖ τούτων ὁ λογισμός. λογισμὸς μὲν τοίνυν ἐστὶ νοῦς
μετὰ ὀρθοῦ λόγου προτιμῶν τὸν σοφίας βίον. σοφία δέ ἐστι γνῶ-
σις θείων, καὶ ἀνθρωπίνων πραγμάτων. καὶ τῶν τούτων αἰτιῶν.
αὕτη δὲ τοίνυν ἐστὶν ἡ τοῦ νόμου παιδεία, δι᾽ ἧς τὰ θεῖα σεμ-
νῶς. καὶ τὰ ἀνθρώπινα συμφερόντως μανθάνομεν. τῆς δὲ σοφίας
ἰδέαι καθεστῶσι φρόνησις δικαιοσύνη ἀνδρεία. καὶ σωφροσύνη
κυριωτάτη δὲ πάντων ἡ φρόνησις ἐξ ἧς δὴ τῶν παθῶν λογισμὸς ἐ-
πικρατεῖ. παθῶν δὲ φύσεις εἰσίν. αἱ περιεκτικώταται δύο ἡδονή τε
καὶ πόνος. τούτων δὲ ἑκάτερον καὶ περὶ τὴν ψυχὴν πέφυκε. πολλαὶ
δὲ καὶ περὶ τὴν ἡδονὴν, καὶ τῶν πόνων παθῶν εἰσὶν ἀκολουθίαι. πρὸ
μὲν οὖν τῆς ἡδονῆς ἐστὶν ἐπιθυμία. μετὰ τὴν δὲ ἡδονὴν χαρά. πρὸ δὲ
τοῦ πόνου ἐστὶ φόβος. μετὰ δὲ τὸν πόνον λύπη. θυμὸς δὲ κοινὸν πά-
θος ἐστὶν, ἡδονῆς καὶ πόνου. ἐὰν ἐννοηθῇ τις ὅτι αὐτῷ περιέπε-
σεν. ἐν τῇ ἡδονῇ δέ ἐστι καὶ ἡ κακοήθης διάθεσις πολυτροπω-
τάτη πάντων οὖσα τῶν παθῶν. κατὰ μὲν ψυχὴν ἀλαζονεία καὶ φι-
λαργυρία φιλονεικία, καὶ βασκανία κατὰ δὲ τὸ σῶμα παντοφαγία
καὶ μονοφαγία. καθάπερ δυοῖν τοῦ σώματος, καὶ τῆς ψυχῆς φυτῶν
ὄντων ἡδονῆς τε καὶ πόνου. πολλαὶ τούτων τῶν φυτῶν εἰσὶ παρα-

φυλάξαι. ὧν ἕκαστον ὁ πανάγαθος λογισμὸς περικαθαίρων τε καὶ ἀποκνίζων, καὶ ἐπάρδων, καὶ πάντα τρόπον μεταχέων, ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν ὕλας. ὁ μὲν γὰρ λογισμὸς τῶν μὲν ἀρετῶν ἐστιν ἡγεμών. τῶν δὲ παθῶν αὐτοκράτωρ. ἐπιθεωρεῖτε δὲ τὰ πρῶτον διὰ τῶν κωλυτικῶν τῆς σωφροσύνης ἔργων. ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ λογισμός. σωφροσύνη δὲ τοίνυν ἐστὶν ἐπικράτεια τῶν ἐπιθυμιῶν. τῶν δὲ ἐπιθυμιῶν αἱ μέν εἰσι ψυχικαί. αἱ δὲ σωματικαὶ καὶ τούτων ἀμφοτέρων ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται. ἐγὼ μὲν οἶμαι τοι γὰρ οὖν ἐνύδρων ἐπιθυμοῦντες. καὶ ὀρνέων καὶ τετραπόδων. καὶ παντοίων βρωμάτων τῶν ἀπηγορευμένων. ἡμῖν κατὰ τὸν νόμον ἀπεχόμεθα. διὰ τὴν τοῦ λογισμοῦ ἐπικράτειαν. ἀνέχεται γὰρ τὰ τῶν ὀρέξεων πάθη ὑπὸ τοῦ σώφρονος νοὸς ἀνακαμπτόμενα. καὶ φιμοῦται πάντα τὰ τοῦ σώματος κινήματα ὑπὸ τοῦ λογισμοῦ.

Κεφ. β.

Καὶ τί θαυμαστὸν εἰ αἱ τῆς ψυχῆς ἐπιθυμίαι πρὸς τὴν τοῦ
κ κάλλους μετουσίαν ἀκυροῦνται, ταύτῃ γοῦν ὁ σώφρων Ἰωσὴφ ἐπαινεῖται. ὅτι τῷ λογισμῷ περιεκράτησε τῆς ἡδυπαθείας. νέος γὰρ ὢν καὶ ἀκμάζων πρὸς συνουσιασμὸν ἠκύρωσε τῷ λογισμῷ τῶν παθῶν οἶστρον. οὐ μόνον δὲ τὴν τῆς ἡδυπαθείας οἰστρηλασίαν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται. ἀλλὰ καὶ πάσης ἐπιθυμίας. λέγει γοῦν ὁ νόμος, οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐδὲ ὅσα τοῦ πλησίον σου ἐστί. καίτοι ὅτε μὴ ἐπιθυμεῖν ἡμᾶς εἴρηκεν ὁ νόμος, πολὺ πλέον πείσει καὶ ὑμᾶς, ὅτι ἐπιθυμιῶν κρατεῖν δύναται ὁ λογισμός. ὥσπερ καὶ τῶν κωλυτικῶν τῆς δικαιοσύνης παθῶν. ἐπεὶ τίνα τρόπον μονοφάγος, τις ὢν τὸ ἦθος καὶ γαστρίμαργος μεταπαιδεύεται. εἰ μὴ δῆλον ὅτι κύριός ἐστι τῶν παθῶν ὁ λογισμός. αὐτίκα γοῦν τῷ νόμῳ πολιτευόμενος. καὶ φιλάργυρός τις ᾖ βιάζεται. τὸν αὐτοῦ τρόπον τοῖς δεομένοις δανείζων χωρὶς τόκων, καὶ τὸ δάνειον τῶν ἑβδομάδων ἐνστασῶν χρεοκοπούμενος,

κἂν φειδωλός τις ᾖ ὑπὸ τοῦ νόμου κρατεῖται διὰ τῶν λογισμῶν μήτε ἐπικαρπολογούμενος τοὺς ἀμητούς· μήτε τοὺς ἀμπελῶνας καὶ ἐπὶ τῶν ἑτέρων δὲ ἔστιν ἐπιγνῶναι τοῦτο· ὅτι τῶν παθῶν ἐστὶν ὁ λογισμὸς ὁ κρατῶν. ὁ γὰρ νόμος καὶ τῆς πρὸς γονεῖς εὐνοίας κρατεῖ· μὴ καταπροδιδοὺς τὴν ἀρετὴν δι' αὐτούς· καὶ τῆς πρὸς γαμετὴν φιλίας ἐπικρατεῖ· διὰ παρανομίαν αὐτὴν ἀπελέγχων· καὶ τῆς τέκνων φιλίας κυριεύει διὰ κακίαν αὐτὰ κολάζων· καὶ τῆς φίλων συνηθείας δεσπόζει· διὰ πονηρίαν αὐτοὺς ἐλέγχων· καὶ μὴ νομίσητε παράδοξον ἐὰν ὅπου καὶ ἔχθρας ἐπικρατεῖ ὁ λογισμὸς δύναται διὰ τὸν νόμον· μήτε δενδροτομῶν τὰ ἡμέτερα τῶν πολεμίων φυτά· τάτε τῶν ἐχθρῶν τοῖς ἀπολέσασι διασώζων· καὶ τὰ πεπτωκότα συνεγείρων· καὶ τῶν βιαιοτέρων δὲ παθῶν ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται· φιλαρχίας· κενοδοξίας· καὶ βασκανίας· πάντα γὰρ ταῦτα τὰ κακοήθη πάθη ὁ σώφρων νοῦς ἀπωθεῖται· ὥσπερ καὶ τὸν θυμόν· καὶ τοῦ καὶ τούτου δεσπόζει· ἐπεὶ διατί ὁ πάνσοφος ἡμῶν πατὴρ ἰακὼβ τοὺς περὶ συμεὼν καὶ λευὶ αἰτιᾶται· μὴ λογισμῷ τοὺς σικιμήτας ἔθνηδὸν ἀποσφάξαντας λέγων· ἐπικατάρατος ὁ θυμὸς αὐτῶν· εἰ μὴ γὰρ ἐδύνατο τῶν λογισμῶν ὁ θυμὸς κρατεῖν· οὐκ ἂν εἶπεν οὕτως· ὁπηνίκα γὰρ ὁ θεὸς τὸν ἄνθρωπον κατεσκεύαζε λόγῳ· καὶ αὐτεξουσιότητι κοσμίσας, τηνικαῦτα τὰ πάθη αὐτῷ· καὶ τὰ ἤθη περιεφύτευσε· καὶ τὸν ἡγεμόνα νοῦν διὰ τῶν ἔνδον αἰσθητηρίων ἐνεθρόνισε· καὶ τούτῳ νόμον ἔδωκε καθ' ὃν πολιτευόμενος βασιλεύσει βασιλείαν, σώφρονά τε καὶ δικαίαν· καὶ ἀγαθήν· πῶς οὖν εἴποι τις ἂν εἰ τῶν παθῶν δεσπότης ἐστὶν ὁ λογισμὸς λήθης καὶ ἀγνοίας οὐ κρατεῖ.

Κεφάλαιον. γ. 3.

ε Στὶ δὲ κομιδῇ γελοῖος ὁ λόγος· οὐ γὰρ τῶν αὐτοῦ παθῶν ὁ λογισμὸς ἐπικρατεῖν φαίνεται· ἀλλὰ τῶν σωματικῶν· οἷον ἐπιθυμίαν τις οὐ δύναται ἐκκόψαι ἡμῶν· ἀλλὰ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς

παραχέαι. θυμὸν τὶς οὐ δύναται ἐκκόψαι ἡμῶν. ἀλλὰ μὴ δουλωθῆναι τῆς ψυχῆς. ἀλλὰ τῷ θυμῷ δυνατὸν τὸν λογισμὸν βοηθῆσαι. κακοήθη ἄν τις ἡμῶν οὐ δύναται ἐκκόψαι. ἀλλὰ τὸ μὴ καμφθῆναι τῇ κακοηθείᾳ δύναται ὁ λογισμὸς συμμαχῆσαι. οὐ γὰρ ἐκριζωτὴς τῶν παθῶν ὁ λογισμός ἐστιν. ἀλλ' ἀνταγωνιστής. ἔστι γοῦν τοῦτο διὰ τῆς τοῦ δαβὶδ τοῦ βασιλέως δίψης, σαφέστερον ἐπιλογίσασθαι. ἐπεὶ γὰρ δι' ὅλης ἡμέρας προσβαλὼν ἀλλοφύλοις ὁ δαβὶδ πολλοὺς αὐτῶν ἀπέκτεινε μετὰ τῶν ἔθνους στρατιωτῶν τότε δὴ γενομένης ἑσπέρας. ἱδρῶν καὶ σφόδρα κεκμηκὼς ἐπὶ τὴν βασίλειον σκηνὴν ἦλθε. περὶ ἣν πᾶς τῶν προγόνων στρατὸς ἐστρατοπεδεύκει. οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὸ δεῖπνον ἦσαν. ὁ δὲ βασιλεὺς ὡς μάλιστα διψῶν. καίπερ ἀφθόνους ἔχων πηγὰς οὐκ ἐδύνατο δι' αὐτῶν ἰάσασθαι τὴν δίψαν. ἀλλά τις αὐτῶν ἀλόγιστος ἐπιθυμία τοῦ παρὰ τοῖς πολεμίοις ὕδατος ἐπιτείνουσα συνέφρυγε. καὶ λύουσα κατέφλεγεν. ὅθεν τῶν ὑπασπιστῶν ἐπὶ τῇ τοῦ βασιλέως δίψῃ σχετλιαζόντων. δύο νεανίσκοι καταιδεσθέντες τὴν τοῦ βασιλέως ἐπιθυμίαν, τὰς πανοπλίας καθωπλίσαντο. καὶ κάλπην λαβόντες, ὑπερέβησαν τοὺς τῶν πολεμίων χάρακας. καὶ λαθόντες τοὺς τῶν πυλῶν ἀκροφύλακας διεξῄεσαν, ἀνερευνώμενοι κατὰ πᾶν τὸ τῶν πολεμίων στρατόπεδον. καὶ ἀνερευνώμενοι τὴν πηγήν. ἐξ αὐτῆς τῷ βασιλεῖ ἐκόμισαν. ὁ δέ, καίπερ τῇ δίψῃ διαπυρούμενος, ἐλογίζετο πάνδεινον εἶναι κίνδυνον ψυχῇ λογισθὲν ἰσοδύναμον ποτὸν αἵματι. ὅθεν ἀντιθεὶς τῇ ἐπιθυμίᾳ τὸν λογισμόν, ἔσπεισε τὸ πόμα τῷ θεῷ. δυνατὸς γὰρ ὁ σώφρων ἔφυ νοῦς, νικῆσαι τὰς τῶν παθῶν ἀνάγκας καὶ σβέσαι τὰς τῶν οἴστρων φλεγμονάς. καὶ τὰς τῶν σωμάτων ἀλγηδόνας καθ' ὑπερβολὴν οὔσας καταπαλαῖσαι. καὶ τῇ καλοκαγαθίᾳ τοῦ λογισμοῦ διαπτύσαι πάσας τὰς τῶν παθῶν ἐπικρατείας. ἤδη δὲ καὶ ὁ καιρὸς ἡμᾶς καλεῖ ἐπὶ τὴν ἀπόδειξιν τῆς θεωρίας, τοῦ σώφρονος λογισμοῦ.

ἐπεὶ δὴ γὰρ βαθεῖαν εἰρήνην διὰ τὴν εὐνομίαν, οἱ πατέρες
ἡμῶν εἶχον. καὶ ἔπραττον καλῶς. ὥστε καὶ τὸν τῆς ἀσίας βασι
λέα σέλευκον τὸν νικάνορα. καὶ χρῆμα ἐς τὴν ἱερουργίαν αὐτοῖς
ἀφορίσαι. καὶ τὴν πολιτείαν αὐτῶν ἀποδέχεσθαι. τότε δὴ
τινὲς πρὸς τὴν κοινὴν νεωτερίσαντες ὁμόνοιαν πολυτρόποις
ἐχρήσαντο συμφοραῖς.

Κεφάλαιον. δ. 4.

Ιμων γάρ τις πρὸς ὀνίαν ἀντιπολιτευόμενος. τόν
ποτε τὴν ἀρχιερωσύνην ἔχοντα διὰ βίου, καλὸν καὶ
ἀγαθὸν ἄνδρα ἐπειδὴ πάντα τρόπον διαβαλὼν
ὑπὲρ τοῦ ἔθνους οὐκ ἴσχυσε κακῶσαι. φυγὰς ᾤχετο τὴν πατρίδα
προδώσων. ὅθεν ἥκων ὡς ἀπολλώνιον, τὸν συρίας καὶ φοινίκης
στρατηγὸν ἔλεγεν. εὔνους ὢν τοῖς τοῦ βασιλέως πράγμασι ἥκω
μηνύσων πολλὰς ἰδιωτικῶν χρημάτων μυριάδας ἐν τοῖς ἱερο
σολύμων γαζοφυλακίοις τεθησαυρίσθαι τῷ ἱερῷ μὴ ἐπικοινω
νούσας καὶ προσήκειν ταῦτα σελεύκῳ τῷ βασιλεῖ. τούτων ἕκα
στα γνοὺς ὁ ἀπολλώνιος. τὸν μὲν σίμωνα τῆς εἰς τὸν βασιλέα κηδε
μονίας ἐπῄνει. πρὸς δὲ τὸν σέλευκον ἀναβὰς κατεμήνυσε τὸν
τῶν χρημάτων θησαυρόν. καὶ λαβὼν τὴν περὶ αὐτῶν ἐξουσί
αν. ταχὺ ἐς τὴν πατρίδα ἡμῶν μετὰ τοῦ καταράτου σίμωνος.
καὶ βαρυτάτου στρατοῦ προσελθὼν τοῖς τοῦ βασιλέως ἐντολαῖς
ἥκειν ἔλεγεν. ὅπως τὰ ἰδιωτικὰ τοῦ γαζοφυλακίου λάβοι χρήμα
τα. καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον σχετλιάζοντος. ἀντιλέγοντός τε
κἀνδεινὸν εἶναι νομίσαντος. εἰ οἱ τὰς παραθήκας πιστεύσαντες
τῷ ἱερῷ θησαυρῷ στερηθήσονται. ὡς οἷόν τε ἐκώλυον. μετὰ ἀπει
λῶν δὲ ὁ ἀπολλώνιος ἀπῄει ἐς τὸ ἱερόν. τῶν δὲ ἱερέων μετὰ γυ
ναικῶν, καὶ παιδίων, ἐν τῷ ἱερῷ ἱκετευσάντων τῷ θεῷ. ὑπερ
ασπίσαι τοῦ ἱεροῦ καταφρονουμένου τοῦ τόπου. ἀνιόντος τε μετὰ
καθωπλισμένης τῆς στρατιᾶς τοῦ ἀπολλωνίου πρὸς τὴν τῶν χρη
μάτων ἁρπαγήν, οὐρανόθεν ἔφιπποι προσεφάνησαν ἄγγελοι
περιαστράπτοντες τοῖς ὅπλοις. καὶ πολὺν αὐτοῖς φόβον τε καὶ τρό

μον ἐνιόντες. καταπεσὼν δὲ ἡμιθανὴς ὁ ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον, τὰς χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανὸν καὶ μετὰ δακρύων τοὺς ἑβραίους παρεκάλει, ὅπως προσευξάμενοι περὶ αὐτοῦ, τὸν οὐράνιον ἐξευμενίσωνται στρατόν. τούτοις ὑπαχθεὶς τοῖς λόγοις ὀνίας ὁ ἀρχιερεὺς, καί περ ἄλλως εὐλαβηθείς. μή ποτε νομισθείη ὁ βασιλεὺς σελευκὸς, ἐξ ἀνθρωπίνης ἐπιβουλῆς ἀνῃρῆσθαι τὸν ἀπολλώνιον. εὔξατο περὶ αὐτοῦ. καὶ ὁ μὲν παραδόξως διασωθεὶς ᾤχετο. δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ. τελευτήσαντος δὲ, σελεύκου τοῦ βασιλέως διαδέχεται τὴν ἀρχὴν ὁ υἱὸς αὐτοῦ ὁ ἀντίοχος. ἀνὴρ ὑπερήφανος καὶ δεινός. ὃς καταλύσας τὸν ὀνίαν τῆς ἀρχιεροσύνης. ἰάσωνα τὸν ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα. συνθέμενον δώσειν αὐτῷ κατ' ἐνιαυτὸν τάλαντα τρισχίλια ἑξακόσια ἑξήκοντα. ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι. καὶ τοῦ ἔθνους ἀφηγεῖσθαι. ὃς καὶ διεξῄτησε τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πᾶσαν παρανομίαν. ὥστε μὴ μόνον ἐπ' αὐτῇ τῇ ἄκρᾳ τῆς πατρίδος ἡμῶν. γυμνάσιον κατασκευάσαι. ἀλλὰ καὶ καταλῦσαι τὴν τοῦ ἱεροῦ κηδεμονίαν. ἐφ' οἷς ἀγανακτήσασα ἡ θεία δίκη αὐτὸν αὐτοῖς τὸν ἀντίοχον ἐπολέμησεν. ἐπεὶ δὴ γὰρ πολεμῶν ἦν κατ' αἴγυπτον πτολεμαίῳ, ἤκουσέ τε ὅτι φήμης διαδοθείσης περὶ τοῦ τεθνάναι αὐτὸν, ὡς ἔνιοι μάλιστα χαίροιεν οἱ ἱεροσολυμῖται, ταχέως ἐπ' αὐτοὺς ἀνέζευξεν. καὶ ἐπόρθησεν αὐτούς. δόγμα ἔθετο ὅπως οἵ τινες αὐτῶν θάνοιεν τῷ πατρίῳ πολιτευόμενοι νόμῳ θάνοιεν. καὶ ἐπεὶ τούτῳ οὐκ ἴσχυσεν, ἀλλὰ πάσας τὰς ἑαυτοῦ ἀπειλὰς καὶ τιμωρίας ἑώρα καταλυομένας ὥστε καὶ γυναῖκας ὅτι περιέτεμον παιδία μετὰ τῶν βρεφῶν κατακρημνισθῆναι προειδυίας ὅτι τοῦτο πείσονται. ἐπεὶ οὖν τὰ δόγματα αὐτοῦ κατεφρονεῖτο ὑπὸ τοῦ λαοῦ. αὐτὸς διὰ βασάνων ἕνα ἕκαστον ἠνάγκαζε. μιαρῶν ἀπογευομένους τροφῶν ἐξόμνυσθαι τὸν ἰουδαϊσμόν.

Κεφάλαιον. ε. ϛ.

π Ροκαθίσας γέ τοι μετὰ τῶν συνέδρων ὁ τύραννος Ἀντίοχος ἐπί τινος ὑψηλοῦ τόπου. καὶ τῶν στρατευμάτων αὐτῷ παρεστηκότων κυκλόθεν ἐνόπλων παρεκέλευσεν αὐτοῖς ἵνα ἕκαστον τῶν ἑβραίων ἐπισπᾶσθαι. καὶ κρεῶν ὑείων καὶ εἰδωλοθύτων ἀναγκάζειν ἀπογεύεσθαι. εἰ δέ τινες μὴ θελήσειεν μιαροφαγῆσαι τούτους τροχισθέντας ἀναιρεθῆναι. πολλῶν δὲ συναρπασθέντων εἷς πρῶτος ὀνόματι ἐλεάζαρ. τὸ γένος ἱερεὺς τὴν ἐπιστήμην νομικός. καὶ τὴν ἡλικίαν προήκων. καὶ πολλοῖς τῶν περὶ τὸν τύραννον διὰ τὴν ἡλικίαν γνώριμος παρήχθη πλησίον αὐτοῦ, καὶ ἰδὼν αὐτὸν ὁ ἀντίοχος ἔφη, ἐγὼ πρὶν ἄρξασθαι τῶν κατὰ σοῦ βασάνων ὦ πρεσβῦτα. συμβουλεύσω σοι ὅπως ἀπογευσάμενος ὑείων σώζοιο. αἰδοῦμαι γάρ σου. καὶ τὴν ἡλικίαν. καὶ τὴν πολιάν. ἣν μετὰ τοσοῦτον χρόνον οὔ μοι δοκεῖς φιλοσοφεῖν. τῇ ἰουδαίων χρώμενος θρησκείᾳ. διατί δὲ τῆς φύσεως κεχαρισμένης καλλίστην τήνδε τοῦ ζώου σαρκοφαγίαν βδελύττῃ. καὶ γὰρ ἀνόητον τοῦτο μὴ ἀπολαύειν τῶν χωρὶς ὀνείδους ἡδέων. καὶ ἄδικον ἀποστρέφεσθαι τὰς τῆς φύσεως χάριτας. σὺ δέ μοι καὶ ἀνοητότερον ποιήσειν δοκεῖς, εἰ κενοδοξῶν περὶ τὸ ἀληθὲς. ἔτι κἀμοῦ καταφρονήσεις. ἐπὶ τῇ ἰδίᾳ τιμωρίᾳ, οὐκ ἐξυπνώσεις ἀπὸ τῆς φλυάρου φιλοσοφίας ὑμῶν. καὶ ἀποσκεδάσεις τὸν λογισμόν σου τὸν λυπηρὸν. καὶ προσκυνήσεις μου τὴν φιλάνθρωπον παρηγορίαν. οἰκτειρῆσαι τὸ σεαυτοῦ γῆρας. καὶ γὰρ ἐνθυμήθητι, ὡς εἰ καί τις ἐστὶ τῆς δὲ τῆς θρησκείας ὑμῶν τὸ ἐποπτικὴ δύναμις, συγγνωμονήσειέ σοι ἐπὶ πάσῃ δι' ἀνάγκην παρανομίᾳ γινομένῃ. τοῦτον τὸν τρόπον ἀκούσας ὁ ἐλεάζαρ ᾔτησε λόγον. καὶ λαβὼν τοῦ λέγειν ἐξουσίαν, ἤρξατο δημηγορεῖν οὕτως. ἡμεῖς ἀντίοχε, θείῳ πεπεισμένοι νόμῳ πολιτεύεσθαι οὐδὲ μίαν ἀνάγκην βιαιοτέραν εἶναι νομίζομεν τῆς πρὸς τὸν νόμον ἡμῶν εὐπειθείας.. διὸ δὴ κατ' οὐδένα τρόπον παρανομεῖν ἀξιοῦμεν. καὶ τί εἰ καὶ κατ' ἀλήθειαν μὴ ἦν ὁ νόμος ἡμῶν ὡς ὑπο

λαμβάνεις θεῖον, ἄλλως δὲ νομίζομεν αὐτὴν εἶναι θεόν. οὐδὲ οὕτως ἐξὸν ἦν ἡμῖν τὴν ἐπὶ τῇ εὐσεβείᾳ δόξαν ἀκυρῶσαι. μὴ μικρὰν οὖν εἶναι νομίσῃς ταύτην εἰ μιαροφαγήσαιμεν ἁμαρτίαν· τὸ γὰρ ἐπὶ μικροῖς καὶ μεγάλοις παρανομεῖν ἰσοδύναμόν ἐστι. δι' ἑκατέρου γὰρ ὁ νόμος ὁμοίως ὑπερηφανεῖται. χλευάζεις δὲ ἡμῶν τὴν φιλοσοφίαν, ὥσπερ οὐ μετ' εὐλογιστίας ἐν αὐτῇ ὑγιαινόντων. σωφροσύνην τε γὰρ ἡμᾶς ἐκδιδάσκει, ὥστε πασῶν τῶν ἡδονῶν καὶ ἐπιθυμιῶν κρατεῖν. καὶ ἀνδρείαν ἐξασκεῖν ὥστε πάντα πόνον ἑκουσίως ὑπομένειν. καὶ δικαιοσύνην παιδεύει. ὥστε μόνον τὸν ὄντα θεὸν σέβειν μεγαλοπρεπῶς. διὸ οὐ μιαροφαγοῦμεν. πιστεύοντες γὰρ θεοῦ καθεστάναι τὸν νόμον, οἴδαμεν ὅτι κατὰ φύσιν ἡμῖν συμπαθεῖν νομοθετῶν ὁ τοῦ νόμου κτίστης. τὰ μὲν οἰκειωθησόμενα ἡμῶν ταῖς ψυχαῖς ἐπέτρεψεν ἐσθίειν. τὰ δὲ ἐναντιωθησόμενα ἐκώλυσε σαρκοφαγεῖν. τυραννικὸν δὲ οὐ μόνον ἀναγκάζειν ἡμᾶς παρανομεῖν, ἀλλὰ καὶ ἐσθίειν. ἀλλ' οὐ γελάσῃς κατ' ἐμοῦ τοῦτον τὸν γέλωτα. οὔτε τοὺς ἱεροὺς τῶν προγόνων περὶ τοῦ φυλάξαι τὸν νόμον ὅρκους οὐ παρήσω. οὐδ' ἂν ἐκκόψῃς μου τὰ ὄμματα, καὶ τὰ σπλάγχνα τήξειας. οὐχ οὕτως εἰμὶ γέρων ἐγὼ καὶ ἄνανδρος, ὥστε μοι διὰ τὴν εὐσέβειαν, μὴ νεάζειν τὸν λογισμόν. πρὸς ταῦτα τροχοὺς εὐτρέπιζε. καὶ τὸ πῦρ ἐκφύσα σφοδρότερον. οὐχ οὕτως οἰκτείρομαι τὸ ἐμαυτοῦ γῆρας. ὥστε με δι' ἑαυτοῦ τὸν πάτριον καταλῦσαι νόμον. οὐ ψεύσομαί σε παιδευτὰ νόμε. οὐδ' ἐξομοῦμαί σε φίλη ἐγκράτεια. οὐδὲ καταισχυνῶ σε φιλόσοφε λόγε. οὐδ' ἐξαρνήσομαί σε ἱερωσύνη τιμία. καὶ νομοθεσίας ἐπιστήμη, ἁγνόν με οἱ πατέρες προσδέξονται. μὴ φοβηθέντα σου τὰς μέχρι θανάτου ἀνάγκας.

## Κεφάλαιον. ς. 6.

Οὕτω τὸν τρόπον ἀντιρρητορεύσαντα ταῖς τοῦ τυράννου παρηγορίαις. παραστάντες οἱ δορυφόροι πικρῶς
τ ἔσυρον ἐπὶ τὰ βασανιστήρια τὸν ἐλεάζαρον. καὶ πρῶ-

τον μὲν περιέδυσαν αὐτόν. ἔπειτα περιαγκωνίσαντες ἑκατέρω-
θεν μάστιξι κατῄκιζον. πείσθητι ταῖς τοῦ βασιλέως ἐντολαῖς ἑτέ-
ρωθι κήρυκος ἐπιβοῶντος. ὁ δὲ μεγαλόφρων ἐλεάζαρος ὥσπερ
ἐν ὀνείρῳ βασανιζόμενος κατ᾽ οὐδένα τρόπον μετετρέπετο. ἀλλ᾽
ὑψηλοὺς ἀνατείνας εἰς οὐρανοὺς τοὺς ὀφθαλμοὺς ἀπεξαίνετο ταῖς
μάστιξι τὰς σάρκας ὁ γέρων. καὶ κατερρεῖτο τῷ αἵματι. καὶ τὰ
πλευρὰ κατετιτρώσκετο, καὶ πίπτων εἰς τὸ οὔδαφος. ἀπὸ τοῦ μὴ
φέρειν τὸ σῶμα τὰς ἀλγηδόνας. ὀρθὸν εἶχε. καὶ ἀκλινῆ τὸν λο-
γισμόν. λὰξ γέ τοι τῶν πικρῶν τις δορυφόρων, εἰς τοὺς κενεῶνας
ἐναλλόμενος ἔτυπτεν ὅπως ἐξανίσοιτο πίπτων. ὁ δὲ ὑπέμενε τοὺς
πόνους. καὶ περιεφρόνει τῆς ἀνάγκης, καὶ διεκαρτέρει τοὺς αἰκι-
σμοὺς, τυπτόμενος ἐνίκα τοὺς βασανίζοντας ὁ γέρων. καὶ ὑπ᾽ αὐ-
τῶν τῶν βασανιζομένων ἐθαυμάζετο ἐπὶ τῇ εὐψυχίᾳ. ὅθεν τὰ
ἐλεῶντες τοῦ γήρως αὐτῷ. τὰ δ᾽ ἐν συμπαθείᾳ τῆς συνηθείας
ὄντες προσιόντες αὐτῷ τινες τῶν τοῦ βασιλέως ἔλεγον. τί τοῖς
κακοῖς τούτοις ἑαυτὸν ἀλογίστως ὑπολάβεις ἐλεάζαρ. ἡμεῖς μέν-
τοι τῶν ἡψημένων κρεῶν παραθήσομεν. σὺ δ᾽ ὑποκρινόμενος τῶν
ὑείων ἀπογεύσασθαι σώθητι. καὶ ὁ ἐλεάζαρος ἔφη. μὴ οὕτω κα-
κῶς φρονήσωμεν οἱ ἀβραὰμ παῖδες. ὥστε μαλακοψυχήσαν-
τας ἀπρεπὲς ἡμῖν δρᾶμα ὑποκρίνασθαι. καὶ γὰρ ἀλόγιστον πρὸς
ἀλήθειαν ζήσαντες τὸν μέχρι γήρως βίον καὶ τὴν ἐπ᾽ αὐτῷ δό-
ξαν νομίμως φυλάξαντες. εἰ νῦν μεταβαλοίμεθα. καὶ αὐτοὶ μὲν
ἡμεῖς γενοίμεθα τοῖς νέοις ἀσεβείας τύπος. ἵνα καὶ παράδειγμα
γενώμεθα τῆς μιαροφαγίας. αἰσχρὸν δεῖ ἐπιβιώσωμεν ὀλίγον
χρόνον. καὶ τοῦτον καταγελώμενοι πρὸς ἁπάντων ἐπὶ δειλίᾳ.
οὕτω μεγαλοφρονοῦντα αὐτὸν ἰδόντες. καὶ μὴ δὲ πρὸς τὸν οἰ-
κτιρμὸν αὐτῶν μεταβαλλόμενον. ἐπὶ τὸ πῦρ αὐτὸν ἦγαγον. ἔνθα
διὰ κακοτέχνων ὀργάνων καταφλέγοντες αὐτὸν ὑπερέῤῥιπτον.
καὶ δυσώδεις χυλοὺς εἰς τοὺς μυκτῆρας αὐτοῦ κατέχεον. ὁ δὲ μέ-
χρι τῶν ὀστέων ἤδη κατακεκαυμένος. καὶ μέλλων λιποθυμεῖν. αὐτὰ

τείνε τὰ ὄμματα πρὸς θεὸν. καὶ εἶπε. σὺ οἶσθα θεὲ παρόν μοι σώζεσθαι. βασάνοις καυσικαῖς ἀποθνήσκειν διὰ τὸν νόμον. διὰ γὰρ οὖν ἵλεως γενοῦ τῷ ἔθνει σου. ἀρκεσθεὶς τῇ ἡμετέρᾳ ὑπὲρ αὐτῶν δίκῃ. καθάρσιον αὐτῶν ποίησαι τὸ ἡμῶν αἷμα. καὶ ἀντίψυχον αὐτῶν λάβε τὴν ἐμὴν ψυχήν. καὶ αὐτὰ εἰπὼν ὁ ἱερὸς ἀνήρ, εὐγενῶς ἐναπέθανεν. ὁμολογουμένως οὖν δεσπότης τῶν παθῶν ἐστιν ὁ ἀσεβὴς λογισμός. εἰ γὰρ τὰ πάθη τοῦ λογισμοῦ κεκρατήκει. τούτοις οὖν ἐπεδόμην τὴν τῆς ἐπικρατείας μαρτυρίαν. νυνὶ δὲ τοῦ λογισμοῦ τὰ πάθη νικήσαντος αὐτῷ προσηκόντως. τὴν τῆς ἡγεμονίας, ἀπονέμωμεν ἐξουσίαν. καὶ δίκαιόν ἐστιν ὁμολογεῖν ἡμᾶς τὸ κράτος εἶναι τοῦ λογισμοῦ. ὅπου γε καὶ τῶν ἔξωθεν ἀλγηδόνων ἐπιδείκνυμι κεκρατηκέναι τὸν λογισμόν. ἀλλὰ καὶ τῶν ἡδονῶν κρατεῖν. καὶ μὴ ὑπ' αὐτῶν ὑπείκειν.

Κεφ. ζ. 7.

Ὥσπερ γὰρ ἄριστος κυβερνήτης ὁ τοῦ πατρὸς ἡμῶν Ἐλεαζάρου λογισμός, πηδαλιουχῶν τὴν τῆς εὐσεβείας ναῦν ἐν τῷ τῶν παθῶν πελάγει. καὶ καταικιζόμενος ταῖς τοῦ τυράννου ἀπειλαῖς. καὶ καταντλούμενος ταῖς τῶν βασάνων τρικυμίαις κατ' οὐδένα τρόπον ἔτρεψε τοὺς τῆς εὐσεβείας οἴακας. ἕως οὗ ἔπλευσεν ἐπὶ τὸν τῆς ἀθανάτου νίκης λιμένα. οὐχ οὕτω πόλις πολλοῖς καὶ ποικίλοις μηχανήμασιν ἀντέσχε ποτὲ πολιορκουμένη ὡς ὁ πανάγιος ἐκεῖνος τὴν ἱερὰν ψυχὴν αἰκισμοῖς τε καὶ στρέβλοις πυρπολούμενος ἐνίκησε τοὺς πολιορκοῦντας διὰ τὸν ὑπερασπίζοντα τῆς εὐσεβείας λογισμόν, ὥσπερ πρόκρημνον ἄκραν τὴν ἑαυτοῦ διάνοιαν ὁ πατὴρ Ἐλεάζαρ ἐκτείνας περιέκλασε τοὺς ἐπιμαινομένους τῶν παθῶν κλύδωνας, ὦ ἄξιε τῆς ἱερωσύνης ἱερεῦ. οὐκ ἐμίανας τοὺς ἱεροὺς ὀδόντας. οὐδὲ τὴν θεοσέβειαν χωρήσασαν γαστέρα ἐκοινώνησας μιαροφαγίᾳ ὦ σύμφωνε νόμου. καὶ φιλόσοφε θείου λόγου. τοιούτους δεῖ εἶναι τοὺς ἱερουργοῦντας τὸν νόμον ἰδίῳ αἵματι, καὶ γενναίῳ ἱδρῶτι τοῖς μέχρι θανάτου πάθεσιν ὑπερασπίζοντας. σὺ πάτερ τὴν εὐνομίαν ἡμῶν διὰ τῶν ὑπομονῶν εἰς δόξαν ἐκύρωσας. καὶ

τὴν ἀγχιστείαν σεμνολογήσας οὐ κατέλυσας. καὶ διὰ τῶν ἔργων πιστοποιήσας τοὺς τῆς θείας φιλοσοφίας λόγους, ὦ βασάνων βιαιότερε γέρων. καὶ πυρὸς εὐτονώτερε πρέσβυ. καὶ μέγιστε παθῶν ἐλεάζαρε. ὥσπερ γὰρ ὁ πατὴρ ἀαρὼν τῷ θυμιατηρίῳ καθωπλισμένος, διὰ τοῦ ἐθνοπλήθους ἐπιτρέχων τὸν ἐμπυριστὴν ἐνίκησεν ἄγγελον. οὕτως ὁ ἀαρωνίδης ἐλεάζαρος διὰ τοῦ πυρὸς ὑπερτηκόμενος οὐ μετετράπη τὸν λογισμόν, καὶ τὸ θαυμασιώτατον γέρων ὢν, λελυμένων μὲν ἤδη τῶν τοῦ σώματος τόνων, περικεχαλασμένων δὲ τῶν σαρκῶν. κεκμηκότων δὲ τῶν νεύρων, ἀνενέασε τῷ πατρὶ διὰ τοῦ λογισμοῦ. ὦ μακαρίου γήρους. καὶ σεμνῆς πολιᾶς. καὶ βίου νομίμου. ὃν πιστὴ θανάτου σφραγὶς ἐτελείωσεν. εἰ δὲ τοίνυν γέρων ἀνὴρ τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησε διὰ εὐσέβειαν. ὁμολογουμένως ἡγεμών ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. διὰ τοῦτο γέ τοι καὶ μειρακίσκοι τῷ τῆς εὐσεβείας λογισμῷ φιλοσοφοῦντες χαλεπωτέρων βασανιστηρίων ἐπεκράτησαν. ἐπεὶ δή γαρ κατὰ τὴν πεῖραν ἐνικήθη περιφανῶς ὁ τύραννος. μὴ δυνηθεὶς ἀναγκάσαι γέροντα μιαροφαγῆσαι.

Κεφαλ. η. ϛ.

Ὅτε σφόδρα περιπαθῶς ἐκέλευσεν. ἄλλους ἐκ τῶν
τ τῶν ἑβραίων λείας ἀγαγεῖν. καὶ εἰ μὲν μιαροφαγήσαιεν ἀπολύειν φαγόντας. εἰ δ' ἀντιλέγοιεν, πικρότερον βασανίζειν. ταῦτα διαταξαμένου τοῦ τυράννου παρῆσαν ἀγόμενοι μετὰ γηραιᾶς μητρὸς ἑπτὰ ἀδελφοὶ καλοί τε καὶ γενναῖοι. καὶ ἐν παντὶ χαρίεντος ἦθος ἐπ' αὐτοῖς καὶ τῆς εὐπρεπείας ἐκπλαγεὶς, προσεμειδίασεν αὐτοῖς, καὶ πλησίον καλέσας ἔφη. ὦ νεανίαι φιλοφρόνως ἐγὼ τὸ κάλλος ὑμῶν θαυμάζω. καὶ τὸ πλῆθος τοσούτων ἀδελφῶν ὑπερτιμῶν. οὐ μόνον συμβουλεύω μὴ μανῆναι τὴν αὐτὴν τῷ προβασανισθέντι γέροντι μανίαν. ἀλλὰ καὶ παρακαλῶ συνείξαντάς μοι τῆς ἐμῆς ἀπολαύειν φιλίας. δυναίμην γὰρ ὥσπερ κολάζειν τοὺς ἀπειθοῦντας

μου τοῖς ἐπιτάγμασι, οὕτω καὶ εὐεργετεῖν τοὺς εὐπειθοῦντάς μοι. πιστεύσατε οὖν καὶ ἀρχὰς ἐπὶ τῶν ἐμῶν πραγμάτων λήψεσθε. ἀρνηθέντες τὸν πάτριον ὑμῶν τῆς πολιτείας θεσμόν. καὶ μεταλαβόντες ἑλληνικοῦ βίου. καὶ μεταδιαιτηθέντες ἐντρυφήσατε ταῖς νεότησιν ὑμῶν. ἐπεὶ ἐὰν ὀργίλως με διάθησθε διὰ τῆς ἀπειθείας ἀναγκάσετέ με, ἐπὶ δεινοῖς κολάσεσιν ἕνα ἕκαστον ὑμῶν διὰ τῶν βασάνων ἀπολέσαι. κατελεήσατε οὖν ἑαυτούς, οὓς καὶ ὁ πολέμιος ἔγωγε. καὶ τῆς ἡλικίας, καὶ τῆς εὐμορφίας οἰκτείρομαι. οὐ διαλογιεῖσθε τοῦτο ὅτι οὐδὲν ὑμῖν ἀπειθήσασι. πλὴν τοῦ μετὰ στρεβλῶν ἀποθανεῖν ἀπόκειται. ταῦτα δὲ λέγων ἐκέλευσεν εἰς τὸ ἔμπροσθεν τεθῆναι τὰ βασανιστήρια. ὅπως καὶ διὰ τοῦ φόβου πείσειεν αὐτοὺς μιαροφαγῆσαι. ὡς δὲ τροχούς τε καὶ ἀρθρεμβόλα στρεβλωτήριά τε καὶ τροχαντῆρας. καὶ καταπέλτας καὶ λέβητας τήγανά τε καὶ δακτυλήθρας. καὶ χεῖρας σιδηρᾶς καὶ σφῆνας καὶ τὰ ζώπυρα τοῦ πυρὸς οἱ δορυφόροι προέθησαν. ὑπολαβὼν ὁ τύραννος ἔφη. μειράκια φοβήθητε. καὶ ἣν σέβεσθε δίκην ἵλεως ὑμῖν ἔσται δι' ἀνάγκην παρανομήσασιν. οἱ δὲ ἀκούσαντες ἐπάγωγα. καὶ ὁρῶντες δεινά. οὐ μόνον οὐκ ἐφοβήθησαν. ἀλλὰ καὶ ἀντεφιλοσόφησαν τῷ τυράννῳ. καὶ διὰ τῆς εὐλογίας τὴν τυραννίδα αὐτοῦ κατέλυσαν. καί τι λογισώμεθα. εἰ δειλόψυχοί τινες ἦσαν. καὶ ἄνανδροι ἐν αὐτοῖς. ποίοις ἂν ἐχρήσαντο λόγοις. οὐχὶ τούτοις; ὦ τάλανες ἡμεῖς καὶ λίαν ἀνόητοι. βασιλέως ἡμᾶς παρακαλοῦντος καὶ ἐπ' εὐεργεσίᾳ καλοῦντος εἰ πεισθείημεν αὐτῷ. τί βουλήμασι κενοῖς ἑαυτοὺς εὐφραίνομεν. καὶ θανατηφόρον ἀπείθειαν τολμῶμεν. οὐ φοβηθησόμεθα ἄνδρες ἀδελφοὶ τὰ βασανιστήρια καὶ λογιούμεθα τὰς τῶν βασάνων ἀπειλάς. καὶ φευξόμεθα τὴν κενοδοξίαν ταύτην. καὶ ὀλεθροφόρον ἀλαζονίαν. ἐλεήσωμεν τὰς ἑαυτῶν ἡλικίας καὶ κατοικτείρωμεν τὸ τῆς μητρὸς γῆρας. καὶ ἐνθυμηθῶμεν ὅτι ἀπειθοῦντες τεθνηξόμεθα. συγγνώσεται δ' ἡμῖν καὶ ἡ θεία δίκη δι' ἀνάγκην τὸν βασι

λεία φοβηθῶσι. τί ἐξαρνούμεθα ἑαυτοὺς τοῦ ἡδίστου βίου. καὶ ἀποστεροῦμεν ἑαυτοὺς τοῦ γλυκέος κόσμου. μὴ βιαζόμεθα τὴν ἀνάγκην. μηδὲ φιλοδοξήσωμεν ἐπὶ τῇ ἑαυτῶν στρεβλώσει. οὐδ' αὐτὸς ὁ νόμος ἑκουσίους ἡμᾶς θανατοῖ φοβηθέντας τὰ βασανιστήρια. πόθεν ἡμῖν ἡ τοσαύτη ἐνθέτηκε φιλονεικία. καὶ ἡ θανατηφόρος ἀρέσκει καρτερία. παρὸν μετὰ ἀδείας ζῆν τῷ βασιλεῖ πεισθέντας. ἀλλὰ τούτων οὐδὲν εἶπον οἱ νεανίαι βασανίζεσθαι μέλλοντες. οὐδ' ἐνεθυμήθησαν. ἦσαν γὰρ περίφρονες τῶν παθῶν. καὶ αὐτοκράτορες τῶν ἀλγηδόνων. ὥστε ἅμα τὸ παύσασθαι τὸν τύραννον συμβουλεύοντα αὐτοῖς τοῦ μιαροφαγῆσαι. πάντες διὰ φωνῆς ὁμοῦ. ὥσπερ ἀπὸ τῆς αὐτῆς ψυχῆς, εἶπον πρὸς αὐτόν.

Κεφάλαιον θ'. 9

Ι μέλλεις ὦ τύραννε. ἕτοιμοι γάρ ἐσμεν ἀποθνή-
7 σκειν ἢ παραβαίνειν τὰς πατρίους ἡμῶν ἐντολάς. αἰσχυνόμεθα γὰρ τοὺς προγόνους εἰκότως εἰ μὴ τῇ τοῦ νόμου εὐπειθείᾳ συμβουλῶ καὶ μωϋσῇ χρησαίμεθα. μὴ συμβούλευε τύραννε παρανομίας. μὴ ἡμᾶς μισῶν ὑπὲρ ἑαυτοὺς ἡμᾶς ἐλέει. χαλεπώτερον γὰρ αὐτοῦ τοῦ θανάτου νομίζομεν εἶναι σου τὸν ἐπὶ τῇ παρανόμῳ σωτηρίᾳ ἡμῶν ἔλεον. ἐκφοβεῖς δ' ἡμᾶς τὸν διὰ τῶν βασάνων ἡμῖν θάνατον ἀπειλῶν, ὥσπερ οὐχὶ πρὸ βραχέως παρ' ἐλεαζάρου μαθών. εἰ δ' οἱ γέροντες τῶν ἑβραίων διὰ τὴν εὐσέβειαν καὶ βασανισμοὺς ὑπομείναντες εὐσέβησαν. ἀποθάνοιμεν ἂν δικαιότερον ἡμεῖς οἱ νέοι τὰς βασάνους τῶν σῶν ἀναγκῶν ὑπεριδόντες. ἃς καὶ ὁ παιδευτὴς ἡμῶν γέρων ἐνίκησε. πείραζε τοιγαροῦν τύραννε. καὶ τὰς ἡμῶν ψυχὰς εἰ θανατώσεις διὰ τὴν εὐσέβειαν. μὴ νομίσῃς ἡμᾶς βλάπτειν βασανίζων. ἡμεῖς γὰρ διὰ τῆς κακοπαθείας, καὶ ὑπομονῆς. τὰ τῆς ἀρετῆς ἆθλα οἴσομεν. σὺ δὲ διὰ τὴν ἡμῶν μιαιφονίαν αὐτάρκη καρτερήσεις ὑπὸ τῆς θείας δίκης, αἰώνιον βάσανον. τούτων οὕτως εἰπόντων. οὐ μόνον ὡς κατηπειθούντων ἐχαλέπαινον ὁ τύραννος

ἀλλὰ καὶ ὡς καταχαιστῶν ὠργίσθη. ἔνθεν τὸν πρεσβύτατον αὐτῶν
κελευθέντος, παρῆγον οἱ ὑπασπισταὶ καὶ διαῤῥήξαντες τὸν χιτῶ-
να διέδησαν τὰς χεῖρας αὐτοῦ καὶ τοὺς βραχίονας ἱμᾶσιν ἑ-
κατέρωθεν. ὡς δὲ τύπτοντες ταῖς μάστιξιν ἐκοπίασαν οὐδὲν ἀν-
ύοντες. ἀνέβαλον αὐτὸν περὶ τὸν τροχόν. περὶ ὃν κατατει-
νόμενος ὁ εὐγενὴς νεανίας ἐξάρθρος ἐγίνετο. καὶ κατὰ πᾶν
μέλος κλώμενος ἐκακηγόρει λέγων. τύραννε μιαρώτατε. καὶ
τῆς οὐρανίου δίκης ἐχθρὲ. καὶ ὠμόφρων. οὐκ ἀνδροφονήσαντά με
τοῦτον καταικίζεις τὸν τρόπον οὐδ᾽ ἀσεβήσαντα. ἀλλὰ θείου νόμου
προασπίζοντα. καὶ τῶν δορυφόρων λεγόντων. ὁμολόγησον φαγεῖν
ὅπως ἀπαλλαγῇς τῶν βασάνων. ὁ δὲ εἶπεν. οὐχ οὕτως ἰσχυρότερός
ἐστι ὑμῶν ὁ τροχὸς ὦ μιαροὶ διάκονοι, ὥστε μου τὸν λογισμὸν ἄγ-
ξαι τέμνετέ μου τὰ μέλη. καὶ πυροῦτε τὰς σάρκας. καὶ στρεβλοῦτε
τὰ ἄρθρα. διὰ πασῶν γὰρ ὑμᾶς πείσω τῶν βασάνων. ὅτι
μόνοι παῖδες ἑβραίων ὑπὲρ ἀρετῆς εἰσὶν ἀνίκητοι. ταῦτα λέ-
γοντι πῦρ ὑπέστρωσαν. καὶ διηρέθησαν τὸν τροχὸν προσε-
πικατατείνοντες. ἐμολύνετο δὲ πάντοθεν αἵματι ὁ τροχὸς, καὶ
ὁ σωρὸς τῆς ἀνθρακίας τοῖς τῶν ἰχώρων ἐσβέννυτο σταλαγμοῖς
καὶ περὶ τοὺς ἄξονας τοῦ ὀργάνου περιέῤῥεον αἱ σάρκες. καὶ πε-
ριτετμημένων ἤδη ἔχων τὸ τῶν ὀστέων πῆγμα ὁ μεγαλόφρων
καὶ ἀβραμιαῖος νεανίας οὐκ ἐστέναξεν. ἀλλ᾽ ὥσπερ ἐν πυρὶ με-
ταχηματιζόμενος εἰς ἀφθαρσίαν ὑπέμεινεν εὐγενῶς τὰς στρε-
βλας. μιμήσασθέ με ἀδελφοὶ λέγων. μή μου τὸν αἰῶνα λειπο-
τακτήσητε. μὴ δ᾽ ἐξομόσησθέ μου τὴν τῆς εὐψυχίας ἀδελ-
φότητα. ἱερὰν καὶ εὐγενῆ στρατείαν στρατεύσασθε περὶ τῆς
ἀσεβείας. δι᾽ ἧς ἵλεως ἡ δικαία. καὶ πάτριος ἡμῶν πρό-
νοια. τῷ ἔθνει γενηθεῖσα τιμωρήσῃ τὸν ἀλάστορα τύραννον
καὶ ταῦτα εἰπὼν ὁ ἱεροπρεπὴς νεανίας ἀπέῤῥηξε τὴν ψυχήν
θαυμασάντων δὲ πάντων τὴν καρτεροψυχίαν αὐτοῦ. ἦγον οἱ δο-

ρυφόροι ὄντες παρ' ἡλικίαν τοῦ προτέρου δεύτερον καὶ σιδηρᾶς ἐν-
αρμοσάμενοι χεῖρας ὀξέσιν τοῖς ὄνυξιν ὀργάνῳ καταπέλτῃ προ-
σέδησαν αὐτόν. ὡς δὲ εἰ φαγεῖν βούλοιτο πρὶν βασανίζεσθαι πυν-
θανόμενοι τὴν εὐγενῆ γνώμην ἤκουσαν ἀπὸ τῶν τενόντων ταῖς σι-
δηραῖς χερσὶν ἐπισπαλώμενοι μέχρι τῶν γενείων τὴν σάρκα πᾶ-
σαν. καὶ τὴν τῆς κεφαλῆς δορὰν ἃι παραδάλεσι θῆρες ἀπέσυραν.
ὁ δὲ ταύτην βαρέως τὴν ἀλγηδόνα καρτερῶν ἔλεγεν. ὡς ἡδὺς
πᾶς θανάτου τρόπος. διὰ τὴν πάτριον ἡμῶν εὐσέβειαν. οὐ δο-
κεῖς πάντων ὠμότατε τύραννε. πλεῖον ἐμοῦ σὺ νῦν βασανίζεσθαι
ὁρῶν σου νικώμενον τὸν τῆς τυραννίδος ὑπερήφανον λογισμὸν
ὑπὸ τῆς διὰ τὴν εὐσέβειαν ἡμῶν ὑπομονῆς. ἐγὼ μὲν γὰρ τοῖς διὰ
ἀρετὴν ἡδοναῖς τῶν πόνων ἐπικουφίζομαι. σὺ δὲ ἐν ταῖς τῆς ἀ-
σεβείας ἀπειλαῖς βασανίζῃ. οὐκ ἐκφεύξῃ δὲ μιαρώτατε τύραν-
νε, τὰς τῆς θείας ὀργῆς δίκας.

Κεφάλαιον ι. 10

Αὶ τούτου ἀνοίδημον θάνατον καρτερήσαντος. ὁ τρίτος
κ ἤγετο παρακαλούμενος πολλὰ ὑπὸ πολλῶν. ὅπως
ἀπογευσάμενος σώζοιτο. ὁ δ' ἀναβοήσας ἔφη. ἀγνο-
εῖτε ὅτι ὁ αὐτός με τοῖς ἀποθανοῦσι ἔσπειρεν πατὴρ καὶ ἡ αὐτὴ
μητὴρ ἐγέννησε. καὶ ἐπὶ τοῖς αὐτοῖς ἀνετράφημεν δόγμασιν; οὐκ
ἐξομοῦμαι τὴν εὐγενῆ τῆς ἀδελφότητος συγγένειαν. οἱ δὲ πι-
κρῶς ἐνέγκαντες τὴν παρρησίαν τοῦ ἀνδρός. ἀρθρεμβόλοις ὀρ-
γάνοις τὰς χεῖρας αὐτοῦ. καὶ τοὺς πόδας ἐξήρθρουν. καὶ ἐξ ἁρμῶν
ἀναμοχλεύσαντες ἐξεμέλιζον. καὶ τοὺς δακτύλους. βραχίονας
καὶ σκέλη καὶ ἀγκῶνας περιέκλων. καὶ κατὰ μηδένα τρόπον ἰ-
σχύοντες αὐτὸν ἄγξαι. περισύραντες τὸ δέρμα σὺν ἄκραις τῶν
δακτύλων κορυφαῖς ἀπεσκύθιζον. καὶ εὐθέως ἦγον περὶ τὸν τρο-
χὸν περὶ ὃν ἐκ σφονδύλων ἐκμελιζόμενος ἑώρα τὰς ἑαυτοῦ
σάρκας περιλακιζομένας καὶ κατὰ σπλάγχνων σταγόνας αἵματος ἀ-
πορρεούσας. μέλλων δὲ ἀποθνήσκειν ἔφη. ἡμεῖς μὲν ὦ μιαρώτατε τύ-
ραννε, διὰ παιδείαν καὶ ἀρετὴν θεοῦ ταῦτα πάσχομεν. σὺ δὲ διὰ τὴν

ἀσέβειαν καὶ μιαιφονίαν, ἀκαταλύτους καρτερήσεις βασάνους. καὶ τούτου θανόντος ἀδελφοπρεπῶς, τὸν τέταρτον ἐπεσπῶντο λέγοντες μὴ μανῇς καὶ σὺ τοῖς ἀδελφοῖς σου τὴν μανίαν· ὁ δὲ αὐτοῖς ἔφη οὐχ οὕτως καυστικώτερον ἔχετε κατ᾽ ἐμοῦ τὸ πῦρ· ὥστε με δειλανδρῆσαι. μὰ τὸν μακάριον τῶν ἀδελφῶν μου θάνατον. καὶ τὸν αἰώνιον τοῦ τυράννου ὄλεθρον. καὶ τὸν ἀοίδιμον τῶν εὐσεβῶν βίον. οὐκ ἀρνήσομαι τὴν εὐγενῆ ἀδελφότητα. ἐπινόει τύραννε βασάνους. ἵνα καὶ δι᾽ αὐτῶν μάθῃς. ὅτι ἀδελφός εἰμι τῶν προβασανισθέντων. ταῦτα ἀκούσας ὁ αἱμοβόρος. καὶ φονώδης καὶ παμμιαρώτατος ἀντίοχος. ἐκέλευσε τὴν γλῶσσαν αὐτοῦ ἐκτεμεῖν. ὁ δὲ ἔφη. κἂν ἀφέλῃς τὸ τῆς φωνῆς ὄργανον. καὶ σιωπώντων ἐπακούει ὁ θεός. ἰδοὺ προκεχάλασται ἡ γλῶττα τέμνετε. οὐ γὰρ παρὰ τοῦτο τὸν λογισμὸν ἡμῶν γλωσσοτομήσεις. ἡδέως ὑπὲρ θεοῦ τὰ τοῦ σώματος μέλη ἀκρωτηριαζόμεθα. σὲ δὲ ταχέως μετελεύσεται ὁ θεός. τὴν γὰρ τῶν θείων ὕμνων μελῳδὸν γλῶσσαν ἐκτέμνεις. ὡς δὲ καὶ οὗτος ταῖς βασάνοις καταικισθεὶς ἀπέθανεν.

Κεφάλαιον ια. 11

Ὁ πέμπτος παρεπήδησε λέγων. οὐ μέλλω τύραννε πρὸς τὸν ὑπὲρ τῆς ἀρετῆς βασανισμόν, αὐτὸς δὲ ἀπ᾽ ἐμαυτοῦ παρῆλθον. ὅπως κἀμὲ κατακτείνας, περὶ πλειόνων ἀδικημάτων. ὀφειλήσεις τῇ οὐρανίῳ δίκῃ τιμωρίαν, ὦ μισάνθρωπε, καὶ μισάρετε, τί δράσαντος ἡμᾶς τοῦτον πορθεῖς τὸν τρόπον. ὅτι τὸν πάντων κτίστην εὐσεβοῦμεν. καὶ κατὰ τὸν ἐνάρετον αὐτοῦ ζῶμεν νόμον ἀλλὰ ταῦτα τιμῶν οὐ βασάνων ἐστὶν ἄξια. τοιαῦτα λέγοντα. οἱ δορυφόροι δήσαντες αὐτὸν εἷλκον ἐπὶ τὸν καταπέλτην. ἐφ᾽ ὃν δήσαντες αὐτὸν ἐπὶ τὰ γόνατα, καὶ ταῦτα ποδάγραις σιδηραῖς ἐφαρμόσαντες τὴν ὀσφὺν αὐτοῦ περὶ τροχαῖον σφῆνα κατέκαμψαν. περὶ ὃν ὅλος περὶ τὸν τροχόν, σκορπίου τρόπον ἀνακλώμενος ἐξεμελίζετο. κατὰ τοῦτον τὸν τρόπον. καὶ τὸ πνεῦμα στενοχωρούμενος. καὶ τὸ σῶμα ἀγχόμενος κάλας ἔλεγεν ἄκων ὦ τύραννε χάριτας ἡμῖν χαρίζῃ. διὰ γενναιοτέρων πόνων ἐπιδείξασθαι παρέχοντι τὴν εἰς τὸν νόμον ἡμῶν καρτερίαν. τελευτήσαντος δὲ καὶ τούτου ὁ ἕκτος ἤγετο μειρακίσκος. ὃς πυνθανομένου τοῦ τυράννου. εἰ βού

λοιπὸν φαγὼν ἀπολύεσθαι, ἔφη. ἐγὼ τὴν μὲν ἡλικίαν τῶν ἀδελφῶν, εἰμὶ νεώτερος, τὴν δὲ διάνοιαν ἡλικιώτης· εἰς ταὐτὰ γὰρ καὶ γεννηθέντες καὶ τραφέντες ὑπὲρ τῶν αὐτῶν καὶ ἀποθνήσκειν ὀφείλομεν ὁμοίως. ὥστε εἴ σοι δοκεῖ βασανίζειν, μὴ μιαροφαγοῦντα βασάνιζε. ταῦτα αὐτὸν εἰπόντα παρῆγον αὐτὸν ἐπὶ τὸν τροχόν, ἐφ' οὗ κατατεινόμενος ἐκμελῶς καὶ ἐκσφονδυλιζόμενος ὑπεκαίετο· καὶ ὀβελίσκους δὲ ὀξεῖς πυρώσαντες, τοῖς νώτοις προσέφερον καὶ τὰ πλευρὰ διαπείραντες αὐτοῦ καὶ τὰ σπλάγχνα διέκαιον. ὁ δὲ βασανιζόμενος, ὢ ἱεροπρεποῦς ἀγῶνος ἔλεγεν ἐφ' ὃν διὰ τὴν ἀσέβειαν εἰς γυμνασίαν πόνων ἀδελφοὶ τοσοῦτοι κληθέντες οὐκ ἐνικήθημεν. ἀνίκητος γάρ ἐστιν ὦ τύραννε ἡ εὐσεβὴς ἐπιστήμη. καλοκαγαθίᾳ καθωπλισμένος, τεθνήξομαι κἀγὼ μετὰ τῶν ἀδελφῶν μου. μέγαν μου προσβαλὼν καὶ αὐτὸς ἀλάστορα καινουργὲ τῶν βασάνων. καὶ πολέμιε τῶν ἀληθῶς εὐσεβούντων. ἓξ μειράκια καταλύσαμέν σου τὴν τυραννίδα. τὸ γὰρ μὴ δυνηθῆναί σε μεταπεῖσαι τὸν λογισμὸν ἡμῶν μήτε βιάσασθαι πρὸς τὴν μιαροφαγίαν οὐ κατάλυσίς ἐστί σου, τὸ πῦρ σου ψυχρὸν ἡμῖν. καὶ ἄπονοι οἱ καταπέλται. οὐ γὰρ τυράννου. ἀλλὰ θείου νόμου προεστήκασιν ἡμῶν δορυφόροι. διὰ τοῦτο ἀνίκητον ἔχομεν τὸν λογισμόν. Κεφ. ιβ 12.

Ὡς δὲ καὶ οὗτος μακαρίως ἀπέθανε, καταβληθεὶς εἰς λέβητα. ὁ ἕβδομος παραγίνεται πάντων νεώτερος. ὃν κατοικτείρας ὁ τύραννος. καίτοι δεινῶς ὑπὸ πάντων τῶν ἀδελφῶν αὐτοῦ κατακισθείς, ὁρῶν ἤδη τὰ δεσμὰ περικείμενον, πλησιέστερον αὐτὸν μετεπέμψατο. καὶ παρηγορεῖν ἐπειρᾶτο λέγων. τῆς μὲν τῶν ἀδελφῶν σου ἀπονοίας τὸ τέλος ὁρᾷς· διὰ γὰρ ἀπείθειαν στρεβλωθέντες τεθνᾶσι. σὺ δ' εἰ μὴ πεισθείης, τάλας βασανισθεὶς καὶ αὐτὸς τεθνήξῃ πρὸ ὥρας. πεισθεὶς δὲ φίλος ἔσῃ καὶ τῶν ἐπὶ τῆς βασιλείας ἀφηγήσῃ πραγμάτων. καὶ ταῦτα παρακαλῶν, τὴν μητέρα τοῦ παιδὸς μετεπέμψατο. ὅπως αὐτὴν ἐλεήσας τοσούτων υἱῶν στερηθεῖσαν, παρορμήσειεν ἐπὶ τὴν σωτήριον εὐπείθειαν τὸν περιλειπόμενον. ὁ δέ, τῆς μητρὸς τῇ ἑβραΐδι φωνῇ προτρεψαμένης αὐτὸν ὡς ἐροῦμεν. λύσατέ μοι φησὶν εἴπω τῷ βασιλεῖ καὶ σὺν αὐτῷ φίλοις πᾶσι. καὶ ἐπιχαρέντες μάλιστα ἐπὶ τῇ ἐπαγ-

λίας τοῦ παιδὸς, ταχέως ἔλυσαν αὐτόν· καὶ δραμὼν ἐγγὺς πλησίον τι τῶν τηγάνων· ἀνόσιε φησὶ, καὶ πάντων πονηρῶν ἀσεβέστατε τύραννε· οὐκ ᾐδέσθης παρὰ τοῦ θεοῦ λαβὼν τὰ ἀγαθὰ καὶ τὴν βασιλείαν, καὶ τοὺς θεράποντας αὐτοῦ κατακτεῖναι· καὶ τοὺς τῆς εὐσεβείας ἀσκητὰς στρεβλῶσαι· ἀνθ' ὧν ταμιεύσεταί σε ἡ δίκη πυκνοτέρῳ καὶ αἰωνίῳ πυρὶ καὶ βασάνοις, αἳ εἰς ὅλον τὸν αἰῶνα οὐκ ἀνήσουσί σε. οὐκ ᾐδέσθης ἄνθρωπος ὢν θηριωδέστατε τοὺς ὁμοιοπαθεῖς· καὶ ἐκ τῶν αὐτῶν γεγονότας στοιχείων γλωττοτομῆσαι· καὶ τοῦτον καταικίσας τὸν τρόπον βασανίσαι. ἀλλ' οἱ μὲν εὐγενῶς ἀποθανόντες ἐπλήρωσαν τὴν εἰς τὸν θεὸν εὐσέβειαν. σὺ δὲ κακῶς οἰμώξεις, τοὺς τῆς ἀρετῆς ἀγωνιστὰς ἀναιτίως ἀποκτείνας, ὅθεν καὶ αὐτὸς ἀποθνήσκειν μέλλων· οὐκ ἀπαυτομολῶ τῆς τῶν ἀδελφῶν μου ἀριστείας· καὶ ταῦτα εἰπὼν, ἑαυτὸν ἔρριψε κατὰ τῶν τηγάνων· καὶ οὕτως ἀπέδωκε τὴν ψυχήν. Κεφ. ιγ. 13

Εἰ δὲ τοίνυν τῶν μέχρι θανάτου πόνων ὑπερεφρόνησαν οἱ ἑπτὰ ἀδελφοὶ, συνομολογεῖται πανταχόθεν ὅτι αὐτοδέσποτός ἐστι τῶν παθῶν ὁ εὐσεβὴς λογισμός. ὥσπερ γὰρ καὶ τοῖς πάθεσι δουλωθέντες ἐμιαροφάγησαν, ἐλέγομεν ἂν τούτους αὐτοὺς νενικῆσθαι· νυνὶ δὲ οὐχ οὕτως· ἀλλὰ τῷ ἐπαινουμένῳ παρὰ θεῷ λογισμῷ· περιεγένοντο τῶν παθῶν· καὶ οὐκ ἔστι παριδεῖν τὴν ἡγεμονίαν τῆς διανοίας· ἐπεκράτησε γὰρ καὶ πάθους καὶ πόνων· πῶς οὖν οὐκ ἔστι τούτοις τὴν τῆς εὐλογιστίας παθοκρατείαν ὁμολογεῖν· οἱ διὰ τοῦ πυρὸς ἀλγηδόνων οὐκ ἀπεστράφησαν· καθάπερ γὰρ προβλῆτες λιμένων πύργοι τὰς τῶν κυμάτων ἀπειλὰς ἀνακόπτοντες, γαληνὸν παρέχουσι τοῖς ἐμπλέουσι τὸν ὅρμον· οὕτως ἡ ἑπτάπυργος τῶν νεανίσκων εὐλογία, τὸν τῆς εὐσεβείας ὀχυρώσασα λιμένα τὴν τῶν παθῶν ἐνίκησεν ἀκολασίαν. ἱερὸν γὰρ εὐσεβείας στήσαντες χορὸν παρεθάρρυνον ἀλλήλους λέγοντες· ἀδελφικῶς ἀποθάνωμεν ἀδελφοὶ περὶ τοῦ νόμου· μιμησώμεθα τοὺς τρεῖς τοὺς ἐπὶ τῆς ἀσσυρίας νεανίας· οἱ τῆς ἰσοπάλιδος καμίνου κατεφρόνησαν· μὴ δειλανδρήσωμεν πρὸς τὴν τῆς εὐσεβείας ἐπίδειξιν· καὶ ὁ μὲν θάρρει ἀδελφὲ ἔλεγον· ὁ δὲ· εὐγενῶς καρτέρησον· ὁ δὲ κα

ταμνηθεὶς ἔλεγε. μνήσθητε πόθεν ἐστέ. ἢ τίνος πατρὸς χειρὶ σφαγιασθῆναι διὰ τὴν εὐσέβειαν ὑπέμεινεν Ἰσαάκ. εἷς δὲ ἕκαστος ἀλλήλους, ὁμοῦ πάντες ἐφορῶντες φαιδροὶ. καὶ μάλα θαρραλέοι ἑαυτοὺς ἔλεγον τῷ θεῷ ἀφιερώσωμεν ἐξ ὅλης καρδίας τῷ δόντι τὰς ψυχάς. καὶ χρήσωμεν τῇ περὶ τὸν νόμον φυλακῇ τὰ σώματα. μὴ φοβηθῶμεν τὸν δοκοῦντα ἀποκτείνειν τὸ σῶμα μέγας γὰρ ψυχῆς κίνδυνος ἐν αἰωνίῳ βασανισμῷ κείμενος τοῖς παραβαίνουσι τὴν ἐντολὴν τοῦ θεοῦ καθοπλισώμεθα τοιγαροῦν τὴν τοῦ θείου λογισμοῦ θοκράτειαν οὕτω γὰρ θανόντας ἡμᾶς Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακὼβ ὑποδέξονται καὶ πάντες οἱ πατέρες ἐπαινέσουσι. καὶ ἑνὶ ἑκάστῳ τῶν ἀποσπωμένων αὐτῶν ἀδελφῶν, ἔλεγον οἱ περιλειπόμενοι μὴ καταισχύνῃς ἡμᾶς ἀδελφὲ μηδὲ ψεύσῃ τοὺς προαποθανόντας ἡμῶν ἀδελφούς. οὐκ ἀγνοεῖτε δὲ τὰ τῆς ἀδελφότητος φίλτρα, ἅπερ ἡ θεία καὶ πάνσοφος πρόνοια, διὰ πατέρων τοῖς γινομένοις ἐμέρισε. καὶ διὰ τῆς μητρῴας φυτεύσασα γαστρὸς, ἐν ᾗ τὸν ἴσον ἀδελφοὶ κατοικήσαντες χρόνον. καὶ ἐν τῷ αὐτῷ χρόνῳ πλασθέντες. καὶ ἀπὸ τοῦ αὐτοῦ αἵματος αὐξηθέντες καὶ διὰ τῆς αὐτῆς ψυχῆς τελεσφορηθέντες. καὶ διὰ τὸν ἴσον ἀποτεχθέντες χρόνον. καὶ ἐκ τῶν αὐτῶν γαλακτοποτοῦντες πηγῶν ἀφ' ὧν συντρέφονται ἐν ἀγκαλίσμασι φιλάδελφοι ψυχαί. καὶ αὔξονται σφοδρότερον διὰ τῆς συντροφίας. καὶ διὰ τῆς καθ' ἡμέραν συνηθείας, καὶ τῆς ἄλλης παιδείας. καὶ τῆς ἡμετέρας ἐν νόμῳ θεοῦ ἀσκήσεως. οὕτω δὴ τοίνυν καθεστώσης συμπαθοῦς τῆς φιλαδελφίας. οἱ ἑπτὰ ἀδελφοὶ συμπαθέστερον ἔχον πρὸς ἀλλήλους. νόμῳ γὰρ τῷ αὐτῷ παιδευθέντες. καὶ τὰς αὐτὰς ἐξασκήσαντες ἀρετάς. καὶ τῷ δικαίῳ συντραφέντες βίῳ μᾶλλον ἑαυτοὺς ἠγάπων. ἡ γὰρ ὁμοζηλία τῆς καλοκαγαθίας ἐπέτεινεν αὐτοῖς τὴν πρὸς ἀλλήλους ὁμόνοιαν. σὺν γὰρ τῇ εὐσεβείᾳ ποθεινοτέραν ἑαυτοῖς κατεσκεύαζον τὴν φιλαδελφίαν, ἀλλ' ὅμως καὶ περὶ τῆς φύσεως καὶ τῆς συνηθείας, καὶ τῶν τῆς ἀρετῆς ἠθῶν τὰ τῆς ἀδελφότητος αὐτοῖς φίλτρα συναυξανόντων. ἀνείχοντο διὰ τὴν ἀσέβειαν τοὺς ἀδελφοὺς οἱ ὑπολειπόμενοι τοὺς καταικιζομένους ὁρῶντες, μέχρι θανάτου βασανιζομένους.

Κεφ. ιδ. 14. Προσέτι καὶ περὶ τὸν αἰκισμὸν ἐπαρτύνοντες, ὡς μὴ μόνον τῶν ἀλγηδόνων περιφρονῆσαι αὐτούς, ἀλλὰ καὶ τῶν τῆς φιλαδελφίας παθῶν κρατῆσαι. ὦ βασιλέων λογισμοὶ βασιλικώτεροι, καὶ ἐλευθέρων ἐλευθερώτεροι. οὐδεὶς τῶν ἑπτὰ μειρακίων ἐδειλίασεν. οὐδὲ πρὸς τὸν θάνατον ὤκνησεν. ἀλλὰ πάντες ὥσπερ ἐπ' ἀθανασίας ὁδὸν τρέχοντες. περὶ τὸν διὰ τῶν βασάνων ἔσπευδον. καὶ ὥσπερ αἱ χεῖρες συμφώνως, καὶ πόδες συμφώνως τοῖς τῆς ψυχῆς ἀφηγήμασι κινοῦνται. οὕτως οἱ ἱεροὶ μείρακες ἐκεῖνοι. ὡς ὑπὸ ψυχῆς μιᾶς τῆς ἀθανάτου εὐσεβείας κινούμενοι πρὸς τὸν ὑπὲρ αὐτῆς συνεφώνησαν θάνατον. ὦ παναγίας συμφώνων ἀδελφῶν, ἑβδομάς. καθάπερ αἱ ἑπτὰ τῆς κοσμοποιΐας ἡμέραι περὶ τὴν εὐσέβειαν. οὕτω περὶ τὴν ἑβδομάδα χορεύοντες οἱ μείρακες ἐν κύκλου τὸν τῶν βασάνων φόβον καταλύοντες. νῦν ἡμεῖς ἀκούοντες τὴν θλίψιν τῶν νεανίων φρίττομεν. οἱ δὲ, οὐ μόνον ὁρῶντες ἀλλ' οὐδὲ ἀκούοντες τὸν παραχρῆμα ἀπειλῆς λόγον. ἀλλὰ καὶ πάσχοντες ἐνεκαρτέρουν. καὶ τοῦτο ταῖς διὰ πυρὸς ὀδύναις ὧν τί ἂν γένοιτο ἐπαλγέστερον. ὀξεῖα γὰρ καὶ σύντομος ἡ τοῦ πυρὸς οὖσα δύναμις, ταχέως διέλυσε τὰ σώματα, καὶ μὴ θαυμαστὸν ἡγεῖσθε εἰ ὁ λογισμὸς περιεκράτησε τῶν ἀνδρῶν ἐκείνων ἐν ταῖς βασάνοις ὅπου γε καὶ γυναικὸς νοῦς πολυτροπωτέρων ὑπερεφρόνησεν ἀλγηδόνων. ἡ μήτηρ αἱ τῶν ἑπτὰ νεανίσκων ἐκείνων. ὑπήνεγκε τὰς ἐφ' ἑνὶ ἑκάστῳ τῶν τέκνων στρέβλας. θεωρεῖτε δὲ πῶς πολύτεκνός ἐστιν ἡ τῆς φιλοτεκνίας στοργή, ἕλκουσα πάντα πρὸς τὴν τῶν τέκνων συμπάθειαν. ὅπου γε καὶ τὰ ἄλογα ζῶα, ὁμοίαν τὴν πρὸς τὰ ἐξ αὐτῶν γενόμενα συμπάθειαν, καὶ στοργὴν ἔχει τοῖς ἀνθρώποις. καὶ τί δεῖ τὴν διὰ τῶν ἀλόγων ζώων ἐπιδείκνυσθαι πρὸς τὰ τέκνα συμπάθειαν. ὅπου γε καὶ μέλισσαι περὶ τὸν τῆς κηρογονίας ἀπαμύνονται τοὺς προσιόντας. καὶ καθάπερ σιδήρῳ τῷ κέντρῳ πλήσσουσι τοὺς προσιόντας τῇ νοσσιᾷ αὐτῶν, καὶ ἐπαμύνονται ἕως θανάτου.

Κεφάλαιον ιε. 15.

Ἀλλ' οὐχὶ τὴν Ἀβραὰμ ὁμόψυχον τῶν νεανίσκων μητέρα με-
τεκίνησε συμπάθεια τέκνων, ποθεινοτέρα μήτηρ δυοῖν προκει-
μένων εὐσεβείας. καὶ τοῖς ἑπτὰ υἱῶν σωτηρίας προσκαίρου κατὰ
τὴν τοῦ τυράννου ὑπόσχεσιν. τὴν εὐσέβειαν μᾶλλον ἠγάπησε. τὴν
σώζουσαν εἰς αἰώνιον ζωὴν κατὰ θεόν, ὦ τίνα τρόπον ἠθολογήσαι-
μι φιλότεκνα γονέων πάθη ψυχῆς τε καὶ μορφῆς ὁμοιότητα εἰς
μικρὸν παιδὸς χαρακτῆρα θαυμάσιον ἐναποσφραγίζοντα μά-
λιστα διὰ τὸ παθεῖν τοῖς γεννηθεῖσι τὰς μητέρας τῶν πατέρων καθε-
στάναι συμπαθεστέρας. ὅσῳ γὰρ καὶ ἀσθενόψυχοι καὶ φιλογονώτε-
ραι ὑπάρχουσιν αἱ μητέρες, τοσούτῳ μᾶλλον εἰσὶ φιλοτεκνώτεραι.
πασῶν δὲ τῶν μητέρων ἐγένετο ἡ τῶν ἑπτὰ μήτηρ φιλοτεκνοτέρα.
ἥτις ἑπτὰ κυοφορίαις τὴν πρὸς αὐτοὺς ἐπιφυτευομένη φιλοστορ-
γίαν. καὶ διὰ πολλὰς τὰς καθ' ἕκαστον αὐτῶν ὠδῖνας, ἠναγκασμέ-
νη τὴν εἰς αὐτοὺς ἔχειν συμπάθειαν, διὰ τὸν πρὸς θεὸν φόβον. ὑ-
περεῖδε τὴν τῶν τέκνων πρόσκαιρον σωτηρίαν. οὐ μὴν δέ, ἀλλὰ
καὶ διὰ τὴν καλοκαγαθίαν τῶν υἱῶν. καὶ τὴν πρὸς νόμον αὐτῶν εὐ-
πάθειαν, μείζω τὴν ἐν αὐτοῖς εἶχε φιλοστοργίαν. δίκαιοί τε γὰρ ἦ-
σαν. καὶ σώφρονες, καὶ μεγαλόψυχοι φιλάδελφοι. φιλομήτορες
οὕτως. ὥστε καὶ μέχρι θανάτου. τὰ νόμιμα φυλάσσοντας πείθεσθαι
αὐτῇ. ἀλλ' ὅμως καὶ περὶ τοσούτων ὄντων περὶ φιλοτεκνίαν εἰς
συμπάθειαν ἑλκόντων τὴν μητέρα ἐπ' οὐδενὸς αὐτῶν τὸν λογισμὸν
αὐτῆς. αἱ παμποίκιλοι βάσανοι ἴσχυσαν μεταστρέψαι. ἀλλὰ καθ'-
ἕνα παῖδα, καὶ ὁμοῦ πάντας ἡ μήτηρ ἐπὶ τὸν ὑπὲρ τῆς εὐσεβείας
προετρέπετο θάνατον. ὦ φύσις ἱερά, καὶ φίλτρα γονέων καὶ σύνε-
σις φιλόστοργε καὶ τροφεῖα. καὶ μητέρων ἀδάμαστα πάθη. καθ'
ἕνα στρεβλούμενον καὶ φλεγόμενον ὁρῶσα μήτηρ οὐ μετεβάλλετο
διὰ τὴν εὐσέβειαν. τὰς σάρκας τῶν τέκνων ἑώρα περὶ τὸ πῦρ τη-
κομένας. καὶ τοὺς τῶν ποδῶν καὶ χειρῶν δακτύλους ἐπὶ γῆς σπαί-
ροντας καὶ τὰς τῶν κεφαλῶν μέχρι περὶ τὰ γένεια σάρκας. ὥσ-
περ προσωπεῖα προκειμένας. ὦ πικροτέρων νῦν μήτηρ πόνων

πεφραθεῖσα ὑπὲρ τῆς ἐπ' αὐτοῖς ὠδίνων οὐ μόνη γύναι τὴν εὐσέ-
βειαν ὁλόκληρον ἀπεκύησας. οὐ μετέστρεψέ σε πρωτότοκος ἀ-
ποπνέων. οὐδὲ δεύτερος εἰς σὲ οἰκτρὸν βλέπων ἐν βασάνοις. οὐ
τρίτος ἀποψύχων οὐδὲ τοὺς ὀφθαλμοὺς ἑνὸς ἑκάστου θεωροῦσα, ταυ-
ρηδὸν ἐπὶ τῶν βασάνων ὁρῶντας τὸν ἑαυτῶν αἰκισμόν. καὶ τοὺς μυ-
κτῆρας προσημειουμένους τὸν θάνατον αὐτῶν. οὐκ ἔκλαυσας ὁρῶ-
σα σάρκας τέκνων ἀποκαιομένας. καὶ ἐπὶ χερσὶ χεῖρας ἀποτε-
μνομένας, καὶ ἐπὶ κεφαλαῖς κεφαλὰς ἀποδειροτομουμένας. καὶ ἐπὶ
νεκρῶν νεκροὺς πίπτοντας καὶ πολυάνδριον ὁρῶσα τῶν τέκνων τὸ
χορεῖον διὰ τῶν βασάνων. οὐκ ἐδάκρυσας. οὐχ οὕτως ἐρήνη αἱ με-
λῳδίαι. οὐδὲ κύκνειοι πρὸς φιληκοΐαν φωναί, τοὺς ἀκούοντας ἐ-
φέλκονται ὡς τέκνων φωναὶ μετὰ βασάνων μητέρα φωνούντων
καθάπερ γὰρ ἐν βουλευτηρίῳ τῇ ἑαυτῆς ψυχῇ. δεινοὺς ὁρῶσα συμ-
βούλους φύσιν, καὶ γένεσιν καὶ φιλοτεκνίαν. καὶ τέκνων στρέβλας.
δύο ψήφους κρατοῦσα ἡ μήτηρ. θανατηφόρον τε καὶ σωτήριον ὑ-
πὲρ τέκνων. οὐκ ἔγνω τὴν σώζουσαν ἑπτὰ υἱοὺς πρὸς ὀλίγον χρό-
νον σωτηρίαν. ἀλλὰ τῆς θεοσεβοῦς ἀβραὰμ καρτερίας ἡ θυγάτηρ
ἐμνήσθη. ὦ μήτηρ ἔθνους ἔκδικε τοῦ νόμου. καὶ ὑπερασπίστρια τῆς
εὐσεβείας. καὶ τοῦ διὰ σπλάγχνων ἀγῶνος ἀθλοφόρε. ὦ ἀρρένων
πρὸς καρτερίαν γενναιοτέρα. καὶ ἀνδρῶν πρὸς ὑπομονὴν ἀν-
δρειοτέρα. καθάπερ γὰρ ἡ νῶε κιβωτὸς ἐν τῷ κοσμοπληθεῖ κατα-
κλυσμῷ κοσμοφοροῦσα καρτερῶς ὑπέμεινε τοὺς κλύδωνας. οὕ-
τω καὶ σὺ ἡ νομοφύλαξ πανταχόθεν ἐν τῷ τῶν παθῶν περιαντλου-
μένη κατακλυσμῷ. καὶ καρτεροῖς ἀνέμοις ταῖς τῶν υἱῶν βασάνοις
συνεχομένη. γενναίως ὑπέμεινας τὸν ὑπὲρ τῆς εὐσεβείας χειμῶνα.

Κεφάλαιον. ιϛ 16.

Εἰ δὲ τοίνυν καὶ γυνὴ γηραιά, καὶ ἑπτὰ παίδων μήτηρ. ὑπέμεινε
τὰς μέχρι θανάτου βασάνους ὁρῶσα τῶν τέκνων. ὁμολογουμένως αὐτοκρά-
τωρ ἐστὶ τῶν παθῶν ὁ εὐσεβὴς λογισμός, ἀπέδειξα οὖν ὅτι οὐ μό-
νον ἄνδρες τῶν παθῶν ἐκράτησαν, ἀλλὰ καὶ γυνὴ τῶν μεγίστων βασά-

τὸν ὑπερφρόνησε. καὶ οὐχ οὕτως οἱ περὶ δανιὴλ λέοντες ἦσαν ἄγριοι οὐδὲ ἡ κατὰ τὸν μισαὴλ ἐκφλεγομένη κάμινος λαυροτάτῳ πυρί· ὡς ἡ τῆς φιλοτεκνίας περιέκαιεν ἐκείνην φύσις. ὁρῶσαν αὐτοὺς οὕτω ποικίλως βασανιζομένους τοὺς ἑπτὰ υἱούς, ἀλλὰ τῷ λογισμῷ τῆς εὐσεβείας κατέσβεσε ταῦτα καὶ τηλικαῦτα πάθη ἡ μήτηρ. καὶ γὰρ τοῦτο ἐστὶν ἐπιλογίσασθαι, ὅτι δειλόψυχος εἰ ἦν γυνὴ καίπερ μήτηρ οὖσα ὠλοφύρετο ἂν ἐπ᾽ αὐτοῖς. καὶ ἴσως ταῦτα ἂν οὕτως εἶπεν ὦ μελέα, ἔγωγε καὶ πολλάκις τρισαθλία. ἥτις ἑπτὰ παῖδας τεκοῦσα, οὐδενὸς μήτηρ γεγένημαι. ὦ μάταιοι ἑπτὰ κυοφορίαι. καὶ ἀνόνητοι ἑπτὰ δεκάμηνοι. καὶ ἄκαρποι τιθηνίαι. μάτην ἐφ᾽ ὑμῖν ὦ παῖδες πολλὰς ὑπέμεινα ὠδῖνας. καὶ χαλεποτέρας φροντίδας ἀνατροφῆς. ὦ τῶν ἐμῶν παίδων. οἱ μὲν ἄγαμοι. οἱ δὲ γήμαντες ἀνόνητοι, οὐκ ὄψομαι ὑμῶν τέκνα. οὐδὲ μάμμη κληθεῖσα μακαρισθήσομαι. ὦ ἡ πολύπαις καὶ καλλίπαις. ἐγὼ γυνὴ χήρα. καὶ μόνη πολύθρηνος. οὐδὲ ἂν ἀποθάνω θάψοντα τῶν υἱῶν ἕξω τινά. ἀλλὰ τοῦτον τῷ θρήνῳ, οὐδένα ὠλοφύρετο ἡ ἱερὰ καὶ εὐσεβὴς μήτηρ. οὐδὲ ἵνα μὴ ἀποθάνωσιν ἀπέτρεπεν αὐτῶν τινά. ὡς οὐδὲ ἀποθνησκόντων ἐλυπήθη. ἀλλ᾽ ὥσπερ ἀδαμάντινον ἔχουσα τὸν νοῦν. καὶ εἰς ἀθανασίαν ἀνακτίζουσα τὸν τῶν υἱῶν ἀριθμὸν μᾶλλον ὑπὲρ τῆς εὐσεβείας ἐπὶ τὸν θάνατον αὐτοὺς προετρέπετο ἱκετεύουσα. ὦ μήτηρ δι᾽ εὐσέβειαν θεοῦ στρατιῶτι πρεσβῦτι καὶ γυναικὸς διὰ καρτερίαν καὶ τύραννον ἐνίκησας. καὶ ἔργοις εὑρέθης ἀνδρὸς καὶ λόγοις δυνατωτέρα. καὶ γὰρ ὅτι συνελήφθης μετὰ τῶν παίδων εἱστήκεις τὸν ἐλεάζαρον ὁρῶσα βασανιζόμενον. καὶ ἔλεγε τοῖς παισὶ τῇ ἑβραΐδι διαλέκτῳ. ὦ παῖδες γενναῖος ὁ ἀγών. ἐφ᾽ ὃν κληθέντες, ὑπὲρ τῆς διαμαρτυρίας τοῦ ἔθνους ἐναγωνίσασθε προθύμως ὑπὲρ τοῦ πατρῴου νόμου. καὶ γὰρ αἰσχρὸν τὸν μὲν γέροντα τοῦτον ὑπομένειν, τὰς διὰ τὴν εὐσέβειαν ἀλγηδόνας. ὑμᾶς δὲ τοὺς νεανίσκους καταπλαγῆναι τὰς βασάνους. ἀναμνήσθητε ὅτι διὰ τὸν θεὸν τοῦ κόσμου μετελάβετε. καὶ τοῦ βίου ἀ-

πελάσητε. καὶ διὰ τοῦτο ὀφείλετε πάντα πόνον ὑπομεῖναι διὰ τὸν θεόν. δι' ὃν καὶ ὁ πατὴρ ἡμῶν ἀβραὰμ ἔσπευδε τὸν ἐθνοπάτορα υἱὸν σφαγιάσαι ἰσαάκ. καὶ τὴν πατρῴαν χεῖρα ξιφηφόρον καταφερομένην ἐπ' αὐτὸν ὁρῶν οὐκ ἔπτηξε. καὶ δανιὴλ ὁ δίκαιος εἰς λέοντας ἐβλήθη. καὶ ἀνανίας. ἀζαρίας, καὶ μισαὴλ εἰς κάμινον πυρὸς ἀπεσφενδονίσθησαν καὶ ὑπέμειναν διὰ τὸν θεόν. καὶ ὑμεῖς οὖν τὴν αὐτὴν πίστιν εἰς τὸν θεὸν ἔχοντες μὴ χαλεπαίνετε. ἀλόγιστον γὰρ εἰδότας εὐσέβειαν μὴ ἀντιπαθῆσαι τοῖς πόνοις. διὰ τούτων τῶν λόγων ἡ ἑπταμήτωρ ἕνα ἕκαστον τῶν υἱῶν παρακαλοῦσα ἀποθανεῖν ἔτι δὲ καὶ ταῦτα εἰδότες ὅτι οἱ διὰ τὸν θεὸν ἀποθνήσκοντες ζῶσι τῷ θεῷ. ὥσπερ ἀβραάμ, ἰσαὰκ καὶ ἰακὼβ καὶ πάντες οἱ πατριάρχαι.

## Κεφάλαιον ιζ' 17.

Ελεγον δὲ καὶ τῶν δορυφόρων τινές. ὡς ὅτι ἔμελλε συλλαμβάνεσθαι καὶ αὐτὴ πρὸς θάνατον. ἵνα μὴ ψαύσῃ τις τοῦ σώματος αὐτῆς, ἑαυτὴν ἔρριψε κατὰ τῆς πυρᾶς, ὦ μήτηρ σὺν ἑπτὰ παισί. καταλύσασα τὴν τοῦ τυράννου βίαν. καὶ ἀκυρώσασα τὰς κακὰς ἐπινοίας αὐτοῦ. καὶ δείξασα τὴν τῆς πίστεως γενναιότητα καθάπερ σὺ στέγη ἐπὶ τοὺς στύλους τῶν παίδων γενναίως ἱδρυμένη ἀκλινὴς ὑπήνεγκας τὸν διὰ τῶν βασάνων σεισμόν. θάρρει τοιγαροῦν ὦ μήτηρ ἱερόψυχε τὴν ἐλπίδα τῆς ὑπομονῆς ἔχουσα βεβαίαν πρὸς θεόν. οὐχ οὕτως σελήνη κατ' οὐρανὸν σὺν ἄστροις σεμνὴ καθέστηκεν, ὡς σὺ τοὺς ἀστέρας ἑπτὰ παῖδας φωταγωγήσασα πρὸς τὴν εὐσέβειαν ἔντιμος καθέστηκας θεῷ. καὶ ἐστήρισαι ἐν οὐρανῷ σὺν αὐτοῖς. ἦν γὰρ ἡ παιδοποιΐα σου ἀπὸ ἀβραὰμ τοῦ πατρὸς. εἰ δ' ἐξὸν ἡμῖν ὥσπερ ἐπί τινος πίνακος ζωγραφῆσαι τὴν τῆς εὐσεβείας ἱστορίαν, οὐκ ἂν ἔφριττον οἱ θεωροῦντες μητέρα ἑπτὰ τέκνων δι' εὐσέβειαν ποικίλας βασάνους μέχρι θανάτου γινομένας ὑπομείνασαν. καὶ γὰρ ἄξιον ἦν καὶ ἐπὶ τοῦ αὐτοῦ τοῦ τάφου ἀναγράψαι. καὶ ταῦτα τοῖς ἀπὸ τοῦ ἔθνους εἰς μνείαν λεγόμενα. ἐνταῦθ' ὁ ἱερὸς γέρων, καὶ ἑπτὰ παῖδες ἐγκεκήδευνται διὰ τυράννου βίαν τὴν ἑβραίων πολιτείαν κατα-

λῦσαι θέλοντες. οἳ καὶ ἐξεδίκησαν τὸ ἔθνος εἰς θεὸν ἀφορῶντες. καὶ μέχρι θανάτου τὰς βασάνους ὑπομείναντες. ἀληθῶς γὰρ ὁ ἀγὼν θεῖος ὁ δι' αὐτῶν γεγενημένος. ἠθλοθέτει γὰρ τότε ἀρετὴ δι' ὑπομονῆς δοκιμάζουσα τὸ νῖκος ἀφθαρσίᾳ ἐν ζωῇ πολυχρονίῳ. ἐλεάζαρ δὲ προηγωνίζετο. ἡ δὲ μήτηρ τῶν ἑπτὰ παίδων ἐνήθλει. οἱ δ' ἀδελφοὶ ἠγωνίζοντο. ὁ τύραννος ἀντηγωνίζετο. ὁ δὲ κόσμος. καὶ ὁ τῶν ἀνθρώπων βίος ἐθεώρει. θεοσέβεια δὲ ἐνίκα τοὺς ἑαυτῆς ἀθλητὰς στεφανοῦσα. τίνες οὐκ ἐθαύμασαν τοὺς τῆς θείας νομοθεσίας ἀθλητάς. τίνες οὐκ ἐξεπλάγησαν. αὐτός γέ τοι ὁ τύραννος. καὶ ὅλον τὸ συμβούλιον ἐξεθαύμασαν αὐτῶν τὴν ὑπομονήν. καὶ γάρ φησιν ὁ μωϋσῆς καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου. καὶ οὗτοι οὖν ἁγιασθέντες διὰ θεὸν τετίμηνται, καὶ διὰ τοῦ αἵματος τῶν εὐσεβῶν ἐκείνων καὶ τοῦ ἱλαστηρίου θανάτου αὐτῶν. ἡ θεία πρόνοια τὸν ἰσραὴλ προκακωθέντα διέσωσε. πρὸς γὰρ τὴν ἀνδρείαν αὐτῶν τῆς ἀρετῆς. καὶ τὴν ἐπὶ ταῖς βασάνοις αὐτῶν ὑπομονὴν ὁ τύραννος ἀπιδὼν ἀνεκήρυξεν ἀντίοχος τοῖς στρατιώταις αὐτοῦ ὑπόδειγμα τὴν ἐκείνων ὑπομονήν. ἔσχε τε αὐτοὺς γενναίους καὶ ἀνδρείους εἰς πεζομαχίαν καὶ πολιορκίαν καὶ ἐκπορθήσας ἐνίκησε τοὺς πάντας πολεμίους. ὦ τῶν ἀβραμιαίων σπερμάτων ἀπόγονοι παῖδες ἰσραηλῖται. πείθεσθε τῷ νόμῳ τούτῳ. καὶ πάντα τρόπον εὐσεβεῖτε. γινώσκοντες ὅτι τῶν παθῶν δεσπότης ἐστὶν ὁ εὐσεβὴς λογισμός. Κεφ. ιη'. 18.

Καὶ οὐ μόνον τῶν ἔνδοθεν, ἀλλὰ καὶ τῶν ἔξωθεν πόνων. ἀνθ' ὧν διὰ τὴν εὐσέβειαν προέμενοι τὰ σώματα τοῖς πόνοις ἐκεῖνοι οὐ μόνον ὑπὸ τῶν ἀνθρώπων ἐθαυμάσθησαν, ἀλλὰ καὶ θείας μερίδος κατηξιώθησαν. καὶ δι' αὐτοὺς εἰρήνευσε τὸ ἔθνος καὶ τὴν εὐνομίαν τὴν ἐπὶ τῆς πατρίδος ἀνανεωσάμενοι ἐξεπολιόρκησε τοὺς πολεμίους. καὶ ὁ τύραννος ἀντίοχος καὶ ἐπὶ γῆς τετιμώρηται. καὶ ἀποθανὼν κολάζεται. ὡς γὰρ οὐδὲν οὐδαμῶς ἴσχυσεν ἀναγκάσαι τοὺς ἱεροσολυμίτας ἀλλοφυλῆσαι καὶ τῶν πατρίων ἐθῶν ἐκδιαιτηθῆναι. τότε ἀπάρας ἀπὸ τῶν ἱεροσολύμων ἐστράτευσεν ἐπὶ πέρσας. ἔλεγε δὲ ἡ μήτηρ τῶν ἑπτὰ παίδων. καὶ ταῦτα ἡ δικαία τοῖς τέκνοις. ὅτι ἐγὼ

θην παρθένος ἁγνὴ οὐδ' ὑπερέβην πατρικὸν οἶκον. ἐφύλασσον δὲ τὴν οἰκοδομημένην πλευράν. οὐ διέφθειρέ με λυμεὼν ἐρημίας φθορεὺς ἐν πεδίῳ. οὐδ' ἐλυμήνατό μου τὰ ἁγνὰ τῆς παρθενίας λυμεὼν ἀπατηλὸς ὄφις. ἔμεινα δὲ χρόνον ἀκμῆς σὺν ἀνδρί. τούτων δὲ ἐν ἡλίκων γενομένων ἐτελεύτησεν ὁ πατὴρ μακαρίως μέν, τὸν γὰρ τῆς εὐτεκνίας βίον ἐπιζήσας. τὸν τῆς ἀτεκνίας οὐκ ὠδυνήθη καιρόν. ὃς ἐδίδασκεν ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν. τὸν νόμον καὶ τοὺς προφήτας. τὸν ἀναιρεθέντα ἄβελ ὑπὸ κάϊν, ἀνεγίνωσκεν ὑμῖν, καὶ τὸν ὁλοκαρπούμενον ἰσαάκ. τὸν ἐν φυλακῇ ἰωσήφ. ἔλεγε δὲ ὑμῖν τὸν ζηλωτὴν φινεές. ἐδίδασκε δ' ὑμᾶς τοὺς ἐν πυρὶ ἀνανίαν, ἀζαρίαν καὶ μισαήλ. ἐδόξαζε δὲ καὶ τὸν ἐν λάκκῳ λεόντων δανιήλ ὃν ἐμακάριζεν. ὑπεμίμνησκε δ' ὑμᾶς τὴν ἡσαΐου γραφὴν τὴν λέγουσαν κἂν διὰ πυρὸς διέλθῃς, φλὸξ οὐ κατακαύσει σε. τὸν ὑμνολογράφον ἐμελῴδει ὑμῖν δαυὶδ λέγοντα. πολλαὶ αἱ θλίψεις τῶν δικαίων. τὸν σαλομῶντα παροιμίαζεν ὑμῖν λέγοντα. ξύλον ζωῆς πᾶσι τοῖς ποιοῦσιν αὐτοῦ τὸ θέλημα. τὸν ἰεζεκιὴλ ἐπιστοποίει λέγοντα. εἰ ζήσεται τὰ ὀστᾶ τὰ ξηρὰ ταῦτα. ᾠδὴν μὲν ἣν ἐδίδαξε μωϋσῆς οὐκ ἐπελάθετο διδάσκουσαν καὶ λέγουσαν. ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω αὕτη ἡ ζωὴ ὑμῶν καὶ ἡ μακρότης τῶν ἡμερῶν. ὢ πικρᾶς τῆς τότε ἡμέρας. καὶ οὐ πικρᾶς ὅτε πικρὸς ἑλλήνων τύραννος πῦρ φλέξας λέβησιν ὠμοῖς, καὶ ζέουσι θυμοῖς. ἀγαγὼν ἐπὶ τὸν καταπέλτην. καὶ πάσας αὐτοῦ τὰς βασάνους αὐτοῦ ἐπὶ τοὺς ἑπτὰ παῖδας τῆς ἀβρααμίτιδος. καὶ τῶν ὀμμάτων κόρας ἐπήρωσε. καὶ γλώσσας ἐξέτεμε. καὶ βασάνοις ποικίλαις ἀπέκτεινεν. ὑπὲρ ὧν ἡ θεία δίκη, μετῆλθε καὶ μετελεύσεται τὸν ἀλάστορα. οἱ δὲ ἀβραμιαῖοι παῖδες σὺν τῇ ἀθλοφόρῳ μητρί. εἰς πατέρων χορὸν συναγελάζονται. ψυχὰς ἁγνὰς ἀθανάτους ἀπειληφότας παρὰ θεοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

ΤΕΛΟΣ.

Argentorati apud Vuolphium Cephaleum excudebantur. 1526.


Ce
phal.

r. a
[illegible]
[illegible]
[illegible]
na
[illegible]
m
[illegible]
[illegible]
cio
[illegible]
uiat
[illegible]
[illegible]
[illegible]
[illegible]
ciu
[illegible]
ni.

[illegible]
o.
[illegible]
ro.
re a
uocu
rarc
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
agn
nu.
[illegible]